Lp 6

KONINKLIJKE BIBLIOTHEEK
0466 3701

J. MÜLLER & Co.,
Boekverkoopers,
Kalverstraat,
bij den Dam, No.9, te Amsterdam.

Digitized by Google

Digitized by Google

Digitized by Google

Digitized by Google

# ΣΟΥΙΔΑΣ.

## Κ Α

Καβάδης: Ὄνομα κύριον. A

Καββαλίς: [a]Ὁ καταβαλών. Οἷον ἀπὸ κάπης ἅλις ἐσθίων. Κλίνεται δὲ [b]καββαλλῖνος. [c]Ἔγκειται δὲ ἡ [d]κάπη καὶ τὸ ἅλις. Περίττωμα γάρ ἐστι τῶν ἀπὸ κάπης ἐσθιόντων ἀλόγων.

Καββαλών: [e]Ὁ καταβαλών. Ἀμειψίας Μοιχοῖς·

Καὶ σὺ μὲν ἦλθες, [f]κάββαλες τριώβολον.

Κάβαξ: Πανοῦργος.

Κάβαισος: Ἄπληστος. Κάβος γὰρ μέτρον σι- B τικόν. [g]Καὶ τὸν μέθυσον ἡμεῖς [h]πίθον.

Καβειρών: Πόλις. Καὶ [i]Κάβειροι, ὄνομα ἔθνους. [k]Σημαίνει δὲ καὶ δαίμονας.

Καβησός: Πόλις. Καὶ [l]Καβησόθεν, ἀπὸ Καβησοῦ πόλεως.

Κάβος: Εἶδος μέτρου. [m]Καὶ παροιμία,

Κάβιν κάβος.

C

Καβύλη: Χώρα τῆς Θρᾴκης, ἱδρυμένη πρὸς τῷ Τάξῳ ποταμῷ, κατὰ μέσον τῆς Θρᾴκης.

Κάγκανον: Ξηρόν.

Καγχάζει: Ἀθρόως γελᾷ. Εὐνάπιος·

[n]Οἱ δὲ [o]Οἶνοι πλατὺ καγχάσαντες ᾤχοντο.

Καὶ [p]Σοφοκλῆς·

Πάντων καγχαζόντων γλώσσαις.

Τουτέστι, βλασφημούντων.

Ὁ δὲ κατὰ θυμὸν [q]ἐνεκάγχαζε, ἠγανάκτει δὲ πρὸς τὸν ἀέρα, καὶ συνεχῶς ἐβρυχᾶτο.

Καὶ Καγχασμὸς, ὁ ἔκχυτος γέλως.

Κάγχρυς: Τὰς κριθάς. Καὶ καγχρυδίας ἄρτος. Κάγχρυς οὖν, τὰς ἀληλεσμένας κριθάς.

Κάδης: [r]Ἁγιασμός.

[s]Καὶ συσσείσει Κύριος τὴν ἔρημον Κάδης.

Καδίσκος: Ἀγγεῖόν τι, εἰς ὃ [t]ἐψηφοφόρουν

ΚΑΒΑΔΗΣ: Ὄνομα κ.] Est nomen regis Persarum, de quo videndus est Agathias lib. IV. p. 138. KUST.

ΚΑΒΒΑΛΙΣ] Καβαλλίς E. Καββαλλὶς B. Καββάσαλις V.

[a] Ὁ καταβαλὼν] Del. Ὁ καταβαλὼν, quippe quæ male repetita sunt ex sequente articulo. TOUP. Vid. Meursii Gloss. G.B. in Καβαλίς. HEMST. Vide etiam Du Cangium. Ceterum minus recte Toupium conjecisse patet ex Etymol. M. p. 482, 18.

[b] ΚΑΒΒΑΛΛΙΝΟΣ] Καβαλλῖνος E. Καββαλῖνος B.M. D

[c] Ἔγκειται δὲ—ἐσθιόντων ἀλ.] Locum hunc Suidæ descripsit Eustath. ad Odyss. α'. p. 1406, 12. ut Pearsonius observavit. KUST.

[d] κάπη] κώπη B.E. Mox κώπης B.

[e] Ὁ καταβαλὼν] Ὁ om. B.V.E. Seqq. om. M. Mox Ἀμειψίαν V.

[f] Κάββαλε] Cum Porto potius legerim καββαλών. KUST. καββαλὼν A. κάββαλες B.V.E. et sic supra v. Ἀναψυχῆναι.

ΚΑΒΑΙΣΤΟΣ] Potius Κάβαισος, ut legitur apud Hesychium, et in Lexico Photii inedito. KUST. Κάβαισος V. E

[g] Καὶ τὸν μέθυσον ἡμεῖς πίθον] Locum hunc egregie illustrat Pollux lib. VI. c. 7. cujus hæc sunt verba: Καὶ κάβαισον δὲ ἐκάλουν τὸν περὶ τὴν τροφὴν ἄπληστον ὥσπερ οἱ νῦν πολυπότην, πίθον. KUST.

[h] πίθον] Hanc vocem, quæ in prioribus edit. desideratur, ex mss. Paris. et Lexico Photii inedito revocavi. KUST.

[i] ΚΑΒΕΙΡΟΙ] Vid. Διαλαμβάνει. TOUP. Κάβειρος E. Statim delevi ΚΑΒΗΞ. Ὁ λάρος, διὰ τὸ ἀδδηφάγειν. ΚΑΒΗ γὰρ ἡ τροφή. Εὐφορίων· Τῆς οὐδ' αἴθυιαι, οὐδὲ κριεροὶ κάβηκες, cum A.B.V.E. Huc immigrarunt ex Etymol. M. p. 493, 48. ubi tamen leg. Καύηξ. F

[k] Σημαίνει δὲ καὶ δαίμονας] Vide Schol. Aristoph. ad Pac. 276. et Schol. Apoll. Rhod. ad lib. I. 917. KUST. Vid. Σαμοθρᾴκη. REINES.

[l] ΚΑΒΗΣΟΘΕΝ] Homerus Il. ν'. 363. KUST. Καβάσοθεν V. et mox Καβασοῦ.

[m] Καὶ παροιμία addidi cum A.B.V.E. Tum κάβος κάβον edd. recentt.

ΚΑΒΥΛΗ: Χώρα τῆς Θρ.] Ex Harpocratione: apud quem pro Τάξῳ legitur Ἀξίῳ. KUST. Καβήλη V. Tum χωρίον Photius, qui mox ἱδρυμένον, in ceteris cum Suida concordans.

ΚΑΓΧΑΖΕΙ etc. om. h. l. V. sed addit post Κακύνειν. Ibid. inserit, Κάγχαζεν Ἀριστοφ^αν^ ἀντὶ τοῦ καὶ ἀνεπάτει V.

[n] Οἱ δὴ] Οἱ δὲ A.B.V.E.M. Eunapii fr. 60.

[o] Οἶνοι] Εὐνοῦχοι V. Mox καὶ ante Σοφοκλῆς ex V.E. Σοφοκλῆς—ἐβρυχᾶτο om. M., sed habet Ald.

[p] Σοφοκλῆς] Aj. 199.

[q] ἐνεκάγχαζε] Leg. ἀνεκάγχαζε. Vid. Ἀνακαγχάζω. Nisi potius legendum sit, Ὁ δὲ κατὰ θυμὸν μὲν ἐκ. Videtur autem Eunapii. HEMST. ἐνεκάγκασεν A. ἐνεκάγχασεν E. ἐνεκάγχασε B.

ΚΑΓΧΡΥΣ] Alias κάχρυς, absque γ, hæc vox scribitur; ut infra suo loco. KUST. Monuerat Portus. Καγχρὺ V.E.

ΚΑΔΔΗΣ] Κάδης A.B.V.E. et in exemplo.

[r] Ἁγιασμὸς] ἁγία B.V.E. ἁγι^α^ A. Vid. Etymol. M. p. 483, 2.

[s] Καὶ συσσείσει Κύριος τὴν ἔρημον K.] Psalm. XXVIII. 7. KUST.

ΚΑΔΙΣΚΟΣ: Ἀγγεῖόν τι, εἰς ὃ ἐψηφ.] Huc spectant verba Scholiastæ Aristoph. ad Vesp. 320. Τοὺς καδίσκους τοὺς ἐν τῷ δικαστηρίῳ κάδους, ἐν οἷς τὰς ψήφους καθίεσαν, ὑποκοριστικῶς λέγει. Erant autem duo in judiciis cadi, quorum unus dicebatur κύριος, in quem calculi κύριοι, tam absolventes, quam damnantes, mittebantur. Alter vero ἄκυρος, in quem mittebantur calculi ἄκυροι, sive quorum nulla in percensendis suffragiis ratio habebatur. Erant autem calculorum alii pleni, alii vero perforati: quorum illi absolvebant; hi vero damnabant. Clare hæc omnia docet Schol. Aristoph. ad Vesp. 981. cujus verba adducere non gravabor. Ἀμφορεῖς ἦσαν, inquit, ὧν ὁ μὲν κύριος λεγόμενος, εἰς ὃν τὴν κυρίαν ψῆφον καθίεσαν οἱ δικασταί, ἣ καὶ δικάζοντες,



Digitized by Google

οἱ δικασταί, [u]οὕτως ἐκαλεῖτο. Φρύνιχος Μούσαις·

Ἰδού, δέχου τὴν ψῆφον· ὁ καδίσκος δέ σοι,
ὁ μὲν ἀπολύων οὗτος, ὁ δ' ἀπολλὺς ὁδί.

Καδμεία: Ἡ τῶν Θηβαίων ἀκρόπολις.

Καδμεία γυνή, καὶ Καδμεία νίκη, διὰ διφθόγγου. Καδμία δὲ χώρα, διὰ τοῦ ι΄. οἱ δὲ καὶ τοῦτο διὰ διφθόγγου γράφουσι.

Καδμεία νίκη: Λέγεται ἐπὶ τῶν ἐπὶ [x]κακῷ νικώντων. Οἱ μὲν λέγουσιν, ὅτι Θηβαῖοι νικήσαντες ὕστερον [y]ὑπὸ τῶν Ἐπιγόνων ἡττήθησαν· οἱ δέ, ὅτι Οἰδίπους τὸ αἴνιγμα λύσας, ἔπαθλον τὴν μητέρα ἔγημε. Τίθεται [z]δὲ καὶ ἐπὶ τῶν ἀλυσιτελῶν. Ὡς δὲ αὐτὸς [a]ὁ τὰ περὶ [b]τῶν Θηβῶν συντάξας, ὅτι Κάδμος, ἀνελὼν τὸν τὴν [c]Ἀρείαν κρήνην τηροῦντα δράκοντα, [d]ἐθήτευσεν Ἄρει ὀκτὼ ἔτη.

Καδμείαν νίκην: Ἀποδιδόασι τὴν ἐπὶ τῆς ἀλυσιτελοῦς νίκης· ἐπεὶ Ἐτεοκλῆς καὶ Πολυνείκης μονομαχήσαντες ἀμφότεροι ἀπώλοντο. Ἕτεροι δέ φασιν αὐτὴν λέγεσθαι ἐπὶ τῶν νικώντων μὲν τοὺς πολεμίους, πλείονας δὲ τῶν οἰκείων ἀποβαλλόντων.

Καδμεῖος: Ὁ [e]Θηβαῖος.

Καδμείωνος:

Κάδμος: [f]Ὁ Μιλήσιος, εὑρετὴς τῶν γραμμάτων. [g]Ἐν Ἐπιγράμματι Ζήνωνος·

[h]Εἰ δὲ πάτρα Φοίνισσα, τίς ὁ φθόνος; [i]ἦν καὶ [k]Κάδμος
κεῖνος, ἀφ' οὗ γραπτὰν Ἑλλὰς ἔχει σελίδα.

Κάδμος, Πανδίονος, Μιλήσιος, ἱστορικός, ὃς [l]πρῶτος κατά τινας συγγραφὴν ἔγραψε καταλογάδην, μικρῷ νεώτερος [m]Ὀρφέως. Συνέταξε δὲ κτίσιν Μιλήτου καὶ τῆς ὅλης Ἰωνίας ἐν βιβλίοις δ΄.

Ὅτι τὸν Κάδμον φασὶ πρῶτον ἐς τὴν Ἑλλάδα κομίσαι τὰ γράμματα, [n]ἅπερ πρῶτοι Φοίνικες ἐφεῦρον.

Κάδμος, Ἀρχελάου, Μιλήσιος, ἱστορικὸς νεώτερος. Τινὲς δὲ [o]Λυκῖνον Κάδμον ἀνέγραψαν. Ἴσως οὖν ἐστίν ἕτερος. [p]Ἔγραψε δὲ ταῦτα· Λύσιν [q]ἐρωτικῶν παθῶν, ἐν βιβλίοις δ΄, καὶ Ἀττικὰς Ἱστορίας ις΄.

Κάδος: Μέτρον οἰνηρόν. Ἐν [r]Ἐπιγράμμασι·

Τρισσῶν οἰνοπέδων τρισσοὺς ἱερώσατο τούσδε
ἐμπλήσας οἴνου πρωτοχύτοιο κάδους.

Καδουσίας: Βασιλεὺς Σκυθῶν.

Κάειρα: [s]Πόλις καὶ ὄνομα κύριον.

Κάϊν, ὁ τοῦ Ἄβελ ἀδελφός, ὃς πλεονέκτης ἦν· ὁ δὲ Ἄβελ δικαιοσύνης ἐπεμελεῖτο. [ss]Καὶ ὁ Κάϊν κτείνας τὸν Ἄβελ, ἔκρυψε τὸν νεκρὸν αὐτοῦ, λαθεῖν ἐντεῦθεν οἰόμενος. Καὶ μετὰ τὴν καταδίκην χειρόνως ἐβίω, [t]ἅρπαξ καὶ πλεονέκτης γενόμενος μέτρα καὶ στάθμια καὶ ὅρους γῆς ἐπενόησε, καὶ πόλιν κτίσας, εἰς ἓν συνελθεῖν τοὺς οἰκείους ἠνάγκασε, καὶ οἱ ἐκ γένους αὐτοῦ εἰς πολέμους ἑαυτοὺς ἀπησχόλουν.

[u]Ὅτι εἴρηταί τισιν, ὡς ὁ Κάϊν ἐκ τῆς τοῦ Διαβόλου σπορᾶς ἐγένετο, καὶ μισήσας τὸν ἴδιον ἀδελφὸν τὸν Ἄβελ, τοῦτον ἀνεῖλεν. Εἴρηται [x]δὲ περὶ τούτου καὶ χρῆσις τοῦ Κυρίου ἐν τοῖς Εὐαγγελίοις πρὸς τοὺς Ἰουδαίους·

---

(lege καταδικάζοντες) ἢ ἀπολύοντες, ὁ δὲ ἕτερος ξύλινος, εἰς ὃν τὰς ἀκύρους καθίεσαν. Ὁπότε δὲ πάντες διεψηφίσαντο, εἰς χαλκοῦν κάδον διηριθμοῦντο αἱ ψῆφοι. Κατεδίκαζον μὲν αἱ τετρυπημέναι· ἀπέλυον δὲ αἱ πλήρεις. KUST.

[t] ἐψηφοφόρουν] ἐψηφοφόρουν A.V. Photius, Harpocrat.

[u] οὕτω καλεῖται] οὕτως ἐκαλεῖτο A.B.V.E. Photius. Seqq. om. M.

ΚΑΔΜΕΙΑ] Plura Harpocratio, eadem Photius.

ΚΑΔΜΕΙΑ ΝΙΚΗ: Λέγεται ἐπὶ τῶν κ.] Vide Zenobium, aliosque parœmiographos. KUST. Stobæus p. 103. Wesseling. ad Diodor. T. I. p. 413. Nicetas p. 50. TOUP. Adde Boisson. Aristæn. p. 664. Diodor. Exc. Maii p. 46.

[x] κακῶς] ἐπὶ κακῷ A. Photius. κακῶν V. Tum συνόντων A. pro νικώντων.

[y] Ὑπὸ τῶν Ἐπιγόνων] Sic habent mss. Paris. [et Phot.] In prioribus vero edit. [et B.E.] male excusum est ἐπὶ τῶν Ἐπ. KUST.

[z] δὲ καὶ] καὶ om. B.V. Photius.

[a] ὁ τὰ περὶ τῶν Θηβῶν συντάξας] Existimo anonymum hunc esse Lysimachum, quem *Thebaica* scripsisse, et in illis multa paradoxa de Cadmo tradidisse testatur eruditus enarrator Apoll. Rhod. ad lib. III. 1177. et 1178. KUST.

[b] τῶν Θηβῶν] τῶν om. B.E. Phot.

[c] Ἀρείαν κρήνην] Sic et Apollod. III. 4. Sed Apoll. Rh. III. 1180. Ἀρητιάδης κρήνη. REINES.

[d] ἐθήτευσεν] θητεύσας Phot.

ΚΑΔΜΕΙΑΝ ΝΙΚΗΝ] Καδμεία νίκη V.E.

[e] Θηβαῖος] ἀθηναῖος V.

[f] ὁ Μιλήσιος] Errorem in hoc Suidæ loco viri docti jam ante notarunt, et recte monuerunt, Cadmum illum, qui literas invenisse dicitur, Phœnicem fuisse, non Milesium. Vide Menag. ad Laërt. lib. VII. 30. KUST. In hoc et seq. articulo confusos esse Cadmum Phœnicem et Cadmum Milesium docet Clintonus Fast. Hellen. p. 369.

[g] Ἐν Ἐπιγράμματι Ζήνωνος] Epigramma illud integrum exhibet Laërtius *Zenone* segm. 30. Observandum autem est Epigramma istud non esse ipsius Zenonis, ut Suidas hic affirmare videtur, sed a Zenodoto Stoico de Zenone conscriptum, ut ex dicto loco Laërtii patet. Quare, ne ipsum Suidam ἀβλεψίας hujus reum peragam, existimo excidisse hic præpositionem περί, et initio scriptum fuisse, ἐν Ἐπιγράμματι περὶ Ζήνωνος. KUST. Hæc emendatio Menagii est. Ἐν om. edd. ante Kuster. Vid. Anthol. Pal. VII. 117.

[h] Εἰ δὲ πάτρα] οἱ δὲ πάντα E. Desunt hi versus M.

[i] ἦν καὶ Κάδμος] Scribe, ut apud Laërtium, ἦν καὶ ὁ Κάδμος, et subintellige Φοίνιξ: vel ut Menagius tentabat, ἔνθεν ὁ Κάδμος. KUST. Porsonus ad Eurip. Ph. 1613. Εἰ δὲ πάτρα Φοίνιξ σὺ τίς ὁ φθόνος; οὐ καὶ ὁ Κάδμος Κεῖνος—Desunt κεῖνος ἀφ' A. cum lacuna.

[k] Κάδμος] Diodor. Sic. T. I. p. 44. TOUP.

[l] Πρῶτος κατά τινας συγγραφὴν ἔγραψε] Vide quæ notavimus supra ad v. Ἱστορῆσαι. KUST.

[m] Ὀρφέως om. A. cum lacuna.

[n] ἅπερ πρῶτοι] . . . . . ῶτοι A.

[o] Λυκῖνον] An legendum est Λύκιον, i. e. *Lycium*. Certe patriam Cadmi vocabulo isto indicare velle Suidas videtur. Cujus vero gentis vel urbis ἐθνικὸν sit Λυκῖνος jam non memini. KUST. λυκκίνον κάδμον V.

[p] Ἔγραψε] γέγραφε A. ἔγραφε V.

[q] ἐρωτικῶν παθῶν ἐν βιβλίοις ιδ΄] ἐρωτικῶν βιβλίων δ΄. B.E. ἐρωτικῶν βιβλίων ιδ΄. M. παθῶν om. V. qui mox βιβ. δ΄. Vulg. dedit Aldus, cum A. fere concordans, ubi tamen τέσσαρσιν non ιδ΄.

[r] Ἐπιγράμμασι] v. Δράγματα. TOUP. Anthol. Pal. VI. 44. Seqq. om. M.

ΚΑΕΙΡΑ] Vid. Hom. Il. δ΄. 142. et ibi Schol. KUST.

[s] ὄνομα κύριον. καὶ πόλις] πόλις, καὶ ὄνομα κύριον A.V.E.

[ss] καὶ ὁ Κάϊν] Seqq. om. M.

[t] καὶ ἅρπαξ] καὶ om. A.B.V.E.

[u] Ὅτι] ὦ τῆς καινοτομίας addunt B.V.E.

[x] γὰρ] δὲ A.B.V. Mox χρῆσ̈ V. δὲ καὶ χρ. τοῦ κυ περὶ τούτου E. omissis infra πρὸς τοὺς Ἰουδαίους.

Digitized by Google

A

[y]Ὑμεῖς τέκνα ἐστὲ τοῦ Διαβόλου. Ὁ πατὴρ ὑμῶν ἀπ' ἀρχῆς ἀνθρωποκτόνος ἐστὶν, ὡς καὶ ὁ πατὴρ αὐτοῦ.

[z]Τί δηλοῖ τὸ, Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτὰ ἐκδικούμενα παραλύσει; [a]τοιαύτην ἔχει τὴν λύσιν· Ἕκαστος τῷ ἑαυτοῦ ἁμαρτήματι ἀποθανεῖται. Ὁ δὲ φόνου κατάρξας, καὶ τοῖς ἄλλοις [b]τοῦ ἁμαρτήματος ὑφηγητὴς γενόμενος, ἑπταπλασίως τιμωρηθήσεται. Τουτέστι, πολλαπλασίως. Σύνηθες [c]γὰρ τῇ

B

Γραφῇ τῷ ἀριθμῷ τούτῳ ἀπροσδιορίστως κεχρῆσθαι· καὶ ἔστιν ἀδιορίστου [d]πλήθους σημαντικόν. Ὡς τὸ,

Ἀπόδος τοῖς γείτοσιν ἡμῶν ἑπταπλασίονα.

Καὶ,

Ὅτι στεῖρα ἔτεκεν ἑπτά.

[e]Καὶ,

Οὐ λέγω σοι ἕως [f]ἑπτάκις, ἀλλ' ἕως ἑβδομηκοντάκις ἑπτά.

C

Τὸ μὲν γὰρ τελευτῆσαι τῶν [g]ἐν τῷ βίῳ πονηρῶν ἐπάγει τὴν ἀνάπαυσιν· τὸ δὲ ζῆν ἐν φόβῳ καὶ λύπῃ μυρίους ἐπάγει τοὺς ἐν συναισθήσει θανάτους. Τρέμων οὖν καὶ στένων ὁ Κάϊν, ὥσπερ δαίμονι κάτοχος, ἐν ἐπιληψίᾳ πάντα τὸν βίον αὐτοῦ διῆγε, τοῦτο πρὸς τὸ μὴ ἀναιρεθῆναι ὑπό τινος λαβὼν τὸ σημεῖον. Ἐκδικούμενα δὲ, εἴτε τὰ παρὰ τῷ Κάϊν ἡμαρτημένα [h]λέγοις, εὑρήσεις ἑπτά· εἴτε παρὰ [i]τοῦ Θεοῦ ἐπ' αὐτῷ ῥηθέντα, οὐδ' οὕτως ἀποτεύξῃ τῆς ἐννοίας. Ἐν μὲν γὰρ τοῖς

D

παρὰ τοῦ Κάϊν τετολμημένοις [k]πρῶτον ἁμάρτημα φθόνος ἐπὶ τῇ προτιμήσει [l]Ἄβελ. Δεύτερον, δόλος, μεθ' οὗ διελέχθη [m]τῷ ἀδελφῷ, εἰπὼν,

Διέλθωμεν εἰς τὸ πεδίον.

Τρίτον, [n]φόνος, προσθήκη τοῦ κακοῦ. Τέταρτον, ὅτι καὶ ἀδελφοῦ φόνος. Πέμπτον, ὅτι καὶ πρῶτος φονεὺς πονηρὸν ὑπόδειγμα τῷ βίῳ καταλιπών. Ἕκτον, ὅτι γονεῦσι πένθος ἐνεποίησεν. Ἕβδομον, ὅτι Θεὸν ἐψεύ-

E

σατο, εἰπὼν,

Ὅτι οὐκ οἶδα τὸν ἀδελφόν.

Αἱ δὲ εἰς κόλασιν αὐτῷ παρὰ τῆς θείας δίκης τιμωρίαι εἰσὶν αὗται. [nn]Πρώτη κόλασις·

Ἐπικατάρατος ἡ γῆ ἀπὸ σοῦ.

Δευτέρα·

Ἐργᾷ τὴν γῆν.

Τρίτη·

F

Καὶ οὐ προσθήσει δοῦναί σοι τὴν ἰσχὺν αὐτῆς.

Τετάρτη μετὰ τῆς πέμπτης συνεζευγμένη [o]μάστιξ,

Στένων καὶ τρέμων ἔσῃ ἐπὶ [p]τῆς γῆς.

Ἕκτη, ἣν αὐτὸς ἀπεκάλυψεν ὁ Κάϊν, εἰπών·

Εἰ ἐκβαλεῖς με νῦν [q]ἀπὸ τῆς γῆς, καὶ ἀπὸ τοῦ προσώπου σου κρυβήσομαι.

Ἡ βαρυτάτη κόλασις ὁ ἀπὸ τοῦ Θεοῦ χωρισμὸς τοῖς σωφρονοῦσιν. Ἑβδόμη, τὸ μὴ κρύπτεσθαι τὴν τιμωρίαν, ἀλλὰ σημείῳ προδήλῳ πᾶσι προκεκηρύχθαι, διὰ τοῦ στεναγμοῦ καὶ τοῦ τρόμου. [r]Πᾶς οὖν, φησὶ, ὁ νῦν τὸν [s]κατὰ σοῦ φόνον ἀποτολμήσας, κακῶν σε τῶν κατὰ τὸν παρόντα βίον ἀπαλλάξας, τὴν κατὰ σοῦ παραλύσει τιμωρίαν. Διό φησι·

Καὶ ἔθετο [t]ὁ Κύριος σημεῖον τῷ Κάϊν, τοῦ μὴ ἀνελεῖν αὐτὸν πάντα τὸν εὑρίσκοντα αὐτόν.

Καθαγιάζεται: Ἀφιεροῦται.

Καθαγίζω: Καύσω, [u]ἀφιερώσω.

Καθαλάμενος: Καταπηδήσας.

Ὁ δὲ καθαλάμενος ἀπὸ τοῦ ἵππου, καὶ τὸ ξίφος ἑλκύσας, παίει αὐτόν.

Κάθαμμα λύεις: Ἐπὶ τῶν δύσλυτόν τι λύειν ἐπιχειρούντων. Ἀπὸ τῆς ἁμάξης Μίδου. [x]Λόγιον γὰρ τοῖς Φρυξὶν [y]ἐκπεπτώκει, τῆς κομισάσης τὸν Μίδαν ἁμάξης εἴ τις ἐπιλύσειε τὸν δεσμὸν, τοῦτον τῆς Ἀσίας [z]ἄρξειν. Ἀλέξανδρος δὲ ἔλυσε.

Καθάπαξ: Παντελῶς, συλλήβδην. Λέγεται καὶ καθάπαν.

[zz]Καθάπαν γε μὴν αὐτοὺς ἐκπολεμεῖν οὐκ ἔδοξεν.

Καθαπτός: Ἐνδεδυμένος. [a]Ἀριστοφάνης Βατράχοις·

Νεβρῶν δοραῖς καθαπτός.

Ὡς ταρακτός. Τὸ δὲ ἑτέρως λεγόμενον δηλοῖ τὸ οἷον καθάπτεσθαι.

Καθαρίζω: Αἰτιατικῇ.

Καθάραι:

Κάθαρμα:

Οὐ [b]φθείρῃ κάθαρμα, εἶπε, καὶ ἐκποδὼν ἡμῖν ἄπει;

Ἀριστοφάνης φησίν. [c]Ὑπὲρ δὲ καθαρμοῦ πόλεως ἀνῄρουν ἐστολισμένον τινὰ, [d]ὃν ἐκάλουν κάθαρμα.

Καθαρῶς: Ἀκριβῶς, σαφῶς.

y Ὑμεῖς] Evang. Joan. VIII. 44.

z Τί δηλοῖ τὸ, Πᾶς ὁ ἀποκτείνας Κάϊν ἑπτ.] Hæc, et omnia quæ sequuntur, usque ad finem articuli hujus, desunt in edit. Mediolanensi. KUST. Dedit Aldus, et agnoscunt mss. omnes. A. et V. in marg. præfigunt Ἀπορία. Sumpta sunt ex Catena in Genes. IV. 15.

a τοιαύτην ἔχει λύσιν om. B.E. A. in marg. habet λύσις.

b τοῦ ἁμαρτήματος om. V.

c γὰρ τῇ γραφῇ] γὰρ om. V. τῇ γραφῇ om. B.E.

d πλήθους] πλῆθος V.

e ἐρώτησις καὶ οὐ λ. V. καὶ τὸ οὐ λ. E.

f ἑπτάκις] ἑπτὰ B.E.

g ἐν τῷ] τῷ om. B.V.E.

h λέγοις] λέγεις E.

i τοῦ Θεοῦ] τοῦ om. B.V.

k πρῶτον om. B.E. Tum ἁμαρτήματα E.

G

l Ἄβελ] τοῦ Ἄβελ B.E. qui om. δεύτερον, et infra τρίτον, τέταρτον, etc.

H

m τῷ ἀδελφῷ] αὐτῷ E.

n φόνος] καὶ ὁ φόνος τοῦ ἀδελφοῦ add. E. Mox καταλιπὼν τῷ βίῳ E.V.

nn πρώτη] πρῶτον V. et sic in seqq.

o μάστιξ] μάστιγξ B.

p τῆς γῆς] om. B.

q ἀπὸ τῆς γῆς] ἀπὸ σοῦ B.E.V.

r Πᾶς] πῶς E.

s κατὰ σοῦ] κατ' αὐτοῦ B.E.

t ὁ κύριος] ὁ om. B.V.E.

ΚΑΘΑΓΙΣΩ] Vid. not. ad Hesych. Boissonad. ad Eunap. p. 296. Wyttenbach. ad eundem p. 176.

u ἀφιερώσω] καθιερώσω A.

ΚΑΘΑΛΑΜΕΝΟΣ] Xen. Hist. Gr. p. 527. καθαλόμενος ἀπὸ τοῦ ἵππου. Leg. καθαλάμενος. TOUP. Exemp. om. M.

ΚΑΘΑΜΜΑ ΛΥΕΙΣ] In prioribus edit. [et B.E.] pessime legitur κάθαρμα; cujus loco κάθαμμα ex 2 mss. Paris. reposui. KUST. Vid. Schol. Eurip. Hipp. 671. unde hæc consarcinavit Suidas. TOUP. Arrian. Exped. II. p. 85. seq. ed. Blanc. δύσκολον M. pro δύσλυτον.

x Λόγιον γὰρ τοῖς Φρυξὶν ἐκπεπτ.] Historia nota est ex Q. Curtio, et aliis. KUST.

y ἐκπεπτώκει] ἐκπέπτωκε E.

z ἄρξειν] ἄρξει E.

zz Καθάπαν] Seqq. om. M.

a Ἀριστοφάνης Βατράχοις] Ver. 1241. Seqq. om. M.

b φθείρῃ] φθείρει V.E. Ceterum Οὐ φθείρῃ—φησὶν om. M. φησὶν om. V.

c Ὑπὲρ δὲ καθαρμοῦ] Enarrator Com. ad Plut. 454. Καθάρματα ἐλέγοντο οἱ ἐπὶ καθάρσει λιμοῦ τινος, ἢ τινος ἑτέρας νόσου θυόμενοι τοῖς Θεοῖς. Plura hac de re vide infra v. Φαρμακός. KUST.

d ὃν ἐκάλουν κάθαρμα] In prioribus edit. (Mediol. ex-

Digitized by Google

A Καθαιρήσονται: Καταλήψονται.

Καθαίρω: Αἰτιατικῇ.

Καθεδεῖσθαι: Καὶ Καθεδοῦνται, [b]καθεσθήσονται.

Καθέδρα: Ἡ ἐπίσχεσις [c]παρὰ Θουκυδίδῃ.

Καθεκάστην: Καθέκαστα δὲ, ἐπίρρημα.

Καθελών: [d]Δημοσθένης ἀντὶ τοῦ ἀνελὼν, ἤτοι ἀποκτείνας. Καὶ Στησίχορος δὲ καὶ Σοφοκλῆς [e]οὕτως ἐχρήσαντο τῷ ὀνόματι.

B Καθελῶ σε: Αἰτιατικῇ.

Καθέντες: Καταγαγόντες.

Καθέξει: Κρατήσει.

Κάθες: Χάλασον.

Καθεστάναι:

Καθεσταμένος: Ἐπιτετραμμένος.

Καθεσταμένος ἐπὶ τῆς γάζης.

C Τεταγμένος. [ee]Καὶ αὖθις·

Καὶ φυλάσσειν μὲν τῶν καθεσταμένων οὐδὲν ἠξίου.

Τουτέστι, τῶν ἤδη τελεσθέντων.

Καθεστηκός:

[f]Τὸ πᾶν δὲ θύελλα ἐγεγόνει, ὥστε τὸ καθεστηκὸς ποτὲ διαφέρειν οὐδέν.

Καθεστώς:

D Καθεστῶτα: Ἠρεμοῦντα.

[g]Ἤρξαντο τὰ καθεστῶτα κινεῖν.

Καθεστῶτι: Ἡσύχῳ, ἀταράχῳ.

[h]Ἐστερημένω δὲ ἤστην ἄμφω ταῖς ἐλπίσι, καὶ οἵω οὐκέτι ἐν τῷ [i]καθεστῶτι βιοτεύειν τρόπῳ.

Καθεστώτων νόμων: Τῶν ὡρισμένων.

[k]Ἥδονται γὰρ τῇ τῶν καθεστώτων κινήσει.

[l]Φυλαττομένων.

Κάθετος: Ὁ καθειμένος εἰς τὸ πέλαγος [m]ἀμνός. οὕτω Λυσίας καὶ Μελίτων.

Καθεικέναι: Καὶ Καθεικὼς, πέμψας.

Καθεῖλον: Κατέβαλον.

Καθειμένην: Κεχαλασμένην.

Καθεῖναι: Ἐπὶ τὸ κάτω ἀπολῦσαι.

B [n]Ἀντισθένην φασὶ πρῶτον πώγωνα [o]καθεῖναι, καὶ βάκτρῳ καὶ πήρᾳ χρήσασθαι.

Καθεῖντο: Ἐκρέμαντο.

Καθ' εἱρμόν: [[p]Κατὰ ἡρμοσμένην ἀκολουθίαν.]

Καθείς: Ἐμβαλὼν, [q]χαλάσας.

[r]Καθείς τε τὴν χεῖρα ἐς τὴν πήραν ἀναιρεῖται τὴν ἐπιστολήν.

Καθεῖσαι τὰς κόμας [s]ἐθελοκαύτοτη: Ἀντὶ τοῦ, καταβαλοῦσαι, ἐξαπλώσασαι.

C [ss]Καθεῖσαι τὰς κόμας τὰς παλαιὰς ἐκείνας ἐκάλουν ἡλιῶ τε καὶ δίκην.

Καθεῖτο: [t]Ἰώσηπος·

Ἔνθα καθεῖτό τις ὁπλιτικὴ μοῖρα φρουροῦσα τὴν ἐμβολήν.

Καθηγοῦμαι: Δοτικῇ.

Καθηγοῦμαι ταύταις εἰς τὸν λιμένα.

Καθηδυπαθοῦ: Γενικῇ.

[u]Καθηδυπαθῶν τοῦ βίου.

D Αἰτιατικῇ δέ·

[v]Τὸν τῆς ἐξουσίας καιρὸν καθηδυπαθοῦντα ἱκανῶς.

Κάθηι: [x]Καθέζῃ.

Καθήγνισμαι: Κεκάθαρμαι.

Καθῆκαν: Προεβάλοντο.

sono pronuntiarentur, sæpe contigit, ut librarii alterum pro altero in veterum libris scriberent. KUST. Et sic A.B.V.E. cum Photio. οἱ καθιλεῖτε Photius.

[a] Θουκυδίδης] Lib. III. c. 13. Καὶ Ἀθηναίους ῥᾷον καθαιρήσετε, ὑφαιροῦντες αὐτῶν τοὺς ξυμμάχους. KUST. Seqq. om. M.

[b] καθεσθήσονται] Sic recte habent mss. Paris. et Lexicum Photii ineditum. In prioribus vero edit. male excusum est καθεστήσονται. KUST. voc. om. M.

[c] παρὰ Θουκυδίδῃ] Lib. II. c. 18. KUST.

[d] Δημοσθένης ἀντὶ τοῦ ἀνελ.] Locum Demosthenis attulimus supra v. Ἡ ἐν δίῳ καθελὼν, ubi vide quæ notavimus. KUST. c. Aristocr. p. 637, 3.

[e] καὶ ἕτεροι οὕτως] καὶ ἕτεροι om. A.B.V.E. Omnia post Σοφοκλῆς desunt Photio. Glossam plenius habet Harpocratio. καὶ Στησ. καὶ Σοφ. om. M.

ΚΑΘΕΣ] κάθε B.V.

[ee] καὶ αὖθις] Seqq. om. M.

[f] Τὸ πᾶν δὲ θύελλα ἐγεγόνει, ὥστε τὸ καθ.] Idem fragmentum legitur supra v. Θύελλα. KUST. Vid. Στρόβιλος. TOUP. Illud τὸ πᾶν δὲ θύελλα ἐγεγόνει aliter legitur in Θύελλα et Στρόβιλος. Forte locus est diversus. HEMST. θύελλα δὲ V. δὲ om. A.

ΚΑΘΕΣΤΩΣ] Hesych. καθεστὼς, παρεστὼς, αὐτόθεν ὑπάρχων, i. e. τεταγμένος, *tranquillus*, *compositus*. REINES.

[g] Ἤρξαντο] Hæc sunt verba Polybii lib. II. [c. 21.] p. 152. Ita loquitur Procopius in Persicis lib. I. Διὸ δὴ οὔτε (leg. οὐδὲ) νόμον τινὰ οἰκοθεν ἔγραφεν, οὐδέ ΤΙ ΤΩΝ ΚΑΘΕΣΤΩΤΩΝ ΚΙΝΕΙΝ ἤθελεν. TOUP. Deest ex. M.

[h] Ἐστερημένω δὲ ἤστην ἄμφω ταῖς ἐλπ.] Hæc sunt verba Agathiæ lib. I. p. 19. KUST. Deest ex. M.

[i] καθεστηκότι] καθεστῶτι B.V.E. Tum βιωτεύειν A.

[k] Ἥδονται γὰρ τῇ τῶν καθεστ.] Agathias lib. I. p. 16. KUST. Desunt seqq. M.

[l] Φυλαττομένων] Hæc vox non est pars fragmenti præcedentis, ut Portus putavit, sed interpretatio Suidæ, qua vocem καθεστώτων exponit. KUST.

ΚΑΘΕΤΟΣ: Ὁ καθειμένος εἰς τὸ πέλαγος ἀμν.] Ex Harpocratione: ad quem vide Valesium. Huc spectant ea, E quæ habet Photius in Lexico inedito: Κάθετος, ἐστὶ γραμμή τις παρὰ τοῖς γεωμέτραις. Σημαίνει δὲ καὶ βοῦν τινα καθιέμενον εἰς τὴν θάλασσαν ἐπὶ θυσίᾳ τῷ Ποσειδῶνι. KUST.

[m] ἀμνός] Leg. στάμνος, i. e. *urna*, *hydria*. Καθ. est βολίς. Isid. XIX. 4. Catapirates, linea s. funiculus cum massa plumbea, quo maris altitudo tentatur. REINES.

[n] Ἀντισθένην φασὶ πρῶτον πώγωνα καθεῖναι, καὶ βάκτρῳ καὶ π. χρ.] Male hic Suidas ad Antisthenem ea refert, quæ apud Laërtium lib. VI. 13. non de Antisthene, sed Diodoro Aspendio dicuntur, ut bene observavit Pearsonius. F KUST. Deest ex. M.

[o] καθεῖναι] Vid. Thom. Magist. v. Καθ. Aristoph. Eccl 100. TOUP.

[p] κατὰ ἡρμοσμένην ἀκ.] Desunt hæc A.B.V.E.

[q] χαλάσας—ἐπιστολήν om. E. καθείς—ἐπιστολήν om. B.M. Iidem in sequente articulo om. usque ad ἐξαπλώσασαι.

[r] Καθείς τε τὴν χεῖρα εἰς τὴν π.] Idem fragmentum legitur supra v. Ἀναιρεθείς. KUST. Ex Eunapio, opinor. Vid. Suid. v. Στέατα. TOUP.

[s] ἐθελοκαύτοτη] ἐθελοκαλύπτου V. qui mox ἐξαπλώσασθαι.

G [ss] καθεῖσαι] Pleniora leguntur in Ἰσχλάκων, ubi et παλαιὰς retinetur. An πολιάς? HEMST. τ. κ. τ. π. ε. ἐκάλουν (l. ἐθελοκλέπτου) ἡλιῶ τε καὶ δίκην sunt verba seqq. illa quæ leguntur voc. Ἰσχλάκων. Videntur Æliani verba. VALCK.

[t] Ἰώσηπος] De Bello Jud. lib. VI. p. 908. sed ubi pro καθεῖτο hodie legitur καθῆστο, ut vir quidam doctus ad marginem codicis Pearsoniani recte notaverat. KUST. V. 2, 3. Mox τις om. B.E. qui infra φρουροῦσα.

ΚΑΘΗΔΥΠΑΘΩΝ] Καθηδυπαθῶ A.B.V.E. qui in exemplo καθηδυπαθεῖν.

H [u] Καθηδυπαθῶν] Ex Basilio Hom. ad Div. p. 60 C. notante Hemsterhus. ad Lucian. T. I. p. 389. Alciphron p. 80. TOUP.

[v] Τὸν τῆς ἐξουσίας] Synesius de Regno p. 6. καθηδυπαθεῖ τὴν ἐξουσίαν. et p. 105. TOUP.

[x] Καθέζῃ] καθῆσαι addit E.

Οἱ δὲ ἐπ' ἐξαπάτῃ Ῥωμαίων καθῆκαν τὸν λόγον.

Καθῆκαν: [y] Ἐχάλασαν.

Καθῆκόν φασι πρῶτον ὠνομακέναι τὸν Ζήνωνα τὸν Κιτιέα, καὶ λόγον περὶ αὐτοῦ πεποιηκέναι.

Καθῆκον: Ὅτι καθῆκόν φασιν εἶναι, ὃ [z] προσαχθὲν εὔλογόν τε ἴσχει ἀπολογισμόν· οἷον, τὸ ἀκόλουθον ἐν ζωῇ· ὅπερ καὶ ἐπὶ τὰ φυτὰ καὶ ζῶα διατείνει· ὁρᾶσθαι γὰρ κἀπὶ τούτων καθήκοντα. [a] Κατά τινας εἴκειν τῆς [b] προσονομασίας εἰλημμένης. Ἐνέργημα δ' [c] αὐτὸ εἶναι ταῖς κατὰ φύσιν κατασκευαῖς οἰκεῖον. Τῶν γὰρ καθ' ὁρμὴν ἐνεργουμένων τὰ μὲν καθήκοντα εἶναι, τὰ δὲ παρὰ τὸ καθῆκον. Καθήκοντα [d] μὲν οὖν εἶναι, ὅσα [e] λόγῳ πρέπει ποιεῖν· ὡς ἔχει γονεῖς τιμᾶν, ἀδελφούς, πατρίδα, συμπεριφέρεσθαι φίλοις· παρὰ τὸ καθῆκον, ὅσα μὴ αἱρεῖ λόγος, ὡς ἔχει τὰ τοιαῦτα· γονέων ἀμελεῖν, [f] ἀδελφῶν ἀφροντιστεῖν, φίλοις μὴ συνδιατίθεσθαι, πατρίδος ὑπερορᾶν, καὶ τὰ παραπλήσια. Οὔτε καθήκοντα, οὔτε παρὰ τὸ καθῆκον, ὅσα [g] οὔτε αἱρεῖ [h] λόγος πράττειν, οὔτε ἀπαγορεύει· οἷον, κάρφος ἀνελέσθαι, [i] γραφεῖον κρατεῖν, [k] στλεγγίδα, καὶ τὰ ὅμοια τούτοις. Καὶ τὰ μὲν εἶναι καθήκοντα ἄνευ περιστάσεως, ὡς τάδε· [l] ἁγνείας ἐπιμελεῖσθαι, καὶ αἰσθητηρίων, καὶ τὰ ὅμοια· κατὰ περίστασιν δέ, τὸ πηροῦν ἑαυτόν, καὶ τὴν κτῆσιν διαρριπτεῖν. Ἀνάλογον δὲ [m] καὶ τῶν παρὰ τὸ καθῆκον. [[n] Πολύβιος·

Τολμῶσι πέρα τοῦ δέοντος, καὶ ποιοῦσι παρὰ τὸ καθῆκον.]

Ἔτι τῶν καθηκόντων τὰ μὲν ἀεὶ καθήκει· τὰ δέ, οὐκ ἀεί. [o] Καὶ ἀεὶ μὲν καθήκει τὸ ἐρωτᾶν, καὶ πυνθάνεσθαι, [p] καὶ περιπατεῖν, καὶ τὰ ὅμοια. Ὁ δὲ αὐτὸς λόγος καὶ ἐπὶ τῶν παρὰ τὸ καθῆκον. Ἔστι δὲ καὶ ἐν τοῖς μέσοις τι καθῆκον, ὡς τὸ πείθεσθαι τοὺς παῖδας τοῖς παιδαγωγοῖς.

Καθήκοντα: Δημοσθένης ἐν [q] ἑνδεκάτῳ Φιλιππικῶν φησιν·

Ὅστις οὐκ ἠξίου τὰ καθήκοντα ἐφ' ἑαυτὸν ποιεῖν.

Ἀντὶ τοῦ [r] τὰ ἥκοντα.

Καθηκόντως: Δεόντως, πρεπόντως.

Καθηκούσαις: [s] Διεκτρεχούσαις. Ξενοφῶν·

Ἐν πέτραις καθηκούσαις ἐπ' αὐτὸν τὸν τόπον.

Καθήκω: Γενική.

Καθημαξευμένος: Τετριμμένος, ἐγγεγυμνασμένος. Αἰλιανός·

Γύναιον ἐκ Συρίας [t] καθημαξευμένον ὑπὸ παντὸς τοῦ προσιόντος. Ἑταίρα γὰρ ἦν ἐμφανής, καὶ τῶν ἐν ταῖς μίμοις δι' ἀκολασίαν περιπαθεστέρα, τοῖς τε φαινομένοις ἐς τὴν κοινὴν ὄψιν σχήμασιν ἐκκαλουμένη τοὺς ὁρῶντας ἐς τὰ πάθη τοῦ σώματος, καὶ [x] κατατείνουσα τὸν δῆμον, καὶ ὅσον μετὰ τοῦ δήμου, πρὸς [y] σπουδήν τινα καὶ μανικὴν ἀσέλγειαν.

Κάθημαι:

Καθήμενον πεδίον: Τὸ ὁμαλόν.

[z] Οἱ δὲ Ῥωμαῖοι ἐς καθήμενον πεδίον ἐστρατοπεδεύοντο.

Καθ' ἡμέραν:

Καθῄρει: Τοῦ ἀξιώματος κατέσπα.

[a] Ὁ δὲ Τραϊανὸς οὔτε ἐφθόνει, οὔτε καθῄρει τινά, ἀλλὰ πάνυ πάντας τοὺς ἀγαθοὺς ἐτίμα. Διὰ τοῦτο οὔτε ἐφοβεῖτό τινα, οὔτε ἐμίσει.

Καθῄρηντο τὰς γνώμας: Ἀντὶ τοῦ, εἰς δειλίαν ἐνέπιπτον.

[b] Οἱ δὲ πλείους καθῄρηντο τὰς γνώμας ἐπὶ τοσοῦτον, ὥστε τῆς πίστεως τῆς πρὸς [d] βασιλέας ὑπὸ τοῦ περιδεοῦς ἀφίστανται.

Καθῆσθαι: Καὶ [e] Καθῆστο: Ἐκαθέζετο.

Καθιγμένος: [f] Θέλων, φθάσας.

Ὁ δὲ βασιλεύς, καθιγμένος καὶ ταύτης τῆς [g] ἐπιβολῆς, [h] ἐγένετο πρὸς ἀναζυγήν.

[y] ἐχάλασαν] κατέβαλον Photius. Utrumque jungit Hesychius. Vid. Lucæ Ev. V. 19. Act. Apost. IX. 25.

ΚΑΘΗΚΟΝ φασὶ πρῶτον ὠνομ.] Hæc, et quæ sequuntur, sunt verba Laërtii lib. VII. 25. et 107. et seqq. KUST.

[z] προαχθὲν] Vocabuli hujus frequens quidem apud Stoicos usus est; sed cum significatio ejus sensui loci hujus non conveniat, levissima mutatione scribendum puto πραχθέν. KUST. Sic Menagius ad Laërt. προσαχθὲν M. ubi mox om. ὁρᾶσθαι—ἀπαγορεύει.

[a] Κατά τινας εἴκειν τῆς προσον.] Locus hic ex Laërtio sic emendandus et supplendus est: Κατωνομάσθαι δὲ οὕτως ὑπὸ Ζήνωνος τὸ καθῆκον ἀπὸ τοῦ κατά τινας ἥκειν &c. KUST.

[b] προσονομασίας] προσονομίας B.E.

[c] αὐτὸ] αὐτὸ εἶναι A.B.V.E.

[d] μὲν εἶναι] μὲν οὖν εἶναι A.B.V.E.

[e] λόγῳ πρέπει] λόγος αἱρεῖ Laërt. qui mox παρὰ τὸ καθῆκον δέ.

[f] ἀδελφῶν] συγγενῶν Laërt.

[g] οὔτε] οὔτε δὲ Laërt.

[h] λόγος—ἀπαγορεύει] λόγῳ—ἀπαγορεύειν V.

[i] γραφεῖον] ζήτει γραφεῖ B. γραφεῖ V.E. γραφῇ M.

[k] στλεγγίδα] στελεγγίδα V.

[l] ἁγνείας ἐπιμελ.] Apud Laërtium recte scriptum est ὑγιείας. KUST.

[m] καὶ τὸ] καὶ τῶν A.B.V.E. Laërt.

[n] Πολύβιος. Τολμῶσι πέρα τοῦ δέοντος, καὶ ποιοῦσι παρὰ καθῆκον] Hæc verba uncis inclusi, quoniam alieno loco posita sunt et sensum seriemque orationis interrumpunt. KUST.

[o] Καὶ ἀεὶ μὲν καθήκει τὸ ἐρωτᾶν] Locus hic mutilus est, qui ex Laërtio sic suppleri debet: Καὶ ἀεὶ μὲν καθήκει τὸ κατ' ἀρετὴν ζῆν· οὐκ ἀεὶ δέ, τὸ ἐρωτᾶν &c. KUST.

[p] καὶ περιπατεῖν ex A.B.V.E. addita. ἀποκρίνεσθαι Laërt. pro πυνθάνεσθαι.

ΚΑΘΗΚΟΝΤΑ: Δημοσθένης ἐν ἑνδ.] Ex Harpocratione. KUST.

[q] ἑνδεκάτῳ Φιλ.] P. 141, 11.

[r] τὰ ἥκοντα] τὰ om. A.V.E. sed agnoscit Photius.

[s] Διεκτρεχούσαις] διεκτρεχούσαις B.V.E. Xenophontis locus est Anab. IV. 3, 11. ubi ποταμὸν non τόπον.

ΚΑΘΗΜΑΞΕΥΜΕΝΟΣ] Eunapius de Leg. p. 267. καθημάξευσε ταῖς συμφοραῖς. TOUP.

[t] καθημαξευμένον] καὶ καθ. A.

[x] κατατείνουσα] κατακτείνουσα B.E. κατακινοῦσα conj. Valckenærius.

[y] σπουδὴν] ἰδὼν V.

[z] Οἱ δὲ Ῥωμαῖοι] Ex Theophyl. Simocatt. V. 10. desumptum monuit Abresch. Diluc. Thucyd. Auct. p. 338.

[a] Ὁ δὲ Τραϊανὸς οὔτε ἐφθόνει, οὔτε καθ.] Hæc leguntur apud Xiphilinum in Epit. Dion. p. 340. ut Pearsonius observavit. KUST. Dio Cass. LXVIII. 6.

[b] Οἱ δὲ πλείονες καθῄρηντο τὰς γν.] Fragmentum hoc Polybio assignat Casaubonus. KUST. πλείους A.V.E.

[d] βασιλέας] βασιλέα E. et sic conj. Schweighæuserus ad Polybii fr. gr. 79.

[e] Καθῆστο] Il. α'. 569.

[f] Θέλων] Puto scribendum esse, κατελθών. Hesychius: Καθιγμένον, κατελθόντα, καταντήσαντα, φθάσαντα. KUST. Scribendum, ἐλθών, φθάσας. Quod vel ex Hesychio patet. TOUP. καθελὼν V. Photius. Lex. Seg. ἐλθὼν dederat H. Steph. in ind. Thesauri.

[g] ἐπιβολῆς] Sic habent mss. Paris. In prioribus vero edit. [et B.E.] minus recte excusum est ἐπιβουλῆς. KUST. Polyb. fr. gr. 80.

[h] ἐγένετο] ἐγίνετο A.V.

**Καθιγνίσαι**: Νεκροῖς θῦσαι.

**Κάθιδρως**: Κεκμηκώς.

**Καθίδρυσαν**: Ἀσφαλῶς κατῴκισαν.

Καὶ θύσαντες καθίδρυσαν τὰς πόλεις. Τραϊανοὶ μὲν δὴ [i]ἐπώνυμοι ἑκατέρᾳ ἦν.

**Καθιδρυνθέντες**:

**Καθιδρύσασθαι**: Βεβαιῶσαι.

[k]Ἐκπέμπει γοῦν τοὺς περὶ συμβιβάσεως λόγους δυνατοὺς καθιδρύσασθαι κεχειροτονημένους πρεσβευτάς.

B **Καθιεροῖ**: Θεῷ ἀνατίθησι.

**Καθίεσαν**: Κατῆλθον.

**Καθιζάνει**: Ἐγκάθηται.

**Καθίσσετε**: [l]Καταπήξατε.

**Καθίει**: Ἐνέβαλεν, ἐπεχείρει. λέγειν.

Ὁ δὲ καθίει πεῖραν εἰς τὸν ἄνδρα, οἰόμενος αὐτὸν ἔξω κέντρου ὢν ὥρμηται.

C **Καθίει**: [m]Ἀντὶ τοῦ κατάφερε, [n]ἢ ἐπίθες τῷ τρυβλίῳ. Ἀντὶ τοῦ, χάλα αὐτά.

**Καθιείς**: Ἀντὶ τοῦ καταβαλὼν, ἐναρξάμενος.

[o]Ὁ δὲ πεῖραν καθιεὶς, καὶ ἐπιβουλεύων ἐλέγξαι πανταχόθεν, τὰ τοῦ λέβητος καὶ τῆς χελώνης καὶ τοῦ ἀρνοῦ [p]ἐν Λυδοῖς ἐπαλαμᾶτο.

**Καθιείς**: [q]Ἐπιπέμπων.

D [r]Ὁ δὲ ψευδεῖς ἀγγελίας διὰ τῶν προσκόπων ἀεὶ καθιεὶς, [s]εἴθιζεν αὐτοὺς ἐν κόσμῳ πορεύεσθαι.

**Καθίζω**: [t]Αἰτιατικῇ.

**Καθίκετο**: Καθήψατο.

**Καθικνεῖται**: Γενικῇ. [v]Ἅπτεται.

Ὁ δὲ μίαν τῶν σχιζῶν ἀνελόμενος, [tt]καθικνεῖται τἀδελφοῦ· καὶ ὁ μὲν νεκρὸς ἔκειτο.

**Καθικόμενοι**: [u]Καθαψάμενοι. [x]Πολύβιος·

E Πάντες μὲν γὰρ οἱ βασιλεῖς καὶ φίλους προσαγορεύουσι καὶ συμμάχους κοινωνήσαντας τῶν αὐτῶν ἐλπίδων· καθικόμενοι δὲ τῶν πράξεων παραπόδας οὐ συμμαχικῶς ἀλλὰ δεσποτικῶς χρῶνται τοῖς πιστεύσασι.

**Καθικῶμαι**: Αὐθυπότακτον.

**Καθιλαρύνω**: Δοτικῇ.

**Καθιλατρεύομαι**: Γενικῇ.

**Καθίμησε**: Κατήντλησε.

**Καθιμῶσι**: Χαλῶσι. Καὶ **Καθιμῆσαι**, χαλάσαι σχοινίον, ἢ τι τοιοῦτον.

**Καθιππάζεσθαι**: Συνελαύνειν, ἐρίζειν, συντρέχειν.

[z]Ὁ δὲ Βίων ὁ σοφιστὴς ποικίλος ἦν, πλείστας ἀφορμὰς δεδωκὼς τοῖς βουλομένοις καθιππάζεσθαι [a]φιλοσοφίας.

**Καθίστα**: Ἑτοίμαζε.

**Καθιστάμενος**: [b]Πρὸς τὸ βέλτιον μετάγων.

Ὁ δὲ Καῖσαρ [c]εἰς τὴν Ἀσίαν ἦλθε, τὰ τῶν ὑπηκόων καὶ τῶν Πάρθων ἅμα καθιστάμενος.

Καὶ αὖθις·

Πολεμοῦντί τε αὐτῷ, καὶ περὶ τὴν ἀρχὴν καθισταμένῳ συγγενόμενος.

Φησὶ Κρίτων ἐν Γετικοῖς.

**Καθίστατο**: Ἐπεμελεῖτο, ἐφρόντιζεν.

Ὁ δὲ βασιλεὺς ἀκούσας τὰ ξυνενεχθέντα, εὐθὺς καθίστατο ἐς τὸν πόλεμον.

**Καθόδοις**: Ἀγωγαῖς, περιόδοις.

**Καθολικῶς**: Καθόλου.

**Καθόρμια**: Περιθέματα.

**Καθοσιούμενος**: Ἀντὶ τοῦ, πληροφορῶν.

[d]Ὁ δὲ ἀγανακτήσας ἐπὶ [e]τῇ τῆς ἀρχῆς παραλύσει, τῷ τε Μαξιμίνῳ καθοσιούμενος, ἀθροίσας στρατὸν ἧκεν ἐπὶ τὴν Καρχηδόνα.

**Καθυσιωθεῖσαι**: Ἀνατεθεῖσαι.

[f]Ὑπὲρ δὲ τοῦ μηδὲν παθεῖν ἂν αὐτὰς κακὸν τοὺς θεοὺς ἐγγυητὰς

ΚΑΘΙΓΝΙΣΑΙ] Pessime. Scribe καθαγίσαι, idque suo loco redde. KUST. Leg. καθαγνίσαι. Vide nos ad v. Ἀφαγνίσαι. TOUP. καθαγνίσαι item Hemsterhusius. Sic V. in marg. καθιγνῖσαι Photius.

ΚΑΘΙΔΡΩΣ] Hesychius, itemque Photius in Lex. inedito habent κάθιδρος, per ο. KUST. Recte Hesych. et Phot. κάθιδρος. Jeremias VIII. 6. ὡς ἵππος κάθιδρος ἐν χρεμετισμῷ αὐτοῦ. TOUP. κάθιδρος Lex. Seg.

F [i] ἐπώνυμοι] ἐπώνυμος B.V.E.

[k] Ἐκπέμπει γοῦν τοὺς περὶ συμβ.] Fragmentum hoc ἀνερμήνευτον reliqui, quoniam sensus ejus prorsus est obscurus. KUST. Verba si redigas in hunc ordinem, sensus erit intellectu minime difficilis: Ἐκπέμπει γοῦν κεχειροτονημένους πρεσβευτὰς δυνατοὺς καθιδρύσασθαι τοὺς περὶ συμβιβάσεως λόγους. HEMST. Hæc sunt verba Theophylacti Simocattæ Histor. III. 15. ubi legitur, τοὺς περὶ συμβάσεως λόγους. TOUP. συμβάσεως V. ἐμπέμπει B.E. δυνάτους V.

ΚΑΘΙΖΑΝΕΙ] Καθιζάνη V.

G [l] καταπήξατε] καταπήξαντες V.E.

ΚΑΘΙΕΙ] Vid. Kuhn. ad Ælian. V. H. II. 13. et in ind. v. Καθίημι. HEMST.

[m] Ἀντὶ τοῦ om. V.

[n] ἢ ἐπίθες τῷ τρυβλίῳ] Hæc nihil ad rem faciunt, et incaute ex aliquo Scholiasta, ut multa alia apud Suidam, descripta videntur. KUST. Vid. Aristoph. Av. 387. e cujus Schol. nunc mutilo hæc videntur desumpta.

[o] Ὁ δὲ πεῖραν καθιεὶς, καὶ ἐπιβ.] Fragmentum hoc referendum est ad historiam illam, quam de Crœso narrat

H Herodotus lib. I. p. 11. KUST. Phrasi hac utitur Appian. p. 809. πεῖρας καθιέντα. TOUP.

[p] ἐν μυχοῖς] Hoc nemini esset suspectum nisi ms. Lugd. daret ἐν Λυδοῖς. Suspicor id petitum ex epitome Herodoti. Vid. I. 48. VALCK. ἐνδίδως A. ἐνδιδοὺς B. V.E.

[q] πέμπων] ἐπιπέμπων A.V.

[r] Ὁ δὲ ψευδεῖς] Vid. infra v. Προσκόπων. Locus expressus ex Dion. Cass. LXVIII. 23.

[s] εἴθιζεν] ἤθιζεν ἀεὶ E.

[t] Αἰτιατικῇ] καθίζει δικαστήριον addit E.

ΚΑΘΙΚΕΤΟ] Soph. Œd. Tyr. 809. Schol. Platon. p. 253. Καθίκεσθαι: καθάψασθαι.

[tt] καθικνεῖτο] καθικνεῖται A.

[u] Καθιστάμενοι] Scribe, καθαψάμενοι, quomodo recte exhibet editio Mediolanensis. Noster supra: Καθίκετο, καθήψατο. Deinde scribendum, τοὺς κοινωνήσαντας τῶν αὐτῶν ἐλπίδων. Denique recte, καθικόμενοι δὲ τῶν πράξεων. Quemadmodum legitur apud Polyb. lib. V. p. 623. Ἦν Φίλιππος εἰ μὴ πτοηθεὶς ἀλόγως ἔφυγε, τῶν περὶ τὴν Ἰλλυρίδα ΠΡΑΞΕΩΝ μάλιστ' ἂν τότε ΚΑΘΙΚΕΤΟ. TOUP. Καθαψάμενοι A.B.V. Καθικόμενος: καθαψάμενος E.

[x] Πολύβιος] Fr. gr. 81. ubi Schweighæuser. dedit πάντας.

[y] παραπόδας οὐ συμμαχικῶς] Hæc leguntur etiam infra v. Καθικόμενοι. KUST.

[z] Ὁ δὲ Βίων ὁ σοφιστὴς] Hæc sunt verba Laërtii lib. IV. 47. KUST.

[a] τῆς φιλοσοφίας] τῆς om. A.B.E. Laërt.

[b] ἐπὶ] πρὸς A.B.E.

[c] εἰς τὴν] εἰς om. B.E.M.

ΚΑΘΟΛΙΚΩΣ] Καθολικὸς V. τελείως addit E.

ΚΑΘΟΡΜΙΑ] Hos. II. 13. Vid. not. ad Hesych.

[d] Ὁ δὲ ἀγανακτήσας] Hæc sunt verba Herodiani lib. VII. [c. 9.] p. 602. ut Pearsonius observavit. KUST. Herodiani verba sunt, ὁ δὲ πρός τε ταῦτα ἀγανακτήσας, τῷ τε Μαξιμίνῳ καθωσιωμένος,—πάντα τὸν στρατὸν συναθροίσας—κατῆλθεν ἐπὶ Καρχηδόνα.

[e] τῇ τῆς] τῇ om. V.

[f] Ὑπὲρ δὲ τοῦ μηδὲν] Locus hic apud Dionysium Halicarnassæum, lib. VIII. p. 515. (unde eum Suidas de-

[e]Πλυνεῖτε κακὰ τῶν κακῶν ὑμᾶς.

Κακανδρία: [f]Δειλία. [g]Σοφοκλῆς·

Τὸν δειλίᾳ προδόντα καὶ κακανδρίᾳ
σὲ, φίλτατ' Αἶαν.

Τεῦκρός φησι [h]περὶ τῆς τοῦ Αἴαντος τελευτῆς.

Κακεντρέχεια: Ἡ πονηρία.

Κακεργέτῃσι: Κακοεργοῖς.

Κακκείοντες: Κατακοιμηθησόμενοι.

Κἀκεροττίας: [i]Ἀριστοφάνης·

Ἀνεπτάλαξας κἀκερουτίας.

Ἀντὶ τοῦ [k]ἐμετεωρίζου, μέγα ἐφρόνεις. Ἀπὸ δὲ τῶν [l]κερατοφορούντων ἡ λέξις.

Κάκη: Κακία. Οὕτως [m]Πλάτων. Αἰλιανός·

Ὅστις τάξιν [mm]ἔλειπε, θανατοῖ ἄρα ὁ νομοθέτης αὐτὸν, κάκῃ τὴν στάσιν, ἣν ἐτάχθη, [n]προδόντα.

Αἰλιανὸς Ποικίλῃ Ἱστορίᾳ·

Οὐδεὶς οἰκέτης μνημονεύεται κάκῃ εἴξας προδοῦναι τὸν δεσπότην. C

Καὶ αὖθις·

[o]Ἀνάγκης καλούσης μὴ εἴκειν κάκῃ.

Κάκκη: Ἔχει δὲ καὶ τὸ κακέμφατον. Ἡ [p]ἀκαθαρσία, καὶ μάλιστα τὸ δύσοσμον [q]ἀποπάτημα. Ἀριστοφάνης·

Ἀπὸ μὲν κάκκης ἦν ἀπέχων.

Κακηγορῶ: Αἰτιατικῇ. Καὶ κακημορῶ αἰτιατικῇ. D

Κακὴ μὲν ὄψις: [r]Κόμμα παροιμίας.

[s]Κακὴ μὲν ὄψις, ἐν δὲ δειλαίαι [t]φρένες.

Μένανδρος Σικυωνίῳ.

Κακία: Ἀνάλογον ταῖς ἀρεταῖς αἱ κακίαι. Αἱ μὲν [u]γάρ εἰσι πρῶται· αἱ δὲ ὑπὸ ταύτας. [x]Οἷον ἀφροσύνη, δειλία, ἀδικία, ἀκολασία, ἀκρασία, βραδύνοια, κακοβουλία. Εἰσὶ δὲ ἀγνοίας αἱ κακίαι. Τὰ δὲ μετέχοντα τῶν κακιῶν, αἵτε πράξεις αἱ κατὰ κακίαν, καὶ οἱ φαῦλοι. Ἐπιγεννήματα δὲ, δυσθυμία, δυσφροσύνη, καὶ τὰ ὅμοια.

Κακία δέ ἐστιν ἡ τοῦ κακῶσαι τὸν πέλας σπουδὴ, παρὰ τῷ [y]Ἀποστόλῳ.

Κακία: Διώνυμός ἐστιν ἡ λέξις. Ἡ ὄντως κακία, οἷον πορνεία, μοιχεία, πλεονεξία, [z]ἐπιορκία, καταλαλιά. Λιμὸς δὲ, καὶ λοιμὸς, θάνατοι, καὶ νόσοι, καὶ τἆλλα, οὐκ ἔστι κακὰ, διότι πολλάκις ἡμῖν ἀγαθῶν αἴτια γίνεται. Καὶ περὶ ταύτης φησὶν [a]ὁ Προφήτης·

Οὐκ ἔστι κακία ἐν πόλει, ἣν Κύριος οὐκ ἐποίησε.

Κακιζόμενοι: Ταπεινούμενοι.

Κακίζω: Αἰτιατικῇ.

Κάκιθος: Ὁ [b]κακιζόμενος.

Κακίονος: Τοῦ χείρονος.

Κακοδαίμων: Ὁ θεῷ ἐπαχθὴς, καὶ ὁ τὴν ψυχὴν ἔχων ἐμπαθῆ. Αἰλιανός·

Ἀνὴρ Εὐφρόνιος, κακοδαίμων ἀνὴρ, καὶ [c]ἔχαιρεν ἐπὶ ταῖς Ἐπικούρου φλυαρίαις, καὶ ἐξ ἐκείνου κακὰ εἰρύσατο δύο, ἄθεός τε καὶ ἀκόλαστος εἶναι.

Κακοέπεια: Βλασφημία.

Κακοζηλία:

Καλλίνικος ἔγραψεν ὁ Σύρος περὶ [d]κακοζηλίας ῥητορικῆς.

Κακοηθέστατα: Ἐπὶ [e]κλειδίων λέγεται. [f]Ἀριστοφάνης Θεσμοφοριαζούσαις·

Οἱ γὰρ ἄνδρες ἤδη κλειδία
[[g]αὐτοὶ] φοροῦσι κρυπτὰ, κακοηθέστατα,

---

[e] Πλυνεῖτε κακὰ τῶν κακῶν ὑμᾶς] Fragmentum hoc propter brevitatem obscurum est, cujus sensum absque integro loco poetæ frustra quis investigare conetur. KUST. Πλύνει τε τὰ κακὰ Photius, quomodo Suidæ restituendum monet Porsonus.

[f] Δειλία] δηλ̃ E.

[g] Σοφοκλῆς] In Aj. 1014.

[h] ἐπὶ τῇ τοῦ] περὶ A. παρὰ V. περὶ τῆς—τελευτῆς B.E. τελευτ̃ V. τελευ̃ A.

ΚΑΚΕΝΤΡΕΧΕΙΑ] Polyb. IV. 87, 4.

ΚΑΚΕΡΓΕΤΗΙΣΙ] Κακεργετίσι E. Addit idem ms. Κακεργάτιδος ψυχῆς. Τὰ κακὰ ἐργαζομένης.

ΚΑΚΚΕΙΟΝΤΕΣ] Il. α'. 606.

ΚΑΚΕΡΟΤΤΙΑΣ] Vide supra v. Ἐκερουτίας. KUST.

[i] Ἀριστοφάνης] Equit. 1341.

[k] ἐμετεωρίζου] μετεωρίζου B.V.E.

[l] κερατοφορούντων ζώων] ζώων om. A.B.V.E.

[m] Πλάτων] Locos vide apud Ruhnken. Tim. p. 152.

[mm] ἔλειπε] ἔλιπε E.

[n] λιπόντα] προδόντα A.B.V.E. Vid. de h. l. Wesseling. ad Petit. Legg. Att. p. 666. G

[o] Ἀνάγκης] Vid. Εἱρμμία. TOUP.

ΚΑΚΚΗ:——Ἡ ἀκαθαρσία] Ex Schol. Aristoph. Pac. 161.

[p] ἀκαθαρσία] ἡ κάθαρσις B.E.

[q] ἀποπάτημα] ἀπὸ τοῦ πάτημα V.

[r] κόμμα παροιμίας] κόμμα: παροιμία Photius.

[s] Κακὴ μὲν ὄψις, ἐν δὲ δειλ.] Senarius hic proverbialis Philemoni tribuitur apud Stobæum Tit. VI. περὶ δειλίας. Idem etiam legitur apud Diogenianum, sed corrupte. H Apud eum enim pro ἐν δὲ δειλίᾳ ex Suida et Stobæo rescribendum est ἐν δὲ δειλαίαι. Grotius in Excerptis proverbium hoc sic exhibet: Καλὴ μὲν ὄψις, ἐν δὲ δειλαίαι φρένες. Sed altera lectio, κακὴ, quæ Suidæ Stobæi et Diogeniani consensu firmatur, temere rejicienda non est: præsertim cum et ea sensum commodum et minime ineptum pariat. Vide omnino Gatakerum in Adversar. Miscell. Posthumis c. 12. ubi de sensu proverbii hujus prolixe disputat. KUST. Omnino placet Grotii lectio. De homine enim delicato dici videtur, et qui formæ studebat; quales erant Sicyonii. Quod non animadvertit Kusterus. Accedit quodammodo Homerus Il. γ'. 45. Φάντες ἀριστῆα πρόμον ἔμμεναι, οὕνεκα ΚΑΛΟΝ ΕΙΔΟΣ ἔπ'. Ἀλλ' οὐκ ἔστι ΒΙΗ ΦΡΕΣΙΝ, οὐδέ τις ἀλκή. Quo respexisse videtur Comicus. TOUP.

[t] φρένες] φθι̃ E.

ΚΑΚΙΑ: Ἀνάλογον] Hæc, et quæ sequuntur, sunt verba Laërtii lib. VII. 93 et 95. KUST. A. in marg. ζήτει ἐν τῷ Ἀρετή.

[u] γὰρ om. B.E.

[x] Οἷον ἀφροσ. δειλ. ἀδ. ἀκολ. ἀκρασ.] Locus hic est mutilus, qui apud Laërtium recte sic legitur: Οἷον ἀφροσύνην μὲν, καὶ δειλίαν, καὶ ἀδικίαν, καὶ ἀκολασίαν ἐν ταῖς πρώταις· ἀκρασίαν δὲ, καὶ βραδύνοιαν, καὶ κακοβουλίαν, ἐν ταῖς ὑπὸ ταύτας. Hunc lectionem in versione secutus sum. KUST.

[y] Ἀποστόλῳ] Locos collegit Schleusnerus in Lex. N. T.

ΚΑΚΙΑ: Διώνυμος] Videntur hæc, ut proxime præcedentia, in compendium redacta ex Chrys. Serm. Deum. non gubern. Mundum T. V. p. 708 B. ABRESCH.

[z] ἐπιορκία] καὶ ἐπιορκία A.V. Mox καὶ τἆλλα om. E.

[a] ὁ Προφήτης] Amosus III. 6. KUST.

ΚΑΚΙΘΟΣ] Vocem hanc agnoscit etiam Etymologus. Sed in ms. Paris. B. exaratum est κάκιστος. KUST.

[b] κακιζόμενος] παθιζόμενος A.

ΚΑΚΙΩΝ, κακίονος] ΚΑΚΙΟΝΟΣ τοῦ A.V. et sine τοῦ B.E.

[c] ἔχαιρεν ἐπὶ ταῖς Ἐπικ. φλ. καὶ ἐξ ἐκ.] Hæc, et quæ sequuntur, leguntur etiam supra v. Εἰρύσατο. KUST.

ΚΑΚΟΖΗΛΙΑ] Infra v. Καλλίνικος.

[d] κακοζηλίας] καλοζηλίας V.

[e] κλειδίων] κλειδῶν E.

[f] Ἀριστοφάνης Θεσμοφοριαζούσαις] Ver. 428.

[g] αὐτοὶ om. A.B.V.E.M.

Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους.
Πρὸ τοῦ [h]μὲν οὖν ἦν ἀλλ' ὑποῖξαι τὴν θύραν
πεπρισαμέναισι δακτύλιον τριωβόλου.
[i]Νῦν δ' οὗτος [k]αὐτοὺς ἐδίδαξε [l]θριπηδέστατα.

**Κακοήθεια**: [m]Ἡ κακοτροπία παρὰ τῷ Ἀποστόλῳ.

**Κακοήθης**: Κακότροπος.

[n]Ἡ καὶ ἄλλας κακοήθας αὐτὸς διακληθείη.

**Κακόθρους**: Διάβολος·

[o]Ἡ ζαμενὴς
λόγος [p]κακόθρους ἐκ Δαναῶν ἐπιβῇ.

**Κακόνοι**: Ἐχθροὶ, καὶ κακὸν νοῦν ἔχοντες πρὸς τὸ πρᾶγμα. [q]Ἀριστοφάνης·

Ὡς κακόνοι τινές εἰσιν ἐν ἡμῖν.

Καὶ αὖθις·

Κακόνουν φωραθέντα σὺν γυναικὶ καὶ τέκνοις [r]τοῦτον ἐλαθῆναι.

**Κακοπάθεια**: Ἡ ταλαιπωρία.

**Κακοπινέστατον**: Τὸ πίνος ποτὲ μὲν ἐπὶ τῆς C ἰδέας, ποτὲ δὲ ἐπὶ τοῦ ἤθους λαμβάνεται. [s]Ἐνταῦθα οὖν [t]τὸν κακοήθη σημαίνει. Ἀντὶ τοῦ, κολάκευμα, τρίμμα, [u]κακοπινέστατον, ῥυπαρόν. Πινῶδες γὰρ, ἀδόκιμον τῇ γνώμῃ, καὶ οὐ καθαρὸν, ἄλλοτε ἄλλα νοοῦν.

[x]Ὡς ἄνδρ' ἑλὼν [y]ἰσχυρὸν, ἐκ βίας μ' ἄγει·
οὐκ οἶδεν αἱρῶν νεκρὸν, ἢ καπνοῦ σκιὰν,
εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν μ'· ἐπεὶ οὐδ' ἂν [z]ὧδ' ἔχοντ', εἰ μὴ δόλῳ.
Νῦν δ' ἠπάτημαι δύσμορος· τί χρὴ ποιεῖν;

**Κακορρήμων**: Καὶ οὐδετέρως, τὸ κακορρῆμον.

A **Κακορραφίαι**: Κακοσυνθέσεις.

**Κακορροθεῖ**: Κακῶς ἀγορεύει. [zz]Ἀριστοφάνης·

Ἅπασαν ἡμῶν τὴν πόλιν κακορροθεῖ.

**Κακὸς κακῶς** ἀπόλοιτο οὗτος, εἰ μὴ καὶ προαπόλωλε τῆς ἀρᾶς, ὡς ἄξιός γε ἦν ἔργον γεγονέναι τοῦ πρώην χειμῶνος.

[a]Ἐνετολμήσατο γὰρ ὁ παλαμναῖος κακὸν κακῷ μείζονι σβέσαι.

**Κακοτεχνιῶν**: Δίκης ὄνομα, [b]ἣν οἱ ἑλόντες τινὰ B ψευδομαρτυριῶν κατὰ τοῦ παρασχομένου ἐδίδοσαν.

**Κακοῦ κόρακος κακὸν ᾠόν**: Ταύτην τὴν παροιμίαν οἱ μὲν ἀπὸ τοῦ πτηνοῦ ζώου φασὶν εἰρῆσθαι, ὅτι οὔτε αὐτὸ βρωτόν ἐστιν, οὔτε τὸ ᾠὸν, ὃ [c]ἔχει. Οἱ δὲ, ἀπὸ τοῦ Κόρακος τοῦ Συρακουσίου ῥήτορος, [d]πρώτου διδάξαντος τέχνην ῥητορικήν. Ὑπὸ γὰρ τούτου, ὥς φασιν, [e]ὁ μαθητὴς αὐτοῦ, Τισίας ὄνομα, μισθὸν ἀπαιτούμενος, εἰς τὸ δικαστήριον εἶπεν· Εἰ μέν με C νικήσειας, οὐδὲν μεμάθηκα· εἰ δὲ ἡττηθήσῃ, οὐ κομίσῃ τοὺς μισθούς. Θαυμάσαντες [f]οὖν οἱ δικασταὶ τὸ σόφισμα τοῦ νεανίου, ἐπεφώνουν, Κακοῦ κόρακος κακὸν ᾠόν.

**Κακοῦργοι**: οἱ λῃσταὶ, οἱ ἐνεδρευταί.

Ὁ δὲ [g]λαθὼν ἑαυτὸν παρῆλθε σὺν τῷ ξίφει, ὅπερ ἐπήγετο διὰ τοὺς κακούργους τοὺς κατὰ τὴν ὁδόν.

D **Κακουργῶ**: Αἰτιατικῇ.

**Κακόχαρτον**: Κακοῖς χαίροντα.

**Κακόσχολος**: Ὁ πονηρός.

**Κακῶν**: Ὅτι ἀναίτιος [h]τῶν κακῶν ὁ θεός. [i]Κακὰ δὲ κυρίως ὀνομάζομεν, οὐχ ἃ τῶν πολλῶν ὀνομάζειν

---

[h] μὲν οὖν] οὖν om. V.E. Mox πεπρισαμέναις E.

[i] Νῦν δ' οὗτος αὐτὰς ἐδίδαξε θριπηδέστα] Lege et supple ex Aristophane, Νῦν δ' οὗτος αὐτοὺς φιλότριψ Εὐριπίδης Ἐδίδαξε θριπήδεστ' ἔχειν σφραγίδια. KUST.

[k] αὐτὰς] αὐτοὺς A.V.E.

[l] θριπήδεστα] Vide quæ notavimus supra ad v. Θριπηδέστατα. KUST. θριπηδέστατα A.V.E.M.

[m] Ἡ κακοτροπία] ἡ om. A. Apostoli locus est Rom. I. 29. Tum E. καὶ κακοήθης ὁ κακότροπος.

[n] Ἡ καὶ ἄλλας κακοήθας αὐτὸς διακληθείη] Quis lacerum hoc et corruptum ἀποσπασμάτιον interpretari queat? KUST. Κακοήθης Procop. p. 103 F. εἴ τις ἄλλας κ. δ. TOUP.

[o] Ἡ ζαμενὴς] Sophocl. Aj. 137.

[p] κακόθρους ἐκ Δαναῶν] ἐκ Δαναῶν κακόθρους E. qui addit Σοφοκλῆς in fine.

[q] Ἀριστοφάνης] Pac. 495.

[r] τοῦτον] τοῦτον A.

ΚΑΚΟΠΙΝΕΣΤΑΤΟΝ: Τὸ πίνος] Ex Schol. Sophocl. ad Aj. 381. πίνω V. τὸ πίνω Schol. ubi infra om. λαμβάνεται et σημαίνει.

[s] Ἐνταῦθα δὲ] ἐνταῦθα οὖν A.B.V.E. Schol.

[t] τὸν κακοήθη σημαίνει] ἐπὶ τοῦ ἤθους λαμβάνεται· σημαίνει γὰρ τὸν κακοήθη E.

[u] Κακοπινέστατον, ῥύπαρον] κακορύπαρον Schol.

[x] Ὡς ἄνδρ' ἑλὼν μ' ἰσχ.] Sophocl. Philoct. 945.

[y] μ' ἰσχυρὸν] μ' om. A.B.V.E.M.

[z] ὧδ' om. A.B.V.E. οὐδ' ἀνέσχοντ' M. Mox ποιεῖν A.V.

ΚΑΚΟΡΡΗΜΩΝ] Vid. Ἀρχίλοχος. HEMST.

ΚΑΚΟΡΡΑΦΙΑΙ: Κακοσυνθέσεις] Ex Scholiasta Homeri ad Il. ό. 16. sed ubi pro κακοσυνθέσεις legitur κακοσυνθεσίαι. KUST.

[zz] Ἀριστοφάνης] Acharn. 576.

ΚΑΚΟΣ ΚΑΚΩΣ] Procop. p. 232. TOUP. Usque ad χειμῶνος Synesii est Ep. 129. p. 165 C. HEMST.

[a] Ἐνετολμήσατο] Seqq. Æliani sunt. Vid. v. Παλαμναῖος.

ΚΑΚΟΤΕΧΝΙΩΝ: Δίκης ὄνομα, ἣν οἱ ἑλ.] Ex Harpocratione. KUST.

B [b] ἣν οἱ ἑλόντες τινὰ ψευδομαρτ. κατὰ τοῦ παρασχομένου ἐδίδοσαν] Insignis est hanc in rem locus apud Demosthenem in Oratione contra Euergum et Mnesibulum p. 679. quem hic describam. Καλῶς μοι δοκοῦσιν οἱ νόμοι ἔχειν, ὦ ἄνδρες δικασταὶ, ὑπόλοιπον ἀγῶνα ἀποδιδόντες ταῖς δίκαις τῶν ψευδομαρτυριῶν· ἵνα εἴ τις μάρτυρας τὰ ψευδῆ μαρτυρήσαντας παρασχόμενος, ἢ προκλήσεις μὴ γενομένας, ἢ μαρτυρίας παρὰ τὸν νόμον μαρτυρηθείσας, ἐξηπάτησε τοὺς δικαστὰς, μηδὲν αὐτῷ πλέον γένηται· ἀλλ' ἐπισκηψάμενος ταῖς μαρτυρίαις ὁ ἀδικηθεὶς, καὶ εἰσελ- F θὼν ὡς ὑμᾶς, καὶ ἐπιδείξας περὶ τοῦ πράγματος τοὺς μάρτυρας τὰ ψευδῆ μεμαρτυρηκότας, παρά τε τούτων δίκην λάβῃ, καὶ τὸν προβαλόμενον ὑπόδικον ἔχῃ τῶν ΚΑΚΟΤΕΧΝΙΩΝ. Καὶ διὰ τοῦτο τῷ μὲν διώκοντι ἐλάττω ἐποίησαν τὰ ἐπιτίμια, ἐὰν ἡττηθῇ, ἵνα μὴ διὰ τὸ πλῆθος ἀποτρέποιτο διώκειν τοὺς μάρτυρας τῶν ψευδομαρτυριῶν ὁ ἀδικηθείς· τῷ δὲ φεύγοντι μεγάλας ἐπέθηκαν τιμωρίας, ἐὰν ἁλῷ, καὶ δοκῇ ὑμῖν τὰ ψευδῆ μεμαρτυρηκέναι. Ex hoc loco Demosthenis discimus, actionem τῶν ψευδομαρτυριῶν diversam fuisse ab actione τῶν κακοτεχνιῶν. Illa enim dabatur adversus ipsos falsos testes: hæc vero adversus G eos, qui falsos testes produxerant. Vide etiam eundem oratorem ἐν τῷ πρὸς Τιμόθεον, p. 704. ubi actionis τῶν κακοτεχνιῶν mentionem facit. KUST. Schol. Platon. p. 241. Κακοτεχνιῶν, δίκης ὄνομά ἐστιν, ἣν εἰσῄεσαν οἱ λέγοντες μάρτυρας ψευδομαρτυρεῖν, κατὰ τῶν παρασχομένων τοὺς ψευδομάρτυρας.

ΚΑΚΟΥ ΚΟΡΑΚΟΣ] Vid. Zenob. IV. 82. ibique Schott.

[c] τίκτει] ἔχει A.B.E.

[d] πρώτου] πρῶτον A.B.V.E.

[e] ὁ μαθητὴς] ὁ om. A.B.V.E. Mox αὐτοῦ om. B.V.E. H Tum Τισίας ὄνομα om. V.

[f] οὖν] δὲ E. om. V.A.

[g] λαθὼν] Hanc lectionem ex mss. Paris. revocavi. In prioribus enim editt. minus recte excusum est λαβών. KUST.

[h] ὁ θεὸς τῶν κακῶν] τῶν κακῶν ὁ θεὸς A.E.

[i] Κακὰ δὲ κυρίως ὀνομ.] Vide paulo ante v. Κακία. KUST.

Ἀλλὰ καὶ αὖθις
ἐκ καλαμητομίης ἀμβλὺ [b]φέρει δρέπανον.

Καλάμη: Ὁ [c]στάχυς τοῦ σίτου.

Καλάμη: Ἀπὸ [d]κάλου, τοῦ ξύλου· αὐτὸ δὲ ἀπὸ τῆς καύσεως.

Καλαμίνθη: Εἶδος βοτάνης, ἥτις καὶ [e]ὄφεις ἐλαύνει καιομένη. [f]Ἀριστοφάνης·

Σὺ δέ τ' [g]ὄζεις καλαμίνθης·

ὄφεως [h]ἐλατική.

Καλαμίτης: Ἡ ἐπὶ τῆς καλάμης τοῦ σίτου· ἢ κύριον ὄνομα. Καὶ [i]Δημοσθένης ἐν τῷ ὑπὲρ τοῦ Στεφάνου·

[k]Ἐν τῷ [l]κλισίῳ τῷ πρὸς τῷ [m]Καλαμίτῃ ἥρωϊ.

Καὶ θηλυκὸν, ἡ [n]καλαμῖτις·

[o]Δισσοὺς ἐς λυκάβαντας ἐφίλατο τὴν καλαμῖτιν.

Ἀντὶ τοῦ ἐφίλησεν.

Καλαμώμενος: Σταχυολογῶν. Καλάμη γὰρ ὁ στάχυς τοῦ σίτου. Καὶ Καλαμῶνται: Πλεονεκτοῦσι.

Καλαμῶνος:

Καλαμῶνται: Αἰτιατική.

Κάλανος, Ἰνδὸς, ἐκ τῶν Βραχμάνων. Οὕτω δὲ πάντα σοφὸν οἱ Ἰνδοὶ προσαγορεύουσιν. Ἐπὶ τούτῳ δὲ Ἀλέξανδρος ὁ Μακεδὼν, ἐπειδὴ ἐτελεύτησε παρόντος [p]αὐτοῦ ἐν Ἰνδίᾳ, ἐπιτάφιον ἀγῶνα συντελέσας,



A καὶ [q]ἀκρατοπότας ἁμιλληθῆναι παρεσκεύασε, διὰ τὴν παρ' Ἰνδοῖς φιλοινίαν. [r]Οὗτος ἀπόκρισιν ἔδωκεν Ἀλεξάνδρῳ πρὸς πᾶσαν ἐρώτησιν εὔστοχον.

Κᾶλα παλαίθετα: Ξηρὰ ξύλα, ἐκ πολλοῦ ἀποτεθέντα χρόνου. Κᾶλον γὰρ τὸ ξύλον. Ἐξ οὗ καὶ καλόπους, ὁ ξύλινος πούς.

Καλάσιρις: Χιτὼν [s]πλατύς. Οὕτως Αἰγύπτιοι. Καὶ [t]ὄνομα κύριον.

B Καλλάτις: Πόλις.

Κάλλαια: Οἱ πώγωνες τῶν ἀλεκτρυόνων.

[u]Χὥσπερ τὰ κάλλαι' ἀποφαγὼν, ἥξεις πάλιν.

Κάλλαισχρος: Ὄνομα κύριον.

Κάλλη: Τὰ πορφυρᾶ ἱμάτια. Καὶ κέραμος [x]καλάϊνος. [y]Αἰσχύλος·

Ἐν ποικίλοις κάλλεσι.

Καλήμεναι: Καλεῖν.

C Καλήσιος: Ὄνομα κύριον.

Καλητορίδης:

Καλιά: Νοσσιά· ἢ οἶκος [z]ξύλινος. Κᾶλα γὰρ, τὰ ξύλα, ἐξ ὧν σύγκειται. Ἐν [a]Ἐπιγράμμασι·

Πανός τ' ἠχήεσσα πιτυστέπτοιο καλιή.

Μακρὸν τὸ ι.

Καλλιάνειρα:

D Καλλίας, Ἀθηναῖος, κωμικὸς, υἱὸς Λυσιμάχου· ὃς

[b] φέρει] φέρει A.B.V.E. Anthol. ms.

[c] ὁ στάχυς] Schol. Gregor. Naz. ms. apud Bastium: Καλάμη ἐστὶν ὁ ἀπὸ τῆς ῥίζης μέχρι τοῦ στάχυος αὐλὸς, γόνασι συνεχέσιν ἐζωσμένος, οὗ τὸ καταλειπόμενον ὑπὸ τῶν θεριζόντων, ἡ παρ' ἡμῖν καλαμήστρα, καλάμη νῦν εἴρηται, βαρυτόνως ἀναγνωστέον.

[d] κάλου] τοῦ κάλου B.V.E. ἀπὸ καλάμου αὐτοῦ τοῦ ξύλου Etymol. Gud. p. 294, 30.

[e] ὄφις] ὄφεις A.V.E.

[f] Ἀριστοφάνης] Eccles. 644.

[g] ὄζεις] ὄζεις V. ἔξεις E.

[h] ἐλαστικὸν] ἐλατικὴ A.

[i] Δημοσθένης] P. 270, 10.

[k] καὶ τῷ] ἐν τῷ A. cum Demosthene. Mox τῷ ante Καλαμίτῃ A.B.V.E. Ceterum hunc Calamitam ex heroum catalogo eximit Schæferus, quem vide ad Demosth. Appar. Crit. T. V. p. 192.

[l] κλισίῳ] Priores edit. [et B.V.E.] pessime habent ὑλισίῳ, cujus loco κλισίῳ ex ms. Paris. A. et Demosthene reposui. Notandum autem est, κλίσιον hic significare cellam meretriciam, quoniam Demosthenes ibi loquitur de matre Æschinis, quæ prima ætate corpore quæstum fecisse, et in taberna prope sacellum Calamitæ herois pudicitiam prostituisse dicebatur. Apollonius ἐν τῇ εἰς Αἰσχίνην ἐξηγήσει: Μητρὸς δὲ ἦν ὁ Αἰσχίνης Γλαυκοθέας, ἢ, ὥς ἔνιοι, Γλαυκίδος, ἥν φασι τὴν πρώτην ἡλικίαν ἡταιρηκέναι, καθεζομένην ἐν οἰκήματι πρὸς τῷ τοῦ Καλαμίτου Ἥρῳ. En, quod Demosthenes κλίσιον, Apollonius appellat οἴκημα, quo nomine lupanar apud Græcos significari notissimum est. KUST.

[m] Καλαμίτῃ Ἥρωϊ] Petitus de Leg. Attic. p. 475. pro Καλαμίτῃ reponendum putat Κυαμίτῃ; sed minus recte, si quid judico. Quis enim lectionem, quam constanti consensu non solum libri Demosthenis, sed etiam Hesychii et Suidæ retinent, temere damnet, eique emendationem, quæ sola tantum conjectura nititur, præferat? KUST.

[n] ΚΑΛΑΜΙΤΙΣ] καμῆτις V. et in exempl. καλαμῆτιν.

[o] Δισσοὺς ἐς λυκάβαντας ἐφ.] Anthol. Pal. VII. 198. ubi διπλοῦς.

[p] αὐτοῦ om. E.

[q] ἀκρατοπότας] ἀκρατοπότας V.

[r] Οὗτος] οὗτος δὲ B.E.

ΚΑΛΑ Π.] Est Callimachi. Vid. p. 580. Ernest. TOUP. Fr. 459.

ΚΑΛΑΣΙΡΙΣ: Χιτ.] Herodotus lib. II. 81. Ἐνδεδύκασι δὲ κιθῶνας λινέους, περὶ τὰ σκέλεα θυσανωτοὺς, τοὺς καλέουσι καλασίρις. Loquitur ibi de Ægyptiis. Vide etiam Hesych. h. v. KUST.

[s] πλατύς] Leg. πλατύσημος ex Hesych. et Schol. Aristoph. Av. 1294. i. e. tunica laticlavia. Poll. VII. 71.
E tunica fimbriata. REINES. Eodem modo Suidam emendat Jablonski Opp. T. I. p. 102. Πλατὺς etiam Photius, qui addit ὅμως πολεμικός. Unde Alberti ad Hesych. corrigit, πλατύσημος πολεμικός.

[t] ὄνομα κύριον] In Heliodori Æthiopicis. HEMST.

ΚΑΛΛΑΤΙΣ] Καλλάτις E. Delevi statim ΚΑΛΑΥΡΟΨ: Ἡ ποιμενικὴ ῥάβδος, cum A.B.E.

ΚΑΛΛΑΙΑ] Κάλλη vocat Ælian. N. A. V. 5. TOUP.

[u] Χ' ὥσπερ τὰ κάλλαι'] Aristoph. Equit. 495. χ' ὅπως B.E.
F M. οὐχ ὅπως τὰ κεφάλαι' ἀ. πάλιν ἥ. π. V.

ΚΑΛΛΑΙΣΧΡΟΣ] Est nomen philosophi, cujus meminit Philostr. de Vit. Soph. p. 587. KUST. Imo et unus ex triginta tyrannis. Vid. Dionys. Hal. II. p. 71. TOUP.

[x] καλάϊνος] Gl. Καλλάϊνον, Venetum, vulgo viride marinum, color. Vid. Salmas. ad Plin. f. 236. [p. 167. ed. Traj.] Callaina sc. gemma REINES.

[y] Αἰσχύλος ἐν ποικ. κάλλεσι] Vide quæ notavimus paulo ante v. Κάλαϊς. KUST. Hæc sine dubio pertinent ad
G Æschyli locum in Agam. 932. Quare non videntur inducenda quæ supra leguntur in Κάλαϊς, sed potius utrobique jungenda, hoc pacto: Αἰ. ἐν ποικίλοις κάλλεσι· ἐν ποικίλοις χρώμασι: quod posterius interpretandi causa sit additum. Facile tamen liquet plura deesse, atque ejusmodi fere qualia dedit Etymol. p. 486, 45. HEMST.

ΚΑΛΗΜΕΝΑΙ] Il. κ'. 125.

ΚΑΛΗΣΙΟΣ] Καλήσιον B.E. Vid. Il. ζ'. 18.

ΚΑΛΗΤΟΡΙΔΗΣ] Sic nomen hoc in mss. Paris. scrip-
H tum reperi. Priores vero edit. habent Καλτερίδης. KUST. Vid. Il. ν'. 541.

[z] ξυλινὸς] ἀγρίας addunt B.V.

[a] Ἐπιγράμμασι] Anthol. Pal. VI. 253.

ΚΑΛΛΙΑΝΕΙΡΑ] Il. σ'. 44.

ΚΑΛΛΙΑΣ, Ἀθην.] Al. Callisthenes. Inter imagines veterum marmoreas in Bibl. Fulv. Ursini est etiam una

νοι συντετριμμένον, καὶ καρδία τεταπεινωμένη. Ἕλληνες δὲ τότε καλλιερεῖν νομίζουσιν, ὅταν δαίμονί τινι θύσαντες αἰσίων ἐπιτύχωσι σημείων ἐν τῷ ἥπατι τοῦ ἱερείου. Καὶ τοῦτο καλοῦσι καλλιέρημα, ὅταν τῷ δαίμονι τὸ θῦμα ᾖ φίλον διὰ τῶν ἐπιφαινομένων ἀπατηλῶν σημείων.

Καλλικέλαδος: Εὔφωνος, εὔμιλος.

Καλλικολώνη: Τόπος τῆς [d] Ἴδης.

[e] Θεῶν ἐπὶ Καλλικολώνῃ.

Καλλικόμος: Σοφὸς, ποιητής.

Καλλίκων: Ὄνομα κύριον. [f] Μιλήσιος τὸ γένος· διεβεβόητο δὲ ἐπὶ πονηρίᾳ.

Καλλικρατίδης: Ὄνομα κύριον· ἔσχε [redacted] ἀδελφὸν [g] Ἐμπεδοκλέα.

Καλλικύριοι: Οἱ ἀντὶ τῶν [h] Γεωμόρων ἐν [i] Συρακούσαις γενόμενοι, πολλοί τινες τὸ πλῆθος. Δοῦλοι δ' ἦσαν οὗτοι τῶν φυγάδων, ὡς Τίμαιος ἐν ϛ', ὅθεν τοὺς ὑπερβολῇ πολλοὺς Καλλικυρίους ἔλεγον. Ὠνομάσθησαν δὲ ἀπὸ τοῦ εἰς ταὐτὸ συνελθεῖν παντοδαποὶ ὄντες, ὡς [k] Ἀριστοτέλης ἐν Συρακουσίων πολιτείᾳ, ὅμοιοι τοῖς Λακεδαιμονίων Εἵλωσι, καὶ [l] παρὰ Θεσσαλοῖς Πενέσταις, καὶ παρὰ Κρησὶν [m] Κλαρώταις. Καὶ [n] παροιμία· Καλλικυρίων πλείους. Τοῦτο ἐλέγετο, εἴποτε πλῆθος ἤθελον [o] ἐμφῆναι. Οἱ γὰρ Καλλικύριοι δοῦλοι ἦσαν, πλείους τῶν κυρίων αὐτῶν, ὥστε καὶ αὐτοὺς ἐξέβαλον.

Καλλίμαχος, Ἀθηναῖος. Οὗτος εἰς τὸν κατὰ
A [p] Περσῶν πόλεμον εὑρέθη ἐπὶ δοράτων ἱστάμενος νεκρός.

Καλλίμαχος, υἱὸς Βάττου καὶ [q] Μεσάτμας, Κυρηναῖος, γραμματικὸς, μαθητὴς Ἑρμοκράτους τοῦ Ἰασέως, γραμματικοῦ· γαμετὴν ἐσχηκὼς τὴν Εὐφράτου τοῦ Συρακουσίου [r] θυγατέρα. Ἀδελφῆς δὲ αὐτοῦ παῖς ἦν ὁ νέος Καλλίμαχος, ὁ γράψας περὶ νήσων δι' ἐπῶν. Οὕτω δὲ γέγονεν ἐπιμελέστατος, ὡς γράψαι μὲν ποιήματα εἰς πᾶν μέτρον, συντάξαι δὲ
B καὶ καταλογάδην πλεῖστα. Καί ἐστιν αὐτῷ τὰ γεγραμμένα βιβλία ὑπὲρ τὰ [s] ω'· ἐπὶ δὲ τῶν χρόνων ἦν Πτολεμαίου τοῦ Φιλαδέλφου. [t] Πρὶν δὲ συσταθῇ τῷ βασιλεῖ, γράμματα ἐδίδασκεν ἐν Ἐλευσῖνι, κωμυδρίῳ τῆς Ἀλεξανδρείας. Καὶ παρέτεινε μέχρι τοῦ Εὐεργέτου κληθέντος Πτολεμαίου, [u] Ὀλυμπιάδος δὲ ρκζ', ἧς κατὰ τὸ δεύτερον ἔτος ὁ Εὐεργέτης Πτολεμαῖος ἤρξατο τῆς βασιλείας. [x] Τῶν δὲ αὐτοῦ βιβ-
C λίων ἐστὶ καὶ ταῦτα· Ἰοῦς ἄφιξις, Σεμέλη, Ἄργους [y] οἰκισμοὶ, Ἀρκαδία, Γλαῦκες, Ἐλπίδες, Σατυρικὰ δράματα, Τραγῳδίαι, Κωμῳδίαι, Μέλη, [z] Ἶβις· (ἔστι δὲ ποίημα ἐπιτετηδευμένον εἰς ἀσάφειαν καὶ λοιδορίαν, εἴς τινα Ἶβιν, γενόμενον ἐχθρὸν [a] τοῦ Καλλιμάχου· ἦν δὲ οὗτος Ἀπολλώνιος, ὁ γράψας τὰ Ἀργοναυτικά·) Μουσεῖον, Πίνακες τῶν ἐν πάσῃ παιδείᾳ διαλαμψάν-
D των, καὶ ὧν συνέγραψαν, ἐν βιβλίοις [b] κ' καὶ ρ', Πίναξ καὶ ἀναγραφὴ τῶν κατὰ χρόνους καὶ ἀπ' ἀρχῆς γενομένων [c] διδασκάλων, Πίναξ τῶν [d] Δημοκρίτου γλωσσῶν καὶ συνταγμάτων, Μηνῶν προσηγορίαι κατὰ ἔθνος

καλλιερεῖν absolute ponere solent. Exempla, cum passim obvia sint, adducere necessarium non duco. KUST.

[d] Ἴδης] τῆς Ἴδης A.B.V.E.

[e] Θεῶν ἐπὶ Καλλικολώνῃ] Hæc sunt verba Homeri Il. υ'. 53. sed ubi hodie legitur θέων ἐπὶ Καλλ. i. e. *currens in Callicolone*. Utramque tamen lectionem jam olim receptam fuisse docet Scholiasta ad eum locum, quem vide. KUST.

ΚΑΛΛΙΚΟΜΟΣ: Σοφὸς] Nullius sensus hæc sunt. Fons, unde sunt petita, est in Aristoph. Pac. 797. Τοιάδε χρὴ Χαρίτων δαμώματα καλλικόμων Τὸν σοφὸν ποιητὴν Ὑμνεῖν. ABRESCH.

ΚΑΛΛΙΚΩΝ] Nescio an corrupte pro Κιλλικῶν. Vid. infra in v. Καλλικῶν tamen Eustath. Od. κ'. p. 1669=
F 413, 21.

[f] Μιλήσιος—ὄνομα κύριον addidi ex V.

ΚΑΛΛΙΚΡΑΤΙΔΗΣ] Vid. in Ἐμπεδοκλῆς.

[g] Ἐμπεδοκλέα] Ἐμπεδοκλέους E.

ΚΑΛΛΙΚΥΡΙΟΙ] Hi Κιλλύριοι vocantur ab Herodoto, lib. VII. c. 155. quem vide. Hesychius eosdem Καλλικυρίους appellat, quem consule v. Κιλλικύριοι. KUST. Vid. Valcken. ad Herodoti locum.

[h] Γεωμόρων] *Geomori* sive *Gamori* appellati fuerunt Syracusani illi, quos Callicyrii servi sedibus suis expulerunt, ut testis est Herodotus loco laudato. Portus locum hunc male interpretatus erat: cujus hallucinationem ex versione sustulimus, et in ea verum sensum expressimus. Eustath. ad Il. β'. p. 295. τοὺς Καλλικυρίους Cretæ assignat, non vero Syracusis, ut hic Suidas. KUST. Vid. Valesius Excerpt. sive in Diodor. Sic. t. II. p. 549. ed. Wessel.

[i] Συρακούσαις] Συρακούσσαις hic et infra Photius.

[k] Ἀριστοτέλης] Ἀριστο E. Tum Συρρακουσίων A.

[l] παρὰ] τοῖς παρὰ E.

[m] Κλαρώταις] Ἡλαρώταις A.B.V.E.M. Ald. κλαρώταις Photii ms.

[n] παροιμία] Zenob. IV. 54.

[o] ἐμφῆναι] ἐμφθῆναι V.

ΚΑΛΛΙΜΑΧΟΣ, Ἀθηναῖος. Οὗτος εἰς τὸν κατὰ Περσ.] Vide supra v. Ἱππίας, Τύρ. KUST. Plut. in Cat. Maj. 1. Eum fuisse polemarchum Athenis, et cum Epizelo ac Cynægiro συστρατιώτην in pugna Marathonia, depictum-
E que cum iis in porticu varia dicit Ælian. H. An. IX. 38. cf. Pausan. Eliac. I. c. 6. Καλλίμαχος πολλοῖς περιπεπαρμένος δόρασι καὶ νεκρὸς ἐστάθη. Plut. Parall. ab init. Est apud Stobæum l. 3. carmen in hunc, quod lege. Dicitur enim de eo, μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν. REINES.

[p] Περσῶν] τῶν Περσῶν E.

[q] Μεσάτμας] Nomen, ut puto, Græcis inauditum: quid si Μεγατίμας? Hæc soror Callimachi, ut ex proximo articulo patet, idem quod mater habere nomen poterit. HEMST.

[r] θυγατέρα] θυγατέρες V.

[s] ω'] ὀκτακόσια A.

[t] Πρὶν [redacted] συσταθῇ] Malim, πρὶν δὲ συσταθῆναι. Et sic Suidam scripsisse puto. KUST. Sic correxerat Portus.

[u] Ὀλυμπιὰς δὲ ἦν ρκζ'] Ὀλυμπιάδος [redacted] ἑκατοστῆς ἑβδόμης A. Ὀλυμπιάδος δὲ ρκζ'. V.B.E.

[x] Τῶν δὲ αὐτοῦ βιβλίων ἐστὶ καὶ τ.] De scriptis Callimachi vide Meursium in notis ad Helladii Besantinoi Chrestomathiam, et præcipue Bentleium ad Callima-
G chum p. 305. et seqq. qui accuratum scriptorum ejus catalogum nobis exhibet. KUST.

[y] οἰκισμοὶ] οἰκισμὸς V. tum Ἀρκαδίας V.E.

[z] Ἶβις ἐστι [redacted] ποίημα ἐπιτ.] Ad hujus poematis imitationem Ovidium Ibidem suum conscripsisse constat. Vide quæ de carmine hoc Callimachi collegerunt Meursius et Bentleius locis laudatis. KUST. Ἶβις E. Mox Ἶβιν V.

[a] τοῦ Καλλιμάχου] τοῦ om. A.

[b] κ' καὶ ρ'] εἴκοσι καὶ ἑκατὸν A.

H [c] διδασκάλων] Probo conjecturam Pearsonii, qui legendum suspicatur διδασκαλιῶν. Non enim Callimacho propositum erat ipsos poetas dramaticos, sed fabulas eorum recensere, ut ex locis auctorum, ubi operis istius mentio fit, haud dubie colligitur. KUST.

[d] Δημοκρίτου] Δημοκράτους A. Δημοκράτου V.

καὶ πόλεις, Κτίσεις νήσων καὶ πόλεων, καὶ μετονομασίαι, Περὶ τῶν ἐν Εὐρώπῃ ποταμῶν, [e]Περὶ τῶν ἐν Πελοποννήσῳ καὶ Ἰταλίᾳ θαυμασίων καὶ παραδόξων, Περὶ μετονομασίας ἰχθύων, Περὶ ἀνέμων, Περὶ ὀρνέων, Περὶ τῶν ἐν τῇ οἰκουμένῃ ποταμῶν, [f]Θαυμάτων τῶν εἰς ἅπασαν τὴν γῆν κατὰ [g]τόπους ὄντων συναγωγή.

Καλλίμαχος Κυρηναῖος, ἐποποιὸς, ἀδελφιδοῦς τοῦ [h]προτέρου, υἱὸς Στασήνορος, καὶ Μεγατίμας, τῆς ἀδελφῆς Καλλιμάχου.

Καλλιμένης:

Κάλλιμος: Ὁ καλός.

Καλλίνικος: Γαΐου, ὁ καὶ [i]Σουητώριος ἐπικληθεὶς, σοφιστὴς, Σύρος· ὡς δέ τινες, Ἀράβιος· τὸ δὲ ἀληθὲς, Πετραῖος· σοφιστεύσας ἐν Ἀθήναις. Ἔγραψε πρὸς [k]Λοῦπον περὶ [l]κακοζηλίας ῥητορικῆς, Προσφωνητικὸν [m]Γαλιήνῳ, Πρὸς Κλεοπάτραν, Περὶ τῶν κατ' Ἀλεξάνδρειαν ἱστοριῶν βιβλία δέκα, Πρὸς τὰς [n]φιλοσόφων αἱρέσεις, Περὶ τῆς Ῥωμαίων ἀνανεώσεως· καὶ ἄλλα τινὰ ἐγκώμια καὶ λόγους.

Καλινδούμενοι: Κυλιόμενοι.

Καλλίνικος: Ὁ Ἡρακλῆς.

Καλλιόπη: Ὄνομα [o]θεᾶς.

Κάλλιος: [p]Ὄνομα κύριον.

Καλλιπάρηιος: Ἡ καλὰς παρειὰς ἔχουσα.

Κάλλιππος, Ἀθηναῖος, φιλόσοφος, Πλάτωνος μαθητής· [q]ὃς ἐν Συρακούσαις ἀνῃρέθη τυραννεῖν ἐπιχειρήσας· πονηρὸς οὗτος ἱστόρηται [r]παρὰ τῷ Πλουτάρχῳ, καὶ Δίωνος τοῦ Συρακουσίου προδότης.

Καλλιρόην: Κρήνην.

Καλλίροον: Καλῶς ῥέοντα.

Καλλισθένης: Δημοτίμου· οἱ δὲ, Καλλισθένους· Ὀλύνθιος, μαθητὴς Ἀριστοτέλους καὶ [s]ἀνεψιαδοῦς· ὃν ἔδωκεν [t]ἕπεσθαι Ἀλεξάνδρῳ τῷ Μακεδόνι. Ὁ δ' ἐν γαλεάγρᾳ [u]σιδηρᾷ βαλὼν ἀνεῖλεν ἅμα [x]Νεάρχῳ τῷ τραγικῷ, διότι [y]αὐτῷ συνεβούλευε μὴ ἐπιζητεῖν ὑπὸ Ἀθηναίων καλεῖσθαι δεσπότης. Τινὲς δὲ αὐτὸν ὡς ἐπιβουλεύοντα [z]Ἀλεξάνδρῳ ἀνῃρῆσθαί φασιν ἅμα Νεάρχῳ. [a]Ἦν δὲ εὐφυὴς πρὸς τὸ αὐτοσχεδιάζειν καὶ ῥύμῃ πολλῇ φέρεσθαι. Καὶ φέρεται λόγος, ὡς ὁ Καλλισθένης [b]ὑπὸ φθειρῶν ὑπερβλύσεως καὶ ἐκβράσεως τὸν βίον καταστρέφει. Καὶ μαρτυρεῖ ὁ ἴαμβος οὗτος·

> Καὶ φθειριῶσαν, ὡς ὁ πρὶν Καλλισθένης.

Περὶ τῆς ἰατρικῆς τέχνης λέγων, ὡς ἠμέλητο πάνυ.

Καλλιστεῖα:

> [c]Τοιγὰρ τῷ κρίναντι τὰ καλλιστεῖα [d]Πριάπῳ
> νεβρίδα καὶ χρυσέην τήνδ' ἔθετο πρόχοον.

Καλλίσφυρος: Ἡ καλοὺς πόδας ἔχουσα.

Καλλιφάνης, ὁ Παραβρύκοντος. Ἐπὶ τῶν προσποιουμένων [e]πολυμάθειαν. [f]Οὗτος γὰρ ἀρχὰς ποιη-

[e] καὶ περὶ] καὶ om. A.E.

[f] Θαυμάτων τῶν εἰς ἅπ.] Legenda omnino sunt, quæ de hoc opere observavit Bentleius ad Callimachum p. 327. et seqq. KUST.

[g] τόπους] τόπον E.

[h] προτέρου] πρότερον B.M. Mox Στασίνορος A.

ΚΑΛΛΙΜΟΣ: Ὁ καλός] Vide Schol. Homeri ad Odyss. λ'. vers. ult. KUST.

ΚΑΛΛΙΝΙΚΟΣ] Sub Constantino vixit. Vid. Ἰουλιανὸς Δόμνου, Γενέθλιος. HEMST.

[i] Σουτώριος] Σουητώριος A.V. Σουετώριος B.E.M. Mutavit Aldus.

[k] Λοῦπον] Λοῦπον A.

[l] κακοζηλίας] Supra v. Κακοζηλία. TOUP. HEMST.

[m] Γαλιήνῳ] Γαληνῷ A. Γαλλίνῳ B.V.E. Edd. ante Kuster. qui tacite mutavit. Γαλιήνῳ legendum docuit Jonsius Script. Hist. Phil. p. 284. a Kustero citatus infra v. Μουσωνιανός.

[n] φιλοσόφων] φιλοσόφους A.E.

ΚΑΛΙΝΔΟΥΜΕΝΟΙ] Vid. Δραστήριον. Plato Theæt. p. 149. Philostorgius 538. TOUP. Vid. Bergler. ad Alciphron. I. 23. Hemsterhus. Lucian. Nigrin. c. 30.

ΚΑΛΛΙΝΙΚΟΣ] Vid. Schol. Aristoph. Acharn. 1228. notata ad Hesych.

[o] Μούσης] θεᾶς A.B.V.E.

ΚΑΛΛΙΟΣ] For. Καλλίας. TOUP. An leg. Κάλλαδες? Menag. ad Diogen. Laërt. V. 52. HEMST.

[p] Ὄνομα κύριον] καὶ καλλιόπιος ὀνόματα κύρια E.

ΚΑΛΛΙΠΠΟΣ] Καλλίππου τέχνη Aristot. Rhet. II. 23. l. 12. Κάλλιππος ἐποίει τὰ περὶ Δίωνα. REINES.

[q] ὃς ἐν Συρακούσαις] Vide Athenæum XI. p. 508. KUST.

[r] Παρὰ τῷ Πλουτάρχῳ] In Dione p. 981. 982. KUST.

ΚΑΛΛΙΡΟΗΝ: Κρήνην] Sic Photius. Καλλιρόην: κρήνην τὴν V. Καλλιρόη: κρήνη A. Addunt edd. ἡ ἐν Ἀθήναις, ἥτις πρότερον Ἐννεάκρουνος ἐκαλεῖτο. Vid. Schol. Platon. p. 251. Duker. Thucyd. II. 15.

ΚΑΛΛΙΡΟΟΝ] Καλλίρροον A.

ΚΑΛΛΙΣΘΕΝΗΣ, Δημοτ.] De hoc Callisthene vide Meursium ad Chalcidium p. 34. ubi accuratum scriptorum ejus catalogum, quorum quidem apud veteres mentio fit, exhibet. KUST.

[s] ἀνεψιαδοῦς] Natus sc. ex ejus consobrina Hero, Plut. in Alex. c. 55. REINES. ἀνεψιδοῦς B.V.E.

[t] ἕπεσθαι Ἀλεξ.] Accitum fuisse ab Alexandro ad prodenda ejus acta memoriæ narrat Justin. XII. p. 143. cf. Val. Max. V. 2. Laërt. V. 1. ut Suidas. REINES.

[u] σιδηρᾷ βαλὼν] Leoni tandem objectum dicit Laërt. in Aristot. l.l. Val. Max. IX. 3. *Callisthenes mori jussus.* Tatianus λόγῳ πρὸς Ἕλληνας de Alexandro: ὅστις Ἀριστοτελικὸς πάνυ, τὸν ἑαυτοῦ φίλον, διὰ τὸ μὴ βούλεσθαι αὐτὸν προσκυνεῖν, καθείρξας ὥσπερ ἄρκτον ἢ πάρδαλιν περιέφερε. cf. Justin. XII. p. 149. et XV. p. 178. Philostrat. de Vit. Apollon. Tyan. VII. 2. Plutarch. in Alex. c. 55. Arrian. ἀναβασ. IV. p. 272. Curt. VIII. 9. Seneca Suas. 1. occidisse Alex. dicit Callisthenem ob intempestivos et liberos sales. cf. Valer. Max. VII. 2. Theophrastus interitum sodalis sui Callisthenis deploravit: scripsit enim Καλλισθένην ἢ περὶ πένθους librum, quem etiam citat Alex. Aphrod. de Anima l. II. REINES.

[x] Νεάρχῳ] l. Νειφραντι. Vid. infr. Νείφρων. REINES. Sed vide Elmsleium ad Argum. Euripid. Med. p. 237. ed. sec. Λύσανδρον memorat Schol. Luciani t. I. p. 397. ubi vid. Hemsterhus.

[y] αὐτῷ om. A. Mox ζητεῖν E.

[z] Ἀλεξάνδρῳ] σὺν Ἀλεξάνδρῳ B.V.

[a] Ἦν δὲ εὐφυὴς] ἦν δὲ om. A.B.

[b] ὑπὸ φθειρῶν ὑπερβλ. καὶ ἐκβρ. τὸν βίον καταστρ.] De morte Callisthenis hujus vide Plutarchum in Alexandro, Arrianum de Exped. Alex. M. lib. IV. p. 272. Justinum lib. XV. et Laërtium in Aristotele segm. 5. KUST.

ΚΑΛΛΙΣΤΕΙΑ] Sic vocabatur certamen, quo fœminæ apud Lesbios de formæ præstantia contendebant, ut me docuit Scholiasta Homeri ad Il. ι'. 129. cujus verba hæc sunt: Παρὰ Λεσβίοις ἀγὼν ἄγεται κάλλους γυναικῶν ἐν τῷ τῆς Ἥρας τεμένει, λεγόμενος καλλιστεῖα. KUST. Meursium de Festis Gr. p. 177. citat Reinesius.

[c] Τοιγὰρ τῷ] Anthol. Pal. VI. 292.

[d] Πριήπῳ] Πριάπῳ A.B.E. Anthol. ms. τὰ ante καλλιστεῖα om. B.E.

ΚΑΛΛΙΣΦΥΡΟΣ] Od. ε'. 333.

[e] πολυμάθειαν] πολυμαθίαν E. et infra πολυμαθίας.

[f] Οὗτος γὰρ ἀρχὰς] Hæc, et quæ sequuntur, deprompta sunt ex Athen. lib. I. p. 4. ut a Pearsonio quoque observatum esse video. KUST.

μάτων πολλῶν καὶ [g]λόγων συγγεγραμμένων ἄχρι τριῶν ἢ τεσσάρων στίχων ἀπαγγέλλων πολυμαθείας δόξαν προσεποιεῖτο.

Καλοκαγαθία: Ἀγαθότης.

Καλόν: Τὸ τελείως σύμμετρον.

Καλὸν πρᾶγμα: Ὅτι καλεῖ, πρὸς τὴν ἑαυτοῦ χρείαν [h]συμμέτρως ἔχον. [i]Εἴδη δὲ τοῦ καλοῦ δ'· δίκαιον, ἀνδρεῖον, κόσμιον, ἐπιστημονικόν· ἐν γὰρ τοῖσδε τὰς καλὰς πράξεις συντελεῖσθαι. Ἀνάλογον δὲ καὶ τοῦ αἰσχροῦ εἴδη δ'· ἄδικον, δειλὸν, ἄκοσμον, ἄφρον. Λέγεται [k]καλὸν, τὸ ἐπαινετοὺς παρεχόμενον τοὺς ἔχοντας ἀγαθὸν ἐπαίνου ἄξιον. [l]Ἑτέρως δὲ, τὸ εὖ πεφυκέναι πρὸς τὸ ἴδιον ἔργον· καὶ τὸ ἐπικοσμοῦν, ὅταν λέγωμεν, μόνον τὸν σοφὸν ἀγαθὸν [m]καὶ καλὸν εἶναι. Λέγουσι δὲ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι. Εἶναι δὲ τοῦτο ἀρετὴν, καὶ τὸ μετέχον ἀρετῆς. [n]Ὅπερ ἐστὶν ἴσον τῷ πᾶν ἀγαθὸν [o]καλὸν εἶναι, καὶ τὸ ἰσοδύναμον τὸ καλὸν [p]τῷ ἀγαθῷ. Δοκεῖ δὲ πάντα τὰ ἀγαθὰ ἴσα εἶναι· καὶ πᾶν ἀγαθὸν ἐπ' ἄκρον αἱρετὸν, καὶ μήτε ἄνεσιν μήτε ἐπίτασιν [q]ἐπιδέχεσθαι. Καλὸν δέ [r]ἐστι καὶ τὸ δι' ὄψεως ἢ δι' ἀκοῆς ἡδύ.

Κᾶλον: Τὸ ξύλον. [s]Τὰ κάλω δὲ, Ἀττικῶς.

Καλοπόδιον: Σκυτικὸν ἐργαλεῖον.

Καλόποτε: Ἀπὸ μέρους καλή.

Κάλλος: Συμμετρία τῶν [t]ὁμοιομερῶν ἐν ἡμῖν μερῶν, προσώπου, τραχήλου, χειρῶν, τῶν ἄλλων μερῶν, ἃ ὕστερά ἐστι τῶν πρώτων δυνάμεων. Τῷ δὲ αὐτῷ λόγῳ δεικνύοιτο ἂν ἡ ἰσχὺς αἱρετωτέρα τοῦ κάλλους. Πρῶτα γὰρ τὰ ὁμοιομερῆ ἐν ἡμῖν, ἐν οἷς ἡ ἰσχὺς, τῶν ἀνομοιομερῶν, ἐν οἷς τὸ κάλλος. Ἕκαστον γὰρ τῶν ἀνομοιομερῶν ἐκ τῶν ὁμοιομερῶν σύγκειται· οἷον τὸ

A πρόσωπον ἐξ ὀστῶν καὶ νεύρων καὶ σαρκῶν. Διὸ καὶ συναναιρεῖται μὲν ἀναιρουμένων, [u]οὐ συναναιρεῖ δὲ ἀναιρούμενον.

Καλὸς κἀγαθός: Λέγεται [x]κατὰ συναλοιφὴν, οὐχὶ καλὸς καὶ ἀγαθός. Καὶ καλὸς, ὁ ἐρώμενος.

[y]Καὶ ἦν τῷ μὲν ἐραστῇ [z]Μέλητος ὄνομα· τῷ καλῷ δὲ, Τιμαγόρας.

Τὸ μὲν καλὸς ἐπὶ τῆς ἐν σώματι ὥρας· τὸ δὲ ἀγα-
B θὸς, ἐπὶ τῆς ἐν ψυχῇ.

Ὅτι ἀπὸ συντάξεως ὀνόματα [a]γίνεται· καλὸς καὶ ἀγαθὸς, καλοκαγαθία· Θεὸς καὶ ἐχθρὸς, θεοεχθρία.

Καλοῦ εἴδη τρία· δίκαιον, ἀνδρεῖον, ἐπιστημονικόν.

Καλούμεθ' αὐτάς: Ἀντὶ τοῦ εἰς δικαστήριον ἄξομεν.

Καλούμενός τε καὶ ἄκλητος ὁ θεὸς παρέ-
C σται: Χρησμὸς [b]δοθεὶς Λακεδαιμονίοις.

Καλώδιον: Σχοινίον.

Καλώνδας: Ὄνομα κύριον.

Καλλωπίζομαι: Δοτικῇ.

Καλλώπισμα:

Κάλως: Σχοινίον. Καὶ [c]παροιμία·

[d]Πάντα κάλων [dd]κινεῖν.

D Τροπικῶς ἀπὸ τοῦ ἱστοῦ [e]λέγει. Ἁπλοῦν σε δεῖ τὰ ἄρμενα· τουτέστι, πάντα [f]κινεῖν, ὑπὲρ τοῦ περιγενέσθαι αὐτοῦ. Καὶ κάλως, κάλω, Ἀττικῶς. [g]Ἀριστοφάνης Βατράχοις·

Μία [h]μὲν [γάρ] ἐστιν ἀπὸ κάλω καὶ θρανίου.

Ἀπὸ εὐθείας τῆς κάλως.

Καλῶς: Ἀντὶ τοῦ εὐσεβῶς καὶ φιλανθρώπως παρὰ Θουκυδίδῃ.

[g] λόγων] λόγων πολλῶν A.

ΚΑΛΟΝ: Τὸ τελείως] Hæc sunt verba Laërtii lib. VII. 100. KUST. ubi leg. τέλειον ἀγαθόν. τελέως A.

ΚΑΛΟΝ ΠΡΑΓΜΑ καλεῖ] Hæc leguntur apud Laërtium lib. VII. 99. KUST.

[h] συμμέτρως] σύμμετρον E.

[i] Εἴδη δὲ καλοῦ δ'] Hæc et quæ sequuntur usque ad ἐπίτασιν ἐπιδέχεσθαι, sunt verba Laërtii lib. VII. 100. ut Pearsonius quoque observaverat. KUST.

[k] καλὸν τὸ] καλὸν καὶ τὸ E.

[l] Ἑτέρως δὲ] δὲ om. A.

[m] καὶ καλὸν] καὶ om. B. Laërt. τὸ σοφὸν M. Mox addunt edd. vett. Λέγουσι δὲ μόνον τὸ καλὸν ἀγαθὸν εἶναι.

[n] Ὅπερ] ὃ Laërt.

[o] εἶναι καλὸν] καλὸν εἶναι A.E. Laërt. Tum καὶ τῷ A.

[p] τῷ ἀγαθῷ—καὶ πᾶν om. V.

[q] ἐπιδέχεσθαι] δέχεσθαι E. ἐπιδέχεται M.

[r] ἐστι καὶ] καὶ om. B.V.E.

[s] Τὰ ΚΑΛΩ] τὸν κάλω V. An τὸν κάλων?

ΚΑΛΟΠΟΔΙΟΝ] Vid. not. ad Polluc. X. 141.

ΚΑΛΟΠΟΤΕ] Vide supra v. Ἀγρίους. KUST. εὐοφθάλμους interpretatur Hesych.

ΚΑΛΛΟΣ: Συμμετρία] Hæc, et quæ sequuntur, descripta sunt ex Alexandro Aphrod. in Topica, p. 124. KUST.

[t] ὁμοιομερῶν] Scribendum est ἀνομοιομερῶν, uti recte legitur apud Alex. Aphrod. loco laudato. KUST.

[u] οὐ συναναιρεῖ δὲ ἀναιρ.] In ms. Paris. A. sic scriptum est: οὐ συναναιρεῖται δὲ μὴ ἀναιρουμένων. Sed altera lectio præferenda est: quam et Alex. Aphrodisiensis agnoscit. KUST. συναναιρεῖται B.V. Tum ἀναιρουμένου B. ἀναιρουμένων V. ἀναιρούμενον Alex.

[x] κατὰ συναλοιφὴν] Contra Suidam disputat Wesselingius Diatr. de Judæorum Archont. p. 11.

[y] Καὶ ἦν τῷ μὲν ἐραστῇ] Vide infra v. Μέλιτος. KUST. Vid. Μέλητος.

E [z] Μέλιτος] Μέλητος V.

ΟΤΙ ἀπὸ συντάξεως] Eadem supra post v. Θεὸς ἀπὸ μηχανῆς.

[a] γίνεται] γίνονται A.E. Tum οἷον καλὸς E.

ΚΑΛΟΥ εἴδη τρία] Vide paulo ante v. Καλὸν, ubi rectius quatuor, non, ut hic, tres tantum species honesti recensentur. KUST.

ΚΑΛΟΥΜΕΘΑ ΑΥΤΟΥΣ] Scribe, Καλούμεθ' αὐτάς. Quomodo recte legitur apud Aristoph. Eccles. 859. unde hæc verba decerpsit Suidas. Quæ sequuntur sunt verba
F Scholiastæ, sed quæ hodie cum multis aliis desiderantur. TOUP. Καλούμεθ' αὐτὰς A.V. κ. αὐτοὺ E.

ΚΑΛΟΥΜΕΝΟΣ ΤΕ ΚΑΙ ἈΚΛ.] Vide quæ diximus supra v. Ἄκλητος. KUST.

[b] δοθεὶς] ἐστι δοθεὶς τοῖς E.

ΚΑΛΩΔΙΟΝ] Aristoph. Vesp. 378. In fine addit V. καὶ κάλως κάλω Ἀττικῶς.

ΚΑΛΩΝΔΑΣ] Vide supra v. Ἄρατος. KUST. Calondas Naxius cogn. Corvus. Vid. supra, Ἀρχίλοχος. REINES.
G Vid. Hemsterhus. ad Vitam Arati post Callimachum p. 590. ed. Ernest. p. 331. ed. Blomfield.

[c] παροιμία] ἡ παροιμία V.

[d] Πάντα κάλων] Apollon. Ep. VII. πάντα κάλων σείων, quod editor minus intellexit. Vide Suid. v. Πάντα κ. σ. Phot. Bibl. p. 1037. Philo II. p. 571. Epigr. in Callimach. in Anthol. pag. 139. Schol. Aristoph. Eq. 753. Schol. Theocr. VI. 18. TOUP.

[dd] κινεῖν om. B.E.

[e] λέγεται] λέγει A.V. et sic Schol. Aristoph. Vesp. 753.
H ubi ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει.

[f] κινεῖν] κινῶν B.V.E. pr. Mox γενέσθαι A.

[g] Ἀριστοφάνης Βατράχοις] Ver. 121.

[h] μὲν γὰρ] γὰρ om. A.B.V.E.M. Mox θρανίου M.

ΚΑΛΩΣ: Ἀντὶ τοῦ εὐσεβῶς καὶ φιλ.] Ex Scholiasta Thucydidis ad lib. I. c. 5. ut a Porto quoque observatum fuit. KUST.

Καὶ αὖθις·

[k] Μυρία, καὶ δολιχὰς δεξαμένη κάμακας.

Οἱ [illegible] βάρβαροι δρεπανηφόρῳ κάμακι τὸ σχοινίον, ᾧ εἴχετο ἡ ναῦς, διακόπτουσι.

Ζήτει καὶ ἐν τῷ Χιλιοστύς.

Καμάρινα καὶ [l] Γέλα πόλεις Σικελίας. Καὶ Καμαριναῖος, ὁ πολίτης.

Καμαρῖνοι: Ὄνομα ἔθνους.

B Καμασσηνός: Ἐθνικόν.

Καματηρούς: Κεκοπιακότας.

[m] Μήκους καματηροὺς καὶ πνευστιῶντας ἀκμῆσι παραδῷ τοῖς βαρβάροις.

Κάμεια: Ὄνομα πόλεως.

Καμειραία ἰσχάς: Βάβριος·

Μικρὸν δ' ἐπισχὼν [n] εἶτ' ἔσωθεν ἐκκύψας
ψαύειν ἔμελλεν ἰσχάδος Καμειραίας.

C [o] Ὅτι Ἀναξανδρίδης ὁ Ῥόδιος ἐκ Καμείρου ἦν.

Καμηλαύκιον: Ῥωμαίων ἡ λέξις. Ῥηθείη δ' ἂν καὶ Ἑλληνιστὶ παρὰ τὸ καῦμα ἐλαύνειν.

Κάμηλος: Τὸ [p] ζῶον. [q] Ἀριστοφάνης·

Πῶς ἄνευ καμήλου [r] Μῆδος ἂν ἐσέπτατο;

Ἐπεὶ διὰ καμήλων ἦλθον οἱ Μῆδοι εἰς τὴν Ἑλλάδα. Καὶ καμηλίτης βοῦς οὕτω καλούμενος. Κάμιλος δὲ, τὸ παχὺ σχοινίον.

D Κάμιλλος: Ὄνομα κύριον. Ὁ Ῥωμαίων στρατηγός. Ζήτει ἐν τῷ Ἀχίλλειος εὐχή.

Κάμινος:

Κάμιρος: Ὄνομα κύριον. Καὶ ὄνομα πόλεως.

Κάμνειν: Ἐπὶ τοῦ ποιεῖν καὶ ἐργάζεσθαι· καὶ ἐπὶ τοῦ [s] νοσεῖν. Λέγεται [t] καὶ ἐπὶ τῶν [u] ἀποθανόντων.

[x] Εἴδωλα καμόντων.

[y] Προσλαβὸν δὲ τὴν ἀπὸ πρόθεσιν, σημαίνει τὸ ἀπειπεῖν καὶ ἀπαγορεῦσαι καὶ ἀπογνῶναι· οἷον,

Ἀπέκαμον [z] νουθετῶν, κάμνων, παραινῶν.

Καμμονίη: Ἡ ἐκ μονομεροῦς νίκη.

Καμόντων: Τῶν νεκρῶν.

[a] Εἰ καί σοι βέβριθεν ὑπ' εἰδώλοισι καμόντων
ὁλκάς.

Κάμμορος: Ὁ ταλαίπωρος.

Καμπανία: Χώρα.

Κάμπη:

Καμπιδήκτωρ:

Κάμπιος δρόμος: Δρόμοι τινὲς ἦσαν κάμπιοι, οὐκ εὐθεῖς καὶ ἁπλοῖ, ἀλλὰ καμπὰς ἔχοντες.

Κάμπτω:

[b] Ὠιδὰς ἔκαμπτεν, ἐκείνας ὁ Νέρων ἐλύγιζέ τε καὶ ἔστρεφε.

Κάμπτω σε: Αἰτιατικῇ. Ἀντὶ τοῦ μαλακίζω τὴν ψυχήν σου.

Καμπύλα τόξα: Ὅμηρος. [c] Συνέμιξε τὸν κατὰ

---

[k] Μυρία, καὶ δολιχὰς] Anthol. Pal. VI. 125.

[l] Γέλλα] Γέλα A.V.E. Sumpta hæc ex Schol. Aristoph. Acharn. 606.

ΚΑΜΑΡΙΝΟΙ] Καμαρῖνος E.

[m] Μήκους καματηροὺς] Hæc verba leguntur apud Arrian. Exped. Alexand. lib. V. p. 340. nisi quod nonnulla Suidas pro more immutavit. TOUP.

ΚΑΜΕΙΡΑΙΑ] Καμηραία E. et in exemplo.

[n] εἶτ' ἔσωθεν ἐκκύψας] Legendum,——ΕΙΤ' ἔσωθεν ἐκκύψας. *Paulisper autem moratus, deinde capite exserto Gustaturus erat ficus Camiræas.* TOUP. Vid. ed. Tyrwhitt. p. 40.

[o] ΟΤΙ Ἀναξανδρίδης] Supra v. Ἀναξανδρίδης.

ΚΑΜΗΛΑΥΚΙΟΝ] Vide Schol. Aristoph. Acharn. 438. KUST. Ibi Καμελαύκιον. Vid. Du Cang. Gl. Gr. et Suicer. Thes. Eccl. in v.

[p] ἀχθοφόρον ζῶον] ἀχθοφόρον om. A.B.V.E.

[q] Ἀριστοφάνης] Av. 279.

[r] Μῆδος] ἤγουν Τοῦρκος V. suprasc. qui mox supra ἐσέπτατο habet ἐπέτασεν.

ΚΑΜΙΛΟΣ δὲ, τὸ] Ex Schol. Aristoph. Vesp. 1030. Huc spectant verba illa Theophylacti ad Matth. XIX. Τινὲς δὲ κάμηλον οὐ τὸ ζῶον φασὶν, ἀλλὰ τὸ παχὺ σχοινίον, ᾧ χρῶνται οἱ ναῦται πρὸς τὸ βάπτειν τὰς ἀγκύρας. Locum hunc acceptum refero Pearsonio, qui eum ad marginem Suidæ sui notaverat. KUST. Seqq. om. B.E.

ΚΑΜΙΡΟΣ] Vide Etymologum. KUST. Deest gl. B.E.

ΚΑΜΝΕΙΝ: Ἐπὶ τοῦ ποιεῖν καὶ ἐργ.] Hæc, et quæ sequuntur, leguntur etiam apud Etymologum. KUST.

[s] νοσεῖν] καὶ κοπιᾶν addit E.

[t] [illegible] καὶ] δὲ om. A.B.V.E.

[u] ἀποθανόντων] Jacob. V. 15. Hom. Od. ω'. Il. ψ'. Vid. Seld. lib. II. de Synedr. Ebr. c. 7. p. 365. REINES.

[x] Εἴδωλα καμόντων] Homerus Odyss. λ'. 475. KUST.

[y] προσλαβὼν] προσλαβὸν V.M.

[z] νουθετῶν, κάμνων, παραινῶν] κάμνων, νουθετῶν B. νουθετῶν καὶ κάμνων νουθετῶν E.

ΚΑΜΜΟΝΙΗ: Ἡ ἐκ μονομεροῦς νίκη] Ex Scholiasta Homeri ad Il. χ'. 257. Huc spectant verba Plutarchi in libello De audiendis Poetis p. 22. ubi καμμονίην apud Æoles significare ait νίκην τὴν ἐξ ἐπιμονῆς καὶ καρτερίας. Vide etiam Hesychium et Etymologum. KUST.

[a] Εἰ καί σοι βέβριθεν ὑπ' εἰδ.] Anthol. Pal. VII. 68.

ΚΑΜΠΗ] Amos IV. 9. Κατέφαγεν ἡ κάμπη. Ubi Vat. κάμπη. For. supplend. Κάμπη: Βροῦχος. Suidas supra: Βροῦχος: κάμπη. Procop. p. 334. TOUP.

ΚΑΜΠΙΔΗΚΤΩΡ] Miseret me Porti, qui voce hac erucarum morsorem vel devoratorem significari putabat, quasi a κάμπη et δάκνω; cum dictum sit pro eo, quem

E Latini *campidoctorem* appellant (unde καμπιδούκτωρ potius a Suida dici debuisset:) de cujus vocis significatione vide Valesium ad Amm. Marcell. p. 69. KUST. Καμπιδούκτωρ V. Vid. Du Cang. v. Καμπιδούκτωρ.

ΚΑΜΠΙΟΣ ΔΡΟΜΟΣ: Δρόμοι τινὲς ἦσαν κάμπ.] Scholiasta Aristoph. Pac. 904. Κάμπιος δρόμος, οὐκ εὐθὺς καὶ ἁπλοῦς, ἀλλὰ καμπὰς ἔχων. Hinc Suidas sua mutuatus est. KUST. Eadem Photius.

ΚΑΜΠΤΩ] Κάμπω V. et in ex. ἔκαμπεν, et mox ἐλύγιζε.

F [b] Ὠιδὰς ἔκαμπτεν] Hæc sunt verba Philostrati lib. IV. de Vita Apollon. c. 13. p. 199. ubi verba fiunt de citharœdo quodam, qui Romæ carmina Neronis mercede cantare solebat. Lege ibi locum integrum. Significat hic autem τὸ κάμπτειν in cantandis carminibus vocem varie inflectere, et molli quadam modulatione uti, quod facere solent illi, qui artis suæ peritiam ostendere volunt. Hesychius: Κάμπτειν, τὸ ἐν τῇ ᾠδῇ καμπὰς ποιεῖν. Respexit Grammaticus ille, uti et Philostratus, ad locum illum Aristoph. Nub. 966. Εἰ δέ τις αὐτῶν βωμολοχεύσαιτ', ἢ κάμ-

G ψειέν τινα καμπὴν, Οἵας οἱ νῦν τὰς κατὰ Φρῦνιν, ταύτας τὰς δυσκολοκάμπτους, Ἐπετρίβετο τυπτόμενος πολλὰς, ὡς τὰς Μούσας ἀφανίζων. KUST.

ΚΑΜΠΤΩ ΣΕ] Vid. Boissonad. ad Eunap. p. 459.

ΚΑΜΠΥΛΑ ΤΟΞΑ. Ὅμηρος] Locus Homeri, ad quem nota hæc Suidæ referenda est, exstat Il. φ'. 503. ubi Poeta inquit:——Λητὼ δὲ συναίνυτο καμπύλα τόξα Πεπτεῶτ' ἄλλυδις ἄλλα. KUST. Sumpta gl. e Schol. Ven. ad eum locum.

H [c] Συνέμιξε] Interprete Kustero, *vocabulum τόξα pro sagittis posuit, et tamen epithetum ei tribuit, quod arcui proprie convenit. Καμπύλα enim, id est, incurva, de arcu proprie dicitur. At illa, πεπτεῶτα δ' ἄλλυδις ἄλλη, non arcui sed sagittis conveniunt. Eodem modo chœnix et mensura dicitur et res mensurata: et cotyle pariter.*

τοῦ τόξου [d]λόγον τῷ κατὰ τῶν βελῶν. Καμπύλα μὲν A γὰρ τὰ [e]τόξα· τουτέστιν, ἐπικαμπῆ· [f]πεπτηότα δὲ ἄλλυδις [g]ἄλλη τὰ βέλη. Ὡς χοῖνιξ τὸ μέτρον καὶ τὸ μετρούμενον, καὶ κοτύλη ὁμοίως.

ΚΑΜΠΤΑΛΙΑΖΕΙΝ: Κάμπτειν καὶ στρέφειν.

ΚΑΝΝΑΒΗ:

ΚΑΝΑΣΤΡΑΙ͂Α: Κοῖλά τινα ἀγγεῖα.

ΚΑΝΑΧΗΔΟΝ: [h]Μετὰ κτύπου.

ΚΑΝΔΑΚΗ: Ἡ τῶν Αἰθιόπων βασίλισσα. Καὶ B ζήτει ἐν τῇ Ἀλεξάνδρου ἱστορίᾳ.

ΚΑΝΔΗΛΑ: Παρὰ τὸ καίειν δῆλα.

ΚΑΝΔΥΛΟΣ: Βρῶμα διὰ μέλιτος καὶ γάλακτος σκευαζόμενον· ὡς καὶ [i]ἀβυρτάκη [k]ἐρύκων βρῶμα. [l]Καὶ ζήτει ἐν τῷ ἈΚΡΟΔΡΥΑ.

ΚΑΝΔΥΣ: Χιτὼν Περσικός.

Ἀποδύσαντες δὲ τὸν κάνδυν, καὶ τὰς ἀναξυρίδας ἐξελκύσαντες, καὶ τὸν πῖλον ἀφελόντες. C

ΚΑΝΝΑΙΣ καὶ καλάμαις χρῶνται οἱ Νομάδες εἰς τὴν σκηνοποιΐαν.

ΚΑΝΕΟΝ: Τὸ [m]κανίσκιον. Καὶ ΚΑΝΕΙΟΝ, ὁμοίως.

ΚΑΝΗΣ: Ὁ ψίαθος. Καὶ κλίνεται κάνητος.

ΚΑΝΗΦΟΡΟΙ: [n]Φιλόχορός φησιν, ὡς Ἐριχθονίου βασιλεύοντος πρῶτον κατέστησαν αἱ ἐν ἀξιώματι παρθένοι φέρειν τὰ κανᾶ τῇ θεῷ, [o]ἐφ' οἷς ἐπέκειτο τὰ D πρὸς τὴν θυσίαν τοῖς τε Παναθηναίοις καὶ ταῖς ἄλλαις πομπαῖς.

ΚΑΝΘΑΡΟΣ, Ἀθηναῖος, κωμικός. Μνημονεύεται τούτου δράματα, Μήδεια, Τηρεύς, [p]Συμμαχίαι, Μύρμηκες, Ἀηδόνες.

ΚΑΝΘΑΡΟΣ: Παρὰ [q]τὸν κάνθωνα, τουτέστι τὸν ὄνον· καὶ παρὰ τὸν [r]ὀρὸν, τουτέστι τὸ [s]σπέρμα. Φασὶ γὰρ ὅτι ὁ κάνθαρος οὕτω τίκτεται. Ἐπὰν [t]εὕρῃ ὄνου κόπρον στρογγύλην, μένει κυλίων τοῖς ποσὶ, καὶ ἐν τῷ κυλίειν ἀποσπερμαίνει· καὶ ἐκ τούτου ὁ B κάνθαρος τὸ ζῶον γίνεται. Ὅθεν καὶ τὴν ὀνομασίαν ἔχει παρὰ τὸν κάνθωνα καὶ τὸν ὀρὸν, τουτέστι, τὸ σπέρμα· [u]κάνθορός τις ὤν. [v]Ἢ παρὰ τὸν θορὸν, ὃ δηλοῖ τὸ σπέρμα. [w]Ἢ ὁ [x]θορῶν περὶ τὸν κάνθωνα· ἀντὶ τοῦ, περὶ τὴν κόπρον τοῦ ὄνου. Ἢ [y]ἐκ τοῦ κάνθωνος [z]ὀρούων. ΚΑΝΘΩΝ δὲ κυρίως ὁ ὄνος. ΚΑΝΘΑΡΟΣ δὲ τὸ ζῶον, καὶ [a]ὄνομα λιμένος ἐν [b]Ἀθήναις, καὶ εἶδος ποτηρίου.

C Ὅτι [c]κάνθαρος θῆλυς οὐ γίνεται, ἀλλὰ πάντες ἄρσενες γεννῶνται.

ΚΑΝΘΑΡΟΥ [d]ΜΕΛΑΝΤΕΡΟΣ: Παροιμία. Μένανδρος Θησαυρῷ. Καὶ, ΚΑΝΘΑΡΟΥ ΣΟΦΩΤΕΡΟΣ: Ἐπὶ τῶν πονηρῶν καὶ κακοήθων.

ΚΑΝΘΗΛΗ: Πόλις.

ΚΑΝΘΗΛΙΟΣ: [e]Βραδὺς νοῆσαι, ἢ ἀφυής, [f]ἢ ὄνος D μέγας. [g]Ξενοφῶν λέγει,

Ὅτι ἐν Βαβυλῶνι οἱ φοίνικες οὐ μεῖον ἢ [h]πλεθριαῖοι τὸ μέγεθος γίνονται· [i]οἱ δὴ πιεζόμενοι [k]ὑπὸ βάρους ἄνω κυρτοῦνται, ὥσπερ ὄνοι κανθήλιοι.

[d] λόγον] λύγον A.

[e] τόξα] τὰ τόξα V. Schol. Ven.

[f] Πεπτηκότα] πεπτηότα A.E. πεπτηγότα V. et ni fallor B. πεπτεῶτα Schol. Ven.

[g] ἄλλη] ἄλλα E.

ΚΑΝΑΣΤΡΑΙΑ] Vide Hesychium v. Κάναστρον. KUST. Καναστρία V.

[h] κατὰ κτύπου] μετὰ κτύπου B.M. Zonaras, μετὰ κτύπων E.

ΚΑΝΔΑΚΗ: Ἡ τῶν Αἰθιόπων βασίλισσα] Ejus meminit Strabo diversis in locis. KUST. Vid. supr. p. 179 A.

ΚΑΝΔΗΛΑ] Vid. Suiceri Thes. Eccl. in v.

ΚΑΝΔΥΛΟΣ: Βρῶμα διὰ μέλιτος καὶ γάλ.] Vocabulum hoc Photius in Lexico inedito sic exponit: Κάνδυλος. (Κάνδυτος) σκευασία ὀψοποιϊκὴ μετὰ γάλακτος καὶ στέατος καὶ μέλιτος. ἔνιοι δὲ διὰ κρέως καὶ ἄρτου καὶ τυροῦ. οὕτως Ἀριστοφάνης. E Athenæus lib. XII. p. 516 D. idem edulium vocat κάνδαυλον, idque ex Hegesippo sic describit: Γίνεσθαι δ' αὐτόν φησιν ὁ Ταραντῖνος Ἡγήσιππος ἐξ ἑφθοῦ κρέως, καὶ κνηστοῦ ἄρτου, καὶ Φρυγίου τυροῦ, ἀνήθου τε καὶ ζωμοῦ πίονος. Alii cibum hunc κόνδυλον appellant, secuti auctoritatem Aristophanis in Pac. 122. ubi inter alia et hæc leguntur: Κολλύραν μεγάλην, καὶ κόνδυλον ὄψον ἐπ' αὐτῇ. Sed illi mentem Comici non sunt assecuti. Is enim, cum κάνδυλον dicere debuisset, præter expectationem κόνδυλον dixit: quod lepidum genus jocandi Aristophani perquam familiare esse constat. Hoc si Florenti Christiano ad dictum locum Comici in mentem venisset, haud puto eum diu dubitaturum fuisse, utrum edulium hoc κάνδυλος an vero κόνδυλος appellatum fuerit. KUST.

[i] ἀβυρτάκη] ἀρυτάκη V.

[k] ἐρύκων βρῶμα] Florens Christianus loco laudato scribendum putat ἐρεικτῶν, i. e. *e leguminibus fresis*: quod non displicet. Nam vulgata lectio ἐρύκων manifeste corrupta est. KUST. Lege Περσικὸν βρῶμα. Eadem emendatio adhibenda est Etymologo p. 488, 54. HEMST.

[l] Καὶ ζήτει ἐν τῷ Ἀκρόδρυα] Sed ibi legitur κάνδυν, non κάνδυλον. Quare existimo verba hæc ad sequentia pertinere, et legi debere post vocem ἀφελόντες. KUST.

ΚΑΝΔΥΣ] Vid. Rochetti Miscell. T. I. p. 83.

[m] κανίσκιον] κανίσχιον E.

ΚΑΝΗΣ] Apud Etymologum pro κάνης scriptum est κάνη. Vide eum v. Κάναθρον. KUST.

E ΚΑΝΗΦΟΡΟΙ. Φιλόχορός φησιν, ὡς Ἐριχθ.] Eadem habent Harpocratio et Photius in Lexico inedito. KUST. Non sunt eædem cum ἀρρηφόροις. Vid. supr. ἀρρηφορία. REINES. Schol. Lucian. D. D. XI. 16.

[n] Φιλόχορος] φιλόχωρος E. Photii ms.

[o] ἐφ' οἷς] ἐφ' ᾧ V. pr. cum Photio et Harpocr. ms. Pal. Tum ἀπέκειτο A.

[p] Συμμαχίαι] Συμμαχία Porsonus Advers. p. 298.

ΚΑΝΘΑΡΟΣ παρὰ τὸν] Ex Schol. Aristoph. Pac. 81.

[q] τὸν κάνθωνα] τὸ κάνθωνα V. qui mox τὸ ὀρόν.

F [r] ὀρόν] Lege θορὸν, ut apud Enarratorem Comici. KUST.

[s] σπέρμα] Apost. c. 10. pr. 74. ὁ Κάνθαρος ἄθηλυ ζῶόν ἐστι. σπείρει δὲ εἰς τὴν σφαῖραν, ἣν κυλίει etc. Clem. Alex. Strom. V. Euseb. Præp. Ev. c. 3. Ælian. H. A. IX. 16. REINES.

[t] εὕρῃ] εὕροι E.

[u] κάνθορος] ἢ κάνθορος Reines. κάνθαρος V. κάνθορος A.B.E. M. ἢ παρὰ—σπέρμα om. E.

[x] θορῶν περὶ] θορῶν V. omisso περί. πρὸς A. pro περί.

[y] ὁ ἐκ] ὁ om. V.

G [z] ὀρούων] ὀροῦ V.

[a] ὄνομα λιμένος] Vide Schol. Aristoph. ad Pac. 144. KUST. Vid. Meurs. Eleusin. c. 7. et in de Pop. Att. in Πειραιεύς, et infr. in Ναξιουργὴς κάνθαρος.—ὄνομα λιμένος Plut. in Phoc. meminit. REINES.

[b] Ἀθήνησι] Ἀθήναις A.E.

[c] Κάνθαρος θῆλυς] Ex Schol. Aristoph. Pac. 7. KUST.

[d] ΜΕΛΑΝΤΕΡΟΣ] ΜΕΛΑΝΤΕΡΟΝ V.

[e] Βραδὺς] Similia Schol. Platon. p. 52.

H [f] ἢ ὄνος μέγας. Ξενοφῶν λ.] Schol. Aristoph. Vesp. 170.

[g] Ξενοφῶν] De Instit. Cyri lib. VII. 5, 11.

[h] πλεθριαῖοι] πλεθριαῖον B.

[i] οἱ δὴ πιεζόμενοι ὑπὸ βάρους ἄνω κυρτ.] Vide quæ de sensu hujus loci erudite disputat Gatakerus Adversar. Miscell. lib. I. c. 2. KUST.

[k] ὑπὸ] ἀπὸ A.B.V.E.

Καὶ [l]Πολύβιος·

Ἐν γὰρ τοῖς ἐπιδεδεμένοις φορτίοις τὰ κανθήλια λαβόντας ἐκ τῶν ὄπισθεν, προθέσθαι πρὸ αὐτῶν ἐκέλευσε τοὺς πεζούς. Οὗ γενομένου, συνέβη παρὰ πάντας χάρακας ἀσφαλέστατον [m]γενέσθαι τὸ πρόβλημα.

Κάνθων: Ὄνος.

Κανόνιον: Οὕτω καλεῖται ἡ οἱαδήποτε πραγματεία, κἂν πλειόνων τυγχάνῃ πτυχίων, ἢ στίχων, [n]ἢ παγινῶν. Στίχον δὲ, [o]τὸν κατὰ τὸ κοινὸν ἔθος ὀνομαζόμενον, ἀπὸ ἀριστερῶν ἐπὶ [p]δεξιὰ ἀναγινωσκόμενον. Σελίδιον δὲ, τὸ ἀπὸ τῶν ἄνωθεν ἀναγινωσκόμενον ἐπὶ τὰ κάτω.

Κανονίς: Ἐργαλεῖον καλλιγραφικόν. [q]Ἐν Ἐπιγράμμασι·

Καὶ κανονίδ' ἑκάτην.

Κάννος καὶ Βύβλις: Ὀνόματα κύρια· ἀμφότεροι δυστυχήσαντες.

Κανοῦν: Κανίσκιον. Παρὰ τὴν τῶν Διονυσίων ἑορτὴν Ἀθήνησιν αἱ [r]εὐγενίδες ἐκανηφόρουν. Ἦν δὲ ἐκ χρυσοῦ πεποιημένα τὰ κανᾶ, ἐφ' ὧν τὰς ἀπαρχὰς πάντων ἐτίθεσαν. [s]Κανοῦν δὲ ἀπὸ τοῦ [t]κνεῖν. Ἐν τῷ κανῷ γὰρ ἐκρύπτετο ἡ μάχαιρα καὶ ταῖς ὀλαῖς καὶ τοῖς στέμμασι. [u]Ἀριστοφάνης·

Κανοῦν [x]ἔχοντε, καὶ χύτραν, καὶ μυρρίνας,
πλανώμεθα ζητοῦντες τόπον ἀπράγμονα.

[y]Τὰ πρὸς θυσίαν κομίζουσιν, ἵνα οἰκίσαντες ἐπὶ τῇ ἱδρύσει θύσωσι. Χύτραις γὰρ ἵδρυον. Οἱ δέ φασιν, ὅτι ἀμυντήρια τῶν ὀρνέων ἐβάσταζον· ἀντὶ ὅπλου μὲν, κανοῦν· ἀντὶ δὲ περικεφαλαίας, χύτραν, ἵνα μὴ ἐφιπτάμενα τὰ ὄρνεα τύπτῃ αὐτούς. Τὰς δὲ μυρρίνας, πρὸς τὸ ἀποσοβεῖν.

Κάνωβος: Ὄνομα κύριον. Καὶ ὄνομα πόλεως.

[z]Κάνωπος: Ὁ ἐν Αἰγύπτῳ. Ποτὲ, ὡς λόγος, Χαλδαῖοι τὸν ἴδιον θεὸν, [a]ὅπερ ἐστὶ τὸ πῦρ, ἀποσεμνύνοντες, πανταχοῦ περιέφερον· ὥστε τοῖς θεοῖς [b]πασῶν τῶν ἐπαρχιῶν συμβεβληκέναι, καὶ τὸν νικῶντα ἐκεῖνον παρὰ πάντων νομίζεσθαι θεόν. Τῶν μὲν οὖν ἄλλων ἐπαρχιῶν οἱ θεοὶ ἀπὸ χαλκοῦ, ἢ ἀργύρου, ἢ ξύλου, ἢ λίθου, ἢ ἄλλης τοιαύτης ὕλης ἐτύγχανον ἱδρυμένοι· ἡ δὲ τοιαύτη ὕλη εὐχερῶς [c]ὑπὸ τοῦ πυρὸς διεφθείρετο· ὥστε πανταχοῦ τὸ πῦρ ἀναγκαίως νικᾶν. Τοῦτο ἀκούσας ὁ [d]τοῦ Κανώπου ἱερεὺς, πανοῦργόν τι τοιοῦτον ἐνεθυμήθη. Ὑδρίαι ἐν τοῖς μέρεσι τῆς Αἰγύπτου εἰώθασι γίνεσθαι ὀστράκιναι, τρήσεις ἔχουσαι λεπτὰς συνεχεῖς, ὥστε διὰ τῶν τρήσεων ἐκείνων τὸ τεθολωμένον ὕδωρ διυλιζόμενον ἀποδίδοσθαι καθαρώτατον. Ἐκ τούτων τῶν ὑδριῶν μίαν λαβὼν ὁ τοῦ Κανώπου ἱερεὺς, καὶ τὰς τρήσεις ἐκείνας ἀποφράξας κηρῷ, καὶ [e]διαφόροις ζωγραφήσας χρώμασι, πληρώσας ὕδατος ἔστησεν ὡς θεόν· καὶ ἀποτεμὼν παλαιοῦ ἀγάλματος τὴν κεφαλὴν, ὅπερ ἐλέγετο Μενελάου τινὸς κυβερνήτου γεγενῆσθαι, ἐπιμελῶς ἐπιθεὶς, ἥρμοσεν αὐτὴν τῷ ἀγάλματι. Παρεγένοντο μετὰ ταῦτα οἱ Χαλδαῖοι· ἀνήφθη τὸ πῦρ, καὶ ὁ κηρὸς, δι' οὗ αἱ τρήσεις ἐτύγχανον πεφραγμέναι, διελύετο. Τῆς δὲ ὑδρίας ἱδρωσάσης, καὶ τὸ ὕδωρ διὰ τῶν τρήσεων ἐκβαλλούσης, ἐσβέννυτο τὸ πῦρ. Οὕτω τε τῇ πανουργίᾳ τοῦ ἱερέως ὁ [f]Κάνωπος τῶν Χαλδαίων νικητὴς ἀνεδείχθη· καὶ ἀπὸ τότε λοιπὸν ὡς θεὸς ἐτιμᾶτο.

Ὅτι [g]ὁ [h]ἑκατὸν σταδίους ἀπέχων Κανώβου, καὶ ὁ ἕνα, ἐπίσης οὐκ [i]εἰσὶν ἐν Κανώβῳ· οὕτω καὶ [k]πλέον καὶ ἔλαττον ἁμάρτημα ἐπίσης οὐκ εἰσὶν ἐν τῷ κατορθοῦν. Ζήτει σαφέστερον ἐν τῷ Ἀμπλάκημα.

Κἄν τι σφαλῇ τ' ἐκ λείου γοῦν [[l]τοῦ ξύλου:] [m]Ἀριστοφάνης. Ζήτει ἐν τῷ, Ἀπὸ καλοῦ ξύλου.

Κὰξ αὐτοῦ:

Κάωνος:

Κάππα διπλοῦν: Ἀντὶ τοῦ [n]κακά.

[o]Τρία κάππα κάκιστα·
Καππαδοκία, Κρήτη, καὶ Κιλικία.

Καππάδοξ: Μόνον τῶν εἰς [p]αξ διὰ τοῦ ο' μικροῦ.

[l] Πολύβιος] Σὺν γὰρ τοῖς scribit Schweighæuserus T.V. p. 35.

[m] γενέσθαι] Sic Schol. γενήσεσθαι A.V.E. edd. ante Kuster. Mox τὸ om. Schol. Aristoph.

ΚΑΝΘΩΝ] Κάνθωνος B.E.M.

ΚΑΝΟΝΙΟΝ] Vid. Salmas. ad Vopisc. p. 445. et 447.

[n] ἢ παγινῶν] ἤγουν παγινῶν A.V.E.

[o] τὸν κατὰ] τὸ κατὰ V.E. pr.

[p] δεξιὰ] δεξιῶν A.B.V. ἐπιδεξιῶν A.V. infra v. Στίχος.

[q] Ἐν Ἐπιγράμμασ.] Anthol. Pal. VI. 62.

ΚΑΝΝΟΣ καὶ ΒΥΒΛΟΣ. Ὄνομα κύριον] Lege Καῦνος καὶ Βύβλις. Ὀνόματα κύρια. De his vide Ovidium Metamorph. lib. IX. qui incestum et infelicem amorem Byblidis erga fratrem suum Caunum prolixe et eleganter describit. KUST. Recta lectio in Καύνιος ἔρως. HEMST. Καῦνος E. Tum Βύβλις B.V.E. Tum ὀνόματα κύρια B.E. pro ὄνομα κύριον.

ΚΑΝΟΥΝ: Κανίσκιον.] Ex Schol. Aristoph. Acharn. 241. KUST.

[r] εὐγενίδες] γυναῖκες addunt B.E. κατὰ τὴν τ. Δ. ἑ. παρὰ τοῖς Ἀθηναίοις αἱ εὐγενεῖς παρθένοι Schol.

[s] ΚΑΝΟΥΝ δὲ] Ex Schol. Aristoph. Pac. 948.

[t] κνεῖν] Lege καίνειν, ut apud Etymologum. KUST. Et sic Schol. ms. Ven.

[u] Ἀριστοφάνης] Av. 43. Deest Ἀριστοφάνης A.B.E.M.

[x] ἔχοντες] ἔχοντε V.E.

[y] Τὰ πρὸς] Σοφοκλῆς τὰ πρὸς A.B.V. Ἀριστοφάνης τ. π. M. Mox οἰκήσαντες A.V.E,M. Schol. Tum ἐν τῇ Schol. Ubi in seqq. variatur.

[z] Κάνωπος] Ruffinus Hist. Eccl. II. 26. REINES. Indicavit etiam Jablonski Panth. Ægypt. III. p. 143. Similia Cedrenus p. 325. ed. Paris.

[a] ὅπερ] ὥσπερ E.

[b] πασῶν] πᾶσι E.M.

[c] ἀπὸ] ὑπὸ A.B.E.

[d] τοῦ Κανώπου ἱερεὺς] ἱερεὺς τοῦ Κανώπου A.V.

[e] διαφόροις ζωγραφήσας] διαζωγραφήσας διαφόροις E.

[f] Κάνωπος] Κανώπου τοῦ E. ὁ Κάνωπος A.V.

[g] ὁ ἑκατὸν σταδίους] Hæc sunt verba Laërtii lib. VII. 120. KUST.

[h] ἑκατὸν] ἓν V.

[i] ἐστιν] εἰσὶν A.B.V.E. et sic mox.

[k] πλέον—ἁμάρτημα] ὁ πλεῖον καὶ ὁ ἔλαττον ἁμαρτάνων Laërt.

[l] ΤΟΥ ΞΥΛΟΥ om. A.B.V.E.M.

[m] Ἀριστοφάνης] Ran. 747.

[n] κακὸν] κακὰ A.V.E.

[o] Τρία κάππα κάκιστα. Καππαδ.] Constantinus Porphyrog. lib. I. Them. 2. Διαβεβόηται δὲ παρὰ πᾶσιν ἐπὶ κακοτροπίᾳ τὸ τῶν Καππαδόκων γένος, ὡς καὶ παροιμίαν περὶ αὐτῶν ἐξενεχθῆναι τοιαύτην· Τρία κάππα κάκιστα· Καππαδοκία, Κρήτη, Κιλικία. Affert deinde hanc in rem duo Epigrammata vetera, quæ etiam leguntur Anthol. II. 43. KUST. Post v. seq. V.

[p] αξ] οξ V. Mox μικροῦ γράφεται E. ubi infra om. ἡ εὐθεῖα, et paullo post Καππαδόκων.

Λέγεται δὲ καὶ Καππαδόκης ἡ εὐθεῖα. Καὶ Καππαδόκιον τέρας. A

Καπανῆται:

Κάππαρις: Εἶδος βοτάνης, ἧς ὁ καρπὸς [q]ἰατροῖς δοκεῖ εἶναι ὀνήσιμος.

[r]Ὁ δὲ Ζήνων ὁ [s]Κιτιεὺς ὤμνυε κάππαριν, καθάπερ Σωκράτης τὸν κύνα.

Κάππαρις: Παρὰ τὸ ἐκ [t]τοῦ κάμπου αἱρεῖσθαι.

Καπετωλεῖον τὸ ἱερόν. Καπιτώλιον δέ. B

Κάπηθεν καὶ Καπίστριον:

Καπηλείῳ: Αἰτιατικῇ.

Καπηλείας: Ἐμπορίας. Καὶ Καπηλεῖον.

Καπηλικῶς: Ἀντὶ τοῦ [u]πανουργικῶς. Ἐπεὶ [x]οἱ κάπηλοι [y]ὀνθυλεύουσι τὸν οἶνον, συμμιγνύντες αὐτῷ σαπρόν.

Οἱ κάπηλοι ὑμῶν θολοῦσι τὸν οἶνον.

Καπηλίς: Παρὰ τὸ κακύνειν τὸν πηλόν. Πηλὸς C δὲ ὁ οἶνος· ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπελος οὖσα, ἡ ἐν αὐτῇ ἔχουσα τὸν πηλόν.

Κάπηλος: Μεταβολεύς, πραγματευτής.

[z]Κάπηλος ἀσπίδων.

[a]Ὁ μετάβολος παντὸς πράγματος.

Κάπηλος: Ἓν ἀνθ' ἑνὸς [b]τινες οἴονται εἶναι· οἶον ἐκ τοῦ παρὰ [c]Σοφοκλεῖ. Εὐστίφορος ἐς τὸν πηλόν. Ὁ μέντοι οἶνος οὐκ ἔστι πηλός. Πόθεν δὲ ἐν τῷ καπήλῳ [d]ὁ οἶνος [e]ἐγγίνεται; καὶ γὰρ ἕτερόν ἐστιν οἰνοπώλης, καὶ ἕτερον [f]κάπηλος. Καθόλου γὰρ τοὺς πωλοῦντάς τι καπήλους ἔλεγον. [g]Ἔστι δὲ καὶ παρὰ [h]Σώφρονι ἐν ταῖς Ἀκεστρίαις. Ὁ δὲ Αἰσχύλος τὰ δόλια πάντα [i]κάπηλα καλεῖ.

B Κάπηλα [k]προφέρων τεχνήματα.

Καπήρια: Εἶδος πλακοῦντος· τὰ παρ' ἡμῖν [l]καπύρια.

Κάπιδα ὡς εἶναι μοι [m]δοκῶ τὸ χρῆμα μᾶλλον: Ἀντὶ τοῦ προσθήκην σχήσειν.

Καπίστριον: Ἡ τοῦ ἵππου [n]φορβεία. Κάπουτ γὰρ Ῥωμαϊκῶς ἡ κεφαλή· καὶ ἐξ αὐτοῦ καπίστριον.

Καπιτώλιον: Ὁ Ῥωμύλος μετὰ τὸ κτίσαι τὸ C Παλάτιον [o]ἔκτισε καὶ τὸ Καπιτώλιον, ὅ ἐστι κεφαλὴ τῆς πόλεως· ἐν ᾧ καὶ [p]τὸ Παλλάδιον ἐπέθετο [q]λαβὼν ἀπὸ τῆς πόλεως [r]Σίλβης. [s]Σατούρνιον δὲ πρότερον ἐκαλεῖτο· ὕστερον δὲ Καπιτώλιον ἐκ τῆς φανείσης ὀρυττομένων τῶν θεμελίων ἐν τῇ γῇ κεφαλῆς σώματος νεοσφαγοῦς.

[q] ἰατροῖς om. E.

[r] Ὁ δὲ Ζήνων] Hæc sunt verba Laërtii lib. VII. 32. Idem etiam de Zenone refert Athen. lib. IX. p. 370. KUST.

[s] Κιττιεὺς] Κιτιεὺς V.E. Tum ὤμνυε E.

ΚΑΠΠΑΡΙΣ: Παρὰ τ.] Vide Etymologum. KUST.

[t] τοῦ κάμπου] τοῦ om. B.E. Statim delevi ΚΑΠΕΤΟΣ. Σορὸς, θήκη, τάφρος. Παρὰ τὸ σκάπτω, σκάπετος, καὶ κάπετος, cum A.B.V.E. Eadem fere apud Etymologum et Zonaram. Ad eam v. sic Reinesius: "αὕτη ῥωγὰς ἔχει κάπετος, E " prærupta fossa, i. e. in edito et prærupto loco cavata. " Posidipp. ap. Athen. X. 414."

ΚΑΠΙΤΩΛΕΙΟΝ] Καπετωλεῖον A.V. In seqq. hunc ordinem servat V. scil.: Κάππαρις: Κάπετα καὶ ἔπειτα: Καπηλείας: Καπηλικῶς: Κάπηθεν: Καπηλεύω. Statim delevi cum mss. ΚΑΠΗ: Ἡ φάτνη. Παρὰ τὸ κάπτειν, τὸ ἐσθίειν. Κάπος δέ ἐστι τὸ πνεῦμα· ἢ ἀπὸ τῶν ἀσθμάτων τῶν ἵππων καταπνεομένη. Ἢ παρὰ τὸ ἐσκάφθαι, καὶ κεκοιλᾶσθαι, quæ leguntur rectius apud Etymologum.

ΚΑΠΗΛΙΚΩΣ: Ἀντὶ] Ex Schol. Aristoph. Plut. 1064. F

[u] πανουργικῶς] Sic recte habet Scholiasta Aristophanis. In prioribus vero edit. [et B.V.E.] pessime legitur πανηγυρικῶς. KUST.

[x] οἱ κάπηλοι] Seqq. om. V. quæ judice Hemsterhusio ad Aristoph. Plut. p. 397. sunt interpretatio Iesaiæ I. 22. ubi nunc in versione Græca, Οἱ κάπηλοί σου μίσγουσι τὸν οἶνον ὕδατι.

[y] ὀνθυλεύουσι] Hunc ipsum locum Suidæ, sed tacito ejus nomine, adducit Eustathius ad Il. ψ'. p. 1329, 13, G 14. ut Portus etiam observavit. KUST.

ΚΑΠΗΛΙΣ: Παρὰ τὸ] Depromptus est hic locus ex Scholiis ad Aristophanis Plutum 435: sed auctioribus iis et haud paulo melioribus, quam quæ nunc habemus. Deducitur autem vox καπηλὶς sive καπηλὸς, ἀπὸ τοῦ πηλοῦ, a vino scilicet vel vendendo, vel corrumpendo, vel ab utroque denique. Hesychius: Πηλὸς, οἶνος. Ἴωνες. Sophocles apud Etymol. Mag. v. Κάπηλος· Πολὺς δὲ ΠΗΛΟΣ ἐκ πίθων τυρβάζεται. TOUP.

[z] Κάπηλος ἀσπίδων] Aristoph. Pac. 446. Κεἴ τις δορυξὸς, ἢ H κάπηλος ἀσπίδων. Hunc ipsum locum Comici Suidas in mente habuit. KUST.

[a] Ὁ μετάβολος] Hanc lectionem ex mss. Paris. revocavi. In prioribus enim edit. male legitur εἰμετάβολος. KUST. ἡ μεταβολὴ E.

ΚΑΠΗΛΟΣ: Ἓν ἀνθ' ἑνὸς τινες οἴονται εἶναι· οἶον ἐκ τοῦ D παρὰ Σοφ.] Locus hic ita legendus et supplendus est: Κάπηλος. Ἓν ἀνθ' ἑνὸς τινες οἴονται εἶναι πηλὸν καὶ οἶνον ἐκ τοῦ παρὰ Σοφοκλέους· Πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται. Ὁ μὲν οὖν Σοφοκλῆς εὐστίφορος &c. Vide Etymologum v. Κάπηλος. Portus in loco hoc interpretando a scopo procul aberravit, adeo ut in ejus versione ne umbra quidem veri sensus appareat; ut lectori patebit, qui interpretationem ejus cum nostra comparare voluerit. Hæc cum scripsissem, incidi in Gatakeri Adversar. Miscell. Posth. c. V. E ubi locum hunc Suidæ a viro doctissimo recte emendatum et expositum esse video. KUST. Male. Supplendum in Suida, Κάπηλος οἰνοπώλης, ἓν ἀνθ' ἑνὸς etc. ut patet ex Etymolog. HEMST. Vide quæ de v. Κάπηλος notavit Valckenærius, Adnot. Crit. Nov. Fœd. p. 409 seqq.

[b] τινες] τινὸς B.E.

[c] Σοφοκλεῖ] Σοφοκλῆς V. Hinc patet supplendum esse ex Etymologo, Σοφοκλεῖ· πολὺς δὲ πηλὸς ἐκ πίθων τυρβάζεται· ὁ μὲν οὖν Σοφοκλῆς εἶπεν.

[d] οἶνος] ὁ οἶνος A.B.V.E.

F [e] ἐγγίνεται] ἔγκειται Etymol.

[f] κάπηλος] καπηλεῖον Etymol.

[g] Ἔστι δὲ—ἀκεστρίαις om. Etymol.

[h] Σώφρονι] Σώφρονι V.

[i] ΚΑΠΗΛΑ] καπηλεία vel καπηλεῖα B.V.E.M.

[k] προφέρων] Sic libri Suidæ cum Etymologo ed. et ms. Dorvill. Unus Etymol. ms. Paris. præbet προσφέρων. Etymol. Gud. προσφέρονται.

[l] καπύρια] Vid. Du Cang. in v.

[m] δοκῶ] Legendum esse δοκεῖ sensus suadet. KUST. G Decerptus est hic locus ex Aristoph. Lysist. 660. ubi legitur δοκεῖ. TOUP.

[n] φορβειά] φορβεία A.V.E.

[o] ἔκτισε καὶ τὸ Καπιτώλιον] Hoc falsum puto, quoniam alii scriptores Capitolium a Tarquinio exstructum esse tradunt. KUST.

[p] τὸ Παλλάδιον λαβὼν ἀπὸ τῆς πόλεως Ἄλβης ἀπ.] Vide Holstenium ad Stephanum v. Δάρδανος. KUST.

[q] λαβὼν] ἐπέθετο λαβὼν A.B.V.E.

H [r] Ἄλβης] σίλβης A.B.V.E.M. Et sic reposui cum Chronic. Alexandrino, s. Paschali, qui p. 109. 110. similia cum Suida tradit. Edidit quidem Ἄλβης Du Cangius, sed ex edd. Suidæ. Chronici mss. Σίλβης habere patet ex ejus nota et ex Holsten. ad Steph.

[s] Σατούρνιον] Σατούρνιον A.V. Σατούρνιον E. ἐπέθετο σατούρνιον M.

Καπίτων: Λύκιος, ἱστορικός. Οὗτος ἔγραψεν A
[t]Ἰσαυρικὰ, βιβλία [u]η΄. [x]Μετάφρασιν τῆς ἐπιτομῆς Εὐτροπίου, Ῥωμαϊστὶ ἐπιτεμόντος Λίβιον τὸν Ῥωμαῖον, καὶ περὶ Λυκίας καὶ Παμφυλίας.

Κάπνη: Ἡ καπνοδόκη. [y]Ἀριστοφάνης·

Τί ποτ' ἄρ' ἡ κάπνη ψοφεῖ;

Καπνίας οἶνος· ὃς γίνεται ἐν [z]Βενεβεντῷ τῆς Ἰταλίας. Καὶ καπνία ἄμπελος, ἡ μέλαινα.

Καπνίας: Ποιητὴς, ὁ μηδὲν λαμπρὸν γράφων. B

Καπνοῦ σκιά: Ἐπὶ τῶν λίαν ἰσχνῶν.

[a]Κοὐκ οἶδ' ἐναίρων νεκρὸν, ἢ καπνοῦ σκιὰν,
εἴδωλον ἄλλως· οὐ γὰρ ἂν σθένοντά γε
εἷλέν με.

Λέγεται ὁ καπνὸς καὶ ἀμενηνός. [b]Καὶ παροιμία·

Καπνὸν εἶναι ἡγούμην.

Ἐπὶ τῶν [c]οὐδαμινῶν καὶ μηδενὸς ἀξίων.

C Καπρίαι: Αἱ ἐντὸς τῶν πτερυγωμάτων τῆς φύσεως τῶν καμήλων [d]ἐπανιστῶσαι σάρκες, ἃς τέμνουσιν, ὁπόταν εἰς πόλεμον ἐξίωσιν. Οὐκέτι γὰρ συνουσιάζουσι.

Κάπρος: Τὸ αἰδοῖον τοῦ ἀνδρός.

Κάπρος Ἐρυμάνθιος:

[e]Δρύοπες, ἔθνος περὶ τὴν Πυθῶνα ᾤκουν, οὓς Ἡρακλῆς μετῴκισεν. Ὅτε γὰρ τὸν Ἐρυμάνθιον κάπρον ἔφερεν, ᾔτει αὐτοὺς τροφήν· οἱ δὲ οὐκ ἔδωκαν. D

Καπρῶντας: Ὁρμητικῶς ἔχοντας πρὸς συνουσίαν.

Καπύη: Ὄνομα πόλεως μεγίστης.

[f]Ἡ δὲ Καπύη μεταθεμένη πρὸς τοὺς Καρχηδονίους, τῷ βάρει συνεπεσπάσατο καὶ τὰς ἄλλας πόλεις.

Κάρ: [g]Ἀριστοφάνης·

Εἰ δὲ δοῦλός ἐστι καὶ Κὰρ, ὥσπερ Ἐξηκεστίδης,
φυσάτω πάππους παρ' ἡμῖν, καὶ φανοῦνται φράτερες.

Κάραμβις: Τόπος τίς.

Καραδοκεῖ: [h]Προσδοκᾷ, κατασκοπεῖ. [i]Παρὰ τὸ τῇ κάρᾳ δοκεύειν, ἤγουν ἐμβλέπειν καὶ ἐπιτηρεῖν B καὶ ἐλπίζειν, ἢ τὸ τῇ κεφαλῇ προβλέπειν ἐκδεχόμενον. Μήποτε δὲ τὸ [k]κέαρ ἔγκειται. [l]Τὸ γὰρ καρηβαρεῖν, ἤτοι καταβαρεῖσθαι τὴν κεφαλὴν, ἢ παραβάλλειν αὐτὴν ἀπὸ μέθης. [m]Τινὲς δὲ, ὅτι σύνθετόν ἐστι [n]τοῦ κάτω κάρα ἐπιφέρειν τὸ καραδοκεῖν. Παρατίθενται Δίφιλον λέγοντα·

[o]Τὴν νύκτ' ἐκείνην διεκαραδόκησεν.

Καραδοκήσοντα: [p]Ἡρόδοτος.

Ὁ δὲ πέμπει ἐς Δελφοὺς Κάδμον, καραδοκήσοντα τὴν μάχην, ᾗ πεσεῖται.

Κάρανος, εἷς τῶν Ἡρακλειδῶν, στρατολογήσας ἐκ τῆς Ἑλλάδος, ἦλθεν εἰς Μακεδονίαν [q]ἄδοξον οὖσαν τότε, καὶ ἐβασίλευσε, καὶ διαδοχῇ κέχρηται μέχρι Φιλίππου. Ἀμύντας δὲ [r]ὁ Φιλίππου πατὴρ, Εὐρυδίκην Ἰλλυρίδα γήμας, ἔσχε παῖδας, Ἀλέξανδρον, Περδίκκαν, Φίλιππον· οὓς ἔνιοι καὶ ὑποβεβλῆσθαι τὴν Εὐρυδίκην φασί. Πολεμήσας δὲ Θηβαίοις, ὅμηρον ἔδωκε νέον ὄντα τὸν Φίλιππον· οὗ γενέσθαι Θηβαῖόν τινα [s]Παμμένην ὄνομα ἐραστὴν, ὥς φασιν. Ἀμύντου δὲ τελευτήσαντος, Παυσανίας φυγαδευθεὶς

[t] Ἰσαυρικὰ, βιβλία η] Plures Isauricorum libros quam octo a Capitone scriptos fuisse discimus ex Stephano E Byzantio, qui ejus operis librum XV. citat in v. Ψιμάδα. Quare Pearsonii conjecturam probo, qui hoc loco pro η΄ scribendum suspicatur ιη΄. KUST. Sic etiam Reinesius.

[u] η΄] ζη E.

[x] Μετάφρασιν τῆς ἐπιτομῆς Εὐτρ.] Vide quæ notavimus supra ad v. Ἀμύσσειν. KUST.

ΚΑΠΝΗ] ἡ κάπνη B.E. Mox σοφεῖ A.B.V.E.

[y] Ἀριστοφάνης] Vesp. 143.

ΚΑΠΝΙΑΣ ΟΙΝΟΣ: Ὃς γίνεται ἐν Βενεβ.] Ex Schol. Aristoph. Vesp. 151. Vide etiam Athenæum lib. I. p. 31. F et Maussacum in Dissertat. Crit. circa finem. KUST.

[z] Βενεβεντῷ] A. in marg. scriptum habet, Βενεβεντὸν λέγουσι πνευμάτων βίαν, et paullo post, περὶ καπνιζομένων ζήτει ἐν τῷ Θυμιᾶν. Eadem V. sed post gl. seq.

ΚΑΠΝΙΑΣ: Ποιητὴς, ὁ μηδὲν λαμπρ.] Optime Photius in Lexico inedito: Καπνίας: Ἐκφαντίδης· διὰ τὸ μηδὲν λαμπρὸν γράφειν. Ecphantides enim Comicus cognominatus fuit *Capnias*, quod poemata obscura et rancida scriberet. Enarrator Comici ad Vesp. 151. Τὸν ἐπικλινόμενον οἶνόν φασί τινες καπνίαν λέγεσθαι. Ἐν δὲ τοῖς περὶ Κρατῖνον διώρισται· ἢ G τὸ ἀπόθετον, ἢ καὶ παλαιόν. Διὸ Ἐκφαντίδην Καπνίαν καλοῦσιν. Hesychius: Καπνίας: Ἐκφαντίδας ὁ τῆς κωμῳδίας ποιητὴς Καπνίας ἐπεκαλεῖτο, διὰ τὸ μηδὲν λαμπρὸν γράφειν. Quare et Suidas de Ecphantide Comico hic intelligi debet: vel potius nomen Ἐκφαντίδης, quod negligentia librariorum omissum videtur, huic loco restituendum est. Vide Maussacum in Dissert. Crit. circa finem. KUST.

[a] Κοὐκ οἶδ' ἐναίρων νεκρ.] Sophocl. Philoct. 946.

[b] καὶ παροιμία· Καπνὸν εἶναι ἡγ.] Sic locum hunc ex ms. H Paris. A. emendavi. In prioribus enim edit. vitiose legitur: Καὶ παρὰ καπνὸν εἶναι ἡγούμην. KUST. παρὰ B.E.

[c] οὐδαμινῶν] μηδαμινῶν E. Tum οὐδενὸς A.E. pro μηδενός.

ΚΑΠΡΕΑΙ: Αἱ ἐντὸς τῶν πτερυγωμ.] Vide Aristotelem de Histor. Anim. lib. IX. c. 50. KUST. Hoc notavit Portus, qui præterea monuit Aristotelem Καπρία exhibere. Καπρίαι A.B.V.E.

[d] ἐπανιστῶσαι] ἐπανιστῶσαι B.V.E.

ΚΑΠΡΟΣ] V. addit ζήτει παρακάτω.

[e] Δρύοπες, ἔθνος] Vide supra v. Δρύοπες. KUST.

ΚΑΠΡΩΝΤΑΣ: Ὁρμητ.] Vide Hesych. v. Ἀφροδισία ἄγρα. KUST.

[f] Ἡ δὲ Καπύη] Fragmentum hoc Polybio tribuit Fulv. Ursinus. KUST. Vid. ed. Schweighæuser. t. V. p. 32.

[g] Ἀριστοφάνης] Av. 765.

ΚΑΡΑΜΒΙΣ] Vide Etymologum. KUST. Κάραβις B. V.E.

[h] Προσδοκᾷ: Παρὰ Ἡροδότῳ] Delevi παρὰ Ἡροδότῳ cum A.B.V.E.

[i] Παρὰ τὸ τῇ κάρᾳ] Confer Etymologum, qui eadem pene αὐτολεξεὶ habet. KUST. τὸ om. V.

[k] κέαρ] Sic habent 2 mss. Paris. itemque Etymologus. In prioribus vero edit. [et B.E.] minus recte legitur ἔαρ. KUST.

[l] Τὸ δὲ] Τὸ γὰρ A.V.

[m] Τινὲς δὲ] Τιμαχίδας δὲ Etymol.

[n] τοῦ κάτω] τὸ κάτω V.

[o] Τὴν νύκτ' ἐκείνην διεκαρ.] Hoc fragmentum est corruptum, nec propter brevitatem integrum habet sensum: quod proinde frustra quis illustrare conetur. KUST. Diphili senarius nonnihil corruptus est, sed ita tamen ut nullo negotio redintegrari possit. Rescribe, Τὴν νύκτ' ἐκείνην διεκαραδοκήσαμεν *Noctem illam totam expectantes transegimus.* Ea est vis verbi διακαραδοκεῖν· quod quidem rarissimum est. TOUP. Toupio assentiuntur Ruhnkenius ad Tim. p. 152. et Abresch. ad Cattier. Method. Admirab. p. 76.

[p] Ἡρόδοτος] Lib. VII. 163. Vid. not. ad VII. 168.

[q] ἄδοξον] ἔνδοξον A.B.V.E.M.

[r] ὁ Φιλίππου πατὴρ] ὁ πατὴρ ὁ Φιλίππου V.

[s] Παμμένην] Παμμένη B.E. Vid. Wesseling. Diod. Sic. XVI. 34.

ὑπ' αὐτοῦ πρότερον, κατελθὼν ἐβιάσατο τοὺς παῖδας, καὶ κατέσχε τὴν ἀρχήν. Εὐρυδίκη δὲ Ἀθηναίων [t]στρατηγῷ διατρίβοντι περὶ τὴν Μακεδονίαν χρησαμένη συμμάχῳ, τὸν Παυσανίαν ἐκβάλλει. Ἕως μὲν οὖν ἦρχον οἱ πρεσβύτεροι, οὐδὲν ἐνεωτερίζετο· Φίλιππος δὲ ἄρξας δύο καὶ εἴκοσιν ἔτη γεγονὼς, πολλοὺς κατεστρέφετο βαρβάρους τε καὶ Ἕλληνας, ἔλαβε δὲ καὶ Ἀθηναίων Ἀμφίπολιν, καὶ Θετταλίαν ὑφ' ἑαυτῷ ἐποιήσατο, καὶ τὰς Χαλκιδικὰς πόλεις δύο καὶ τριάκοντα, ὧν ἐπρώτευον Ὀλύνθιοι. [u]Ὃς Ποτίδαιαν ἀφελόμενος Ἀθηναίους, ἐδωρήσατο [ταύτην αὐτοῖς,] [x]ἀπατῶν αὐτούς. Ὅμως δὲ βοηθοὺς ἔπεμψαν Ἀθηναῖοι ναῦς μ' καὶ Χάρητα στρατηγόν· οὗ [y]χειμῶνι ἀπολειφθέντος, προδόντων δὲ τὴν [z]Ὄλυνθον Εὐθυκράτους καὶ Λασθένους, τὴν μὲν ἀνάστατον ἐποίησε, τὰς δὲ [a]ἄλλας πόλεις εἷλεν· Ἀθηναῖοι δὲ τοὺς περισωθέντας πολίτας ἐποιήσαντο. Μεθωναίοις δὲ τοῖς ἐπὶ Θρᾴκης πολεμῶν, τὸν ὀφθαλμὸν ἐπηρώθη, [b]Ἀστέρος τινὸς ὄνομα βαλόντος αὐτὸν βέλει, ἐπιγράψαντός τε τῷ βέλει·

Ἀστὴρ Φιλίππῳ θανάσιμον [c]πέμπει βέλος.

Πρὸς ὃν ἀντιγράψας ἔπεμψε βέλος ὁ Φίλιππος·

Ἀστέρα Φίλιππος, ἢν λάβῃ, κρεμήσεται.

Καὶ ὑποσχόμενος εἰρήνην, ἐξῄτησε, καὶ λαβὼν ἐκρέμασεν. Εἷλε δὲ καὶ Κερσοβλέπτην, Θρᾳκῶν βασιλέα, καὶ φίλον Ἀθηναίων, καὶ Ἀλόννησον ἔλαβε, καὶ ἄλλας πόλεις· [d]μεθ' ἃ ὁ πόλεμος ὁ Φωκικὸς συνέστη.

**Καρανούσθω**: Τελειούσθω.

**Κᾶρες**: Ὄνομα [e]ἔθνους.

**Καρατομεῖται**: Ἀποκεφαλίζεται.

**Καρβάτιναι**: Εἶδος ὑποδήματος.

[f]Ἐπειδὴ ἀπώλεσε τὰ ἀρχαῖα ὑποδήματα, [g]καρβάτινα εἶχον ἐκ τῶν νεοδάρτων βοῶν.

**Κάρβων**: Κάρβωνος.

**Κάρδαμα**: Ἐπισχετικὰ [h]οὔρων τὰ κάρδαμα, καὶ πτύσματος. Καὶ διὰ τοῦτό [i]φασι τοὺς Πέρσας χρῆσθαι. [k]Φυλάττονται γὰρ πολλὰ πτύειν, καὶ οὐρεῖν, καὶ ἀπομύττεσθαι.

**Καρδαμίς**: Εἶδος λαχάνου.

**Καρδία**: Πόλις Θρᾴκης. Καὶ **Καρδιανοὶ**, οἱ πολῖται. Καὶ ὄνομα πελάγους.

**Καρδία**: Ὅτι τὰ ἔνυδρα καρδίαν οὐκ [l]ἔχει, οὐδὲ πνεύμονα. Ὅσα δὲ πνεύμονα ἔχει, τῇ τραχείᾳ ἀρτηρίᾳ καταψύχεται τὸ ἐντὸς θερμὸν, δι' αὐτῆς εἰσιόντος τοῦ ἀέρος. Οἱ δὲ ἰχθύες διὰ τῶν βραγχίων καταψύχουσι τὸ ἐντὸς θερμὸν, συστέλλοντες αὐτὰ, καὶ εἰσδεχόμενοι τὸ ὕδωρ, ὥστε οὐ δέονται πνεύμονος. Καὶ ἄλλως οὐδὲ πάνυ δέονται τὰ ἔνυδρα τοῦ εἰσιέναι ἔξωθεν τὸ ὑγρὸν ἵνα ἐμψύξῃ· τὸ γὰρ ὕδωρ αὐτοῖς περικείμενον αὐτῇ τῇ ἀφῇ τὴν ἔμψυξιν [m]ἐργάζεται. Ἡ καρδία δὲ [n]πρώτως τῆς [o]ἐμψύξεως δεῖται· πηγὴ γάρ ἐστι τοῦ ἐμφύτου θερμοῦ τοῖς ζῴοις ἡ καρδία· διὰ δὲ αὐτὴν καὶ ὁ πνεύμων. Διὰ μὲν οὖν τῆς εἰσπνοῆς ἐμψύχεται ἡ καρδία· διὰ δὲ τῆς ἐκπνοῆς τὰ [p]λιγνυώδη περιττώματα ἀποκρίνεται. Ἐπιπολὺ δὲ ἀπνευστὶ οὐ δυνάμεθα διαλέγεσθαι, διὰ τὸ δαπανᾶσθαι τὸ πνεῦμα τὸ ἐν τῷ θώρακι. Δεόμεθα οὖν πρότερον εἰσπνεῦσαι ἄλλο εἰς χορηγίαν τῆς φωνῆς. Ἅμα δὲ εἰσπνεῖν τε καὶ διαλέγεσθαι ἀδύνατον· ἐπεὶ μηδὲ εἰσπνεῖν τε καὶ ἐκπνεῖν· ἐναντία γάρ. Διὰ τοῦτο καὶ οἱ τραγῳδοὶ ἐκτείνειν μέλλοντες τὰ μέλη, πολὺ πρότερον εἰσπνέουσι πνεῦμα, καὶ οὕτως ἄρχονται φωνεῖν, ἵνα ἐξαρκέσῃ αὐτοῖς [q]πρὸς τὴν ἐκπνοήν.

Ὅτι **Καρδία** τῆς ἀρετῆς ἐστιν ἡ ἐλεημοσύνη.

**Καρδία**: Ὅτι οἱ παλαιοὶ τὸν στόμαχον καρδίαν ἐκάλουν. Ἔνθεν καὶ **καρδιωγμός**.

**Καρδιαλγίαι**: Λῦπαι καρδίας.

**Καρδιουλκία**: [r]Τὰς καρδίας ἕλκειν τῶν θυμάτων.

**Καρδιοφύλαξ**: Παρὰ Ῥωμαίοις χάλκωμα σπιθαμιαῖον πάντη πάντως, ὃ [s]προσετίθεντο πρὸ τῶν στέρνων.

[t] στρατηγῷ] Is Iphicrates fuit, ut constat ex Æschine Περὶ Παραπρεσβείας. HEMST. Adde Wesseling. Diod. Sic. XVI. 2.

[u] Ὃς—Ἀθηναίους] Vide Libanium in argumento Olynthiac. 1. KUST. ὃ—Ἀθηναίων A.B.V.E. ubi mox om. ταύτην αὐτοῖς. Forte leg. Οἷς Ποτίδαιαν ἀφελόμενος Ἀθηναίων ἐδωρήσατο, &c.

[x] ἀπατῶν αὐτούς] Max. Tyrius Diss. 19. REINES.

[y] χειμῶνι] χειμῶνος V.

[z] πόλιν Ὄλυνθον] πόλιν om. A.B.E.

[a] ἄλλας] ἄλλας πόλεις A.

[b] Ἀστέρος] Vid. Ptol. Heph. καιν. ἱστ. III. ap. Phot. c. 190. REINES. Wesseling. Diod. Sic. XVI. 34.

[c] ἐκπέμπει] πέμπει A.V.

[d] μεθ' ἃς] μεθ' ἃ ὁ A. μεθ' ἃς ὁ B.V.E.

ΚΑΡΑΝΟΥΣΘΩ] Sic habent 2 mss. Paris. itemque Lexicon Photii ineditum, et Hesychius. In prioribus vero edit. [et B.E.] legitur καραιωάσθω, quod corruptum esse non dubito. KUST.

[e] ἔθνους] Addit E. Καὶ Καρία ὄνομα τόπου.

ΚΑΡΒΑΤΙΝΑΙ: Εἶδος ὑποδ.] Vide Hesychium. KUST. Καρβάτιναι A.B.V.E. pr.

[f] Ἐπειδὴ ἀπώλεσε——βοῶν] Xenophontis IV. [5, 14.] de Expedit. Cyri p. 330. ut Pearsonius observavit. KUST. Vid. Politiani Misc. c. 2. REINES. ἀπώλεσε E.

[g] καρβάτιναι αὐτοῖς ἦσαν πεποιημέναι] καρβάτινα εἶχον A.B.V. καρβάτιναι ἦσαν πεποιημέναι E. qui in fine addit Βοσφῶν. Tum B.V.E. Λύσις ὀνείρου· ἄνθραξι βαίνειν ἐχθρικὴν δηλοῖ βλάβην.

ΚΑΡΔΑΜΑ] Sumptus locus ex Schol. Aristoph. Thesm. 616.

[h] οὔρων] οὖν B.E.

[i] φασι] φησὶ E.

[k] Φυλάττονται] Seqq. spectare Xenoph. Cyrop. I. 2, 16. ex eodem Schol. patet.

[l] ἔχει] ἔχουσι V. et sic infra.

[m] ἐργάζεται] ἀπεργάζεται V.

[n] πρώτως] πρώτη E.

[o] ψύξεως] ἐμψύξεως A.B.V.E.

[p] λιγνυώδη περιττώματα] Alexand. Aphrodis. Probl. I. p. 255, 18. ed. Sylb. Mox δαπανᾶσθαι M.

[q] πρὸς] περὶ B.V.E.

ΚΑΡΔΙΑ: Οἱ παλαιοὶ τὸν στόμαχον καρδ.] Huc faciunt verba illa Erotiani: Καρδίαν ἐκάλουν οἱ παλαιοὶ καὶ τὸ τῆς γαστρὸς στόμα, ὃν καὶ στόμαχον κοινῶς καλοῦμεν. Καρδιώττειν οὖν καὶ καρδιαλγεῖν λέγεται τὸ μετὰ ναυτίας καὶ ὀδύνης ἀνιᾶσθαι τὸν στόμαχον· καὶ καρδιωγμὸς ἐντεῦθεν, ἀντὶ τοῦ ὁ τοῦ στομάχου δηγμός. KUST. Hausit Suidas ex Schol. Thucyd. II. 49.

[r] Τὰς] τὸ τὰς A. Vid. not. ad Hesych.

ΚΑΡΔΙΟΦΥΛΑΞ: Παρὰ Ῥωμαίοις χάλκωμα σπιθ.] Hic locus depromptus est ex Polyb. lib. VI. c. 21. (23.) ubi armatura militum Romanorum describitur. KUST. Vid. Kuhn. ad Polluc. I. 134.

[s] προσετίθεντο] προετίθεντο A.E.

Καπίτων: Λύκιος, ἱστορικός. Οὗτος ἔγραψεν A [t]Ἰσαυρικὰ, βιβλία [u]η΄. [x]Μετάφρασιν τῆς ἐπιτομῆς Εὐτροπίου, Ῥωμαϊστὶ ἐπιτεμόντος Λίβιον τὸν Ῥωμαῖον, καὶ περὶ Λυκίας καὶ Παμφυλίας.

Κάπνη: Ἡ καπνοδόκη. [y]Ἀριστοφάνης·

> Τί ποτ' ἆρ' ἡ κάπνη ψοφεῖ;

Καπνίας οἶνος· ὃς γίνεται ἐν [z]Βενεβεντῷ τῆς Ἰταλίας. Καὶ καπνία ἄμπελος, ἡ μέλαινα.

Καπνίας: Ποιητὴς, ὁ μηδὲν λαμπρὸν γράφων. B

[q] Τὸ ἄλλου ἀγωνιζομένου] Eodem modo vocem καταβραβεύειν in laudato loco Pauli exponit Theophylactus p. 654.

Καταβροντῶ: Γενικῇ καὶ αἰτιατικῇ. A

Καταβραχύ: [ᶠΚατ' ὀλίγον.]

Καταβροχθίσας: Ἐκροφήσας, καταπιών. Ἐπὶ δὲ τῶν ἀθρόως ῥοφευμένων καὶ ἀπλήστως λέγεται τὸ καταβροχθίσας.

> ᵉἘγὼ δ' ἤνυστρον βοὸς ᵍκαὶ κοιλίαν ὑείαν
> καταβροχθίσας, . . . .
> λαρυγγιῶ τοὺς ῥήτορας.

Καταγέλως: B

> ᵘΤαῦτ' οὐ κατάγελώς ἐστιν ἀνθρώποις πλατύς;

Καὶ ἡ δοτική, τῷ καταγέλωτι. Καὶ καταγελῶ σου, γενικῇ.

Καταγγέλλω: Γενικῇ.

Μήποτέ σου καταγγείλῃ ἐπὶ τοῦ νομοθέτου.

Δοτικῇ δέ·

Εὐφροσύνης καὶ χαρᾶς ἡμέρα καταγγέλλει τοῖς ἰδίοις ἐκ τῶν νηστειῶν. C

Καταγγέλτους:

Οἱ δὲ ἔλεγον ἀπαλλαγῆναι αὐτούς, πρὶν καταγγέλτους τισίν, ὅτι πάρεισι, γενέσθαι.

Καταγέμων: Δαψιλῶς ἔχων.

Ὁ δὲ λείας καταγέμων ἐπανῆλθεν εἰς τὴν πόλιν.

Κατάγαιον οἴκημα, καὶ ˣκατάγειον: Ὑπὸ γῆν. D

ʸΑἱ δ' οἰκίαι ἦσαν κατάγειοι.

Καταγευσθείς: Τῇ γεύσει νικηθείς.

Κατάγειν:

ᶻἌνδρας ᶻἐπιφανεῖς στεφηφορεῖν, καὶ στεφάνους κατάγειν, τέλειον αὐτοῖς ἀπολαύοντας.

Κατάγειν καὶ τὸ τοὺς πεφευγότας εἰς τὰς ἑαυτῶν πατρίδας ἀποκαθιστᾶν.

ᵃὉ δὲ ἐπειρᾶτο κατάγειν τοὺς ἐκπεπτωκότας.

ᵇΞενοφῶν. E



A Κατάγειν τὰ πλοῖα: ᶜΔημοσθένης ἐν η' Φιλιππικῶν. Ἀντὶ τοῦ λῄζεσθαι, καὶ κακοῦν, καὶ μὴ ἐᾶν τοὺς πλέοντας ὅποι βούλοιντο πλεῖν, ἀλλ' εἰς τὰ οἰκεῖα χωρία τοῖς λῃστεύουσι κατάγειν.

Καταγηράσαις Τιθωνοῦ βαθύτερον, καὶ τοῦ Κινύρου πλουσιώτερον, καὶ Σαρδαναπάλου τρυφηλότερον· ὅπως τὸ τῆς παροιμίας ἐπὶ σοὶ πληρωθῇ· Δὶς παῖδες οἱ γέροντες: Ἐπὶ τῶν
B πολυχρονίων ᵈλεγομένη. Ὁ δὲ Τιθωνὸς, ὑπέργηρως γενόμενος, κατ' εὐχὴν εἰς τέττιγα ᵉμετέβαλε. ᶠΚινύρας δὲ, ἀπόγονος Φαρνάκης, βασιλεὺς Κυπρίων, πλούτῳ ᵍδιαφέρων. Σαρδανάπαλος δὲ, Ἀσσυρίων βασιλεὺς, ἐπ' ἀκολασίᾳ καὶ τρυφῇ διαβιοὺς ἐτελεύτησε.

Καταγιγαρτίσαι: Συνουσιάσαι. Ἢ ἀντὶ τοῦ κατὰ τῶν γεωργικῶν γιγάρτων βαλεῖν, καὶ ʰκαταμηρίσαι. Τὸ δὲ ῥῆμα πρόσκαιρον, ἵνα ἀπὸ τῶν γιγάρτων
C τὸ μόριον ᾖ πεπλασμένον· οὐ γὰρ ⁱδιαπαντὸς συνουσιάσαι δηλοῖ τὸ καταγιγαρτίσαι. Ἢ καταθλίψαι. Γίγαρτα δὲ ᵏτὰ τῆς σταφυλῆς ˡὀσπριώδη. ᵐἈριστοφάνης·

> Εὑρόνθ' ὡραίαν ὑλοφόρον
> μέσην λαβόντ' ⁿἄραντα καταβαλόντα καταγιγαρτίσαι.

Καταγινέων: Καταλύων. ᵒἩρόδοτος.

D Καταγινώσκω: Γενικῇ.

Καταγινώσκω σου ῥᾳθυμίαν ᵖπολλὴν καὶ νωθρότητα.

Κατὰ γλῶσσαν: Ζήτει ἐν τῷ Ἀκαριαῖον.

Καταγλωττίζειν: Τὸ βλασφημεῖν. ᵠὩς ἐν Ἀχαρνεῦσι·

Ψευδῆ κατεγλώττιζέ μου.

Καταγλωττίσματα: Περίεργα φιλήματα, κατασπάσματα, παντοῖαι μυραλοιφίαι, ἢ ʳπεριλαλήματα·
E ἢ εἶδος φιλήματος περιεργότερον τὸ καταγλώττισμα· ἢ κολάκευμα.

---

Μηδεὶς ὑμᾶς καταβραβευέτω· τουτέστιν, ἐπηρεαζέτω. Καταβραβεύειν γάρ ἐστιν, ὅταν ἕτερος μὲν νικᾷ, ἕτερος δὲ λαμβάνει τὰ βραβεῖα. KUST.

ᶠ Κατ' ὀλίγον om. A.B.E. et ni fallor V.

ΚΑΤΑΒΡΟΧΘΙΣΑΣ: Ἐκροφήσας, καταπ.] Ex Schol. Aristoph. Equit. 356. KUST. ἐκροφήσας—καταβροχθίσας om. A.

ᵉ Ἐγὼ δ' ἤνυστρον βοὸς, ἢ κοιλ.] Metrum hujus fragmenti restituendum est ex Aristophane, apud quem loco laudato sic legitur: Ἐγὼ δέ γ' ἤνυστρον βοὸς καὶ κοιλίαν ὑείαν Καταβροχθίσας, κᾆτ' ἐκπιὼν τὸν ζωμὸν, ἀναπόνιπτος Λαρυγγιῶ τοὺς ῥήτορας, καὶ Νικίαν ταράξω. Eundem locum Comici citat etiam Athenæus lib. III. p. 94. KUST.

ᵍ ἢ κοιλίαν] καὶ κοιλίαν A.B.V.E.

ΚΑΤΑΓΕΛΩΣ] Antiph. in Μιχθομένῃ. HEMST.

ᵘ Ταῦτ' οὐ] Aristoph. Ach. 1125.

ˣ ΚΑΤΑΓΕΙΟΝ] Κατάγειοι B.

ʸ Αἱ δ' οἰκίαι] Xenoph. Anab. IV. 5, 25.

ᶻ περιφανεῖς] ἐπιφανεῖς A.V.

ᵃ Ὁ δὲ] καὶ E.

ᵇ Ξενοφῶν] Anab. I. 1, 7. Deest v. Ξενοφῶν A.B.V. Ante exemplum collocat E.

ΚΑΤΑΓΕΙΝ ΤΑ ΠΛΟΙΑ: Δημοσθ.] Ex Harpocratione: ad quem vide Valesium. KUST.

ᶜ Δημοσθένης ἐν η' Φιλιππικῶν] Intelligenda hic est oratio illa, quæ hodie περὶ τῶν ἐν Χερρονήσῳ inscribitur. In ea enim, p. 36. locus ille exstat, ad quem Suidas hic respexit. KUST. P. 92, 11. Vid. Wesseling. ad Diod. Sic. XX. 82.

ΚΑΤΑΓΗΡΑΣΑΙΣ ΤΙΘΩΝΟΥ ΒΑΘ.—ΔΙΣ ΠΑΙΔΕΣ ΟΙ ΓΕΡΟΝΤΕΣ] Hæc verba leguntur apud Julianum imperatorem Epist. LIX. in fine; eademque repetuntur infra v. Σαρδαναπάλους. KUST. Καταγηράσεις V. Mox βαθύτερον A.

ᵈ λεγομένη] λεγόμενον B.V.E.

ᵉ μετέβαλε] μετέβαλλε B. μετεβλήθη E.

ᶠ Κινύρας δὲ, ἀπόγονος Φαρνάκης] Sic locum hunc ex ms. Paris. A. restitui. In prioribus enim edit. corrupte legitur Κινύρας δὲ, ἐπίγονος Φαρνάκης. KUST. Lucian. Rhet. Pr. c. 11. TOUP. Φαρνᾶ A. Φαρνάκ V. Φαρνάκους B. Φαρνάκης E. Sed retinendum Φαρνάκης cum edd. vett. patebit consulenti Wesselingium ad Hierocl. Synecd. p. 708. Heyn. Apollod. III. 14, 3. Prov. Vat. App. III. 91. ἀπόγονος φάρμη βασιλέως. Portus conj. Φαρνάκους βασιλέως.

ᵍ διαφέρων] διαφέρει V.

ΚΑΤΑΓΙΓΑΡΤΙΣΑΙ: Συνουσιάσαι] Ex Schol. Aristoph. Acharn. 274. KUST.

ʰ καταμηρίσαι] διαμηρίσαι Schol.

ⁱ διαπαντὸς] πάντως Schol.

ᵏ τὰ τῆς] τὰ ἐντὸς τῆς Schol.

ˡ ὀσπριώδη] Puto legendum esse ὀστώδη. KUST.

ᵐ Ἀριστοφάνης] Acharn. 274. ubi locum integrum lege. KUST.

ⁿ ἄραντα] καταβαλόντα addunt A.B.V.E.M.

ΚΑΤΑΓΙΝΕΩΝ] Καταινέων B.E.

ᵒ Ἡρόδοτος] Gloss. VI. 75.

ᵖ πολλὴν καὶ νωθρότητα] ἀπὸ γενικῆς γὰρ εἰς αἰτιατικὴν E.

ᵠ Ὡς ἐν Ἀχαρνεῦσι] Ver. 379.

ΚΑΤΑΓΛΩΤΤΙΣΜΑΤΑ: Περίεργα φιλ.] Vide Schol. Aristoph. Nub. 51. KUST.

ʳ περιλαλήματα] περιλαλείμματα edd. Bas. Port. Vid. Gataker. ad Marc. Anton. I. 7. p. 8.

[i]δεδέσθαι φαρμάκῳ. Δείναρχος ἐν τῇ κατὰ [k]Πυθέου A εἰσαγγελίᾳ.

ΚΑΤΑΔΕΥΣΕΙ: Φυράσει, μαλάξει. Αἰλιανός·

[l]Εἴπερ οὖν τὰ Ἐπικούρου βιβλία καταφλέξας, καὶ τῶν ἀθέων τε καὶ ἀσεβῶν καὶ ἐπτεθηλυμμένων στιγμάτων τὴν σποδὸν [m]ἀναδεύσει κηρῷ ὑγρῷ, καὶ ἐπιπλασάμενος τὴν νηδὺν καὶ τὸν θώρακα πάντα [n]καταδήσει ταινίαις.

ΚΑΤᾺ ΔῈ ΦΡΈΝΙΝ ἬΓΑΓΕ ΠΟΛΛΉΝ: Ἐμίσησε, κατεφρόνησεν. [o]Ὅμηρος. B

ΚΑΤΑΔΕΊΣΑΣ: Φοβηθείς. Καὶ [oo]ΚΑΤΑΔΕΙ͂ΤΑΙ, φοβεῖται.

ΚΑΤΑΔΗΜΑΓΩΓΩ͂: Αἰτιατικῇ.

ΚΑΤΑΔΗΜΟΒΟΡΗ͂ΣΑΙ: Καταφαγεῖν.

ΚΑΤᾺ ΔΉΜΟΥΣ ΔΙΚΑΣΤΑΊ: Οὗτοι πρότερον μὲν ἦσαν λ΄, καὶ κατὰ δήμους περιϊόντες ἐδίκαζον, ὕστερον [illegible] γεγόνασι μ΄.

ΚΑΤΑΔΗΙΟΥ͂Ν: [p]Κατακόπτειν, καταπαιδεύειν. C

ΚΑΤΑΔΙΑΙΤΉΣΩ: Καταδικάσω, κατακρινῶ.

[q]Εἰ δέ γ᾽ ἐς τοὐναντίον ὀφθήσεται ἀδίκως ἐγκαλῶν, αὐτὸς ἐγὼ καταδιαιτήσω τοῦ Σαρακηνοῦ.

ΚΑΤΑΔΙΈΛΕΣΘΕ: Μερίσατε.

ΚΑΤΑΔΙΙΣΤΩ͂ΣΙ: Καταχωρίζουσι.

ΚΑΤΑΔΙΚΆΖΩ ΣΕ: Αἰτιατικῇ. Γενικῇ δέ·

Αἱ γυναῖκες κατεδίκαζον ἡμῶν.

ΚΑΤΑΔΙΚΑΣΆΜΕΝΟΣ: Ἀντὶ τοῦ νικήσας, καὶ καταδικασθῆναί τινα ποιήσας. Ἰσαῖος ἐν τῷ κατὰ Διοκλέους ὕβρεως. D

ΚΑΤΑΔΙΏΚΩ: Αἰτιατικῇ.

ΚΑΤΑΔΟΛΕΣΧΩ͂: Γενικῇ.

ΚΑΤΆΔΟΥΠΟΣ: Καταρράκτης, ἢ ψόφος.

ΚΑΤΑΔΎΕΤΑΙ: Δοτικῇ. Καταβυθίζεται, κρύπτεται.

Συγκαλύπτειν μέντοι τὸ ἔργον τοῦτο ἐν σπουδῇ εἶχε, καταδυομένη τοῖς οἰκείοις ἐπιτηδεύμασι.

ΚΑΤΑΔΥΝΑΣΤΕΎΩ: Γενικῇ.

Οὐκ ἄξιον τῶν πτωχῶν καὶ ἀσθενῶν καταδυναστεύειν.

Αἰτιατικῇ δέ·

B [r]Καταδυναστεύειν τὸν πένητα·

ὁ ἅγιος Βασίλειός φησιν.

ΚΑΤΑΔΎΝΟΝΤΑ: Κρύπτοντα.

ΚΑΤΑΔΎΣ: Κατακρυβείς, κατακαλυφθείς.

Ὁ [illegible] καταδὺς ἐς πᾶσαν Ὀδύσσειον καὶ πολύπλοκον μηχανήν, [s]διεπέμπετο πρὸς Γαϊάνον.

ΚΑΤΑΔΎΣΑΝΤΕΣ ΤᾺΣ ΝΑΥ͂Σ: Παρὰ Θουκυδίδῃ [t]δὲ ἐπὶ τοῦ τρώσαντες, οὐχὶ [u]δὲ τοῦ βαπτίσαντες.

C ΚΑΤΑΔΎΣΕΙΣ: Φωλεούς, ὑπονόμους, σπήλαια.

ΚΑΤᾺ ΖΥΓΌΝ:

[x]Ὡς ἂν ἐκ τοσούτου πλήθους κατ᾽ ἄνδρα [y]καὶ κατὰ ζυγόν, οἱονεὶ μονομαχικῆς τινος συνεστάσης φιλοτιμίας.

ΖΥΓῸΣ γὰρ τὸ ἐκ παρεστηκότων ἀλλήλοις πλῆθος.

ΚΑΤΑΕΊΝΥΟΝ: Ἐκάλυπτον.

ΚΑΤΑΕΊΣΑΤΟ: Κατηνέχθη.

ΚΑΤΑΊΞ: Καταιγίς.

D [z]Ἠδ᾽ ἀπὸ [a]Μηρισοῦ θοὴ Βορέαο καταΐξ.

Ἤτοι ἀπὸ τῆς Θρᾴκης.

ΚΑΤΑΘΑΡΡΩ͂ ΣΟΥ͂: Γενικῇ.

ΚΑΤΑΘΈΕΙΝ: Κατατρέχειν.



Plin. p. 766. KUST. Synesius Ep. 121. ἐμβαλὼν καὶ καταδέσμους καὶ ἐρωτικὰς καταδύγκας. TOUP.

E [i]δεδέσθαι] καὶ δεδέσθαι A.B.V.E. Harpocrat. Photius. Mox φαρμάκοις Harpocr. Phot.

[k]Πυθέου] Πυθαίου B.V.

ΚΑΤΑΔΕΥΣΗΙ: Φυράσῃ, μαλάξῃ] Καταδεύσει: φυράσει, μαλάξει A.E. Καταδεύσῃ V.B.M.

[l]Εἴπερ οὖν τὰ Ἐπικούρου βιβλ. καταφλ.] Idem fragmentum legitur supra v. Ἀναδεύειν. Vide etiam infra v. Στίγματα, et v. Ταινίαι. KUST.

[m]καταδεύσῃ] ἀναδεύσει A.E. ἀναδεύσῃ V. ἀναδεύσει etiam vv. Ἀναδεύσει. Στίγματα. Ideoque reposui: quamquam F hac lectione recepta exemplum non congruit cum capite glossæ.

[n]καταδήσῃ] καταδήσει A.V. καταδύσει E.

ΚΑΤΑ ΔΕ ΦΡΟΝΙΝ] Hæc sunt verba Homeri Odyss. Δ. v. 258. ubi vide Schol. KUST.

[o]Ὅμηρος] Repetunt hic A.V.E.M. κατὰ δὲ φρένιν ἤγαγε πολλήν.

ΚΑΤΑΔΕΙΣΑΣ: Φοβηθείς] Hesychius vocem hanc active exponit, φοβήσας. Sic enim apud eum pro βοηθήσας legendum est. Vide eundem v. Δεδεῖσαι. KUST. G

[oo]ΚΑΤΑΔΕΙΤΑΙ] A verbo inusitato δέεσθαι, et per reduplicationem δεδέεσθαι, quod *timere* significat. Hesychius: Δεδίεσθαι, εὐλαβεῖσθαι, φοβεῖσθαι. Idem Δέδιεν, φοβεῖ. KUST.

ΚΑΤΑ ΔΗΜΟΥΣ ΔΙΚΑΣΤΑΙ] Ex Harpocratione. KUST.

[p]Κατακόπτειν] κατασκόπτειν E. Mox καταπαιδεύειν B.E.

[q]Εἰ δέ γ᾽ ἐς] Ex Menandro in Excerptis Hœschelii p. 84. TOUP.

ΚΑΤΑΔΙΕΛΕΣΘΕ] Respexit Psalm. XLVII. 14. καὶ καταδιέλεσθε τὰς βάρεις αὐτῆς. Et sic quoque corrig. Hesych. H qui habet καταδιέλεσθαι. Polyb. p. 183. καταδιελέσθαι πόλεις. TOUP.

ΚΑΤΑΔΙΚΑΖΩ] Post gl. seq. ponit A. Mox αἱ [illegible] γ. V.

ΚΑΤΑΔΙΚΑΣΑΜΕΝΟΣ] Ex Harpocratione.

ΚΑΤΑΔΥΕΤΑΙ] Procop. Arc. hist. p. 46. *being ashamed of what she had done.* Procop. Arc. hist. p. 90. κατεδύετε ita leg. vulg. κατεδύετο. Xenoph. Cyr. Exp. p. 326. 327. E Vid. v. Περιδεῖν. TOUP.

ΚΑΤΑΔΥΝΑΣΤΕΥΕΙ] Καταδυναστεύω A.B.V.E. Exempla quædam habet Wesseling. Diod. Sic. XIII. 73.

[r]Καταδυναστεύων] καταδυναστεύειν A.B.V.E.

[s]διεπέμπετο] Pro διεπέμπετο v. Γ. in Ὀδύσσεια legimus τὸν βίον ἦγε. HEMST.

ΚΑΤΑΔΥΣΑΝΤΕΣ ΤΑΣ ΝΑΥΣ] Ex Scholiasta Thucydidis ad lib. I. c. 54. ut Portus etiam observavit. KUST.

[t]καὶ] [illegible] A.

F [u][illegible] τοῦ βαπτίσαντες] ἐπὶ τοῦ βύσαντες B.E.

[x]Ὡς ἂν ἐκ τοσούτου] Hæc sunt verba Polybii lib. I. 45. KUST.

[y]καὶ ζυγὸν] κατὰ ζυγὸν A.B.V.E. Utrumque conjunxi. Mox μονομαχικῆς V. Tum συνεστάσης B.

ΚΑΤΑΕΙΝΥΟΝ: Ἐκάλυπτον] Respexit Suidas ad illud Homeri Il. ψ΄. v. 135. Θριξὶ [illegible] πάντα νέκυν καταείνυον. Vide ibi Scholiastam. KUST.

ΚΑΤΑΕΙΣΑΤΟ: Κατηνέχθη] Ex Scholiasta Homeri ad Il. λ΄. 358. KUST. G

[z]Ἠδ᾽ ἀπὸ Μηρισοῦ] Depromptus est hic versus ex poeta aliquo, qui hodie in desideratis est. Quin et, quod nemo vidit, non uno mendo dehonestatus est. Rescribendum utique: Ἡ δ᾽ ἀπὸ ΜΗΡΙΖΟΙΟ θοὴ βορέαο καταΐξ. Est autem Μήριζος mons Thraciæ. Hierocli in Synecdemo, Μέριζος. Plinio, *Merisus*. Sed Constantinus in Thematibus recte admodum Μήριζον vocat. Quam quidem scripturam satis confirmat hexametri nostri modulus. Videtur autem vel Apollonii vel Callimachi esse; nam utriusque plurima desiderantur. Quod et Ruhnkenio visum. H TOUP. Vid. Ruhnken. ad Callimach. fr. 481.

[a]Μηρισοῦ] Plinius H. N. IV. 11. p. 207. inter Thraciæ montes numerat *Meritum*, qui non alius videtur ac *Merisus*. HEMST.

ΚΑΤΑΘΕΕΙΝ] Procopius p. 2. καταθέοντες τῆς ἡλικίας. TOUP.

A Οἱ δὲ Γήπαιδες, ἐπεὶ οὔπω ὁ τῆς μάχης [b]ἐνειστήκει καιρὸς, πείθουσιν αὐτοὺς καταθεῖν μεταξὺ τὴν Ῥωμαίων χώραν, πάρεργον τῆς σφετέρας ἀκαιρίας πεποιημένοι τὴν ἐς Ῥωμαίους ἐπιβουλήν.

**Καταθέλξας**: Ἐξαπατήσας.

Καταθέλξας γὰρ αὐτοὺς δεινότητι [c]τρόπου, ὡς δυνάμενος τὸν ἄνδρα πρὸς σφᾶς μετατιθέναι.

**Καταθεμένους**: Ἀποβαλόντας.

Μὴ πρότερον τῆς εἰς αὐτὴν εἰσόδου τυχεῖν, ἢ καταθεμένους τὰ ὅπλα.

B **Καταθέω σε**: Αἰτιατικῇ.

Οὗτος δὲ [d]κατέθεε τὴν οἰκείων χώραν.

**Καταθέω σου**: Γενικῇ.

**Καταθεῷτο**: Βλέποιτο.

**Καταθέξει**: Καταπαύσει, καταλήξει.

[e]Ἢ λήψονται αὐτὸν ἐπὶ καταθέσει τοῦ πολέμου.

**Καταθεῖ**: Κατατρέχει.

**Κατὰ θεῖον**: Τοὺς ἐξαίφνης φαινομένους οὕτως ἔλεγον κατὰ [f]θεῖον ὦφθαι. Καὶ ἐπὶ τῶν ἐξαίφνης C γινομένων, τουτέστιν, εὐκαίρως ἐπιφαινομένων, κατὰ θεῖον ἔλεγον. Ἐπεὶ οὖν καὶ ὁ ἀλλαντοπώλης αἰφνίδιον βουλομένοις μὲν, μὴ προσδοκήσασι δὲ ἐπεφάνη, εἶπεν·

> Ὁδὶ προσέρχεται
> ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν.

**Καταθλήσαντες**: Καταγωνισάμενοι.

D **Καταθλῶ**: Αἰτιατικῇ.

**Κατάθου**:

**Καταθραύω**: Γενικῇ.

**Καταθρηνῶ**: Αἰτιατικῇ.

**Καταθρήσομεν**: Κατασκοπήσομεν.

**Καταθρώσκοντα**: Καταπηδῶντα. [g]Ἡρόδοτος·

Καταθρώσκοντα δὲ τὴν αἱμασιὴν τὴν μηχὴν σπασθῆναι.

E **Καταθύμιον**: Κατὰ ψυχὴν, εὐάρεστον. Καταθύμιος θάνατος [h]παρ' Ὁμήρῳ, οὐχ ὁ ἐπιθυμητικὸς, ἀλλ' ἐνθύμιος.

**Κατὰ κάθετον**: [i]Τὰ [k]ἀπὸ ὕψους εἰς βάθος διαστήματα.

Λάκκος ἦν χειροποίητος πρὸς ὕδατος συναγωγὴν, ἔχων τὴν μὲν κάθετον οὐκ ἐλάττω πλέθρου, τὴν δὲ διάμετρον πλεῖον ἢ δυοῖν πλέθρων.

**Κατακαλῶν**: Ἐπιμελῶς ἐκζητῶν. Πολύβιος·

[l]Ὁ δὲ Περσεὺς, ἀνανεωσάμενος τὴν πρὸς Ῥωμαίους φιλίαν, εὐθέως Ἑλληνοκοπεῖν ἐνεβάλετο, κατακαλῶν ἐς τὴν Μακεδονίαν καὶ [m]τοὺς τὰ χρέα φεύγοντας, καὶ τοὺς πρὸς καταδίκας ἐκπεπτωκότας, καὶ τοὺς ἐπὶ βασιλικοῖς ἐγκλήμασι παρακεχωρηκότας· καὶ τούτων ἐξετίθει [n]προγραφὰς [o]εἴς τε Δῆλον καὶ Δελφοὺς, διδοὺς οὐ μόνον τὴν ἀσφάλειαν τοῖς κατακομιζομένοις, ἀλλὰ καὶ τῶν ὑπαρχόντων κομιδὴν, ἀφ' ὧν ἕκαστος ἔφυγε.

**Κατακάσα**: Κατωφερὴς, ἢ ἀξία τοῦ κατακαυθῆναι, ἢ ὅτι κάσον τὸ σπέρμα τοῦ ἀνδρός. Ὅθεν καὶ κασίγνητος.

**Κατακαυχῶμαι**: Γενικῇ.

**Κατακαχρύσαι**: Ῥῆξαι, ψοφῆσαι, [p]ποιῆσαι. Ἀπὸ τῶν φρυγομένων κριθῶν.

**Κατακαίνειν**: Ἀναιρεῖν, φονεύειν.

Ὁ δὲ τοξότης ἠφίει βέλος, εὐστοχῶς δὲ τοσούτους κατακαίνειν, [q]ὅσα ἠφίει βέλη.

[r]Εὐνάπιός φησι.

**Κατακαίνων**: Ἀναιρῶν, πλήττων.

[s]Τοὺς μὲν κατακαίνων ἐν χερσὶ, τοὺς δὲ πλήττων, τοὺς δὲ φοβήσας.

Καὶ [t]Ξενοφῶν·

Τοὺς μὲν κατακαίνοντες, τοὺς δὲ καταλαύξαντες.

**Κατακεκλῖσθαι**, καὶ **κατακεῖσθαι**, ἐπὶ τραπέζης· **Ἀνακεῖσθαι** δὲ, ἐπὶ ἀνδριάντων.

**Κατακέλευσον**: Ἀντὶ τοῦ σιωπὴν κήρυξον. Οἱ γὰρ κελευσταὶ πολλάκις [u]σιωπᾶν παραγγέλλειν εἰώθασι, σιώπα λέγοντες, καὶ ἄκουε, καὶ τὰ ὅμοια. Ἀριστοφάνης Ὄρνισιν·

> Ὦ τρισμάκαρ' ὦ κλεινότατε· ὦ σοφώτατε· ὦ γλαφυρώτατε.

Ἐπεὶ οὐκ ἤκουέ φησιν,

> Ὦ κατακέλευσον,

ὥσπερ τοῖς ἐρέσσουσι· καὶ ὦ [x]λέγει παύσασθαι παρακέλευσαί μοι.

**Κατακερτομεῖν**: Καταχλευάζειν. Αἰτιατικῇ.

---

[b] ἐνεστήκει] ἐνειστήκει A.B.V.E.

ΚΑΤΑΘΕΛΞΑΣ: Ἐξαπατήσας] Vide quæ notavimus supra ad v. Θέλγει. KUST.

F [c] τρόπου] τρόπων A.

[d] κατέθεε τὴν] κατέθει A. οὗτος δὲ αὐ κατέθ. V. secundum Gronov. Mutilat. p. 22. illud tamen αὐ non agnoscit collatio mea.

[e] Ἢ λήψονται] Ex Menandro historico, opinor. Vid. v. Κτηματίτης. TOUP. Hæc vertendo omiserat Kusterus, stellulis tamen appositis locum obscuritatis insimulans. Interpretatur Hemsterhusius, *Aut accipient illum ea conditione ut bellum ponatur.*

G ΚΑΤΑ ΘΕΙΟΝ: Τοὺς ἐξαίφνης] Ex Schol. Aristoph. Equit. 147.

[f] θεῖον] τὸ θεῖον V.

[g] Ἡρόδοτος] VI. 134.

ΚΑΤΑΘΡΗΝΩ] Καταθρήσω A.

ΚΑΤΑΘΥΜΙΟΝ] Vid. in Καθελίσας. HEMST.

[h] Παρ' Ὁμήρῳ] Il. κ'. 383. ubi v. Schol. Ven.

[i] Τὰ—διαστήματα] τὸ—διάστημα Zonaras.

[k] ἀπὸ] ὑπὸ V.

H ΚΑΤΑΚΑΛΩΝ] ΚΑΤΑΝΑΛΩΝ V.

[l] Ὁ δὲ Περσεὺς] Hæc, et quæ sequuntur, αὐτολεξεὶ etiam leguntur in Collectaneis Constantini a Valesio editis p. 125. unde Suidas ea descripsit. Vide etiam v. Δημοκοπεῖν, et v. Περσεύς. KUST. Vid. ed. Schweighæuser. XXVI. 5.

[m] τοὺς τὰ χρέα φεύγοντας] Sic etiam legitur apud Constantinum. Sed infra v. Περσεὺς rectius scriptum est τοὺς διὰ τὰ χρέα φεύγοντας. KUST. Non ita est.

[n] προγραφὰς] γραφὰς E.

[o] εἴς τε Δῆλον καὶ Δελφοὺς] Apud Constantinum post Δελφοὺς additur, καὶ τὸ τῆς Ἰτωνίας Ἀθηνᾶς ἱερόν. KUST.

ΚΑΤΑΚΑΣΑ: Κατωφερὴς] Callimachus apud Etymol. v. Ψίθυρ. Σκύλλα γυνὴ ΚΑΤΑΚΑΣΑ καὶ οὐ ψίθος οὔνομ' ἔχουσα. Ad hunc locum respexit Suidas. Confer nos infra, v. Κρίκα. TOUP. κατακᾶσα V.E. Mox κατακαῆναι E.

ΚΑΤΑΚΑΧΡΥΣΑΙ] Confer Hesychium. KUST. Κατακεχρῦσαι edd. vett. Correxit Portus.

[p] ποιῆσαι] ψόφον ποιῆσαι Arnaldus Lect. Gr. p. 125. πτίσαι Pierson. ad Mœrin p. 213. Vulg. tenet Photius.

[q] ὅσα] ὅποσα E. Mox βέλος V.

[r] Εὐνάπιος] Fr. 1. apud Boissonad.

[s] Τοὺς μὲν—πλήττων om. V.

[t] Ξενοφῶν] Anab. IV. 2, 5.

ΚΑΤΑΚΕΚΛΙΣΘΑΙ] Sic ex mss. Paris. rescripsi. In prioribus enim edit. male legitur κατακεκλεῖσθαι. KUST.

ΚΑΤΑΚΕΛΕΥΣΟΝ: Ἀντὶ τοῦ] Aristoph. Av. 1273. Ὦ Πεισθέταιρ', ὦ μακάρι', ὦ σοφώτατε, Ὦ κλεινότατ', ὦ σοφώτατ', ὦ γλαφυρώτατε, Ὦ τρισμακάρι', ὦ κατακέλευσον. Ex Scholiis ad eum locum sic apud Suidam rescribendum est: Ἐπειδὰν πολλάκις εἴρηται ὦ, καὶ οὐκ ἐπίσχει αὐτὸν ὁ Πεισθέταιρος, ὁ ἄγγελός φησι, κατακέλευσον, ὥσπερ τοῖς ἐρέσσουσι· καὶ ὦ, λέγει, παύσασθαι παρακέλευσαί μοι. KUST.

[u] σιωπᾶν παρ.] σιωπὴν καταγγέλλειν Schol.

[x] λέγουσι] λέγει A. Schol. λεγ V.

Κατακεχρημένως: Παραλόγως καὶ ἀφειδῶς ἀπολαυούσης.

Τῇ τε κουφότητι τοῦ ἀνδρὸς κατακεχρημένης.

Κατακηλοῦσαν: Αἰτιατικῇ. Θέλγουσαν, πραΰνουσαν.

Κατακλεὶς, κατακλεῖδος. Ἡ τοῦ τραχήλου.

Κατακληρουχῶ: Αἰτιατικῇ.

Κατακλινής: Ἐπὶ κλίνης ἀνακείμενος.

B Ὁ δὲ ἔτυχε τότε κατακλινὴς ὢν καὶ μαλακιζόμενος.

Κατάκλιτα: Κλίνας, θρόνους εἰς ἀνάκλισιν ἐπιτηδείους.

Κατακλῶθές τε βαρεῖαι: Αἱ κατακλώθουσαι καὶ καταμοιροῦσαι ἑκάστῳ τὸ εἱμαρμένον. Καὶ Κατακλώθη, ἡ εἱμαρμένη.

Κατάκλυζε: Κατακλύζεσθαι ποίησον· ὅ ἐστι γέμισον ὕδατος. [y]Ἀριστοφάνης·

C Καὶ τὴν πύελον κατάκλυζε, καὶ θέρμαιν' ὕδωρ.

Κατακολουθῶ: Δοτικῇ.

Κατακοντίζω σε: Ἐπὶ πολέμου μετὰ αἰτιατικῆς.

Κατακονδυλίζω: Αἰτιατικῇ.

Κατακορής: Ἄχρι κόρου ἐσθίων.

[z]Σιτίοις καὶ ποτῷ κατακορὴς οὐδαμῇ γέγονεν, ἀλλὰ σχεδὸν ἄκρῳ δακτύλῳ γευσάμενος ἀπηλλάττετο.

E Κατακορὴς [a]συνουσία: Ἐπιπλεονάζουσα.

[b]Ἐν τῷ διάπλῳ τούτῳ κατακορὴς γενομένη τῷ πάθει.

Κατὰ κόρρης παίει αὐτόν.

Κατακόρου: Ἀπλήστου.

[c]Ἅτε τοῦ τῶν γυναικῶν γένους καὶ λάλου καὶ κατακόρου ὄντες.

Κατακούω: Γενικῇ.

Κατακωκῦσαι: Θρηνῆσαι.

Κατὰ κῶλον: Κατὰ [d]λέξεις.

D Κατακωμῳδῶ: Αἰτιατικῇ.

Κατακωχή: Ἡ κατάσχεσις.

[e]Καὶ αὐτὸ τὸ χωρίον ἐπιτείχισμα ἦν πρὸς κατακωχὴν τῆς ὥρας.

A Καὶ αὖθις·

[f]Τὴν δὲ εἶναι θείαν κατακωχὴν ἠρέμα διανοίγουσαν καὶ ἀποκαθαίρουσαν τὰ τῆς [g]ψυχῆς ὄμματα.

Κατακωχή: Ἔνιοι, ἀντὶ τοῦ κατοχή.

[h]Τὴν βίβλον Πρόκλου τὴν Μητρῳακὴν εἴ τις μετὰ χεῖρας λάβοι, ὄψεται, ὡς οὐκ ἄνευ θείας κατακωχῆς τὴν θεολογίαν τὴν περὶ θεοῦ [i]ἐξέφηνεν ἅπασαν.

Κατακωχή:

B Εἷς ἀνὴρ, ὥσπερ ἀνῆκεν ἡ ἐξ Ἄρεος κατακωχὴ, ἐμονομάχει.

Κατακώχιμοι:

[k]Μόνουσι χρόνου [l]ὑπέσχοντο ταῖς αὐλήμασι κατακώχιμοι.

Τουτέστιν, ἁλωτοί.

Κατάκρας: Ἐπίρρημα. [m]Θουκυδίδης·

Ὁ δὲ Βρασίδας ἐπὶ τὰ μετέωρα τῆς πόλεως ἐτράπετο, βουλόμενος κατάκρας καὶ βεβαίως ἑλεῖν αὐτήν.

Καὶ αὖθις·

C Ἐλπίσαντες τὴν πόλιν ἔχεσθαι κατάκρας, παραδιδόασι σφᾶς αὐτούς.

Ἀντὶ τοῦ, ἐξ ὁλοκλήρου.

Κατάκρας: Ἐπίρρημα. Διόλου, παντελῶς.

Ὁ δὲ ἔλεγε μηδὲν ἔτι λείπεσθαι φυλακτήριον, τὸ μὴ οὐ κατάκρας ἁλῶναι τὴν πόλιν.

Εἰ μήποτε εἴη κατ' ἄκρας πόλεως, ἀντὶ τοῦ, [n]κατ' ἀκροπόλεως.

E Κατὰ κράτος: [[o]Κατὰ πολλὴν ἐξουσίαν.]

Κατακρατῶ σου: Γενικῇ.

Κατακρατύνω σου: Γενικῇ.

Κατακρῆθεν: Κατὰ κεφαλῆς.

Κατακρίνω: Αἰτιατικῇ.

Κατακροτεῖ: Ἄγαν ἐπαινεῖ.

Κατακροῶμαι: Γενικῇ.

D Καταλαβεῖν: Εἴρηται καὶ ἐπὶ τάχους ποδῶν τὸ καταλαβεῖν, ὅταν λέγωμεν,

Ὁ δὲ τὸν φεύγοντα διώξας κατέλαβεν.

[p]Οἱ δὲ ῥήτορες, καὶ ἐπὶ τοῦ κολάζειν. Ἀντιφῶν·

Μὴ ἀναίτιον καταλαβόντες τὸν αἴτιον.

ΚΑΤΑΚΛΙΝΗΣ] Polyb. pag. 1311. μόνον κατακλινῆ. TOUP.

F ΚΑΤΑΚΛΩΘΕΣ ΤΕ ΒΑΡΕΙΑΙ] Ex Schol. Homeri ad Odyss. η'. 197. KUST.

[y] Ἀριστοφάνης] Pac. 843.

ΚΑΤΑΚΟΝΤΥΛΙΖΩ] Scribendum est κατακονδυλίζω, idque suo loco reddendum. KUST. Recte. Vide Æschin. p. 84, 21. TOUP. Deest gl. V.E.

[z] Σιτίοις καὶ ποτῷ κατακορὴς] Hæc sunt verba Procopii Histor. Arc. 13. KUST.

[a] ΣΥΝΟΥΣΙΑ] ξυνουσία A. Photius.

[b] Ἐν τῷ διάπλῳ τούτῳ] Hæc sunt verba Procopii Histor. Arc. 1. p. 3. KUST. τῷ om. V.

G ΚΑΤΑ ΚΟΡΡΗΣ] Sæpe utitur Lucianus: vid. ind. Reitzii.

[c] Ἅτε τοῦ τῶν γυναικῶν] Hæc sunt verba Polybii in Excerptis a Valesio editis p. 154. KUST.

[d] λέξιν] λέξεις A.B.V.E. Photius.

ΚΑΤΑΚΩΜΩΔΕΙΤΑΙ] Κατακωμῳδῶ: Αἰτιατικῇ A.V. Αἰτιατικῇ etiam B.

H [e] Καὶ αὐτὸ τὸ χωρίον. Ἐπιτείχισμα ἦν πρὸς κατακωχὴν τῆς ὥρας] Hemsterhusius ad Luciani Nigrinum [c. 23.] emendabat, πρὸς τὴν κατακωχὴν τῆς χώρας. Quo nihil verius. Sed ne sic quidem salva res est. Obstat enim vox χωρίον, quæ neutiquam interpretatio esse potest τοῦ, κατακωχή. Nos pulcherrimam ῥῆσιν Suidæ restituimus. Repono certissime: Κατακωχή. Ἡ κατάσχεσις. Καὶ αὐτὸ τὸ χωρίον ἐπιτείχισμα ἦν πρὸς κατακωχὴν τῆς χώρας. *Natura loci pro munimento erat.* Optime rem explicabit Harpocratio, et post eum Suidas: Ἐπιτείχισμα, τὸ τειχιζόμενον κατά τινος ΧΩΡΙΟΝ, ἵνα ἦν τοὺς ἐπιτειχισθέντας κακῶς ποιεῖν. Quæ et nostram lectionem non parum corroborant. TOUP. Si distinctionem hanc probabis, retinebis ὥρας, et interpretabere καιροὺς ὡραίους.

[f] Τὴν δὲ εἶναι θείαν] Hoc fragmentum legitur etiam apud Photium in Excerptis ex Damascio p. 1033. ut Pearsonius observavit. KUST.

[g] ψυχῆς] διανοίας V. infra post κάτ' ἴχνος.

[h] Τὴν βίβλον Πρόκλου τὴν] Fragmentum hoc depromptum est ex Marino. Vid. Kuster. ad v. Πρόκλος.

[i] ἐξέφηνεν ἅπασαν] Duæ hæ voces in prioribus editt. [et mss.] desunt, quas supplendi sensus gratia loco huic addidi ex ipso Suida v. Πρόκλος, ubi fragmentum hoc repetitur. KUST.

[k] Μόνουσι] Ex Synesii Dione p. 62 B. notante Piersono ad Mœrin p. 221.

[l] ὑπέσχοντο] ἀπέσχοντο (ὑπο superscr.) E.

[m] Θουκυδίδης] Lib. IV. c. 112. KUST.

[n] κατ' ἀκροπόλεως] κατ' om. A.

ΚΑΤΑ ΚΡΑΤΟΣ] Vid. ἀνὰ κράτος. REINES.

[o] Κατὰ πολλὴν ἐξουσίαν om. A.B.V. λίαν καὶ μετὰ πολλῆς ἐξουσίας E.

ΚΑΤΑΚΡΗΘΕΝ] Il. π'. 548. Vid. Ruhnken. ad H. Cer. 182.

[p] ὡς δὲ] οἱ δὲ A.B.V.E.

Καταλαλιά: Ἡ εἴς τινας ὑπό τινων βλασφημία A παρὰ τῷ [q] Ἀποστόλῳ.

Καταλαλῶ: Γενικῇ. Ἐπὶ ἐμψύχων.

[r] Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις.

Καὶ,

[s] Κατελάλησαν τοῦ Θεοῦ, καὶ εἶπον.

Ἐπὶ δὲ ἀψύχων, αἰτιατικῇ.

Μὴ καταλάλει τὸν γειτνιῶντα, ἀλλὰ μᾶλλον τίμα.

Καταλαμβάνω: Αἰτιατικῇ.

Καταλάμπω: Αἰτιατικῇ.

Καταλεγέσθω: Καταταττέσθω.

Καταλλάττω: Αἰτιατικῇ.

Καταλέγω: Αἰτιατικῇ.

Καταλεύσιμον: Τὸν [t] ἄξιον τοῦ [u] καταλευσθῆναι εἶπε Δείναρχος ἐν τῷ κατὰ Λυκούργου.

Καταλείβει: Καταστάζει.

Καταληΐζεται: Διαρπάζει.

Κατάλληλον: Ἁρμόδιον.

Καταλλήλως: Ἀκολούθως, ἁρμοζόντως.

Καταληπτικός: Προκαταλαμβανόμενος τοὺς ἀκούοντας, ὥστε θόρυβον μὴ κινῆσαι.

Καταληρῶ: Γενικῇ.

Κατάληψις: Γνῶσις. [x] Ἀριστοφάνης Νεφέλαις·

[y] Καὶ περίλεξιν, καὶ κροῦσιν, καὶ κατάληψιν.

Μουσικῶς δὲ ταῦτα εἶπε. Λέγουσι γὰρ κατάληψιν, ἐπειδὰν καταλάβωσι τῷ πλήκτρῳ ἢ τοῖς δακτύλοις τὰς χορδὰς πλήξαντες, ὡς καὶ ἀποτείνεσθαι τὸν φθόγγον.

Κατάληψις: Τὸ εὑρίσκειν τέχνην.

Καταλιμπάνω σε: [z] Ἀφίημί σε.

Καταλίπωμεν: Αὐθυπότακτον.

Καταλογάδην: Τὰ πεζῷ λόγῳ γραφόμενα.

Καταλογεύς: Ἀθηναίων συνεψηφισμένων [a] ἑπτακισχιλίοις τῶν ἀστῶν ἐγχειρίσασθαι τὰ πράγματα τῆς πόλεως, ἦσάν [b] τινες οἱ τοὺς εἰς τοῦτο ἐπιτηδείους καταλέξοντες· καὶ τοῦτο εἰκότως κληθῆναι καταλογίσασθαι. Καὶ καταλογεὺς, ὁ εἰς τοῦτο τεταγμένος.

Καταλογίζομαι: Αἰτιατικῇ.

Καταλογιεῖται: Καταριθμήσει.

Κατάλογος: Ἡ ἀπογραφὴ τῶν ὀφειλόντων στρατεύεσθαι, καὶ ἡ ἐξαρίθμησις· ὁ πίναξ ἐφ' οὗ [c] ἐνέγραφον τῶν ἐκστρατευομένων τὰ ὀνόματα. [d] Ἀριστοφάνης·

Ἔπειθ' ὁ πολίτης ἐντεθεὶς ἐν καταλόγῳ,
οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται.

Ἀντὶ, τοῦ κατὰ ἄλλου σπουδήν.

B Ὁ δὲ Τραϊανὸς δύο στρατεύματα, καὶ [e] τοῦ μεγάλου καταλόγου, καὶ ξενικά.

[f] Τὴν γάρ τοι πληθὺν, καὶ τοὺς [g] ἐκ τοῦ καταλόγου, ἴδε νῦν.

Οὕτω φησὶν Αἰλιανός.

Καταλογῶ σου: Γενικῇ.

Καταλούει: Καταναλίσκεις. [h] Ἀριστοφάνης Νεφέλαις·

Σὺ δὲ
C ὥσπερ τεθνεῶτος καταλόει μου τὸν βίον.

Ἔθος γὰρ ἦν μετὰ τὸ ἐκκομισθῆναι τὸ σῶμα καθαρμοῦ χάριν ἀπολούεσθαι τοὺς οἰκείους τοῦ τεθνεῶτος. Ἢ εἰς τρυφὴν [i] καταναλίσκεις. Βίον δὲ τὴν περιουσίαν λέγει νῦν. Ἢ εἰς τὰ λουτρὰ καταναλίσκεις. Ἀπὸ μεταφορᾶς τῶν ὑδάτων. Τὴν δὲ κατὰ πρόθεσιν [k] ἐπιτατικῶς λαμβάνουσιν, ὡς ἐπὶ τοῦ καταφαγεῖν.

Καταλοφάδια: Κατὰ τοῦ τραχήλου.

D Καταλοχίσαι: Εἰς λόχους καταμερίσαι τὸ πλῆθος τοῦ στρατοῦ.

Καταλύειν τὸν δῆμον: Ἀντὶ τοῦ βλάπτειν.

Καταλύσας: Καταστρέψας, ἀφανίσας, ἢ εὐωχηθείς. [l] Τάττεται δὲ καὶ ἐπὶ τῆς τοῦ ἀπαγξαμένου κατενέξεως. Οὐ γὰρ δεῖ [m] λέγειν κυρίως κατενεγκεῖν ἐπ' αὐτοῦ, ἀλλὰ καταλῦσαι.

E Καταλῦσαι: [n] Παρὰ Θουκυδίδῃ ἐπὶ τῶν ὀχουμένων ἐπὶ ἅρματος. Κατάγειν δὲ, ἐπὶ νηός.

Κατάλυσις: Ἡ οἰκία. [o] Πολύβιος·

Τῷ δὲ ἐπὶ τὴν Ῥωμαϊκὴν κατάλυσιν [p] ἐπιγράψαντι τοῦτο, θάνατον ὤμοσεν Ἀννίβας τὴν ζημίαν.

Καταλύω: Αἰτιατικῇ.

Καταλυττῶ: Γενικῇ.

[q] Ἀποστόλῳ] Vid. 2 Cor. XII. 20. 1 Pet. II. 1.

ΚΑΤΑΛΑΛΩ] Diodor. Sic. p. 438. Polyb. 1106. κατελάλουν τὸ δόγμα, et 334. TOUP.

[r] Καθήμενος κατὰ τοῦ ἀδελφοῦ σου κατελάλεις] Ps. XLIX. KUST.

[s] Κατελάλησαν τοῦ Θεοῦ] Hæc sunt verba Psalmographi LXXVII. 19. TOUP.

[t] ἄξιον τοῦ κατ.] Vid. Λευστήρ. TOUP.

[u] καταλευσθῆναι] καταλευσθῆναι λίθοις Photius.

ΚΑΤΑΛΛΗΛΟΝ] Xiphilin. p. 1177. Infra v. Μισογαμίαι. TOUP.

ΚΑΤΑΛΗΠΤΙΚΟΣ: Ὁ] Ex Schol. Aristoph. Equit. 1377. ὁ om. A.B.V.E.M. Schol.

[x] Ἀριστοφάνης Νεφέλαις] Ver. 317.

[y] Καὶ περίλεξιν] καὶ τερατείαν καὶ π. E.

[z] Ἀφίημι] ἀφί A.B.V.

ΚΑΤΑΛΟΓΑΔΗΝ] Schol. Platon. p. 230.

ΚΑΤΑΛΟΓΕΥΣ] Etymolog. p. 495, 9. 732, 44. Vales. ad Harpocr. p. 181. HEMST.

[a] ἑπτακισχιλίοις] Leg. πεντακισχιλίοις. Vid. Thucyd. VIII. H 98. Nescio an grammaticus respexerit Lysiam c. Polystrat. p. 159, 7. ed. Steph. ὅστις ὑμῶν ψηφισαμένων πεντακισχιλίοις παραδοῦναι τὰ πράγματα καταλογεὺς ὢν, ἐννεακισχιλίους κατέλεξεν.

[b] τινες om. V.

ΚΑΤΑΛΟΓΟΣ] Vide Duker. ad Aristoph. pag. 1218.

F TOUP. Adde Wesseling. Diod. Sic. XI. 84.

[c] ἐνέγραφον] ἐνεγράφη A.

[d] Ἀριστοφάνης] Equit. 1366.

[e] τοῦ μεγάλου] τῶν μεγ. V.

[f] Τὴν γάρ τοι πληθὺν, καὶ τοὺς ἐκ τοῦ καταλ.] Idem fragmentum Æliani legitur supra v. Ἐκ καταλόγου. KUST.

[g] ἐκ τοῦ] τοῦ om. E.

[h] Ἀριστοφάνης Νεφέλαις] Ver. 836. Νεφέλαις om. A.B.V.E.

[i] καταναλίσκεις] καταναλίσκειν V.

G [k] ἐπιτατικῶς λαμβάνουσιν] ἐπιταττικῶς ἐμβάλλουσιν E. ἐπιτ. λαμβάνεται V.

ΚΑΤΑΛΟΦΑΔΙΑ] Od. κ'. 169. Καταλοφαδεια Photius, sine acc.

ΚΑΤΑΛΥΕΙΝ Τ. Δ.] Aristoph. Eccl. 453. Vid. Herald. adv. Salmas. III. 9. et III. 16, 16.

[l] Τάττεται δὲ καὶ ἐπὶ] Huc spectant verba Photii in Lexico inedito: Καταλῦσαι, τὸν ἀπαγξάμενον καθελεῖν. KUST.

[m] λέγειν κυρίως] κυρίως om. A. Sed retinet Photius.

ΚΑΤΑΛΥΣΑΙ] Caput gl. om. A.

[n] Παρὰ Θουκυδίδῃ] Ex Schol. Thucyd. I. 136. ut Portus etiam observavit. KUST.

[o] Πολύβιος· Τῷ δὲ ἐπὶ τὴν Ῥωμ.] Hoc fragmentum legitur apud Polybium lib. VIII. 26. KUST.

[p] ἐπιγράψαντι] καταγράψαντι E. Mox τούτῳ B.E.M.

Καταμαλάττω: Αἰτιατικῇ.
Καταμανθάνω: Αἰτιατικῇ.
Καταμαρτυρῶ σου: Γενικῇ.
Καταμάχομαι: Αἰτιατικῇ.
Καταμαίνομαί σου:
Καταμέρος: Ἐπίρρημα.
Καταμέμφομαι: Δοτικῇ.

Καὶ τοῖς τοῦ θεοῦ ὅροις καταμεμφόμενοι.

Αἰτιατικῇ δέ·

[q] Πολλὰ τὸν βασιλέα Εὐμένη καταμεμψάμενοι.

Καταμειδιῶν: Γενικῇ. [r] Καταφρονῶν.

[s] Ὁ δὲ μηδὲν εἰπὼν τοῖς ἐρευνῶσιν, [t] ἀνεσταυρώθη τοῦ θανάτου καταμειδιῶν.

Καταμηλῶσαι: Λέγεται τὸ μήλην [u] καθίεσθαι ὑπὸ τοῦ ἰατροῦ εἰς τὸν λαιμόν· ὡς ποιοῦσι καὶ οἱ ἐμοῦντες, τὸν δάκτυλον καθιέντες εἰς τὸν λαιμόν.

C Καταμήλην: Μηλῶσαι καλοῦσιν οἱ ἰατροὶ τὸ μήλην καθεῖναί που. Ἦν δὲ καὶ παροιμία τις ἐπὶ τῶν [x] τὰ ἄδηλα τεκμαιρομένων. [y] Λέγεται δὲ καταμηλοῦν καὶ τὸ βάπτειν ἔρια, ὅταν πιέζηται κινούμενα.

Κατὰ μῆρ' ἐκάη: Κατεκάη τὰ μηριαῖα ὀστᾶ.

Καταμησάμενος: Ἐπιβαλὼν, ἐπικαταχέας. [z] Ἰώσηπος·

Ὁ δὲ περιρρήξας τὴν ἐσθῆτα, καὶ καταμησάμενος τῆς κεφαλῆς κόνιν.

Καταμνημονεύω: Αἰτιατικῇ.
Καταμονὰς καὶ Καταμοναχῶ: Αἰτιατικῇ.
Καταμωκώμενός μου: Χλευαζόμενος.
Καταμωλωπίζω:
Καταμυθεύω: Αἰτιατικῇ.
Καταμύουσι: Κλείονται.
Καταναγκάζω: Αἰτιατικῇ.
Καταναγκη:

A Κατανααλίσκω: Αἰτιατικῇ.
Κατανάλωσε καὶ κατηνάλωσε, τὸ αὐτό.
Καταναρκῶ: Γενικῇ.
Καταναστάς:

[a] Ὁ δὲ διὰ τὸ τάχος τῆς εἰρεσίας ἀπέπλευσε, καταναστὰς μιᾷ νηῒ παντὸς τοῦ τῶν ἐναντίων στόλου.

Ἀντὶ τοῦ ὑπερβαλὼν, ὑπερνικήσας.

Καταναυμαχῶ: Αἰτιατικῇ.

B Κατὰ ναῦν: Κατὰ τάξιν. Εἴρηται δὲ ἀπὸ τῆς παροιμίας·

Κατὰ ναῦν τὰ ἄρμενα.

Καταναρίζεσθαι: Γενικῇ. Καταπαλαίειν.
Καταναῖος: Ὁ ἀπὸ Κατάνης.
Καταναισχυντῶ: Γενικῇ.
Κατανεανιεύεται: Κατισχύει, ἢ καυχᾶται.
Κατανομιστεύσας: Νόμισμα ἐργασάμενος.

C [b] Ὁ δὲ κατὰ σπάνιν ἤδη χρημάτων, ὅσον εἶχε κόσμον, κατανομιστεύσας, Ἀντωνίῳ καὶ τοῖς περὶ αὐτὸν ἔπεμψε.

Κατὰ νοῦν: Τουτέστι θυμῆρες.

Οἰόμενος, ὁπότερον [c] γένοιτο, κατὰ νοῦν αὐτῷ ἔσεσθαι.

Κατανωτίσασθαι: Ἀντὶ τοῦ κατὰ νώτου φέρειν.

[d] Μηδὲ τὴν τοῦ Πλουτάρχου κατανωτίσασθαι κρίσιν, μηδὲ αὖ μείζω φρονεῖν τῆς κοινωφελοῦς προαιρέσεως.

D Ἀντὶ τοῦ καταφρονεῖν, ὀπίσω ῥίπτειν.

Κάταντα: Κατωφερῆ.
Καταντήσωσι: Παραγένωνται.

[e] Τότε τυπώσεται πρὸς αὐτοὺς τὰς ὑπὲρ τῆς εἰρήνης συνθήκας, ὅταν οἱ βασιλεῖς αὐτῶν καταντήσωσι πρὸς αὐτόν.

Καταντλοῦμαι τοῖσδε, [f] Καταντλῶ σου δὲ τάδε.

Κατανυγείς: Λυπηθεὶς, μεταγνούς. Καὶ [[g] κατανυγῶ,] ἀντὶ τοῦ σιωπῶ. [h] Δαβίδ·

E Ὅπως ἂν ψάλλῃ σοι ἡ δόξα μου, καὶ οὐ μὴ κατανυγῶ.

Ἀντὶ τοῦ, [i] σιωπήσω.

Κατανυγῆις: Αὐθυπότακτον.

ΚΑΤΑΜΑΙΝΟΜΑΙ] Joseph. B. J. p. 307. TOUP.

ΚΑΤΑΜΕΡΟΣ] Deest gl. B.E.

[q] Πολλὰ τὸν βασιλέα Εὐμ. καταμ.] Hoc fragmentum Polybio tribuit Valesius. KUST.

[r] Ἤγουν καταφρονῶν] ἤγουν om. A.B.V.E.

[s] Ὁ δὲ μηδὲν] Ex Joseph. B. J. III. 13. [7. 33.] decerptum esse exemplum monuit Bos.

[t] ἐσταυρώθη] ἀνεσταυρώθη V. cum Josepho.

ΚΑΤΑΜΗΛΩΣΑΙ: Λέγεται τὸ] Ex Schol. Aristoph. Equit. 1147. KUST.

[u] καθίεσθαι] καθίζεσθαι A.V.E.

ΚΑΤΑΜΗΛΗΝ: ΜΗΛΩΣΑΙ καλ.] Hic articulus in prioribus edit. [et mss.] repugnante literarum serie post v. Καταμησάμενος legitur, quem in hac edit. sedi suæ restituimus. Ceterum pro Καταμήλην. μηλῶσαι legendum est καταμηλῶσαι: vel, ut Schol. Aristoph. habet. Καταμηλῶσαι. καταμηλοῦν ἐστι τὸ μήλην καθ. &c. KUST. Κατὰ μίλην A.B. V.E. et mox μιλῶσαι, μίλην (μίλιν E.) Hinc apparet quare in his libris hæc gl. post Καταμησάμενος ponatur. Sed leg. videtur Καταμηλῶν cum Photio.

[x] τὰ ἄδηλα] τὰ om. A.E.

[y] Λέγεται] λέγουσι V. Mox καταμιλοῦν A.E.

ΚΑΤΑ ΜΗΡ' ἘΚΑΗ: Κατεκάη] Ex Scholiasta Homeri ad Il. α'. 464. KUST.

[z] Ἰώσηπος· Ὁ δὲ περιρρήξας] Fragmentum hoc exstat apud Josephum lib. III. de Bello Jud. p. 825. [II. 21, 3.] sed ubi pro καταμησάμενος rectius legitur καταπασάμενος. KUST. Pace v. cl. dixerim verbum καταμήσασθαι usitatum hoc sensu esse apud Josephum. Sic p. 802. ejusdem libri: [II. 15, 4.] τοῖς δὲ ἀρχιερεῖς αὐτοὺς ἦν ἰδεῖν καταμησαμένους μὲν τῆς κεφαλῆς κόνιν, γυμνοὺς δὲ τὰ στέρνα τῶν ἐσθήτων περιερρηγμένων. Unde conjicio hic etiam olim lectum ita ut a Suida citatum est, καταμησάμενος. BOS. Conf. Wesseling. ad Diodor. Sic. I. 72.

ΚΑΤΑΜΩΚΩΜΕΝΟΣ] Plutarch. in Demetrio p. 894. καταμωκώμενος τοῦ ἀνθρώπου. Synes. Calvit. Enc. καταμωκῶνται τοῦ δήμου. TOUP. μου addidi cum B.V.E.

F ΚΑΤΑΝΑΛΩΣΕ—ΚΑΤΗΝΑΛΩΣΕ] Vid. supra vv. Καρίδας. Καρίδες. Ἀναλίσκειν. Adde Fischer. Animadv. ad Weller. T. III. p. 33.

[a] Ὁ δὲ διὰ τὸ τάχος τῆς εἰρεσίας ἀπέπλευσε, καταν.] Hæc sunt verba Polybii lib. I. 46. KUST.

[b] Ὁ δὲ κατὰ σπάνιν] Hæc sunt verba Josephi lib. I. de Bello Jud. p. 741. [18, 4.] ut Pearsonius observavit. KUST.

[c] γένοιτο] γένηται E.

G ΚΑΤΑΝΩΤΙΣΑΣΘΑΙ] Photius habet κατανωτίζεσθαι. TOUP.

[d] Μηδὲ τὴν τοῦ Πλουτάρχου κατανωτίσασθαι κρ.] Hoc fragmentum depromptum est ex Damascio, ut patet ex Photio, apud quem eadem verba in Excerptis ex illo scriptore p. 1056. leguntur, ut Pearsonius observavit. KUST.

ΚΑΤΑΝΤΑ] Il. ψ'. 116.

[e] Τότε τυπώσεται] Ex Diodori Exc. Legat. T. II. p. 662. monente Wesselingio. TOUP.

H ΚΑΤΑΝΤΛΟΥΜΑΙ] Joseph. B. J. p. 305. TOUP. Deest gl. V.

[f] ΚΑΤΑΝΤΛΩ σου δὲ τάδε] Aristoph. Vesp. 481. Ταῦτά σου καταντλῶ. Ubi Scholiasta, καταχέω, κατηγορῶ. KUST.

[g] Κατανυγῶ om. A.B.E.

[h] Δαβίδ] Psalm. XXIX. 15. KUST.

[i] σιωπήσω] σιωπῶ (ήσω) E.

Κατανυγῶ: [k]Ὁ μὲν [l]Χρυσόστομος ἀντὶ τοῦ, οὐ A
μὴ [m]μεταβληθῶ. Καὶ [n]ὁ Ἀπόστολος·

Ἔδωκεν αὐτοῖς ὁ Θεὸς πνεῦμα κατανύξεως.

Οὐκ ἐνέργειαν δηλοῖ, ἀλλ' ἀντὶ τοῦ συνεχώρησε. Τὴν γὰρ ἐπὶ τὸ χεῖρον ἕξιν τῆς ψυχῆς [o]φησι, τὴν ἀνιάτως ἔχουσαν καὶ ἀμεταθέτως. Ὥσπερ γὰρ ὁ ἐν εὐλαβείᾳ [p]κατανενυγμένος οὐκ ἂν εὐκόλως μεταστῇ, οὕτω καὶ ὁ ἐν πονηρίᾳ κατανυγεὶς οὐκ ἂν ῥᾳδίως μεταβάλοιτο. [q]Ὁ δὲ Ἰσίδωρος ἀντὶ τοῦ, οὐ μὴ καταπλαγῶ, οὐ μὴ B
[r]μεταστῶ.

Καταξάναι:

Καταξαίνειν εἰς φοινικίδα: [s]Ἀριστοφάνης·

Τί [t]φειδόμεσθα τῶν λίθων, ὦ δημόται,
μὴ οὐ καταξαίνειν τὸν ἄνδρα τοῦτον ἐς φοινικίδα;
οἷος αὖ μέλας τίς ὑμῶν θυμάλωψ [u]ἐπέζεσεν.

Ἀντὶ τοῦ, [x]μὴ οὐχὶ λίθοις αὐτὸν αἱμάσσειν, ὡς φοινικοῦν αὐτοῦ ποιῆσαι τὸ σῶμα. [y]Τὸ δὲ καταξαίνειν C
ὡς ἐπὶ ἐρίων [z]ἐχρήσατο. Διὸ καὶ φοινικίδα εἶπεν ὡς ἐπὶ ἱματίου. Ἐχρῶντο δὲ οἱ Λακεδαιμόνιοι φοινικίδι πρὸς τοὺς πολέμους, τοῦτο μὲν, ὅτι τὸ τῆς χρόας ἀνδρικόν· τοῦτο δὲ, ὅτι τὸ τοῦ [a]χρώματος αἱματῶδες τῆς τοῦ αἵματος ῥεύσεως ἐθίζει καταφρονεῖν. Τὸ οὖν ἐν φοινικίδι, ἀντὶ τοῦ ἐν τάξει πολεμίων, [b]ἀποφορήματα δηλώσειεν ἂν εἰκότως, [c]ἐπεὶ τὸ φοινιχθῆναι, D
αἱμαχθῆναι. Θυμάλωψ δὲ, ὁ διακεκαυμένος ἄνθραξ.

Καταξαινόμενοι: Μαστιζόμενοι.

Πληγαῖς καταξαινόμενοι ὑπὸ τῶν ἀρχόντων οἱ ἄνθρωποι, καὶ ἔξωθεν ὑπὸ τῶν πολεμίων ἀναιρούμενοι, τὴν [d]ἑτοιμοτάτην τῶν βαρβάρων ᾑροῦντο τελευτὴν πρὸ τῆς ἐκθέσμου τε καὶ ἀσελγεστάτης παρατεινούσης τε καὶ τὸν θεωρὸν ἐχούσης χρόνον.

Καταξαίνων: Κατατρίβων.

Καὶ ἐν τούτοις τὸν ἅπαντα αὐτοῦ καταξαίνων βίον.

Κατάξηροι ὄνειροι: Οἱ μὴ ἔχοντες λαβάς.

Καταξιοπιστεύεσθαι:

[e]Ἵνα δὲ μὴ δόξωμεν τῶν τηλικούτων ἀνδρῶν καταξιοπιστεύεσθαι, μνησθησόμεθα μιᾶς παρατάξεως.

Καταξιοῦντες: Τιμῆς ἀξιοῦντες.

Οἱ δὲ οὐ καταξιοῦντες τὸν Τίμαρχον, διὰ τὸ συνειδέναι τίς ἦν, οὐ προσεδέξαντο.

Κατὰ συμφοράν: Κατὰ συντυχίαν.

Καταπαλαίω σε, καὶ καταπανουργεύω: Αἰτιατικῇ.

Καταπαλαῖσαι:

Καταπάσω: Καταποικιλῶ, πληρώσω. [f]Ἀριστοφάνης·

Ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω.

Κατάπαστος: Κατάμεστος, πλήρης, καταπεποικιλμένος.

[g]Πράξας κατὰ νοῦν τὸν ἐμὸν, πάλιν ὡς ἡμᾶς ἥξεις στεφάνοις κατάπαστος.

Κατὰ πατέρα καὶ μητέρα:

Ὁ δὲ [h]Ὀνόσυλφος ἔφυ ἐξ ἐθνῶν κατὰ πατέρα μὲν [i]Θευρίγγων, τῶν δὲ Σκίρων κατὰ τὴν μητέρα.

Καταπατῶ: Αἰτιατικῇ.

Καταπαύω: Αἰτιατικῇ.

Κατάπαυσις: Ἡ γῆ τῆς ἐπαγγελίας. [k]Δαβίδ·

[l]Εἰσελεύσονται εἰς τὴν κατάπαυσίν μου.

Κατάπαυσις: [m]Ἡ τοῦ σαββάτου, ἐν ᾗ ὁ Θεὸς [n]κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ, καὶ καθ' ἣν Ἰουδαῖοι εἰσῆλθον εἰς τὴν γῆν τῆς ἐπαγγελίας, καὶ ἡ τῶν οὐρανῶν βασιλεία.

Καταπαίζω σου: Γενικῇ.

Καταπέλτης: Εἶδος κολαστηρίου. Καὶ Καταπελτάσουσιν, ἀντὶ τοῦ ἀκοντίσουσι, καταπολεμήσουσι. Πέλτη γὰρ εἶδος μηχανῆς, ἀφ' ἧς ἀκόντια καὶ ἄλλα τινὰ ἀφιᾶσιν. Ἢ καταδραμοῦνται. Πέλτη γὰρ ἀσπὶς μικρὰ, μὴ ἔχουσα ἰμάντα. Καὶ Καταπελταφέται, οἱ ταῦτα πέμποντες.

E [o]Ἵστη δὲ προμάχους, ξύλα παχέα ἔχοντας [p]διπήχεα σεσιδηρωμένα, ἃ ἔμελλον ὡς καταπέλτας ἐκ χειρὸς εἰς τοὺς ἐλέφαντας [q]προσκολλᾶν.

Ὁ δὲ Λογοθέτης λέγει ἐν τῷ τοῦ ἁγίου Θύρσου μαρτυρίῳ·

Δεσμοῖς χειρῶν, καταπέλταις ποδῶν.

Καταπέπτωκεν: [r]Ἐπτύθη.

F

[k] Ὁ μὲν] ὁ μὲν γὰρ B.V.

[l] Χρυσόστομος] Hom. XIX. in Ep. ad Rom. T. IX. p. 643.

[m] μεταστῶ] οὐ μὴ μεταβληθῶ, οὐ μὴ μεταστῶ (vel μετανασταῶ) A.B.V.E. edd. ante Kuster.

[n] ὁ Ἀπόστολος] Epist. ad Rom. XI. 8. KUST.

[o] φησι] δηλοῖ A.

[p] κατανενυγμένος] κατεπηνυγμένος E.

[q] Ὁ δὲ Ἰσίδωρος] Lib. IV. Epist. 101. KUST.

[r] μεταστῶ] μετανασταῶ B.E.

ΚΑΤΑΞΑΝΑΙ] Καταξάνω A.

[s] Ἀριστοφάνης] Acharn. 319. ubi seqq. habet Schol. G
KUST.

[t] φειδόμεσθα—ὦ] φειδόμεθα—οἱ A.B.V.E.

[u] ἐπέζεσεν—αἱμάσσειν om. V.

[x] μὴ οὐχὶ] μὴ om. E.

[y] τῷ] τὸ A.B.V.E.

[z] ἐχρήσατο] ἔθηκε Schol.

[a] χρώματος] Sic recte ms. Paris. A. et Schol. In prioribus vero edit. [et B.V.E.] male legitur σώματος. KUST.

H

[b] ἀποφορήματα] Rescribe ex Schol. ἀπὸ τοῦ φορήματος. KUST.

[c] ἐπὶ] ἐπεὶ Schol. Mox delevi ἔγουν cum A.B.V.E. Schol.

[d] ἑτοιμοτάτην] ἑτοιμότητα B.E.

ΚΑΤΑΞΗΡΟΙ: ΟΙ ὈΝΕΙΡΟΙ] Ex Artemidoro. KUST. ὄνηροι A. ὄνειροι V. sine οἱ.

[e] Ἵνα δὲ μὴ δόξωμεν] Hoc fragmentum Polybio tribuit Valesius. KUST. Vid. XII. 17, 1. δὲ om. A.

[f] Ἀριστοφάνης] Equit. 99.

[g] Πράξας κατὰ νοῦν] Aristoph. Equit. 500. πράξειας V. qui mox om. ἥξεις. Infra κατάπαυστος V.

ΚΑΤΑ ΠΑΤ.] Ortel. Thes. Geogr. v. *Scyri.* HEMST.

[h] Ὀνόσυλφος] Ὀνόουλφος A.V. Vid. supra v. Ἀρμάτιος.

[i] Θευρίγγων] Θεουρίγγων B.V.E.M.

[k] Δαβίδ] Psalm. XCIV. 12. ubi legitur, εἰ εἰσελεύσονται εἰς τὴν κατ. uti et hic apud Suidam legendum est. KUST. Vid. Theodoret. ad l.

[l] Εἰσελεύσομαι] εἰσελεύσονται A.B.V. αὕτη ἡ κατάπαυσίς μου E.

ΚΑΤΑΠΑΥΣΙΣ] Chrysost. Hom. VI. ad Heb. III. 11.

[m] Ἡ τοῦ σ. ἡμέρα] καὶ ἡ τοῦ E. Mox ἡμέρα om. A.B.V.

[n] κατέπαυσεν om. E. Mox καθ' om. V.

ΚΑΤΑΠΕΛΤΑΣΟΥΣΙΝ] Ex Schol. Aristoph. Acharn. 159. KUST.

[o] Ἵστη δὲ—προσκολλᾶν] Hæc sunt verba Appiani in Libyc. p. 35. eademque leguntur supra v. Ἀφάπτειν. KUST.

[p] διπήχη] διπήχεα A.V. διπηχυαῖα E.

[q] προσκολλᾶν] Pessime. Ex Appiano enim rescribendum est ἀφήσειν. Vide quæ notavimus supra ad v. Ἀφάπτειν. KUST.

[r] Ἐπτύθη] ἐπτοήθη Hemsterhusius et Valckenærius.

Καταπέρτερος:

Καταπεσών: Ἀντὶ τοῦ φοβούμενος.

Καταπέττει: [a]Καταταράττει, καταβάλλει.

Καταπεφροντικα: Εἰς τοὺς φροντιστὰς [t]ἀνάλωσα, εἰς τὴν παίδευσιν καταδεδαπάνηκα. Ἀριστοφάνης Νεφέλαις·

> Τὸ θοιμάτιον [u]ἀπώλεσας;
> Ἀλλ' οὐκ ἀπολώλεκ', ἀλλὰ καταπεφρόντικα.

Πρὸς τὸν υἱὸν λέγει ὁ πρεσβύτης.

Καταπειθές: Πειθήνιον.

Ἄλλως τε ἀτάσθαλον εἶναι, καὶ [x]οὐδαμῆ καταπειθὲς τοῖς ἐξηγουμένοις.

Καταπειράζω: Γενικῇ καὶ αἰτιατικῇ.

Καταπῆγας: Τὰ πηγνύμενα ξύλα ἐν τοῖς ὕδασιν.

Ἐπὶ τὰ ὑποκείμενα οὐχ οἷά τε ἦν καταπῆγας δέχεσθαι, ἐφ' ὧν ἔδει στοιχίσθαι τὰ ἐπὶ τοῦ ῥεύματος καθιέμενα.

Καταπηδῶ: Αἰτιατικῇ.

Καταπημήνειε: Καταβλάψειε.

Κατὰ πῆχυν ἐπεδίδου: Ἐπὶ τῶν ἐπὶ τὰ κρείττω προκοπτόντων.

[y]Ὁ δὲ φιλόσοφος ἀνεμπόδιστος εἰς ἐπίδοσιν διετέλει, καὶ ἐπεδίδου κατὰ πῆχυν, ὡς φάσι, ἀτεχνῶς [z]ἄχρι τοῦ παγκοῦ δυστυχήματος.

Καταπίονα: Λιπαρά.

Καταπλῆγες: [a]Καταπεπτηχότες.

Τούτων [illegible] γινομένων οἱ ἐναντίοι καταπλῆγες ἦσαν.

A Καταπλήξ: Ὁ συνεχῶς πεπληγμένος. Θεόπομπος·

> Ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει,
> ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ τὴν τέχνην.

Καταπληστεύω: Γενικῇ καὶ αἰτιατικῇ.

Καταπλήττω: Αἰτιατικῇ.

Κατὰ πόδα: Παραυτὰ, κατὰ τάξιν.

Κατὰ πόδος βάσιν: Παροιμία ἐπὶ τῶν κατὰ
B μικρόν τι πραττόντων, καὶ κατὰ τέχνην, καὶ μὴ ἀθρόως.

Καταπολαύω: Γενικῇ.

Καταπολεμῶ σε:

Καταπολιτεύομαί σε: [b]Καταπολιτεύω σοι δὲ, δοτικῇ.

Καταποντωθῆναι: Κινδυνεῦσαι.

Καταπορευθέντων: Ἐπανόδου τυχόντων τῶν
C φυγάδων. [c]Πολύβιος·

Ἦν οὐχ οἷόν τε ἀναλαβεῖν, μὴ οὐχὶ καταπορευθέντων τῶν πεφυγαδευμένων.

Καταπορνεύω: Γενικῇ.

Κατὰ πόσον: Πλεονάκις.

Καταπότης: Λάρυγξ.

Καταπραγματεύω καὶ καταπραγματεύομαι:
D Γενικῇ.

Καταπρησθῇ: Κατακαυθῇ.

[d]Κελεύσαντος Κύρου, ἵνα καταπρησθῇ ζῶν.

ΚΑΤΑΠΕΡΤΕΡΟΣ] Καταπέρτερος Photius, quomodo conjecerat Portus.

ΚΑΤΑΠΕΣΩΝ: Ἀντὶ τοῦ, φοβούμενος] Aristoph. Av. 89. ——Π. Ὦ δειλότατον σὺ θηρίον, ΔΕΙΣΑΣ ἀφῆκας τὸν κολοιόν; Ε. Εἰπέ μοι, Σὺ δὲ τὴν κορώνην οὐκ ἀφῆκας ΚΑΤΑΠΕΣΩΝ; Ad hunc locum manifesto spectavit Suidas, atque hinc unice illustrandus est. TOUP.

ΚΑΤΑΠΕΤΤΕΙ] Καταπέττει B.E.

[s] Καταταράττει] Sic habet ms. Paris. A. itemque editio Mediolanensis. At in ceteris edit. minus recte, ut puto, legitur καταράττει. KUST. Vide infra v. Καταπέσει.

ΚΑΤΑΠΕΦΡΟΝΤΙΚΑ: Εἰς τοὺς] Ex Schol. Aristoph. Nub. 855. KUST.

[t] ἀνάλωσα] ἀνήλωσα E. ἠνάλωσα Schol.

[u] ἀπώλεσας] ἀπώλεσα B. τὸ θοιμάτιον ἀπώλεσας om. E.

[x] οὐδαμῆ] οὐδαμοῦ E.

ΚΑΤΑΠΗΜΗΝΕΙΕ: Καταβλάψειε] Καταπημήνειε: καταβλάψειε.

ΚΑΤΑ ΠΗΧΥΝ 'ΕΠΕΔΙΔΟΥ] Damascius apud Photium p. 1057. Οὐ γὰρ ἐπιδιδόναι ῥᾳδίως, οὐδὲ ἦν αὔξεσθαι κατὰ πῆχυν, ὥσπερ Θεόδωρος ὁ Ἀσιναῖος. Κατὰ πῆχυν αὔξεσθαι hic significat *magnis auctibus crescere*, et *brevi tempore plurimum proficere*: quod etiam πήχεσιν αὔξεσθαι Græci vocant. Vide parœmiographos. KUST.

[y] Ὁ [illegible] φιλόσοφος] Idem fragmentum legitur etiam supra v. Ἐπίδοσιν. KUST.

[z] ἄχρι τοῦ παγκοῦ] Rescribendum proculdubio: ἄχρι τοῦ ΠΑΝΟΙΚΙΟΥ δυστυχήματος. Locus ita vertendus est: *Ille autem in philosophiæ studio, nullis impedimentis retardatus, cubito, ut aiunt, identidem proficiebat, usque ad calamitatem illam, quæ totam ejus domum oppressit.* Nihil, opinor, certius hac emendatione. De Isidoro autem philosopho hic agi videtur, de quo Damascius apud Photium, p. 1032. Πανοικὸν [illegible] συμφορᾷ δημευθέντα τὰ ὄντα. Quod de hac ipsa calamitate, quam πανοίκιον vocat Suidas, accipiendum. TOUP. παγκοῦ vel potius πανοικίου Hemsterhusius.

ΚΑΤΑΠΙΟΝΑ: Λιπαρά] Male hic Suidas ex duabus vocibus unam conflavit. Respexit enim proculdubio ad locum illum Homeri Il. α'. 40. Κατὰ πίονα μηρί' ἔκηα. Ubi præpositio κατὰ non est jungenda voci πίονα, sed pertinet ad verbum ἔκηα, quippe a quo per tmesin avulsa est. KUST.

[a] Καταπεπτηχότες] οἱ κ. E. κατεπτηκότες V.

E ΚΑΤΑΠΛΗΞ: Ὁ συνεχῶς πεπληγ.] Hæc, et quæ sequuntur, descripta sunt ex Harpocratione. KUST. Hæc auctiora longe leguntur apud Harpocrationem, quem compilavit Suidas. Desumpti autem sunt isti versiculi ex Theopompo ἐν Τισαμένῳ· ut nos docet Harpocratio. Interpres autem nec sensus nec Græcismi rationem habuit. Ita enim vertit: *Sed Lucina quidem a mulieribus assidue arte percussa veniam ipsis dat.* Nimirum id libenter agunt nonnulli, ut ea vertant, quæ non intelligunt. Quod fecit noster interpres. Sensus autem verborum, si modo
F sana sint, ejusmodi esse videtur: *Lucinam ita obtundi a mulieribus, ut nesciat utique quid agat; id tamen eis condonare.* Sed illud καταπλὴξ τὴν τέχνην nove dictum esse puto. Adde quod de mulieribus *parturientibus* hic sermo est: quod tamen in Græcia neutiquam comparet. Quare nullus dubito quin hunc locum ita, fausta et favente Critice, recte restituerim: Ἀλλ' ἡ μὲν Εἰλείθυια συγγνώμην ἔχει Ὑπὸ τῶν γυναικῶν οὖσα καταπλὴξ ΤΩΝ ΛΕΧΩΝ. Καταπλὴξ ὑπὸ τῶν λεχῶν· *a mulieribus parturientibus percussa* [illegible]
G *fatigata.* Orpheus in Hymno primo: ΕΙΛΕΙΘΥΙΑ λύουσα πόνους δειναῖς ἐν ἀνάγκαις· Μούνην γάρ σε καλοῦσι ΛΕΧΩΙ—— Ceterum [illegible] hunc locum Theopompi manifeste respexit Schol. ad Sophocl. Elect. 5. qui et subtiliter satis, ut mos est istorum hominum, rem explicat et enarrat: Καταπλὴξ, ὁ συνεχῶς πεπληγμένος. Καὶ ΚΑΤΑΠΛΗΞ ΕΙΛΕΙΘΥΙΑ, ἡ πληγὰς συνεχεῖς (Angl. *throws*) ἔχουσα. Εἰσὶ δὲ εἰλείθυιαι οἱ τόκοι, καὶ αἱ ἔφοροι τῶν τόκων θεαί. TOUP.

ΚΑΤΑ ΠΟΔΑ] Schol. Platon. p. 36.

ΚΑΤΑΠΟΛΙΤΕΥΟΜΑΙ] Synes. p. 68. τὰ πλήθη καταπολι-
H τευόμενοι. TOUP.

[b] ΚΑΤΑΠΟΛΙΤΕΥΩ] Καταπολιτεύομαι B.E.

[c] Πολύβιος] Fr. gr. 85.

ΚΑΤΑΠΡΗΣΘΗΙ] καταπρηθῇ A. et in exemplo.

[d] Κελεύσαντος] Ad Crœsum non dubito quin hæc pertineant. Vid. Exc. Nicol. Damasc. p. 455. 457. HEMST. Post ζῶν E. addit ὁ Κροῖσος.

Καταπροήσεται: Καταπροδώσει.

[e] Ὠμοσάτην ἔσω δεινότατοι Χριστιανοῖς ἔρωτι ἀνημάξευται, μή ποτε [f] ἀλλήλων καταπροήσεσθαι ἄχρι τῶν ἐς ὄλεθρον φερόντων [g] κινδύνων.

Καταπροΐεμαι: Αἰτιατικῇ.

Καταπροΐξεται: Καταφρονήσει, καταπροδώσει. Οἷον προῖκα ἐκφύγοι.

[h] Οὔτοι καταπροίξῃ, μὰ τὸν [i] Ἀπόλλω, ταῦτα δρῶν.

Ἀριστοφάνης·

[k] Οὔτοι, μὰ [l] τὼ θεώ, σὺ καταπροίξῃ λέγουσα ταυτί.

[m] Ἀντὶ τοῦ [n] καταγελάσῃ μου χωρὶς ζημίας. Προῖκα γὰρ [o] ἔλεγον καὶ τὴν ζημίαν. [p] Ἡρόδοτος·

Οὐ γὰρ δὴ ἐμέ γε ὧδε [q] λωβησάμενος καταπροίξεται.

Καταπροΐξεται: Ἡ προ [r] ἀντὶ τῆς παρά. (Παρὰ τὸ) [s] προϊκνεῖσθαι. Τινὲς δὲ ἀπὸ τοῦ ἵξεσθαι, ὅ ἐστι δωρεάν τινα λαβεῖν. Ἀρχίλοχος·

[t] Ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροΐξεται.

[u] Ἡρωδιανὸς δὲ ἐν Ἐπιμερισμοῖς, παρὰ τὸ ἴσσω φησί. Καὶ Ἀρχίλοχος·

Προτείνω χεῖρα καὶ [x] προΐσσομαι.

Καταπροΐξῃ: Τουτέστιν, οὐ μὴ [y] καταφρονήσεις. Πεποίηται δὲ παρὰ τὴν προῖκα· οἷον, οὐ δωρεάν μου ἐγχανῇ.

Καταπροθυμοῦμαι: Αἰτιατικῇ.

Καταπτύω σου: Γενικῇ.

Κατὰ πρόσκλισιν: Καθ' ἑτεροβάρειαν, ἢ [a] ἑτερομέρειαν.

Καταπύγους: Κιναίδους.

Καταπυγῶν: Κατασελγαίνων.

Καταπύγων: Ὁ [a] λάγνος. Ἡ [l] μεταφορὰ ἀπὸ τῶν [b] ἀλφίτων οὕτως λεγομένων ἰχθύων, ὅτι ἕπονται κατ' οὐράν. Ἡ γενικὴ δὲ, [c] καταπύγωνος· καὶ καταπύγωνα ἡ [d] αἰτιατικὴ καὶ αἱ [e] ἄλλαι πτώσεις εὕρηνται. Εὕρηται καὶ τὸ θηλυκὸν καταπύγων. Καὶ ἡ πρᾶξις [f] καταπυγοσύνη, τουτέστιν, ἡ μαλακία.

Καταπυγωνέστερον: Μαλακώτερον, πορνικώτερον.

[g] Οὐκέτι δόξει [h] τι ἄλλο καταπυγωνέστερον εἶναι.

Κατάπυστον: Εὐτελὲς, μισητόν.

[i] Τὸ [l] ταραντινίδιον λεπτόν τε ὂν καὶ ἀσθενὲς, ἐπεὶ μόνον ἐτάθη, κᾆτα ἀπερρήγνυται. Ἡ δὲ περιαλγεῖ, καί φησιν· ὦ κατάπυστόν τε καὶ ἐπίρρητον ῥάκος, οὐδὲ εἰς ταύτην μοι τὴν χρείαν ἐπιτήδειον ἐγένου. Καὶ ῥίψασα αὐτὸ, ξίφει [k] αὐτὴν διεχρήσατο.

Καταπυνθάνομαι: Γενικῇ.

Κατὰ πύστιν:

Ναῦται δέ τινες κατὰ πύστιν ἐγχώριοι ἥκοντες, οὐκ ἐδύναντο κεκρυμμένον ἀνιχνεῦσαι· [l] ἀπεκέκριτο γάρ.

Κατὰ πύστιν οὖν, κατὰ φήμην.

Κατὰ ῥάβδον ἔφρασε: Κατερραψῴδησεν, ἢ κατὰ στίχον διῆλθεν.

Καταρραιθυμῶ: Γενικῇ, καὶ αἰτιατικῇ.

ΚΑΤΑΠΡΟΗΣΕΣΘΑΙ: Καταπροδώσειν] Καταπροήσεται: καταπροδώσει A.B.V.E.

[e] Ὠμοσάτην ἔσω] Hoc fragmentum depromptum est ex Procopii Histor. Arc. c. 2. p. 7. idemque legitur supra v. Δεινοί. KUST. ὠματάτην A. ὠμοσάτην B.V. ὠμοσάτην E.

[f] ἀλλήλων] ἀλλήλοις A.V.E.

[g] κινδύνων] Hæc vox in prioribus edit. [et A.B.V.E.] deest, quam ex Procopio revocavi. KUST.

[h] Οὔτοι καταπροίξῃ, μὰ τὸν Ἀπ. ταῦτα δρῶν] Aristoph. Vesp. 1357. KUST.

[i] Ἀπόλλω] Ἀπόλλωνα A.B.V.E.M. Mox ταῦτο δρῶν A. ταῦτα δρᾶν B.V.E. Post Ἀριστοφάνης delevi καὶ αὖθις cum A.B.V.E.

[k] Οὔτοι, μὰ τὼ θεώ, σὺ καταπρ.] Aristoph. Thesmoph. 573.

[l] τὼ θεώ] τὸν Ἀπόλλω E.

[m] Ἀντὶ τοῦ καταγελάσῃ] Schol. Aristoph. Eq. 433. ubi καταγελάσεις.

[n] καταγελάσῃ] καταγελάσεις E.

[o] ἔλεγον καὶ] καὶ om. B.V.E. Schol. Aristoph.

[p] Ἡρόδοτος] III. 36. ubi v. gl.

[q] λωβησάμενος] λωβησόμενος B.V.E.

ΚΑΤΑΠΡΟΙΞΕΤΑΙ: Ἡ ΠΡΟ ἀντὶ τοῦ π.] Ex Schol. Aristoph. Equit. 433.

[r] ἀντὶ τοῦ] ἀντὶ τῆς A.V.E. Gl. Herodot. III. 156. Schol. Aristoph.

[s] προϊκνεῖσθαι] παρὰ τὸ προϊκνεῖσθαι Gl. Herodot. παρὰ τὸ ἱκνεῖσθαι Etymol.

[t] Εὖ] ἐμεῦ ex Etymol. et Gl. Herodot. Ἀρχίλοχος—καταπροΐξεται om. Schol. Aristoph.

[u] Ἡρωδιανὸς] ὁ δὲ Ἡρ. Etymol. sine ἐν Ἐπιμερισμοῖς.

[x] προΐσσομαι] Vide Etymol. Mag. v. Προΐκτης. ubi Archilochi senarius ita recte legitur: Ἐμεῦ δ' ἐκεῖνος οὐ καταπροΐξεται. *Ille vero haud impune me deridebit.* Hesychius: Καταπροΐξεις, καταφρονήσεις. Legend. Καταπροΐξει. Aristoph. Nub. 1242. Οὔτοι μὰ τὸν Δία τὸν μέγαν, καὶ τοὺς θεοὺς, ΕΜΟΥ ΚΑΤΑΠΡΟΙΞΕΙ——Quin et vicissim ex Suida emendandus Etymologus, apud quem male scribitur: προτείνω χεῖρα, προΐσσομαι. Sed recte noster:——Προτείνω χεῖρα, καὶ προΐσσομαι. Quomodo et corrigendus Schol. ad Homer. Odyss. ρ'. 352. Προΐκτῃ, μεταίτῃ, παρὰ τὸ ἱκετεύειν καὶ προσαιτεῖν. Ἀρχίλοχος· Προτείνω χεῖρα, Προΐσσομαι. Noli dubitare quin Suidæ lectio verissima sit. Vertendum utique: *Manum porrigo, et stipem peto.* TOUP.

ΚΑΤΑΠΡΟΙΞΗΙ: Τουτέστιν, οὐ μὴ καταφρ.] Et hæc sunt verba Schol. Aristoph. loco modo laudato. KUST.

[y] καταφρονήσεις] καταφρονήσης V.

ΚΑΤΑ ΠΡΟΣΚΛΙΣΙΝ] Sic ex mss. Paris. rescripsi. Priores enim edit. [sic V. Phot.] male habent κατὰ πρόσκλησιν, per η. KUST. Pertinet gl. ad Pauli Ep. 1 Tim. V. 21. Vid. Alberti Gloss. Gr. p. 158. nec non ad Hesych. Schleusner. Lex. N. T. in Πρόσκλισις.

[z] ἑτερομέρειαν] ὁμοιομέρειαν E. (ἑτερο superscr.)

[a] λάγνος] λάγνης A. Photius.

[b] ἀλφίτων] Lege ἀλφηστῶν. Vide Athen. p. 281. KUST.

[c] καταπύγωνος] καταπύγωνος et καταπύγωνα Photius.

[d] αἰτιατικὴ] ἡ αἰτιατικὴ A.V.E. Photius.

[e] ἄλλαι] αἱ ἄλλαι A. Photius.

[f] ΚΑΤΑΠΥΓΟΣΥΝΗ] Hac voce usus est Aristophanes Nub. 1019. καταπυγοσύνη V.E.

[g] Οὐκέτι δόξειέ τι ἄλλο καταπυγ.] Locus hic apud Aristoph. Lysistr. 777. recte sic legitur et distinguitur: Οὐκ ἔτι δόξει· Ὄρνεον οὐδ' ὁτιοῦν καταπυγωνέστερον εἶναι. KUST.

[h] τι ἄλλο] τι ἄλλο τι A. ἄλλο τι V.E.

[i] Τὸ δὲ ταραντινίδιον λεπτόν τε ὂν καὶ ἀσθ.] Pars hujus fragmenti repetitur infra v. Ταραντινίδιον. Erat autem Tarantinidium genus vestis subtile et pellucidum, sic appellatum a Tarentinis, qui eo uti solebant, ut docet Jul. Pollux. KUST. Vid. Plutarch. Lucull. p. 503 B.

[k] αὐτὴν] ἑαυτὴν A.V.

ΚΑΤΑ ΠΥΣΤΙΝ] Vide poetæ locum in Γραῦς. HEMST.

[l] Ἀπεκέκριτο] ἀποκέκριτο V.

ΚΑΤΑ ῬΑΒΔΟΝ ἜΦΡΑΣΕ] Rhapsodi olim virgam vel baculum laureum manu tenentes, carmina tum aliorum poetarum, tum præcipue Homeri, recitare solebant: de quo more legendus est Salmasius ad Solinum p. 609, 610. Hinc ergo apparet, quare Suidas hoc loco τὸ κατὰ ῥάβδον ἔφρασε exponat κατερραψῴδησεν. KUST.

ΚΑΤΑΡΡΑΙΘΥΜΩ] Dion. Hal. p. 171. TOUP.

A Καταρράκται: Πέτραι ἐν τῷ Ἴστρῳ ποταμῷ, ὄρους τρόπον τινὰ ὑπὸ τῷ ῥεύματι ἐπὶ παντὸς τοῦ πλάτους ὑποπεφυκότος, [m]οἷς ἅπασιν ὁ ποταμὸς ἐμπίπτων μετὰ μεγίστου πατάγου ἀνακόπτεται, καὶ [n]καγχλάζων περὶ ταῖς πέτραις, ἔπειτα ὑπερφερόμενος, ἐλιγμούς τε καὶ παλιρροίας καὶ χαρύβδεις, κυκλουμένου τοῦ ῥεύματος, ἀποτελεῖ· καὶ τὸ σύμπαν, ὁ ποταμὸς κατὰ ταῦτα τὰ χωρία οὐ πολὺ ἀπέοικε τοῦ κατὰ Σικελίαν πορθμοῦ.

B Καταρράκτης: Εἶδος ὀρνέου θαλασσίου.

Κατάρατος: Κατάρας ἄξιος.

Οὕτω μὲν οὖν ὁ κατάρατος συνήθως τὸν ἄνθρωπον ἐκτήλει.

Καταργῶ: Αἰτιατικῇ.

Καταρραψῳδήσει: Φλυαρήσει.

Κατάρδων: Χέων ὑποσχέσεις, καὶ καταβρέχων ἡμᾶς τοῖς ἐπαίνοις ὡς φυτά. [o]Ἀριστοφάνης οὐκ ἀπατῶν, οὐδέ τισι μισθοὺς διδούς, ἵνα αὐτὸν ἐπαινέσωσιν,

C Οὔτε κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων.

Κατὰ ῥέθος: [p]Μέλος.

[q]Ἧς ἔτι καλὸν ἔμιξε κατὰ ῥέθος Ἀφρογένεια.

Ἀντὶ τοῦ ἐσπάραξεν, ἔξεσε.

Κατάρρησις: Κατάγνωσις.

Καταριπόω:

Καταρρητορεύω:

Κατὰ ῥοῆν: Κατὰ τρόπον, κατ᾽ εὐθεῖαν.

Πλήρης [r]τε γὰρ ἡ σελήνη ἐτύγχανεν οὖσα, καὶ τὸ χαλεπὸν ἦν διὰ πάσης [s]τῆς νυκτὸς κατιέναι κατὰ ῥοῦν.

Καταρῶμαι: [t]Αἰτιατικῇ.

Οἱ καταρώμενοί σε [u]κεκατήρανται.

Δοτικῇ δέ·

Οὐ γὰρ τοῖς πρώτοις ἐπαινέσασιν ἡμᾶς καταράσομαι.

Καταρτίζω: Αἰτιατικῇ. Τελειῶ.

Καταρτύσων: Παρασκευάσων, εὐτρεπίσων. [x]Σοφοκλῆς·

Ὡς πρός τι λέξων, ἢ καταρτύσων [y]μολών;

[z]Καὶ Ὅμηρος·

Κλυταιμνήστρα δόλον ἤρτυε.

Καταρχάς:

Κατάρχω σου: Γενικῇ.

Κατασείει: Αἰτιατικῇ. Καταράττει, καταβάλλει.

Κατασίνεσθαι: [a]Καταβλάπτεσθαι.

Κατασκαφεῖ: Δοτικῇ.

Κατασκεδάζειν: Γενικῇ. Ἔθος ἦν Θρᾳκίον ἐν τοῖς συμποσίοις, ἵνα, ὅταν πίωσι τοῦ οἴνου οἱ συμπόται ὅσον [b]δύνωνται, τὸ λοιπὸν τοῦ οἴνου [c]καταχέωσι κατὰ τῶν ἱματίων τῶν συμποτῶν· ὅπερ ἔλεγον κατασκεδάζειν. [d]Οὕτω Ξενοφῶν ἐν [e]τῷ ζ΄ τῆς τοῦ Κύρου Ἀναβάσεως. [f]Μέμνηται τούτου καὶ [g]ὁ μέγας Πλάτων ἐν τοῖς Νόμοις. Καὶ ὁ μὲν Ξενοφῶν λέγει·

D [h]Ἀναστὰς ὡς [i]εὐθὺς συνέπιε, καὶ συγκατεσκεδάσατο [k]μετ᾽ αὐτοῦ τὸ κέρας.

ΚΑΤΑΡΡΑΚΤΑΙ: Πέτραι ἐν τῷ Ἴστρῳ ποτ.] Elegans hoc fragmentum de cataractis Istri ex scriptore aliquo deperdito, Eunapio forte vel Menandro historico, a Suida depromptum esse puto. KUST.

[m] αἷς] οἷς A.B.E. Mox ποτε V. pro ποταμός.

[n] καγχλάζων] καχλάζων A.

ΚΑΤΑΡΡΑΚΤΗΣ] Καταράκτης A.B.E. Vid. not. ad Hesych. Supra v. Ἡμερινὰ ζῶα.

ΚΑΤΑΡΔΩΝ: Χέων ὑποσχέσεις] Aristoph. Acharn. 656. Φησὶν δ᾽ ὑμᾶς πολλὰ διδάξειν ἀγάθ᾽, ὥστ᾽ εὐδαίμονας εἶναι, Οὐ θωπεύων, οὐθ᾽ ὑποτείνων μισθούς, οὔτ᾽ ἐξαπατύλλων, Οὔτε πανουργῶν, οὔτε κατάρδων, ἀλλὰ τὰ βέλτιστα διδάσκων. Vide ibi Schol. cujus verba Suidas hic descripsit. KUST.

[o] Ἀριστοφάνης inserui cum A.V.

[p] Μέλος om. B.E.

[q] Ἧς ἔτι καλὸν] Anthol. Pal. VII. 218.

ΚΑΤΑΡΡΗΤΟΡΕΥΩ] Agathias p. 145. Eustath. de Ism. Amor. p. 161. Hemsterh. ad Aristoph. Plut. TOUP.

ΚΑΤΑΡΙΠΟΩ] Καταρρυπόω A. καταρίπῳ B.E. Καταριπόω V.

[r] τε γὰρ] τε om. V.

[s] τῆς νυκτὸς] τῆς om. A.

[t] Αἰτιατικῇ] δοτικῇ κατὰ αἰτ. V. omissis infra δοτικῇ δέ.

[u] κατήρανται] κεκατήρανται A.B.V.M. Locus est ex Vet. Test. Num. XXIV. 9.

[x] Σοφοκλῆς] Œd. Col. 71.

[y] μολεῖν] μολών A.B.E.M.

[z] Ὅμηρος] Od. λ΄. 438.

ΚΑΤΑΡΧΑΣ] Καταρχὴ A. Καταρχαὶ V.

[x] κατεξανιστάμενος] Scribe κατεξ. τῶν ἐχθρῶν, τοὺς χορηγίους. TOUP.

[y] ἑτοίμους] An ἑτοίμως? HEMST.

[z] παρεσκεύασε] παρεσκεύασαι B.

[a] τοῖς λόγοις πρὸς τὴν] Scribe τοὺς λόγους, προστροφῇ. TOUP.

[b] πρὸς τὴν] πρὸς A.V.E. πρὸς B. τὴν om. omnes.

[c] ἐνεφύσησε] ἐνέφυσε A.B.V.

ΚΑΤΕΠΑΛΑΙΣΕ] Aristoph. Ach. 710.

ΚΑΤΕΠΑΛΜΕΝΟΣ] Homerus Il. λ'. v. 94. KUST.

[d] ἐπί] Adde cum Schol. Ven. τῆς ἑτέρας ἀρκούσης.

[e] Κατεκαίετο om. A.B.V. κατεκάη E.

ΚΑΤΕΠΙΤΤΩΣΑΝ] Dion. Chrys. p. 530. TOUP.

[f] Πίττῃ] πίσσῃ A.V.

[g] Δαβὶδ. Ἐπάρας κατέρραξάς με] Psalm. CI. 11. ad quem locum Theodoretus p. 799. Ὑψηλὸν γάρ με δείξας, F καὶ περίβλεπτον ἀποφήνας, ἐξαίφνης ἀπέρριψας. τὸ γὰρ κατέρραξας ἐκ μεταφορᾶς τέθεικε τῶν ἐπαιρόντων εἰς ὕψος τι, καὶ κατὰ τοῦ ἐδάφους καταρρηγνύντων. KUST. Δαβὶδ om. V.

[h] με] om. B.V.E.

[i] καταπονῆσαι] An potius ταπεινῶσαι? Sic enim Scholiasta Thucydidis vocem hanc duobus in locis [VI. 11. 33.] interpretatur. KUST. In καταπονῆσαι consentit Photius. Ad Thucyd. IV. 85. spectare putat Schleusnerus.

ΚΑΤΕΡΕΙΝ] Themist. p. 147. ed. Hard. Aristoph. Ran. 301. Mox del. τό. TOUP.

[k] καὶ μὴ] καὶ om. V.

[l] Καταβάλλω] αἰτιατικῇ A.V. καταβάλλω punctis notatur in E.

[m] ΚΑΤΕΡΙΠΟΩ] καταριπόω A.V.E.

ΚΑΤΕΡΡΥΗΚΥΙΩΝ γυναικῶν] Locum hunc mutilavit Suidas, quem integrum leges apud Scholiastam Aristoph. ad Plut. 271. KUST.

[n] ἀπατουσῶν] ἀπατῶσι E.

[o] Τὸ δ' ἐναντίον κατερυθ. τοῦ βασ.] Fragmentum hoc Po- H lybio tribuit Valesius. KUST. Temere, ut videtur Schweighæusero ad fr. gr. 87.

[p] ἐξακριβοῦντος] ἐξακριβοῦντες B. et E. suprasc. ος.

[q] σφῶν αὐτῶν] ἑαυτῶν A.B.V. σφῶν (αὐτῶν suprasc.) E.

ΚΑΤΕΡΡΙΚΝΩΜΕΝΟΝ] Κατερικνωμένον B.V.E. Mox ἐρρυτιδωμένον V.

Κατερρινημένοις: Εὐτελέσιν, ἢ κατεξεσμένοις. A
Ῥίνη γὰρ ἐργαλεῖον τεκτονικὸν, ᾧ ῥινοῦσιν. Ἢ εὐτελέσιν, ὅτι ἐξευτελίζομεν τῇ [r] ῥίνῃ. Ἀριστοφάνης περὶ Εὐριπίδου·

Ἀστεῖόν τι λέξαι καὶ κατερρινημένον.

Κατεριπώσει: Δοτική. Ἡ εὐθεῖα [s] κατερίπωσις.

Κατερρύηκεν: Ἐσάπη, ἠφάνισται.

Κατέσβη: Ἐσβέσθη, ἐπαύσατο.

B Κατέσειε: Λέγουσιν ἐπὶ τῶν [t] ἐν τοῖς πότοις [u] προπινόντων. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν τοὺς καρποὺς κατασειόντων. Καὶ Κατεσείσθη, ἀντὶ τοῦ κατέπεσεν. Αἰλιανός·

Καὶ παραχρῆμα ἡ οἰκία κατεσείσθη πρηνής.

Κατεσήμαινεν: Ἔλεγεν.

Ὁ δὲ τοῖς προσπλέουσι βαρβάροις κατεσήμαινεν, ἐς λόγους [x] αὐτὸν ἐθέλειν ἰέναι.

C Καί που τις αὐτῷ κατεσημήνατο δωμάτιον τὰ τιμιώτατα [y] ἔχον.

Κατεσικέλιζε: Κατήσθιε Σικελικὸν [z] τυρόν.

Κατεσκελετευμένα: Λελεπτυσμένα, ἐξησθενηκότα. Κατασκελετούμενα δὲ, ὁ ἐνεστώς.

Κατεσκιρρωμένη: Πεπαλαιωμένη.

Κατέσκηψε: Κατέσχε.

D Κατεσκληκώς: Κατεξηραμμένος.

[a] Τῷ γε μὴν κατεσκληκότι τοῦ βίου, καὶ τῇ εἰς μετριότητα πλάσει τῶν ἠθῶν οὕτω διενηθέντες, ὥστε οὐκ ἐλάχιστα καὶ οὗτοι πλήθη [b] περιεβάλλοντο, ἀσκητήριον συστησάμενοι.

Κατεσκλητευμένος: Ἐξίτηλος, τεταλαιπωρημένος.

Κατεσπάσθαι: Κατεσπεῖχθαι.

Ὁ δὲ εἰς τοῦτο ἔφη ὑπὸ τῶν συμφορῶν κατεστάσθαι, ὡς μὴ ἂν αὐτοῦ ἕνεκα Ῥωμαίους [c] καταλύσεσθαι τόνδε τὸν πόλεμον.

Κατέσπερχε: Προετρέπετο, παρεκελεύετο, συνεβούλευε, συνώθει.

Λογισμὸς δὲ αὐτὸν ἐκεῖνος [d] κατέσπερχεν, ἀνθρώπους ἀκολάστους φύσιν τοὺς Τυρρηνοὺς, πολεμίων ἐφόδων μηδαμῇ [e] μηδαμῶς ἐφορωμένους, ὑβρίζειν καὶ ῥᾳστωνεύειν.

Κατεσπίλασεν: Ἀπροσδοκήτως ἐπεφάνη.

B Ὁ δὲ ἀδοκήτως τοῖς βαρβάροις εὐθυὸς κατεσπίλασε, καὶ εὐδοκίμει τῷ δόρατι.

Κατεσπόδησε: Κατέκοψεν.

[f] Ἑτέρα τὸν ἄνδρα τῷ πελέκει κατεσπόδησε.

Καὶ Κατεσπόδησεν ὁμοίως.

Κατεστιγμένον: Πεποικιλμένον.

Κατεστόρεσε: Κατέστρωσε.

Κατεστρατοπέδευσε: Κατέδραμε πολεμικῶς.

C Κατεστυγημένος: Μεμισημένος.

Κατεσχημένος: Κάτοχος.

Στρατιώτης δὲ ἅμα τις ἐοικὼς κατεσχημένῳ εἰσεπήδησε, καὶ ἀνιχνεύσας ἀπέτεμεν αὐτοῦ τὴν κεφαλήν.

Κατέσχον: Προσωρμίσθησαν. [g] Πολύβιος·

Οἱ δὲ Ῥωμαῖοι ἀνήχθησαν τριακοσίαις ναυσὶ, καὶ κατέσχον εἰς Μεσσήνην, ὅθεν ἀναχθέντες ἔπλεον.

Λέγεται δὲ καὶ προσέσχον.

D Προσέσχον τῷ Λιλυβαίῳ.

Ὁ αὐτὸς Πολύβιος. Καὶ αὖθις·

[h] Ὁ δὲ Πόπλιος κατέσχε τῆς Αἰτωλίας εἰς Ναύπακτον.

Κατετάχησε: Κατέσπευσε.

Κατέτεινε: Πλεῖστον ᾔει.

[i] Καὶ οὐδὲν ἦν εἴς τινα ἔμβραχυ ἀγαθὸν, ὃ μὴ [k] ἐκείνου κατέτεινε τὴν ψυχήν.

---

ΚΑΤΕΡΡΙΝΗΜΕΝΟΙΣ: Εὐτελέσιν] Ex Schol. Aristoph. Ran. 931.

[r] ῥινί] ῥίνῃ A.B.V.E. edd. vett. Mutavit tacite Kusterus ex Schol. Aristoph.

[s] ἡ ΚΑΤΕΡΙΠΩΣΙΣ] ἡ om. A.

ΚΑΤΕΣΕΙΕ: Λέγουσιν ἐπὶ τῶν ἐπὶ τοῖς πότοις προπ.] Athenæus lib. X. c. 8. p. 431. Κατασείειν δὲ ἔλεγον ἐπὶ τῶν ἐν τοῖς πότοις ὑποπινόντων, τὴν μεταφορὰν λαμβάνοντες ἀπὸ τῶν τοὺς καρποὺς κατασειόντων. Ex hoc ipso loco Athenæi Suidam sua descripsisse apparet. KUST.

[t] ἐπὶ τοῖς] ἐν τοῖς A.V. Photius.

[u] προπινόντων] Athenæus habet ὑποπινόντων: at priores editt. ἀποπινόντων; cujus loco mss. Paris. [et Photius] exhibent προπινόντων, quam lectionem cæteris prætuli. Τὸ κατασείειν enim non dicitur de illis, qui vino graves titubant et frequenter cadunt; sed de iis, qui alios propinationibus ad potandum invitant, et ad ebrietatem usque bibere cogunt, donec vino gravati caput declinent, et humi cadant, si ingredi conentur. KUST. An ὑποπινόντων? HEMST.

[x] αὐτὸν] αὐτὸ A.

[y] ἔχον] ἔχων V.

ΚΑΤΕΣΙΚΕΛΙΖΕ: Κατήσθιε Σικελικὸν τυρόν] Aristoph. Vesp. 906. Ἀποδρὰς γὰρ εἰς τὴν γωνίαν τυρὸν πολὺν Κατεσικέλιζε, κἀνέπλητ' ἐν τῷ σκότῳ. Vide ibi veterem enarratorem. KUST.

[z] τυρόν] πυρὸν A.B.V.E. edd. ante Kuster.

ΚΑΤΕΣΚΙΡΡΩΜΕΝΗ] Κατεσκειρωμένη A. Photius pr. Κατεσκιρωμένη E.M. Photius corr.

[a] Τῷ γε μὴν κατεσκληκότι τοῦ βίου, καὶ τῇ εἰς μετρ.] Fragmentum hoc longe auctius legitur supra v. Ἐλαίσιος; quem locum consule. KUST. Ex Damascio, opinor. TOUP.

[b] περιεβάλλοντο] περιεβάλοντο A. qui mox ἀσκη*.

ΚΑΤΕΣΚΛΗΤΕΥΜΕΝΟΣ] Legendum est vel Κατεσκλημένος vel κατεσκελετευμένος. Prius præplacet. HEMST. Κατεσκηλητευμένος Photius.

[c] καταλύσεσθαι] καταλύσασθαι A.V.

ΚΑΤΕΣΠΕΡΧΕ] Κατάσπερχε A.

[d] κατέσπερχεν] συνέσπερχεν V. qui mox Τυρρηνούς.

[e] μηδαμῶς] μηδαμῇ μηδαμῶς A.B.V.

ΚΑΤΕΣΠΙΛΑΣΕΝ] Hoc verbo usus est Theoph. Simocatta VII. c. 3. KUST. Vid. Σπιλάδες. TOUP.

[f] Ἑταίρα τὸν ἄνδρα τῷ πελέκει κατεσπόδησε] Depromptus est hic locus ex Aristoph. Thesmoph. v. 567. ubi ita legitur: Οὐδ' ὡς τὸν ἄνδρα τῷ πελέκει γυνὴ κατεσπόδησεν. Intelligendus autem poeta de morte Agamemnonis, quem securi percussit uxor Clytæmnestra. Sophocl. Electr. v. 93. Ὅσα τὸν δύστηνον ἐμὸν θρηνῶ Πατέρ', ὃν κατὰ μὲν βάρβαρον αἶαν Φοίνιος ἄρης οὐκ ἐξένισε. Μήτηρ δ' ἡ 'μὴ, χὠ κοινολεχὴς Αἴγισθος, ὅπως δρῦν ὑλοτόμοι, Σχίζουσι κάρα ΦΟΝΙΩΙ ΠΕΛΕΚΕΙ. Erat autem Clytæmnestra Ægistho pro uxore. Hinc ἑταίραν vocat Suidas. TOUP. Schol. ad Thesm. 560. ed. Bekker. Κατεσπόδησε: κατέκοψεν. Τοῦτο δὲ διὰ τὴν Κλυταιμνήστραν, οὐκ ἀπὸ ἱστορίας.

ibid. ἑτέρα A.B.V. quomodo Suidam scripsisse putat Porsonus in Append. ad Toupium p. 453.

ΚΑΤΕΣΤΥΓΗΜΕΝΟΣ: Μεμισημένος] Κατεστυγημένοι: μεμισημένοι E.

ΚΑΤΕΣΧΗΜΕΝΟΙ: Κάτοχοι] Κατεσχημένος: κάτοχος A.

[g] Πολύβιος· Οἱ δὲ Ῥωμαῖοι ἀνηχθ.] Fragmentum hoc [cum seq.] legitur apud Polybium lib. I. 25. KUST.

[h] Ὁ δὲ Πόπλιος] Polyb. Fr. hist. 50.

ΚΑΤΕΤΑΧΗΣΕ: Κατέσπευσε] Polybius, lib. III. p. 238. Διεψεύσθησαν δὲ τοῖς λογισμοῖς· ΚΑΤΕΤΑΧΗΣΕ γὰρ αὐτοὺς Ἀννίβας. *Sed frustra fuerunt: Nam ipsos Hannibal antevertit.* Quo respexisse videtur Suidas. TOUP.

[i] Καὶ οὐδὲν] Vid. Ἔμβραχυ. HEMST.

[k] τὴν ἐκείνου] τὴν om. B.V.E. Mox τὴν ψυχήν. A. Vulg. om. τήν.

**Κατέτεινε**: Σφοδρῶς ἔτυπτε, διήγειρε πρὸς πόνον. A

Καὶ τοὺς μὲν [l]ἐκήρει σφόδρα, τοὺς δὲ κατέτεινε ταῖς κολάσεσι.

**Κατέτρεχεν**: Ἐπόρθει, ἐλῄζετο, ἐδῄου.

Ὁ δὲ κατέτρεχε τὴν τῶν Ἰλλυριῶν καὶ Θρᾳκῶν χώραν.

**Κάτευγμα**: Κατάρα.

**Κατευδοκήσας**:

[m]Ὁ ■ κατευδοκήσας τῷ νεανίσκῳ κατὰ τὴν ἀπάντησιν, τοῦτον ἀπέλυσε παραχρῆμα ἐς τὸ Πέργαμον.

**Κατευθικτήσας**: Ἐπιτυχών.

**Κατεύθυνεν**: Ἐπέτυχε. [n]Δαβίδ·

Λαλῶν ἄδικα οὐ κατεύθυνεν ἐνώπιον τῶν ὀφθαλμῶν μου.

Καὶ **κατευθύνθη**.

**Κατευμαρίζων**: Κατευχειρίζων.

**Κατευμεγεθεῖν**: Γενικῇ. Καταδυναστεύειν.

**Κατευνάζεται**: Κατακοιμίζεται.

**Κατευωχοῦμαι**: Αἰτιατικῇ.

**Κατεύχεσθαι**: [o]Τὸ καταρᾶσθαι. Οὕτω [p]Πλάτων· καὶ [q]Σοφοκλῆς·

Κατεύχομαι δὲ τὸν δεδρακότα τάδε.

Ἀντὶ τοῦ καταρῶμαι. Καὶ Αἰλιανός·

[r]Αἱ δὲ κατευξάμεναι τὸν χῶρον πάντα ἐκεῖνον Λακωνικῷ αἵματι ἐπιαλωθῆναι, ἑαυτὰς ἀπέσφαξαν.

[s]**Ἐπεύχομαι** δὲ, τὸ ὑπερεύχομαι, γενικῇ.

**Κατ' εὐχὴν αὐτῷ γενέσθαι**:

[t]Ὁ δὲ στρατηγὸς νομίζων αὐτῷ κατ' εὐχὴν γενέσθαι τὴν τῶν Ἀχαιῶν ὁρμὴν, [u]προσῆγεν ὡς ἐπὶ τὸν πόλεμον.

**Κατεφοίνιξας**: Κατέβαψας.

**Κατεφύγγανον**: Κατέφευγον.

Οἱ δὲ εἰς τὰς Θρᾳκίας πόλεις κατεφύγγανον.

**Κατεφύοντο**: Κατέτρεχον.

**Κατέχει**: Κατέχεεν, ἐπέρρει.

Ὁ δὲ πολλὴν κατέχει τούτου κουφολογίαν.

Ἀντὶ τοῦ ἐλοιδόρει. Καὶ αὖθις·

Δήσαντες ὀπίσω τὰς χεῖρας, [x]κατέχεον πολλοῦ τοῦ γάλακτος.

Πρὸς γενικὴν ἡ σύνταξις.

**Κατεχειροτόνησαν αὐτοῦ**: Ἀντὶ τοῦ κατεψηφίσαντο αὐτοῦ. **Καταχειροτονία** δὲ καὶ [y]**ἀποχειροτονία** διαφέρει. [z]**Καταχειροτονία** μὲν γὰρ [a]ἐγένετο οὕτως. Ἔλεγεν ὁ κῆρυξ, ὅτῳ Μειδίας δοκεῖ ἀδικεῖν, ἀράτω τὴν χεῖρα. Εἶτα οἱ θέλοντες [b]ἐξέτεινον τὰς χεῖρας· καὶ ἐκαλεῖτο [c]τοῦτο πρῶτον καταχει-
B ροτονία. **Ἀποχειροτονία** δὲ οὕτως· ὅτῳ μὴ δοκεῖ ἀδικεῖν Μειδίας, ἀράτω τὴν χεῖρα. Καὶ ἐξέτεινόν τινες, καὶ ἐκαλεῖτο [τοῦτο] ἀποχειροτονία. Λοιπὸν πάσας ἠρίθμουν τὰς χεῖρας, καὶ ἑώρα ὁ κῆρυξ, ποῖαι πλείους εἰσί· πότερον τῶν φασκόντων αὐτὸν ἀδικεῖν, ἢ μή. Καὶ ὅσαι ἂν ἦσαν πλείους εὑρεθεῖσαι, [d]ἐκεῖ καὶ ἡ γνώμη ἐκράτει.

Ἔτι τοίνυν [e]παρατείνοντος τοῦ λόγου τοῦ πρέσβεως, Ῥωμαῖοι
C κατεχειροτόνουν.

[f]Ὁ δὲ οὔτε ἐψηφίζετο, οὔτε κατεχειροτόνει, καίπερ ἐπιστάτης ὤν.

**Κατεχλαίνωσε**: Χλαίναις ἐστόλισεν.

Ὁ δὲ Μηνᾶς [g]ἠμφίασέ τε καὶ κατεχλαίνωσε τὸ στρατιωτικόν. Ἡ γὰρ χρονία τριβὴ καὶ τὸ τραχὺ τῶν χωρῶν κατεδαπάνησεν αὐτοῖς τὰ ἱμάτια.

**Κατεχλεύαζεν**: Ὕβριζε [h]διὰ λόγων, κατεγέλα.

D Ἄλλα τε πολλὰ κατεχλεύαζε καὶ κατεκερτόμει τοὺς ἐν τῷ στρατοπέδῳ, μάλιστα ἅπασιν ὀνειδίζων μαλακίαν καὶ δειλίαν.

**Κατεχόρδησεν**: Ἀνεῖλεν, ἐξενάριξεν.

[i]Εἶτα τῶν φρενῶν ἐξέπλευσε, καὶ μανεὶς ἑαυτὸν μαχαίρᾳ κατεχόρδησε.

**Κατεχόρευεν**: Ἐπέχαιρεν.

Ὁ δὲ κατεχόρευε τῶν Ῥωμαϊκῶν συμφορῶν, καὶ τοσοῦτον ἐφι-
E στίριζε τῶν διώξεων, ὥστε [k]πεισθῆναι καὶ καταμαθεῖν, ὅτι μηδεὶς ἐν τῇ πόλει λέλειπται.

---

[l] ἐκήρει] ἐκίνει E.

ΚΑΤΕΥΓΜΑ] Κατάτευγμα B.E.

ΚΑΤΕΥΔΟΚΗΣΑΣ] κατευδοκεῖν ἐν πᾶσι Jambl. in Vit. Pythag. c. 18. REINES.

[m] Ὁ δὲ κατευδοκήσας τῷ νεαν.] Hoc fragmentum Polybio adscribit Valesius. KUST. Fr. hist. 37.

[n] Δαβίδ] Psalm. c. 7. KUST.

ΚΑΤΕΥΜΕΓΕΘΕΙΝ] Cyrill. c. Julian. p. 4. TOUP.

ΚΑΤΕΥΝΑΖΕΤΑΙ] Arrian. p. 328. Anthol. p. 371. TOUP.

[o] Τὸ καταρᾶσθαι] Hæc interpretatio in prioribus editt. deest, quam ex mss. Paris. revocavi. KUST.

[p] Πλάτων] Legg. XI. p. 934 E.

[q] Σοφοκλῆς] Œd. Tyr. 246. Post κατεύχομαι addidi δὲ cum A.V.

[r] Αἱ δὲ κατευξάμεναι] Videtur fragmentum hoc intelligendum esse de Scedasi filiabus, de quibus vide Plutarchum in Vita Pelopidæ. KUST.

[s] ΈΠΕΥΧΟΜΑΙ] Κατεύχομαι A.B.V.

[t] Ὁ δὲ στρατηγὸς] Hæc sunt verba Polybii lib. XI. c. 9. ut Jacobus Gronovius observavit. KUST.

[u] προσῆγεν ὡς ἐπὶ τὸν πόλεμον] Apud Polybium legitur, προῆγεν ὡς ἐπὶ τὴν Μαντίνειαν: unde patet, locum hunc a Suida interpolatum esse. KUST.

ΚΑΤΕΦΥΟΝΤΟ: Κατέτρεχον] Hæc litura digna esse puto, quoniam duæ hæ voces nullo modo ἐκ παραλλήλου sibi invicem respondere possunt. KUST. κατέτρεχον, conviciis incessabant. HEMST.

[x] πολὺ κατέχεον τοῦ γάλακτος] Repono: Δήσαντες ὀπίσω τὰς χεῖρας, πολὺ τοῦ γάλακτος κατέχεον ΑΥΤΟΥ. Recte nescio quomodo interpres: *Cum manus ejus a tergo religassent, multum lactis in eum effuderunt.* Vox αὐτοῦ ad sensum loci et mentem glossographi plane necessaria est. De victima autem humana, et lactis libamine hic agi videtur. TOUP. Paulo propius ad veterem scripturam accedet, πολὺ κατέχεον αὐτοῦ γάλακτος. PORSON. κατέ-
F χεον πολλοῦ τ. γ. A.V.

[y] ΑΠΟΧΕΙΡΟΤΟΝΙΑΣ] καὶ ἀποχειροτονία A.E. Etymol. M. καὶ ἀποχειροτονία καὶ διαχειροτονία Photius, et Lex. Seg.

[z] ΚΑΤΑΧΕΙΡΟΤΟΝΙΑ μὲν γὰρ ἐγ.] Vide Harpocrationem v. Διαχειροτονία, et ibi Valesium. KUST. Eadem fere Schol. Platon. p. 252.

[a] ἐγένετο] ἐγίνετο B.V.E. Schol. Plat. Phot. Lex. Seg. Tum ἔλεγεν ὁ κῆρυξ om. B.E.

[b] ἐξέτεινον] ἐξέτειναν E. Etymol.

[c] τοῦτο om. A.B.V. Schol. Platon. Sed habent Etymol.
G et Phot. cum Lex. Seg.

[d] ἐκεῖ] ἐκείνων Schol. Platon. ἐκείνη Petit. Legg. Att. p. 307. cum Etymol. M. p. 481, 51. Sed ibi ms. Dorvill. ἐκεῖ. Et sic Photius cum Lex. Seg.

[e] παρατείνοντος] παρατείνοντες B.

[f] Ὁ δὲ οὔτε] Hæc ad Socratem pertinent. Vide Æschin. Dial. III. p. 146. et quæ notavi. Ælian. V. H. III. 17. HEMST. Quem vide ad Luciani Timon. c. 44. Adde Suidam supra v. Ἐπιστάτης.

H [g] ἠμφίασε] ἠμφίεσε B.V.E.

[h] διὰ λόγων—κατεχλεύαζε καὶ om. V.

[i] Εἶτα τῶν φρενῶν] Ex Theopompi Epitome Herodoti judice Wesselingio ad Herodot. VI. 75. Vid. Frommel. apud Creuzer. Meletem. t. III. p. 163.

[k] πεισθῆναι] πεισθ[ῆναι] V. πείθεσθαι Wolfius, probante Porto.

A Κατέχουσι δ᾽ ἔρωτες ἐμὰς πόλεις: Λείπει ἀνθρώπους. Ἀντὶ τοῦ, ἐρῶσιν οἱ ἄνθρωποι τῆς ἐμῆς πόλεως.

Κατέχω σε: Αἰτιατικῇ.

Κατέχρωσεν:

Ὁ δὲ ἐν μέσῳ τὰς διατριβὰς ποιούμενος, οὐ μόνον τὸ καλὸν τοῦ πράγματος κατέχρωζε καὶ τοῖς τυχοῦσι λίαν κατεδήμευεν, ἀλλὰ καὶ πικρῶς ἐπέπληττεν.

B Κατεχρῶντο: Ἀνῄρουν, ἐφόνευον.

[l]Ἄλλοι ἑαυτοὺς κατεχρῶντο.

Αὐθένται ἐγίνοντο.

Κατέψα: Τῇ χειρὶ ὡμάλιζε.

Κατεψηφίσατο: Κατέκρινε, [m]κατεδίκασεν.

Ὁ γὰρ Θεὸς τοῦ Ἀδὰμ τοὺς ἱδρῶτας καὶ τοὺς πόνους κατεψηφίσατο· Ἐν ἱδρῶτι τοῦ προσώπου σου φαγῇ.

Κατειλημμένον: Κατεχόμενον, κυκλωθέντα.

C Ὡς ἑώρα ἑαυτὸν τοῖς κινδύνοις κατειλημμένον, γράφει ᾠδάς.

Κατειλωτισμένος: Καταδεδουλωμένος. Ἐκ τοῦ εἵλως εἵλωτος, ὃ σημαίνει τὸν δοῦλον [παρὰ Λακεδαιμονίοις.]

Κατεῖπε: Γενικῇ. Κατηγόρησεν.

Οὐ δικαίως ὀργίζῃ τῇ γυναικί. Οὐ γάρ σου [n]κατεῖπεν, ἀλλὰ τοῦ δεσμοφύλακος.

Καὶ αὖθις·

D Μαθόντα ὅτι κατεῖπεν αὐτοῦ Ὀφέλλας, καὶ [o]βασιλεὺς πεισθεὶς τοῖς λόγοις.

Κατείπῃ: Γενικῇ. [p]Κατηγορήσῃ.

Ἐδεδίει γὰρ ἡ γυνὴ, μὴ κατείπῃ αὐτῆς.

Κατειργάσατο: Κατηγωνίσατο.

Κατειρωνεύεται: Γενικῇ. Μεγαλοφρονεῖ, [q]ὑποκρίνεται.

E Τὰ οἰκεῖα ἐξαίρων καὶ κατειρωνευόμενος [r]τῆς τῶν ἀπείρων ἀγνοίας.

Καὶ αὖθις·

[s]Ἐδόκει γὰρ κατειρωνευόμενος ὁ Χοσρόης ἀντέχεσθαι Μαυρικίου.

Κατηγορευκότα: Κατειπόντα.

Κατηγόρημα: [t]Κατηγόρημά ἐστι τὸ κατά τινος ἀγορευόμενον, ἢ πρᾶγμα συντακτὸν περί τινος, ἢ τινων. Ἐν γὰρ τῷ περὶ πραγμάτων καὶ σημαινομένων [u]τόπῳ τέτακται ὁ περὶ [x]λεκτῶν αὐτοτελῶν, ἀξιωμάτων, καὶ B συλλογισμῶν [y]λόγος· καὶ ὁ περὶ [z]ἐλλιπῶν, κατηγορημάτων, καὶ ὀρθῶν [a]καὶ ὑπτίων. [b]Λεκτὸν δέ φασι τὸ κατὰ φαντασίαν λογικὴν ὑφιστάμενον. [c]Τῶν δὲ λεκτῶν τὰ μὲν εἰσὶν [d]ἐλλιπῆ, οἷον, γράφει. [e]Ἐπιζητοῦμεν γὰρ, τίς; τὰ δὲ αὐτοτελῆ [f]καὶ ἀπηρτισμένην ἔχοντα τὴν [g]διάνοιαν, οἷον, γράφει ὁ Σωκράτης. Ἐν μὲν τοῖς [h]ἐλλιπέσι λεκτοῖς τέτακται τὰ κατηγορήματα· ἐν δὲ τοῖς αὐτοτελέσι, τὰ ἀξιώματα, καὶ οἱ C συλλογισμοὶ, καὶ τὰ ἐρωτήματα, καὶ τὰ πύσματα.

Κατηγορίας ἔχω: Ἀντὶ τοῦ κατηγοροῦμαι. [i]Δημοσθένης περὶ τοῦ Στεφάνου.

Κατηγορεῖ δὲ αὐτῶν Καλλίξενος δημαγωγὸς [k]καὶ συκοφάντης.

Ἡ Κατηγορία παρὰ φιλοσόφοις ἢ ἐπὶ πλέον λέγεται καὶ γίνεται, ἢ ἐπίσης· ἐπ᾽ ἔλαττον δὲ οὐδέποτε. Καὶ ἐπὶ πλέον μὲν, ὅτε τὰ καθολικώτερα [l]κατηγοροῦνται τῶν [m]μερικωτέρων. Καθολικώτερα οὖν εἰσὶ [n]τὰ D ἐπάνω· μερικώτερα δὲ, τὰ ὑποκάτω. Κατηγορία δέ ἐστιν οἷον προσηγορία τις [o]ἁπλῶς λεγομένη. Εἰσὶ δὲ [p]αἱ πᾶσαι δέκα, ἤγουν γενικώτατα γένη, [q]ὑφ᾽ ἃς ἀναφέρεται πᾶσα φωνή· Οὐσία, Ποσὸν, Ποιὸν, Πρός τι, Ποῦ, Πότε, Ποιεῖν, Πάσχειν, Κεῖσθαι, Ἔχειν. Τούτων ἡ μὲν Οὐσία ἐστὶν ὑποκειμένη· αἱ δὲ λοιπαὶ ἐννέα [r]ἐν ὑποκειμένῳ.

E Κατηγορῶ σου: Γενικῇ. Κατηγορῶ δὲ τὸ δεικνύω, αἰτιατικῇ.

---

ΚΑΤΕΧΟΥΣΙ Δ᾽ ἜΡΩΤΕΣ ἘΜΑΣ ΠΟΛΕΙΣ] Aristoph. Av. 1316. Κατέχουσι δ᾽ ἔρωτες ἐμᾶς πόλεως. Quomodo et scribendum est apud Suidam, qui Scholiastam Comici pro more compilavit. Ita autem locutus est Plutarchus in Alcibiade: Τοσοῦτος ἔρως ΚΑΤΕΙΧΕ τὸν ἄνθρωπον. TOUP.

ΚΑΤΕΧΡΩΖΕΝ] Omisit hanc gl. Kusterus.

F [l]Ἄλλοι ἑαυτοὺς κατεχρῶντο] Fragmentum hoc depromptum est ex Dione in Excerptis ab Ursino editis, p. 399. TOUP.

ΚΑΤΕΨΑ] Vide supra v. Καταψᾶν. KUST.

[m] κατεδίκασεν om. B.E.

ΚΑΤΕΙΛΩΤΙΣΜΕΝΟΣ] Κατειλατισμένος A. Deest gl. V. In fine παρὰ Λακεδαιμονίοις om. A.B.E.

[n] κατεῖπεν] προεῖπεν V.

[o] βασιλεὺς] βασίλειος V.

[p] Κατηγορήσῃ] κατηγορήσει V.

G ΚΑΤΕΙΡΩΝΕΥΕΤΑΙ] Joseph. B. J. p. 273. Appian. p. 345. Simocatta p. 100. Porphyr. de Abst. IV. De Essaeis Κατειρωνευόμενοι τῶν τὰς βασάνους προσφερόντων. TOUP.

[q] ὑποκρίνεται] Photius addit διαλοιδορεῖται. Et sic Lex. Seg.

[r] τῆς τῶν ἀπείρων—κατειρωνευόμενος supplevi ex V.

[s] Ἐδόκει] Ex Theophylacti Simocatt. Exc. Leg. p. 54. (p. 181. ed. Paris.) desumptum esse hoc fragmentum monuit Abreschius. Ibi leg. κατειρωνευόμενος τῆς ὁσίας τοῦ αὐτοκράτορος Μαυρικίου μνήμης.

H [t] Κατηγόρημα ἐστι] Hæc, et quæ sequuntur, sunt verba Laërtii in Zenone Segm. 63. 64. ut Pearsonius etiam observavit. KUST.

[u] τόπῳ—ἀξιωμάτων om. V.

[x] λεκτῶν αὐτοτελῶν ἀξιωμάτων] λ. καὶ αὐτοτελῶν καὶ ἀ. Laërtius.

[y] λόγος] Hanc vocem editt. præcedentes [et B.] ignorant, quam ex ms. Paris. A. et Laërtio revocavi. KUST.

[z] ἐλλειπῶν] ἐλλιπῶν A.B.E. ἐλλιπῶν τε καὶ κατ. Laërt.

[a] καὶ ὑπτίων] Et hæc in prioribus editt. desunt, quæ itidem ex mss. Paris. et Laërtio loco huic restitui. KUST.

[b] Λεκτὸν] λεκτέον A.V.E.M.

[c] Τῶν δὲ λεκτῶν] Laërtius plenius, τῶν δὲ λεκτῶν τὰ μὲν λέγουσιν εἶναι αὐτοτελῆ οἱ Στωϊκοὶ, τὰ δὲ ἐλλιπῆ. Ἐλλιπῆ μὲν οὖν ἐστι τὰ ἀναπάρτιστον ἔχοντα τὴν ἐκφοράν.

[d] ἐλλειπῆ] ἐλλιπῆ A.B.V.

[e] ζητοῦμεν] ἐπιζητοῦμεν A.B.V.

[f] καὶ ἀπηρτισμένην] τὰ ἀπηρτισμένην Laërt.

[g] διάνοιαν] ἐκφορὰν Laërt.

[h] ἐλλειπέσι] ἐλλιπέσι A.B.V. λεκτοῖς addit V. cum Laërt.

[i] Δημοσθένης]

[k] καὶ συκοφάντης] καὶ om. B.V.E. edd. vett.

ΚΑΤΗΓΟΡΙΑ παρὰ φιλοσόφοις ἢ ἐπὶ πλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, legisse me arbitror apud Alexandrum Aphrodis. in Topica Aristotelis. KUST. ἡ κατηγορία A.B.V.

[l] κατηγοροῦνται] κατηγορῶνται A.

[m] μερικωτέρων] μερικωτάτων A.

[n] τὰ ἐπάνω] τῶν ἐπάνω V.

[o] λεγομένη ἁπλῶς] ἁπλῶς λεγομένη A.V.

[p] αἱ πᾶσαι] αἱ om. A.B.V.

[q] ὑφ᾽ ἃ] ὑφ᾽ ἃς A.B.V.E.

[r] ἐν ὑποκειμένῳ] ἐνυποκείμεναι A.V.

ΚΑΤΗΓΟΡΩ ΣΟΥ: Γενικῇ. ΚΑΤΗΓΟΡΩ δὲ, τὸ δεικ.] Schol. Sophocl. Aj. 907. Κατηγορῶ σου ἀγαθὰ ἢ φαῦλα, ἀπὸ γενικῆς εἰς αἰτιατικήν. Κατηγορεῖν δὲ, τὸ παριστᾶν καὶ δεικνύειν, μετὰ αἰτιατικῆς μόνης λέγεται. KUST. Vid. Abresch. ad Æschyl. II. 4. p. 273.

Λογὸς κατηγορεῖ τὸν [a] αὐτοῦ φυλεόν.

A Κατήιδεσαν: Κατήσχυναν.

Κατηδολέσχησά σου: Ἀντὶ τοῦ κατὰ σοῦ ἐμακρολόγησα, ἐφλυάρησα.

Κατηθλημένων: Ἐγγεγυμνασμένων.

Ἄγοντες ἐκ τῶν ἐπιλέκτων καὶ κατηθλημένων ἐν τοῖς πολέμοις στρατιωτῶν τέσσαρα τάγματα ἐντελῆ.

Κατήκοε: Ἀκροατά.

Ὦ [t] μεγίστη θεῶν, καὶ τῶν σῶν κατήκοε θεραπόντων.

B Καὶ αὖθις·

Οἱ δὲ μετὰ ταῦτα ἐγένοντο κατήκοοι.

Κατηκόντισε:

[u] Τῆς Λυσίου ψυχῆς κατηκόντισε.

Κατήλιφα: Μεσόδμην. [x] Ἀριστοφάνης·

Ἐπὶ τὴν κατήλιφ' εὐθὺς ἀνεπηδήσαμεν.

Κατηλοημένη: Συντετριμμένη.

C Κατηλωκυῖα: Κρατηθεῖσα.

Κατήλυσιν: Ἐπέλευσιν, κάθοδον.

[y] Χειμερίην [z] νιφετοῖο κατήλυσιν . . . .
. . . . ἐρημαίην ἦλθεν ὑπὸ σπιλάδα.

Κατήλυσις: Ἡ [a] πόρνη.

Κατηναρισμένας: Ἐπὶ τῆς λείας ἐχρήσατο Σοφοκλῆς. Καὶ ἔστιν ἄκυρον. Τὸ γὰρ σκυλεύειν ἐναρίζειν· ὅτι τὰ ἔναρα σκῦλα, παρὰ τὸ ἀρηρέναι, καὶ D ἐντὸς αὐτῶν εἶναι ἡμᾶς. Καὶ τὸ [b] παρ' Ὁμήρῳ [c] τοιοῦτον·

Ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν.

[d] Πῶς γὰρ οἷόν τε ἐστὶ σκυλεύειν τοὺς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ τῶν ἀλόγων ζώων τὸ σκυλεύειν; Καλλίμαχος ἐπὶ τῆς [e] λεοντείου δορᾶς·

Τὸ δὲ [f] σκύλας ἀνδρὶ καλύπτρην
γιγνόμενον νιφετοῦ καὶ βελέων ἔρυμα.

E Κατηιονᾶτο: Ἐλούετο.

[a] ἑαυτοῦ] αὐτοῦ A.V.E.

ΚΑΤΗΙΔΕΣΑΝ] Themist. p. 191. ed. Hard. κατῄδεσε τὸν θεὸν τῇ εὐχῇ, impetravit a deo. Agathias p. 146. TOUP.

F ΚΑΤΗΔΟΛΕΣΧΗΣΑ] Julian. Ep. XII. p. 381 D. Suid. in Διατεθρυλλημένος. HEMST. Juliani locum indicavit Toupius, conferens Plutarch. II. p. 503 B. Vid. Wyttenbach. ad eundem scriptorem p. 22 A.

[t] μέγιστε] μεγίστη A.V.E.

[u] Τῆς] τοῦ V.

[x] Ἀριστοφάνης] Ran. 573.

[y] Χειμερίην νιφετοῖο] Anthol. Pal. VI. 217. Χειμερίην νιφετοῖο κατήλυσιν ἡνίκ' ἀλύξας Γάλλος ἐρημαίην ἤλυθ' ὑπὸ σπιλάδα.

νιφετοῖο

H [z] νιφετοῖο] νιφάδεσσι E.

[a] πόρνη] πορεία corrigit Koënius ad Gregor. de Dial. Ion. s. CXXVIII.

G ΚΑΤΗΝΑΡΙΣΜΕΝΑΣ: Ἐπὶ τῆς λείας ἐχρ.] Ex Schol. Sophocl. Aj. 26. Κατειναρισμένας E.

[b] παρ' Ὁμήρῳ] Il. φ'. 485. KUST. Ὁμήρου V.

[c] τοιοῦτο] τοιοῦτον A.B.V.E.

[d] Πῶς γὰρ οἷόν τε ἐστὶ σκυλεύειν τοὺς λέοντας, εἰ μὴ εἴη καὶ ἐπὶ τῶν ἀλόγων ζώων τὸ σκ.] Hæc verba cum præcedentibus non cohærent, quæ proinde collocanda puto post fragmentum Callimachi, quod Suidas statim subjungit. KUST. Cum Suida fere concordat Schol. Soph.

H [e] λεοντείου] λεοντίου E. λεοντείας Schol. Soph.

[f] σκύλας] σκύλαν Schol. Mox γενόμενον E.

ΚΑΤΗΙΟΝΑΤΟ] Sic recte habent mss. Paris. cujus loco in prioribus editt. vitiose legitur κατηφᾶτο. Est autem κατηιονᾶτο, a καταιονάω, quod significat perfundo, aspergo, ut Lexica vulgata docent. Vide etiam supra v. Καταιονῶσι. KUST. Κατηονεῖτο E. Plut. de Adul. p. 74. citat Toup.



A Κατηρράχθη: Ἔπεσε, περιετράπη.

[g] Ἐπιρρήγνυται βροντὴ βιαιοτάτη, καὶ τὸ πανδοκεῖον κατηρράχθη.

Κατηργηκέναι: Ἀνενέργητον εἶναι.

[h] Τὸν δὲ καθήμενον περὶ τὰ Τύανα κατηργηκέναι καὶ καταπροΐεσθαι τοὺς καιρούς.

Κατήιρεε: Κατελάμβανε.

Κατῆιρε: Κατέπλευσε.

Κατηρεφέα: Κατεστεγασμένα.

B [i] Μέλλουσι γὰρ ἐνταῦθά σε πέμψειν, ἔνθα μήποθ' ἡλίου φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ στέγῃ, χθονὸς τῆσδ' ὑμνήσεις κακά.

[k] Σοφοκλῆς.

Κατηρέφασθε: [l] Ἀριστοφάνης·

Ὡς εὖ κατηρέψασθε, καὶ νεοβιοτικῶς.

Τουτέστι, νουνεχῶς ἐσκεπάσθητε.

C Κατηρτίσω: Ἐτελείωσας.

Κατηρτυκότα: Ὅτι γνώμονα ἔλεγον, τὸν βαλλόμενον ὀδόντα τῷ ὄνῳ, δι' οὗ τὰς ἡλικίας ἐξήταζον. [m] Τὸν δὲ αὐτὸν καὶ κατηρτυκότα ἔλεγον.

Κατήρξατο τῶν λόγων: Ἐκ τοῦ ἄδω.

Κάττης: Κάττου. Ὁ κατοικίδιος αἴλουρος.

Κατησφαλίσθαι:

Κατησχυμμένος:

D Κατηύχοντο: Κατηρῶντο.

[n] Κατηύχοντό τε τοὺς ταῦτα δρῶντας [o] ἀχώρους τε καὶ ἀτάφους κυσὶ καὶ ὄρνισιν ἐκριφῆναι, καὶ τὰς ψυχὰς αὐτῶν μὴ ὑποδέξασθαι σὺν εὐμενείᾳ.

Κατήφεια: [p] Σκυθρωπότης. Καὶ Κατηφής, [σκυθρωπός.]

Κατηφόνες: Στυγνοί, ἢ ἀναίσχυντοι.

E Κατήχθη: Ἐς τὴν πατρίδα ἐπανῆκε.

Κατήχθη τε γὰρ ὁ Ἀντίπατρος, καὶ ἔτυχε γάμου [q] περιφανοῦς

[g] Ἐπιρρήγνυται] Æliani, judice Valckenario.

[h] Τὸν δὲ καθήμενον περὶ τὰ Τύανα] Fragmentum hoc ad Polybium refert Valesius. KUST. Fr. hist. 69.

ΚΑΤΗΙΡΕ] Ex Timæo p. 152.

F [i] Μέλλουσι γὰρ ἐνταῦθά σε πέμψειν] Sophocl. in Electr. 379. Μέλλουσι γάρ σ', εἰ τῶνδε μὴ λήξεις γόων, Ἐνταῦθα πέμψειν, ἔνθα μήποθ' ἡλίου Φέγγος προσόψει, ζῶσα δ' ἐν κατηρεφεῖ Στέγῃ, χθονὸς τῆσδ' ἐκτὸς ὑμνήσεις κακά. KUST.

[k] Σοφοκλῆς om. A.B.V.

[l] Ἀριστοφάνης] Vesp. 1285.

ΚΑΤΗΡΤΙΣΩ] Matth. XXI. 16. Ep. ad Hebr. X. 6. HEMST. Vid. not. ad Hesych.

ΚΑΤΗΡΤΥΚΟΤΑ] Vide quæ de hac voce disputavimus supra v. Ἀβολήτωρ. KUST. Vid. et Γνώμονα.

[m] Τὸν δὲ αὐτὸν] Seqq. omisit Kusterus.

ΚΑΤΤΗΣ] Vid. v. Σπατάλη. TOUP.

G ΚΑΤΗΣΦΑΛΙΣΘΑΙ] Κατησφαλίσθαι V.

ΚΑΤΗΣΧΥΜΜΕΝΟΣ] Psalm. LXXIII. 21. Μὴ ἀποστραφήτω τεταπεινωμένος καὶ κατῃσχυμμένος. Huc spectasse videtur Suidas. Confer Nostrum v. Ἐληλεγμένον. TOUP. Κατησχυμένος V. κατησχυμένη E.M.

[n] Κατηύχοντό τε τοὺς ταῦτα δρ.] Fragmentum hoc esse Æliani patet ex voce Ἐπαρτήσας, qui locus cum hoc conferendus est. KUST. κατηύχοντο τότε V. qui mox δρῶντες.

[o] ἀχώρους] Forte legendum est ἀώρους, i. e. immatura H morte defunctos. KUST. Male sollicitari probissimam vocem et in hac imprecandi formula propriam docebit Hesychius in Ἄχωρος. HEMST.

[p] Σκυθρωπότης] σκυθρωπότης A. Mox σκυθρωπὸς om. A.B.V.

ΚΑΤΗΦΟΝΕΣ] Il. ω'. 253. Vid. H. Steph. Ind. Thesauri.

[q] περιφανοῦς] περιφανείας E. qui mox om. ἀφίκετο.

καὶ πλούτου, καὶ παῖδας ἔσχε, καὶ ἐς γῆρας ἀφίκετο εὔστομόν τε καὶ ἀξιόζηλον.

Κατηχθημένος: Βεβαρημένος.

Κατηχῶν: Αἰτιατικῇ. Προτρεπόμενος, παραινῶν. [r]Πισίδης·

Κρατῶν [s]ἐνὶ μάχαις, καὶ κατηχῶν ἐν μάχαις.

Κατηχῶ δὲ, ἀντὶ τοῦ ἠχῶ, γενικῇ.

Κατηχεῖ τῶν πόρων.

Καὶ,

Κατήχησε τῆς οἰκίας.

Κατ' ἰδίαν: [[t]Ἰδίως.]

Καττίδιος, καὶ Καττιδιανός: Ὀνόματα κύρια.

Κάτιμεν: Κατερχόμεθα.

Κατ' ἶσον αὐτῷ [u]μεμηνώς: [Ἐπίσης.]

Κατισχυμένος: Κεκρατημένος.

Κατισχύω: Γενικῇ.

Κατισχνώθη: Ἐξηράνθη, ἐλεπτύνθη.

Κατισχνοῖ: Καταλεπτύνει.

Κατ' ἴχνος: [[x]Κατὰ πόδας.]

Κατοδύρομαι: Αἰτιατικῇ.

Κατολιγωρῶ: Γενικῇ.

Κατολισθανόντων: [y]Κινουμένων, ἐμπιπτόντων.

Τῶν δὲ Ῥωμαίων κατολισθανόντων ἐς δάκρυα, καὶ περιαλγούντων ἐπὶ τῷ πάθει.

Καὶ αὖθις·

Κλεοπάτρα, εἰς ἣν κατωλισθάνει τῶν [z]Πτολεμαίων ἡ διαδοχή.

Κατομνύς: Ἐμπεδῶν, βεβαιῶν.

Προστίθει δὲ καὶ ὅρκον, τῆς ἐμῆς κατομνὺς κεφαλῆς, ἣν πολλὰ ἐφίλει.

Κατομόσαι:

[a]Ἀπὸ μόνου γε τοῦ τὸν θεὸν ἀπομόσαι ἢ κατομόσαι.

Κατ' ὄναρ οὐ χρὴ λέγειν· βάρβαρον γὰρ παντελῶς· ἀλλὰ ὄναρ, καὶ κατὰ τοὺς ὕπνους, καὶ [b]ἐνύπνιον.

Κατόπιν: [c]Μετὰ ταῦτα, [d]ἀπὸ τοῦ ὄπισθεν εἶναι.

Ἀλλὰ κατόπιν ἧκε τοῦ καιροῦ. Οὐ γὰρ οἷός τε ἐγένετο τοῦτο διανύσαι ἐς τέλεον.

[e]Γίνεται κατόπιν τὸ Ῥωμαϊκὸν τῆς προτέρας εὐκλείας ἀγωνίζεσθαι.

Καὶ,

Τοῦ καλοῦ καὶ τῆς ἀρετῆς κατόπιν τίθεσθαι πάντα.

Κατόπτης: Ἐπιτηρητής.

[f]Ἀλλά τις ἴτω κατόπτης ἀπαγγελίαν ἡμῖν σαφῆ τῶν ἐνεστηκότων [g]ποιησόμενος.

Κατοργᾶν: Ὑπερακμάζειν.

Κατ' ὄρεσφιν: Ἐν τοῖς ὄρεσι.

Κατορθῶ: Αἰτιατικῇ.

Κατορώρυκται: Κατακέχωσται.

Κατορυκτός: Τόπος.

Κατορύττω: Αἰτιατικῇ.

Κατ' ὀρφναίαν: Τὴν σκοτεινήν.

Κατορχοῦμαι: Γενικῇ.

Κατοσφραίνομαι: Γενικῇ.

Κατουδαίους: Ζήτει ἐν τῷ Ὑπὸ γῆν οἰκοῦντες.

Κατουδέν:

[Κατουλάς: Ἡ σκοτεινὴ νύξ· διὰ τὸ ὁλοὴν αὐτὴν εἶναι. Οἷον,

[h]Νὺξ ἐφόβει, τήνπερ τε κατουλάδα κικλήσκουσι.]

---

[r] Πισίδης] Fr. Foggin. 111.

[s] ἐνὶ] ἐν A.V.E.

[t] Ἰδίως om. A.B.V.E.

ΚΑΤΤΙΔΙΟΣ] Gataker. ad Marc. Antonin. IV. 50. ubi pro Καδικιανὸς tentat Καττιδιανός. HEMST.

[u] ΜΕΜΗΝΩΣ] μεμηνὼς V. Mox ἐπίσης om. A.B.E.

ΚΑΤΙΣΧΥΜΕΝΟΣ] Κατισχημένος A.V.E.

ΚΑΤΙΣΧΝΟΙ] Κατισχνεῖ V. Tum λεπτύνει B.E.

[x] Κατὰ πόδας om. A.B.V. Post h. v. habet V. Κατισχύει: εἷς ἀνήρ—ἐμονομάχει. καὶ αὖθις· τὴν δὲ—διανοίας ὅμματα. Vide supra suo in loco.

ΚΑΤΟΛΙΣΘΑΙΝΟΝΤΩΝ] Κατολισθανόντων A.V. et sic in exemplis.

[y] Κινουμένων] Ut hæc interpretatio locum habeat, præcedere debet κατολισθαινόντων ἐς δάκρυα. Sic enim a consequenti expositio hæc vera esse potest; quoniam illi, qui miseratione moventur, lacrymari solent. Certe soli voci κατολισθαινόντων interpretationem illam respondere non posse manifestum est. Suidam autem, cum hæc scriberet, in animo habuisse τὸ κατολισθαινόντων ἐς δάκρυα, ex exemplo, quod subjungitur, patet. KUST.

[z] Πτολεμαίων] Sic recte habet ms. Paris. A. In reliquis vero mss. Paris. [et B.V.E.] itemque in omnibus editt. præcedentibus male legitur πολεμίων. KUST.

ΚΑΤΟΜΟΣΑΙ] ἀπομόσαι ἢ κατομόσαι A.B. κατομόσαι ἢ ἀπομόσαι E. Exemplum om. V.

[a] Ἀπὸ μόνου γε τοῦ τὸν Θεὸν κατομόσαι ἢ ἀπομόσαι] Ex Synesio, Epist. CLIII. p. 291. KUST. Locum integrum excerpsit Suidas v. Φθάσειε.

ΚΑΤ' ΟΝΑΡ] Vid. Phrynichus Lobeckii p. 421.

[b] ἐν ὕπνοις] ἐνύπνιον A.B. ἐνύπνιον V. Photius.

[c] Μετὰ ταῦτα] Huc usque Timæus p. 154.

[d] ἀπὸ τοῦ ὄπισθεν εἶναι] In Lexico Photii inedito rectius legitur, ἀπὸ τοῦ ὄπισθεν ἰέναι. KUST.

[e] Γίνεται κατόπιν] Ex Theophylact. Simocatt. III. 15. notante Abreschio.

[f] Ἀλλά τις ἴτω] Hæc sunt verba Josephi Antiq. Jud. lib. XVIII. (9, 2.) p. 907. ubi legitur, Ἀλλὰ τὶς προσίτω κατόπτης. TOUP.

[g] ποιησόμενος] σκεψάμενος A.B.V.E. edd. vett. Correxit Portus.

ΚΑΤΟΡΓΑΝ] Κατεργᾶν V.

ΚΑΤ' ΟΡΕΣΦΙΝ] Il. λ'. 493.

ΚΑΤ' ΟΡΦΝΑΙΑΝ] Hesych. Κατορφναῖαι: σκοτεινῇ τινί. Photius, Κατ' ὀρφναίαν: κατὰ τὴν σκοτεινήν.

ΚΑΤΟΡΧΟΥΜΑΙ] Vide infra v. Κατωρχήσαντο. KUST.

ΚΑΤΟΥΔΑΙΟΥΣ] Καττουδαίους A.V.E. et sic infra.

ΚΑΤΟΥΛΑΣ] De hac voce adscribam quæ habet Photius in Lexico inedito: Κατουλάδα. Σοφοκλῆς Ναυπλίῳ· Ἐπεύχομαι δὲ νυκτὶ τῇ κατουλάδι. Τὴν κατίλλουσαν καὶ κατείργουσαν. καὶ ἐξώλης δίκη, ἡ ἐξείργουσα. Οἱ δὲ, τῇ πανολέθρῳ ὀνομαζομένῃ τοῖς Ἕλλησιν. Οὖλον γὰρ τὸ ὀλέθριον· καὶ ἡ κατὰ πρόθεσις αὔξησιν ἔχει. ἢ ζοφώδη, ἀπὸ τῆς κατὰ τὸ σῶμα γινομένης οὐλῆς. μελάντεραι γάρ. ἢ καταιγίδας ἔχουσαν καὶ συστροφὰς ἀνέμων. Εἰλάλειν γὰρ (lege εἴλλειν, vel ἴλλειν) τὸ συστρέφειν. Ὅμηρος. Locum hunc dignum judicavi, quem cum lectore communicarem, tum propter fragmentum Sophoclis, quod nusquam alibi tam integrum exstat; tum quia ex eo emendari potest enarrator Apollonii Rhod. ad lib. IV. 1695. qui idem fragmentum Sophoclis, quamvis mutilum, adducens, fabulam *Naupactus* pro *Nauplius* laudat. Verba ejus hæc sunt: Κατουλάδα. σκοτεινὴ νὺξ κατουλὰς λέγεται· παρὰ τὸ ὁλοήν. Σοφοκλῆς ἐν Ναυπάκτῳ· Νυκτὶ κατουλάδι. Diligentissimus Meursius loci hujus auctoritate adductus inter fabulas Sophoclis *Naupactum* etiam recenset. Sed cum fabulæ ejus nusquam alibi apud veteres exstet mentio, *Nauplium* vero Sophoclis plures scriptores laudent; potior hic est apud me auctoritas Photii, ex quo proinde Scholiastam Apollonii emendandum, et *Naupactum* ex censu fabularum Sophoclis expungendum esse censeo. KUST. Deest gl. A.B.

[h] Νὺξ ἐφόβει, τήνπερ τε κατ.] Versus hic legitur apud Apollonium Rhodium lib. IV. 1695. ut Portus etiam observavit. KUST.

**Κατ' οὐράν**: Κατόπισθεν, ἐκ τῶν ὀπίσω.

**Κατουρῶσαν**: Οὐρίῳ ἀνέμῳ [i]χρησάμενον.

[k]Τὸ δὲ λοιπὸν πλῆθος ἐπαράμενον τοὺς ἱστοὺς καὶ κατουρῶσαν ἀπεχώρει.

**Κατοφρῦ**: Γενική.

**Κάτοχος**: Κεκρατημένος.

[l]Κάτοχος ἤδη τῷ πόθῳ [m]τούτῳ γεγενημένη, καὶ [n]διαφανὴς ἐρωτόληπτος οὖσα, οὐδὲν ἔτι κώλυμα ἔβλεπε.

**Κάτω**: Ἐπίρρημα τοπικόν.

**Κατώγειον**: Ἐπὶ θηλυκοῦ καὶ ἀρσενικοῦ διὰ τοῦ ε' ψιλοῦ, καὶ ω' μεγάλου, ὁ ἀνώγεως, καὶ ἡ ἀνώγεως. Καὶ τὸ [o]ἀνώγεων.

**Κατώγεων**, κατώγειον δέ.

**Κάτωθε**: Χωρὶς τοῦ ν' παρὰ Δωριεῦσι. Καὶ [p]Πίνδαρος ὁμοίως·

[q]Ἀγχόθι γὰρ [r]νέμαι παρὰ Χαρικλοῦς καὶ Φιλύρας.

**Κατωθούμενος**: Ἀνατρεπόμενος.

**Κατωκάρα**: Οἱ Ἀττικοὶ ὑφ' ἓν ἀναγινώσκουσι. [s]Ἀριστοφάνης·

Εἴπερ ἐκ πυλῶν κατωκάρα [t]κρέμαιτο.

Ἀντὶ τοῦ [u]ἐπὶ κεφαλῆς. [x]Τὸ ἐπὶ κεφαλῆς πεσεῖν κατωκάρα λέγεται παρ' Ἀττικοῖς, οὐ διῃρημένως, ἀλλ' ὑφ' ἕν. [y]Πίνδαρος·

Οἱ μὲν κατωκάρα δεσμοῖσι δέδενται.

[z]Ἀγαθίας·

Οἱ δὲ ἐκ τοῦ ὠρανοῦ [a]ὑποφερόμενοι, καὶ ἐς τὴν [b]θάλασσαν κατωκάρα ἐμπίπτοντες [c]ἀπόλλυντο.

A Καὶ αὖθις [d]Ἀριστοφάνης·

[e]Κατωκάρα ῥίψας με βουκολήσεται.

Περὶ κανθάρου λέγων.

**Κατῳκοδόμησεν**: [f]Ἰσαῖος ἀντὶ τοῦ κατέκλεισεν εἰς οἴκημα, καὶ ἀπέκτεινε.

**Κατώλισθον**: Κατέπεσον.

**Κατωμαδόν**: Κατὰ τῶν ὤμων. [g]Ἰώσηπος·

Ὁ δὲ Σαμψὼν ἀράμενος τὰς πύλας καὶ τὰς φλιὰς κατωμαδὸν
B εἰς τὸ ὄρος φέρων κατατίθησι.

**Κάτων**, στρατηγὸς Ῥωμαίων· ὃς νέος μὲν ἦν [h]ἔτι πάμπαν, αὐστηρὸς δὲ καὶ φιλόπονος, συνέσει τε γνώμης καὶ δεινότητι λόγων ἀριπρεπής, ὥστε αὐτὸν ἐπὶ τοῖς λόγοις ἐκάλουν οἱ Ῥωμαῖοι Δημοσθένην, πυνθανόμενοι τὸν ἄριστον ἐν τοῖς Ἕλλησι ῥήτορα γενέσθαι Δημοσθένην.

[i]Λέγεται Κάτωνα τὸν [k]πρεσβύτερον, ἐρομένου τι-
C νός, ἣν [l]ἔχοι γνώμην περὶ τῶν ἐν Καρχηδόνι πραγμάτων καὶ περὶ τοῦ Σκηπίωνος, εἰπεῖν·

[m]Οἷος πέπνυται, τοὶ δὲ σκιαὶ ἀΐσσουσι.

**Κατωνάκη**: Ἱμάτιόν ἐστιν ἐκ τῶν κάτω μερῶν νάκος, τουτέστι διφθέραν, [n]περιερραμμένον. Δοκοῦσι δὲ [o]ἀμφιέσασθαι τοῦτο, τῶν τυράννων ἐπαναγκασάντων τοὺς Ἀθηναίους, ἵνα ὑπὸ εὐτελείας μὴ κατίωσιν εἰς ἄστυ οἱ πολῖται. Μέχρι γὰρ τῶν γονάτων ἦν διῆκον.
D [p]Ἀριστοφάνης·

[q]Οὐκ [r]ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκωνες αὖθις αὖ
[s]κατωνάκας φοροῦντας, ἐλθόντες δορὶ

---

ΚΑΤΟΥΡΩΣΑΝ] καὶ κατουρῶσαν A.B.V.E. Mox ἀπεχώρησε V.

[i] χρησαμένην] Ut interpretatio respondeat capiti articuli, scribendum est χρησάμενοι, quoniam τὸ κατουρῶσαν est generis neutrius, a masculino κατουρώσας, ut Portus etiam monuit. KUST. χρησάμενον A.

[k] Τὸ δὲ λοιπὸν] Fragmentum hoc legitur apud Polybium lib. I. 61. ut Jacobus Gronovius observavit. KUST.

ΚΑΤΟΧΟΣ] Heliodor. p. 192. Simocatta 156. ubi male κάτοικος τῇ μέθῃ. TOUP. Lucian. in Rhet. Præc. 4. de Hesiodo, κάτοχος ἐκ Μουσῶν γενόμενος. REINES. Vid. Cuperi Observ. III. 12. p. 305.

[l] Κάτοχος ἤδη τῷ πόθῳ τούτου γεγ.] Hæc sunt verba Procopii Histor. Arc. c. 1. KUST.

[m] τούτου] τούτῳ A.V.E. pr. Procop.

[n] διαφανὴς] L. διαφανῶς. REINES. Sic Procopius.

ΚΑΤΩΓΕΙΟΝ] Vid. supra v. Ἀνώγεων.

[o] ἀνώγεων] ἀνώγεω V. Tum Καὶ κατώγεων M.

ΚΑΤΩΘΕ] Κάτωθεν V. Mox ὁμοίως addunt A.B.V.

[p] Πίνδαρος] Pyth. IV. 181. ubi leg. Ἄντροθε.

[q] Ἀγχόθι γὰρ νέμομαι π.] Fragmentum hoc ideo ad vocem κάτωθε Suidas retulit, quoniam τὸ ἀγχόθι apud Dorienses sine ν scribitur, perinde ut κάτωθε. KUST.

[r] νέμομαι] νέμαι V.

ΚΑΤΩΘΟΥΜΕΝΟΣ] Κατωθούμενος E.

ΚΑΤΩΚΑΡΑ] Recte notavit Koenius ad Gregor. de Dial. Att. s. LX. pleniora Suidam invenisse Scholia ad Aristoph. Pac. 152. Acharn. 944. Ad Pac. 152. e ms. dedit Bekkerus; ὅτι τὸ ἐπὶ τῆς κεφαλῆς πεσεῖν κατωκάρα λέγεται Ἀττικῶς, οὐ διῃρημένως ἀλλ' ὑφ' ἕν. Πίνδαρος, Οἱ μὲν κατωκάρα δεσμοῖσιν δέδενται. Ceterum verba Ἀριστοφάνης—ὑφ' ἕν, quæ in edd. post Agathiæ fragmentum reperiuntur, ante fragmentum Pindari reposui cum A.V.

[s] Ἀριστοφάνης] Acharn. 944.

[t] κρέμαιτο] κρέμαιτο B.E.

[u] ἐπὶ κεφαλῆς] ἐπὶ κεφαλὴν V. et sic mox. κατὰ κεφαλῆς B.

[x] Τὸ γὰρ] γὰρ om. A.B.V.

[y] Πίνδαρος] Existimo nomen hoc a librario aliquo temere in textum intrusum esse, quoniam quæ sequuntur haud sane Pindaricum quid spirant, sed videntur esse verba scriptoris cujusdam prosaici. KUST. Vid. Schneideri Fr. inc. CXIX.

E [z] Ἀγαθίας] Lib. II. p. 37. KUST.

[a] ὑποφερόμενοι] Sic recte habent mss. Paris. et Agathias loco laudato. At in prioribus editt. corrupte et nullo sensu legitur ὑποφαινόμενοι. KUST.

[b] θάλατταν] θάλασσαν V.

[c] ἀπώλοντο] ἀπόλλυντο A.B.V.E.

[d] Ἀριστοφάνης] Pac. 152.

[e] Κατωκάρα] κατωκάρα δὲ B.E.

ΚΑΤΩΙΚΟΔΟΜΗΣΕΝ: Ἰσαῖος ἀντὶ τοῦ κατ.] Ex Harpocratione. Vide etiam supra v. Ἐγκατῳκοδόμησε. KUST.

F [f] Ἰσαῖος] In Or. c. Dioclem apud Harpocrat. Vocem usurpat Idem in Or. περὶ Κίρωνος κλήρου p. 73. 35. ed. Steph. conf. Vales. ad Harpocrat.

[g] Ἰώσηπος] Antiquit. Jud. lib. V. 10. KUST. c. VIII. 10.

ΚΑΤΩΝ, στρατηγὸς—Δημοσθένην] Hæc sunt verba Appiani Iber. p. 464. 465. KUST. c. 39. Vid. Vales. ad Diod. Sic. T. II. p. 605. ed. Wesseling.

[h] πάμπαν ἔτι] ἔτι πάμπαν A.V.

[i] Λέγεται Κάτωνα τὸν πρεσβ.] Confer cum hoc loco ea,
G quæ leguntur apud Suidam supra v. Ἀΐσσουσι. KUST.

[k] πρεσβύτερον] πρεσβύτην A.B.V.E.

[l] ἔχοι] ἔχει V. Mox Σκηπίωνος A.

[m] Οἷος πέπνυται, τοὶ δὲ σκ.] Est notissimus versus Homeri de Tiresia Od. κ'. v. 495. KUST.

ΚΑΤΩΝΑΚΑΙ: Ἱμάτ.—περιερραμμένον] Ex Schol. Aristoph. Eccles. 719. KUST. Vid. infr. Ὄζειν. REINES. Κατωνάκη A. Ante h. v. Κατανάγκη B.E.M.

[n] περιερραμμένον] περιεργασμένον A.

H [o] ἀμφιέσθαι] ἀμφιέσασθαι A.B.V.E.

[p] Ἀριστοφάνης] Lysistr. 1152.

[q] Οὐκ ἴσθ' ὅθ' ὑμᾶς οἱ Λάκ.] Historiam, ad quam Aristophanes hic respicit, narrat Herodotus lib. V. p. 195. [ed. Steph. 1570.] KUST.

[r] ἴσθ'] οἶσθ' A. et E. pr.

[s] κατωνάκης] κατωνάκας B.E.

*πολλοὺς μὲν ἄνδρας Θετταλῶν ἀπώλεσαν,*
*[t]πολλοὺς δ' ἑταίρους [u]Ἱππίᾳ καὶ ξυμμάχους.*

Καὶ γὰρ καὶ τῶν Θετταλῶν οἱ πλεῖστοι ἐβοήθουν Ἱππίᾳ.

Κατωνάκης: Δουλικὸς καὶ ἀνελεύθερος χιτών.

[x]Κατωνάκῃ τὸν χεῖρον ἀποτετιλμένας.

Τὰς δούλας φησί.

Κατώρης: Ὄνομα κύριον.

Κατωρχήσαντο: Κατεχάρησαν, ἔπαιξαν.

Κατωφαγᾶς: Ὁ καταφαγᾶς. Κωμῳδεῖται [y]γοῦν ὡς πολυφάγος ὁ Κλεώνυμος, ὅτι κάτω νεύων ἔτρωγε. Κατωφαγᾶς δὲ ὄρνεόν ἐστιν οὕτω καλούμενον, [z]ὀρύσσον τὰ σπέρματα. Καὶ ὅτε μὲν [a]βαρύνεται, ἐστὶν ἐπίθετον· ὅτε δὲ περισπᾶται, κύριον. Ἴσως δὲ ἀπὸ τοῦ καταφαγεῖν.

Κατωφρτῶσθαι: Γενικῇ.

Κατοικιδίους: Τοὺς ἐπ' [b]οἴκου ὄντας.

Κατοικιδίους δὲ, καὶ σχολαίους, καὶ ἧττον ὡμιληκότας [c]τοῖς πολέμοις.

Κατοικτείρω: Αἰτιατικῇ.

Κατοικτίζετο: Οἴκτου τυχεῖν ἠξίου, [d]ἢ ἐλέους κυρῆσαι.

[e]Ὁ δὲ ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων καταστὰς κατοικτίζετο.

Καὶ αὖθις·

Ὁ δὲ τῇ φωνῇ κατοικτιζόμενος ἐδεῖτο σφᾶς παρεκάλει.

Κατοιμώξας: Καταμεμψάμενος. [f]Πολύβιος·

Καὶ πολλὰ μὲν αὑτὸν κατοιμώξας, ὅτι παρὰ μικρὸν ἦλθε τοῦ λαβεῖν τὸν Ἄτταλον ὑποχείριον.

Ἢ καταιτιασάμενος, οἴμοι λέγων.

Κατοιόμενος: Ὀνομάζων ἑαυτὸν μέγαν, καὶ φυσῶν ὑπερηφάνως.

Κάτοισθα: Γινώσκεις, ἐπίστασαι. [g]Σοφοκλῆς·

Οὐ κάτοισθ', ἐγὼ θεοῖς
[h]ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι;

Τουτέστιν, οὐκ ἐν τούτῳ εἰμὶ, ὥστε ὀφείλειν τοὺς θεοὺς ἐπαρκεῖν μοι, διὰ τὸ μὴ περιέχεσθαι τοῦ ζῆν. A [i]οὐκέτι τοῖς θεοῖς ὀφείλω ἐγὼ ἐπαρκεῖν· ἀντὶ τοῦ, οὐδὲν ἐπὶ τιμῇ πράττειν [k]τῶν θεῶν.

Κατοιχομένου: Νεκροῦ, τεθνεῶτος.

Καττύεται: Ἀντὶ τοῦ [l]συντίθεται, [m]συρράπτεται. [n]Ἀριστοφάνης·

Οἶδ' ἐγὼ τὸ πρᾶγμα τοῦθ' ὅθεν πάλαι καττύεται.

Ἡ μεταφορὰ ἀπὸ τῶν ὑποδημάτων.

Καττύει: Εὐτρεπίζει, [o]συρράπτει.

B [p]Τὸν δὲ [q]Βαρὰμ τεσσαράκοντα χιλιάσι καττύειν τὸν πόλεμον ἔλεγον.

Καττύω [r]γὰρ τὸ δόλους ῥάπτω.

Κάττυμα: Ἀπάτη, δόλος. [s]Ἀριστοφάνης·

Ὃν ἐγὼ κατατεμῶ τοῖσιν ἱππεῦσι [t]εἰς καττύματα.

Καττύματα δέ ἐστι δέρματά τινα ἰσχυρὰ καὶ σκληρὰ, ἅπερ τοῖς σανδαλίοις καὶ τοῖς ἄλλοις ὑποδήμασιν [u]ὑποβάλλεται.

C Καύα: Νῆσος πλησίον Κρήτης, ἔνθα μέγιστοι ὄναγροι γίνονται.

Καύθωνος: Τοῦ μαλθακοῦ.

Καυκίον παρ' ἡμῖν· κύλιξ δὲ παρὰ [x]σοφοῖς.

Καύκωνες: Ὄνομα ἔθνους.

Ἐγγὺς δὲ τοὺς ἐπιβουλεύοντας εἶναι Καύκωνάς τε καὶ Λέλεγας Ὁμηρικούς· Πελασγοὺς δὲ αἰχμητὰς, οὐδὲ Δῖους. Εἰρήσθω γὰρ ἐν καιρῷ ἐμοὶ τάδε.

D Καυλός: Τὸ ἄκρον τοῦ δόρατος.

Καυλῶ: Καυλήσω. Ἐκκεκαυληκότα:

Τῶν λαχάνων [y]πάντα ἐκκεκαυληκότα.

Καυωνία: Χώρα.

Καυνάκης: Ὁ ἀγών· ἢ εἶδος ἱματίου, ὅπερ καὶ Περσίδα καλοῦσιν. Οἱ δὲ σισύραν Θυμαιτίδα, ὅπερ ἔοικε Μορύχου σάγματι. Σάγμα δὲ, ἡ θήκη τοῦ E ὅπλου.

Καύνιος ἔρως: Ἐπὶ τῶν μὴ κατορθουμένων [a]ἐπιθυμιῶν. Καῦνος γὰρ καὶ Βύβλις ἀδελφοὶ ἐδυστύχησαν.

Καυσία: Εἶδος πίλου βαρβαρικοῦ ἐπὶ τῆς κεφαλῆς.

[t] πολλοὺς δ' ἑταίρους Ἱππίᾳ] Apud Aristophanem hodie male legitur πολλοὺς δ' ἑτέρους Ἱππίους; qui proinde ex hoc F loco Suidæ emendandus est. KUST.

[u] Ἱππίᾳ] ἱππίαν B.E. ἱππείαν V.

[x] Κατωνάκῃ τὸν χεῖρον ἀποτετιλ.] Aristoph. Eccles. 719.

ΚΑΤΩΦΑΓΑΣ: Ὁ καταφαγᾶς] Aristophanis Av. 289. Ἔστι γὰρ κατωφαγᾶς τις ἄλλος ἢ Κλεώνυμος; Vide ibi veterem enarratorem. KUST.

[y] οὖν] γοῦν A.B.

[z] ὀρύσσον] ὀρύσσων A.

[a] βαρύνεται] ὀξύνεται reponit Boissonad. ad Herodian. G p. 284.

ΚΑΤΩΦΡΤΩΣΘΑΙ] Κατωφρυῶσθαι B.E.

[b] οἴκου] οἴκῳ A.B.V.E.

[c] τοῖς πολέμοις] τοῖς om. B.E.M.

[d] ἢ ἐλέους] ἢ om. A.B.V.E. edd. vett.

[e] Ὁ δὲ ἐπὶ τὰ κοινὰ] Herodot. III. 156. PORTUS.

[f] Πολύβιος] Vid. ed. Schweighæuser. T. V. p. 38.

ΚΑΤΟΙΟΜΕΝΟΣ] Habbakuk II. 5. Aristeas p. 115. TOUP. Locum ex Habbakuk indicavit Hemsterhusius, qui v. ὀνομάζων superscripsit νομίζων. Vulg. tenet Photius, H qui in fine, φυσῶν· ὑπερηφάνως.

[g] Σοφοκλῆς] Aj. 589.

[h] ὡς οὐδὲν] ὡς om. A.B.

[i] ἢ οὐκέτι] ἢ om. A.B.E.

[k] τῶν θεῶν] τοῖς θεοῖς E.

[l] συντίθεται] συντιθέται E.

[m] ῥάπτεται] συρράπτεται A. συρράπτονται V. ῥάπτονται E.

[n] Ἀριστοφάνης] Equit. 314.

[o] συρράπτει] συρράπτει κασσύει A.B.V.E. Lex. Seg. συρράπτει καττύει Photius.

[p] Τὸν δὲ Βαρὰμ τεσσαρ.] Fragmentum hoc depromptum est ex Theophylacto Simocatta. KUST. V. 9. TOUP.

[q] Βαρὰμ] ἀβραὰμ V.

[r] καὶ τὸ] γὰρ τὸ A.B.E. Mox δούλους V.

[s] Ἀριστοφάνης] Acharn. 301. Vide etiam supra v. Κατατεμῶ. KUST.

[t] ποτε ἐς καττύματα] ποτε om. A.B.V.E. Tum εἰς A.E.

[u] ὑποβάλλονται] ὑποβάλλεται A.V.

ΚΑΥΚΙΟΝ] Vid. Scal. de re num. p. 57. Caucum. REINES. Vid. Du Cangii Gl. Gr.

[x] τοῖς σοφοῖς] τοῖς om. A.B.V.E.

ΚΑΥΛΟΣ] Il. ς'. 162.

[y] πάντων] πάντα A.B.V.E.

ΚΑΥΩΝΙΑ] Vid. Wesseling. Diod. Sic. XIV. 103.

[z] ΚΑΥΝΑΚΗΣ: Ὁ ἀγών] Ex Schol. Aristoph. Vesp. 1132. KUST. Arrian. Exp. p. 436. TOUP.

ΚΑΥΝΙΟΣ ἜΡΩΣ] De infelici amore Cauni et Byblidis legendus est Parthenius Erot. c. XI. et Ovid. Metamorph. lib. IX. Vide etiam supra v. Βύβλις, et v. Καῦνος. KUST.

[a] ἐπιθυμιῶν] ἐπιθυμιῶν V. Post h. gl. delevi ΚΑΥΡΟΣ: Ὁ κοῦφος ταῖς φρεσίν· οἱονεὶ αὐρός τις ὤν, καὶ πλεονασμῷ τοῦ κ καῦρος, cum A.B.V.E. Habet Etymologus.

[b]Καυσίη, ἡ τοπάροιθε [c]Μακηδόσιν εὔκολος ὅπλον,
καὶ σκέπας ἐν νιφετῷ, καὶ κόρυς ἐν πολέμῳ.

Καύσωνος: Θέρμης.

Καυστειρὸς, Καυτηρὸς δέ.

Καΰστρος: [d]Ποταμός.

Καυτὴν: Ἐν [e]Ἐπιγράμμασι·

Ἄνθετο δέρμα λέοντος . . . . . . . .
Τεῦκρος Ἄραψ, καὐτὴν ἀγρέτιν αἰγανέαν.

Καυχᾶι: Οἱ λοιποὶ ῥήτορες ἐπὶ τῆς αὐτῆς ἐννοίας B αὐχεῖν λέγουσι· Λυκοῦργος ἐν τῷ Περὶ Μαντειῶν ἐχρήσατο τῇ λέξει.

Δεῖ δὲ τἄλλα ἐν [f]δημοκρατίᾳ σοι εἰπεῖν· ἑνὸς δ' οὐκ ἔστι σοι· καλῶς γὰρ αὐτοῦ προέστης· ἐφ' οἷς καυχᾷ, οἱ ἄλλοι αἰσχύνονται.

Καυχώμενος: Μεγαληγορῶν.

Κάφος: Τὸ πνεῦμα, κατὰ διάλεκτον. Καὶ [g]Ὅμηρος·

C Καπῦσε κεκαφηότα θυμόν.

Καφώρης:

Τὸ τῆς καφώρης [h]μίσησον δολερὸν καὶ κερδῷον.

Λέγουσι δὲ τὴν ἀλώπεκα.

Καφύη: Ὄνομα πόλεως.

Κἄχεζεν: [i]Ἀριστοφάνης. Ἀντὶ τοῦ καὶ [k]ἀπεπάτει.

Καχέκται:

[l]Ταῖς δὲ ἀληθείαις ὑπῆρχεν ἐν [m]αὐτοῖς καχέκταις μεταβολῆς οἰκεῖοι.

D Καχεξία: Καὶ Καχεκτοῦντες, κακῶς τὴν ἕξιν

A [n]διατεθειμένοι, ἀσθενοῦντες. [o]Πολύβιος·

[p]Ὁ δὲ Περσεὺς [q]προσαγόμενος τὸν χρόνον καὶ τὸν πόνον, ἐξελύετο τῇ ψυχῇ, καθάπερ οἱ καχεκτοῦντες τῶν ἀθλητῶν. Ὅτε γὰρ τὸ δεινὸν [r]ἐγγίζοι, καὶ δέοι κρίνεσθαι περὶ τῶν ὅλων, οὐχ ὑπέμενε τῇ ψυχῇ.

Καχλάζει: Ταράττεται, φλεγμαίνει, βράττει.

Κάχληκες: Λίθακες ἐν τοῖς ὕδασιν.

[s]Ἠρεῖτο δὲ ὁπόσον κάχληκας τοῦ ἐμφερομένου τοῖς ἐδάφεσι.

B Καὶ Κάχληξ, εἶδος ζωϋφίου τινός.

Καχρύων:

[t]Ἐσκίρτα, ἀπεσύρδει, ὥσπερ καχρύων ὄνος εὐσχημόνως.

Κάχρυς: Τὰς κριθάς. [u]Ἀριστοφάνης·

Πίνοιθ', ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν.

Τουτέστι, καθάπερ τινὰ γυναῖκα ἀλοῦσαν κριθάς.

Καχυποτοπεῖσθαι: Τὸ [x]τέλειον, κακὰ [y]ὑπονοεῖσθαι. [z]Παρ' Ἀριστοφάνει.

C Καχυπότοπος: Καχύποπτος. Τοπάσαι γὰρ, τὸ ὑπονοῆσαι.

Κάψα: Κίστη, ἡ θήκη.

Καί: Σύνδεσμος συμπλεκτικός.

Καιάδας: Παρὰ Λάκωσι βασιλικὴ φρουρὰ, καὶ [a]Σικελιώταις. Παρὰ δὲ Πέρσαις, [b]οἴκημα μεστὸν τέφρας. Παρὰ δὲ Αἰθίοψιν οἱ κακοῦργοι [c]χρυσαῖς ἁλύσεσιν ἐδέδεντο. Εἰς δὲ τὸν [d]Καιάδαν εἰώθασιν οἱ D Λάκωνες τοὺς κακούργους ῥίπτειν.

Καὶ δή: [e]Ἤδη.

Καὶ ἐν θεῶν ἀγορᾷ: [f]Ἐπὶ τῶν καθ' ὑπερβο-

---

[b] Καυσίη, ἡ τοπάροιθε] Anthol. [Pal. VI. 335.] KUST. Polyæn. p. 535. τῇ κεφαλῇ καυσίαν ἐπέθετο Μακεδονικήν. TOUP. Vid. Etymolog. p. 487, 52. HEMST.

[c] Μακηδόσιν] Μακεδόσιν A.E.

ΚΑΥΣΩΝΟΣ] Vid. Schleusner. Lex. utroque in v.

[d] ὄνομα ποταμοῦ] ποταμός A.

ΚΑΥΣΤΕΙΡΟΣ, ΚΑΥΤΗΡΟΣ δὲ] Sic A.B.V.E. Vulgo Καυτηρὸς post Καΰστρος. Et hic repetit V.

[e] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 57.

ΚΑΥΧΑΙ] Lex. Seg. apud Bekker. p. 275, 3. Καυχᾶ: αὐχεῖν ἐπὶ χρηστοῖς πράγμασι· Λυκοῦργος δὲ ἐπὶ φαύλοις κέχρηται, ὡς τοὺς ἀκούοντας αἰσχύνεσθαι.

[f] δημοκρατίᾳ] δημοκράτει V. qui mox καλῶς.

[g] Ὅμηρος] Il. ε'. 698. KUST.

ΚΑΦΩΡΗ] Καφώρης A.V. Καφάρης B.E. et in exemplo. Σκαφώρη inter vulpium nomina recenset Ælianus N. A. VII. 47.

[h] μίσησον] μισητὸν V.

ΚΑΦΥΗ] Vid. Κίδας. HEMST.

[i] Ἀριστοφάνης] Acharn. 82.

[k] ἀπεπάτει] καὶ ἀπεπάτει A.

[l] Ταῖς] τοῖς E.

[m] αὐτῇ] αὐτοῖς A.B.E.

[n] διατεθειμένοι] διατεθέμενοι V

[o] Πολύβιος] XXIX. 6, 14.

[p] Ὁ δὲ Περσεὺς προσαγ. τὸν χρ. καὶ τὸν πόνον, ἐξελ.] His affinia sunt, quæ supra leguntur de Perseo v. Ἀποδειλιᾶν. KUST.

[q] προσαγόμενος] προαγόμενος E. edd. ante Kuster. Tum πρὸς τὸν χ. V.

[r] ἐγγίζοι] ἐγγίζει A.B.E. edd. ante Kuster. ἐγγίζοι V.

[s] Ἠρεῖτο δὲ ὁπόσον κάχλ.] Idem fragmentum legitur etiam supra v. Ἠρεῖτο. KUST. Hæc leguntur etiam supra v. Ἠρεῖτο. Interpres autem non intellexit. Ita enim reddit, *Cepit autem tantum glareæ, quantum sufficeret sternendo pavimento.* Κάχληξ ἐμφερόμενος τοῖς ἐδάφεσι est *glarea sive calculi, qui in fundo fluvii circumferuntur.* Sunt autem verba, ut videtur, alicujus Commentatoris ad 1 Samuel. XVII. 40. *And he chose him five smooth* *stones out of the brook.* Sed hoc hariolari est. Nostram autem interpretationem unice firmat Josephus Antiq. Jud. V. 1. cujus verba adscribam: Ἠρευνὰς ἔδειξεν ὁ ποταμὸς, τοῦ μὲν βάθους ἀπεσχημένου, τοῦ δὲ ΚΑΧΛΗΚΟΣ ἘΠΙ ΤΟΥ ἘΔΑΦΟΥΣ ΚΕΙΜΕΝΟΥ. TOUP.

E

[t] Ἐσκίρτα, ἀπεσύρδει] Aristoph. Vesp. 1297.

[u] Ἀριστοφάνης· Πίνοιθ', ὡσπ.] Aristoph. Nub. 1361. Ἄιδειν τε πίνονθ', ὡσπερεὶ κάχρυς γυναῖκ' ἀλοῦσαν. Adi ipsum Comicum. KUST.

[x] τέλειον] τέλεια A.

[y] ὑπονοεῖσθαι] Imo potius ὑποτοπεῖσθαι. KUST. ὑπονοεῖν Schol. Aristoph.

[z] Παρ' Ἀριστοφάνει] Ran. 988.

F ΚΑΧΥΠΟΤΟΠΟΣ] Plato Rep. p. 224. Philo II. p. 570. ubi male καχυπτέον. Aristot. Rhet. p. 300. TOUP. Vid. Heindorf. ad Platon. Phædr. p. 240. E. ubi καχυποτόπως mss. meliores.

ΚΑΨΑ] Vid. ad Hesych. v. Κάμψα.

ΚΑΙΑΔΑΣ] Vide supra v. Βάραθρον, et infra v. Κεάδας. Confer etiam P. Leopard. Emend. lib. XIII. c. 14. et Meurs. Miscellan. Lacon. lib. III. c. 7. KUST. Heliodor. Æthiop. IX. p. 408. HEMST. Caput gl. om. V.

[a] Σικελιώταις] Σικελιώτης V.

G [b] οἴκημα] Sic Attici κατ' εὐφημίαν vocabant carcerem. Helladius apud Photium p. 1593. Ὅτι τὸ μὴ λέγειν δύσφημα πᾶσι τοῖς παλαιοῖς μὲν φροντὶς ἦν, μάλιστα δὲ τοῖς Ἀθηναίοις. Διὸ καὶ τὸ δεσμωτήριον οἴκημα ἐκάλουν, καὶ τὸν δήμιον, κοινὸν &c. KUST.

[c] χρυσαῖς ἁλύσεσι] Vid. Herodot. III. 23. et ibi not.

[d] Καιάδαν] Plutarch. Ag. et Cleom. p. 803. τὴν καλ. Δεκάδα, ubi leg. καλ. Καιάδαν. Vide Xyland. p. 60. TOUP.

H [e] Λοιπὸν ἤδη] λοιπὸν om. A.B.V. Photius, Καὶ δή: ὡς δή. et post Καινοτάφιον: Καὶ δή: ἤδη. Hesych. Καὶ δή: ἐπὶ τοῦ ἤδη.

ΚΑΙ ἘΝ ΘΕΩΝ ἈΓΟΡΑΙ] In Vaticana Proverbiorum Appendice proverbium hoc plenius sic exponitur: Ἐπὶ τῶν καθ' ὑπερβολὴν κατηγορούντων (lege κακηγορούντων, ut hic recte apud Suidam) εἴρηται ἡ παροιμία· ὅτι καὶ ἐν ἀγορᾷ θεῶν δυσφημήσειαν. Θεῶν ἀγορὰ τόπος ἐν Ἐλευσῖνι· εἰσίασι δ'

Καινόσ: [a]Ἰσοκράτης ἀντὶ τοῦ, ὃς τοῖς νεωτέροις ἁρμόττει πράγμασιν. [b]Οὕτως δὲ καὶ Ἔφορος.

Καινοτάφια: Κενά εἰσι ἐλισσόμενα ὡς τύπος νεκροῦ· ἤτοι τὰ μὴ ἔχοντα ἔνδοθεν νεκρόν.

Καινοτομεῖ: Αἰτιατικῇ. Καινουργεῖ. Ὅτι τὸ καινοτομεῖν ἐπὶ τοῦ ἄρχειν. [c]Ἀριστοφάνης·

Τοῦτο γὰρ ἡμῖν ἀντ' ἄλλης ἀρχῆς ἐστι.

Καινοτομία:

Καινοτῃ: Παρὰ [d]Ἡροδότῳ τὸ λόγῳ τῷ καινῷ χρήσασθαι.

Καινουργισμόσ: Ἡ ἀνακαίνισις, καὶ πρὸς τὸ ἀρχαῖον κάλλος ἀναμόρφωσις.

Καινόφιλον λέγουσι τὸν μὴ τοῖς αὐτοῖς φίλοις χρώμενον ἀεί.

Καινῶσ: Ἀντὶ τοῦ παραδόξως.

Καίνυτο: Ἐνίκα.

Καιόμενοσ: Ἀπὸ τοῦ καίω, τὸ φλέγω.

Καίω σε: Αἰτιατικῇ.

Καίρια: [e]Τὰ συμφέροντα.

Τίνι γάρ ποτ', ὦ [f]φίλα γενέθλα, [g]πρόσφορον ἀκούσαιμ' ἔπος; τίνι φρονοῦντι καίρια;

[h]Ἀντὶ τοῦ, παρὰ τίνος ἀκούσαιμι τὰ συμφέροντα; οὕτω [i]Σοφοκλῆς. [k]Καὶ πάλιν·

[l]Ἢ δρᾶν ἀμείνων εὑρέθη τὰ καίρια;

Καὶ αὖθις·

[m]Καιρὸν δ' ἐφήκεις.

Ἀντὶ τοῦ ἐπικαίρως ἥκεις.

[n]Ἐπελθεῖν εὔστοχος, ἀναχωρῆσαι καίριος, ἐνεδρεῦσαι τεχνίτης, μάχης ἐργάτης.

Καιρὸσ λέγεται ὁ ἐκ τοῦ πλήθους τῶν ἀδικημάτων συναγόμενος ἀριθμὸς παρὰ θεοῦ, καὶ προκαλούμενος ἕως καιροῦ.

Καιριώτατα: [o]Ἐπικινδυνότατα, θανάσιμα.

A Καιρόσ: [p]Σοφοκλῆς·

Καιρὸς γάρ, ὅσπερ ἀνδράσι
μέγιστος ἔργου παντός ἐστ' ἐπιστάτης.

[q]Ἀντὶ τοῦ, ἐφ' ἑκάστου πράγματος τὸ καίριον καὶ χρησιμώτατον ὁ καιρός ἐστιν· ὅπου καὶ τὰ σπουδαῖα παρὰ καιρὸν γινόμενα οὐκ ἀποδέχονται· ὡς ἰατρὸν τῷ κάμνοντι περὶ φύσεως τοῦ νοσήματος διαλεγόμενον ὡς εἴ τις τοῖς μεθύουσι περὶ σωφροσύνης διαλέγοιτο. Τὸ
B γὰρ καλόν, μὴ [r]καλῶς γινόμενον, οὐ καλόν. Καὶ αὖθις·

[s]Ὁ δὲ Ἰουστινιανός, εἴτε ὑπὸ γήρως τὰ καίρια οὐ φρονῶν, εἴτε [t]ἄλλως ἔμελλε τὴν ὀρθογνώμονα περὶ Χριστοῦ δόξαν διαπτύσειν, εἰ μὴ ᾤχετο ἐξ ἀνθρώπων.

Καιρόσ: Καιροὺσ ἡ γραφὴ καλεῖ τὰς συμφοράς.

Καὶ ἔσται ὁ καιρὸς αὐτῶν εἰς τὸν αἰῶνα.
[u]Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου.

C [x]Ἀντὶ τοῦ . . . . . .

Καιροσέων δ' ὀθονέων ἀπολείβεται ὑγρὸν [[y]ἔλαιον:] Εὖ κεκαιρωμένων. [z]Καίρωμα δέ ἐστι τὸ διαπλεκόμενον ἐν τῷ στήμονι παρὰ τὸν μίτον, ὑπὲρ τοῦ μὴ συγχεῖσθαι τοὺς στήμονας.

Καιροφυλακῆσαι: Καιρὸν ἐπιτηρῆσαι.

Ὁ δὲ ἐκέλευεν αὐτὸν ἀναζευγνύναι, καὶ μὴ πολυπραγμονεῖν, μηδὲ καιροφυλακεῖν.

D Καιροφυλάκιον:

Καιρωστρίδεσ: Αἱ ὑφάντριαι. Καίρωσισ γάρ, ἡ πλοκὴ τοῦ μίτου.

Καῖσαρ Ἰούλιοσ, ὁ πρῶτος μοναρχήσας. Ἔγραψε μετάφρασιν τῶν Ἀράτου Φαινομένων, Τέχνην γραμματικὴν Ῥωμαϊκῶς.

Καῖσαρ Αὔγουστοσ, [a]ὁ καὶ Σεβαστός, καὶ Ὀκταβιανὸς
E ἐπικληθείς. Ἔγραψε περὶ τοῦ ἰδίου βίου καὶ τῶν πράξεων αὐτοῦ βιβλία ιγ'.

γνώμην. Νέαν γνώμην ἐξηγούμενος. Imo recte Suidas, εἰσηγούμενος. Est autem γνώμην εἰσηγεῖσθαι, novam sententiam in medium proferre: de quo consulendi rhetores Græci. TOUP.

ΚΑΙΝΟΣ: Ἰσοκράτης ἀντὶ τοῦ, ὃς τοῖς νεωτ.] Ex Harpocratione: apud quem tamen locus hic paulo aliter legitur. KUST. Cum Suida concordat Photius. Harpocratio habet, Καινῶς, Ἰσοκράτης Πανηγυρικῷ, οἷον ὡς τοῖς ν. ἁρμόττειν πρ. Vid. Panegyr. p. 42. D.

[b] Οὕτω] οὕτως B.E.

ΚΑΙΝΟΤΑΦΙΑ] Κενοτάφια A.V.M. Gl. delevit Kusterus. Vid. infra in Κενοτάφια.

[c] Ἀριστοφάνης] Eccles. 580. Περὶ μὲν τούτων τοῦ καινοτομεῖν μὴ δείσῃς· τοῦτο γὰρ ἡμῖν δρᾶν ἀντ' ἄλλης ἀρχῆς ἐστιν, τῶν δ' ἀρχαίων ἀμελῆσαι. KUST.

ΚΑΙΝΟΤΟΜΙΑ] Sic A. τοῦτο ἡ καινοτομία B.E. edd. vett. καινοτμ V.

[d] Ἡροδότῳ] Gloss. II. 100. Mox τῷ λόγῳ A.

ΚΑΙΝΟΥΡΓΙΣΜΟΣ] Καινουργησμὸς A.

ΚΑΙΝΟΦΙΛΟΣ ΚΑΙΝΟΦΙΛΟΝ] Καινόφιλος om. A.V. Photius.

ΚΑΙΝΥΤΟ] Vid. Od. γ'. 282.

[e] Ἔγκαιρα ἢ συμφέροντα] τὰ συμφέροντα A.B.V.

[f] φιλία] φίλα A.

[g] πρόσφορον] πρόσφορον A.V.

[h] Ἀντὶ τοῦ—καίρια om. E.

[i] Σοφοκλῆς] Electr. 226. οὕτω Σοφ. om. M.

[k] Καὶ πάλιν—καίρια om. A.V. h. l. sed habent post gl. seq.

[l] Ἢ δρᾶν ἀμείνων εὑρ.] Sophocl. Aj. 119. Τούτου τίς ἂν σοι τἀνδρὸς ἢ προνούστερος Ἢ δρᾶν ἀμείνων &c. KUST.

[m] Καιρὸν δ' ἐφήκεις] Sophocl. Aj. 34.

[n] Ἐπελθεῖν εὔστοχος, ἀναχ.] Hæc sunt verba Dionis de rege Decebalo, ut monuimus etiam supra v. Δεινός, ubi fragmentum hoc auctius legitur. KUST.

ΚΑΙΡΟΣ] Καίριον εὔκαιρον. καὶ Καιρὸς V. Gl. om. B.E.M.

[o] Ἐγκαιριώτατα, ἐπικινδυνότατα] Delevi ἐγκαιριώτατα cum A.B.V.E.

F [p] Σοφοκλῆς] Electr. 75. Ἀριστοφάνης A.V.

[q] Ἀντὶ τοῦ, ἐφ' ἑκάστῳ πρ.——διαλέγοιτο] Hæc sunt verba Scholiastæ ad modo indicatum locum Sophoclis. KUST.

[r] καλῶς] καλὸν B.

[s] Ὁ δὲ Ἰουστιν.] Ex Menandro, opinor. TOUP.

[t] ἄλλως] ἄλλα B.E.

ΚΑΙΡΟΣ—αἰῶνα] Ex Theodoret. in Ps. LXXX. 16.

[u] Καιρὸς παντὸς ἀνθρώπου] Respexit noster ad Genes. VI. 13. Καὶ εἶπεν ὁ Θεὸς πρὸς Νῶε· Καιρὸς παντὸς ἀνθρώπου ἥκει ἐναντίον μου. *Tempus adest, quo omnes homines
G demetendi sunt.* TOUP.

[x] Ἀντὶ τοῦ . . . . . Sic A.V.E.

ΚΑΙΡΟΣΕΩΝ Δ' ὈΘΟΝΕΩΝ ἈΠΟΛΕΙΒΕΤΑΙ ὙΓΡ.] Homer. Odyss. η'. v. 107. KUST.

[y] ἜΛΑΙΟΝ om. A.V.E.M.

[z] ΚΑΙΡΩΜΑ δέ] Hæc, et quæ sequuntur, sunt verba Scholiastæ ad modo indicatum locum Homeri. KUST.

ΚΑΙΡΟΦΥΛΑΚΗΣΑΙ] Vid. v. Λόχμη. TOUP.

ΚΑΙΡΟΦΥΛΑΚΙΟΝ] Sic V. et Photius.

H ΚΑΙΡΩΣΤΡΙΔΕΣ] Καιροστρίδες edd. vett. Vid. not. ad Hesych.

ΚΑΙΣΑΡ ἸΟΥΛΙΟΣ, ὁ πρῶτος μον.] Eadem leguntur etiam supra v. Γάϊος Ἰούλιος. KUST.

ΚΑΙΣΑΡ ΑΥΓ. ὁ καὶ Σεβ.] Vide supra v. Αὔγουστος, ubi eadem leguntur. KUST.

[a] ὁ καὶ] καὶ ὁ V.

A
Καῖσαρ Τιβέριος: Ἔγραψεν Ἐπιγράμματα, καὶ Τέχνην ῥητορικήν.

Καῖσαρ: Οὕτως ὀνομάζονται οἱ Ῥωμαίων βασιλεῖς, ἀπὸ Ἰουλίου Καίσαρος, τοῦ μὴ γεννηθέντος. Τῆς γὰρ μητρὸς αὐτοῦ θανούσης ἐν τῷ θ' μηνί, ταύτην ἀνατεμόντες, ἐξέβαλον αὐτόν· καὶ οὕτως ἐκάλεσαν [[b] αὐτὸν Καίσαρα.] Κατὰ γὰρ τὴν Ῥωμαίων [c] γλῶσσαν Καῖσαρ ἀνατομὴ λέγεται.

B
Κωνοφόροι: Θυρσοφόροι. Κῶνος δὲ λέγεται ὁ C βοτρυοειδὴς τοῦ στροβίλου καρπὸς, ὃν ἔφερον αἱ γυναῖκες βαστάζουσαι ἐν ταῖς τοῦ Διονύσου τελεταῖς, ἐπειδὴ ὅμοιον [f]τῷ σχήματι τὸν κῶνον τῇ τοῦ ἀνθρώπου καρδίᾳ, ἐπιστάτην δέ φασιν Ἕλληνες τῆς τῶν ἀνθρώπων καρδίας τὸν Διόνυσον. Οἰκείῳ οὖν τινι μυστηρίῳ τοῦτο ἐποίουν.

[g]Καὶ θύρσου χλωρὸν κωνοφόρον [h]κάμακα.

D Κωνώπη: Ὄνομα πόλεως.

Κώνωψ: Θηλυκῶς [i]παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ. Εἶδος μυίας.

Κωνσιστώριον: Παρὰ Ῥωμαίοις οὕτω λέγεται τὸ συνέδριον, καὶ τὸ σύστημα, ἔνθα περὶ τῶν ἐπειγόντων βουλεύονται.

Κῶνσος: Ὄνομα κύριον.

E Κωνσταντῖνος ὁ μέγας: Οὗτος ἐξ ἀφανῶν [k]τίκτεται τῷ βασιλεῖ Κωνσταντίῳ, [l]γνωρισθεὶς δὲ τῷ πατρὶ κατά τινας γνωρίμους τρόπους· ὃς κατά τινα τύχην ἔγνω τοὺς τόπους καταλιπεῖν, ἐν οἷς διέτριβεν,

A ἐξορμῆσαι δὲ πρὸς τὸν πατέρα Κωνστάντιον, ἐν τοῖς ὑπὲρ τὰς Ἄλπεις ἔθνεσιν ὄντα, καὶ [m]Βρετανίᾳ συνεχέστερον ἐνδημοῦντα. Θεασάμενος δὲ αὐτὸν ὁ πατὴρ χειροτονεῖ βασιλέα, τοὺς ἐκ τῆς Θεοδώρας [n]υἱεῖς καταλιπὼν, ἰδὼν αὐτὸν εὖ ἔχοντα σώματος. Δύο δὲ καὶ ἑξήκοντα καὶ τριακοσίων ἀπὸ τῆς Αὐγούστου Καίσαρος [o]μοναρχίας διεληλυθότων ἐνιαυτῶν, Κωνσταντῖνος τὴν νέαν Ῥώμην ἀνίστησι.

B Κωνσταντῖνος ὁ μέγας, βασιλεύς. Περὶ οὗ [p]γράφει Εὐνάπιος [q]φληνάφους, καὶ παρῆκα [r]αὐτοὺς αἰδοῖ τοῦ ἀνδρός.

Κωνσταντῖνος, βασιλεὺς Ῥωμαίων, υἱὸς Λέοντος τοῦ Εἰκονομάχου τοῦ Ἰσαύρου. [s]Ἐκ Λέοντος ἀνεφύη ποικιλότροπος πάρδαλις· ἐκ σπέρματος ὄφεως ἀσπὶς δεινὴ καὶ ὄφις πετόμενος· ἐκ Δὰν Ἀντίχριστος. Οὗτος τὴν πατρῴαν βασιλείαν τε [t]καὶ ἀσέβειαν διαδεξάμενος, C καὶ ἀσελγείαις, καὶ δαιμόνων ἐπικλήσεσι, καὶ ἄλλοις [u]πονηροῖς ἐπιτηδεύμασι χαίρων καὶ σχολάζων, ἐξαίρετον ὄργανον καὶ λίαν ἐπιτήδειον [x]τοῦ πατρὸς αὐτοῦ καὶ διδασκάλου γέγονε Διαβόλου. Καὶ γὰρ εἰς τοσαύτην ἀπόνοιαν καὶ παραπληξίαν ἐξώκειλεν, ὡς καὶ θεσμὸν ἐπὶ λαοῦ καθολικὸν ἐκθέσθαι, μὴ λέγεσθαί τινα [y]τῶν θεραπόντων Κυρίου τοπαράπαν ἅγιον, ἀλλὰ καὶ D τὰ λείψανα τούτων εὑρισκόμενα διαπτύεσθαι· καὶ μηδὲ πρεσβείαν αὐτῶν ἐξαιτεῖν· [z]οὐδὲν γὰρ ἰσχύουσιν. Εἶτα προσθεὶς ὁ παμβέβηλος λέγει, μηδὲ τῆς Μαρίας ἐπικαλείσθω τις πρεσβείαν· οὐ γὰρ δύναται βοηθεῖν τινι· μηδ' αὖ πάλιν [a]αὕτη Θεοτόκος ὀνομαζέσθω. Καὶ δὴ λαβὼν ἐν χειρὶ βαλάντιον πλῆρες χρυσίου, καὶ ὑποδείξας αὐτὸ πᾶσιν, ἤρετο, τίνος ἄξιόν ἐστι· τῶν δὲ, πολλοῦ, εἰπόντων· κενώσας τὸ χρυσίον, πάλιν E ἤρετο, τίνος ἐστὶν ἄξιον· καὶ λέγουσιν, οὐδενός. Οὕτως, ἔφη, καὶ ἡ Μαρία· [b]οὐδὲ γὰρ Θεοτόκον ὀνομάζεσθαι ὁ [c]ἄθλιος ἠξίου. Ἕως μὲν γὰρ εἶχε τὸν Χριστὸν ἐν [d]ἑαυτῇ, τετιμημένη ὑπῆρχεν· ἀφ' οὗ δὲ τοῦτον

[y] ἡ κώμη] ἡ om. A.

[z] ὀρχήσεις] ἢ ὀρχήσεις A. Photius, Lex. Seg.

ΚΩΜΤΑΡΙΟΝ] Sic 2 mss. Paris. At priores editt. [et E.] minus recte κωμάδριον. KUST.

F ΚΩΜΥΘΑ] Κώμυθᾶ A.V. Κώμυθας B. Κώμυθα: δέσμη Photius.

[a] Οἱ δὲ ξυνδήσαντες τοὺς καλ.] Fragmentum hoc legitur apud Agathiam lib. V. p. 167. idemque repetitur infra v. Τολυπεύων. KUST. τὰς καλ. M.

[b] ὁ κώμυθος] Sic A.V. ἡ κώμυθα edd. vett. Ceterum ἡ εὐθ. ἡ κ. delevit Kusterus. Portus monuit: "Rectus casus est "ἡ κῶμυς, gen. τῆς κώμυθος, accus. τὴν κώμυθα Theocrit. Id. "IV. 18." Conf. Bekkeri Anecd. p. 1208, 5.

ΚΩΝΗΣΑΙ] Vid. ad Hesych. in v. Mox πίθον E.

G [c] Ἐπιγράμμασι] Anthol. Pal. V. 13. Locum plenius v. Λύγδινα citari monet Hemsterhus. Deest exemplum V.

[d] Κὴν] Κὲν A.B.E. Mox κώνεια A.

[e] Ἀριστοφάνης Βατράχοις] Ver. 514.

[f] τὸ σχῆμα τοῦ κώνου] τῷ σχήματι τὸν κῶνον A.B.V.E. Infra καρδίας om. V.

[g] Καὶ θύρσου χλωρὸν] Anthol. Pal. VI. 165.

[h] κάμακα] κάμμα B.E.

H [i] παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ] Ver. 537. ubi vide Scholiastam. KUST. et Hemsterhus.

ΚΩΝΣΙΣΤΩΡΙΟΝ] Vide supra v. Κωνσιστώριον. KUST. Κωνσιστόριον V. qui in fine βουλεύεται.

[k] τίκτεται om. V.

[l] γνωρισθεὶς δὲ—τρόπους τῷ πατρὶ] γνωρισθεὶς δὲ τῷ πατρὶ——τρόπους A.

[m] Βρετανίᾳ] Βρεττανίᾳ V.

[n] υἱεῖς] υἱοὺς A.

[o] μοναρχίας] μονομαχίας A. Mox Κωνσταντῖνον V.

[p] γράφει] ἔγραφε A. ubi hic articulus sequenti postponitur.

[q] φληνάφους] Photius Bibl. Cod. 77. Eunapius τοὺς μὲν εὐσεβείᾳ τὴν βασιλείαν κοσμήσαντας παντὶ τρόπῳ καὶ ἀνέδην κακίζων διασύρει, καὶ μάλιστά γε τὸν μέγαν Κωνσταντῖνον.

[r] αὐτοὺς] αὐτὰ A. αὐτὸν B.V. αὐτίκα E.

ΚΩΝΣΤΑΝΤΙΝΟΣ] Κων· sic A.

[s] Ἐκ Λέοντος δὲ ἀνεφύη κτλ.] Totus hic locus αὐτολεξεὶ pene etiam legitur apud Cedrenum p. 459. quem confer. KUST. δὲ om. A.B.V.E.

[t] καὶ] τε καὶ A.

[u] πονηροῖς ἐπιτηδεύμασι] ἐπιτηδεύμασι πονηροῖς A. τοιούτοις ἐπιτηδεύμασι V.

[x] τοῦ πατρὸς] Seqq. sic leguntur in V. τοῦ πατρὸς αὐτοῦ τοῦ διαβόλου γέγονεν. Οὗτος καὶ θεσμὸν ἔθετο μὴ λέγεσθαι τοὺς θεράποντας τοῦ Χριστοῦ ἁγίους καὶ τὰ λείψανα αὐτῶν ὑβρίζεσθαι καὶ διαπτύεσθαι, μὴ δὲ τῆς Μαρίας πρεσβείαν ἐπικαλεῖσθαι, οὐ γὰρ δύναται βοηθεῖν· ἀπετέλει δὲ θυσίας τῇ Ἀφροδίτῃ σφάττων παῖδας εἰς τὸν λεγόμενον τόπον Μαύρας, ἤγουν τῆς ἁγίας μάρτυρος Μαύρας, ὃν φονευτήριον ἀπειργάσατο, καὶ μαρτυρεῖ τὸ πρὸς θυσίαν σφαγὲν τοῦ φλαμμέου παιδάριον, ὅπερ ἐκδηλον ὁ θεὸς ἐποίησεν.

[y] τῶν] τὸν A. Mox κυρίου om. B.E.

[z] Οὐδὲν γὰρ] ἔλεγεν addit Cedrenus.

[a] αὕτη Θεοτόκος] Θεοτόκος αὐτὴ A.

[b] οὐδὲ γὰρ] οὐ γὰρ A.B.

[c] ἄθλιος] ἄθεος A.B.

[d] ἑαυτῇ] αὐτῇ A.

ἀπέτεκεν, οὐδὲν τῶν λοιπῶν γυναικῶν διενήνοχε. Φεῦ τῆς τολμηρᾶς [e] βλασφημίας τοῦ Σαρακηνοπίστου καὶ Ἰουδαιόφρονος. Τὴν γὰρ Ἀφροδίτην ἐτίμα, καὶ ἀνθρωποθυσίας ἀνέφερε πέραν τῆς πόλεως, ἔνθα [f] ὁ τῆς ἁγίας Μαύρας ναός· ὅνπερ ἐδαφίσας, καὶ φονευτήριον ποιήσας, Μαύραν ὠνόμασε τὸν τόπον, ἐν ᾧ καὶ νύκτωρ ἐπετέλει θυσίας, καὶ παῖδας κατέσφαττε. Καὶ μαρτυρεῖ τὸ πρὸς θυσίαν σφαγιασθὲν [g] τοῦ Φλαβίου παιδάριον, ὅπερ ἐν [h] παραβύστῳ θύσαντος αὐτοῦ, τοῦτο ὁ Θεὸς [i] ἔκδηλον ἐποίησεν.

Κωνστάντιος, καὶ Κώνστας, καὶ Κωνσταντῖνος· υἱοὶ τοῦ μεγάλου Κωνσταντίνου.

Κωνσταντινούπολις: [k] Ὅτι ἡ Κωνσταντινούπολις τοσοῦτον τῶν ἄλλων [l] ἐστὶν ἁπασῶν μείζων, ὅσον τῆς Ῥώμης [m] ἐλαττοῦσθαι δοκεῖ· ἧς τὸ δευτέραν τετάχθαι, μακρῷ [n] βέλτιον ἔμοιγε φαίνεται, ἢ [o] τὸ τῶν ἄλλων ἁπασῶν πρώτην νομίζεσθαι.

[p] Ὅτι τριακόσιοι ἑξήκοντα ἀπὸ τῆς Αὐγούστου Καίσαρος μοναρχίας διεληλύθεισαν ἐνιαυτοὶ τῇ πρεσβυτέρᾳ Ῥώμῃ καὶ τῶν πραγμάτων αὐτῆς ἤδη [q] εἰς πέρας ἀφιγμένων, Κωνσταντῖνος ὁ [r] Κωνσταντίου παῖς, [s] ἐπιλαβόμενος τῶν σκήπτρων, τὴν νέαν ἀνίστησιν Ῥώμην. Ἀπὸ δὲ [t] τῆς κτίσεως τῆς νέας Ῥώμης, μέχρι τῶν κατεχόντων τὰ σκῆπτρα [u] Ῥωμαίων Βασιλείου καὶ Κωνσταντίνου τῶν Πορφυρογεννήτων, [x] ἔτη...

Κωνστάντιος καὶ Κώνστας καὶ Κωνσταντῖνος· οἱ υἱοὶ τοῦ μεγάλου Κων.

Κῶνοι: Στρόβιλοι. Καὶ τὸ [y] ἀποσκίασμα τῆς γῆς.

Κῷος πρὸς Χῖον: Ὁ μὲν γὰρ Χῖος ἐδύνατο [z] ἕν· ὁ δὲ Κῷος, ἕξ.

Κῶπα, καὶ κώπκα: Ὁ περιτραχήλιος κόσμος.

Κωπαῒς: Ἡ ἔγχελυς.

Κωπαῒς, λίμνη ἐν Βοιωτίᾳ, ἐν ᾗ μεγάλαι ἐγχέλεις γίνονται. Ἔστι δὲ καὶ πόλις ὁμώνυμος.

Κωπὰς: Πόλις.

Κώπη: Ἡ [a] λαβὴ τοῦ ξίφους, ἡ κόπτειν δυναμένη. Καὶ κωπῆεν, καὶ κωπήεις, καὶ κωπήεντος· ἀπὸ [b] τῆς κώπης.

Κωπηλασία: Καὶ κωπηλατῶ.

Κωπῆρες πλοῖον: [c] Ὡς ἡμεῖς· καὶ [d] Θουκυδίδης ἐν δ'. καὶ ἡ δοτικὴ, τῷ κωπῆρει.

Κωπώνιος: Ὄνομα κύριον.

Κωρυκαῖος: Θεόν τινα παρεισάγουσιν οἱ κωμικοὶ [e] ἐπακροώμενον, ἀπὸ παροιμίας τινός. Κώρυκος γὰρ τῆς Παμφυλίας ἀκρωτήριον, παρ' ᾧ πόλις [f] Ἀττάλεια· ἐνταῦθα οἱ ἀπὸ τῆς πόλεως, ἵνα μηδὲν αὐτοὶ κακῶς πάσχωσιν ἀπὸ τῶν ἐφορμούντων [g] ἐπὶ τὴν ἄκραν λῃστῶν, ὑπαλλαττόμενοι πρὸς τοὺς ἐν ἄλλοις λιμέσιν [h] ὁρμοῦντας κατηκροῶντο, καὶ τοῖς λῃσταῖς ἀπήγγελλον, καὶ τίνες εἰσὶ, καὶ ποῖ πλέουσιν. [i] Ὅθεν καὶ ἡ παροιμία·

[e] βλασφημίας] δυσφημίας A.B.

[f] ὁ τῆς] ὁ om. A.E. Mox ἐκδαφίσας A.

[g] τοῦ Φλαβίου] σου φλαμίου A.B.E.

[h] παραβύστῳ] ἐν παραβύστῳ A.B.E.M.

[i] ἐποίησεν ἔκδηλον] ἔκδηλον ἐποίησεν A.

[k] Αὕτη τοσοῦτον τῶν ἄλλων ἐστὶν ἁπασ.—πρώτην νομίζεσθαι] Hæc sunt verba Juliani imperatoris Orat. I. p. 14. ut Pearsonius etiam observaverat. KUST. P. 8 B. ed. Spanheim. Ὅτι ἡ Κωνσταντινούπολις A.

[l] ἐστὶν ἁπασῶν] ἐστιν om. A. ἁπασῶν πόλεων B.V.

[m] ἐλαττοῦσθαι δοκεῖ] ἐλαττοῦται V. ubi ἧς· τὸ—νομίζεσθαι om.

[n] καὶ βέλτιον] καὶ om. A.

[o] τῶν] τὸ τῶν A.B.E.

[p] Τξ' χρόνοι] Editt. Mediolanensis et Aldina habent τζ' χρόνοι. Sed ei lectioni temporum ratio repugnat. Plures enim annos ab initio imperii Augusti usque ad Constantinum quam CCCVII. effluxisse constat. Quare altera lectio, quam editt. Basileensis et Genevensis exhibent, ut rationibus chronologicis magis consentanea, præferenda est. KUST. Ὅτι τριακόσιοι ἑξήκοντα A. absque χρόνοι, sed addito ἐνιαυτοὶ post διεληλύθεισαν. μοναρχίας om. V.

[q] εἰς τέλος] ἤδη πρὸς πέρας A.

[r] Κωνσταντίνου] Κωνσταντίου A.B.M.

[s] τῶν σκήπτρων ἐπιλαβόμενος τὴν Ῥώμην τὴν νέαν ἀνίστησιν] ἐπιλαβόμενος τῶν σκήπτρων τὴν νέαν ἀνίστησιν Ῥώμην A.

[t] τῆς κτίσεως] τῆς om. A.V.

[u] τῆς βασιλείας Ῥωμαίων] τῆς βασιλείας om. A.B.V. Pro βασιλείας Ῥωμαίων E. præbet κατεχόντων.

[x] ἔτη] In omnibus editt. numerus annorum excidit: qui defectus tamen ex temporum historia facile suppleri potest. Si enim epochæ hujus initium ducatur ab eo tempore, quo Constantinopolis a Constantino M. condi cœpta est, ejusque finis statuatur in eo anno, quo Basilius et Constantinus Porphyrogennetæ imperare cœperunt, (quod factum anno Christi 975) scribendum erit ἔτη χνα', i. e. anni 651. Quamvis enim de anno, quo Constantinopolis a Constantino ædificari cœperit, variæ sint auctorum sententiæ, sequor tamen opinionem illorum, qui æræ istius initium ad annum Christi CCCXXIV, vel CCCXXV. referunt: de quo argumento legenda omnino sunt, quæ docte disputat Spanhemius in notis ad Julianum p. 69. et seqq. KUST. Post ἔτη lacuna in A.V.

ΚΩΝΣΤΑΝΤΙΟΣ] Hæc ex A.

ΚΩΝΟΙ: Στρόβιλοι] Κῶνες: στρόβιλος V.

[y] ἀποσκίασμα τῆς γῆς] Conf. Plutarch. de fac. in orb. Lunæ p. 932 E. 933 B.

[z] ἓν—ἕξ] Sic Bas. et edd. rec. ἕδει—ἕξω A.B.V.E. M. Ald. Correxit Schottus ad Zenob. IV. 74. Vid. not. ad Hesych.

ΚΩΠΑ] Vox citerioris Græcitatis. In glossarium eam intulit Du Cangius, nulla tamen auctoritate munitam. Mox Κωπαία A.

ΚΩΠΑΙΣ: Ἡ ἔγχ.] Hunc locum consarcinavit Suidas ex Scholiasta Aristophanis ad Acharn. 880. et Pac. 1005. Confer etiam Athen. lib. VII. p. 297. qui de anguillis Copaidibus plura habet. KUST. Hic et sequens articulus conjuncti leguntur in edd. Ego separavi cum A. Photii ms. Κωπαΐδες: Ἐγχέλεις, nec plura. Κωπαΐδες simpliciter pro anguillis usurpabant nonnunquam veteres: v. c. Strattis Athen. VII. p. 327 E. Lucian. Lexiph. c. 6.

Καὶ ΚΩΠΑΙΣ] καὶ om. A.

ΚΩΠΑΣ] Il. β'. 502.

[a] λαβὴ] λαβὶς V. ubi om. ἡ κόπτειν δυναμένη.

[b] κώπης] τῆς κώπης A.

[c] Ὡς ἡμεῖς καὶ delevit Kusterus. Habet ea Photius cum Suidæ mss.

[d] Θουκυδίδης] IV. 118.

ΚΩΡΥΚΑΙΟΣ] Confer Stephanum Byzantium v. Κώρυκος, et Zenobium Centur. IV. 75. KUST.

[e] ἐπακροώμενον] ἐπακροάμενον B.E.

[f] Ἀττάλεια] Ἀτταλία Photius. Vid. Wesseling. ad Hierocl. Synecd. p. 679.

[g] ἐπὶ τὴν] ἐπὶ om. Phot.

[h] ὁρμοῦντας] ὁρμῶντας A.B.V.E. Vulg. habet Photius. Id tacite dedit Kusterus ex emend. Porti. Mox ἀπήγγελον A. et sic sub finem articuli.

[i] Ὅθεν] Ὅθεν καὶ A. Phot.

[k] Τοῦ δ' ἄρ' [l] ὁ Κωρυκαῖος ἠκροάζετο.

[m] Οἱ δὲ κωμικοὶ Κωρυκαῖον τὸν θεὸν εἰσάγουσιν. Μένανδρος Ἐγχειριδίῳ. [n] Διώξιππος Θησαυρῷ·

Μὴ [o] κατακαύσειν δέμας
ὁ Κωρυκαῖος. Ἀλλὰ μὴν κατακήσω
[p] κατακολουθῶν ἔνδοθέν σου.

Ὁ δὲ Ἔφορος ἐν γ'·

Τὰ ἄκρα, (φησὶν,) ᾤκουν οἱ καλούμενοι Κωρυκαῖοι, ἀνατεινούσης εἰς πέλαγος, σύμμικτοί τινες, κατασκευασάμενοι πολισμάτιον, γείτονες Μυοννήσῳ. [q] Τοῖς οὖν ὁρμοῦσιν ἐμπόροις προσῄεσαν, ὡς [r] ὠνούμενοι, ἢ σύμπλοοι· εἶτα μαθόντες, τί τε κομίζουσι, καὶ ποῖ [s] πλέουσιν, τοῖς Μυοννησίοις ἀπήγγελλον. Κἀκεῖνοι ἐπετίθεντο αὐτοῖς· ἐλάμβανον δὲ καὶ αὐτοὶ μέρη τινὰ τῶν λύτρων.

**Κωρύκιον**: Κώρυκος, θυλάκιον, [t] τὸ παρ' ἡμῖν βουλγίδιον· ἢ πλέγμα δεκτικὸν ἄρτων.

**Κῶς**: Ἡ νῆσος [u] ὅθεν ἦν Ἱπποκράτης ὁ ἰατρός· ἥτις καὶ Μεροπὶς λέγεται.

**Κωτίλη**: Ἡ λόγοις ἀπατῶσα. Καὶ **Κωτίλος**: [x] πανοῦργος, ἢ κόλαξ, ἢ ἀπατεών.

[y] Ἐσβέσθη δὲ τὰ φίλτρα τὰ κωτίλα, [z] χὠ μετ' ἀοιδῆς ψαλμός.

Καὶ Δαβὶδ [a] κωτίλοις κέχρηται λόγοις, φενακίσαι πειρώμενος. Φησὶ γάρ·

Τῷ στόματι αὐτῶν εὐλόγουν, καὶ [b] τῇ καρδίᾳ αὐτῶν κατηρῶντο.

**Κωτίλλω**: Πανουργεύομαι, λαλῶ. [c] Βάβριος·

[d] Τοιαῦτα κωτίλλουσα τὴν ἀχαιίνην
[e] ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.

**Κωφὰ καὶ παλαιὰ ἔπη**: Ψυχρὰ, καὶ οὐδὲν σαφὲς ἔχοντα, τὰ ψιθυριζόμενα.

**Κωφὴν**, Κωφῆνος. [f] Ὄνομα ποταμοῦ.

**Κωφῆς**: [g] Δαβίδ·

Ὡσεὶ ἀσπίδος κωφῆς.

Οὐ τῆς κατὰ φύσιν κωφευούσης, ἀλλὰ βυούσης τὰ ὦτα, καὶ [h] ἀποθουμένης τὴν ἐπῳδήν.

**Κωφόν**: Ἄηχον, ἀσθενὲς, ἀμβλύ.

[i] Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκιδος.

Κατὰ μεταφορὰν ἀπὸ τοῦ κατὰ τὴν ἀκοὴν ἐπὶ τὴν ἁφήν.

**Κωφότερος κίχλης**: Παρ' Εὐβούλῳ ἐν Διονυσίῳ [k] λέγεται ἀφωνότερος κίχλης.

**Κωφότερος τοῦ [l] Τορωναίου λιμένος**: Περὶ Τορώνην τῆς Θρᾴκης καλεῖταί τις [m] κωφὸς λιμήν. Εἴρηται δὲ ἡ παροιμία, παρόσον [n] ὁ ἐν Τορώνῃ τῆς Θρᾴκης λιμὴν στενὰς ἔχει καὶ μακρὰς [o] τὰς ἀπὸ τοῦ πελάγους [p] κατάρσεις, ὡς μὴ ἀκούεσθαι τοῖς ἐν αὐτῷ τὸν τῆς θαλάττης ἦχον.

[**Κώχ**: Ὄνομα κύριον. Μένανδρος·

[q] Ὁ δὲ ἐπετοξάζετο κατὰ τοῦ βαρβάρου, καὶ μάλα εὐστοχώτατα τὸ κέρας ἐκτείνας, ἀφίησι τὸν ἄτρακτον κατὰ τοῦ Κώχ.]

**Κωχεύει**: Συνουσιάζει.

---

k Τοῦ δ' ἄρα ὁ Κωρ.] Vide infra v. Τοῦ δ' ἄρα ὁ Κωρ. KUST.

l ὁ Κωρυκαῖος] ὁ om. Phot.

m Οἱ δὲ] Κωμικοὶ addunt A.B.V. Phot. omissis οἱ κωμικοὶ post εἰσάγουσιν.

n Δέξιππος] Διώξιππος vel Διάξιππος A.E. Mox μὴ om. V.

o κατακαύσειν] Sic habent mss. Paris. At in prioribus editt. legitur κατακρύψειν; quod mendosum esse non dubito. Deinde pro δέμας, quod proxime sequitur, lego δέ μου. Metrum autem hujus loci prorsus turbatum est, quod in integrum restitui nequit, cum fabula Dexippi, ex qua fragmentum hoc depromptum est, hodie non exstet. KUST. Dexippum Comicum Græcia non novit. Scribendum, Διώξιππος. Quomodo recte exhibet Photius in Lexico inedito. Dioxippum Comicum laudant Suidas et Athenæus. Locus autem ita nullo negotio numeris suis est restituendus:—A. Μὴ κατακαύσειν δέ μου Ὁ Κωρυκαῖος. B. Ἀλλὰ μὴν κατακήσω Σοῦ, κατακολουθῶν ἔνδοθεν. TOUP.

p κατακολουθῶν ἔνδοθέν σου] Photii editor, Σοῦ κατακολουθῶν ἔνδοθεν.

q Τοῖς οὖν] οὖν om. B.E. Mox ὁρμοῦσιν A.V.M. Photius. ὁρμησιν B. ὁρμῶσιν E.

r ὠνούμενοι ἢ] Sic Bas. ὠνούμενοι A.B.V.E.M. Ald. Photius.

s πλέοιεν] πλέουσι A.B.V.E. Photius. Tum ἀπήγγελον A.

ΚΩΡΥΚΙΟΝ] Vid. in Μεδιλλανον. HEMST. Lacuna brevis post h. v. in A.

t τὸ παρ' ἡμῖν om. V. qui statim βουλγίδιον. Mox ἄρτων A. pro ἄρτου.

u Ὅθεν] ὅθεν ἦν A.

x ὁ πανοῦργος] ὁ om. A. Photius.

y Ἐσβέσθη δὲ τὰ φίλτρ.] Anthol. Pal. VII. 221.

z χὠ μετ' ἀοιδῆς] χὠ μετὰ τοῦ ᾠδᾶς ψαλμὸς (ᾠδος) καὶ Δαδ A. ἀοιδαῖς (ἀοιδᾶς V.) ψαλμωδὸς B.V.E. Mox κωτίλλων A. κωτίλων V.

a κωτίλοις] Ex Theodoret. ad Ps. LXI. 5. qui psalmographum sic interpretatur: Κωτίλοις μὲν κέχρηνται λόγοις, φενακίσαι βουλόμενοι· ἀλλ' ὄλεθρον ἔνδον ἔχουσι κεκρυμμένον.

b τῇ δὲ καρδίᾳ] καὶ τῇ καρδίᾳ αὐτῶν A.

c Βάβριος] Fr. p. 42. ap. Tyrwhitt.

d Τοιαῦτα κωτίλλουσα τὴν ἀχ.] Idem fragmentum Babrii legitur etiam supra v. Ἀχαΐνη. KUST.

e ἔπεισεν] ἔπεισαν B.E.

ΚΩΦΑ] Sophocl. Œd. Tyr. 290. et Schol. Mox addidi τὰ cum A.

ΚΩΦΗΝ] Ejus meminit Philostratus de Vit. Apoll. lib. II. c. 3. KUST.

f ποταμὸς] ὄνομα ποταμοῦ A. Deest hæc gl. V. ut et seq.

g Δαβὶδ] Psalm. LVII. 5. KUST.

h ἀθουμένης] ἀποθουμένης A. Theodoretus: προσφυῶς αὐτὸν ἀσπίδι παρέβαλλεν, οὐ κωφευούσῃ κατὰ φύσιν, ἀλλὰ καὶ βυούσῃ τὰ ὦτα, καὶ τῆς ἐπῳδῆς ἀποθουμένῃ τὴν προσβολήν.

i Κωφὸν γὰρ βέλος ἀνδρὸς ἀνάλκ.] Homerus Il. λ'. 390. KUST. Ex Schol. Ven.

k λέγεται καὶ] καὶ om. A.B.E. edd. ante Kuster. Photius.

l ΤΟΡΩΝΑΙΟΥ] Τορωναίου A. Τορων' V. Τορωνέου B. Τορωνίας Photius.

m λιμὴν κωφὸς] κωφὸς λιμὴν A.V. Photius.

n ὁ ἐν] ὁ om. A.

o τὰς] τοὺς A. Mox τῆς E. pro τοῖς. Mox delevi cum A.V. ΠΑΡΑ ΚΩΦΩΙ ΠΕΡΔΕΙΣ. ἐπὶ τῶν ἀδυνάτων.

p κατάρσεις] Zenobius habet καταρρεύσεις: minus recte. KUST. Zenobius IV. 68. Κωφότερον τοῦ Τορωναίου λιμένος] Λιμήν ἐστιν ἐπὶ Τορώνῃ τῆς Θρᾴκης, στενὰς δὲ ἔχει δύο μακρὰς τὰς ἀπὸ τοῦ πελάγους καταρρεύσεις, ὡς μὴ ἀκούεσθαι τοὺς ἐν αὐτῷ τὸν τῆς θαλάττης ἦχον. Quæ sic leguntur in ms. Paris. οὗτος περὶ Τορώνην ἐστὶ τῆς Θρᾴκης, στενὰς ἔχων καὶ μακρὰς τὰς ἀπὸ τοῦ πελάγους κατάρσεις, πρὸς τὸ μὴ ἀκούεσθαι ἐν αὐτοῖς τὸν τῆς θαλάττης ἦχον. Hemsterhusius ad Luciani Timon. c. 51. ita Zenobium refingit: Κωφότερος τοῦ Τορωναίου (vel Τορωναίων) λιμένος] Λιμήν ἐστι ἐπὶ Τ. τ. Θ. ταινίας δὲ ἔχει δ. μ. τ. α. τ. π. καταιρούσας (vel καθηκούσας vel potius κατατεινούσας) ὡς μὴ ἀ. τοῖς ἐν κ. τ. λ.

ΚΩΧ: Hoc nomen habet A. in marg. sine exemplo. Male huc intrusum videtur ex v. Ἄτρακτον.

q Ὁ δὲ ἐπετοξάζετο κατὰ τοῦ Βαρβ.] Idem fragmentum legitur etiam supra v. Ἄτρακτον. KUST.

ΚΩΧΕΥΕΙ] Vocem hanc suspectam habeo, eamque ex ὀχεύειν (quod idem ac συνουσιάζειν significare notum est)

[Κράββατος:]

Κραδαίνων: Σείων, δονῶν, σαλεύων.

Κράδη: Συκῆ· ἔστι δὲ καὶ μηχανή.

> [r]Ἤσθιον δὲ τὰς κράδας οἱ [s]Λακεδαιμόνιοι.

Τουτέστι, κατέκοπτον.

> [t]Οἱ [u]μὲν γὰρ τέττιγες ἕνα μῆνα ἢ δύο
> [ἐπὶ τῶν κραδῶν] ᾄδουσιν· Ἀθηναῖοι δ' ἀεὶ
> ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον.

Ἀπὸ [x]ἑνὸς οὖν δένδρου τὰ ἄλλα πάντα ἐμφαίνει.

Κράζω: Δοτική.

Κρᾶθις: Ὄνομα ποταμοῦ.

Κράμβη: Κοράμβλη τις οὖσα· ἡ ἀμβλύνουσα τὸ διορατικόν. Βέλτιον [y]δὲ ἡ τῷ κάρῳ ἀντιβαίνουσα. Ὅθεν καὶ πρώτη ἐν [z]συμποσίῳ δίδοται, καὶ παρ' ἄμπελον οὐ φυτεύεται. [a]Καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμάτων ἑφθὰς κράμβας ἤσθιον, διὰ τὸ μὴ μεθύσκεσθαι οἴνῳ. [b]Φησὶ δὲ καὶ [c]Ἀλκείδας·

> [d]Ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας.

Οἷον, ἡδυτάτου, ξηροτάτου.

[[e]Ὅτι ἡ ἄμπελος κράμβῃ μόνῃ οὐ περιπλέκεται.]

Κραμβοτάτου: Ἡδυτάτου, ξηροτάτου. Ἔπαιξε δὲ Ἀριστοφάνης ἀπὸ τῆς τοῦ λαχάνου ἐπινοίας. Αὐτοσχέδιος γὰρ ἦν περὶ τὰ δράματα [f]Κράτης. [g]Ἢ τὸ καπυρὸν, ἢ τὸ χρηστότατον.

Κραναῶν: Τῶν [h]Ἀθηνῶν διὰ τὸ τραχὺ καὶ λεπτόγειον· ἢ ἀπὸ Κραναοῦ βασιλέως. Καὶ κραναῶν πετρῶν: Τῶν τραχέων. Ἀριστοφάνης·

> Ἔπειτα μείζω τῶν κραναῶν ζητεῖς πόλιν;

Κρανέα: Εἶδος φυτοῦ.

Κρανεία: Ἐκ κρανείας δόρυ. Ἐν Ἐπιγράμμασι·

> [i]Ἕσταθι τῇδε κρανεία βροτοκτόνε, μηδ' ἔτι λυγρὸν
> χάλκεον ἀμφ' ὄνυχα στάζε [l]φόνου [m]δαΐων.

Κρανείας καρπός:

Κράνειον: Φυτὸν, [n]καὶ τὸ [o]γυμνάσιον. Καὶ κράνειος καρπός. Κρανίον δὲ, τόπος· καὶ ἡ κεφαλή.

Κράνος: [[p]Οὐδετέρως,] περικεφαλαία. Ἡ δοτικὴ τῷ κράνει· καὶ τὸ πληθυντικὸν [τὰ] κράνη.

Κράντορες: Ἡγεμόνες.

> [q]Βουχίλου κράντορες Ἀρκαδίης.

Κραπατάλλοις: Φερεκράτης λέγει.

Κρασί: Κεφαλαῖς.

Κρᾶσις: Μίξις οἴνου καὶ [r]θερμοῦ· καὶ ἡ [s]ἐνέργεια δὲ τοῦ κιρνῶντος. Αἰλιανός·

> Καὶ πιεῖν ἐδίδου, κράσει δικαίᾳ μὴ κιρνῶν· ὤρεγε δὲ [t]μὴ αἰτοῦντι, καὶ φιλοφρονούμενος [u]ἀκαίρως, καὶ περιττὰ δεῖπνα παρατίθησι.

Κράσπεδα ὄρους: Οἱ πρόποδες· τὰ ὁμαλὰ, καὶ ἐπίπεδα.

Κράσπεδον: [x]Τὸ ἱμάτιον τοῦ ἱερέως. Παρὰ τὸ εἰς τὸ [y]πέδον ἐγγίζειν.

Κράστις: Ἡ πόα.

Κραταιός: Ἰσχυρός.

Κραταίπεδον:

Κρατερός: Ὄνομα κύριον. Ὁ Μακεδών· ὃς ἦν μέγιστός τε ὀφθῆναι, καὶ οὐ πρόσω ὄγκου βασιλικοῦ, τῆς τε [z]σκευῆς τῇ λαμπρότητι διαφέρων, καὶ παντὶ τῷ κόσμῳ κατὰ τὸν Ἀλέξανδρον ἔσταλτο, πλὴν τοῦ

---

detortam et corruptam esse existimo. Cum enim apud poetam aliquem forte scriptum esset κιχεύουσιν, pro καὶ ὀχεύουσιν, Grammatici ex duabus illis vocibus unam effeciese videntur: quomodo Hesychium et Suidam non raro peccasse, haud sane ignorant, qui lexica illorum triverunt. KUST. κιχεύει A.B.V.E.

ΚΡΑΒΒΑΤΟΣ om. A.

ΚΡΑΔΗ] Vid. in Ταυτὸν ἐπαίησε. HEMST.

[r] Ἤσθιον δὲ] Aristoph. Pac. 626. Οὐδὲν αἴτιον ἀνδρῶν γε τὰς κράδας κατήσθιεν. Plura inde pete, ut loci hujus sensum assequaris. KUST. Schol. descripsit Suidas.

[s] Λακεδαιμόνιοι] οἱ Λακ. A.

[t] Οἱ μὲν οὖν τέττιγες] Locus hic apud Aristoph. Av. 39. sic legitur et distinguitur: Οἱ μὲν γὰρ οὖν τέττιγες ἕνα μῆν', ἢ δύο, Ἐπὶ τῶν κραδῶν ᾄδουσιν· Ἀθηναῖοι δ' ἀεὶ Ἐπὶ τῶν δικῶν ᾄδουσι πάντα τὸν βίον. Sic etiam apud Suidam scribendum est. KUST.

[u] μὲν οὖν] μὲν γὰρ A.V. οὖν om. B. Tum ἐπὶ τῶν κραδῶν om. A. Ea inserui ante ᾄδουσιν, admotis uncinis.

[x] ἑνὸς οὖν] οὖν om. A.V.

ΚΡΑΜΒΗ: Κοράμβλη τις οὖσα. ἡ ἀμβλ.] Ex Schol. Aristoph. Equit. 536.

[y] δὲ] δὰρ V.

[z] συμποσίοις] συμποσίῳ A. Schol.

[a] Καὶ οἱ Αἰγύπτιοι πρὸ τῶν ἄλλων ἐδεσμ.] Idem testatur Athen. l. 1. circa finem. KUST.

[b] Φησὶ δὲ] Seqq. om. V.

[c] Ἀλκείδας] Ἀλκει^δ A. Ἀλκι^{δι}. E.

[d] Ἀπὸ κραμβοτάτου] Aristoph. Equit. 536.

[e] Ὅτι ἡ] Hæc A. et V. in marg.

ΚΡΑΜΒΟΤΑΤΗ: Ἡδυτάτη, ξηροτάτη] Κραμβοτάτου: ἡδυτάτου, ξηροτάτου A. Sunt ex Schol. Aristoph. l. c. ἔπαιξε et rell. om. V.

[f] Κράτης] Κρα^τ A.

[g] Ἢ τὸ] ἢ διὰ τὸ Schol. Mox τὸ addidi cum A. ἀπὸ τοῦ χρηστοτάτου Schol.

ΚΡΑΝΑΩΝ: Τῶν Ἀθην.] Ex Schol. Aristoph. Av. 123.

[h] Ἀθηνῶν] Ἀθηναίων A.B.V.E.M. Mox V. habet in marg. καὶ τὰς κραναὰς ἀκαλήφας.

[i] Ἕσταθι τῇδε] Anthol. Pal. VI. 123.

[l] φόνου] φόνον B.E.

[m] δαΐων] Sic recte Anthol. At priores editt. [et A.B.V.E.] male habent δαΐδων. KUST. δηΐων Anthol.

[n] καὶ τὸ] ἢ τὸ V.

[o] γυμνάσιον] Vid. Ruhnken. ad Tim. p. 167.

[p] Οὐδετέρως om. A. ἡ δοτικὴ et seqq. om. V. τὰ ante κράνη om. A.

[q] Βουχίλου κράντορες] Anthol. Pal. VI. 108. βρουχίλου E.

ΚΡΑΠΑΤΑΛΛΟΙΣ] Hæc A. in marg. ubi φησι pro λέγει. Ceterum Κραπατάλλοις omnes. Vera lectio est Κραπατάλοις. Vide Porsoni Adversar. p. 295. Delevit h. gl. Kusterus.

[r] ὕδατος] θερ^{μοῦ} A. θερμοῦ B.V. Seqq. om. V.

[s] ἐνέργεια] δὲ addunt A.B.E.

[t] μὴ αἰτοῦντι] Sic habet ms. Paris. A. At priores editt. [et B.E.] μοι αἰτοῦντι: quod minus placet. KUST.

[u] ἀκαίρως] Et hanc lectionem ex optimo ms. Paris. A. revocavi; cujus loco priores editt. [et B.E.] exhibent ἄκρως: sed quod sensui hujus fragmenti haud æque quadrat. KUST. καὶ ante φιλοφρονούμενος omnes ante Kuster.

ΚΡΑΣΠΕΔΑ] Xenoph. Hist. Gr. p. 531. [IV. 6, 8.] κράσπεδα τῶν ὀρῶν. Epigr. apud Merrick. ad Tryphiod. TOUP. Vid. Διαμησάμενος. HEMST.

[x] Τὸ ἱμάτιον] Vid. Suicer. Thes. Eccles.

[y] πέδον] τὸ πέδον A.B.E.

ΚΡΑΣΤΙΣ] Κράστης A. Vid. ad Hesych. in Κράστιν.

ΚΡΑΤΑΙΠΕΔΟΝ] Od. ψ'. 46.

ΚΡΑΤΕΡΟΣ] Nescio an hic articulus desumptus sit ex deperdito Arriani opere περὶ τῶν μετὰ Ἀλέξανδρον. Vid. Photii Bibl. cod. XCII. p. 221.

[z] σκευῆς] Vid. v. Σκευή. TOUP.

διαδήματος· καὶ τοῖς [a]συγγινομένοις οἷος σὺν ἐπιει- A κείᾳ καὶ τοῦ σεμνοῦ προσόντος φιλοφρονέστατος δόξαι, καὶ [b]πιθανώτατος τῷ ἐπαγωγῷ τῶν λόγων· ὡς συμβάλλουσι τῇ τε σμικρότητι τοῦ Ἀντιπάτρου σώματος, καὶ τῇ φαυλότητι· ἐπὶ τούτοις τῷ ἀπροσμίκτῳ καὶ ἀνημέρῳ [c]ἐς τοὺς ὑπηκόους, θεραπεύειν τὸν Κρατερὸν κατὰ βασιλέα, καὶ ἐν ἐπαίνοις [d]ἄγοντας κατὰ τὸ εἰκὸς, οἷα δὴ στρατηγῶν τὸν εὐτολμότατον, καὶ τῶν πολεμικῶν ἔργων συνετώτατον, δεύτερον τῇ προτιμήσει μετὰ Ἀλέ- B ξανδρον ἀναμφιλόγως ἄγειν. Κίνησίς τε [e]οὖν δὴ ἦν ἐπὶ τούτῳ τῆς στρατιᾶς συμπάσης, Κρατερὸν μὲν οἷα βασιλέα ἐς τὸ ἐπιφανὲς θεραπευούσης, καὶ ἑκάστων ἀπαξιούντων ἐν ἴσῃ μοίρᾳ ἄμφω τετάχθαι· Ἀντιπάτρῳ δὲ κατ᾽ οὐδὲν ἐθελόντων πείθεσθαι. Εὐμένης δὲ κατὰ τὸν πόλεμον εὑρὼν τὸ [f]Κρατεροῦ σῶμα κείμενον ἔτι ἔμπνουν, καταπηδῆσαί [g]τε ἀπὸ τοῦ ἵππου λέγεται [h]αὐτὸν καὶ κατολοφύρασθαι, ἐπιμαρτυρόμενον ἀνδρείαν C τε τὴν Κρατεροῦ καὶ σύνεσιν, καὶ τὸ ἄγαν ἵλεων τοῦ τρόπου, καὶ ἐς φιλίαν τὴν πρὸς αὐτὸν ἀνεπίπλαστον, ὅσον τε πλούτου ἀνέραστον, καὶ ὀρθῇ δικαιοσύνῃ σύντροφον. Κράτιστος δὲ ἄρα οὗτος, ὅτου τὰ [i]τῆς ἀρετῆς ἔργα καὶ παρὰ τοῖς ἐναντίοις τῷ ἐπαίνῳ συμφωνούσης ἔχει. Ἐντίμως [k]δὲ καὶ μεγαλοπρεπῶς τὸ σῶμα αὐτοῦ [l]ἐκήδευσεν. Ἔχει μὲν οὖν καὶ ταῦτα D Κρατερῷ ἀγαθὴν δόξαν. Πεπίστευται δὲ σωφρονέστατος [m]γενέσθαι, καὶ πρᾳότατος, καὶ φιλίας κοινωνῆσαι βεβαιότατος, οἷα δὴ τὸ φιλέταιρον φύσει κτησάμενος καὶ ἐπιτηδεύσας.

Κράτεια: Ὄνομα πόλεως.

Κρατεῖν: Νικᾶν.

[n]Τὸν [illegible] λαγωὸν κρατεῖν τῷ δρόμῳ τῶν διωκόντων.

Κρατήρ: Τρεῖς κρατῆρας [o]ἵστασαν ἐν τῷ δείπνῳ· E α´ Ἑρμῇ, β´ [p]Χαρισίῳ, γ´ Διὶ Σωτῆρι. Καὶ παροιμία· [q]Κρατὴρ δικῶν. Ἀντὶ τοῦ, δοχεῖον κακῶν.

Κράτης, Ἀθηναῖος, κωμικός· οὗ ἦν ἀδελφὸς Ἐπίλυκος, ποιητὴς ἐπῶν. [r]Δράματα δὲ αὐτοῦ [s]εἰσὶν ζ´. Γείτονες, Ἥρωες, Θηρία, Λάμια, Πεδῆται, Σάμιοι. Ἔγραψε δὲ καὶ καταλογάδην τινά.

Κράτης, Ἀθηναῖος, κωμικὸς [t]καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. Φέρεται αὐτοῦ δράματα τρία, Θησαυρὸς, Ὄρνιθες, Φιλάργυρος.

Κράτης, [u]Ἀσκώνδου, Θηβαῖος, φιλόσοφος Κυνικὸς, μαθητὴς Διογένους, καὶ Βρύσωνος τοῦ Ἀχαιοῦ· ὃς ἐξαργυρίσας τὴν οὐσίαν, δέδωκε τὰ ἀργύρια τραπεζίτῃ, εἰπὼν, εἰ οἱ [x]παῖδες αὐτῷ φιλοσοφήσουσι, τῷ δήμῳ δοῦναι· εἰ δὲ μὴ, τοῖς παισὶν [y]αὐτοῦ. Γήμας δὲ Ἱππαρχίαν τὴν [z]Μαρωνεῖτιν, κυνογαμίαν τὸν γάμον ἐκάλεσε. Παῖδα δὲ ἔσχεν ἐξ αὐτῆς [a]Πασικλέα. [b]Ἦν [illegible] ἐπὶ τῆς ργ´ Ὀλυμπιάδος. Ἐπεκλήθη δὲ Θυρεπανοίκτης, [c]διὰ τὸ ἀδεῶς ἐπεισιέναι εἰς παντὸς, οὗπερ ἠβούλετο, οἶκον. Οὗτος καταλιπὼν τὴν οὐσίαν μηλόβοτον, ἀρθεὶς ἐπὶ τοῦ βωμοῦ, εἶπεν·

> Ἐλευθεροῖ Κράτητα Θηβαῖον Κράτης.

[d]Ἔγραψε φιλόσοφα.

Ὅτι Κράτης εἶπεν·

> [e]Ἔρωτα παύει λιμός· εἰ [illegible] μὴ, χρόνος·
> [f]εἰ δὲ μὴ τοῦτο δύναται, βρόχος.

Οὗτος [g]κατεπόντωσε τὴν οὐσίαν, [h]ὡς λέγει Φιλόστρατος ὁ Λήμνιος ἐν τῷ βίῳ Ἀπολλωνίου τοῦ Τυανέως. [i]Καὶ ἔστιν ἐν τῷ Ἀναξαγόρας.

Κράτης, Τιμοκράτους, Μαλλώτης, φιλόσοφος Στωϊκός· ὃς ἐπεκλήθη Ὁμηρικὸς, καὶ Κριτικὸς, διὰ τὴν καὶ [k]περὶ τοὺς γραμματικοὺς καὶ ποιητικοὺς λόγους αὐτοῦ ἐπίστασιν· σύγχρονος Ἀριστάρχου τοῦ

[a] συγγινομένοις] συγγινομένους A.V.
[b] πιθανώτατος] πιθανώτ. V.
[c] ἐς] εἰς A.
[d] ἄγοντας] ἄγοντα E.
[e] οὖν δὲ] δὴ οὖν A. οὖν δὴ B.V.E. edd. ante Kust. Mox τοῦτο V. et paullo post βασιλέως.
[f] Κρατεροῦ] Καρτεροῦ A. et sic infra.
[g] τε ἀπὸ] τὲ om. V.
[h] καὶ αὐτὸ κατολοφύρασθαι καὶ ἐπιμαρτύρομαι εἰπεῖν] αὐτὸν καὶ κατολοφύρασθαι ἐπιμαρτυρόμενον A. αὐτὸν καὶ κατολοφύρασθαι B. καὶ κατολοφύρασθαι ἐπιμαρτύρομαι ἀνδρείαν E. ἀπὸ τοῦ ἵππου καὶ κατολοφύρασθαι V. omissis καὶ ἐπιμαρτ.—ἔχει.
[i] τῆς ἀρετῆς] τῆς om. A. qui mox ξυμφωνούσης. Deinde Portus conjicit τὸν ἔπαινον συμφωνοῦσιν. Neque sic verba expedita sunt.
[k] τε καὶ] [illegible] καὶ A.B.
[l] ἐκήδευσεν] κηδεῦσαι V. qui om. ἔχει—πεπίστευται δέ.
[m] γενέσθαι] [illegible] V. qui mox φίλος ἦν βέβαιος.
[n] Τὸν] τὸν δὲ A.V.E.M.
[o] ἵστασαν] ἱστᾶσιν A. suprasc.
[p] Χαρισίῳ] Χάρωνι Hemsterhusius. Vid. Turneb. Adv. XXI. 13.
[q] ΚΡΑΤΗΡ ΔΙΚΩΝ] Scribendum est κρατὴρ κακῶν; ut legitur apud Aristoph. Acharn. 935. ad quem locum Suidas respexit. KUST.
ΚΡΑΤΗΣ, Ἀθην.] Vide Meursium in Bibliotheca Attica. KUST.
[r] Δράματα] δράματα [illegible] A.V.
[s] εἰσὶν ζ] Imo plures Crates hic fabulas scripsit, ut vel ex catalogo illo patet, quem texuit Meursius in Bibliotheca Attica. KUST. εἰσὶν ζ A. Nomen comœdiæ Τόλμαι excidisse conjicit Jungerman. ad Polluc. IX. 53.
[t] ἕτερος καὶ] ἕτερος om. A.B.V.E.

ΚΡΑΤΗΣ Ἀσκώνδου] Cf. omnino Laërt. VI. REINES.
[u] Ἀσκώνδου—Ἀχαιοῦ alio loco ponit V.
[x] παῖδες αὐτῷ] αὐτῷ om. V.
[y] αὐτοῦ] αὐτοῖς A. voc. om. V.
[z] Μαρωνεῖτιν] Μαρωνῖτιν A. Μαρωνίτην V. Tum κυνογαμίαν om. B.E.
[a] Πασικλέα] De alio Pasicle, præceptore Stilponis, qui F fuit frater Cratetis, vid. infr. Στίλπων. REINES.
[b] Ἦν δὲ—Ὀλυμπιάδος V. in fine articuli.
[c] διὰ τὸ—εἰσέρχεσθαι] διὰ [illegible] τὸ—ἐπεισιέναι A.
[d] Ἔγραψε φιλόσοφα om. V. et mox μὴ τοῦτο δύναται.
[e] Ἔρωτα παύει λιμός· εἰ δὲ μὴ, χρ.] Anthol. [IX. 497.] Ἔρωτα παύει λιμός· εἰ δὲ μὴ, χρόνος. Ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ, Θεραπεία σοι τολοιπὸν ἠρτήσθω βρόχος. Eosdem versus habet etiam Stobæus. Clemens Alexandr. Strom. lib. II. p. 302. Οὗτος (Κράτης) ἐν ἄλλοις εὐθυρρημόνως γράφει, τῆς εἰς τὰ ἀφροδίσια ἀκατασχέτου ὁρμῆς κατάπλασμα εἶναι λι- G μόν· εἰ [illegible] μὴ, βρόχον. Quæ præterea Menagius ad Laërt. lib. VI. 86. hanc in rem congessit, hic non repetam: contentus annotasse loca auctorum ab eo prætermissa. KUST.
[f] εἰ δὲ μὴ τοῦτο δύναται] ἂν δὲ μὴ [illegible] τούτῳ δύνασαι A. ἐὰν [illegible] τούτοις μὴ δύνῃ χρῆσθαι Laërt. μὴ τοῦτο δ. om. V.
[g] κατεπόντωσε τὴν οὐσίαν] Crates ille Thebanus, homo quondam ditissimus, cum ad philosophandum Athenas pergeret, magnum auri pondus abjecit, nec putavit, se H simul posse et virtutes et divitias possidere. Hieron. de Instit. Mon. cf. Philostrat. Vit. Apollon. I. 13. et Sarisber. Polycr. VII. 13. et Pet. Blesensis f. 9. REINES. κατεπόντισε A.
[h] ὡς λέγει] Seqq. om. V.
[i] Καὶ ἔστιν] Seqq. om. A.
[k] περὶ] καὶ περὶ A.B.E.

γραμματικοῦ, [l]ἐπὶ τοῦ Πτολεμαίου τοῦ Φιλομήτορος. A [m]Συνέταξε [n]διόρθωσιν Ἰλιάδος καὶ Ὀδυσσείας ἐν βιβλίοις θ΄. καὶ ἄλλα.

ΚΡΑΤΗΤΕΙΟΣ: Ὁ τοῦ Κράτητος.

ΚΡΑΤΙΝΟΣ, Καλλιμήδους, Ἀθηναῖος, κωμικὸς, λαμπρὸς τὸν χαρακτῆρα· [o]φιλοπότης δὲ, καὶ παιδικῶν ἡττημένος. Ἦν δὲ τῆς ἀρχαίας κωμῳδίας. Ἔγραψε δὲ [p]δράματα κα΄. ἐνίκησε δὲ θ΄.

ΚΡΑΤΙΣΤΑ: Ἀντὶ τοῦ αἱρετώτερον, ἢ βέλτιον. B

[ΚΡΑΤΩ: Ἐπὶ τοῦ κυριεύω, γενικῇ. Αἰτιατικῇ δὲ, ὅτε σημαίνει τὸ νικῶ.

Καὶ μάχας ἐκράτησεν οὐκ ὀλίγας.]

ΚΡΑΤΥΝΑΙ:

ΚΡΑΤΥΝΤΗΡΙΑ ἔγραψε Δημόκριτος ὁ [q]Ἀβδηρίτης βιβλίον, ὅπερ ἐστὶν ἐπικριτικὸν πάντων τῶν γραφέντων [r]αὐτῷ βιβλίων.

ΚΡΑΤΑΛΛΙΔΑΙ, ἢ ΚΡΑΥΓΑΛΛΙΔΑΙ: Ἡ ἐν Φωκεῦσι C πλησίον Κίρρας χώρα.

ΚΡΑΥΓΗ: Ἐπὶ τῶν εὐχομένων· ἢ μετὰ προθυμίας καὶ σπουδαίας διανοίας ἱκετεία.

ΚΡΑΥΓΗ ΣΟΔΟΜΩΝ: Ἡ μυσαρωτάτη καὶ [s]λυσσώδης αὕτη παρὰ φύσιν ἁμαρτία, ὑπὸ Σοδομιτῶν διαπραττομένη, ὥσπερ τις φωνὴ ἀνερχομένη, καὶ βοῶσα τὸ μέγεθος τῆς ἀσεβείας εἰς τὰ ὦτα Κυρίου Σαβαώθ. D Καὶ ὁ μακροθυμήσας ὕστερον διὰ τὸ ἀμετανόητον αὐτῶν καὶ ἀνεπίστρεφον τῆς ἀδιακρίτου καὶ ἀκολάστου γνώμης, ἐπάξας μάλα δικαίως τὴν τιμωρίαν, ἔφασκε,

Κραυγὴ Σοδόμων καὶ Γομόρρας πεπλήθυνται πρός με.

ΚΡΑΥΡΑ: Νόσος περὶ τὰς ὗς γινομένη. Τρία δέ ἐστι πάθη· βράγχη, κραῦρα, διάρροια. [Καὶ ἔστιν ἐν τῷ ΔΙΑΡΡΟΙΑ.]

ΚΡΑΥΡΟΝ: Ξηρὸν, καπυρὸν, [t]εὔθραυστον.

ΚΡΑΙΝΟΥΣΙ: Τελειοῦσι, πληροῦσι, βασιλεύουσι, [u]καὶ κυριεύουσι.

ΚΡΑΙΠΑΛΑΝ: Ἐπὶ τοῦ ἀλαζονεύεσθαι.

[x]Τὸν δὲ Σέσωστριν ἐπὶ τοσοῦτον κραιπαλᾷν, ὥστε ἁρμάμαξαν B συμπήξασθαι χρυσοκόλλητον, λίθους τε τιμίους ταύτῃ περιβαλεῖν, [y]καὶ ἐφιζάνων ζευγνύειν τοῖς ἡττημένοις βασιλεῦσι.

ΚΡΑΙΠΑΛΑΙΚΩΜΟΣ: Μετωνυμικῶς, ὁ κατὰ μέθην γινόμενος ὕμνος.

ΚΡΑΙΠΑΛΗ: Ὁ ἐκ πολλῆς οἰνώσεως παλμός. Καὶ [z]ΚΡΑΙΠΑΛΩΝΤΑ, ἀντὶ τοῦ ἐκ μέθης ἀτακτοῦντα καὶ μεθύοντα. Ἀπὸ τοῦ [a]τὸ κάρα πάλλειν τοὺς μεθύοντας. Ἢ ἀπὸ τοῦ σφάλλεσθαι τῶν καιρίων.

ΚΡΑΙΠΑΛΩΔΗΣ: C

[b]Τῆς ψυχῆς τὰ ἐλαττώματα [c]κατηγορίστατο, εἴτε κραιπαλώδης τις εἴη καὶ μέθυσος, εἴτε φιλήδονος, καὶ ἐν τοῖς αἰδοίοις ἔχων τὸν ἐγκέφαλον.

ΚΡΑΙΠΝΟΣ: Ταχύς.

ΚΡΕΑΓΡΑ:

[d]Τί δῆτα κρεάγρας τοῖς κάδοις ἐωνήμεθ' ἄν,
[e]ἐξὸν καθέντα γράδιον τοιουτονὶ,
ἐκ τῶν φρεάτων τοὺς κάδους ξυλλαμβάνειν; D

Ἐπὶ τῶν πορνικῶν καὶ ἀσελγῶν γραῶν.

ΚΡΕΑΓΡΑ: Μαγειρικὸν ἐργαλεῖον. [f]Ἐν Ἐπιγράμμασι·

---

[l] ἐπὶ τοῦ] τοῦ om. A.

[m] Συνέταξε διόρθωσιν Ἰλ.] Scripsit hic Crates et alia, quæ recenset Meursius in Bibliotheca Attica. Omisit E autem ibi opus ejus περὶ λιμένων, quod laudatur Eustathio ad Odyss. ι. p. 1613, 39. KUST.

[n] διόρθωσιν] Sic Bas. δι ὄρθωσιν A.B.V.E.M. Mox ἐν om. A.

ΚΡΑΤΗΤΕΙΟΣ] Cauta magis quam inepta dici meretur Porti versio, qui est Crateti, quia intelligi in ea commode possit filius; sed quam reprobans Heumann. Pœcil. t. III. p. 634. suppleri vult Grammaticus. Sectatorem designaturi Græci facere solent per τοὺς περὶ τὸν, veluti οἱ περὶ Ἀρκεσίλαον Ἀκαδημαϊκοί: aut per generale no- F men sectæ cum ἀπὸ vel ἐξ, tanquam οἱ ἀπὸ τῆς στοᾶς, Ἐπικούρειοι. Ἐκ τοῦ περιπάτου καὶ τῆς στοᾶς: vel, ut Athen. IX. p. 387 D. Ἀρτεμίδωρος ὁ Ἀριστοφάνειος, ibid. F. Ἕρμιππος ὁ Καλλιμάχειος: vel simpliciter, ῥήτωρ Ἰσοκράτειος in Diog. Laërt. IV. 23. et II. 15. vel plenissime, ut Βίων—Θεοδώρειος ἀπὸ τῆς αἱρέσεως ἐπικαλούμενος, laud. jam lib. IV. 23. Apud Suid. alia ellipsis locum habere nequit, quam v. υἱός. Atque sic ὁ Κλεινίειος in Platon. Gorg. p. 295 D. est Alcibiades ὁ τοῦ Κλεινίου. ABRESCH.

ΚΡΑΤΙΝΟΣ] De hujus fabulis vide Meursium in Bib- G liotheca Attica. KUST. Vid. Ἐπειοῦ δειλότερος. HEMST.

[o] φιλοπότης] Ut bibax notatur ab Aristophane Pac. 699. Τί δὲ Κρατῖνος ὁ σοφός ἐστιν; Ἀπέθανεν, Ὅθ' οἱ Λάκωνες ἐνέβαλον. Τί παθών; Ὅ τι; Ὡρακιάσας· οὐ γὰρ ἐξηνέσχετο Ἰδὼν πίθον καταγνύμενον οἴνου πλέων. Scholiasta ad eum locum: Φιλοπότην δὲ πάλιν διαβάλλει τὸν Κρατῖνον. Præterea, temulentia Cratini perstringitur in veteri Epigrammate, quod legitur apud Athen. lib. II. p. 39. Vide etiam notabilem hanc in rem locum apud Suidam supra v. Κόθων. H KUST. φιλοποτίας V.

[p] δράματα κα΄.] Sic habent omnes editt. sed male. Plures enim fabulas quam XXI. Cratinum scripsisse ex veterum monumentis constat. Vide Meursium in Bibliotheca Attica, qui XXXVI. ejus poetæ dramata recenset. KUST.

ΚΡΑΤΙΣΤΑ] Deest gl. V. Nescio an pertineat ad Aristoph. Eq. 30.

ΚΡΑΤΩ] Hanc gl. habet A. in marg. om. V.

ΚΡΑΤΥΝΤΗΡΙΑ: Ἔγραψε Δημ.] Ex Laërtio: quem vide in Democrito (47.) KUST.

[q] Ἀβδηρίτης] Αὐδηρίτης E.

[r] αὐτῷ] αὐτῷ A.

ΚΡΑΤΑΛΛΙΔΑΙ, ἢ ΚΡΑΥΓ.] Ex Harpocratione. KUST. Κραβαλλῖδαι ἢ Κραγαλλῖδαι A. Κραβαλλίδαι ἢ κραυγαλλίδαι B. Κρ. ἢ Κραγαλλῖδαι V. Κραυαλλίδαι ἢ Κραγαλλίδαι Photius. Harpocr. ms. Pal.

ΚΡΑΥΓΗ] Deest gl. V. Sumpta est ex Theodoreto in Ps. V. 1.

ΚΡΑΥΓΗ ΣΟΔΟΜΩΝ] Genes. XVIII. 20.

[s] λυσσώδης] Sic habent mss. Paris. At editt. Mediol. et Ald. corrupte δυσσώδης: quod in sequentibus editt. absque auctoritate mstorum in δυσώδης mutatum est. KUST. δυσώδης (λυσ superscript) E. Infra γομόρας A.

ΚΡΑΥΡΑ] Κραῦγα V. hic et infra. Καὶ ἔστιν etc. om. A.V.

[t] εὔθραυστον] εὔθραστον A. Vid. Ruhnk. ad Tim. p. 168.

[u] καὶ κυριεύουσι] καὶ om. A.

[x] Τὸν δὲ Σέσωστριν] Ex Theophylact. Simocatt. VI. c. 11. KUST.

[y] καὶ ἐφιζάνων ζευγνύειν τοὺς ἡττ.] Vide Diodorum Siculum lib. I. p. 53. KUST.

ΚΡΑΙΠΑΛΑΙΚΩΜΟΣ] Ex Schol. Aristoph. Ran. 218.

[z] ΚΡΑΙΠΑΛΩΝΤΑ—ἀτακτοῦντα—μεθύοντα] Κραιπαλῶν—ἀτακτῶν—μεθύων A. καὶ om. E. et Schol. Aristoph. Plut. 298. ἀπὸ τοῦ—μεθύοντας om. Schol. Aristoph. Vid. Timæus p. 166. c. n. Ruhnkenii.

[a] τὸ κάρα] τὸ om. A.

[b] Τῆς ψυχῆς] Æliano tribuit Valckenærius.

[c] κατηγορίστατο] κατηγορίσταντο A.B.V.E.M. Mox ἢ E. pro sec. εἴτε.

[d] Τί δῆτα κρεάγρας τοῖς κ.] Aristoph. Eccles. 994.

[e] ἐξὸν] ἐξ ὧν B.E. Mox γράδιον A.B.V. non γραΐδιον.

[f] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 101.

Ὁμοῦ ἔκραγγε[g] τῇ [h]σιδηροδακτύλῳ.

Κρέας: Οὕτω καλοῦσι τὸ σῶμα οἱ Ἀττικοί.

[i]Εἰ μὴ περὶ τῶν κρεῶν νεναυμάχηκε.

Κρέας: Καταχρηστικῶς καὶ [k]ἐπὶ ὄρνιθος ἐχρήσατο [l]Ἀριστοφάνης ἐν Νεφέλαις·

Κρέα τ' ὀρνίθεια.

[Κρέα χελώνης: Ἔστιν ἐν τῷ, Ἢ δεῖ χελώνης κρέα φαγεῖν.]

Κρέκα: Τὴν τρίχα.

[m]Πορφυρέην [n]ἤμησε κρέκα.

Ἀντὶ τοῦ ἔκοψε.

Κρέκειν: Καὶ Κρεκόντων: κρουόντων τὴν κιθάραν, ἐγγιζόντων.

Κρέκουσα: [o]Αὐλοῦσα. [p]Ἀριστοφάνης Ὄρνισιν·

Ἀλλ' ὦ καλλιβόαν κρέκουσ' αὐλὸν, φθέγμασιν ἠρινοῖς.

Κυρίως δὲ κρέκειν, τὸ τὴν κιθάραν κρούειν. Καὶ ἐν Ἐπιγράμμασι·

[q]Ζηνοφίλα, [r]λιγὺ κρέκεις τι μέλος.

Κρέκω: Τὸ ἠχῶ.

[s]Ἀλλ' ἕκα δὴ πλάκτρῳ Λεσβὶς ἔκρεξε χέλυς.

Καὶ [t]Ἀριστοφάνης·

Τοιάδε κύκνοι
συμμιγῆ βοὴν ὁμοῦ
[u]κρέκοντες ἴακχον.

A [Κρέμ: Ἄρχων Βουλγάρων. Καὶ ἔστιν ἐν τῷ Βούλγαροι.]

Κρεμάθρα: Μετέωρόν τι [x]σκεύασμα, ἐν ᾧ ἐτίθεσαν τὰ περιττεύοντα ὄψα. Κρεμάθρα δὲ εἴρηται, διὰ τὸ ἀεὶ κρεμαμένην μετέωρον εἶναι. Εἰσάγει δὲ Ἀριστοφάνης τὸν Σωκράτην ἐπὶ κρεμάθρας καθήμενον, γελοίου χάριν, ὡς μετεωρολέσχην.

Κρεμόω: Κρεμάσω.

B Κρεμάσαι τὴν ἀσπίδα.

Ἀντὶ τοῦ εἰρηνεῦσαι. Ἐν γὰρ εἰρήνῃ κρέμανται αἱ ἀσπίδες.

Κρέξ: Ὄρνεον δυσοιώνιστον τοῖς γαμοῦσιν, [y]ὀξὺ πάνυ τὸ [z]ῥύγχος καὶ πριονώδες ἔχον. Κρεκὸς κλίνεται.

Κρεωδαισία: Ὁ μερισμὸς τῶν κρεῶν. [a]Καὶ κρεωδαίτης· καὶ κρεωδότης· καὶ [b]κρεωδόχον

C ἀγγεῖον.

Κρεώδης ἱερουργία: Ἡ διὰ κρεῶν θυσία.

Κρέων δέ σοι πῆμ' οὐδὲν, ἀλλ' αὐτὸς σὺ σοί: Ἀντὶ τοῦ σεαυτῷ. Καὶ κρεωθοινία.

Κρεωφαγία: Καὶ [c]Κρεωπώλης.

Κρεώφυλος, Ἀστυκλέους, Χῖος, ἢ Σάμιος, ἐποποιός. Τινὲς δὲ αὐτὸν ἱστόρησαν Ὁμήρου γαμβρὸν ἐπὶ θυγατρί. Οἱ δὲ, φίλον μόνον γεγονέναι αὐτὸν

D Ὁμήρου λέγουσι, [d]καὶ ὑποδεξάμενον Ὅμηρον, λαβεῖν παρ' αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχαλίας ἅλωσιν.

[g] κραάγγῃ] κραάγγαι A. κραάγγα V.M.

[h] σιδηροδακτύλῳ] Quæ sequuntur in edd. ante Kuster. Ὅτι ὁ Ἑρμῆς δειλακρίων ἐλέγετο ὡς λίχνος· κρεαδίων γὰρ ἐπιδεικνυμένων αὐτῷ κατήρχετο αὐτίκα, habent A.V. in marg. Vid. supra p. 900 A.

E [i] Εἰ μὴ περὶ τῶν κρεῶν νεναυμ.] Aristoph. Ran. 193. Εἰ μὴ νεναυμάχηκε τὴν περὶ τῶν κρεῶν. Sic etiam apud Suidam scribendum est. KUST.

[k] ἐπὶ] καὶ ἐπὶ A.B.

[l] Ἀριστοφάνης Νεφ.] Ver. 338.

ΚΡΕΑ ΧΕΛΩΝΗΣ] Hæc A. in marg.

[m] Πορφυρέην] Intelligendum hoc hemistichium de Scylla, quæ patri Niso *purpureum crinem* desecuit: de quo Pausanias in Atticis, et Apollodorus Biblioth. III.

F 14. cujus verba apponam: Ἀπέθανε δὲ καὶ Νῖσος διὰ θυγατρὸς προδοσίαν· ἔχοντι γὰρ αὐτῷ ΠΟΡΦΥΡΕΑΝ ἐν μέσῃ τῇ κεφαλῇ ΤΡΙΧΑ, ταύτης ἀφαιρεθείσης τελευτᾷ, ἡ δὲ θυγάτηρ αὐτοῦ ΣΚΥΛΛΑ ἐρασθεῖσα Μίνωος ἐξεῖλε τὴν τρίχα. Est autem hoc fragmentum ex Callimachi Hecale desumptum: quod et res et stilus indicat. Confer Etymol. v. Ψίθυρ. Ceterum notanda vox ΚΡΕΚΑ, quam haud temere alibi reperias. TOUP. Πορφυρίῳ A.

[n] ἤμησε] Scylla patris Nisi. Vid. Propert. III. El. 17, 22. HEMST.

G [o] Αὐλοῦσα] Hanc vocem agnoscunt mss. Paris. Sed eadem deest in prioribus editt. KUST.

[p] Ἀριστοφάνης Ὄρνισι] Ver. 683. Mox γὰρ A. pro δέ.

[q] Ζηνοφίλα] Anthol. Pal. V. 139.

[r] λιγὺ] λὶ γὰρ V. λιγίαν Anthol.

[s] Ἀλλ' ἕκα δὴ πλ.] Anthol. Pal. VI. 54.

[t] Ἀριστοφάνης] Av. 771. unde locus hic Suidæ emendandus est. KUST.

[u] κρέκοντες ἴσχον] κρέκοντες ἴαχον A.B.V.E.

H ΚΡΕΜ] Deest gl. A. καὶ etc. om. V.

ΚΡΕΜΑΘΡΑ: Μετέωρόν τι σκ.] Vid. Schol. Aristoph. Nub. 218.

[x] σκεύασμα] κατασκεύασμα A.

ΚΡΕΜΟΩ: Κρεμάσω] Recte, Κρεμόω, κρεμάσω. Confer Schol. ad Homer. Iliad. η'. 83. Quæ sequuntur sunt verba Scholiastæ ad Aristoph. Acharn. 58. Ὦ ἄνδρες Πρυτάνεις, ἀδικεῖτε τὴν ἐκκλησίαν, Τὸν ἄνδρ' ἀπάγοντες, ὅστις ἡμῖν ἤθελε Σπονδὰς ποιῆσαι, καὶ ΚΡΕΜΑΣΑΙ ΤΑΣ ἈΣΠΙΔΑΣ. Quemadmodum et apud Suidam scribendum est. TOUP.

ΚΡΕΞ] Ex gl. Herodot. II. 76. Mox τοῖς om. A.V.

[y] ὀξὺ πάνυ τὸ] Ex Schol. Aristoph. Av. 1138. KUST.

[z] ῥύγχος] ῥύγχος V.

[a] Καὶ ΚΡΕΩΔΑΙΤΗΣ] Plutarch. Lys. p. 447. TOUP. Seqq. om. A.

[b] ΚΡΕΩΔΟΧΟΝ] Schol. Il. ι'. 206. Κρεῖον: Κρεωδόχον ἀγγεῖον. Vid. infra p. 2199 A.

ΚΡΕΩΝ] Soph. Œd. Tyr. 379.

[c] ΚΡΕΩΠΩΛΗΣ] Κρεοπώλης B.E. Deest A.

ΚΡΕΩΦΥΛΟΣ] Vid. Schol. Platon. p. 195.

[d] καὶ ὑποδεξάμενον Ὅμηρον, λαβεῖν παρ' αὐτοῦ τὸ ποίημα τὴν τῆς Οἰχ.] Notabilis est hanc in rem locus apud Eustathium ad Il. β'. p. 330. quem integrum hic describere non gravabor: Ἐπόρθησεν ὁ Ἡρακλῆς τὴν Οἰχαλίαν, εἰς ἣν δοκεῖ γράψαι καὶ Ὅμηρος· ὡς δηλοῖ ὁ ἱστορήσας, ὅτι Κρεώφυλος ὁ Σάμιος ξενίᾳ ποτὲ δεξάμενος τὸν Ὅμηρον, ἔλαβε δῶρον ἐξ αὐτοῦ τὴν ἐπιγραφὴν τοῦ ποιήματος, ὃ καλοῦσιν Οἰχαλίας ἅλωσιν· τουτέστιν, ἔσχεν εἰς ἀντίδοσιν ἐξ Ὁμήρου, τὸ μὴ ἐπιγράψαι τὸ βιβλίον ἑαυτῷ, ἀλλὰ τῷ φίλῳ Κρεωφύλῳ, οἷον ὅτι Κρεωφύλου Σαμίου Οἰχαλίας ἅλωσις. Τινὲς δὲ ἀνάπαλιν φασι, Κρεώφυλον μὲν γράψαι, Ὁμήρῳ δὲ ἐπιγραφῆναι τὸ βιβλίον διὰ τὴν ξενίαν. Διὸ καὶ Καλλίμαχος ὑποδηλῶν, ὅτι Κρεώφυλος Ὁμήρῳ ἐπωνομάσας τὸ ποίημα, οὐ τὸν Ὅμηρον ἀλλ' ἑαυτὸν ἐτίμησεν, ὡς δῆθεν ὁμηρίζοντα, γράφει ἐν Ἐπιγράμματι οὕτω· Τοῦ Σαμίου πόνος εἰμὶ, δόμῳ ποτὲ θεῖον Ὅμηρον Δεξαμένου—Ὁμήρειον δὲ καλεῦμαι Γράμμα. Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα. Epigramma Callimachi, quod mutilum hic adducit Eustathius, integrum legitur apud Strabonem lib. XIV. p. 638. et apud Sextum Empiricum lib. I. c. 2. ut observavit Bentleius ad Epigramma Callimachi VI. ad quem lectorem remitto. Ceterum ab hoc Creophylo diversus est ille, quem Athenæus ἐν Ἐφεσίων ὅροις citat. KUST. Quidam Homeri magistrum fuisse dicit, alii Aristeam Proconnesium. Strab. XIV. Plato Rep. X. p. 512. Ὁ Κρεώφυλος ἴσως τοῦ Ὁμήρου ἑταῖρος. Laërt. VIII. 1. eum nominat Κρεώφυλον nepotem Hermodamantis. REINES. Vid. Procli Chrestomath. p. 466.

[Κρεσφόντης: Ὄνομα κύριον. Ἦν δὲ πανοῦργος. Καὶ γὰρ [e] βῶλον ὑγρὰν εἰς τὴν ὑδρίαν ἐνέβαλε, κληρουμένων περὶ Μεσσήνης. Καὶ ἔστιν ἐν τῷ Δραπέτης κλῆρος.] A

Κρεῖον: Τὸ κρεωδόχον ἀγγεῖον. Παρὰ τὸ κρέας, κρέον, καὶ κρεῖον, καὶ κρεῖος.

Κρείων: Βασιλεὺς, ἢ ἄρχων, κρατῶν μεγάλως.

Κρείττονος: Τοῦ Θεοῦ.

Προνοίᾳ δὲ δή τινι τοῦ κρείττονος, [f] στοχαζόμενος τοῦ συνοίσοντος, τὰ τοιάδε ἐπιτέλει ὁ Καῖσαρ. B

Κρεῖσσον δόξης ἀτίμου εὐτέλεια εὐκλεὴς, καὶ [g] σμικροπρεποῦς ἀρχῆς μεγαλοφυὴς μετριότης, καὶ ὕψους ἐπισφαλοῦς ταπεινότης ἀκίνδυνος.

Κρήγυον: Ἀληθὲς, ἀγαθὸν, καλογήρυον. Γῆρυς γὰρ ἡ φωνή.

Κρήδεμνον: Κεφαλοδέσμιον, ἢ μαφόριον.

Κρηθεύς: Ὄνομα κύριον. Καὶ Κρηθηῒς νύμφη. C

Κρήμνη: Ῥηματικὸν, ἐκ τοῦ κρήμνημι· ὡς ἵστη.

Κρημνίσαι: Αἰτιατικῇ. Ἐκ τοῦ κρημνίζω.

Κρημνοκοπεῖν: Κομπάζειν, ἀλαζονεύεσθαι, μεγάλας λέξεις ποιεῖν.

Κρημνός: [h] Φάραγξ. [i] Ἀριστοφάνης·

Κρημνοὺς ἐρείδων.

Τουτέστι, κρημνοὺς ἐπιπέμπων καὶ ἀκοντίζων. Ἀπὸ [k] τοῦ ἐλασίμβροτα εἴληφε, καὶ ταῦτα ὑπέρογκα. [l] Ὅμηρος καὶ τὴν ὄχθην κρημνὸν λέγει· ἐπειδὴ πάντα τὰ ὑψηλὰ κρημνοί. D

[Κρημνοῦ πεσόντα δυστυχῆ δηλοῖ τύχην.]

Κρημνώδη καταντίφοι: Εἰ μὲν διὰ τοῦ η, ἀντὶ τοῦ [m] μεγάλα· [n] εἰ δὲ διὰ τοῦ ι. . . . . . κρίμνα εἶδος ἀλεύρου, ἐξ οὗ ἡ [o] παιπάλη γίνεται, τουτέστι [p] τὸ ἄλευρον. Καὶ τὸ λευκαίνειν, παλύνειν. [q] Ὅμηρος·

Ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας.

Κρημνοί: Ἐξέχοντες τόποι. Καὶ κρημνοποιόν φησιν [r] Ἀριστοφάνης τὸν Αἰσχύλον, ὡς μεγάλας λέξεις ποιοῦντα.

Κρῆναι:

[s] Ἀλλὰ καὶ τήνδε αὐτῷ ἐγγυάλιξον
κρῆναι εὐκλειῶς δῆριν Ἀχαιμενίην.

Κρηναῖον ὕδωρ: [t] Καὶ κρηναῖος ποτός.

Κρήνη: Ἡ πηγή. [u] Κάρα, καρήνη, κρήνη. Κορυφὴ γὰρ τοῦ ῥεύματος, ἢ κόρη τοῦ νάματος· καὶ γὰρ θυγατέρας αὐτάς φασι.

Κρηνίς:

Κρηπιδούμενος: Ἀντὶ τοῦ ὑποδούμενος τὰς κρηπῖδας.

Ἤρετο πρῶτον τὸν [x] Λεσχίδην τὸν ποιητὴν, μεταξὺ κρηπιδούμενος.

Κρηπίς: [y] Θεμέλιος, ἢ εἶδος ὑποδήματος· ὑποβάθρα ἡ τοὺς πόδας κρατοῦσα.

Κρῆσσα: Ἡ Κρητικὴ γυνή. [[z] Καὶ Κρής. Καὶ Κρησσαία θάλασσα. Κρισσαῖος δὲ κόλπος.]

Κρησέρα: Τὸ περιβόλαιον τῶν [a] κοφίνων. Ἔστι δὲ διερρωγός. [b] Ἀριστοφάνης·

Ἀλλ' οὐχὶ πολὶ [c] κρησέραν αἰτοίμεθα.

ΚΡΕΣΦΟΝΤΗΣ] Conditor Messenæ in Peloponneso dic. ap. Strab. VIII. ad extr. REINES. Κρεσφόντης B.E. Deest gl. A., et deleri debet, utpote ex v. Δραπέτης repetita. E

[e] βῶλον ὑγρὰν] Vid. Apollod. II. extr. Temenum pro Cresphonte coctilem laterem in hydriam injecisse dicit Pausan. in Messen. c. 3. Titulus tragœdiæ Euripideæ Cresphontes est ap. Stob. tit. de Pace. REINES. Conf. Heyne Obs. Apollod. p. 210. MULLER.

ΚΡΕΙΟΝ] Ex Schol. Il. ι'. 206. Ante h. gl. Κρείττονος etc. collocat A.

[f] στοχαζόμενος] Menander hist. p. 91. τοῦ συνοίσοντος εὖ μάλιστα στοχασάμενος. TOUP. F

ΚΡΕΙΣΣΩΝ] Ex Damascio, opinor, depromptum, ut ex stilo apparet. TOUP. Æliano tribuit Valckenærius.

[g] σμικροπρεποῦς] μικροπρεποῦς A.

ΚΡΗΓΥΟΝ: Ἀληθές. ἀγαθ.] Helladius apud Photium p. 1585. Ὅτι κρήγυον τὸ ἀληθὲς εἴρηται, καρέγγυόν τι ὄν. οἱ γὰρ ἀληθῶς τι πράττειν μέλλοντες, ἐγγυῶνται τοῦτο, τῇ κεφαλῇ κατανεύοντες. οἱ δὲ κρήγυον, οὐ τὸ ἀληθὲς, ἀλλὰ τὸ ἀγαθὸν σημαίνειν φασὶ, κηρήγυον ἐτυμολογοῦντες· οἷον ἠδύνον τὸ κῆρ, τουτέστι τὴν ψυχήν. ἡδύνειν γὰρ πέφυκε τὴν ψυχὴν τὸ ἀγαθόν. Confer etiam Etymologum. KUST. Vid. Il. α'. 106. G

ΚΡΗΔΕΜΝΟΝ] Il. χ'. 470. ubi Schol. Κεφαλόδεσμον. Eustath. p. 1281 = 1386, 34. Κρήδεμνον δὲ τὸ μαφόριον. Vid. Du Cang. in Μαφόριον.

ΚΡΗΘΕΥΣ] Κρηθεὺς A.

ΚΡΗΜΝΗ] Vid. Pierson. ad Mœrin p. 208.

ΚΡΗΜΝΟΚΟΜΠΕΙΝ] Κρημνοκοπεῖν A.V. Photius. Hemsterhusius citat Schol. Aristoph. Nub. 1370. ubi Κρημνοποιόν. Vid. paullo infra.

[h] Φάραγξ] φάραξ V.E.

[i] Ἀριστοφάνης] Equit. 625. ubi vide Scholiastam, ex quo Suidas supplendus est. KUST.

[k] τοῦ ἐλασίμβροτα] τῶν ἐλασιμβρότων E. omisso mox ὑπέρογκα.

[l] Ὅμηρος] Il. φ'. 244. KUST.

ΚΡΗΜΝΟΥ ΠΕΣΟΝΤΑ ΔΥΣ.] Ex Astrampsycho. KUST. A. in marg.

ΚΡΗΜΝΩΔΗ ΚΑΤΑΝΙΦΟΙ] Sic habent mss. Paris. At priores editt. κριμνώδη, per ι: uti etiam hodie legitur apud Aristoph. Nub. 962. unde locus hic depromptus est. Fateor equidem τὸ κριμνώδη sensus gratia præferendum esse: attamen hic apud Suidam κρημνώδη per η scribi debere, literarum series ostendit. KUST. κρήμνωδη B. καταντίφει A.V.

[m] μεγάλως] μεγάλα A.E.

[n] εἰ δὲ διὰ τοῦ ι] Hic quædam desiderantur. KUST. Sequitur lacuna in V.

[o] παιπάλη] πασπάλη V.

[p] τοῦ ἀλεύρου] Locus hic est mutilus, quem sic suppleri posse existimo: Τουτέστι, τοῦ ἀλεύρου τὸ λευκότατον. τὸ γὰρ λευκαίνειν &c. KUST. τὸ ἄλευρον A.B.V.E.

[q] Ὅμηρος] Il. κ'. 7. KUST.

[r] τὸν Αἰσχύλον Ἀριστοφάνης] Ἀριστοφάνης τὸν Αἰσχύλον A. B. et fere V. qui Αἰσχίλον. Aristophanis locus est Nub. 1370.

[s] Ἀλλὰ καὶ τήνδε αὐτῷ] Anthol. Pal. VI. 331. Ἀλλὰ σὺ καὶ τήνδε, Κελαινεφὲς, ἐγγυάλιξον Κρῆναι εὐκλειῶς δῆριν Ἀχαιμενίην. G

[t] Καὶ ΚΡΗΝΑΙΟΣ ΠΟΤΟΣ om. A.V. Vid. Sophocl. Phil. 21. Trach. 14.

[u] Κάρα] κάρη E. κάρει B. Etymol. Gud. p. 345. ult. ἀπὸ τοῦ κάραν καὶ κορυφὴν εἶναι τοῦ ῥεύματος, καὶ κόρη νάματος· καὶ γὰρ αἱ κρῆναι θυγατέρες τῶν ποταμῶν εἰσι.

[x] Λεσχίδην] τὸν Λεσχίδην A.E.

[y] Θεμέλιος] θεμέλιος A.B. Photius. Mox vulgo ὑποβάθρα legitur in fine articuli: mutavi cum A. et Photio. Sed in Photio om. ἡ τοὺς π. κρ. H

[z] Καὶ ΚΡΗΣ] Seqq. om. A. Mox Κρησαία V. Κρισαῖος B.V.

[a] κοφίνων] κηφίνων A.

[b] Ἀριστοφάνης] Eccles. 983.

[c] κρησέραν] De voce hac vide omnino Etymologum. KUST.

A Τοῦτο δὲ λέγει ὡς πρὸς γραῦν.

Κρήσσιος: Κρητικός.

Τοὺς Κᾶρας θαλαττοκρατῆσαι λέγεται μετὰ Μίνω τὸν Κρήσσιον.

Κρησσός:

Κρηστωνία:

Κρηστωρεύς:

Κρησφύγετα: Τὰ πρὸς τοὺς χειμῶνας [d]στενὰ, καὶ [e]ὀχυρώματα, καὶ καταφυγή. B Οἱ δέ φασιν, ὅτι [f]Κρηταιεῖς τοὺς νησιώτας ἅμα Μίνῳ τῷ βασιλεῖ [g]θαλαττοκρατοῦντες ἔφυγον εἰς σπήλαιά τινα. Ὅθεν ἐκεῖνα ὠνομάσθησαν κρησφύγετα.

Κρῆτα: Τὸν ἀπὸ τῆς Κρήτης.

Κρηταιεύς: Καὶ Κρηταιεῖς, [h]ἀπὸ εὐθείας τῆς Κραταιεύς.

Κρήτη: Νῆσος.

C Κρητίζειν: Τὸ ψεύδεσθαι. Ἰδομενεὺς γὰρ ἐπιτραπεὶς τὸν ἀπὸ τῶν λαφύρων χαλκὸν διανεῖμαι, τὸν ἄριστον αὐτῷ ἐξείλετο. Καὶ ἑτέρα παροιμία· Κρητίζειν πρὸς Κρῆτας. Ἐπειδὴ ψεῦσται καὶ ἀπατεῶνές εἰσι.

Κρητικόν: Εἶδος χιτῶνος. Ἀριστοφάνης·

Σὺ δὲ [i]τὸ Κρητικὸν
ἀπόδυθι ταχέως.

Κρητικόν: [k]Τὸ ἀπὸ τῆς Κρήτης.

Κρητικός: Ῥυθμός ἐστιν οὕτω καλούμενος. [l]Ἀριστοφάνης·

Ὑπανακίνει Κρητικῶς τὼ πόδε.

Κρητῖνος: [m]Καὶ Κρηφαγία.

Κρῖ: Ἡ κριθή. Καὶ [n]Ὅμηρος·



A Κρῖ λευκόν.

Κρίβανον: Οἱ Ἀττικοὶ λέγουσι κριβῶν βαῦνον· τουτέστι, κάμινον. Καὶ ἄρτος κριβανίτης, ὁ ἐν κριβάνῳ ὠπτημένος. Κρίβανος δὲ παρὰ τὸ κρῖ, καὶ τὸ βαῦνος· ὅ ἐστι κάμινος. Καὶ Ἀριστοφάνης·

[o]Εἶτα ἐξένιζε· παρετίθει δ' ἡμῖν . . . [p]βοῦς κριβανίτας.

[q]Ἀρριανός·

Οἱ δὲ ξένια ἔφερον, [r]θύννους ἐν κριβάνοισιν ὀπτούς.

B Κρίβανος: Ὁ [s]φοῦρνος.

Κρίγη: Ὁ τῶν ἀποθνησκόντων τρισμὸς τοῖς ὀδοῦσι γινόμενος. [t]Καὶ Ἀριστοφάνης·

Ὥσπερ Ἰλλυριοὶ κεκριγότες.

Κριθή: Τὸ τῶν ἀνδρῶν αἰδοῖον. Τὸ δὲ γυναικεῖον, μύρτον. Καὶ [u]κριθίδιον, ὑποκοριστικῶς.

Κριθοτράγων: Κριθοφάγων.

C Κριθωτή: Πόλις τῶν ἐν Χερρονήσῳ, κατοικισθεῖσα ὑπὸ Ἀθηναίων τῶν μετὰ Μιλτιάδου ἐκεῖ παραγενομένων.

Κρίκε: [x]Συνεσχέθη.

Κρίκος: Τὸ κρικέλλιον.

Κρίματα: Αἱ [y]οἰκονομίαι. Δαβίδ·

Γινώσκεται Κύριος κρίματα ποιῶν.

D Τουτέστι, δικαίως οἰκονομῶν. Καὶ τὰ ὑπὸ Θεοῦ γινόμενα θαύματα. [[z]Ἔστιν ἐν τῷ Δικαιώματα.]

Κριμισός: Ὄνομα ποταμοῦ.

Κρίμνον: Διὰ τοῦ ί. ἡ κριθή. Παρ' [a]Ὁμήρῳ δὲ κατὰ ἀποκοπὴν [b]λέγεται κρῖ·

Ἑστᾶσι κρῖ λευκὸν ἐρεπτόμενοι.

Καὶ [c]πολύκριμνος ἡ πολύκριθος. Καὶ ἐν Ἐπιγράμμασι·

E ΚΡΗΣΣΙΟΣ] Κρήσιος A.B.V.E. De exemplo vid. Wesseling. Diod. Sic. V. 84. Mox Κρησσὸς et Κρηστωνία om., ni fallor, A.V.

ΚΡΗΣΦΥΓΕΤΑ] Dionys. Hal. p. 211. TOUP. κρησφύγετα τοῖς ἐκγόνοις Ælian. N. A. XIII. 5.

[d] στενά] Sic habent omnes editt. sed male. Ex Hesychio enim rescribendum est στεγανά: ut Portus etiam monuit. KUST. στενὰ etiam Photii ms. ubi ed. στεγνά. στενὰ Lex. Seg. Vid. Kuhn. ad Polluc. I. 10.

F [e] ὀχυρώματα] Vid. Gl. Herodot. V. 124.

[f] τοὺς Κρηταιεῖς οἱ νησιῶται] Κρηταιεῖς τοὺς νησιώτας A.V. K. τοὺς νησιώτας B.E. Κρῆτες τοὺς νησιώτας Photius. Κρῆτας τοὺς ν. Lex. Seg. ms.

[g] θαλαττοκρατοῦντας] θαλαττοκρατοῦντες A.B.E. θαλαττοκρατοῦντι Photius, Lex. Seg. Eustath. Od. λ'. p. 1688 = 440, 39. Minos ἐξεκάθηρε λῃστῶν τὴν θάλασσαν. οἱ δὲ φεύγοντες τοῦτον ἐκάλουν κρησφύγετα τὰς καταγωγὰς τῆς ἐκ τοῦ τοιούτου Κρητὸς φυγῆς αὐτῶν.

[h] πληθυντικῶς] ἀπὸ εὐθείας τῆς Κρηταιεύς A.B.V. et fere E.

G ΚΡΗΤΙΖΕΙΝ] Vide Meursium in Creta p. 143. KUST. Vid. Zenob. IV. 62.

[i] τὸν Κρητικὸν] τὸ Κρ. A.B.V.E. Vid. Aristoph. Thesmoph. 738.

[k] Ἀπὸ] τὸ ἀπὸ A.

[l] Ἀριστοφάνης] Eccles. 1157.

[m] Καὶ ΚΡΗΦΑΓΙΑ om., ni fallor, A.V.

[n] Ὅμηρος] Il. ε'. 196. KUST.

H ΚΡΙΒΑΝΟΝ: Οἱ Ἀττικοὶ λέγ.] Ex Schol. Aristoph. Acharn. 86.

[o] Εἶτα ἐξένιζε· παρετ.] Locus hic ex Aristophane sic rescribendus et distinguendus est: Εἶτ' ἐξένιζε· παρετίθει δ' ἡμῖν ὅλους Ἐκ κριβάνου βοῦς. Vide etiam Athenæum lib. IV. p. 130. qui eundem locum Aristophanis adducit. KUST.

[p] καὶ κριβανίτας] βοῦς κρ. A.V. βοὺς καὶ κρ. B.E. ὀπτοὺς ἐκ κριβάνου βοῦς E. marg.

E [q] Ἀρριανός] De Rebus Indicis p. 562. KUST.

[r] θύννους] θαύνους V. Mox κριβάνοισιν A.V.E. pro κριβάνοις.

[s] φοῦρνος] Quæ sequuntur in edd. Καὶ παροιμία· Ἄπνος κρίβανος. Ἐπὶ τῶν καινόν τι ἐφευρηκότων. Ἄπνος γὰρ Αἰγύπτιος εἰς τὴν τῶν ἄρτων ὄπτησιν ἐπενόησε τὸν κρίβανον, habet A. in marg. om. V. et magna ex parte E. Vide supra v. Ἄπνος.

ΚΡΙΓΗ καὶ κρισμὸς] καὶ κρισμὸς om. A.B.V.E. Schol. Aristoph. κρυγμὸς voluerat Portus, probante Kustero.

[t] Καὶ Ἀριστοφάνης] Av. 1520.

F ΚΡΙΘΗ: Τὸ τῶν ἀνδρ.] Ex Schol. Aristoph. Pac. 965. ubi tamen pro μύρτον legitur βύσσον: minus recte ut puto. Μύρτον enim membrum muliebre significare ex grammaticis notum est. Τὸ βύσσος autem idem significare, haud sane alibi me legisse memini. KUST. Vid. Hesych. v. Βύττος, et Suid. v. Σάραβον. TOUP. Schol. Aristoph. βύρσον.

[u] ΚΡΙΘΗΔΙΟΝ] κριθίδιον A.V.

ΚΡΙΘΟΤΡΑΓΩΝ] Aristoph. Av. 232.

G ΚΡΙΘΩΤΗ: Πόλις τῶν ἐν Χερρον.] Ex Harpocratione. KUST.

ΚΡΙΚΕ] De hac voce vide omnino Etymolog. KUST.

[x] Συνεσχέθη] Sic etiam Zonaras. συνεχέθη A. συνηχέθη Martinus apud Albert. ad Hesych. συνεχέθη Titmannus. Vid. Il. π'. 470.

ΚΡΙΚΟΣ] Κρίκα V.

[y] οἰκονομίαι] V. statim addit Κρίμα. Seqq. usque ad οἰκονομῶν sunt ex Ps. IX. 17. et Theodoreto in eum locum.

[z] Ἔστιν etc. om. V. habet A. in marg.

H ΚΡΙΜΙΣΟΣ] Κριμισσός A. Κρημησός V. Vide quæ disputavit Cluverius de h. v. Sicil. p. 266.

[a] Ὁμήρῳ δὲ] δὲ om. A.V.E. Vid. Il. ε'. 196.

[b] λέγεται] λ' κρῖ ἑστᾶσι (ἑστῶσι A.) A.B.V.E. Mox λευκὸν M.

[c] πολύκριθος ἡ ΠΟΛΥΚΡΙΜΝΟΣ] πολύκριμνος ἡ πολύκριθος A. B.V.

[d] Αὐτάρκης ὁ πρέσβυς ἔχων ἅλα, καὶ δύο κρίμνα.

Καὶ Βάβριος·

[e] Ἐγὼ [illegible] λιτῆς οὐκ ἀφέξομαι βώλου,
ἐφ' ἣν τὰ κρίμνα μὴ φοβούμενος τρώγω.

Κρίμνον [illegible] τὸ παχὺ τοῦ ἀλεύρου.

Κριναμενος: Ἐπιλεξάμενος.

Κρίνε: Δίκαζε.

Κρίνεσι στεφανοῖς: Τουτέστιν, αἱ λοιδορίαι, αἱ παρὰ σοῦ, στέφανοί μοι εἰσὶν ἐκ κρίνων. Κέκλιται δὲ ἀπὸ τοῦ τὸ κρίνος, ὡς τὸ τεῖχος. Οἱ δέ φασι μεταπλασμὸν εἶναι.

Κρίνις: Ἱερεὺς Ἀπόλλωνος.

Κρίνον: Τὸ ἄνθος. Ἀπὸ τῆς διακρίσεως. Διὸ καὶ τὰ τῆς διακρίσεως λέγεται κρίνον εὐμάραντον καὶ ταχὺ διαπίπτον. Διὸ καὶ ἡ κολόκυνθα [f] κρίνον λέγεται, [g] καὶ τοὺς πτωχοὺς δὲ κρίνα λέγουσιν. Αὐτὴ δὲ ἡ κολόκυνθα Μηδικόν ἐστιν ὄνομα.

Κρῖνόν μοι Κύριε, ὅτι ἐγὼ ἐν ἀκακίᾳ μου ἐπορεύθην. [[h] Κρίνω δὲ, τὸ δικάζω.

[i] Κρίνοντες τὰς δώδεκα φυλὰς τοῦ Ἰσραήλ.]

Κρινωνιά: Ὁ τῶν κρίνων [k] λειμών.

Κριοκοπεῖν: Τὸ τοῖς κριοῖς τοῖς μηχανικοῖς πολιορκεῖν.

[l] Οἱ δὲ τοῖς πύργοις κριοκοπεῖν ἐνεχείρησαν.

Κριόσ: Δῆμος τῆς Ἀττικῆς. Καὶ [m] Κριόθεν, ἐπίρρημα. Ἢ [n] Κριῆθεν.

[n] Ὅτι οἱ Κύπριοι] Seqq. habet A. in marg. om. V.

[o] ἀναισθητότεροι] ἀναίσθητοι A.B.

[p] ΚΥΠΡΙΟΣ] ἐν τῷ A.B.E. edd. vett.

ΚΥΠΡΟΘΕΜΙΣ] Ex Harpocratione. KUST.

ΚΥΠΤΑΖΕΙΝ] Κυπτάζει A.

[q] στραγγεύειν] Vide quæ de hac voce notavimus supra v. Ἡ δεῖ χελώνης. KUST. στρατεύειν V.

τὰς κατὰ τῶν ἀδικούντων τιμωρίας [t]ἐποίουν. Ἐπὶ τοίνυν τῶν σφόδρα [u]πονηρῶν ἡ παροιμία.—Κύρβεις οὖν παρὰ τὸ κεκορυφῶσθαι εἰς ὕψος ἀνατεταμένας. Ἢ ἀπὸ τῶν [x]Κορυβάντων. Ἐκείνων γὰρ εὕρημα φησὶ καὶ Ἀπολλόδωρος.

Κύρβις: Ὁ περίεργος, ὃν οὐκ ἔστι λαθεῖν. Ἕνεκα γὰρ μνήμης ἀνέγραφον εἰς τὰς κύρβιας. Ἦν δὲ σανὶς, ἔνθα οἱ νόμοι γεγραμμένοι ἦσαν. Ἢ οὕτως· Ἡδέως ἂν ὁτιοῦν [y]ὑπομείναιμι, ἵνα δόξω τοῖς πολλοῖς λόγων ἔμπειρος εἶναι, καὶ νόμους εἰδέναι.

Κυρεῖ: Τυγχάνει.

Κυρεία: Ἡ ἐξουσία.

Κύρειον στράτευμα: [z]Ἰσοκράτης ἐν τῷ Πανηγυρικῷ φησίν. Ἔστι δὲ τὸ μετὰ Κύρου ἀναβεβηκὸς [a]ἐπὶ Ξέρξην τὸν ἀδελφὸν αὐτοῦ.

Κύρειος θρόνος: Ὁ τοῦ Κύρου.

Κυρηβάζει: [b]Κυρηβασία λέγεται ἡ διὰ κεράτων μάχη, ἥπερ ἐν τοῖς ἀλόγοις ζώοις γίνεται. Ἢ [c]αἱ πλήξεις τῶν τράγων. Ἀριστοφάνης·

> [d]Εἰ δ' ἐκκλίνει γε δευρὶ, [e]πρὸς σκέλος κυρηβάσει.

Ἀντὶ τοῦ πρὸς τὸ σκέλος μαχεῖται. Ἢ διαπεσεῖται, ἐὰν ὑποσταλῇ, ἢ φύγῃ.

Κυρηβάσιος:

Κυρήβια: Πίτυρα, καὶ τὰ τῶν κριθῶν ἀποβρέγματα, τὰ ἄχυρα, ἢ τῶν πυρῶν· ἢ ἔνθα αἱ κάγχρυς φρύγονται. Κάγχρυς δὲ εἰσὶν, αἱ [f]ἀληλεσμέναι κριθαί.

Κυρήβιος: Ἀπὸ τόπου.

Κυρηβίων, Κυρηβίωνος. Ἐπώνυμόν ἐστιν Ἐπικράτους, τοῦ Αἰσχίνου κηδεστοῦ.

Κύρημα: Ἐπίτευγμα, συγκύρημα, ἕρμαιον.

Κυρηναῖος: Ἀπὸ Κυρήνης.

[[g]Ὅτι ἡ Κυρηναϊκὴ κληθεῖσα αἵρεσις ἀπὸ Ἀριστίππου φιλοσόφου ἤρξατο.]

Κυρηνίτης: Ἀπὸ τόπου.

Κυρία: Ἡ κατὰ φύσιν ὑπάρχουσα δύναμις. Καὶ [h]κυρία, ἡ ὡρισμένη καὶ ἐμπρόθεσμος ἡμέρα.

> Ἀθρόον τε ἐν αὐτῇ τῇ κυρίᾳ ἐπιπεσόντες τοῖς ἡγεμόσι, πάντας [i]ἀπέκτεινον.

Καὶ κυριώτατον, τὸ τελεώτατον. Πολύβιος·

> [k]Κυριώτατον [l]ἦν τὸν πόλεμον φυγεῖν ἀπὸ τῆς Μακεδονίας.

Κυρία: Ἐκκλησίας οἱ πρυτάνεις συνῆγον, τὴν βουλὴν καὶ τὸν δῆμον, ἡ τὴν βουλὴν ὁσημέραι, πλὴν ἐάν τις ἀφέσιμος [m]ἦ· τὸν δὲ δῆμον τετράκις τῆς πρυτανείας ἑκάστης. Ἐν δὲ τῇ κυρίᾳ ἐκκλησίᾳ ἔδει τὰς ἀρχὰς ἀποχειροτονεῖν, [n]εἰ ἐδόκουν μὴ καλῶς ἄρχειν, καὶ περὶ τῆς φυλακῆς δὲ τῆς χώρας, καὶ τὰς εἰσαγγελίας ἐν ταύτῃ τῇ ἡμέρᾳ οἱ βουλόμενοι ἐποιοῦντο.

[Κυριακὴ μεγάλη: Περὶ τῆς τριημέρου ἀναστάσεως τοῦ Χριστοῦ, ἐν τῷ Ἀττή.]

Κυριεύω: Γενικῇ.

Κύριλλος, διάκονος ἐν [o]Ἡλιουπόλει τῇ πρὸς τῷ Λιβάνῳ· ὃς ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου πολλὰ εἴδωλα συνέτριψεν. Ἐπὶ δὲ Ἰουλιανοῦ τούτου τὴν γαστέρα διατεμόντες, τοῦ ἥπατος ἀπεγεύσαντο.

[Κυρῖνος: Ὄνομα κύριον, ὁ σοφιστής. Ἐλέγετο δὲ καὶ γλῶσσα ταμιεῖον, ἣν ἔσχεν ἐκ βασιλέως.]

Κύριος: Κυρίως ὁ [p]κεκριμένος, καὶ βέβαιος.

Κυρίως: Τὸ ἀναγκαίως. Καὶ κυρίως, καὶ τὸ ἁπλῶς, [q]ταυτὸ σημαίνει. [r]Ὁ γὰρ λέγων ἁπλῶς τὸν

τοὺς Ἀθηναίους, ἐν αἷς τὰς κατὰ τῶν ἀδικούντων ἔγραφον τιμωρίας, ἔγραφον δὲ καὶ τοὺς νόμους.

[t] ἐποίουν] Hæc vox supervacanea est, nec agnoscit eam Zenobius: quam proinde per me deleas licet. KUST.

[u] πονηρῶν] πονηρευομένων Zenob.

[x] Κορυβάντων] Sic Theophrastus apud Photium.

ΚΥΡΒΙΣ: Ὁ περίεργ.] Ex Schol. Aristoph. Nub. 447. ἣ om. A.V.E.M.

[y] ὑπομείναιμι] Sic mss. et M. ὑπομεῖναι Aldus et sequaces ante Kuster.

ΚΥΡΕΙΟΝ ΣΤΡΑΤ.] Ex Harpocratione. KUST.

[z] Ἰσοκράτης] P. 70 c. Κύρου στρατεύματι. Conf. Sturzii Lex. Xenoph. v. Κυρεῖος, Coraium ad Isocrat. II. p. 52.

[a] ἐπὶ Ξέρξην] Scribendum esse Ἀρταξέρξην, ex historia constat. Vide Xenophontem Ἀναβ. lib. I. p. 243. KUST. Ἀρταξέρξην Harpocrat. Photius.

[b] Κυρηβασία λέγ.] Ex Schol. Aristoph. Equit. 272.

[c] ἡ πλῆξις] αἱ πλήξεις A.B.V. ἡ ἔκπληξις E.

[d] Εἰ δ' ἐκκλίνει γε δ.] Scribe, Ἢν δ' ἐκκλίνῃ γε δευρὶ πρὸς σκέλος κυρηβάσει. Sic enim legitur apud Aristophanem loco laudato. KUST. ἐκκλίνοι A.

[e] πρὸς τὸ] τὸ om. A.B.V.E. ἂν A.E. pro ἀντὶ τοῦ. Tum κλέος E. Mox μαχῆται E. et διαπεσῆται.

ΚΥΡΗΒΙΑ: Πίτυρα] Apud Schol. Aristoph. Equit. 253. unde hæc Suidas descripsit, rectius sic legitur: Κυρήβια. τὰ πίτυρα καὶ ἄχυρα τῶν πυρῶν ἢ κριθῶν. Vide etiam supra v. Κόμματα. KUST.

[f] ἀληλεσμέναι] Scholiasta Aristophanis loco laudato habet λελεπισμέναι: uti etiam hic apud Suidam scribendum videtur. Supra tamen v. Κάγχρυς itidem legitur ἀληλεσμέναι. KUST. ἀλεσκόμεναι E.

ΚΥΡΗΒΙΩΝ] Ex Harpocratione. KUST. Ulpian. Demosth. Or. Παραπρεσβ. (p. 433, 21 Reisk.) καὶ τοῦ καταράτου Κυρηβίωνος, τὸ μὲν ὄνομα Ἐπικράτης, τὸ δὲ Κυρηβίωνος Ἀττικῶς. Λέγει δὲ τὸ κάθαρμα καὶ εὐτελές. Κυρήβια γὰρ τὰ ἀποκαθάρματα τοῦ σίτου λέγουσι. Themist. in Orat. Πῶς τῷ φιλοσόφῳ λεκτέον, Οὔτε τοὺς φιλοσόφους μὴ διαλέγεσθαι τοῖς πολλοῖς, ὅτι ἐν τοῖς πολλοῖς ὁ Μαμμακύθας καὶ ὁ Κυρηβίων οὐκ ἐσίτασθον ἐπὶ τοῦ λόγου. Meurs. Att. Lectt. I. 4. REINES. Καὶ Κυρηβίωνος A.V.E.M.

ΚΥΡΗΜΑ] Vide paulo inferius v. Κύρμα. KUST.

[g] ὍΤΙ] Seqq. habet A. in marg. om. V. Post v. seq. ponit E. Vid. v. Ἀρίστιππος.

ΚΥΡΗΝΙΤΗΣ] Κυρηνίτης B.V.

[h] ΚΥΡΙΑ—ἡμέρα] Synes. Ep. p. 251. ed. Morel. ἡ κυρία παρεῖναι δοκεῖ. dies mortis. Eurip. Alc. 156. ἡμέραν τὴν κυρίαν. Appian. p. 608. Procop. p. 93. ἐπεὶ δὲ ἡ κυρία παρῆν—the day appointed. Herod. 395. κυρίῃ ἡμέρῃ. TOUP.

[i] ἀπέκτεινον] ἀπέκτειναν A.B.V.E.M.

[k] Κυριώτατον οὖν τὸν πόλ.] Fragmentum hoc Polybii adducit etiam Suidas supra v. Ἐρύκειν. Sed ibi pro φυγεῖν legitur ἐρύκειν. KUST.

[l] οὖν] ἦν A.V.

ΚΥΡΙΑ ἐκκλησία] Ex Harpocratione. Vide etiam supra v. Ἐκκλησία κυρία, et Petitum de Leg. Attic. p. 196. KUST. ἐκκλησίας A. Photii ms. Harpocrat. ms. Pal.

[m] ἦν] ᾖ A. Phot. Harpocr.

[n] εἰ] αἱ A.B.V.E. Phot. Harpocr. Mox τῆς εἰσαγγ. A.M.

ΚΥΡΙΑΚΗ] Deest gl. A.V.

ΚΥΡΙΛΛΟΣ, διάκονος ἐν Ἡλιουπ.] Hæc Suidas sumpsit ex Theodoreti Histor. Eccles. lib. III. c. 7. KUST. Κυρίλλ. ἱερομάρτ. A. in marg.

[o] Ἡλιουπόλει] Ἡλιοπόλει A.B.V.E.M.

ΚΥΡΙΝΟΣ] Vide supra v. Γλῶσσα ταμιεῖον. KUST. Sunt ex Philostrato Vit. Soph. II. 19. In domo Quirini Hierius Plut. fil. sub Proclo philosophans vidit caput humanum ciceris imagine. Vid. Damasc. ap. Phot. c. 242. p. 1045. REINES.

ib. Hunc artic. om. A.V.

[p] κεκριμένος] κεκρυμμένος B.V.E. pr. κεκριμμένος M.

[q] ταυτὸ] ταυτὸν A.V.

[a] γηρῶντα πολιοῦσθαι, ἢ πάντα ἄνθρωπον πενταδάκτυλον εἶναι, ἀντὶ τοῦ ἀναγκαίως εἶπε. Καὶ ΚΥΡΙΏΤΑΤΟΝ, τὸ ἀναγκαιότατον.

Κυρίσσει: Κέρατι τύπτει.

Κυρισίκης: Ἐπώνυμον τοῦ ἁγίου Εὐστρατίου.

Κυρίτων: Ὄνομα κύριον.

Κυρκανᾶν: Ταράττειν, κινεῖν.

> [t] Ἐμοὶ [u] τούτῳ δοκεῖ,
> ὄλεθρόν τιν' ἡμᾶς κυρκανᾶν ἁμωσγέπως.

Κύρμα: [x] Ἐπίτευγμα, παρὰ τὸ κυρεῖν· ἢ ἔντευγμα, καὶ [y] σπάραγμα τοῦ νοῦ.

Κύρνος: Ὄνομα κύριον.

Κῦρος: Ἐπιτυχία. [z] Σοφοκλῆς·

> Πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν.

[a] Ἐπιτευκτικὴ, καὶ κυρία.

Κῦρος: Ἐξουσία.

Κῦρος, [b] Πανοπολίτης, ἐποποιός. Γέγονεν ἐπὶ Θεοδοσίου τοῦ νέου βασιλέως, ὑφ' οὗ καὶ ἔπαρχος πραιτωρίων καὶ ἔπαρχος [c] πόλεως προεβλήθη· καὶ γέγονεν ἀπὸ ὑπάτων, καὶ πατρίκιος. Εὐδοκία γὰρ ἡ Θεοδοσίου γαμετὴ, βασιλὶς οὖσα, ὑπερηγάσθη τὸν Κῦρον, φιλοεπὴς οὖσα. Ἀλλὰ αὐτῆς ἀποστάσης τῶν βασιλείων, καὶ εἰς ἀνατολὴν ἐν Ἱεροσολύμοις διατριβούσης, Κῦρος ἐπιβουλευθεὶς ἐπίσκοπος τῶν ἱερῶν γίνεται ἐν Κοτυαείῳ τῆς Φρυγίας, καὶ παρέτεινε μέχρι Λέοντος τοῦ [d] βασιλέως.

Κῦρος, ὁ βασιλεύς. [e] Πατρὸς μὲν δὴ λέγεται γενέσθαι [[f] ὁ Κῦρος] Καμβύσεω Περσῶν βασιλέως· (ὁ δὲ Καμβύσης οὗτος τοῦ Περσειδῶν γένους, οἱ δὲ Περσεῖδαι ἀπὸ Περσέως κληΐζονται·) μητρὸς [illegible] Μανδάνης. [g] Ἡ δὲ Μανδάνη Ἀστυάγους ἦν θυγάτηρ, τοῦ Μήδων γενομένου βασιλέως. Φῦναι δὲ ὁ Κῦρος λέγεται καὶ ᾄδεται ἔτι καὶ νῦν ὑπὸ τῶν βαρβάρων, εἶδος μὲν [h] κάλλιστος, ψυχὴν δὲ φιλανθρωπότατος [i] καὶ φιλομαθέστατος· ὥστε πάντα μὲν πόνον [k] ἀνατλῆναι, πάντα δὲ κίνδυνον ὑπομεῖναι τοῦ ἐπαινεῖσθαι ἕνεκα.— Κῦρος δὲ ἐκλήθη, διὰ τὸ τῆς [l] βασιλείας παιδιὰν [m] διαπραττόμενος σὺν μειρακίοις τὸ κῦρος εἰληφέναι.

[n] Οὗτος ὁ Κῦρος φιλοσοφίας, εἰ καί τις ἄλλος, ἔμπειρος ἦν, ἥντινα παρὰ τοῖς μάγοις ἐπαιδεύθη· δικαιοσύνην τε καὶ ἀλήθειαν ἐδιδάχθη, κατὰ δή τινας πατρίους νόμους καθεστῶτας Περσῶν τοῖς ἀρίστοις.

[Κῦρος, ὁ Περσῶν βασιλεὺς, οὕτως ἐκλήθη διὰ τὸ ἐν τῇ βασιλίνδᾳ λεγομένῃ παιδιᾷ κυριεῦσαι τῶν ἡλίκων.]

Κῦρος: Ὅτι [o] διὰ τὴν ἐπίταξιν τοῦ φόρου ἔλεγον οἱ Πέρσαι, ὡς Δαρεῖος μὲν ἦν κάπηλος· Καμβύσης δὲ, δεσπότης· Κῦρος δὲ, πατήρ. Ὁ μὲν, ὅτι ἐκαπήλευε πάντα τὰ πράγματα· ὁ δὲ χαλεπός τε ἦν καὶ ὀλίγωρος· ὁ δὲ, ὅτι ἤπιός τε, καὶ ἀγαθά [p] σφι ἐμηχανήσατο.

Κυρωνίδαι: Γένος ἐστὶν ὠνομασμένον ἀπὸ Κύρωνος, ὃν νόθον ἀδελφὸν εἶναι φασὶ τοῦ Κρόκωνος· παρὸ καὶ ἐντιμοτέρους εἶναι τοὺς Κροκωνίδας τῶν Κυρωνίδων. Τριχῇ δὲ αὐτοὺς ὀνομάζουσι, Κυρωνίδας, [q] Φιλιεῖς, καὶ Περιθοίδας.

Κυρσάνιε: Νεανία, ἔφηβε. Ἢ εὐτελέστατε. Κυρσὸς γὰρ, εὐτελὲς λάχανον. Κυρσανίους [illegible] καὶ

[r] Ὁ γὰρ λέγων ἁπλῶς—πενταδάκτυλον εἶναι] Ex Alexandro Aphrod. in Topic. p. 95. ex quo hunc ipsum locum longe auctiorem adducit Suidas supra v. Ἀναγκαῖον. KUST.

[s] γέροντα] γηρῶντα A.B.V.

ΚΥΡΙΣΣΕΙ καὶ ΚΥΡΙΤΤΕΙ] καὶ ΚΥΡΙΤΤΕΙ om. A.V. Phot.

ΚΥΡΙΣΙΚΗΣ] Deest gl. A.

ΚΥΡΚΑΝΑΝ] Vide supra v. Κοικύλλειν. KUST.

[t] Ἐμοὶ τοῦτο δοκεῖ, ὄλεθρ.] Aristoph. Thesmoph. 435.

[u] τοῦτο] τούτῳ V. Ver. seq. ἡμᾶς om. A.B.E.M.

ΚΥΡΜΑ] Vid. Schol. Aristoph. Av. 430. HEMST. Eadem habet Schol. Aristoph. Av. 430. neque discrepat ed. Med. nisi quod apud Schol. male pro ἐπίτευγμα legatur ἐπιτατικὸν, pro ἐπίτευκτον aut ἐπιτευκτικόν. Bene Kuster. vitioso τοῦ νοῦ substituendum vidit τῶν κυνῶν. ABRESCH.

[x] Ἐπίτευγμα] ἐπίταγμα A.

[y] Σπάραγμα τοῦ νοῦ] Vel duas postremas voculas, utpote nihil ad rem facientes, dele: vel scribe, σπάραγμα κυνῶν. Homerus Il. ρ'. 272. Μίσησεν δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι. KUST.

[z] Σοφοκλῆς] Electr. 919. Mox κακῶν M.

[a] Ἐπιτευκτικὴ] ἐπιτακτικὴ A.

ΚΥΡΟΣ] Menander Hist. p. 98. TOUP. Κῦρος [illegible] ἡ ἐξουσία ἐξ οὗ καὶ ἀκυρότατος V. in marg.

ΚΥΡΟΣ, Πανοπολ.] Hujus Cyri poetæ mentionem facit Euagrius Histor. Eccles. lib. I. c. 19. his verbis: Τότε φασὶ καὶ Κλαυδιανὸν καὶ Κῦρον τοὺς ποιητὰς ἀναδειχθῆναι· Κῦρον [illegible] καὶ πρὸς τὸν μέγιστον τῶν ὑπάρχων ἀναβῆναι θρόνον, ὃν ὕπαρχον τῆς αὐλῆς οἱ πρὸ ἡμῶν κεκλήκασι· καὶ τῶν ἑσπερίων ἐξηγήσασθαι δυνάμεων, Καρχηδόνος ὑπὸ Βανδίλων κρατηθείσης, Γιζερίχου τε τῶν βαρβάρων ἡγουμένου. Ejusdem ex Prisco Thrace historico meminit etiam auctor Chronici Alexandrini sub Olymp. CCCVII. qui præterea refert, eum absente Hierosolymis Eudocia imperatrice, insidiis inimicorum circumventum, Smyrnam relegatum fuisse: in quo discrepat a Suida, qui eundem Cotyæum, quæ est urbs Phrygiæ, relegatum fuisse scribit, ut sacris ibi præesset. Hæc quæ de Cyro poeta diximus, jam ante etiam observata fuerunt a Reinesio Var. Lect. lib. III. p. 561. qui præterea monet, exstare adhuc Cyri hujus epigramma εἰς μαῖαν, lib. III. Anthol. cap. 12. et aliud εἰς βαλανεῖον, lib. IV. c. 18. KUST. Conf. Jacobsii Catal. Poet. Epigramm. Anim. in Anthol. vol. III. part. 3. p. 878.

[b] Πανοπολίτης] Πανοπλίτης B.E.M.

[c] πόλεως] πόλεων B.E.M.

[d] βασιλέως] Addit A. in marg. Οὗτος κτίζει τὸν ναὸν τῆς θεοῦ τὸν λεγόμενον τὰ Κύρου.

ΚΥΡΟΣ] Vid. Disput. Gerhardi Jen. a. 1653. de Cyro. REINES.

[e] Πατρὸς——τοῦ ἐπαινεῖσθαι ἕνεκα] Hæc sunt verba Xenophontis lib. I. Cyrop. p. 3. c. 2. ut Pearsonius monuit. KUST.

[f] ὁ Κῦρος om. A.

[g] Ἡ δὲ Μανδάνη Ἀστυάγους ἦν] Ἦν [illegible] ἡ Μανδάνη Ἀστυάγους A.

[h] κάλλιστος] κάλλιστον V.

[i] καὶ φιλομαθέστατος] Adde ex Xenophonte, καὶ φιλοτιμότατος. KUST.

[k] ἀνατλῆναι] ἀντλῆναι B. ἂν τλῆναι E.

[l] βασιλείας παιδιὰν] Vid. Herodot. I. 114.

[m] διαπραττόμενος] διαπραττόμενον A.

[n] Οὗτος φιλοσοφίας, εἰ καί τις ἄλλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, leguntur apud Nicol. Damascenum in Excerptis a Valesio editis p. 454. unde ea Suidas deprompsit. KUST. Οὗτος ὁ Κῦρος A.

ΚΥΡΟΣ] Deest hic articulus A.V.

[o] διὰ τὴν ἐπίταξιν] Ex Herodot. III. 89. KUST.

[p] σφι] σφι τὰ B.E.M. Ald.

ΚΥΡΩΝΙΔΑΙ: Γένος ἐστὶν ὀνομ.] Ex Harpocratione: sed apud quem legitur Κειρωνίδαι, per diphthongum ει. KUST. Vid. Ruhnken. Hist. Crit. Or. Gr. p. LXXVI.

[q] Φιλιεῖς, καὶ Περιθοίδας] Harpocratio habet Φιλιεῖς καὶ Περιθοίδας. KUST. Sic et Photius. φιλιεῖς A.B.E.

ΚΥΡΣΑΝΙΕ: Νεανία, ἔφηβ.] Ex Schol. Aristoph. Lysistr. 982. Κῆρυξ ἐγών, ὦ κυρσάνιε, ναὶ τὼ σιώ. Lacon ibi

λοῦσιν οἱ Λάκωνες τὰ μειράκια, καὶ τοὺς εὐτελεῖς ἀνθρώπους. [A]

Κυρσίλος: Ὄνομα κύριον. Ὃν Ἀθηναῖοι κατέλευσαν, διότι ὑπακούειν Πέρσαις [r]προυτρέπετο.

Κυρτὴ καὶ κοίλη παράταξις, καὶ ἐπικάμπιος εἰς τοὐπίσω τε καὶ πρόσω, ἡ τὸ στόμα κοῖλον ἔχουσα, ἢ κυρτὸν, ἢ ἐπικαμπές· καὶ [s]τοῦτο, ὡς εἴρηται, ἢ εἰς τοὐπίσω, ἢ εἰς τὸ πρόσω. Ὥστε τὰ εἴδη [t]αὐτῆς [u]γίνεται ἕξ, [x]ἑκάστης τῶν τριῶν ἢ εἰς τοὐπίσω σχη- [B] ματιζομένης, ἢ εἰς τὸ πρόσω.

Κύρτωμα: Ἡ λεγομένη καμάρα.

[y]Κύρτωμα γὰρ τοῖς πάλαι ἀνθρώποις ὑπὲρ τῆς δεξαμενῆς σκιᾶς ἕνεκα ἐπεποίητο.

Κυροῖ:

[z]Κἀνήρετ' ἐν τῷ πράγματος [a]κυροῖ ποτε.

Τὸ κυρῶ περισπωμένως ἡ συνήθεια [b]καὶ Ἀττικοί. Ἐν δὲ τοῖς εὐκτικοῖς βαρύνουσιν αὐτὸ Ἀττικοὶ μετὰ ἐκ- [C] τάσεως τοῦ υ, κύροι λέγοντες, ἀντὶ τοῦ [c]κυροίη. Κεῖται δὲ καὶ ἀντὶ τοῦ κυρεῖ ὁριστικοῦ παρὰ Σοφοκλεῖ.

Κῦσόν με: Φίλησόν με. [d]Ἀριστοφάνης Νεφέλαις·

Κῦσόν με, καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν.

Ἐπὶ πίστει καὶ [e]συνθήκαις διδόναι τὰς δεξιὰς ἀλλή- [D] λοις εἰώθασιν. Ὑπὲρ [f]οὖν τοῦ πεισθῆναι τὸν νεανίαν, ὁ πρεσβύτης ταύτην ἀξιοῖ παρ' αὐτοῦ πίστιν λαβεῖν.

Κύστιν: Οὐρήθραν, ἐφήβιον, ὑπογάστριον, [g]τὴν κοιλίαν, τὴν φύσαν. Εἴρηται δὲ φύσα [h]ἀπὸ τοῦ πάσχειν πεφυκέναι.

Κύτταρος: Τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος, ἡ τῆς βαλάνου πυελίς· [i]ἢ τὸ προεξάνθημα τῆς ῥοιᾶς· ἢ ἡ ἐν τοῖς κηρίοις τῶν μελιττῶν [k]πυελὶς καὶ κατάτρησις· [l]ἢ τὸ ὑψηλότατον τοῦ οὐρανοῦ· λέγουσι γὰρ κοῖλον εἶναι τὸν οὐρανὸν, ὥσπερ τοῦ ᾠοῦ τὴν λεπίδα. Τὸ κοιλότατον, καὶ [m]μυχαίτατον.

Κύτταρος: Αἱ τῶν κηρίων καὶ [n]σφηκῶν κατατρήσεις. [o]Θεόφραστος δὲ κυρίως λέγει κύτταρον τὴν [B] προάνθησιν τῆς πίτυος, ἥτις ἐστὶν ὡς στάχυς μικρὸς ἐκ μεγάλων [p]πυρῶν, ξηραινόμενος δὲ θυλακοῦται καὶ ἀποπίπτει. Οἷον οὖν ἀγγειῶδές [q]φησι [r]κύτταρον οὐρανοῦ. Ὁ αὐτὸς Ἀριστοφάνης ἐν [s]Θεσμοφοριαζούσαις·

Πόσθιον
τῷ σῷ προσόμοιον, στρεβλὸν ὥσπερ κύτταρον.

Κυταία: Πόλις. Καὶ Κυταιΐδος.

[C] Κύταιον: Τόπος τις.

Κύτη: Ὄνομα πόλεως.

Κύτος: Ὄγκος, χώρημα, βάθος, [[u]πλάτος.] Καὶ [t]περικυττώσαντες.

Τὸ δὲ κύτος τῶν πλοίων κωτοῖς κατεστόρεσε, πρὸς εὐμαρῆ στάσιν τῶν ἵππων.

Κυτωρίς: Τόπος παραθαλάσσιος.

[D] Κυτώσαντες: Τὸ κύτος περικαλύψαντες.

Βοείῳ δέρματι περικυτώσαντες.

Κυφαλέα:

[x]Ἐπεὶ τάχ' ἂν ἡ παλικαμπὴς
ἰξὺς κεὶς ἀΐδαν ᾤχετο κυφαλέα.

[y]Κεκυρτωμένη.

Κυφαλέος: Ὁ κεκυρτωμένος.

[E] Laconice loquens introducitur. Photius in Lexico inedito: Κυρσάνια, Λάκωνες τὰ μειράκια. KUST. Εὐτελέστατον M.

ΚΥΡΣΙΛΟΣ] Hujus meminit Demosthenes in oratione pro Ctesiphonte, ut vel ex Harpocratione constat, cujus vestigia Suidas hic secutus est. KUST. Post Κυρίτων in A.V.

[r] προετρέπετο] κατέθετο V.

ΚΥΡΤΗ] Montfaucon. Bibl. Coislin. p. 513.

[s] τούτου] τοῦτο A.B.V.E.M. Coisl.

[t] αὐτοῦ] Potius αὐτῆς, ut referatur ad παράταξις. KUST. [F] Sic Coislin.

[u] γίνονται] γίνεται A.V. Coisl.

[x] ἐκ] ἑκάστης Coisl. ἐκ τῆς A.V.

[y] Κύρτωμα γὰρ τοῖς π.] Pleniorem hujus loci sensum pete ex Procopio de Bello Goth. lib. II. c. 27. unde hæc Suidas excerpsit. KUST.

ΚΥΡΕΙ] Κυρεῖ A.B.V. et in exemplo.

[z] Κἀνήρετ' ἐν τῷ πρ.] Sophocl. Aj. 314. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST. Κἀνείρετ' A.V. [G]

[a] Κυρεῖ] Scholiasta Sophoclis olim legit κύροι, ut ex verbis ejus subjunctis colligitur. KUST.

[b] καὶ Ἀττικοί] καὶ Ἀττικοὶ βαρύνουσιν αὐτό. ἐν δὲ τοῖς εὐκτικοῖς βαρύνουσι Ἀττικοὶ M.

[c] κυροίη] κύροι A.

[d] Ἀριστοφάνης Νεφέλαις] Ver. 81.

[e] συνθήκῃ] συνθήκαις A.V. Schol.

[f] οὖν] οὐ V.

ΚΥΣΤΙΝ—ὑπογάστριον] Hæc Photius et Lex. Seg. Seqq. [H] sunt ex Schol. Aristoph. Nub. 404.

[g] τὴν κοιλίαν] At κύστιν et κοιλίαν distinguit Enarrator Comici ad Nub. 404. Verba ejus hæc sunt: Κύστις δὲ κοιλίας διαφέρει. Τὸ μὲν γὰρ τῆς ὑγρᾶς περιττώσεως δεκτικὸν μόριον ὀνομάζεται κύστις· τὸ δὲ τῆς ξηρᾶς, κοιλία· ὡς Ἀριστοτέλης περὶ Ζώων ἱστορίας α'. Recte. KUST.

[h] ἀπὸ τοῦ—πεφυκέναι] ἀφ' οὗ—πέφυκε Schol.

[i] ἢ τὸ προεξάνθημα—μυελὶς om. Schol. Aristoph.

[k] μυελὶς] πυελὶς A.E. Photius.

[l] Ἢ τὸ ὑψηλότατον—λεπίδα] Hæc iterat Schol. a Bekkero editus ad Pac. 198.

ΚΥΤΤΑΡΟΣ: Τὸ πῶμα τῆς βαλ.] Ex Schol. Aristoph. Vesp. 1106. Vid. infra v. Λέων. τόμα M.

[m] μυχαίτατον] Sequuntur in Schol. Θεόφραστος δὲ etc. demptis mediis.

ΚΥΤΤΑΡΟΣ: Αἱ τῶν κηρίων καὶ σφ.] Et hæc leguntur apud eundem Scholiastam loco modo laudato. Confer etiam Hesychium v. Κύπαρος. KUST.

[n] σφηκῶν] σφηκίων Schol. ad Pac. ed. Bekker.

[o] Θεόφραστος] Histor. Plant. lib. III. c. 6. ubi vide Bodæum a Stapel. KUST. Schneider ad III. 3, 8. p.145.

[p] πυρῶν] πυρήνων Photius.

[q] φησὶ ΚΥΤΤΑΡΟΝ ΟΥΡΑΝΟΥ] Junxi auctore Scholiasta. Vulgo alia gl. incipit a v. Κύτταρον. Scholiastes apud Bekkerum ad Pac. l. c. Θεόφραστος δὲ κυρίως λέγει προάνθησίν τινα τῆς πεύκης καὶ τῆς πίτυος, ἥτις ἐστὶν ὥσπερ μικρὸς (supple σταχὺς) ἐκ μεγάλων πυρῶν. Ξηραινομένης (sic) δὲ θυλακοῦται καὶ ἀποπίπτει. Οἷ (sic) οὖν ἀγγειώδες. Κύτταρον δὲ οὐρανοῦ λέγοι ἂν νυνὶ τὸ κοιλότατον καὶ μυχαίτατον.

[r] ΚΥΤΤΑΡΟΝ ΟΥΡΑΝΟΥ] Aristoph. Pac. 198. Τὸ αὐτὸν ἀνωτάτω τοὐρανοῦ τὸν κύτταρον. Scholiasta ad eum locum: Κυττάρους καλοῦσι τὰς τῶν σφηκίων κατατρήσεις. Μεταφορικῶς δὲ τὸ κοιλότατον καὶ μυχαίτατον εἶπε τοῦ οὐρανοῦ. Huc Suidas respexit. KUST.

[s] Θεσμοφοριαζούσαις] Ver. 523. Ubi Schol. Θεόφραστος τὴν προάνθησιν (sic leg.) τῆς πίτυος καὶ τῆς πεύκης.

[t] ΠΕΡΙΚΥΤΤΩΣΑΝΤΕΣ] Sic A.V. περικυτώσαντες B.E. edd. vett. Pertinere hæc verba ad tertium abhinc articulum monuit Gronovius.

[u] πλάτος] om. A.V. Photius, Lex. Seg.

[x] Ἐπεὶ] Anthol. Pal. VI. 297.

[y] Κεκυρτωμένη] κεκυρτωμένος A.B.V.M.

ἄνδρον, ὑπὲρ τοῦ τῆς τρυφῆς καὶ τοῦ θράσους ἐπισχεῖν τοὺς Κορινθίους. Καὶ γὰρ Θεόφραστος ἐν τῷ περὶ Καιρῶν β' λέγει οὕτως·

Ἕτεροι δ' εἰς ἀνδρωδέστερα καταδαπανῶντες, οἷον [k] στρατιὰς ἐξάγοντες, καὶ πολέμους [l] ἐπαναιρούμενοι, καθάπερ καὶ Διονύσιος ὁ τύραννος. Ἐκεῖνος γὰρ οὐ μόνον ᾤετο δεῖν τὰ τῶν ἄλλων καταναλίσκειν, ἀλλὰ καὶ τὰ αὑτοῦ, πρὸς τὸ μὴ ὑπάρχειν [m] ἐφόδιον τοῖς ἐπιβουλεύουσιν. Ἐοίκασι δὲ καὶ αἱ πυραμίδες ἐν Αἰγύπτῳ, καὶ ὁ τῶν Κυψελιδῶν κολοσσὸς, [n] καὶ πάντα τὰ τοιαῦτα τὴν αὐτὴν καὶ παραπλησίαν ἔχειν διάνοιαν.

B

Φέρεται δέ τι καὶ Ἐπίγραμμα [o] τοῦ κολοσσοῦ·

[p] Αὐτὸς ἐγὼ χρυσοῦς σφυρήλατός εἰμι κολοσσός·
ἐξώλης εἴη Κυψελιδῶν γενεά.

Ὅπερ Ἀπελλᾶς ὁ Ποντικὸς οὕτω προφέρεται·

Νάξιος [q] εἰμὶ ἐγὼ, παγχρύσεος εἰμὶ κολοσσός·
ἐξώλης εἴη Κυψελιδῶν γενεά.

ΚΥΨΕΛΟΒΎΣΤΟΝ: Τὸ ὑπὸ ῥύπου κεκαλυμμένον.

## Λ Α

ΛΆΑΣ: Λίθος. [a] Ἐν Ἐπιγράμμασι·

Πολυτρήτου τ' ἀπὸ πέτρης
λᾶαν, ὃς ἀμβλεῖαν θῆγε γένυν καλάμου.

ΛΆΑΣ: Λίθος. Καὶ ΛΆΟΥ, λίθου. Ἀπὸ τῆς ΛΆΟΣ εὐθείας, γενομένης ἀπὸ γενικῆς τῆς ΛΑΟΣ.

[b] Λᾶος ὑπαὶ ῥιπῆς.

[c] Λέχριός γ' ἐπ' ἄκρου
λάου βραχὺς ὀκλάσας.

ΛΑΒΑΪΣ: Ἐπαφαῖς, ἢ ἀφορμαῖς, ἢ μέμψεσι. [d] ΛΑΒᾺΣ δὲ ἈΜΦΙΣΤΟΜΟΥΣ, τὰ ὦτα τοῦ κρατῆρος, ἤτοι τὰς ἀμφοτέρωθεν ἐστομωμένας· ἢ διὰ τὸ ἑκατέρωθεν τοῦ στόματος ταύτας εἶναι· ἢ τὰς πρόσωπά τινα θηρίων ἑκατέρωθεν ἐχούσας.

A

Ὧν [e] κρᾶτ' ἔρεψον καὶ λαβὰς ἀμφιστόμους.

Τουτέστιν, ἔρεψον καὶ [f] τῶν κρατήρων τὴν κεφαλήν.

ὍΤΙ [g] Βαγώας ὁ Αἰγύπτιος ἔσφαξεν Ὦχον τὸν Πέρσην, καὶ τὰ μὲν κρέατα ἔφαγε, τὰ δὲ ὀστέα μαχαιρῶν εἰργάσατο λαβάς.

Καὶ αὖθις·

[h] Λαβαὶ φιλοσοφίας, ἀριθμητικὴ καὶ γεωμετρική.

ΛΑΒΕΙ͂Ν ΤΙΜΩΡΊΑΝ: Ἐκδικηθῆναι.

B ΛΆΒΗΙ: Αἰθυπόταστον.

ΛΑΒΊΝΙΟΣ: Ὄνομα κύριον.

ΛΑΒΡΑΓΌΡΗΝ: [i] Σφοδρῶς δημηγοροῦντα.

ΛΆΒΡΑΞ: Εἶδος ἰχθύος. Καὶ παροιμία· ΛΆΒΡΑΚΑΣ ΜΙΛΗΣΙΟΥΣ. [k] Τὴν δὲ προσηγορίαν πεποίηται, διότι κέχηνεν αὐτοῦ τὸ στόμα, καὶ ἀθρόως καὶ λάβρως τὸ δέλεαρ καταπίνει· ὅθεν καὶ εὐχερῶς ἁλίσκεται. Ἐν Μιλήτῳ δὲ τῆς Ἀσίας μέγιστοι γίνονται λάβρα-
C κες, καὶ πλεῖστοι. Μίλητος δὲ πόλις Ἀσίας, ἔνθα πολλοὶ γίνονται λάβρακες, διὰ τὴν ἐκδιδοῦσαν λίμνην εἰς τὴν θάλασσαν. Χαίροντες γὰρ οἱ ἰχθύες τῷ γλυκεῖ ὕδατι, εἰς τὴν λίμνην ἀνατρέχουσιν ἐκ τῆς θαλάσσης, καὶ οὕτω πληθύνουσι παρὰ Μιλησίοις.

ΛΑΒΡΌΤΑΤΟΣ:

ΛΑΒΡΏΝΙΟΝ: Εἶδος ἐκπώματος. Καὶ ΛΑΒΡΏΝΙΟΣ.

D ΛΑΒΎΡΙΝΘΟΣ: [l] Κοχλιοειδὴς τόπος· λέγεται δὲ ἐπὶ τῶν φλυάρων. [m] Παρὰ τὸ μὴ λαβεῖν θύραν, ἢ παρὰ τὸ [n] πολλοῖς λόγων κύκλοις κεχρῆσθαι. Σημαίνει δὲ καὶ τὸ τῶν Ἀντριάδων Νυμφῶν ἀνάθημα.

[o] Εἰν ἁλὶ λαβύρινθε, τό μοι λέγε, τίς σ' ἀνέθηκεν
ἀγρέμιον πολιᾶς ἐξ ἁλὸς εὑράμενος;

ΛΆΓΑΝΑ: Πλακουντάρια, [p] ὡς καπυρώδη. Παρὰ
E τὸ [q] λαγαρόν. [r] Καὶ

Λαγαριζόμενον, καὶ τρώγοντα τὸ μηδέν.

andro, qui aliam causam refert, quare Periander colossum Olympiæ fabricaverit. KUST.

[k] στρατιὰς] στρατιὰς A.B.E. στρατείας Photius.

[l] ἐπαναιρούμενοι] ἐπαναιρόμενοι E.

[m] ἐφόδιον] ἐφόδια Photius.

[n] καὶ πάντα—διάνοιαν om. V.

[o] τοῦ κολοσσοῦ om. V.

[p] Αὐτὸς ἐγὼ] εἰμὶ ἐγὼ Photius. χρυσοῦς om. A.

[q] εἰμὶ ἐγὼ Νάξιος A.V.E.M. εἰμὶ ἐγὼ νάξος Photius.

ΚΥΨΕΛΟΒΥΣΤΟΝ] Lucian. Lexiph. 1. Σὺ δὲ κυψελόβυστα ἔοικας ἔχειν ὦτα. ibid. ἀπέστω δὲ ἡ ἐπιβύστρα ἡ κυψελίς. REINES. Gl. om. V.

[a] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 67.

[b] Λᾶος ὑπαὶ ῥιπ.] Hæc sunt verba Homeri Il. μ'. 462. KUST.

[c] Λέχριός γ' ἐπ' ἄκρου λ.] Sophoclis Œdip. Col. 196. λέχριος A.

[d] ΛΑΒΑΣ δὲ ἈΜΦΙΣΤΟΜΟΥΣ, κρατῆρος] Ex Schol. Sophocl. Œdip. Colon. 473.

[e] κρᾶτ' ἔρεψον] κατέρεψον A.B.V.E. edd. vett.

[f] τὴν κεφαλὴν τῶν κρατήρων] τῶν κρατήρων τὴν κεφαλὴν A.V.

[g] Βαγώας] Vid. Ælian. V. H. VI. 8. qui refert Artaxerxem Ochum a Bagoa ἀναιρεθέντα καὶ κατακοπέντα ταῖς αἰλούροις παραβληθῆναι, et Scheffer. Suid. in Ὦχος. HEMST.

[h] Λαβαὶ φιλοσοφίας ἀριθμ. καὶ γεωμ.] Laërtius in vita Xenocratis, sect. 10. Πρὸς δὲ τὸν μήτε μουσικὴν, μήτε γεωμετρίαν, μήτε ἀστρονομίαν μεμαθηκότα, βουλόμενον δὲ παρ' αὐτὸν φοιτᾶν· Πορεύου, ἔφη· λαβὰς γὰρ οὐκ ἔχεις φιλοσοφίας. KUST.

ΛΑΒΡΑΓΟΡΗΝ] Est vox Homerica Il. ψ'. 479. quam vetus Scholiasta ibi exponit, προπετῆ ἐν τοῖς λόγοις. τουτέστι λάβρον, καὶ θρασύν. KUST.

[i] Σφοδρῶς] σφοδρὸν A. Tum δημηγοροῦντα B.E. Photius. δημηγοροῦντα Lex. Seg.

[k] Τὴν δὲ προσηγορίαν] Ex Schol. Aristoph. Equit. 360.

ΛΑΒΡΟΤΑΤΟΣ] Pearsonius ad oram Suidæ sui hic notaverat, in ms. Florentino post λαβρότατος addi, σφοδρότατος. KUST. Λαβρότατος A.B.V. Hesychius Λαβρότατος: σφοδρότατος.

F ΛΑΒΡΩΝΙΟΝ: Εἶδος ἐκπ.] De hoc poculi genere vide Athen. lib. XI. p. 486. KUST. Mox καὶ Λαβρώνιος om. A.

[l] Κοχλιοειδὴς] κοχλοειδὴς A. Photius a corr. Vid. not. ad Hesych.

[m] Παρὰ τὸ μὴ λαβεῖν θύραν] Hæc Etymologia est inepta et merito explodenda. KUST. Seqq. desunt Photio.

[n] πολλοῖς—κύκλοις] πολλοὺς—κύκλους B.E. pr. Lex. Coisl. ap. Montfaucon. p. 235.

G [o] Εἰν ἁλὶ λαβ.] Anthol. Pal. VI. 224.

ΛΑΓΑΝΑ] Priores editt. habent λάγαρα. At mss. Paris. itemque Photius in Lexico ms. et Hesychius λάγανα: quod præferendum putavi. KUST.

[p] ὡς καπυρώδη] Hesychius habet, ὡς πυρώδη; eodem sensu. Portus legendum putabat, ὡς πατυρώδη: sed frustra. Lectio enim vulgata Suidæ, quam etiam confirmat Photius in Lexico inedito, recte se habet. Erant namque λάγανα placentæ in sartagine frixæ, ut ex Hesychio discimus: quas proinde recte quis καπυρώδεις, i. e. *ferventes*, dixerit.
H KUST. καπυρώδη A.

[q] λαγαρὸν] λαγαρὸ A. λαγαρὶ B.V.M. λαγαρῦ E.

[r] Καὶ λαγαριζόμενον] Aristoph. Vesp. 672. Ἐκ κιθαρίου λαγαριζόμενον, καὶ τρωγαλίζοντα τὸ μηδέν. Vide ibi interpretes. KUST. λαγαριζόμενον A.B. λαγ(χ)αριζόμενον V.

[s] Καὶ Δαβὶδ, θύσας ἐπὶ τῇ τῆς κιβωτοῦ μεταθέσει, γυναιξὶ καὶ ἀνδράσι καὶ νηπίοις διέδωκε [t] κολλουρίδ' ἄρτου, καὶ ἐσχαρίτην, καὶ [u] λαγανιστὸν, καὶ μερίδα θύματος.

Λαγαρόν: Ὑπόκενον.

Ἐμηχανῶντο δὲ, ὅσα λαγαρότητι ἢ [x] ἀπαλότητι πρὸς τὰς τοξείας ἀντήρκει.

Καὶ ἐν Ἐπιγράμμασι·

[y] Καὶ λαγαρὸν δειρῇ δέρμα περικρέμαται.

Καὶ αὖθις·

[z] Σοὶ γὰρ ὑπὲρ σχιδάκων λαγαρὸν πετάνυμα πρόκειται.

Λαγαριζόμενον: [a] Ἀριστοφάνης·

Ὡς ᾔσθηται τὸν σέρφακα . . .
ἐκ [b] κηθαρίου λαγαριζόμενον, καὶ τραγαλίζοντα τὸ μηδέν.

Λάγειον αἷμα: Τὸ τοῦ λαγωοῦ.

Λαγίδης: Ὁ τοῦ λαγωοῦ.

Λαγίσκα: Ἑταίρα [c] τις, ἧς Λυσίας μνημονεύει.

Λαγνεία: Πορνεία.

Λάγνης: Ἀρσενικῶς, ἀντὶ τοῦ [d] λάγνος.

Λάγνος: Πόρνος, αἰσχρὸς, καταφερὴς πρὸς τὰ ἀφροδίσια.

Λαγόβαρδος: Ἐθνικόν.

Λαγόβιος: Ὄνομα κύριον.

Λαγόνος:

Λαγορία: Ὄνομα πόλεως.

Λάγος: Ὄνομα κύριον. Ὃς Ἀρσινόην ἔγημε τὴν Πτολεμαίου τοῦ Σωτῆρος μητέρα. Τοῦτον δὲ τὸν Πτολεμαῖον οὐδέν οἱ προσήκοντα [e] ἐξέθηκεν ἄρα ὁ Λάγος ἐπ' ἀσπίδος χαλκῆς. Διαρρεῖ δὲ [f] λόγος ἐκ Μακεδονίας, ὃς λέγει, ἀετὸν ἐπιφοιτῶντα καὶ τὰς πτέρυγας [g] ὑποτείνοντα καὶ [h] ἑαυτὸν αἰωροῦντα, ἀποστέγειν αὐτοῦ καὶ [i] τὴν ἄκρατον ἀκτῖνα, καὶ ὅτε [k] ὕοι, τὸν πολὺν ὑετόν· τούς γε μὴν ἀγελαίους φοβεῖν ὄρνιθας, διασπᾶν δὲ ὄρτυγας, καὶ τὸ αἷμα αὐτῷ παρέχειν τροφὴν ὡς γάλα.

Λαγωβολεῖον: Ἐν ᾧ τοὺς λαγωοὺς ἀγρεύουσι.

Λαγῴδιον:

Λαγῷ πεινῶντι καὶ πλακοῦντες εἰς σῦκα: Παροιμία πρὸς τοὺς τὰ ἐν ἀνάγκῃ πολυτελῆ λογιζομένους.

[[l] Φανεὶς ὁ λαγὼς, δυστυχεῖς ποιεῖ τρίβους.]

Λαγὼς καθεύδων: Ἐπὶ τῶν προσποιουμένων καθεύδειν. Λέγεται καὶ λαγωὸς, λαγωοῦ. Ἐν Ἐπιγράμμασι·

[m] Τὸν ταχύπουν ἔτι παῖδα συναρπασθέντα τεκούσης
ἄρτι μ' ἀπὸ στέρνων, οὐατόεντα [n] λαγών.

Λαγὼς περὶ τῶν κρεῶν: Παροιμία. Δειλὸν γὰρ τὸ ζῶον ὁ λαγώς. Ὅθεν καὶ ὁ Ῥηγῖνος λαγὼς ἐλέχθη· [o] καὶ γὰρ τοὺς Ῥηγίνους ἐπὶ δειλίᾳ ἐκωμῴδουν. Παροιμία δέ τις ἐστὶν, ὁ λαγὼς [p] τὸν περὶ τῶν κρεῶν τρέχει. Ἐπὶ τῶν διακινδυνευόντων ταῖς ψυχαῖς, καὶ πρὸς τοῦτο καρτερῶς ἀγωνιζομένων ταττομένη. Καὶ παροιμία· Ὁ Καρπάθιος τὸν λαγών. Ἐπὶ τῶν ἑαυτοὺς βλαπτόντων. Οἱ γὰρ Καρπάθιοι νῆσον οἰκοῦντες, καὶ λαγωοὺς οὐκ ἔχοντες, ἐπηγάγοντο· οἱ πολλοὶ [q] γινόμενοι, ἐλυμαίνοντο τοὺς καρπούς.

Λαγῴοις: Τοῖς τοῦ [r] λαγοῦ κρέασιν. [s] Ἀριστοφάνης·

[t] Ἐξ ὧν δύο μυριάδες τῶν δημοτικῶν ἐν λαγῴοις
καὶ στεφάνοισι παντοδαποῖσι.

Λάγυνος: Ὁ πανδεκτικός.

Λάγυνος:

[u] Κύπριδι κεῖσο, λάγυνε μεθυσφαλὲς, αἰτίκα δῶρον
κεῖσο, κασιγνήτη νεκταρέης κύλικος
βακχείας, ὑγρόφθογγε, συνέστιε δαιτὸς ἑδραίης,
στεινοαύχην. ψήφου συμβολικῆς θύγατερ,
θνητοῖς αὐτοδίδακτε διήκονε, μίστι φιλοίνων
ἡδίστη, δείπνων δαλὸν ἑτοιμότατον.

Λάδων: Ποταμὸς Ἀρκαδίας.

Λάειν: Βλέπειν. Καὶ λαλὸς, ὁ τυφλός.

Λάειος φόνος: Ὁ τοῦ Λαΐου.

Λάϊγγες: Οἱ μικροὶ λίθοι.

Λάϊνον ἕσσο χιτῶνα: Λιθόλευστος ἐγεγόνεις.

[s] Καὶ Δαβὶδ θύσας ἐπὶ τ.] Historia exstat 2 Sam. c. VI. KUST.

[t] κολλουρία δ' ἄρτου] Scribe κολλουρίδα ἄρτου, vel κολλυρίδα; ut habent LXX Interpr. loco laudato. KUST. κολλουρίδ' A.V.

[u] λαχανιστόν] Vel scribe, λάγανον ἀπὸ τηγάνου, ut habent LXX Interpr. vel, λάγανον τηγανιστὸν, ut Josephus. [VII. 4, 2.] KUST. λαγανιστὸν A.B.V.E. Repone ex Josepho λάγανον τηγανιστόν.

[x] ἀπαλότητι] Sic habent 2 mss. Paris. At priores editt. [et E.] minus recte, ἀπλότητι. KUST.

[y] Καὶ λαγαρὸν] Anthol. Pal. V. 264.

[z] Σοὶ γὰρ ὑπὲρ σχιδ.] Anthol. Pal. VI. 231.

ΛΑΓΑΡΤΖΟΜΕΝΟΝ] Λαγαριζόμενον A. et, ni fallor, V.

[a] Ἀριστοφάνης] Vesp. 672.

[b] κιθαρίου] κηθαρίου V. Mox ἐκτραγαλίζοντα B.E. pro καὶ τρ.

ΛΑΓΙΔΑΣ] Si Theocritum respexit XVII. 14. reponendum forte Λαγοῦ pro λαγωοῦ. In Schol. ad eum locum unus saltim ms. pro Λαγοῦ præbet λαγωοῦ. Zonaras: Λαγίδας: ὁ τοῦ Λαγοῦ παῖς. In Suida Λαγοῦ reponit Titmannus.

ΛΑΓΙΣΚΑ] Athenæus p. 570. TOUP.

[c] τις ἦν ἧς μνημονεύει Λυσίας] τις. Λυσίας μνημονεύει A. τις, ἧς Λυσίας μνημονεύει Phot. Harpocrat. ms. Pal.

[d] ὁ λάγνος] ὁ om. A.

ΛΑΓΟΡΙΑ] Λαγαρία Steph. Byz.

[e] ἐξέθηκεν ἄρα ὁ Λάγος] Sic habent mss. Paris. At priores editt. [et E.] corrupte, ἐξέθηκεν ἄρα, ὡς λόγος. KUST.

[f] ὁ λόγος] ὁ om. A.V.

[g] ὑποτείνοντα] Potius ὑπερτείνοντα. Si enim alas substravit, quomodo se in sublime levare, et ab infante radios solis arcere potuit? KUST.

[h] ἑαυτὸν αἰωρ.] Paulo aliter leguntur in Ἄκρατον. Vid. porro Ἄκρατος ἡλίου ἀκτίς. HEMST.

[i] τὴν] καὶ τὴν A.V.

[k] ὕοι] ὕοι A.V. Mox ὁ om. V.

[l] Φανεὶς ὁ λαγὼς, δυστ.] Versus hic ad somniorum interpretationem pertinet, qui legitur apud Astrampsychum. KUST. A. in marg., om. V.

[m] Τὸν ταχύπουν] Anthol. Pal. VII. 207.

[n] λαγών] λαγωὸν A.V.E.M.

[o] καὶ] καὶ γὰρ A.V. Photius.

[p] ΤΟΝ] τὴν A.B.V.E. Photius.

[q] γινόμενοι] γενόμενοι A.B.

ΛΑΓΩΙΟΙΣ: Τοῖς τοῦ λαγοῦ κρ.] Vide Casaub. ad Athen. lib. IX. c. 14. KUST.

[r] λαγοῦ] λαγωοῦ A.V.

[s] Ἀριστοφάνης] Vesp. 707. Δύο μυριάδες τῶν δημοτικῶν ἔζων ἐν πᾶσι λαγῴοις Καὶ στεφάνοισι παντοδαποῖσι. KUST.

[t] Ἐξ ὧν—μυριάδες] ἔζων—μυριάδων V.

[u] Κύπριδι κεῖσο] Anthol. Pal. VI. 248. Ver. seq. κεῖσο om. A.B.V.E.M.

ΛΑΔΩΝ] Λάδων A.V.

ΛΑΕΙΝ] Deest gl. V.

ΛΑΙΓΓΕΣ] Od. ζ'. 433.

ΛΑΙΝΟΝ ἝΣΣΟ ΧΙΤ.] Respexit Suidas ad locum illum Homeri Il. γ'. 57. Λάϊνον ἕσσο χιτῶνα, κακῶν ἕνεχ' ὅσσα ἔοργ-

Λαΐος: Ὁ Θηβῶν βασιλεύς. Ἐν τῷ Οἰδίποδι.

Λαΐς, Λαΐδος. Ἡ ἑταιρίς. Ἔστιν ἐν τῷ Χελώνη.

Λάθε βιώσας:

[x] Τοῦ τε ἐν παροιμίᾳ λέγεσθαι εἰωθότος, ἔργῳ βεβαιωθέντος ὑπ' ἐκείνου, τοῦ "λάθε βιώσας" ὥστε οὐδένα τῶν [y] τότε ζώντων ἀνθρώπων, οὔτε τῶν πρεσβυτέρων ἐλπίσαιμ' ἂν εἰδέναι οἷον λέγω.

Λαθικηδέα μαζόν: Λήθην [z] κήδους τῷ παιδὶ ἐμποιοῦντα.

Λαθικηδής: Ὁ λήθην κακῶν [a] ἐμποιῶν.

Λάθωναι: Γενικῇ.

Λαθραῖος, καὶ λαθρηδά, καὶ λαθρηδόν: Ἀντὶ τοῦ κρύφα.

Λακάνη: Τὸ μὲν κοινὸν, λακάνη· παρὰ τὸ λα ἐπιτατικὸν, καὶ τὸ χαίνειν. Πλατὺ γάρ. Τὸ δὲ Ἀττικὸν, λεκάνη.

Λάκαινα κύων: [b] Σοφοκλῆς·

Κυνὸς Λακαίνης ὥς τις εὔρινος βάσις.

Λάκαιον ὕδωρ: [c] Τὸ ἀπὸ λακαίνης.

Λακεδαίμονος: [[d] Καὶ Λακεδαιμόνιοι. Ἐν τῷ Δάτις καὶ Ἀρταφέρνης.]

Λακέρεια: Ὄνομα πόλεως.

Λακέρυζα κορώνη: Ἡ [e] μεγάλα κρώζουσα.

Λακερύζεσθαι: Λογοποιεῖσθαι, ἢ λοιδορεῖσθαι.

Λακίδας πεπλωμάτων: Τὰ διερρωγότα ἱμάτια, [f] παρὰ Ἀριστοφάνει.

Λακιδέας: Ἐν Ἐπιγράμμασι·

Ἀσπίδα, φρῦνον, ὄφιν, καὶ Λακιδέας περίφευγε.

Λακίνιον: Ὄρος Κρότωνος. Καὶ Λακινία, τόπος.

Λάκισμα: Σχίσμα.

Εἶχον τὸν χιτῶνα ἠμαγμένον καὶ λελακισμένον.

Ἀντὶ τοῦ, ἐσχισμένον.

Λακίσματα [g] μελῶν: Τὰ τῶν σαρκῶν ἀποσχίσματα.

Καὶ αὖθις·

[gg] Εἶτα οἱ Τοῦρκοι περιέφερον τὰ φυλλάδες τοῦ Λιβάνου τῇ φλογὶ λακιζόμενον.

Λακκόπλουτον: [h] Καλλίαν τὸν Ἀθηναῖον οὕτως ἔλεγον ἐξ αἰτίας τοιαύτης· Ξέρξην ἡττηθέντα ἐν τῇ περὶ [i] Σαλαμῖνα ναυμαχίᾳ, φυγεῖν ἐξ Ἀθηνῶν· ἐσταθμευκότος δέ τινος τῶν Περσῶν ἐν τοῖς Καλλίου, καὶ τὴν ἀποσκευὴν ἐκεῖ καταλελοιπότος, τῶν δὲ βαρβάρων ὀξεῖαν τὴν φυγὴν ποιησαμένων, [k] ἐμβαλεῖν τοὺς

γας. Vetus Scholiasta λάϊνον χιτῶνα ibi exponit, τὸν θώρακα ὡς λίθους σκληρὸν καὶ στεγανόν. ἄρρηκτον. ἄθραυστον. Sed interpretatio ista parum facit ad mentem poetæ, quam melius mihi declarare videtur Suidas, qui verba ista de lapidatione intelligit. Apud Græcos enim qui re aliqua circundatur et operitur, eleganter eam *induere* dicitur: quo sensu mortui, qui sepeliuntur, terram induere dicuntur. Hesychius: Ἐπιέσσασθαι γῆν, ταφῆναι. Sic aquam induere dicuntur qui aquam subeunt, et in ea se condunt. Apollonius Rhodius lib. I. 1326. de Glauco: Κῦμ' ἁλίαστον ἐφέσσατο, νειόθι δύψας. Proprie, *fluctum induit*: id est, mare subiit. Plura exempla brevitatis gratia adducere supersedeo. KUST.

ΛΑΙΣ] Gl. om. A. sed Λαΐδος in marg.

ib. Capta urbe Hyccaris in Sicilia adhuc puella in Peloponnesum Corinthum est delata Ol. XCII. Plutarch. Nic. 15. Athen. XIII. p. 588. Synes. Ep. 3. Schol. Aristoph. Plut. Pausan. Corinth. 2. REINES.

[x] Τοῦ τε ἐν παροιμίᾳ λέγεσθαι εἰωθότος, ἔργῳ βεβ.] Locum hunc ex ms. Paris. A. emendavi, qui in prioribus editt. [et B.E.] male sic legitur et distinguitur: Τοῦτο ἐν παροιμίᾳ λέγεται. εἰωθότος ἔργῳ καὶ &c. Lectionem codicis ms. confirmat ipse Suidas infra v. Σαραπίων, ubi locus hic repetitur. KUST. Locus mutilus est, atque ita scribendus: Τοῦ τε ἐν παροιμίᾳ λέγεσθαι εἰωθότος, ἔργῳ ΔΕ βεβαιωθέντος ὑπ' ἐκείνου, τοῦ Λάθε βιώσας· ὥστε οὐδένα τῶν τότε ζώντων ἀνθρώπων, ΟΥΤΕ ΤΩΝ ΝΕΩΤΕΡΩΝ, οὔτε τῶν πρεσβυτέρων ἐλπίσαιμ' ἂν εἰδέναι οἷον λέγω. Ita enim legitur apud ipsum Suidam, v. Σαραπίων, ubi auctior atque emendatior exstat hic locus. Sunt autem verba Damascii in vita Isidori, ut recte vidit Kusterus, de Sarapione, viro optimo, et vere antiquissimo. Respexisse autem videtur Damascius, quod nemo vidit, ad Marinum in vita Procli, c. 15. Καὶ ταῦτα πάντα δρῶν, καὶ κατὰ ταῦτα ζῶν, τοσοῦτον ἐλάνθανεν, ὅσον οὐδὲ οἱ Πυθαγόρειοι, τὸ ΛΑΘΕ ΒΙΩΣΑΣ παράγγελμα τοῦ καθηγεμόνος ἀσάλευτον φυλάττοντες. TOUP.

[y] τότε om. V. Mox εἰδέναι om. E.

ΛΑΘΙΚΗΔΕΑ ΜΑΖΟΝ] Homer. Il. χ. 83. KUST.

[z] κήδους] λύπης A. λώπης B.E.M. Τὸν ante λαθικήδεα habet A.

[a] ἐμποιῶν] ποιῶν A.B.V.

ΛΑΘΡΑΙΟΣ] Lucian. II. p. 577. B. HEMST.

ΛΑΚΑΝΗ] Schol. Aristoph. Av. 1142. HEMST. Deest gl. B.E.M. Habet Aldus. Vid. infra Λεκάνη. De λᾶ ἐπιτατικῷ vid. quæ scripsit Ruhnkenius Epist. Crit. I. p. 86.

[b] Σοφοκλῆς] Aj. 8. KUST.

ΛΑΚΑΙΟΝ ΥΔΩΡ: Τὸ ἀπὸ λάκ.] Scribendum puto, Λακκαῖον ὕδωρ. τὸ ἀπὸ λάκκου. KUST. Zonaras Λακκαῖον ὕδωρ καὶ ὄρος. Sed illa καὶ ὄρος pertinere videntur ad v. proximum. Vid. Titmann. Exempla v. Λακκαῖον præbet H. Steph. ind. Thes.

[c] Τὸ ἀπὸ] τὸ om. V.

[d] Καὶ ΛΑΚ.] Desunt seqq. A.V.

ΛΑΚΕΡΥΖΑ] Hoc epitheto cornicem insignit Aristoph. Av. 610. ad quem locum Suidas forte respexit. KUST.

[e] μεγάλως] μεγάλα V. Photius, Lex. Seg. Hesych. μέγα A. μέγα κρώζουσα Schol. Platon. p. 196. κράζουσα Phot. Lex. Seg. E. pr. Hesych.

[f] παρὰ Ἀριστοφάνει] Acharn. 422. sed ubi legitur λακίδας πέπλων. KUST.

ΛΑΚΙΔΕΑΣ] Infra v. Φρῦνος, Suidas habet Λαδικέας: quam lectionem confirmat Synesius Epist. CXXVII. qui eundem versum hexametrum adducit, addito hoc pentametro: Καὶ κύνα λυσσητὴν, καὶ πάλι Λαδικέας. Est autem τὸ Λαδικέας nomen gentile, a recto Λαδικεὺς, ut patet ex dicto loco Synesii, qui Epigramma hoc affert, ut Euthalium quendam Ladicensem perstringat, cujus fraudes et imposturas ibi describit. Inde autem suspicor, ipsum Synesium Epigrammatis hujus auctorem esse: a quo proinde locum hunc Suidas sumpserit; quem et multa alia ab eodem fragmenta mutuatum esse passim in notis nostris monemus. KUST. Λαδικέας B.E. In v. Φρῦνος A.V. præbent Λακιδέας.

ΛΑΚΙΣΜΑ:—ἐσχισμένον] Sic A B.V.M. et fere E. Λακίσματα μελῶν· τὰ τῶν σαρκῶν ἀποσχ. Εἶχον—ἐσχισμένον. ΛΑΚΙΣΜΑΤΑ καὶ αὖθις· εἶτα Aldus. Et sic recentiores. ΛΑΚΙΣΜΑΤΑ sec. om. Kusterus.

[g] ΜΕΛΩΝ: Τὰ τῶν σαρκῶν ἀποσχίσματα om. M. Ad h. gl. marg. E. habet Θεόλογος.

[gg] Εἶτα οἱ Τοῦρκοι] Hæc sunt verba Menandri in Excerptis ab Hœschelio editis, p. 127. TOUP.

ΛΑΚΚΟΠΛΟΥΤΟΝ] Confer Hesych. hac voce. KUST. Vide Plutarch. in Aristid. p. 321. TOUP. Vid. Bergler. et Wagner. ad Alciphr. Ep. I. 9. p. 52.

[h] Καλλίαν] Vid. supr. Ἀριστείδης et Καλλίας, et Plut. in Pericle 24. in Alcib. 8. in Aristid. 5. REINES.

[i] Σαλαμῖνα] Σαλαμῖνι A. Photius. Mox ἐς pro ἐξ A.

[k] ἐμβαλεῖν] βαλεῖν Photius.

οἰκέτας τοῦ Πέρσου πολὺν χρυσὸν εἰς λάκκον, [l]ἐλπί- A
ζοντος ὕστερον ἀνασώσειν ἐπανελθόντας. Οὐ μὴν γενέσθαι λέγεται· πρότερον γὰρ κυριεῦσαι τῶν χρημάτων Καλλίαν.

Λακκόπρωκτος: [m]Ἀριστοφάνης·

> [n]Ὦ λακκόπρωκτε. [n]πάττε πολλοῖς τοῖς λίθοις,
> Ἆρ' [o]οἶσθ', ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά;

Λάκκος: [p]Ἀθηναῖοι καὶ [q]οἱ ἄλλοι τῶν Ἑλλήνων ὀρύγματα ὑπὸ τὴν γῆν ποιοῦντες εὐρύχωρα καὶ στρογ- B
γύλα καὶ τετράγωνα, καὶ ταῦτα κονιῶντες, οἶνον ὑπεδέχοντο καὶ ἔλαιον εἰς αὐτά· καὶ ταῦτα λάκκους ἐκάλουν.

Λάκκος: Ὁ θάνατος· ἐπειδὴ λάκκῳ παραπλησίως ὁ τάφος ὀρύττεται. Δαβίδ·

> Καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.

[r]Καὶ τοὺς μεγάλους κινδύνους οὕτως ἔθος ὀνομάζειν
C τῇ θείᾳ γραφῇ.

> Καὶ ἀνήγαγέ με ἐκ λάκκου ταλαιπωρίας.
> [[s]Λάκκῳ καθεῖναι σαυτὸν, οὐ καλὸν τόδε.]

Λακωνίζω: Τὰ τῶν Λακώνων φρονῶ.

> Οἱ μὲν ἠττικίκασιν, οἱ δὲ λελακωνίκασιν.

Λακωνίζειν δὲ, παιδικοῖς χρῆσθαι. Ἀριστοφάνης Θεσμοφοριαζούσαις β'.

Λακωνικαί: Ἀνδρεῖα ὑποδήματα.

> [t]Ποῦ τὸ πέος; ποῦ χλαῖνα; ποῦ λακωνικαί;

D Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις. Καὶ ἐν [u]Ἐπιγράμμασι·

> Τοί τε Λάκωνες ἔνπεπλοι.

Λακωνικαὶ κλεῖδες: [x]Περιβόητοι δέ εἰσιν αὗται. [y]Ὁ αὐτὸς Ἀριστοφάνης·

> Οἱ γὰρ ἄνδρες ἤδη κλειδία
> [[z]αὐτοὶ] φοροῦσι κρυπτὰ, κακοηθέστατα,
> Λακωνίκ' ἄττα, τρεῖς ἔχοντα γομφίους.
> Πρὸ τοῦ μὲν οὖν ἦν ἀλλ' [a]ὑποῖξαι τὴν θύραν
> ποιησαμέναισι δακτύλιον τριωβόλου·
> νῦν δ' [b]οὗτος αὐτοὺς [ὠ'κότριψ Εὐριπίδης]
> ἐδίδαξε [c]θριπηδέστατ' ἔχειν σφραγίδια
> ἐξαψαμένους.

Τὰ γὰρ ἀρχαῖα μονοβάλανά φησιν εἶναι. Μένανδρος [d]Μισουμέναις,

> Λακωνική κλείς ἐστιν, ὡς ἔοικέ μοι,
> περισπαστέα, B

[e]φησὶν, ὅτι ἔξωθεν περικλείεται, μοχλοῦ περιτιθεμένου, ἢ τινος τοιούτου· ὥστε τοῖς ἔνδον μὴ εἶναι ἀνοῖξαι.

Λακωνικὴ τάξις: Ἡ κατὰ τοὺς ἄνω πολέμους ἀρίστη τῶν πρόσθεν γενέσθαι δοκεῖ. Εἰς πεντηκοστύας, καὶ ἐνωμοτίας, καὶ μοίρας διῃροῦντο αἱ τάξεις· καὶ ἦν ὁ ἐλάχιστος ἀριθμὸς τῆς ἐνωμοτίας, ἀνδρῶν ε'
C καὶ κ'.

Λακωνικὸν τρόπον: [f]Τὸ περαίνειν, [g]ἢ παρέχειν ἑαυτὰς τοῖς ξένοις· ἥκιστα γὰρ τὰς γυναῖκας φυλάσσουσιν οἱ Λάκωνες.

Λακωνικός: Ὁ στερρὸς, [h]ἀνδρεῖος. Τοιοῦτοι γὰρ οἱ Λάκωνες. Καὶ ἐπίρρημα, [i]Λακωνικὸν πνέων· Ἀντὶ τοῦ ἰσχυρόν· ἢ τὰ Λακώνων φρονῶν.

Λακωνικῶς ταῦτα καὶ συντόμως λέγω: Ἀντὶ
D τοῦ ἀνδρείως· τοιοῦτοι γὰρ οἱ Λάκωνες.

Λακωνισμός: Ἡ πρὸς τοὺς Λάκωνας οἰκειότης· ὥσπερ ἀττικισμὸς, ἡ πρὸς τοὺς Ἀττικούς.

Λακρατίδης: Οὗτος ἀρχαῖος ἄρχων Ἀθήνησιν. Ἦρχε δὲ ἐπὶ τῶν χρόνων Δαρείου, ἐφ' οὗ πλείστη χιὼν ἐγένετο, καὶ ἀπέπηξε πάντα, ὡς μὴ δύνασθαί τινα προϊέναι. Διόπερ τὰ ψυχρὰ πάντα [k]Λακρατί-
E δας ἐκάλουν. Ἀριστοφάνης·

> [l]Παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται.

---

[l] ἐλπίζοντας] ἐλπίζοντος A.V. Photius. ἐλπίζοντες E.

[m] Ἀριστοφάνης] Nub. 1333.

[n] Πάττε bis A.B.

[o] οἶσθ'] Sic E. οἶδ' A.B.V. Mox καὶ κακὰ A.B.V. καὶ om. E. et edd. ante Kuster. qui dedit δὴ κακά.

[p] Ἀθηναῖοι καὶ οἱ ἄλλοι] Ex Schol. Aristoph. Eccl. 154.

F [q] οἱ ἄλλοι τῶν Ἑ.] τῶν ἄλλων Ἑλλήνων τινες Photius, qui mox εὐρυχωρῆ, et κονιῶντες αὐτά. Infra idem ὑπεδέχοντο.

ΛΑΚΚΟΣ: Ὁ θάνατος—ὀρύττεται] Hæc sumpta sunt ex Theodoreto ad Psalm. XXVII. 1. KUST.

[r] Καὶ τοὺς μεγίστους] Et hæc sunt verba Theodoreti ad Psalmum XXXIX. 3. KUST.

[s] Λάκκῳ καθεῖναι σ.] Versus hic ad somniorum interpretationem pertinet, qui legitur apud Astrampsychum. KUST. A. marg. om. V.

G ΛΑΚΩΝΙΚΑΙ: Ἀνδρεῖα ὑποδήματα. Ποῦ τὸ πέος; ποῦ χλαῖνα; ποῦ Λακωνικαί] Hæc deprompsit Suidas ex Schol. ad Aristoph. Vesp. 1153. Senarius autem iste exstat apud Aristoph. Thesmoph. 149. ubi recte legitur, Καὶ ποῦ πέος; Poteris etiam scribere, Ποῦ δὲ τὸ πέος. Quomodo legitur apud Suidam v. Πέος. Ceterum vocem Λακωνικαὶ usurpat Comicus in Eccles. 538.—αἱ δὲ δὴ Λακωνικαὶ Ὤιχοντο μετὰ σοῦ κατὰ τί, χὠ βακτηρία; Ita scribendus iste locus. *But why did you take your husband's staff and shoes along with you?* Aristoph. Nub. 238. Ἦλθες δὲ κατὰ τί; *But what brought you here?* Idem in Eccles. 554. A. Νὴ τὴν Ἀφρο- H
δίτην, μακαρία γὰρ ἡ πόλις Ἔσται τὸ λοιπόν. B. Κατὰ τί; A. Πολλῶν οὕνεκα. TOUP.

[t] Ποῦ τὸ πέος; ποῦ χλ.] Scribe, Καὶ ποῦ πέος, &c. ut legitur apud Aristoph. Thesmoph. 149. KUST.

[u] Ἐπιγράμμασι] Anthol. Pal. VI. 292. ubi τοί τε Λάκωνες Πέπλοι. τοῖς V.

[x] Περιβόητοι] Ὁ αὐτὸς Ἀριστοφάνης· περιβόητοι δὲ εἰσι δὲ εἰσιν αὗται· οἱ γὰρ V. et fere M.

[y] Ὁ αὐτὸς Ἀριστοφ.] Thesmoph. 428. De toto autem hoc loco Aristophanis consule Salmasium in Exercit. Plin. p. 654, 655. KUST.

[z] αὐτοὶ om. A.B.V.E.M. Ver. seq. τρεῖς om. B.V.E.

[a] ὑποῖξαι] ὑποῖξε A.

[b] οὗτος αὐτοὺς] οὕτως αὐτὸς V. Tum ὠκότριψ Εὐριπίδης om. A.B.V.E. Mox σφραγίδα V.E.

[c] θριπηδέστατα] Vide nos supra ad v. Θριπηδέστατον. KUST.

[d] Μισουμέναις] Μισουμένῳ Schol. Aristoph. Thesm.

[e] φησὶν] καὶ φασὶν Schol.

[f] Τὸ περαίνειν] Addit Hesychius, καὶ παιδεραστεῖν, quod est τοῦ περαίνειν interpretatio. Lacones enim ob paederastiam male audiebant: unde λακωνίζειν de pædiconibus dici solebat. Hesychius v. Κυσολάκων: Τὸ δὲ τοῖς παιδικοῖς χρῆσθαι λακωνίζειν ἔλεγον. Sed hæc nota sunt. KUST. τὸ om. B.E.M. Photius. Tum περιραίνειν V.

[g] ἤγουν] ἢ A.B.V.E. Photius.

[h] ἀνδρεῖος] ὁ ἀνδρεῖος A.

[i] ΛΑΚΩΝΙΚΟΝ ΠΝ.] Aristoph. Lysist. 276. καὶ A. A. καὶ κ'. A. M.

ΛΑΚΩΝΙΚΟΣ] Juliani verba p. 445 C. Γλώττῃ τῇ Λακωνικῇ τῇ συντόμῳ Firmus Ep. 43. HEMST.

ΛΑΚΩΝΙΣΜΟΣ] Deest gl. V.

ΛΑΚΡΑΤΙΔΗΣ] Ex Schol. Aristoph. Acharn. 219.

[k] Λακρατίδας] Λακρατίδου Schol. Photius: Λακρατίδας: τὰ κατεψυγμένα.

[l] Παλαιῷ Λακρατίδῃ τὸ σκ.] Ut metrum hujus versus suppleatur, ex Aristophane addendum est καὶ, et sic scribendum: Καὶ παλαιῷ Λακρατίδῃ τὸ σκέλος βαρύνεται. KUST.

A Ὅ ἐστι, διὰ τὸ γῆρας οὐχ οἷός τέ εἰμι θᾶττον βαδίζειν.

ΛΆΚΤΙΝ: Τὴν λεγομένην [m]κύταλιν, [n]τορύνην, ὅ ἐστι ζωμήρυσιν.

[o]Εὐεργέα λάκτιν.

ΛΑΚΎΔΗΣ, Ἀλεξάνδρου Κυρηναίου, φιλόσοφος, ὃς τῆς νέας Ἀκαδημίας κατῆρξεν. [p]Ἔγραψε φιλόσοφα, καὶ περὶ φύσεως.

B ΛΑΛΑΓΕΫ́ΣΑΝ: Ἐμμελῶς [q]φωνοῦσαν. Ἐν Ἐπιγράμμασι·

> [r]Τὰν δὲ πάρος λαλαγεῦσαν ἐν ἄλσεσιν ἀγρότιν ἀχὼ,
> πρὸς νόμον ἁμετέρας τρέψε λυροκτυπίας.

ΛΑΛΆΓΗΜΑ: Τὸ [s]ἀναφώνημα, τὸ ἤχημα.

> [t]Ἱρήν σοι θαλάμων, ζωάγρια, καὶ λαλάγημα
> ἀντίθεμαι.

ΛΑΛΈΟΝΤΟΣ: Λαλοῦντος.

ΛΑΛΗΤΈΟΣ:

> [u]Ἅπασ' Ἀχαιὶς μνῆμα [x]σοὶ γ', Εὐριπίδη·
> οὔκουν ἄφωνος, ἀλλὰ καὶ λαλητέος.

ΛΑΛΙΆ: Ἡ δημηγορία.

[y]Ἦν δὲ ὁ Ἀρκεσίλαος ἐν τῇ λαλιᾷ διαστατικὸς τῶν ὀνομάτων, καὶ παρρησιαστὴς ἱκανῶς.

ΛΑΛΊΣΤΑΤΟΝ: Τὸ κατὰ λόγον σοφόν. Λέγεται δὲ καὶ ὁ εὔγλωττος, καὶ ὁ εὐφωνότατος.

ΛΑΛΊΣΤΕΡΟΝ: Ἀδολεσχέστερον, φλυαρώτερον.

ΛΑΛΩ͂: Δοτική.

ΛΑΜΆΧΩΝ: [z]Λάμαχος, Ἀθηναίων στρατηγὸς [a]ῥιψοκίνδυνος· ὃν, ὅτε εἰς Σικελίαν ἔπλεον οἱ [b]Ἀθηναῖοι, ἐχειροτόνησαν μετὰ [c]Ἀλκιβιάδου καὶ Νικίου. Ἦν δὲ καὶ φιλοπόλεμος. Ἀριστοφάνης·

> Σπονδὰς ποιησάμενος ἐμαυτῷ, πραγμάτων τε καὶ μαχῶν
> καὶ Λαμάχων ἀπαλλαγείς.
> Πολλῷ γὰρ ἴσθ' ἥδιον.

[ΛΑΜΒΆΝΩ: Γενικῇ. Αἰτιατικῇ δέ.

Καὶ κόσμον ἡ πρὶν ἀκοσμία λαμβάνει.]

ΛΆΜΕΧ: Δύο Λάμεχ ἡ γραφὴ μέμνηται· ἑνὸς μὲν, τοῦ ἀπὸ Κάϊν, [d]ἑνὸς δὲ, τοῦ πατρὸς Ἐνώχ. [e]Γεγένηται δὲ Νῶε διὰ Λάμεχ, οὐκ ἐκ τοῦ ἀπὸ Κάϊν, [f]τοῦ καὶ B πεφονευκότος ἄνδρα [g]τε καὶ νεανίσκον εἰς μώλωπα, καὶ ὡς δύο φόνους [h]πεποιηκότος, καὶ τῶν δύο τὰς γυναῖκας [i]εἰληφότος Ἐλδὰν καὶ [k]Σελάν· ὃς ἑαυτὸν καταμέμφεται, [l]καὶ ἑβδομηκοντάκις ἑπτά φησιν ἄξιον εἶναι κολάσεως. Ἐκ μὲν τοῦ Κάϊν, φησὶν, ἐκδεδίκηται ἑπτάκις· ἐκ δὲ Λάμεχ ἑβδομηκοντάκις ἑπτά. [m]Κολάζεται οὖν μειζόνως, διότι τῇ πτώσει τοῦ προημαρτηκότος οὐκ ἐσωφρονίσθη. Τοῦ δικαίου γὰρ Ἐνὼχ C ἀδελφοὺς ἀνεῖλε, τοῦ πίστει διὰ τοῦτο προσευξαμένου μὴ ἰδεῖν τοιοῦτον θάνατον, καὶ ἀκουσθεὶς μετετέθη. Ἦν δὲ ὁ Ἐνὼχ ἐκ τοῦ δικαίου Σὴθ, ἐξ οὗ ὁ Χριστὸς κατάγεται γενεαλογούμενος ὑπὸ Λουκᾶ. Ἐσπούδαζε οὖν τῶν ἀσεβῶν τὸ σπέρμα τῶν δικαίων [n]ἐξάραι τὸ γένος, ἐπειδὴ βδέλυγμα ἁμαρτωλῷ θεοσέβεια. Καὶ γὰρ τὸ γένος καὶ [o]σπέρμα τοῦ μὲν Κάϊν κατηράθη· τοῦ δὲ Σὴθ εὐλογήθη. Καὶ οὐκ ἐβούλετο ὁ Θεὸς D [p]ἐπιμιξίαν γενέσθαι τῶν δικαίων τὸ γένος πρὸς τὸ τῶν ἀσεβῶν, ἀλλ' ἐξαλειφθῆναι. Ἐπεὶ οὖν ἐφόνευον καὶ ἐλάμβανον τὰς γυναῖκας αὐτῶν, ἐξαίσια τέρατα ἐτίκτοντο οἱ γίγαντες· δι' οὓς καὶ ὁ κατακλυσμὸς [q]ἐλθὼν, πάντας ἄρδην ἀπώλεσε. [r]Μόνος δὲ δίκαιος εὑρεθεὶς ἐν τῇ γενεᾷ αὐτοῦ ὁ Νῶε, ἐφυλάχθη.

ΛΑΜΊΑ: Ταύτην [s]ἐν τῇ Λιβύῃ [t]Δοῦρις ἐν δευτέρῳ

E

[m] κύταλιν] σκύταλιν. Vid. Etymolog. p. 555, 18. Nicand. Ther. 109. Vid. Schol. HEMST. Albertio ad Hesych. vox κύταλιν corrupta videtur e σκυτάλην. E contrario Larcherus *Remarques Critiques sur l'Etymol. M.* p. 208. in Etymol. ex Eustathio κύταλιν pro σκυτάλην legendum censet. Ejusdem sententiæ Ducangius est in Gl. Gr. ubi κύταλις, serioris Græcitatis vox, vertitur, *tudicula, cochlear majus.* BAST. Comm. Palæog. p. 898.

F [n] ἢ τορύνην] ἢ om. A.B.E.

[o] Εὐεργέα λ.] Callimach. fr. Bentl. 178. TOUP.

ΛΑΚΥΔΗΣ] De hoc vide Laërtium. KUST. Vid. Menag. ad IV. 59.

[p] Ἔγραψε] ἔγραψε δὲ A.

[q] φωνοῦσαν] φρονοῦσαν V. et mox ἄλγεσιν.

[r] Τὰν δὲ πάρος λαλαγεῦσαν] Anthol. Pal. VI. 54.

[s] ἀναφώνημα] ἀφώνημα A. πρῶτον φώνημα V. Mox τὸ addunt A.V.

[t] Ἱρήν σοι θαλ.] Anthol. Pal. VI. 220.

G [u] Ἅπασα Ἀχαιὶς μν.] Anthol. Pal. VII. 47. Ad h. v. A. in marg. Λήβω τὸ λαμβάνω· ἐπὶ τῶν ἐνεργητικῶν αἰτιατικῇ.

[x] σοί γ'] γ' om. A.V.E.M.

[y] Ἦν δὲ ὁ Ἀρκεσίλαος ἐν τῇ λαλ.] Hæc sunt verba Laërtii lib. IV. 33. KUST.

ΛΑΛΙΣΤΑΤΟΝ] Euripid. Cycl. 314. et corrige Hesych. Male Reisk. Misc. Lips. VI. 278. TOUP. Vid. Ruhnken. Ep. Crit. II. p. 135. Mox ὁ sec. om. A.

H ΛΑΛΙΣΤΕΡΟΝ] Etymol. M. v. Αἰδοιέστατος. Λαλίστερόν σ' εὕρηκα καὶ πτωχίστερον. Ita leg. ob metrum. Vid. v. Πτωχίστερος. TOUP.

ΛΑΜΑΧΩΝ] Λάμαχος ὁ Ἀθηναῖος nominatur cum Socrate et Ephialte ab Ælian. V. H. II. 43. REINES.

[z] Λάμαχος, Ἀθηναίων στρατ.] Ex Schol. Aristoph. Acharn. 269. KUST.

[a] ῥιψοκίνδυνος] Ei tamen εὐλάβειαν tribuit Plutarch. in Nicia 12. uti Alcibiadi τόλμαν et Niciæ εὐλάβειαν. REINES.

[b] Ἀθηναῖοι] οἱ Ἀθηναῖοι A.

[c] Νικίου καὶ Ἀλκιβιάδου] Ἀλκιβιάδου καὶ Νικίου A. Schol.

ΛΑΜΒΑΝΩ] Deest gl. A. Ejus loco habet V. Ὅτι τὸ λήβω (sic) τὸ λαμβάνω ἐπὶ μὲν τῶν ἐνεργητικῶν αἰτιατικῇ, ἐπὶ δὲ τῶν παθητικῶν δοτικῇ.

[d] ἑτέρου] ἑνὸς A.B.V.

[e] γεγένηται δὲ] γεγένηται γὰρ A.

[f] τοῦ] τοῦ καὶ A.

[g] τε καὶ] τε om. V.

[h] πεποιηκότος] πεποιηκὼς B.V.

[i] εἰληφότος] εἰληφὼς A.B.V.

[k] Σέλαν· ὃς ἑαυτὸν] Σελλὰν ἑαυτοῦ A. σελάν· ἑαυτοῦ ἑαυτοῦ B. σελὰν ἑαυτοῦ V.

[l] καὶ ἑβδομηκοντακὶς] καὶ om. A.B.V. Mox φησιν om. A.B.

[m] Κολάζεται οὖν] οὖν om. A.B.V. Paullo infra ἀνάκρυφον scriptum habet A. in marg.

[n] ἐξάραι] ἐξᾶραι A. qui mox ἐπειδὴ γάρ.

[o] σπέρμα] τὸ σπέρμα A.

[p] ἐπιμιξίαν] Seqq. ex A.V. Diversus ordo verborum in vulg.

[q] ἐλθὼν—ἀπώλεσε om. V.

[r] Μόνος δὲ δίκαιος εὑρεθεὶς] μόνος εὕρηται δίκαιος Νῶε ἐν τ. γ. ἀ. διὸ καὶ ἐφυλάχθη A. Μόνος δὲ νῶε δικαῖος V.

ΛΑΜΙΑ—ἀναρπάζουσαν διαφθείρειν] Ex Schol. Aristoph. Vesp. 1030. Idem ad Pac. 757. de Lamia hæc sic inquit: Λέγεται ἡ Λαμία Βήλου καὶ Λιβύης θυγάτηρ. Ταύτης ἐρασθῆναι τὸν Δία φασί· μεταγαγεῖν δὲ αὐτὴν ἀπὸ Λιβύης εἰς Ἰταλίαν, ἀφ' ἧς καὶ πόλις ἐν Ἰταλίᾳ Λαμία προσαγορεύεται. Ἔνθεν αὐτῇ συνελθὼν ὁ Ζεὺς, οὐκ ἔλαθε τὴν Ἥραν· ἥτις ζηλοτυποῦσα τὴν Λαμίαν, τὰ γινόμενα αὐτῆς τέκνα ἀνῄρει. Ἡ δὲ ἀποθνησκόντων αὐτῆς τῶν παιδίων βαρυθυμοῦσα, τὰ τῶν ἄλλων παιδία διὰ φθόνον ἐκκλέπτουσα, ἀνῄρει. Διὰ τοῦτο καὶ τὰς τίτθας, ἐπ-

Ἀντὶ τοῦ, ὡς οἴομαι, ἀρχὴ τῆς μάχης ἡ Λαμπιτώ.

ΛΆΜΠΩΝ ὌΜΝΥΣΙ ΤῸΝ ΧΗ͂Ν', ὍΤΑΝ [a]ἘΞΑΠΑΤΑ͂Ι ΤΙΝΆ: Πρῶτοι Σωκρατικοὶ ἐπετήδευσαν οὕτως ὀμνύναι. [b]Ῥαδάμανθυς δὲ πρῶτος οὐκ εἴα ὅρκους ποιεῖσθαι κατὰ θεῶν, ἀλλ' ὀμνύναι χῆνα, καὶ κύνα, καὶ κριὸν, καὶ τὰ ὅμοια. [c]Ὁ δὲ Λάμπων θύτης ἦν, [d]καὶ χρησμολόγος, καὶ μάντις· [e]ᾧ καὶ τὴν εἰς Σύβαριν ἀποικίαν Ἀθηναίων περιάπτουσιν. Ὤμνυε δὲ κατὰ τοῦ χηνὸς, ὡς μαντικοῦ ὀρνέου. Εἴρηται οὖν ἐπὶ τῶν μετὰ ὅρκου ἐξαπατώντων τινά.

ΛΑΜΠΡΑΙ͂: Δῆμος τῆς Ἐρεχθηΐδος. Δύο δὲ εἰσὶ Λαμπραί· αἱ μὲν, παράλιοι· αἱ δὲ, καθύπερθεν.

ΛΑΜΠΡΕΙΜΟΝΩ͂: Ὥσπερ καὶ τὸ ΛΕΥΧΕΙΜΟΝΩ͂.

ΛΑΜΠΡᾺΝ ἩΜΈΡΑΝ λέγουσιν, οὐ καθαράν.

ΛΑΜΠΡΊΑΣ, Πλουτάρχου τοῦ Χαιρωνέως υἱός. [f]Ἔγραψε Πίνακα, [g]ὧν ὁ πατὴρ αὐτοῦ ἔγραψε περὶ πάσης Ἑλληνικῆς καὶ Ῥωμαϊκῆς ἱστορίας.

ΛΑΜΠΡΟΕΊΜΩΝ: Λαμπροφορῶν.

ΛΑΜΠΡΟΦΌΡΟΙ: [h]Ἀριστοφάνης· Οἱ γὰρ ἄνδρες ὥσπερ λαμπροφόροι ὄντες ἀποκεκύφαμεν. Οἱ γὰρ λυχνοφοροῦντες, κεκύφασι διὰ τὸν ἄνεμον.

ΛΑΜΠΡΌΨΥΧΟΣ: Ἀντὶ τοῦ μεγαλόψυχος.

ΛΑΜΠΡΩ͂Σ: Τὸ φανερῶς, οὐ τὸ ἐνδόξως. Καὶ [i]παρὰ Θουκυδίδῃ·

Καὶ λελυμένων λαμπρῶς τῶν σπονδῶν.

Καὶ παρὰ τοῖς ἄλλοις τοῖς [k]παλαιοῖς. Καὶ αὖθις·

[l]Καὶ τὴν ἀπέρατον καλουμένην εἰρήνην λαμπρῶς ἔλυε.

ΛΑΜΠΡΎΝΟΜΑΙ: Δοτικῇ.

ΛΑΜΠΡΥΝΟΜΈΝΩΝ: Ἀντὶ τοῦ καυχωμένων, καὶ νικώντων ἐν τοῖς ἅρμασι.

ΛΑΜΠΤΗ͂ΡΕΣ: Οἱ κατὰ τὴν οἰκίαν φαίνοντες λύχνοι.

[m]Ἡνίχ' ἕσπεροι
λαμπτῆρες οὐκ ἔτ' [n]ᾖθον.

ΛΑΜΠΤΡΊΣ:

[ΛΑΜΨΑΚΗΝΩ͂Ν: Περὶ τῆς εἰς αὐτοὺς μήνιδος Ἀλεξάνδρου, ἐν τῷ ἈΝΑΞΙΜΈΝΗΣ.]

ΛΑΜΥΡΌΝ: Εὔλαλον, εὐτράπελον, [o]καταπληκτικὸν, τερπνόν. [q]Ἐν Ἐπιγράμμασι·

Βροτολοιγὸς ἔρως, τὰ πυρίπνοα τόξα
βάλλει, καὶ λαμυροῖς ὄμμασι [r]πικρὰ γελᾷ.

Καὶ αὖθις·

[s]Ἐσβέσθη δὲ τὰ φίλτρα, . . .
καὶ κυλίκων αἱ λαμυραὶ προπόσεις.

[t]Καὶ ΛΑΜΥΡΏΤΕΡΟΝ.

ΛᾺΞ ἘΝΤΕΊΝΩΝ: Λακτίσματι τύπτων. Λὰξ δὲ ἐστιν ὁ ὑπὸ [u]τοὺς δακτύλους τοῦ ποδὸς ποιὸς ψόφος.

ΛΑΞΕΥΤΉΡΙΟΝ: Ἐργαλεῖον οἰκοδομικόν. ΛΑΟΞΌΟΣ γὰρ, ὁ οἰκοδόμος.

ΛΑ͂ΞΙΝ: Μῖξιν, μερισμὸν, κλῆρον. [x]Ἡρόδοτος.

ΛᾺΞ ΠΟΔῚ ΚΙΝΉΣΑΣ: Τῷ πλάτει τοῦ ποδὸς κινήσας.

ΛΑΟΣΌΟΣ: Ἡ τοὺς λαοὺς σώζουσα.

ΛΑΠΑΔΕΎΕΣΘΑΙ:

ΛΑΜΠΩΝ ὈΜΝ.] Aristoph. Av. 521. Λάμπων δ' ὄμνυσι ἔτι καὶ νῦν τὸν χῆν', ὅταν ἐξαπατᾷ τί τι. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[a] ἘΞΑΠΑΤΑΙ—ἐπετήδευσαν om. V.

[b] Ῥαδάμανθυς δὲ πρ.] Confer Nostrum infra v. Ῥαδαμάνθυος, et v. Χῆνα. KUST.

[c] Ὁ δὲ Λάμπων] Hujus Lamponis Aristophanes non solum loco paulo ante laudato meminit, sed etiam in eadem fabula v. 989. his verbis: Μήτ' ἢν Λάμπων ᾖ, μήτ' ἢν ὁ μέγας Διοπείθης. KUST. Vid. Κυβηλίσαι. HEMST. Λάμπων θύτης Plut. in Pericl. 6. ap. Appulei. dic. Lampus. Exagitatur in comœdia ap. Cratin. Plut. Sympos. lib. VII. REINES.

[d] καὶ χρησμολόγος] καὶ om. A.V.E.

[e] ᾧ καὶ τὴν εἰς Σύβαριν ἀποικ.] Vide Hesychium v. Θουριομάντεις, et Nostrum eadem voce. KUST.

ΛΑΜΠΡΑΙ: Δῆμος τῆς Ἐρεχθ.] Ex Harpocrat. KUST. Λαμπτραὶ Harpocrat. et Photius hic et infra. δὲ post δύο ex A.V. Phot.

ΛΑΜΠΡΕΙΜΟΝΩ] Deest gl. A.

[f] Ἔγραψε πίνακα] Hic catalogus Lampriæ, sed posteriore sui parte mutilus, hodie adhuc exstat. KUST.

[g] ὧν] ὃν A.V.

[h] Ἀριστοφάνης] Lysistr. 1002. sed ubi sic legitur: Ἂν γὰρ τὰν πόλιν Αἴπερ λυχνοφορίοντες ἀποκεκύφαμες. Lacon ibi Dorice loquens introducitur. KUST. Vid. Ἀποκεκύφαμεν. Suidas citare videtur non ipsius Aristophanis verba, sed eadem e Laconica dialecto in communem ab interprete conversa.

ΛΑΜΠΡΟΨΥΧΟΣ] Sic λαμπροὶ τὰ φρονήματα juventus Messeniorum apud Pausan. p. 314. ubi scribit, αἱρετώτερα Messenii ἀφίστασθαι πάντας ἐγίγνωσκον a Lacedæmoniis, ἐνῆγον δὲ οὐχ ἥκιστα ἐς τοῦτο οἱ νεώτεροι, πολέμου μὲν ἔτι ἀπείρως ἔχοντες, λαμπροὶ δὲ ὄντες τὰ φρονήματα. ABRESCH.

ΛΑΜΠΡΩΣ: Τὸ φαν.] Scholiasta Thucydidis ad lib. II. c. 7. Λαμπρῶς: Τὸ φανερῶς, ἀναμφισβητήτως. Sic etiam vox λαμπρὰ accipitur in loco hoc Sophoclis Trach. 1176. Ταῦτ' οὖν ἐπειδὴ λαμπρὰ συμβαίνει, τέκνον. Scholiasta: Λαμπρά: Φανερὰ, σαφῆ, πρόδηλα. KUST.

[i] παρὰ Θουκυδίδῃ] Lib. II. c. 7. KUST.

[k] παλαιοῖς] τοῖς παλαιοῖς A.V.E. Photius.

[l] Καὶ ἀπέρατον καλ.] Fragmentum hoc legitur apud Procopium de Bello Pers. lib. II. c. 5. idemque adducit Suidas supra v. Ἀπέρατον. KUST. ἀπέραντον V.M.

ΛΑΜΠΡΥΝΟΜΕΝΩΝ] Schol. Aristophanis Eq. 554. ABRESCH.

[m] Ἡνίχ' ἕσπεροι λαμπτ.] Sophocl. Aj. 285.

[n] ᾖθον] ᾖλθον V.

ΛΑΜΠΤΡΙΣ] Nescio an corrupte pro Λαμπτρεῖς. Vid. Harpocrat. et Phot.

ΛΑΜΨΑΚΗΝΩΝ] Deest gl. A.

ΛΑΜΥΡΟΝ] Synes. p. 36. Eunap. p. 40. TOUP.

[o] καταπληκτικὸν] Vid. Ruhnken. Ep. Crit. I. p. 89. Lobeck. Phryn. p. 291.

[q] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. V. 180.

[r] πικρὰ] In prioribus editt. ut et in Anthol. Epigrammatum loco laudato legitur ποικά. Sed nos hic excudi curavimus πικρὰ, non solum propter auctoritatem manuscriptorum Paris. in quibus ita exaratum est; sed etiam quia lectio ista multo plus acuminis habet, quam altera. Risus enim amoris eleganter dicitur amarus, quod amor, licet initio blandiatur, postea tamen eos, quos laqueis suis irretivit, misere cruciet, multisque molestiis afficiat. KUST. ποικά (πικρὰ) E.

[s] Ἐσβέσθη δὲ τὰ φίλτρ.] Anthol. Pal. VII. 221.

[t] Καὶ ΛΑΜΥΡΩΤΕΡΟΝ] καὶ om. A. Vid. Timon Athenæi VII. p. 279 F. apud Bakium ad Cleomed. p. 346.

[u] τῶν δακτύλων τῶν ποδῶν] τοὺς δακτύλους τοῦ ποδὸς A.V. Photius, Lex. Seg.

ΛΑΞΕΥΤΗΡΙΟΝ] Sic Eudemus. Vid. Miscell. Lips. V. p. 236. ubi tamen λαξίος. TOUP.

[x] Ἡρόδοτος] Gl. IV. 21. unde λῆξιν pro μῖξιν in Suida reponit Ruhnkenius Ep. Crit. p. 129.

ἀπέθετο, καὶ, ὡς εἰκὸς, ἐφ' ὕβρει ἐκέλευσε τὰ [t]δυσοιώνιστα ἐκεῖ ῥίπτειν. Οἱ δὲ, ΛΈΡΝΗ ΚΑΚΩ͂Ν. A

ΛΕΡΌΝ: Τὸ λεῖον.

ΛΈΣΒΙΟΣ: Ὁ ἀπὸ τῆς Λέσβου νήσου.

ΛΕΣΒΊΩΝ ἌΞΙΑ: Παροιμία ἐπὶ τῶν ἀπράκτων.

ΛΕΣΒΊΣΑΙ: [u]Μολῦναι τὸ στόμα. Λέσβιοι γὰρ διεβάλλοντο ἐπὶ αἰσχρότητι. [x]Ἀριστοφάνης·

Μέλλουσαν ἤδη λεσβιεῖν τοὺς ξυμπότας.

ΛΕΣΒΏΝΑΞ, Μιτυληναῖος, φιλόσοφος, γεγονὼς ἐπὶ Αὐγούστου, πατὴρ Ποτάμωνος τοῦ φιλοσόφου. Ἔγραψε πλεῖστα φιλόσοφα. B

ΛΈΣΧΑΙ: [y]Λέσχας ἔλεγον δημοσίους τινὰς τόπους, ἐν οἷς σχολὴν ἄγοντες ἐκαθέζοντο πολλοί. [z]Ὅμηρος·

[a]Οὐκ ἐθέλεις εὕδειν χαλκήϊον ἐς δόμον ἐλθὼν,
ἠέ που ἐς λέσχην.

Κλεάνθης δέ φησιν, ἀπονενεμῆσθαι τῷ Ἀπόλλωνι τὰς λέσχας, ἐξέδραις δὲ ὁμοίας γίνεσθαι. Καὶ αὐτὸν δὲ τὸν [b]Ἀπόλλωνα παρ' ἐνίοις [c]Λεσχηνόριον ἐπικαλεῖσθαι. ΛΈΣΧΑΙ [d]καὶ τὰ ποιήματα Ἡρακλείδου τοῦ Ποντικοῦ, μέτρῳ [e]Φαλαικείῳ ἤτοι Σαπφικῷ γραφέντα. C

ΛΈΣΧΗ: Πολλὴ ὁμιλία, φλυαρία. Τὸ δὲ παλαιὸν αἱ καθέδραι, καὶ οἱ τόποι, ἐν οἷς εἰώθεσαν ἀθροιζόμενοι φιλοσοφεῖν, ΛΈΣΧΑΙ ἐκαλοῦντο. Οὕτω φησὶ καὶ Ἱεροκλῆς ἐν α' Φιλοσοφουμένων. [f]Ἡρόδοτος· D

Καίτοι [g]γενομένης λέσχης, ἐς γένοιτο αὐτῶν ἄριστος.

[h]Ἐμνήσθην, ὁσσάκις ἀμφότεροι
ἥλιον ἐν λέσχῃ κατεδύσαμεν. Ἀλλὰ σὺ μέν που,
ξεῖν' [i]Ἁλικαρνησεῦ, τετράπαλαι σποδιή·
αἱ δὲ τεαὶ ζώουσιν ἀηδόνες.

ΛΈΣΧΗ δὲ παρὰ [k]Ἡσιόδῳ ἡ κάμινος.

ΛΕΣΧΗΝΕΊΑ: Ὕβρις. Καὶ [l]ΛΕΣΧΗΝΊΤΗΣ, [ὁ ὑβριστής.]

ΛΕΣΧΊΔΗΣ, ἐπῶν ποιητής· ὃς συνεστράτευσεν [m]Εὐμενεῖ τῷ βασιλεῖ· ὃς ἦν ἐπιφανέστατος τῶν ποιητῶν. Συνῆν δὲ τούτῳ καὶ [n]Πυθίας ὁ συγγραφεὺς, καὶ [o]Μένανδρος ἰατρός.

ΛΕΥΓΑΛΈΑΣ: Ὀλεθρίους, χαλεπάς.

[p]Ὥστε μετ' εὐχωλαῖς ἐκαλέσσατε, λευγαλέας τοι
κῆρας ἀπ' ὠδίνων τῆλε βαλεῖν λοχίων.

Καὶ ΛΕΥΓΑΛΈΟΣ, ὁ χαλεπός.

ΛΕΥΊ: Ὄνομα κύριον, οὗ ἡ φυλὴ ἱερατείας τάξιν ἐκλήρου. Καὶ ΛΕΥΊΤΗΣ, ὁ ἱερεύς.

ΛΕΥΙΑΘΆΝ: Δράκων. [q]Νοῦς δὲ μέγας Ἀσσύριος, αἱ ἐναντίαι δυνάμεις. Τῇ καρδίᾳ τῆς γῆς ἐμφωλεύοντα· ὃν ἕλκει τῷ τῆς θεότητος ἀγκίστρῳ, τῷ κεκρυμμένῳ σώματι, οἷά τινι σκώληκι.

ΛΕΥΚΑΝΊΑ: Ὁ λαιμός.

ΛΕΥΚΑΡΊΩΝ: Ὄνομα κύριον.

ΛΕΥΚΆΣ: Νῆσός ἐστι πρὸ τῆς Ἠπείρου κειμένη.

ΛΕΥΚΑῚ ΦΡΈΝΕΣ: Μαινόμεναι, ἢ λαμπραί· [r]καὶ ἀγαθαὶ, ἢ ἥμεροι.

---

[t] δυσοιώνιστα] δεισαια corrupte Photius.

[u] Μολῦναι τὸ στόμα] Græci hanc fœditatem alias vocant αἰσχρουργίαν: Latini, *irrumare* et *fellare*; ut ex Martiale aliisque constat. KUST.

[x] Ἀριστοφάνης] Vesp. 1337.

[y] Λέσχας ἔλεγον δημ.] Ex Harpocratione. KUST.

[z] Ὅμηρος] Odyss. σ'. 327. KUST.

[a] Οὐκ ἐθέλεις] οὐ θέλεις B.V. Photius ms.

[b] Ἀπόλλωνα] Ἀπόλλω V. Phot. Harpocr. ms. Pal.

[c] Λεσχηνόριον] Sic mss. Paris. et Harpocratio. At priores editt. male Λεσχηνόριον. Vide Meursium ad Lycophronem, 543. KUST. Sic Phurnutus de Nat. D. p. 228. Plutarch. p. 385 B. de ει apud Delphos. TOUP. Λέσχηνόριον Photius. λεσχηθέριον Harpocr. ms. Pal.

[d] καὶ τὰ] τὰ om. A.V.E. Mox Ἡρακλείου A.B.V. et E. pr.

[e] φαλαικείῳ] φαλαικίῳ A. vid. Ἡρακλείδης Π.

[f] Ἡρόδοτος] Lib. IX. 71.

[g] γενομένης] γινομένης B.E.

[h] Ἐμνήσθην, ὁσσάκις ἀμφ.] Est Epigramma Callimachi in Heraclitum, quod integrum legitur apud Laërtium in Heraclito: ut Pearsonius observaverat. KUST.

[i] Ἁλικαρνασσεῦ] ἁλικαρνησεῦ A. ἁλικαρνασσεῦ V.E.

[k] Ἡσιόδῳ] Opp. 491.

ΛΕΣΧΗΝΕΙΑ] Vid. Ὀνειρολεσχία. HEMST.

[l] ΛΕΣΧΗΝΙΤΗΣ] Λεσχηνότης A. Λεσχηνώτης Diog. Laërt. I. 43. ubi vid. Menag. Conf. H. Steph. Thes. II. p. 685 B.C. Mox ὁ ὑβριστὴς om. A.

ΛΕΣΧΙΔΗΣ] Vid. in Κρυπτευόμενος. HEMST.

[m] Εὐμενεῖ] Scribe Εὐμένει, cum acuto in penultima. KUST.

[n] Πυθίας] Sic habent 2 mss. Paris. At priores editt. Πυθέας, quod minus placet. KUST. Πυθίας B.E.

ib. An est Pytheas Massiliensis? Sane tempora conveniunt. Hunc autem Strabo II. 104. inter Dicæarchum et Eratosthenem locat. REINES. Vide Clintoni F. H. t. III. p. 564.

[o] Μένανδρος] μέγας V. Tum ὁ ante ἰατρὸς om. A.V.E.

[p] Ὥστε] Anthol. Pal. VI, 270. ubi leg. ὄσσε cum A. B.V. Jacobsius addidit ἅ σε.

[q] Νοῦς μέγας Ἀσσ.] Totus hic locus est admodum obscurus, cujus tenebras nemo discutiat, quin prius investigaverit auctorem, unde Suidas ista descripsit. Quare quærat diligens lector. Nos enim omnia præstare non possumus. KUST. Videor equidem mihi invenisse, unde hæc hauserit Suidas. Non est mihi dubium, quin respexerit is ad locum Jobi, qui est in Vatic. c. XL. (in Ald. XXVIII.) v. 20. *An extrahes Leviathanem hamo, et in fune demerges linguam ejus?* Græcus interpres vertit: Ἄξεις δὲ δράκοντα ἐν ἀγκίστρῳ, περιθήσεις δὲ φορβαίαν περὶ ῥῖνα αὐτοῦ; ubi pro ἄξεις δὲ δράκοντα Symmachus vertit ἑλκύσεις δὲ Λευιαθὰν, servata voce Hebræa. Draconem autem dici Leviathan a multiplici flexu probat Bochartus ex Arabismo Hieroz. II. 5, 16. Hinc Suidas Λευιαθὰν primo exponit δράκων. Quod vero dein exponat, νοῦς μέγας Ἀσσύριος &c. hoc habet ex Patribus quibusdam, qui per Leviathan mystice intellexerunt Diabolum, serpentem illum antiquum, Draconem magnum, sc. in Catena Græcorum Patrum in Jobum p. 566. Olympiodorus in Protheoria c. XXVIII. agens de voce Leviathan, inter alia habet, ὅτι δὲ εἰς τὸν ἀποστάτην δράκοντα ΤΟΝ ΝΟΥΝ ΤΟΝ ΜΕΓΑΝ ΤΟΝ ἈΣΣΥΡΙΟΝ, τουτέστι τὸν ΣΑΤΑΝΑΝ καλῶς ἀναφέρεται τὰ γεγραμμένα. En tibi eadem fere verba, quæ hic habet Suidas. Quod vero spectaverit Suidas locum illum Jobi, insuper patet ex sequentibus, ὃν ἕλκει τῷ τῆς θεότητος ἀγκίστρῳ. Apud Jobum enim est ἄξεις δὲ δράκοντα (vel, ut Symmachus, ἑλκύσεις δὲ Λευιαθὰν,) ἐν ἀγκίστρῳ. Accedit quod Suidas noster infra in v. Ψελίῳ: Ψελίῳ, inquit, περιοχῇ. ὁ Κύριος ἐν Ἰὼβ περὶ τοῦ δράκοντος, τουτέστι τοῦ Διαβόλου· ψελίῳ δὲ τρυπήσεις τὸ χεῖλος αὐτοῦ. BOS. νοῦς δὲ A.V.

ΛΕΥΚΑΝΙΑ] Λευκανίας E.M. Vid. supra Λαυκανίη. Heynium ad Il. χ'. 325.

ΛΕΥΚΑΡΙΩΝ] Λευκαρίωνος A.

ΛΕΥΚΑΣ] Ex Harpocratione. Mox πρὸ om. B.E.

ΛΕΥΚΑΙ ΦΡΕΝΕΣ] Pindar. Pyth. IV. 194. Vid. Heynium ad eum l. et not. ad Hesych.

[r] ἢ ἀγαθαὶ] καὶ ἀγαθαὶ A.B.V.E. et Photius, qui om. ἢ λαμπραί.

Λεύκη: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος·

Τοὺς ἐστεφανωμένους τῷ [a] μαράθῳ καὶ τῇ λεύκῃ.

Ἐστέφοντο δὲ οἱ τὰ Βακχικὰ τελούμενοι τῇ λεύκῃ, διὰ τὸ χθόνιον μὲν εἶναι τὸ φυτὸν, χθόνιον δὲ καὶ [t] τὸν τῆς Περσεφόνης Διόνυσον. Τὴν δὲ λεύκην πεφυκέναι [u] φασὶ πρὸς τῷ Ἀχέροντι. Ὅθεν καὶ [x] Ἀχερωΐδα καλεῖσθαι αὐτὴν [y] παρ' Ὁμήρῳ.

Λεύκη: Παρὰ [z] Ἡροδότῳ πάθος τι περὶ ὅλον τὸ σῶμα.

Λευκὴ ἀκτή: Πλειόνων ὄντων Λευκῶν, Λυσίας τῆς ἐν Προποντίδι μνημονεύει.

Λευκὴ ἡμέρα: Ἡ ἀγαθὴ, καὶ ἐπ' εὐφροσύνῃ. Εὔπολις Κόλαξι. [[a] Σοφοκλῆς·]

Ἐξίσταται δὲ νυκτὸς αἰανῆς κύκλος
τῇ λευκοπώλῳ φέγγος ἡμέρᾳ φλέγειν.

Λευκὴ ἡμέρα, [b] ἡ ἀγαθή. Ἀπὸ τῆς παροιμίας τῆς λεγούσης, Τῶν εἰς φαρέτραν. [c] Φύλαρχος γάρ φησι, τοὺς [d] Σκύθας μέλλοντας καθεύδειν, ἄγειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην διαγαγόντες, καθιέναι εἰς τὴν φαρέτραν ψῆφον λευκήν· εἰ δὲ ὀχληρῶς, μέλαιναν. Ἐπὶ τοίνυν τῶν ἀποθνησκόντων ἐκφέρειν τὰς φαρέτρας, καὶ ἀριθμεῖν τὰς ψήφους· καὶ εἰ εὑρεθείησαν πολλαὶ λευκαὶ, εὐδαιμονίζειν τὸν [e] ἀπογενόμενον. Ὅθεν ἡ παροιμία.

Λευκὴν μᾶζαν [f] φυρῶ σοι: Παροιμία ἐπὶ τῶν μεγάλα ὑπισχνουμένων.

Λευκὴ στάθμη: Ἐπὶ τῶν ἄδηλα ἀδήλοις σημειουμένων· ἢ ἐπὶ τῶν μηδὲν συνιέντων. Σοφοκλῆς [g] Κηδαλίωνι·

Τοῖς μὲν λόγοις τοῖς σοῖσιν οὐ τεκμαίρομαι,
οὐ μᾶλλον ἢ λευκῷ λίθῳ λευκὴ στάθμη.

Ἐν λευκῷ γὰρ λευκὴ στάθμη οὐδὲν δύναται δεικνύναι. Στάθμη δέ ἐστι σπάρτος τεκτονική.

Λευκή τις ἀνεπιδὴς ὅμοιος Νικίαι: Οὗτος γυναικώδης ἦν ὁ Νικίας.

Λευκὴ ψῆφος: Παροιμία, ἐπὶ τῶν [h] εὐδαιμόνως ἢ δυστυχῶς ζώντων.

Λευκίνη πέτρα:

Λεύκιος, Δημαράτου τοῦ Κορινθίου υἱός. Οὗτος εἰς Ῥώμην ὥρμησε, πιστεύων αὐτῷ τε καὶ τοῖς χρήμασι, πεπεισμένος οὐδενὸς ἔλαττον ἕξειν ἐν τῇ πολιτείᾳ διά τινας ἀφορμάς· ἔχων γυναῖκα χρησίμην τά τ' ἄλλα, καὶ πρὸς πᾶσαν ἐπιβολὴν πραγματικὴν εὐφυᾶ συνεργόν. [i] Παραγενόμενος δὲ εἰς τὴν Ῥώμην, καὶ τυχὼν τῆς πολιτείας, εὐθέως ἡρμόσατο πρὸς τὴν τοῦ βασιλέως ἀρέσκειαν. Ταχὺ δὲ καὶ διὰ τὴν χορηγίαν, καὶ διὰ τὴν τῆς φύσεως ἐπιδεξιότητα, καὶ μάλιστα διὰ τὴν ἐκ παίδων [k] ἀγωγὴν, ἁρμόσας τῷ προεστῶτι, μεγάλης [l] ἀποδοχῆς ἔτυχε καὶ πίστεως παρ' αὐτοῦ. Χρόνου δὲ προϊόντος, εἰς τοῦτο ἦλθε παραδοχῆς, ὥστε [m] συνοικεῖν καὶ [n] συγχειρίζειν τῷ [o] Μαρκίῳ τὰ κατὰ τὴν βασιλείαν. Ἐν δὲ τούτοις ἐπ' ἀγαθῷ πᾶσι γενόμενος, καὶ συνεργῶν καὶ συγκατασκευάζων τοῖς δεομένοις ἀεί τι τῶν χρησίμων, ἅμα δὲ καὶ τῇ τοῦ βίου χορηγίᾳ μεγαλοψύχως εἰς τὸ δέον ἑκάστοτε καὶ σὺν καιρῷ χρώμενος, ἐν πολλοῖς μὲν ἀπετίθετο [p] χάριν, ἐν πᾶσι δ' εὔνοιαν ἐνειργάσατο καὶ φήμην ἐπὶ καλοκἀγαθίᾳ, καὶ τῆς βασιλείας ἔτυχε.

Λεύκιος Αἰμίλιος, ὁ Περσέα νικήσας, [q] καὶ κύριος γενόμενος τῆς Μακεδόνων βασιλείας· ἐν ᾗ τῆς

ΛΕΥΚΗ: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησ.] Ex Harpocratione. KUST.

[a] μαράθρῳ] μαράθῳ M. Photius. Harpocr. Demosthenis mss. p. 313, 24.

[t] τὸν τῆς] τὸ τῆς A. Photii ms.

[u] φασὶ] φησὶ B.V. Photii ms. Harpocr. ms. Pal.

[x] ἈΧΕΡΩΙΔΑ] Ἀχερωΐδα Photii ms. Harpocr. ms. Pal.

[y] παρ' Ὁμήρῳ] Il. ν'. 389. ubi Scholiasta hæc notat: Ἀχερωΐς: ἡ λεύκη. παρὰ τὸ ἐκ τοῦ Ἀχέροντος ποταμοῦ τῶν καταχθονίων κομισθῆναι αὐτὴν ὑπὸ Ἡρακλέους, στεψαμένου αὐτῇ ἐπὶ τῇ τοῦ Κερβέρου νίκῃ. Idem et alii tradunt. KUST.

[z] Ἡροδότῳ] Gl. ad I. 138.

ΛΕΥΚΗ ἈΚΤΗ] Ex Harpocratione. KUST.

[a] Σοφοκλῆς] Εὔπολις Κόλαξι A.B.V. Photius. Antiatticista Bekkeri p. 106, ult. Λευκὴν ἡμέραν: τὴν ἀγαθήν. Σοφοκλῆς Ἀθάμαντι. Retinui Σοφοκλῆς, uncinis tamen inclusum, propter versus sequentes ex Aj. 672.

ΛΕΥΚΗ Ἡ.] Vid. v. Ἐπέλυσεν. TOUP.

[b] ἡ ἀγαθή] Vid. quæ collecta sunt in Annot. ad Aristænetum p. 408. ed. Boissonad.

[c] Φύλαρχος γάρ φησι, τοὺς Σκύθας μέλλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, αὐτολεξεὶ etiam leguntur apud Zenobium in Adagio. [VI. 13.] Τὰς ἐν τῇ φαρέτρᾳ ψηφῖδας: quem confer. Vide etiam Nostrum infra v. Τῶν εἰς φαρέτραν: ubi hic ipse locus repetitur. KUST.

[d] Σκύθας] Hæc vox, quæ totius sententiæ cardo est, in prioribus editt. [et B.E.] deest: quam ex 2 mss. Paris. revocavi. KUST.

[e] ἀπογενόμενον] ἀπογεννώμενον E. Mox καὶ post ὅθεν om. cum A.V.E.

ΛΕΥΚΗΝ ΜΑΖΑΝ] Alludit Lucianus Περὶ τῶν ἐπὶ μισθῷ συνόντων. [c. 17.] Λευκοῦ ποτε ἄρτου ἐμφορηθείς. Idem in aliis etiam locis album panem in deliciis fuisse testatur. SCHOTT.

[f] ΦΥΡΩ ΣΟΙ] φυρῶσι V.

ΛΕΥΚΗ ΣΤΑΘΜΗ] Vide Liban. Ep. ed. Wolf. p. 540. ubi locus Sophoclis ex Eustathio. Vid. Hesych. in v. Vid. Γαλῇ χιτών ubi leg. συνιέντων. TOUP. Adde Schol. Platon. p. 89. Simplicius in Aristot. de Cœlo fol. 210. in ms. Colleg. Nov. ἐγὼ περὶ τὰς τοιαύτας ζητήσεις, εἰ χρὴ τἀληθὲς εἰπεῖν, λευκή τις εἰμι σταθμὴ κατὰ τὴν παροιμίαν. In alia omnia abit ed. Ald. p. 98 b.

[g] Κηδαλίωνι] Sic etiam Photii ms. Mox λευκῇ στάθμῃ A.

ΛΕΥΚΗ ΤΙΣ] Sic mss. Paris. At priores editt. Λευκήτης: quam lectionem lex metri repudiat. Est enim versus iambicus. KUST. Est Aristoph. Eccl. 428. ubi λευκός. Monuit Toupius.

[h] εὐδαιμόνως] εὐδαιμόνων A.V. Verba ἢ δυστυχῶς uncis inclusit Schottus. Sed ea tenet Hesychius, ubi vid. not.

ΛΕΥΚΙΝΗ] Deest gl. V.

ΛΕΥΚΙΟΣ, Δημαράτου τοῦ Κορινθ.] Totus hic articulus exstat in Collectaneis Constantini imperatoris, a Valesio editis, p. 9. unde eum Suidas descripsit. KUST. Polyb. VI. 2.

[i] Παραγενόμενος] Post βασιλείας v. seq. V.

[k] ἀγωγὴν] ἀναγωγὴν B.V.E.M. Supra ἐπιδεξιότητα V.

[l] ἀποδοχῆς om. A. qui mox παρ' αὐτῷ.

[m] συνδιοικεῖν] συνοικεῖν A.B.V.E. edd. ante Kuster. qui tacite dedit correctionem Porti, a Valesio probatam.

[n] συγχειρίζειν] Sic recte 2 mss. Paris. At priores editt. [et B.E.] male, συγχρονίζειν: cujus loco legendum esse συγχειρίζειν Portus quoque recte conjecerat. KUST.

[o] Μαρκίῳ] Μακαρίῳ B.M. voc. om. E. cum lacuna. Tum τὰ om. B.

[p] τὴν χάριν] τὴν om. A.B.E.

ΛΕΥΚΙΟΣ ΑΙΜΙΛΙΟΣ, ὁ Περσ.—καὶ σὺν τούτοις καί τινας τῶν κτήσεων] Et hic locus αὐτολεξεὶ legitur in iisdem Collectaneis Constantini imperatoris, p. 98. KUST. Polyb. XVIII. 18.

[q] καὶ κύριος] καὶ om. A.B.V. Mox ἐξ M. pro ἑξακισχιλίων.

ἄλλης χωρὶς κατασκευῆς καὶ χορηγίας, ἐν αὐτοῖς εὑρέθη τοῖς θησαυροῖς ἀργυρίου καὶ χρυσίου πλείω τῶν ἑξακισχιλίων ταλάντων· οὐχ οἷον ἐπεθύμησε τούτων τινὸς, ἀλλ' οὐδ' αὐτόπτης ἐβουλήθη γενέσθαι, δι' ἑτέρων δὲ [r]τὸν χειρισμὸν ἐποιήσατο [s]τῶν προειρημένων. Καίτοι κατὰ τὸν ἴδιον βίον οὐ περιττεύων τῇ χορηγίᾳ, τὸ δ' ἐναντίον [t]ἐλλείπων μᾶλλον. Μεταλλάξαντος γοῦν αὐτοῦ τὸν βίον οὐ πολὺ κατόπιν τοῦ πολέμου, βουληθέντες οἱ κατὰ φύσιν υἱοὶ, [u]Πόπλιος Σκηπίων καὶ Κόϊντος Μάξιμος, ἀποδοῦναι τῇ γυναικὶ τὴν φερνὴν, κ' τάλαντα καὶ πέντε, ἐπὶ τοσοῦτον ἐδυσχρηστήθησαν, ὡς οὐδ' εἰς τέλος ἐδυνήθησαν, εἰ [x]μὴ καὶ τὴν [y]ἐνδουχίαν ἀπέδοντο, καὶ τὰ σώματα, καὶ σὺν τούτοις [z]καί τινας τῶν κτήσεων.—[a]Κάλλιστον οὖν σημεῖον κατέλιπε τῆς ἑαυτοῦ προαιρέσεως ἀποθανών. Ὁ γὰρ πλεῖστον μὲν τῶν καθ' αὐτὸν ἐξ Ἰβηρίας χρυσὸν εἰς τὴν Ῥώμην [b]μετενηνοχὼς, μεγίστων δὲ θησαυρῶν κύριος γενόμενος ἐν Μακεδονίᾳ, τοιοῦτον ἀπέλιπε τὸν ἴδιον [c]βίον, ὥστε μὴ δύνασθαι τὴν φερνὴν τῇ γυναικὶ διαλῦσαι πᾶσαν ἐκ τῶν ἐπίπλων, εἰ μὴ τῶν [d]ἐγγείων τινὰς προσαπέδοτο κτήσεων.

Λευκοθέη: Ὄνομα κύριον.

Λευκόν:

Ὅτι καὶ [e]τὸ λευκὸν ὁμώνυμον, ὥσπερ τὸ ἀγαθόν. Τὸ μὲν ἐπὶ τοῦ σώματος λεγόμενον, τὸ λευκὸν χρῶμα σημαίνει, ὅπερ ἐστὶν ὑπὸ τὴν ποιότητα· τὸ δὲ ἐπὶ τῆς φωνῆς, [f]τὸ ποιεῖν. [g]Λευκὴ γὰρ λέγεται φωνὴ, ἡ εὐήκοος· εὐήκοος δέ ἐστιν, ἡ τὴν ἀκοὴν σφοδρῶς καὶ ταχέως ἀλλοιοῦσα. Ὁμοίως καὶ τὸ ὀξὺ δεικνύοιτ' ἂν ὁμώνυμον.

Λευκόνιον: Ὄνομα τόπου.

Λευκονοιεύς: Δῆμος τῆς Λεοντίδος [h]οἱ Λευκόνοι.

Λευκοπύγους: Δειλοὺς, ὡς μελαμπύγους, τοὺς ἀνδρείους.

Λευκοὺς [i]λίθους ἔχοντες, αὐχοῦσιν μέγα:

Λευκόχρως: Λευκὸν τὸ [k]σῶμα ἔχων. Ἐν [l]Ἐπιγράμμασι·

> Δάφνις ὁ λευκόχρως, ὁ καλῇ σύριγγι μελίσδων.

Λευκώλενος: Λευκοβραχίων.

Λεύκωμα: Τοῖχος γύψῳ ἀληλιμμένος, πρὸς γραφὴν [m]πολιτικῶν πραγμάτων ἐπιτήδειος.

Λεύκων, [n]Ἀγνὼς, γεγονὼς ἐν τοῖς Πελοποννησιακοῖς. Τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα, Ὄνος ἀσκοφόρος, [o]Φράτορες.

Λεῦκτρα: Χωρίον Βοιώτιον [p]περὶ Θεσπιάς.

Λεύσσετε: Ὁρᾶτε, βλέπετε.

Λευστήρ:

> Ὁ δὲ παλαμναῖος καὶ λευστὴρ ἐκεῖνος ἥττησιν ἐπωνυμίαν λαβεῖν Εὐτυχής.

Ὁ καταλευσθῆναι ἄξιος· τουτέστι, λιθοβοληθῆναι. [q]Καὶ Αἰλιανός·

---

[r] τὸν χειρισμὸν] τῶν χειρισμῶν V.

[s] τῶν προειρημένων ἐποιήσατο] ἐποιήσατο τῶν προειρημένων A. Excerpt.

[t] ἐλλείπων] ἐλλείπω V.

[u] Πόπλιος Σκηπίων] Πόπλιος Σκήπίων A. Post φερνὴν delevi ἤγουν τὴν προῖκα cum A.

[x] μὴ καὶ] καὶ om. A.B.

[y] ἐνδουχίαν] De hac voce vide nos supra ad v. Ἐνδουμενία. KUST.

[z] καί τινας] ἔτι τινας Excerpt.

[a] Κάλλιστον οὖν σημεῖον κατέλιπε τῆς ἑαυτοῦ πρ.] Hæc, et quæ sequuntur usque ad finem articuli, itidem deprompta sunt ex ante laudatis Collectaneis Constantini imperatoris, p. 146. KUST.

[b] κατενηνοχὼς] μετενηνοχὼς A. Excerpt.

[c] βίον] ἴδιον βίον V. Excerpt.

[d] ἐγγείων] ἐγγίων B. ἐγγύων M. Ἐγγείων conj. Portus.

ΛΕΥΚΟΘΕΑ] Λευκοθέη A.V. Od. ε'. 334. ib. Vid. supra Ἰνώ. De Leucotheæ templo in Moschica regione a Phrixo condito et a Pharnace spoliato vid. Strab. XI. 498. REINES.

[e] τὸ λευκὸν ὁμώνυμον, ὥσπερ τὸ ἀγαθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Alexandri Aphrodis. in lib. I. Topic. p. 57. KUST.

[f] τὸ ποιεῖν] ὑπὸ τὸ π. Alex.

[g] Λευκὴ] Vid. Casaub. ad Athenæum IX. 7. Anthol. p. 201. TOUP.

ΛΕΥΚΟΝΙΕΥΣ] Ex Harpocratione. Vox autem hæc varie scribitur. Nam apud Demosthenem est Λευκονοεύς; apud Plutarchum Λευκονοεύς; apud Varinum Λευκονοιεύς. Vide Meursium de Pop. Att. et Rutgersium Var. Lect. lib. V. c. 4. KUST. Λευκονοιεύς A.B.E. Harpocr. Vid. infra v. Μέτων. Photius: Λευκόνιον: δῆμος Λεοντίδος· οἱ καὶ Λευκόνοιοι. Demosth. pp. 818. 927. 1215. Λευκονοεύς.

[h] οἱ Λευκόνοι] Λευκόνοιον Harpocrat. Λευκονοεῖς Rutgersius.

ΛΕΥΚΟΠΥΓΟΥΣ] Vide infra v. Οὐδὲν λευκῶν. KUST.

ΛΕΥΚΟΥΣ ΛΙΝΟΥΣ ἘΧ.] Hunc versum ad Astrampsychi Oneirocritica refert Meursius, quamvis in iis non exstet. Ego ἐπέχω. Imo nego esse Astrampsychi. Est enim Euripidis, et pro λίνους legendum est λίθους. Vide v. Λίθον χυτόν. PEARSON.

[i] ΛΙΝΟΥΣ] λίθους A.B.V.E.

[k] σῶμα] τὸ σῶμα A. Tum ἔχω V.

[l] Ἐπιγράμμασι] Anthol. Pal. VI. 177.

ΛΕΥΚΩΛΕΝΟΣ] Il. α'. 55. et al.

ΛΕΥΚΩΜΑ] Vid. Demosth. c. Timocrat. in lege, p. 787, 11.

[m] πολιτικῶν πραγμάτων] τινῶν πολιτικῶν Photius.

[n] Ἀγνὼς] Sic habent mss. Paris. At priores editt. [et E.] ἀγνός: quod manifeste mendosum est. Wolfius legendum putabat Ἀγνούσιος: quod non displicet. Erat enim Ἀγνοῦς populus Atticæ; cujus ἐθνικὸν est Ἀγνούσιος. At Ἀγνὼς esse gentile urbis vel regionis in Græcia olim sitæ, nullus, quod sciam, auctor tradidit. KUST. Consentit Cod. Lugd. Bat. Verte *Ignotus*: sc. non constabat nec traditum a veteribus erat, quis et unde domo foret. HEMST. Nec Ἀγνὼς nec Ἀγνούσιος placet. Hoc enim ineptum, illud ineptissimum est. Puto veram scripturam esse Ἄγνω, i. e. Ἄγνωνος. Ut *Leuco* filius fuerit *Agnonis*. *Agno* autem nomen non incelebre in Peloponnesiacis: de quo Thucydides consulendus. Deinde distingue, Ὄνος ἀσκοφόρος, [sic Portus,] Φράτορες. Quod et Fabricio placuisse video. Leuconem ἐν Φράτερσι sive Φράτορσι præter Athenæum laudat Hesychius, v. Παιώνις· ubi ita scribendum est: Λεύκων Φράτορσιν· Ἀτὰρ ὁ Μεγακλέους ΟΣ ΤΑ ΤΟΥ Παιώνιδος Ὑπέρβολος τἀκπώματα κατεδήδοκε. Vulgo depravatissime legitur, ἐστάτου Παιώνιδος. Alterius autem fabulæ titulus, ut dixi, fuit, Ὄνος ἀσκοφόρος. Asini ad onera gestanda inprimis idonei et veteribus usitati. Hinc proverbium: Ἄλλα μὲν ὁ Λεύκωνος ὄνος φέρει, ἄλλα δὲ Λεύκων. *Leuco carries one thing, and his ass carries another.* De quo inepte Suidas, v. Ἄλλα, et ceteri Parœmiographi. TOUP. Vid. Meineke Quæst. Scen. II. p. 51.

[o] Φράτορες] Fabulam hanc laudat Athen. lib. VIII. p. 343. KUST. ὄνος, ἀσκόφορος, φράτορες M.

ΛΕΥΚΤΡΑ: Χωρίον Βοιώτ.] Ex Harpocratione. KUST.

[p] περὶ] παρὰ B.E.M. Statim delevi ΛΕΥΡΑ: Λευρά, cum A.B.V.

ΛΕΥΣΣΕΤΕ] Il. α'. 120. v. n. ad Hesych.

[q] Καὶ Αἰλιανὸς om. V. Vocem λευστῆρα frequentavit Ælianus: vid. N. A. V. 15. et Schneid. ibid.

Ἵνα τὸν τῶν κακῶν αἴτιον καὶ λευστῆρα ἀφανίσωσι.

**Λευχείμων**: [f]Συστέλλει. Λευκοφόρος.

**Λευχηπατίας**: Δειλός. [s]Συμβαίνει γάρ τι περὶ τὸ ἧπαρ ἐπί τινων, ὃ δειλοὺς τοὺς ἀνθρώπους ποιεῖ. Ἐπὶ τῶν τοιούτων οὖν εἴρηται.

**Λέχαιον**: Ἐπίνειον Κορινθίων.

**Λεχεποίην**: Λέχη ποιοῦντα, ἤτοι ψιάθους.

**Λέχος**: Συνουσία, κοίτη, μίξις. [t]Ἡ δοτικὴ, τῷ λέχει.

**Λεχώ**: Ἡ ἀρτίτοκος. Καὶ ἐν Ἐπιγράμμασι·

> [u]Οὕνεκά οἱ πρηεῖα λεχοῖ δισσὰς ὑπερέσχες
> χεῖρας, ἄτερ τόξου πότνια νισσομένη.

**Λεχώϊα**: Τὰ ἐπὶ τῇ λοχείᾳ [x]συμβαίνοντα.

> [y]Ἀλλὰ κόραι τῇ παιδὶ λεχώϊα δῶρα φέρουσαι,
> θερμὰ κατὰ ψυχροῦ δάκρυα χεῖτε τάφου.

**Λέχριος**: Πλάγιος.

> [z]Καὶ διαβὰς λέχριος ἐν θαλάμῳ.

**Λεῖα**: Παρὰ Θουκυδίδῃ τὰ λιτὰ, πρὸς ἀντιδιαστολὴν τῶν ὑφαντῶν καὶ πεποικιλμένων.

**Λεία**: Ὁμαλὴ ὁδὸς, καὶ ἡ λαφυραγωγία. Σημαίνει [illegible] καὶ ὄνομα κύριον.

**Λειανέω**: Λεῖον ποιήσω.

**Λείας**: Πραίδας ἀπὸ πολεμίων. Καὶ **λείας**, τὰ ποίμνια, τὰ βοσκήματα, [a]παρὰ Σοφοκλεῖ·

> Ἐφθαρμένας γὰρ ἀρτίως εὑρίσκομεν
> λείας ἁπάσας, [[b]καὶ κατηναρισμένας.]

[c]Ἔνθεν καὶ **ληιστὴς** κατὰ τὸ κύριον. Καὶ [d]Ὅμηρος·

> Ληΐδα δ' ἐκ πεδίου συνηλάσαμεν ἤλιθα πολλήν.

[e]Καὶ αὖθις·

> Πολλὰ μὲν λάφυρα, πολλὴν [illegible] λείαν περιεβάλλοντο.

Καὶ **ληΐζω**: Τὸ πραιδεύω. Καὶ [f]ἀλλαχοῦ Ὅμηρος·

> [g]Ληϊστοὶ μὲν γάρ τε βόες, καὶ ἴφια μῆλα.

Καὶ αὖθις·

> Σκυθῶν ἐπιδραμόντων τὴν Ῥωμαίων χώραν, καὶ πολλὴν λείαν περισυρόντων, ὁ βασιλεὺς Οὐαλεντιανὸς ὀργισθεὶς, καὶ βοήσας μειζόνως, ἐρράγη τὰ τῆς φωνῆς [h]αἴτια, καὶ ἐτελεύτησε.

**Λείβεται τοῖς δακρύοις**: Διάβροχος γίνεται. [i]Ἀριστοφάνης·

> Ὁ δ' [k]Ἱπποδάμου λείβεται θεώμενος.

[l]Οὗτος ὁ Ἱππόδαμος ἐν Πειραιεῖ κατῴκει, καὶ τὴν οἰκίαν δημοσίαν [m]ἀφῆκε. Πικρῶς οὖν λέγει πρὸς Κλέωνα, ὅτι σὺ μὲν σφετερίζῃ καὶ κερδαίνεις· ὁ δὲ εὐνούστατος τῇ πόλει καταλείβεται τοῖς [n]δακρύοις, ὁρῶν σε καρπούμενον τὰ τῆς πόλεως ἀναξίως.

**Λείβει**: [o]Βάλλει, στάζει.

> Ὁ δὲ φθειρσὶν [p]ἐκζέσας, ἐσθιόμενός τε καὶ κατὰ μικρὰ λειβόμενος, ἀποθνήσκει.

**Λειβήθρα**: Ὄνομα [q]πόλεως. **Λειβήθρον** δὲ, ὀχετὸς [r]ὑδραγωγικός.

**Λεῖκνον**: Κόσμος Βακχικός.

> [s]Ἠδὲ φορηθὲν
> πολλάκι μιτροδέτου λῖκνον ὕπερθε κόμης.

Ἐν Ἐπιγράμμασι.

**Λεῖκνον**: Τὸ πτύον.

**Λεῖμμα**: Τὸ κατάλειμμα.

**Λείμαξ**, λείμακος. Ὁ σύμφυτος τόπος, ὁ κῆπος. Καὶ [t]**λειμακέστεροι**, οἱ σύμφυτοι καὶ σύνδενδροι τόποι.

**Λειμὼν**, λειμῶνος. [u]Ὁ ἀνθηρὸς τόπος.

---

[f] Λευχείμονος. συστέλλει γάρ] συστ. A.B.V. nec plura.

[s] Συμβαίνει] σημαίνει Hemsterhusius, et sic V. Vulg. tenet Zenobius IV. 87. unde Suidas.

ΛΕΧΑΙΟΝ] Sic etiam Harpocratio: ex quo Suidas. At Hesychius Λεύχαιον; quod corruptum esse existimo. Nam Λέχαιον locus hic vocatur non solum ab Harpocratione et Suida; sed etiam Strabone et Pausania. KUST.

ΛΕΧΕΠΟΙΗΝ: Λέχη π.] Non placet interpretatio Suidæ. Melius Scholiasta Homeri ad Il. β'. 697. Λεχεποίην: βαθείας βοτάνας ἔχουσαν, ἀφ' ὧν ἦν καὶ λέχος καταστῆσαι· τουτέστι κοίτην. Cum hoc facit Hesychius: quem confer. KUST. Il. β'. 697. et δ'. 383. Homerus βαθύσχοινον vocat λεχεποίην i. e. coitus stimulatorem juncum, s. junci semen, Sext. Empir. adv. Mathem. (p. 285. ed. Fabric.) REINES.

[t] Ἡ δοτικὴ τῷ λέχει] λέχει δοτικῇ A.E.

[u] Οὕνεκά οἱ πρηεῖα] Anthol. Pal. VI. 271.

[x] συμβαίνοντα] Sic habent mss. Paris. At in edit. Mediol. vox ista deest; et editt. reliquæ ejus loco habent συμβάλλοντα, (sic Ald.) vel συμβάλλοντα. KUST.

[y] Ἀλλὰ κόραι] Anthol. Pal. VII. 166.

[z] Καὶ διαβὰς λέχρ.] Vide infra v. Λύχνῳ, ubi fragmentum hoc auctius legitur. KUST. Anthol. Pal. V. 294.

ΛΕΙΑ: Παρὰ Θουκυδίδῃ τὰ λιτ.] Ex Schol. Thucyd. lib. II. c. 97. KUST.

ΛΕΙΑΝΕΩ] Il. ι'. 261.

[a] παρὰ Σοφοκλεῖ] Aj. 26. Sophoclis versus om. V.

[b] καὶ κατηναρισμένας] καὶ κατηρ. B. om. A.

[c] Ὅθεν] ἔνθεν A.B.V. ἔνθεν—πολλήν post Σοφοκλεῖ ponit A.

[d] Ὅμηρος] Il. λ'. 676. ubi legitur συνελάσσαμεν, uti et hic apud Suidam legendum est. KUST.

[e] Καὶ αὖθις—πραιδεύω] Hæc inserui ex A.

[f] ἀλλαχοῦ] Ὅμηρος addit A.

[g] Ληϊστοὶ μὲν γάρ τε β.] Il. ι'. 406. KUST.

[h] αἴτια om. E. Cedrenus p. 312. ed. Paris. ἐκ [illegible] τῆς τάσεως καὶ τοῦ κρότου τῶν χειρῶν φλεβὸς ῥαγείσης, καὶ πλείστου ἀναδοθέντος αἵματος, ἔν τινι φρουρίῳ Γαλλίας θνήσκει. Vid. Vales. ad Ammian. Marcell. XXX. 6.

[i] Ἀριστοφάνης] Equit. 327. sed ubi legitur, ὁ δ' Ἱπποδάμου. KUST.

[k] Ἱππόδαμος] Ἱπποδάμου A. Mox θεώμενος A.

[l] Οὗτος ὁ Ἱππόδαμος ἐν Πειρ.] Hæc, et quæ sequuntur, sunt verba Scholiastæ [illegible] modo indicatum locum Aristophanis. KUST.

[m] ἀφῆκε] ἀνῆκε A.V. Schol.

[n] δακρύοις] τοῖς δ. A.V.

ΛΕΙΒΕΙ] B.E. addunt αἰτιατικῇ. Seq. exemplum om. V.

[o] Βάλλει] Sic habent mss. Paris. itemque editt. Mediol. et Aldina. At editt. Basil. et Genev. βλύει: quæ est interpolatio editorum. KUST.

[p] ἐκζέσας] Sic recte mss. Paris. At editt. Mediol. et Aldina male ἐξηζέσας: nec melius reliquæ, ἐξεζέσας. KUST.

[q] πόλεως] Vid. not. ad Hesych.

[r] ὑδραγωγικός] ὑδραγωγὸς Eustath. Il. φ'. p. 1236=1323. 18.

ΛΕΙΚΝΟΝ] Confer Nostrum infra v. Λίκνον. KUST.

[s] Ἠδὲ φορηθὲν πολλ.] Anthol. Pal. VI. 165. ubi λίκνον. Tum φοιτηθὲν B.E.M. Dein μιτροδέτου M.

[t] ΛΕΙΜΑΚΕΣΤΕΡΟΙ] Inepte. Scribendum enim est, λείμακες. KUST. Fallitur vir doctissimus. Erotian. Λειμακέστεροι καὶ Λειμακώδεις λέγονται οἱ λιμνώδεις καὶ κατάφυτοι καὶ ὁμαλοὶ τόποι. Ita scribendus iste locus. Hippocrates de Aëre p. 289. Εἰσὶ γὰρ φύσιες, αἱ μὲν ὄρεσιν ἐοικυῖαι δενδρώδεσί τε καὶ ἐφύδροισιν· αἱ [illegible] λεπτοῖσί τε καὶ ἀνύδροις· αἱ δὲ ΛΕΙΜΑΚΕΣΤΕΡΟΙΣ τε καὶ ἐλώδεσι. TOUP. Conf. Wesseling. ad Herodot. IV. 47. Καὶ λ.—τόποι om. A. Post Λειμωνία ponit V. Arnaldus Lect. Gr. p. 90. correxerit Λείμακες, κατεροὶ, ἢ σύμφυτοι κ. τ. λ.

[u] Ὁ ἀνθηρὸς] ὁ om. A.E.

ΛΕΙΜΩΝΗΡΗΣ ΒΟΤΑΝΗ: Ἡ ἐν τῷ λειμῶνι.

ΛΕΙΜΩΝΙΑ: Βοτάνη. Καὶ ΛΕΙΜΩΝΙΤΙΣ.

ΛΕΙΞΑΙ: Οὕτως ἐκαλοῦντο στρατιῶται. Τοῦτο δ' ἦν τὸ γένος τῶν ἐργαστικῶν καὶ παραστρατευομένων ἀνθρώπων, ὃ πάσης τάξεως ἐκτὸς ὑπάρχον, οὔτε χιλιάρχου [x] λόγον οὔτε στρατηγοῦ ἐποιεῖτο, διὰ τὸ μὴ γινώσκεσθαι [y] τῷ κερδαίνειν ἐκ παντὸς τρόπου, δικαίως καὶ ἀδίκως. Διόπερ ἀπερίσπαστον ὄν, πᾶν γένος ἐπινοεῖ κακίας, καὶ πᾶσαν εἰσφέρεται μηχανὴν πρὸς τοῦτο τὸ μέρος. Ἱκανὸν δ' ὑπάρχον οὔτε πρὸς τὰς πολεμικὰς [z] ἐπιβολάς, οὔτε πρὸς τὰς καθ' αὑτῶν, διὰ τὸ μήθ' ὅπλα μήτε πίστιν ἔχειν, ἀναγκάζεται κοινοῦσθαι τοῖς στρατιώταις, καὶ συναποδεικνύειν τούτοις τὰς ἐπινοίας, χάριν τοῦ [a] προσλαμβάνειν τὴν ἐκ τούτων ἐπικουρίαν, [b] καὶ χρῆσθαι συνεργοῖς τούτοις κερδῶν καὶ φόνων. Καὶ ἐγένοντο πάντες λίχνοι, καὶ πᾶν ἐπληρώθη τὸ στράτευμα ῥᾳδιουργίας καὶ πονηρίας. Ὅθεν καὶ [c] ΛΕΙΞΟΥΡΑ.

ΛΕΙΟΒΑΤΟΣ: Ὁ ὁμαλὸς τόπος.

ΛΕΙΟΚΥΜΟΝΟΥΣΙΝ ΑΙ ΝΗΕΣ:

ΛΕΙΟΜΙΤΟΥ: Ἐν Ἐπιγράμμασι·

[d] Παλλάδες ἱστοπόνου λειομίτου κάμακος.

ΛΕΙΟΝ: [e] Πρᾶον. [f] Ἀριστοφάνης·

Μὴ πρὸς ὀργὴν ἀντιλέξῃς,
ἀλλὰ συστείλας, ἄκροισι
χρώμενος τοῖς [g] ἱστίοισιν,
εἶτα μᾶλλον μᾶλλον ἄξεις,
καὶ φυλάξεις, ἡνίκ' ἂν τὸ
πνεῦμα λεῖον
καὶ καθεστηκὸς [h] λάβῃς.

ΛΕΙΟΦΥΛΛΟΝ ΦΥΤΟΝ: [i] Ὁμαλόδερμον.

ΛΕΙΩΔΗΣ: Ὁ ὁμαλός. Καὶ ὄνομα κύριον.

ΛΕΙΩΚΡΙΤΟΣ: Ὄνομα κύριον.

ΛΕΙΩΣΑΣ: Διακόψας.

ΛΕΙΠΑΝΔΡΕΙΝ:

[k] Βουληθέντας Ἀθηναίους διὰ τὸ λειπανδρεῖν αὐξῆσαι τὸ πλῆθος, ψηφίσασθαι γαμεῖν μὲν [kk] ἀστὴν μίαν, παιδοποιεῖσθαι δὲ καὶ [l] ἐξ ἑτέρας. Ὅθεν τοῦτο ποιῆσαι καὶ Σωκράτην.

ΛΕΙΠΕΣΘΑΙ: Ἡττῆσθαι. [m] Πολύβιος·

Πάντων τῶν κατὰ τὸν πόλεμον ἐνεργημάτων μεγίστην ῥοπὴν ἔχουσι καὶ πρὸς τὸ λείπεσθαι καὶ πρὸς τὸ νικᾶν αἱ ψυχαὶ τῶν ἀγωνιζομένων.

ΛΕΙΠΟΘΥΜΙΑ:

ΛΕΙΠΟΚΡΕΩΣ: Ὁ ἰσχνότατος.

ΛΕΙΠΟΜΑΡΤΥΡΙΟΥ ΔΙΚΗ: Τοῖς ἐπισταμένοις τι τῶν [n] πεπραγμένων, καὶ [nn] μαρτυρήσειν [o] ὑπεσχημένοις ἐν δικαστηρίῳ, εἶτα δὲ ὕστερον ἀποφυγοῦσιν, ἐλάγχανεν δίκην· κἂν μὲν ἥλωσαν, [p] ἐτιμῶντο κατ' ἀξίαν· εἰ δὲ μὴ ἕλοι ὁ διώκων, πρόστιμον ἐτίθετο [q] δραχμή.

ΛΕΙΠΟΜΑΙ: Γενικῇ καὶ δοτικῇ.

ΛΕΙΠΟΜΕΘΑ: Ἡττήμεθα.

[r] Ἅμα τῷ τὸν στρατηγὸν εἰπεῖν τοῖς ὄχλοις, ὅτι λειπόμεθα μάχῃ μεγάλῃ, τηλικαύτην συνέβη γενέσθαι [s] διατροπήν.

[t] Καὶ σύν·

Ἑάλωσαν δὲ αἰχμάλωτοι δισχίλιοι, [u] λείποντες διακοσίων.

ΛΕΙΠΟΝΑΥΤΑΙ:

[x] Ἐδογματοποιήσαντο δὲ τοὺς κατὰ τὴν Ἑλλάδα λειποναύτας γεγονότας ἀναζητῆσαι, καὶ τὰς χεῖρας ἀποκόψαι πάντων.

ΛΕΙΠΟΝΕΩΣ, λειπόνεω κλίνεται.

ΛΕΙΠΟΤΑΚΤΗΣ: Ὁ φυγάς. Καὶ ΛΕΙΠΟΤΑΚΤΩ, [y] τὴν τάξιν καταλιμπάνω.

ΛΕΙΜΩΝΗΡΗΣ] Λειμωνήρης B.E. Mox λειμῶνι A.

ΛΕΙΞΑΙ: Οὕτως ἐκαλοῦντο στρ.] Totum hunc locum Fulv. Ursinus et Casaubonus inter fragmenta Polybiana referunt. KUST.

[x] λόγον] λόγου B.E.

[y] τῷ κερδ.] Leg. εἰ μὴ τῷ κερδ. vel διὰ τὸ μηδὲν γινώσκειν, εἰ μὴ τὸ κερ. Vid. ed. Med. quæ habet τό. for. τοῦ κ. TOUP. τὸ κ. B.E.

[z] ἐπιβολάς] Sic A. Portus e conject. ἐπιβουλάς B.V.E. edd. vett. Mox ἑαυτὸν V. pro αὐτῶν.

[a] προσλαμβάνειν] προσλ. V.

[b] καὶ χρῆσθαι—φόνων] εἰς κέρδη καὶ φόνους V. Mox καὶ πονηρίας om. V.

[c] ΛΕΙΞΟΥΡΑ] Leg. Λειξουρία, luxuria. Vid. Meurs. ad Leon. Tact. c. 20. λειξουρευόμενοι c. 20. p. 83. στρατιῶται. REINES.

[d] Παλλάδες ἱστοπόνου λειομ.] Anthol. Pal. VI. 247.

[e] Τὸ ὁμαλὸν τὸ πρᾶον] τὸ ὁμαλὸν τὸ om. A.B.V.

[f] Ἀριστοφάνης] Ran. 1029.

[g] ἱστίοισιν] ἱστίοις A.E. Mox μᾶλλον sec. om. A.B.V.E.M.

[h] λάβῃς] λάβοις E.

ΛΕΙΟΦΥΛΛΟΝ] Λειόφυλλον A. Λειόφυτον V.

[i] Ὁμαλόδερμον] Hæc interpretatio potius convenit voci λειόφλοιον, quam λειόφυλλον: quod et a Porto monitum fuit. KUST.

ΛΕΙΩΣΑΣ] Sic etiam Photius. Corrupte poni pro Δῃώσας statuit Kusterus Diatr. p. 50.

ΛΕΙΠΑΝΔΡΕΙΝ] Λειπανδρεῖν B.E.M. Λειπανδρεῖον V.

[k] Βουληθέντας Ἀθηναίους διὰ τὸ λειπ.] Hæc sunt verba Laërtii lib. II. 26. ut Pearsonius etiam observaverat. KUST. Laërtii locum apposuerat Reinesius, insuper addito Athen. XIII. p. 602.

[kk] ἀστὴν] Ante ἀστὴν Toupius inserit ἕκαστον.

[l] ἐξ ἑτέρας] Sic habet antiquissimus ms. A. itemque Laërtius loco laudato. At priores editt. [et B.V.] minus recte ἑταίρας. KUST.

[m] Πολύβιος] Fr. gr. 91. Deest locus V.

ΛΕΙΠΟΘΥΜΙΑ om. A.

ΛΕΙΠΟΜΑΡΤΥΡΙΟΥ ΔΙΚΗ] Huc egregie faciunt verba Photii in Lexico inedito: Λειπομαρτυρίου, ἀδικήματος εἶδος, ἐφ' ᾧ γραφὴ ἦν, εἴ τις ἐκλείποι μαρτυρίαν. Ἔοικεν δέ πως τὸ ἐκκλητεύειν· πλὴν ὅτι ὁ μὲν οὐδὲ τὴν ἀρχὴν θελήσας μαρτυρεῖν ἐξεκκλητεύετο. Ὁ δὲ ὑποσχόμενος μέν, ἐκλιπὼν δέ, λειπομαρτυρίου ἐκρίνετο. Ὥσπερ καὶ ὁ μὲν μηδόλως στρατευσάμενος, ἀστρατείας· ὁ δὲ στρατευσάμενος μέν, λιπὼν δὲ τὴν τάξιν, λειποταξίας. Confer etiam Pollucem, et Petitum de Leg. Attic. p. 357. KUST. Vid. Herald. Animadv. in Salmas. p. 488.

[n] πεπραγμένων καὶ om. B.E.M.

[nn] μαρτυρήσειν] μάρτυσιν Photius.

[o] ὑπεσχημένοις] ὑπεσχημένων E.M.

[p] ἐτιμῶντο] ἐπετιμῶντο V. qui mox ἕλοι.

[q] δραχμή] δραχμαῖς E. edd. ante Kuster. Photius.

[r] Ἅμα τῷ τὸν στρατ.] Fragmentum hoc legitur apud Polybium lib. III. c. 85. KUST.

[s] διατροπὴν καὶ σύνταξιν] διατρο καὶ συν A. παρατροπὴν E. pro διατροπήν.

[t] Καὶ σύνταξιν] Hæ duæ voces apud Polybium desunt: unde patet eas esse a manu interpolatoris; qui forte scripserat συντάραξιν. Τὸ σύνταξιν enim nihil ad rem facit, nec significatione respondere potest voci præcedenti διατροπήν. Ceterum in mss. Paris. per compendium exaratum erat συν, posito τ super ν cum accentu, unde librarii, ambigua illa et captiosa scribendi ratione decepti, σύνταξιν effecerunt; cum, ut diximus, συντάραξιν potius legendum sit: quod et Portus viderat. KUST. Suspicor legendum καὶ συντάσσεται γενικῇ, vel σημείωσαι σύνταξιν, vel aliquid hujusmodi.

[u] λείποντες] λείποντες A.B.V.

[x] Ἐδογματοποιήσαντο] ἐδογματοποιήσαντο A.V.

[y] τὸ τὴν] τὸ om. A.V.E.

Λειποταξίου: [z] Ἀγαθίας·

Ὁ δὲ αἰσχρόν τι [a] ἡγεῖτο καὶ ἀγεννὲς, εἰ πολέμου ξυνεστηκότος, [b] αὐτός τε καὶ οἱ ἀμφ' αὐτὸν λειποταξίου ἁλοῖεν.

Ὅτι [c] Ἡράκλειος ὁ Ῥωμαίων [d] στρατηγὸς λειποταξίου ποινὰς τοὺς πλανῆτας τῆς Ῥωμαϊκῆς δυνάμεως εἰσεπράττετο.

Λειποσιτῶ:

Λειποστράτιον: Τὸ μὴ ἐθέλειν στρατεύεσθαι. Καὶ Λειποστράτιος, ὁ τὴν [e] στρατιὰν [f] καταλιμπάνων.

Λειποψυχῶ:

Λειπώδινος: [g] Γίνεται ἐκ τοῦ ὠδίν.

Λείρια: Τὰ ἄνθη, ἢ κρίνα.

[h] Ἡ μούνη Χαρίτων λείρια δρεψαμένη.

Λειριόεντα: Ἁπαλά. (Παρὰ τὴν λειότητα. Λείριον γὰρ τὸ ἄνθος.) Προσηνῆ, τερπνὰ, ἡδέα. C

Λείριον: Κοινῶς τὸ ἄνθος, καὶ ἰδίως [i] τὸν Νάρκισσον καλοῦσιν οἱ Ἀττικοί.

Λειριόεσσα: [k] Ἐπιθυμητική.

Λειριόφθαλμος: Ὁ προσηνεῖς ἔχων τοὺς ὀφθαλμούς.

Λειτουργίας: Ὑπηρεσίας.

Λειτουργική: Κυρίως μὲν ἡ ἱερατική· καταχρηστικῶς δὲ, ἡ δουλική. D

Λειτουργία: Κυρίως, ἡ δημοσία ὑπηρεσία. Παρὰ τὸ [l] λήϊτον, καὶ τὸ ἔργον. [m] Πισίδης·

[n] Ὅπως ὑφέξει τῶν χρεῶν καὶ τῶν τέκνων
δαπάναν ἁπλῶς ψυχικὴν λειτουργίαν.

A Καὶ λειτουργῷ δοτικῇ.

Λειχὴν, λειχῆνος. Εἶδος ψώρας.

Λείψανον: Τὸ κατάλειμμα.

Λειψυδρία: Ἡ λεῖψις τοῦ ὕδατος.

[Λήβω: Τὸ λαμβάνω.]

Ληγατάριος: [o] Εἶδος ἄρχοντος παρὰ Ῥωμαίοις. Καὶ ληγάτον, τὸ ἐν διαθήκαις λιμπανόμενον παρὰ B Ῥωμαίοις. [[p] Καὶ ἐληγάτευσεν, ἀπένειμε.]

Λῆγε: [q] Γενικῇ. Παύου.

Ληιδάριον: Θέριστρον. Ἄλλως. Εὐτελὲς ἱμάτιον θερινόν. Ἀριστοφάνης·

Καὶ ληδάριόν τι πρίασθαι.

Λήδας υἱέε: Κάστωρ καὶ Πολυδεύκης.

Λήδη: Ὄνομα κύριον.

Λήδιον: Τὸ τριβώνιον.

C Λήθαργος: Ἐπιλήσμων.

Λήθαργος κύων: Ὁ [r] προσσαίνων μὲν, λάθρα δὲ δάκνων. Καὶ τῶν ἵππων οἱ μὲν ἀμελεῖς καὶ ἀβλεμεῖς καὶ νωθροὶ, λήθαργοι καλοῦνται, ἔστι δὲ καὶ πάθος τι σὺν πυρετῷ.

Ληθεδανός:

Ληθεδόνος: Ὄνομα πηγῆς.

D Ληθεδών: Λήθη. [s] Λήθη δέ ἐστιν ἀποβολὴ ἐπιστήμης. Ἐν Ἐπιγράμμασι·

[t] Ἔργα δὲ φώτων
ἐς ταχινὴν ἔρρει τοιάδε ληθεδόνα.

Λήθη:

[u] Ὁ δὲ τοὺς θείους ἐξηγητὰς ἀπεγράφετο μάλα ἀκριβῶς, τοὺς

ΛΕΙΠΟΤΑΞΙΟΥ] Statim addunt A.V. καὶ λειποτάκτης ὁ φυγοπόλεμος (φιλοπόλεμος V.) Schol. Platon. p. 242. Λειποταξίου δίκη ἐστὶ γραφὴ κατὰ τοῦ στρατευσαμένου μὲν, λιπόντος δὲ τὸ στρατόπεδον καὶ τὴν τάξιν αὐτοῦ. Vid. Herald. Animadv. in Salmas. p. 241. E

[z] Ἀγαθίας] Lib. II. p. 43. ubi legitur, εἴ γε πολέμου τοσούτου ξυνεστηκότος, αὐτός τε καὶ ὁ ἀμφ' αὐτὸν στρατὸς λειποταξίου ἁλοῖεν. KUST.

[a] καὶ ἀγεννὲς ἡγεῖτο] ἡγεῖτο καὶ ἀγεννὲς A. qui mox ξυνεστηκότος pro συνεστ.

[b] αὐτός γε] αὐτός τε A.V.

[c] Ἡράκλειος ὁ Ῥωμαίων στρατ.] Hæc sunt verba Theophylacti Simoc. lib. II. cap. ult. in fine. KUST. F

[d] στρατηγὸς] βασιλεὺς V.

ΛΕΙΠΟΣΤΡΑΤΙΟΝ] Thucyd. I. 99. et Schol.

[e] στρατιὰν] στρατείαν V.

[f] καταλιπὼν] καταλιμπάνων A. καταλείπων E.

[g] Γίνεται—ὠδίν] Sic fere A.V. Ceteri et vulg. Οὐκ ἔστιν εὐθεῖα, ἀλλὰ γενική. Ἐκ τοῦ ὨΔΙΝ γὰρ ὠδῖνος γίνεται.

[h] Ἡ μούνη] Anthol. Pal. VII. 219.

ΛΕΙΡΙΟΕΝΤΑ] Similiter Photius. Conf. Apollonii Lex. in v. et Hesych. G

ΛΕΙΡΙΟΝ: Καὶ κοινῶς τὸ ἄνθ.] Eadem repetuntur infra v. Λίριον. KUST. Deest gl. A. Habet Photius in Λίριον. καὶ om. E. Mox τὸ ἄνθος om. B.

[i] τοῦ Ναρκίσσου] τὸν Νάρκισσον B.V.

[k] Ἐπιθυμητική] Etymologus rectius ἐπιθυμητή. KUST.

[l] λήϊτον] Sic recte mss. Paris. At priores editt. λήϊον. Lectionem manuscriptorum confirmat Etymologus v. Λειτουργὸς, ubi inter alia et hæc habet: Τὸ γὰρ πρυτανεῖον, ἤγουν τὸ δημόσιον, λήϊτον ἐκάλεσε. Photius in Lexico inedito: Λήϊτον: Δημόσιον. Hesychius: Ληϊτουργεῖν· λήϊτον γὰρ τὸ δημόσιον· λειτουργεῖν. Idem alibi: Λαϊτῶν: Τῶν δημοσίων τόπων. Et proxime ante, Λάϊτον: ἀρχεῖον. Scribe, Λάϊτον. KUST. H

[m] Πισίδης] Fr. Foggin. 114.

[n] Ὅπως ὑφέξῃ τῶν χρ.] Locum hunc ἀνερμήνευτον reliqui, quoniam sensus ejus prorsus obscurus est, nec ex tam brevi fragmento auctoris mentem divinare potuimus. Sciendum autem est, pleraque fragmenta Pisidis, quæ apud Suidam leguntur, propter brevitatem esse adinodum obscura, quibus lux afferri nequit, quoniam opus scriptoris illius, ex quo ea Suidas descripsit, hodie intercidit: ut et alibi lectorem me monuisse memini. KUST. Non vidit Kusterus hosce iambos aliquantulum interpolatos non differre a superioribus qui leguntur in v. Ἐπιάτης. Habentur autem integri et suo ordine dispositi in Hexaemero v. 1481. 1482. et 1487. FOGGIN. ὑφέξει A.

ΛΗΒΩ om. A.V. Habet A. in marg. ante Λαλία. Post λαμβάνω addunt B.E. τὸ λήβω ἐπὶ μὲν ἐνεργητικῶν αἰτιατικῇ συντάσσεται, ἐπὶ δὲ τῶν παθητικῶν γενικῇ.

[o] Εἶδος ἄρχοντος] Confundit hic Suidas τὸ ληγάτος cum ληγατάριος. Legatus enim erat genus magistratus, et quidem militaris, apud Romanos; non autem legatarius: ut cuilibet notum est. KUST. Vid. Ducang. in v. Λεγάτον et sqq.

[p] Καὶ ἐληγάτευσεν ἀπ. om. A.V.

[q] Γενικῇ. Παύου] Leg. εἰκε. REINES. Male. Γενικῇ om. A. Phot. Hesych. Repone παύου pro παῦε in Schol. Il. α'. 210.

ΛΗΙΔΑΡΙΟΝ: Θέριστρον] Ex Schol. Aristoph. Av. 716. ubi θερίστριον.

ΛΗΔΗ] Vid. Schol. Apollon. Rhod. I. 146.

ΛΗΘΑΡΓΟΣ] Vide supra v. Λαίθαργος. KUST. Hippomenis canis Λήθαργος nomine Pollux V. 46. 47. REINES.

[r] προσσαίνων] Sic melius ms. Paris. A. quam priores editt. (et B.V.) quæ habent προσαίνων. KUST.

[s] ΛΗΘΗ—ἐπιστήμης] Debet Suidas hanc definitionem Platoni Phædr. p. 383 E. quæ eidem in Conv. p. 330 A. ἐπιστήμης ἔξοδος, itemque μνήμης ἔξοδος in Phil. p. 81 F. ABRESCH.

[t] Ἔργα δὲ φώτων ἐς ταχ.] Ex Anthol. Pal. VII. 17.

[u] Ὁ δὲ τοὺς θείους ἐξηγ.] Fragmentum hoc ex Damascio depromptum esse suspicor. KUST. Depromptus est hic locus, ut recte suspicatus est vir doctissimus, ex Da-

τὸ τῆς λήθης γῆρας, ὥς ἔφη ὁ Πλάτων, ὑπομνήματα καταλείπων A ἑαυτῷ καὶ ἀποθησαυριζόμενος.

y Λήθην κενῶν.

Λήθην ἐμποιούντων φαρμάκων.

Τῶν τετολμημένων σφίσι λήθην καταχέαντες.

Ἀντὶ τοῦ, τολμητίαι γενόμενοι.

[Λήθης πεδίον: Ἐπὶ τῶν ἀδυνάτων.]

Λῆθος: Ὄνομα κύριον.

Ληθότης: Ἡ [z]ἐπιλησμοσύνη. B

Λήθω: Λανθάνω. Καὶ [a]λήσομεν ὁμοίως.

Λήϊα: Σιτοφόρα πεδία, [b]χωράφια.

Ληϊβότειρα: Καὶ [c]ληϊβοτείρης. Ληϊβοτὴρ δὲ, ὁ ἄγριος σῦς.

Ληΐδα: Τὴν λαφυραγωγίαν.

Ληΐζεται: [[d]Αἰτιατικῇ.] Αἰχμαλωτίζει, διαρπάζει, [e]πορθεῖ, ἐρημοῖ. Ἴσως δὲ καὶ ἐν παθητικῷ σημαινομένῳ λέγεται. C

Λήηναν: Ὡμάλισαν.

Ληΐνιος:

Λήϊον: Εὐτελὲς κολόβιον.

Ληΐσατο: Ἐμερίσατο, ἢ ἐλαφυραγώγησε.

Ληϊσθείς: Ληστευθείς. Καὶ [f]ληϊστικὸν, τάγμα καὶ πλῆθος· ληϊστρικὸν δὲ, κτῆμα.

Ληϊστός: Ὁ κτητός. A

Ληΐτις, ληΐτιδος. [g]Λήϊτος δὲ, Ληΐτου.

Ληκεῖν: Τὸ φωνεῖν.

Ληκινθάδιος:

Ληκώμεθα: [h]Κινώμεθα. [i]Ἀριστοφάνης·

Μάλισθ' ὅταν [k]ὑπό του ληκώμεθα
τὴν νύχθ' ὅλην.

[Ληκτέτω: Κατὰ Ῥωμαίους διορθοῦμαι.]

B Λήκυθιον: Ἀγγεῖον.

Εἶχε [l]δὲ καὶ ἐν τῇ ζώνῃ ληκύθιον παρηρτημένον, ἐν ᾧ τὸ φάρμακον ἦν τὸ θανάσιμον.

Καὶ [m]Ἀριστοφάνης·

Οὐ κατ' ἔπος [n]γέ σου κνίσω
τὸ ῥῆμ' ἕκαστον· ἀλλὰ [σὺν τοῖσιν θεοῖς]
ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ.

Μικροπρεπῶς γὰρ ἔλεγον, [o]κωδάριον, ληκύθιον, θυλάκιον.

C Ληκυθιστής: Ὁ μικρόφωνος. Οὕτω Σοφοκλῆς. Καὶ ληκυθισμός.

Περιεσχηκεῖν εὐστρόφως καὶ κεκλασμένως τὸν ληκυθισμὸν τῶν αἰσχρῶν καὶ γελοίων ᾀσμάτων.

Τουτέστι, τὴν εὐφωνίαν.

Λήκυθον τὴν τοῦ μύρου [p]Ἀττικοὶ καλοῦσιν [q]ἀλάβαστρον· ἀρσενικῶς δὲ [r]τὸν ἀλάβαστρον εἶπεν [s]Ἡρό-

D

mascio in Vita Isidori, ut discimus ex Photio in Excerptis, p. 1056. Emendatio autem Porti minime necessaria est. Alio quidem modo hunc locum expressit Clemens Alexand. Strom. lib. I. p. 322. atque ex eo Eusebius, Eccles. Hist. lib. V. c. 11. Ἤδη δὲ οὐ γραφὴ εἰς ἐπίδειξιν τετεχνασμένη ἥδε ἡ πραγματεία, ἀλλά μοι ὑπομνήματα εἰς γῆρας θησαυρίζεται λήθης φάρμακον. Sed utroque verior Damascius, qui ipsa Platonis verba, ut videtur, nobis exhibet. Intelligendum autem per τὸ τῆς λήθης γῆρας, nihil aliud E quam *senectutem obliviosam*. Sic noster poeta: *An old age of pain*: i. e. *a painful old age*. TOUP. Plato Phædr. p. 276 D. Ὅταν δὲ γράφῃ ἑαυτῷ τε ὑπομνήματα θησαυριζόμενος, εἰς τὸ τῆς λήθης γῆρας ἐὰν ἵκηται. ubi vid. Heindorf.

[x] εἰς τὸ τῆς λήθης γ.] Cum Porto scribere malim, εἰς τὴν τοῦ γήρως λήθην. KUST.

[y] Λήθην] Hic et sequens articulus vulgo tanquam glossarum capita exhibentur. Ego ut exempla v. Λήθη posui. Nescio an recte.

ΛΗΘΗΣ ΠΕΔΙΟΝ: Ἐπὶ τῶν ἀδυν.] Proverbium hoc Suidas confecit ex Scholiasta Aristophanis ad verba illa Comici Ran. 188. Τίς εἰς τὸ Λήθης πεδίον; ἢ 'ς ὄνου πόκας; Sed qui ipsa verba Scholiastæ inspexerit, deprehendet hallucinationem compilatoris: qui ea, quæ a Scholiasta de proverbio Ὄνου πόκας dicuntur, male ad Λήθης πεδίον refert. Verba Scholiastæ hæc sunt: Λήθης δὲ πεδίον, χωρίον διατετύπωκεν ἐν ᾅδου, ὡς καὶ τὸν Αὐαίνου λίθον ἔπλασεν, ἀπὸ τοῦ αὐαίνεσθαι τοὺς νεκροὺς καὶ ἀλίβαντας εἶναι. Ἐκ δὲ τοῦ δευτέρου καὶ τὸ G ἀδύνατον τῶν καθ' ᾅδου δηλοῖ, τοῦ ἢ 'ς ὄνου πόκας. Ἀδύνατον γὰρ πόκας ἀποκείρασθαι τῶν ὄνων. Φαίνεται δὲ καὶ παροιμιῶδες εἶναι, ὄνου πόκαι, τὸ ἄχρηστον. Οὐδὲ γὰρ αἱ τοῦ ὄνου πόκες χρησιμεύουσιν. Ἡ παροιμία δὲ λέγεται ἐπὶ τῶν ἀνηνύτων· παρόσον τὸν ὄνον οὔτε πέξαι τις δύναται, οὔτε κέρσαι. Λέγεται δὲ καὶ ὄνον κείρεις ἐπὶ τῶν ἀνηνύτοις ἐπιχειρούντων· ἐν ᾧ τρόπῳ φαμὲν καὶ τὸ, χύτραν ποικίλλεις, καὶ, κύτρον ἀναθυμιᾷς. Hinc apparet, verum esse quod dixi: Suidam nimirum locum hunc Scholiastæ ob oculos quidem habuisse, sed, quod negligenter et obiter tantum eum inspiceret, spurium proverbium inde composuisse. KUST. Deest gl. A. H

ΛΗΘΟΣ om. V.

[z] ἐπιλησμοσύνη] Statim delevi cum A.V., ΛΗΘΟΥΣΙ ΓΑΡ ΤΟΙ ΚΑΝΕΜΩΝ ΔΙΕΞΟΔΟΙ ΘΗΛΕΙΑΝ ὌΡΝΙΝ, ΠΛΗΝ ὍΤΑΝ ΤΟΚΟΣ ΠΑΡΗΙ. Ἔστι δὲ ταῦτα ἐκ τοῦ Οἰνομάου Σοφοκλέους. Καὶ ἔστιν ἐν τῷ ΔΙΕΞΟΔΟΙ. Male huc intrusa sunt ex v. Διέξοδοι.

[a] ΛΗΣΟΜΕΝ] λήσομαι B.E.M.

[b] χωράφια] Vid. Du Cangium in v.

ΛΗΙΒΟΤΕΙΡΑ: ἀπολαυστικὴ] ἀπολαυστικὴ om. A.B.V.E.

[c] ΛΗΙΒΟΤΕΙΡΗΣ] Od. σ'. 29.

ΛΗΙΔΑ] Il. ι'. 138.

[d] Αἰτιατικῇ om. A.

[e] πορθεῖ] πορθεῖ B.V.

ΛΗΗΝΑΝ] Pro λήηναν a λεαίνω. λείηναν Od. θ'. 260. supra Λειηνάν. HEMST.

ΛΗΙΟΝ] F. Λήδιον. TOUP.

ΛΗΙΣΑΤΟ] Il. σ'. 28.

[f] ΛΗΙΣΤΙΚΟΝ, τάγμα καὶ πλῆθος· ληϊστρ.] Scholiasta Thucydidis ad lib. I. c. 4. Ληστικὸν, τὸ σύστημα, ἤγουν τοὺς ληστάς. Ληστρικὸν δὲ, τὸ κτῆμα. Clarius Photius in Lexico inedito: Ληστικὸν καὶ ληστρικὸν διαφέρει. Τὸ μὲν γὰρ ἐκτὸς τοῦ ρ, σημαίνει τὸ σύστημα τῶν ληστῶν· τὸ δὲ μετὰ τοῦ ρ, τὸ κτῆμα τῶν ληστῶν. Θουκυδίδης α'. Τό τε ληστικὸν καθῄρει τῆς F θαλάττης. Egregie. KUST. ληστρικὸν A.

ΛΗΙΣΤΟΣ] Ληϊστὴ Il. ι'. 408.

[g] ΛΗΙΤΟΣ δὲ] δὲ om. A. Post h. v. V. addit Ληστρικὸς sine exemplo.

ΛΗΚΙΝΘΑΔΙΟΣ] Λήκινθα' A. ληκινθα' V.E. ληκινθάδας B. Hesychii Ληκυθιάδες citat Portus.

[h] Κινώμεθα] Sic habent omnes editt. At magis tamen placet βινώμεθα. Ληκᾶν enim apud Græcos idem significat quod συνουσιάζειν, vel βινεῖν. KUST. Nihil muta. Vid. v. Λορδουμένων. Hemsterh. ad Plut. p. 411. Pierson. G ad Mœr. p. 6. TOUP. νικώμεθα V. in textu.

[i] Ἀριστοφάνης] Thesm. 500. (493.)

[k] ἀπό] ὑπό A.V.E.

ΛΗΚΤΕΤΩ] Vide supra v. Ἐλήκτευσε. KUST. Gl. om. A. usque ad ἐν ᾧ τό.

[l] δὲ καὶ] καὶ om. V.

[m] Ἀριστοφάνης] Ran. 1229.

[n] δέ σου] γέ σου A. Mox ῥημάκιοντο V. Tum σὺν τοῖσιν θεοῖς om. A.B.V. Deinde ὑπὸ V. pro ἀπό.

H [o] κωδάριον] κνωδάριον A.

[p] οἱ Ἀττικοὶ] οἱ om. A.V.E.

[q] ἈΛΑΒΑΣΤΡΟΝ] Photius bis ἀλάβαστον. Sed vulg. habet Schol. Platon. p. 136.

[r] τὸν ἀλάβ.] τὸ ἀλάβ. B.V.

[s] Ἡρόδοτος] Vid. Wesseling. et Schweighæuser. ad Herodot. III. 20.

δοτος. [t]Τὰ ἐλαιοδόχα ἀγγεῖα. [u]Ἀριστοφάνης Πλούτῳ·

Αἱ δὲ λήκυθοι
μύρου γέμουσι.

Καὶ αὖθις·

[x]Ἔλαιον οὐκ ἔνεστιν ἐν τῇ ληκύθῳ.

Ἀντὶ τοῦ, οὐκ ἐλεοῦμεν, οὐ πειθόμεθα. Ἀριστοφάνης Ὄρνισι.

[y]Ζήνων ὁ Κιτιεὺς ποιήσας κοῖλον ἐπίθεμα τῇ ληκύθῳ, περιέφερε νόμισμα, λύσιν [z]ἕτοιμον τῶν ἀναγκαίων ἵν' ἔχῃ Κράτης.

ΛΗΚΥΘΟΣ: [a]Θηλυκῶς παρὰ Ἀριστοφάνει.

[b]Ὃς ταῖς νεκροῖσι ζωγραφεῖ τὰς ληκύθους.

Ὁ τῶν γραφέων ἄριστος. Τοιαῦτα γάρ τινα ἐν τοῖς μνήμασιν [c]ἔγραφε. Καὶ αὖθις·

[d]Παράθου τὰς ληκύθους.

ΛΗΚΤΙΖΕΙΝ: Τὸ μεῖζον βοᾶν, καὶ ψοφεῖν.

ΛΗΜΑ: Ἀξία, καὶ [e]ἀνδρεία. [f]Φρόνημα, [g]κέρδος.

Τοιοῦτον γὰρ ὁ παῖς ὅδε λῆμα φαίνει.

Καὶ [h]Ἀριστοφάνης Νεφέλαις·

[i]Λῆμα μὲν πάρεστι τῷδέ γ'
οὐκ ἄτολμον.

[k]Τουτέστι τολμηρόν. Καὶ αὖθις·

[l]Λῆμα θούριον.

Τουτέστι φρόνημα πολεμικόν. Καὶ αὖθις·

[m]Ἕτερον αὖ τι λῆμα τοῦτο
κομψότερον ἔτ', ἢ τὸ πρότερον ἀνεπέφηνε.

Καὶ αὖθις·

[n]Παρέξω
'μαυτὸν ἀνδρεῖον τὸ λῆμα,
καὶ βλέποντ' ὀρίγανον.

Ἀντὶ τοῦ, βλέποντα δριμύ. [o]Ἡρόδοτος·

Ἡ δὲ Ἀρτεμισίη ὑπὸ λήματος καὶ ἀνδρηΐης ἐστρατεύετο, οὐδεμιῆς ἐούσης ἀναγκαίης.

[p]Περὶ Εὐριπίδου καὶ Αἰσχύλου·

[q]Λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν,
οὐδ' ἀκίνητοι φρένες.
Προσδοκᾶν οὖν εἰκός ἐστι,
[r]τὸν μὲν [s]ἀστεῖόν τι λέξειν
καὶ κατερρινημένον·
[t]τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις
τοῖς λόγοισιν ἐμπεσόντα,
συσκεδᾶν πολ-
λὰς ἀλινδήθρας ἐπῶν.

[u]Τὸ δὲ διὰ τῶν δύο μμ' γραφόμενον, [x]ΛΗΜΜΑ, [καὶ ΛΗΜΜΑΤΑ,] αἱ προτάσεις παρὰ Ἀριστοτέλει· τουτέστιν ἡ ἐρώτησις. Ἡ γὰρ ἐρώτησις αἰτία τῆς ἀποκρίσεως, ἥτις ἐστὶν, ἐξ ἧς ὁ συλλογισμός· [y]ἣν καὶ λῆμμα λέγουσι. Καὶ [z]μονολήμματος πρότασις· οἷον, Ἀναπνεῖς· Ζῇς ἄρα. Πρόδηλον γὰρ τὸ παραλελειμμένον, τὸ, πᾶν τὸ ἀναπνέον [a]ζῇ. Τοιαῦτά [b]ἐστι τὰ ἐνθυμήματα, Οὗτοι κολάσεως ἄξιοι· ἱερόσυλοι γάρ. Παρεῖται γὰρ τὸ, τοὺς ἱεροσύλους ἀξίους εἶναι κολάσεως. [c][Λέγεται δὲ λῆμμα, καὶ τὸ λαμβανόμενον λόγῳ δώρου.]

ΛΗΜΑΛΕΟΣ:

ΛΗΜΜΑΤΑ: Προφητεῖαι. Λέγεται δὲ καὶ τὰ ἐξ οἰκείας καρδίας ἀποφθέγματα.

ΛΗΜΑΤΙΑ: Τὰ βουλεύματα.

ΛΗΜΑΤΙΑΙΣ: Λῆμά ἐστι τὸ φρόνημα· [d]ληματιᾷς

---

t Τὸ ἐλαι.] τὰ ἐλαιοδόχα ἀγγεῖα A.V. Schol. Aristoph.
u 'Αριστοφάνης Πλούτῳ] Ver. 811.
x Ἔλαιον οὐκ ἔνεστ.] Aristoph. Av. 1588.
y Ζήνων ὁ Κιτιεὺς π.] Fragmentum hoc legitur apud Laërtium lib. VII. segm. 12. unde locum hunc emendavi. In prioribus enim editt. [et A.B.V.] legitur κράτος pro Κράτης: nullo utique sensu. KUST.
z ἑτοίμην] ἕτοιμον A.B.M. Mox ἔχῃ V.
a Θηλυκῶς] θηλυκὸν V. In ver. seq. νεκροῖς E. et τοὺς λ. V.
b Ὃς ταῖς νεκροῖσι ζωγρ.] Hæc sunt verba Aristophanis Ecclesiaz. 988. KUST. Vid. supra v. Γραφεύς. TOUP.
c ἔγραφε] ἔγραφον B.V. Schol.
d Παράθου τὰς ληκ.] Aristoph. Eccl. 1024. καὶ παρ. A.
ΛΗΚΤΙΖΕΙΝ: Τὸ μ.] Ex Schol. Aristoph. Acharn. 589. sed ubi rectius legitur ληκυθίζειν. KUST.
e ἀνδρεία] καὶ ἀνδρεία A.V. Gl. Herodot. V. 72.
f Φρόνημα, κέρδος] His verbis Λῆμμα præfigunt Photius et Schol. Platon. pp. 238. 239. Λῆμμα et λῆμα sæpe confundunt grammatici. Vid. not. ad Hesych. et Mœrin p. 246.
g κέρδος] Male. Hæc enim significatio convenit voci λῆμμα, non λῆμα. KUST.
h 'Αριστοφάνης Νεφέλαις] Ver. 456.
i λῆμα] λῆμμα V. Mox τῷδέ γ' B.V. Vulgo om. γ'.
k Ἤγουν] τουτέστι A. τουτὶ B.V.
l Λῆμα θούρ.] Aristoph. Equit. 754. Καὶ λῆμα θούριον φορεῖν, καὶ λόγους ἀφύκτους. Scholiastes ad illum locum: Θούριον δὲ λῆμα. Ὁρμητικὸν, ταχὺ, πηδητικὸν, πολεμικώτατον. Καὶ θούριος Αἴας· θούριος Ἄρης. Huc Suidas respexit. KUST. λῆμα—καὶ αὖθις om. V.
m Ἕτερον αὖ] Thesmoph. 466. οὖν E. pro αὖ.
n Παρέξω 'μαυτὸν ἀνδρ.] Aristoph. Ran. 614. παρέξομ' αὐτὸν A.B.V.E.M.
o Ἡρόδοτος] Lib. VII. 99. Mox ἀνδρείης M.
p Περὶ] παρὰ δὲ A.V.
q Λῆμα δ' οὐκ ἄτολμον] Aristoph. Ran. 927.
r τὸν μὲν] Εὐριπίδ' ἀστεῖόν τι λέξαι A.B.V.E.
s ἀστεῖον—αὐτοπρέμνοις τοῖς A. in marg.
t Τὸν δ'] Αἰσχύλον τὸν δ' A.V.
u Τὸ δὲ διὰ τῶν δύο μμ' γραφ.] Vide Menagium ad Laërt. lib. VII. 73. KUST. Hæc videntur ex Alex. Aphrodis. desumpta. Addam hic ex Bastii excerptis Schol. ined. in Gregor. Naz. e ms. Paris. f. 19. τινὲς λημμάτων σοφιστικῶν φασι προβλημάτων· ἐγὼ δὲ διλήμματα μὲν ῥητορικὰ καὶ ἀναλήμματα μαθητικὰ οἶδα μεμαθηκὼς, καὶ ἁπλῶς οὕτως λήμματα τοὺς τόπους καὶ τὰς ἀφορμὰς τῶν ἐπιχειρημάτων, τῶν εἰς ἑτέρων κατασκευὴν ἐπιχειρημάτων· ἀλλά γε λήμματα Ἀττικοὶ καὶ τὰ λαμβανόμενά φασιν, ὡς τὰ ἐναντία ἀναλώματα. Δίων ἐν Ῥωμαϊκαῖς ἱστορίαις· Ὥσπερ αἱ πόρναι, τὸν δώσοντά τι ἀεὶ ἀναμένεις, καὶ προσαγωγοὺς τῶν λημμάτων πολλοὺς ἔχεις, πολυπραγμονεῖς τίς τινα ἠδίκηκεν, ἢ δοκεῖ γε ἠδικηκέναι, τίς τινι ἐπιβουλεύει, καὶ τούτους συναίρῃ, καὶ διὰ τούτων τρέφῃ. Ἔνθεν οἶμαι ταῦτα οὕτως εἰρῆσθαι τῷ πατρί. Προσάγωγοι οὖν λημμάτων, ἐκείνως μὲν τῶν ῥητορικῶν καὶ σοφιστικῶν νοοῖντ' ἂν, οὕτως δὲ, τῶν λαμβανομένων χρημάτων, οἱ πρόξενοί φησι ὄντες τῶν λημμάτων τοῖς διδασκάλοις, τοῦτο δὲ, πρὸς τὸ κἀκείνους εὐπορωτέρους ποιοῦσι, κἀντεῦθεν μάλιστα διὰ τιμῆς ἐκείνοις εἰσι, τουτέστι, οἱ πρόξενοι τῶν λαμβανομένων μισθῶν ἢ ἐπιχειρημάτων τοῖς διδασκάλοις διὰ τιμῆς εἰσὶν, ἐπεὶ καὶ τοῦτο δηλονότι μισθός ἐστι τοῖς προσαγωγοῖς τὸ τῶν σπουδαζομένων τυγχάνειν, καὶ μὴ διαμαρτάνειν ὧν ἐφίενται, ταῖς οἰκείαις τοὺς ἐπηλύδας συγκαταλέγεσθαι τῶν διατριβῶν.
x ΛΗΜΜΑ καὶ λήμματα] καὶ λήμματα om. A.V.
y ἣν καὶ λῆμμα λέγουσι om. E.
z μονολήμματος] Vid. Alexand. Aphrodis. in Aristot. Top. p. 6.
a ζῇν] ζῇ A.B.V.E.
b ἐστι] εἰσι καὶ A.
c Λέγεται—δώρου om. A.B.V.
ΛΗΜΜΑΤΑ] Sic Habbakuk I. 1. Nahum I. 1. ubi non recte vertunt. Misc. Lips. 6. p. 500. TOUP.
ΛΗΜΑΤΙΑΙΣ] Aristoph. Ran. 496. Ἴθι νῦν, ἐπειδὴ ληματ-

οὖν ἀντὶ τοῦ μεγαλοφρονεῖς. Λέγεται δὲ καὶ χωρὶς τοῦ ῑ ληματίας, ὁ μεγαλόφρων, καὶ ἰσχυρός. A

Ληματίας: Φρονηματίας, γεννάδας.

Λήμη: Λευκὸν ὑγρὸν ἐν ὀφθαλμοῖς συναγόμενον, καὶ ἀμβλυώττειν παρασκευάζον. Παρὰ τὸ λεύω, τὸ βλέπω, καὶ τὸ μή. [e] Ἀριστοφάνης [ἐν Πλούτῳ.]

Ἀλλ' ὦ Κρονικαῖς [f] γνώμαις ὄντως λημῶντες τὰς φρένας [g] ἄμφω.

Ἤγουν, ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὰς φρένας. Ἔστι δὲ καὶ παροιμία ἐπὶ τῶν ἀμβλυωπούντων. Λήμη B δ' ἐστὶ [h] τὸ πεπηγὸς δάκρυον, ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. Σημαίνει οὖν τὸ [i] τετυφλωμένοι τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμιώντων ἐμποδίζονται τὰς ὄψεις. Καὶ λημῶ, τὸ ἀμβλυώττω. Καὶ λημῶντες τοὺς ὀφθαλμούς.

Λημνία [k] δίκη: Ἡ κακίστη.

Λήμνιον πῦρ: Ἔστιν ἀναφορὰ ἐν Λήμνῳ πυρὸς C [l] χαλεπή τις.

Λημνίαι χειρί: Ὠμῇ καὶ παρανόμῳ. Ἀπὸ τῆς ἱστορίας. Φασὶ γὰρ τὰς ἐν Λήμνῳ γυναῖκας τοὺς ἄνδρας αὐτῶν ἀνελεῖν, αἰτιωμένας, ὅτι αὐταῖς οὐκ ἐμίγνυντο.

Λήμνιον [m] κακὸν βλέπων: Πυρῶδες. Καὶ παροιμία· Λήμνιον κακόν. Ἐκ γὰρ Ἀθηνῶν ἁρπάσαντες γυναῖκας οἱ Λήμνιοι, [n] καὶ τεκνοποιησάμενοι D ἐξ αὐτῶν κατέσφαξαν αὐτὰς μετὰ τῶν τέκνων. [o] Ἐπεὶ δὲ πάντας αἱ γυναῖκες τοὺς ἄνδρας, ὅτι αὐταῖς οὐ προσεῖχον, ἀνεῖλον ἅμα ταῖς [p] τῶν Θρᾳκῶν γυναιξὶν, ἐπὶ τῇ δυσωδίᾳ, ἣν [q] Μυρσίλος μὲν διὰ τὸν Μηδείας ἐπὶ Ὑψιπύλῃ ζῆλον κατασχεῖν· [r] Καύκασος δὲ, διὰ τὸ ὀλιγωρῆσαι τῆς Ἀφροδίτης τὰς [s] Λημνίας. Ἔνθεν τὰ μεγάλα [t] κακὰ, Λήμνια λέγεται.

Λήμνιος ἀνήρ: [u] Ἀπὸ τῆς νήσου Λήμνου.

Λημνόθεν: [[x] Τοπικὸν ἐπίρρημα. Ἐκ τῆς Λήμνου.]

Ληναΐζω:

Ληναΐτης: Χορὸς ὁ τῶν Ληναίων.

Λήναια: Ὄνομα ἑορτῆς ἐν Ἀθήναις.

[Ληναῖος: Ἐπίθετον τοῦ Διονύσου.]

Ληναιὼν, Ληναιῶνος. Ὄνομα μηνός.

Ληνὶς, Ληνίδος. [y] Ἡ βάκχη. Παρὰ τὸν ληνόν.

Ληνοβάται: Οἱ ἱερεῖς.

Ληνὸς, καὶ προλήνιον: Αἱ ἐκκλησίαι παρὰ τῷ [z] Δαβίδ.

Ληξιαρχικὸν γραμματεῖον: [a] Ἀθηναίων τῶν ἀστῶν, τῶν ἐχόντων ἡλικίαν ἄρχειν, ἀναγράφεται τὸ ὄνομα, προστιθεμένων τῶν δήμων αὐτοῖς. Καὶ ἐξ ἐκείνων τῶν γραμματείων κληροῦσι τὰς ἀρχάς.

Ληξιαρχικὸν γραμματεῖον: Εἰς ὃ ἐνεγράφοντο

---

τιδὰς, κάνδρεῖος εἶ. Scholiasta: Ληματιᾷς: Λῆμα ἐστὶ τὸ φρόνημα. Ληματιᾷς οὖν, μέγα φρονεῖς. Γράφεται οὖν καὶ ληματίας, χωρὶς τοῦ ι. Οἷον μεγαλόφρων καὶ ἰσχυρός. Hinc Suidas sua deprompsit. KUST.

d μεταφορικῶς οὖν ληματιᾷς. Ἤγουν μεγαλοφρονεῖς.] ληματιᾷς οὖν ἀντὶ τοῦ μ(εγαλο)φρονεῖς. Λέγεται δὲ καὶ χωρὶς τοῦ ῑ A. et fere B.V. ἀντὶ τοῦ om. V. qui etiam μέγα φρονεῖς. E

e Ἀριστοφάνης ἐν Πλούτῳ] Ver. 581. ἐν Πλούτῳ om. A.V. νεφελ. E.

f γνώμαις] λήμαις E. Mox λημῶντες A.V. pro λημῶντε.

g ἄμφω—φρένας] om. V. et forte alii.

h τὸ πεπηγὸς] τὸ om. V.

i τετυφλωμένοι] τετυφλωμένε A.B. τετυφλωμένου V.

k ΔΙΚΗ] δίκη B.

ΛΗΜΝΙΟΝ ΠΥΡ] Aristoph. Lysist. 299.

l χαλεπὰ] χαλεπὴ A.B.V.E. Photius. F

ΛΗΜΝΙΟΝ—ΒΛΕΠΩΝ] Cf. Apollod. I. p. 44. Hygin. fab. 15. Schol. Apoll. Rhod. p. 136. Apost. c. XI. pr. 97. ista exscripsit. REINES.

m ΚΑΚΟΝ] Hæc vox delenda est, utpote supervacanea, et sensum turbans. Vel scribendum est, Λήμνιον βλέπων: Κακὸν, πυρῶδες. KUST. Scribendum Λήμνιον βλέπων, πυρῶδες βλέπων. Hesych. Λήμνιον βλέπει, πυρῶδες βλέπει. Ἐπειδὴ τὸ πῦρ Λήμνιον. Ita scribendus videtur iste locus. TOUP. Κακὸν tenet Photius. Eustath. Il. α'. p. 158=119, 39. Λήμνιον βλέπειν, ἀντὶ τοῦ δεινὸν καὶ πυρῶδες. G

n ἐτεκνοποιήσαντο μετ' αὐτῶν. Αἱ δὲ κατέσφαξαν αὐτοὺς] καὶ τεκνοποιησάμενοι ἐξ αὐτῶν κατέσφαξαν αὐτὰς A.B.V. Photius. Vid. Herodot. VI. 138. Schol. Euripid. Hec. 870. ed. Matth.

o Ἐπεὶ δὲ πάντας αἱ γυναῖκες τοὺς ἄνδρ.] Locum hunc Suidæ egregie illustrat Enarrator Apollonii Rhodii ad lib. I. 609. cujus verba hæc sunt: Αἱ Λήμνιαι γυναῖκες ἐπιπολὺ τῶν τῆς Ἀφροδίτης τιμῶν κατολιγωρήσασαι, καθ' ἑαυτῶν τὴν θεὸν ἐκίνησαν. Πάσαις γὰρ δυσοσμίαν ἐνέβαλεν, ὡς μηκέτι H αὐτὰς τοῖς ἀνδράσιν ἀρέσκειν. Τῶν δὲ πρὸς Θρᾷκας ἐχόντων πόλεμον, καὶ πολλάκις ἐκεῖθεν αἰχμαλώτους λαμβανόντων, καὶ ἀποστρεφομένων τὰς γνησίας γαμετὰς κατὰ τὴν τῆς θεοῦ ὀργὴν, ἐψηφίσαντο αἱ γυναῖκες νύκτωρ τοὺς ἄνδρας ἀνελεῖν. Καὶ οὐ μόνον τοῦτο ἐποίησαν, ἀλλὰ καὶ τὰς αἰχμαλώτους ἀνεῖλον. Δείσασαι δὲ μὴ οἱ παῖδες ἀνδρωθέντες τιμωρήσωνται αὐτὰς, πᾶν ὁμοῦ τὸ ἄρσεν γένος ἀνεῖλον. Et ad versum 615. Ἰστέον δὲ, ὅτι τῶν ἄλλων ἱστορούντων, ὅτι κατὰ χόλον τῆς Ἀφροδίτης αἱ Λημνιάδες δύσοσμοι ἐγένοντο, Μυρτίλος ἐν πρώτῳ Λεσβικῶν διαφέρεται, καί φησι τὴν Μήδειαν παραπλέουσαν διὰ ζηλοτυπίαν ῥῖψαι εἰς τὴν Λῆμνον φάρμακον, καὶ δυσοσμίαν γενέσθαι ταῖς γυναιξίν. Confer etiam Scholiastam Homeri ad Il. ψ'. 467. et Eustathium ad Homer. p. 692. KUST.

ib. Ἐπεὶ δὲ πάντας] Ἐπὶ (ἐπεὶ ms.) δὲ Θέαντες Photius, ubi mox om. ἀνεῖλον.

p τῶν Θρᾳκῶν] Potius captivis Thressis, quas Lemnii superduxerunt. Hæc a Schol. Apollon. l. c. clarius dicuntur. REINES.

q Μυρτίλος] Μυρσίλος A.B. Μυρσίλος V.E. Photii ms.

r Καύκασος] An Καύκαλος, ὁ Χῖος, ῥήτωρ, Θεοπόμπου τοῦ ἱστοριογράφου ἀδελφὸς est? Athen. X. p. 412. REINES.

s Λημνίας] Sc. φησί, differunt enim in rei natura Myrt. et Cauc. Λημνίας scripserunt Sophocles, Antiphanes, Aristophanes, Diphilus, Nicochares, e Latinis Turpilius. REINES.

t κακὰ om. V.

u Ὁ ἀπὸ τῆς Λήμνου νήσου] ἀπὸ τῆς νήσου Λήμνου A.V.

x Τοπικὸν—Λήμνου] ἐπίρρη" ἐκ τόπου A. m. rec. Exp. om. V. ἀπὸ B. pro ἐκ.

ΜΑΛΑΚΙΩΝ] Sic mss. Paris. cujus loco priores editt. exhibent, μαλακίας. Sed τὸ μαλακίων recte se habet: quod est diminutivum a μαλακός. Schol. Aristoph. Eccles. 1050. Μαλακίων: Μαλακός, ὑποκοριστικόν. Huc Suidas respexit. KUST. Μαλακίαν B.E.

r ἢ καὶ] καὶ om. V. ἢ καὶ ὁ ἀσελγὴς Photius.

s Ὁ δὲ οὐ πάνυ] De Cicerone videntur dicta: cf. Appian. B. C. IV. p. 600 D. HEMST.

ΜΑΛΑΚΟΣ: Πάντων φρονιμώτερον ζῶον ὁ ἄνθρ.] Hæc, et quæ sequuntur, puto deprompta esse ex Philopono in Aristotelem de Anima. KUST. Ita sane. Vid. fol. M. 111.

E t καὶ τὴν γεῦσιν etc.] ὡς γὰρ μαλακόσαρκος ἐξ οὗ καὶ κατὰ τὴν ἁφὴν αἰσθητικώτερός ἐστι θᾶττον διαφορεῖται etc. Philop.

u περιττώματα] περιττώματα A.E. Philop.

x μή ποτε] ὅτι Philop. qui mox εἰ μὴ ὡς συναίτιον.

y συνδιατίθεται] διατίθεται A.E. Philop.

z ὑπὸ] ἀπὸ V. Supra γενόμενα M.

a τοιᾶσδε] τοιαύτης Philop. et mox τοιῶς ἢ τοιῶς.

b οἷον οἱ] οἷον om. A.B.V. οἷον sine οἱ Philop.

c ἀλλὰ νῦν] νῦν δὲ Philop.

d ἡ τῶν] ἡ om. Philop.

F e οὐδὲ ἡ] ἡ om. A.V. Philop.

f διὰ τὸ] τῷ A.B.V.M. διὰ om. E. τῶν Philop.

g σημεῖον etc.] κατασκευάζει ἐκ τοῦ καὶ ἐπ' αὐτῶν τῶν ἀνθρώπων τοὺς μαλακοσάρκους μᾶλλον φρονιμωτέρους καὶ εὐφυεστέρους εἶναι. διὸ καὶ τοὺς ἀνοήτους παχυδ. κ. Philop.

h πάντων] ἁπάντων A.

i καλοῦμεν om. V.

ΜΑΛΑΚΟΣΤΡΑΚΑ] Vide Aristotelem Hist. Anim. lib. IV. c. 2. KUST. Μαλακόστρακα B.V.E.M. Ælianus N.A. G XI. 37. Μαλακόστρακα δέ, ἀστακοί, καρίδες, κάραβοι, πάγουροι· ἀποδύεται δὲ τὸ γῆρας ταῦτα.

ΜΑΛΑΣΣΟΥ] Ex Soph. Aj. 594. et Schol. Notavit Portus.

ΜΑΛΑΣΣΩ] A. in marg. om. V.

ΜΑΛΑΧΙΑ] Imo potius μαλάκια. Galenus in Glossis Hippocraticis: Μαλακίοισιν: Οὕτως καλεῖται ὅσα τῶν ἐνύδρων ἀκάνθας οὐκ ἔχει, καθάπερ ὁ πολύπους, καὶ τευθίς, καὶ σηπία, καὶ ἀκαλήφη. Ταῦτα δὲ καὶ ἄναιμα καὶ ἄσπλαγχνά ἐστι. Aristoteles quoque Hist. Anim. lib. I. c. 6. hoc genus piscium H μαλάκια vocat: ut proinde dubitari non debeat, quin et sic apud Suidam scribendum sit. KUST. Μαλάχεια V. Ælianus N. A. XI. 37. Μαλάκια δὲ καλεῖται ὅσα τῶν ἐνύδρων ἀνόστεά εἰσι, καὶ εἴη ἂν πολύποδες, σηπία, τευθίς, ἀκαλήφη· ταῦτά τοι καὶ αἵματος ἄμοιρα καὶ σπλάγχνων εἰσι.

k ἐστι] εἰσι A.

Μαλέας: Ἀκρωτήριον, καὶ ὄρος.

Μάλεος: Ὄνομα κύριον. [l]Φαιστὸς, πόλις Κρήτης. [m]Ὅμηρος·

> Ἐς Φαιστὸν· μικρὸς δὲ λίθος μέγα κῦμ' ἀπείργει.

[n]Μάλεος γάρ τις [o]τελέσας τὸν λίθον τοῦτον ἀνιέρωσε τῷ Ποσειδῶνι, πρὸς τὸ μὴ τὰ κύματα προσπελάζειν τῇ Φαιστῷ.

Μαλερόν: [p]Λαμπρὸν, [q]σπεδόεν, ἰσχυρὸν, ὀξὺ, ἀσθενὲς, ξηρὸν, δριμύ. Τὸ δὲ [r]μαλερὸν πῦρ, τὸ ὀξὺ, ἢ μαραντικὸν, σφοδρόν. Καὶ μαλερὰς φρένας, τὰς ἀσθενεῖς, καὶ ξηράς.

> [s]Ῥιπίδα τὰν μαλερὰν θάλπος ἀμυνομέναν.

Μάλειον Ὄρος:

> Μαλειάων ὄρος αἰπύ.

[t]Ὅμηρος.

Μαλιασμός: Νόσος περὶ τοὺς ὄνους γινομένη· ὅς ἐστι κατάρρους διὰ μυκτήρων, καὶ στρόφος περὶ τοὺς αὐτούς. Οὐκ ἐκφεύγει δὲ οὐδέτερον τῶν νοσημάτων ὁ ὄνος.

Μάλλιος: Ὄνομα κύριον. Ὅτι Μάλλιος ὁ ὕπατος τὸν ἑαυτοῦ παῖδα μονομαχήσαντα Ποντίῳ τῷ Λατίνῳ, καὶ καταβαλόντα τὸν ἀντίπαλον, ὡς μὲν ἀριστέα ἐστεφάνωσε, ὡς δὲ ὑπερβάντα τὰ ἐξ αὐτοῦ τεταγμένα ἐπελέκισεν· ὃ δὴ σὺν ὠμότητι πραχθὲν εὐπειθεστάτους τοῖς ἄρχουσι [u]τοὺς Ῥωμαίους κατέστησεν. [x]Ἔστιν ἐν τῷ Δικτάτωρ.

Μάλιστα: Ἀντὶ τοῦ ἀκριβῶς ὁ Θουκυδίδης λαμβάνει.

Μαλθακόν: [y]Ἔκλυτον, μαλακόν.

> [z]Ὁ δ' αὐτὸν
> ἐξάγαγεν βιότου μαλθακὴ σοφίης.

Μαλθακώτερον: Πρὸς τὸ ἡδύτερον τοῦ βίου, καὶ εὖ ἔχον. [a]Ἀριστοφάνης Βατράχοις·

> Τὸ δὲ [b]μεταστρέφεσθ' ἀεὶ
> πρὸς τὸ μαλθακώτερον,
> δεξιοῦ πρὸς ἀνδρός ἐστι, καὶ φύσει Θηραμένους.

Μαλθάξαι: Ἀγαθῦναι, καταπραΰναι.

> [c]Τοὺς μὲν δώροις μαλθασσομένους, καὶ ἐς τὰς κλήσεις συνιέναι.

Καὶ αὖθις·

> Τὸ γὰρ δυνάμενον ἐκεῖνον τὸν ἄνδρα μαλθάξαι, ἓν μόνον ἦν, ἡ τῶν τρόπων ἐπιείκεια, καὶ ὁ τοῦ δικαίου κατὰ φύσιν ἔρως.

[d]Καὶ Ἀριστοφάνης·

> Νάρκη μου κατὰ τῆς χειρὸς καταχεῖται,
> καὶ τὸ ξίφος οὐ δύναμαι κατέχειν, ἀλλ' ἤδη μαλθακός εἰμι.

Μάλθη: Ὁ μεμαλαγμένος κηρός.

Μάλθων:

> Ὁ γύνανδρός τε καὶ μάλθων τύραννος.

Ἀντὶ τοῦ, ἔκλυτος.

Μαλκίομεν: Δημοσθένης ἐν θ' Φιλιππικῶν φησι.

Μάλκιον: Ἀσθενὲς, [e]ψυχρότατον.

> Ὁ δὲ Μιθριδάτης τινὰ φάρμακα ἀσθενές τε καὶ μάλκιον, βραδέως τὴν ἰσχὺν ἀποδείκνυντα.

Μαλκίστατον: Ψυχρότατον.

---

ΜΑΛΕΑΣ] Statim delevi ἡ αἰτιατικὴ, τὴν Μαλέαν, cum A.

[l] ΦΑΙΣΤΟΣ, πόλις Κρ.] Sic mss. Paris. At priores editt. [et E.] male, Φαιστοῦ, πόλεως Κρ. Nihil enim præcedit, ad quod genitivus iste referri queat. Nam τὸ, ὄνομα κύριον, respicit ad vocem præcedentem Μάλεος. KUST.

[m] Ὅμηρος] Odyss. γ'. 296. ad quem locum Scholiasta notat, pro μικρὸς λίθος in quibusdam codicibus Homeri olim scriptum fuisse Μαλέου λίθος: quam lectionis diversitatem Suidas etiam hoc loco confirmat. Is enim notam, quam verbis Homeri subjungit, excerpsit ex aliquo Scholiasta, qui Μαλέω vel Μαλέου λίθος apud poetam olim legerat: quamvis ipse, quæ est ejus ἀκρισία, μικρὸς λίθος in textu retinuerit. KUST.

[n] Μάλεος γάρ τις τελέσας τὸν λ.] Locum hunc Suidæ in Παρεκβολαῖς suas retulit Eustathius ad Odyss. β'. p. 1469. ut Pearsonius etiam observaverat. Sic enim verbosus ille Homeri interpres ibi inquit: Ὅτι δὲ, ὡς εἴρηται, μικρὸς λίθος ὁ κατὰ Φαιστὸν τετελεσμένος ἦν πρός τινος Μαλέου, καὶ ὡς ἀνιερώθη Ποσειδῶνι πρὸς τὸ μὴ τὰ κύματα πελάζειν τῇ Φαιστῷ, ἐν τοῖς τοῦ Σουίδα κεῖται. KUST.

[o] τελέσας] Vim hujus vocabuli Portus non intellexerat. Τελεῖν enim apud veteres dicebatur de magica rerum consecratione, quæ vi sua incursiones hostiles, morbos, aliaque mala a loco aliquo arcere posse credebatur. Hoc sensu accipiendi sunt ἀνδριάντες ἀργυροῦ τετελεσμένοι εἰς βαρβάρων ἀποκώλυσιν, apud Photium Cod. LXXX. p. 188. item, δακτύλιοι τετελεσμένοι, apud Scholiastam Aristophanis ad Plut. 884. et Παλλάδιον τετελεσμένον, apud Nostrum infra v. Παλλάδιον. Confer Salmasium ad Fl. Vopiscum in Aureliano, qui hac de re pluribus agit. KUST.

[p] Λαμπρὸν] Sic μαλεραῖς ἀοιδαῖς Pindar. Ol. IX. 34. ubi v. Schol. Μαλερὸν pro λαμπρὸν dixisse veteres, testatur Schol. Paris. ad Apollon. Rhod. I. 734. diverse Schol. ed. Conf. Heyn. ad Homer. Il. ι'. 242.

[q] σπεδόεν] σπουδαῖον Photius.

[r] ΜΑΛΕΡΟΝ ΠΥΡ] Vid. Schol. Il. ι'. 242.

[s] Ῥιπίδα] Anthol. Pal. VI. 207. Mox μαλερᾶν A.

[t] Ὅμηρος] Odyss. γ'. 287. KUST. Supra ΜΑΛΙΟΝ M.

ΜΑΛΙΑΣΜΟΣ] Res exponitur ab Hippiatricis I. 2. p. 10. etc. illi μάλιν vocant: μαλιᾶν Apsyrtus habet p. 13. HEMST.

ΜΑΛΛΙΟΣ] Μάλιος bis V.M. Mox ὡς μὲν om. B.E.

[u] τοὺς Ῥωμαίους] τοὺς om. A.B.V.E. Tum Ῥωμαίοις V.E.

[x] Ἔστιν ἐν τῷ ΔΙΚΤΑΤΩΡ] Sed ibi de hoc Manlio ne γρῦ quidem reperias. KUST. Desunt hæc V.

ΜΑΛΙΣΤΑ] Schol. Thucydid. I. 17. Vid. J. A. Van der Lind. Med. Phys. p. 445 b. HEMST. Adde Schol. Thucyd. III. 93.

[y] Ἔκλυτον] εὔλυτον Photius.

[z] Ὁ δ' αὐτὸν] Anthol. Pal. VII. 95. ὁ δ' ἐξ αὐτῶν A. Statim delevi Καὶ παροιμία· Ἁπαλοὶ θερμολουσίαις, ἁβροὶ μαλθακευνίαις. Ἐπὶ τῶν ὑπὸ τρυφῆς καὶ ἁβρότητος διαρρεόντων, cum A. quæ leguntur supra v. Ἁπαλοί.

[a] Ἀριστοφάνης Βατράχοις] Ver. 544.

[b] μεταστρέφεσθαι] μεταστρέφεσθ' ἀεὶ A.B.V.E.M.

[c] Τοὺς μὲν] Diogen. Laërt. IV. 8. HEMST.

[d] Καὶ Ἀριστοφάνης] Hæ duæ voces in prioribus editt. desunt, quas ex 2 mss. Paris. revocavi. Locus autem hic exstat apud Aristophanem in Vesp. 711. idemque repetitur infra v. Νάρκη. KUST. Seqq. usque ad κηρὸς om. B.E.

ΜΑΛΘΗ] Ex Harpocratione. Addidi mox ὁ cum V. et Harpocr. ὁ μεμαγμένος Photius. Gl. spectat Demosth. p. 1132, 13. v. Schol. Demosth. e Cod. Bav. p. 112. Conf. Schol. Theocriti VIII. 105.

ΜΑΛΘΩΝ] Vid. Γύνανδρος. Hæc Æliani puto, et intelligenda de Heliogabalo, in quem scripserat κατηγορίαν τοῦ Γ. teste Philostrato de Vit. Soph. p. 624, 21. HEMST.

ΜΑΛΚΙΟΜΕΝ: Δημοσθ.] Harpocratio (ex quo Suidas) habet μαλακιζόμεν. At apud ipsum Demosthenem hodie legitur μαλακιζόμεθα. Vide Maussacum ad Harpocrationem. KUST. Μαλκίομεν germanam esse Demosthenis lectionem statuit Schæferus Apparat. Crit. T. IV. p. 574. ad Demosth. p. 120, 7.

[e] ψυχρότατον] ψυχρότερον V.

ΜΑΛΚΙΣΤΑΤΟΝ] Sic rectius mss. Paris. quam priores editt. quæ habent, μαλκιστότατον. Nam vel fragmentum

Τῆδε μοι μαλκίστατον ἦμαρ.

Μᾶλλον μᾶλλον: Ἀντὶ τοῦ, ἀεὶ καὶ μᾶλλον. Ἄλεξις Ἀτθίδι·

> Πῶς [f] ἐπιτρέφει τὸ πρῶτον ὁ Ζεὺς ἠρεμῇ,
> ἔπειτα μᾶλλον μᾶλλον.

Ἀναξίλας Ὥραις, Ἄλεξις Πεζονίκῃ.

[g] Τοῦτο τὸ μᾶλλον λέγεται θετικῶς· οἷον, Οὐδὲν μᾶλλον ὁ πειρατὴς κακός ἐστιν, ἢ ὁ ψεύστης. Ὑπὸ δὲ τῶν Σκεπτικῶν οὐ θετικῶς, ἀλλ' ἀναιρετικῶς λέγεται· ὡς ὑπὸ τοῦ ἀνασκευάζοντος, καὶ λέγοντος, Οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν, ἢ Χίμαιρα. Καί ποτε μὲν συγκριτικῶς ἐκφέρεται, ὡς ὅταν φῶμεν, μᾶλλον τὸ μέλι γλυκὺ, ἢ τὴν σταφίδα· ποτὲ δὲ [h] θετικῶς καὶ ἀναιρετικῶς· ὡς ὅταν λέγωμεν, [i] ὅτι μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ, ἢ βλάπτει. Σημαίνομεν γὰρ, ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ.

Μᾶλλον ὁ Φρύξ: Ἡ παροιμία ἐνθένδε. Οἱ ζ' σοφοὶ ἐρωτώμενοι [k] ὑπὸ Κροίσου, τίς τῶν [l] ὄντων εὐδαιμονέστατος; οἱ μὲν ἀπεκρίναντο, τὰ ἄγρια ζῶα· ὑπὲρ γὰρ τῆς αὐτονομίας ἀποθνήσκει· οἱ δὲ, πελαργούς· δίχα γὰρ νόμου τῇ φύσει τὸ δίκαιον ἔχουσι· Σόλων δὲ, οὐδένα πρὸ τῆς τελευταίας ἡμέρας. Παρεστὼς δὲ [m] Αἴσωπος ὁ Φρὺξ, ὁ λογοποιὸς, "Τοσοῦτον," εἶπεν, "ὑπερέχεις τῶν ἄλλων, ὅσον θάλασσα ποταμῶν." Ἀκούσας δὲ Κροῖσος, εἶπε, "Μᾶλλον ὁ Φρύξ."

[Μαλῶα:

Καί τινα διὰ χειρὸς ἔχουσι μαλῶα, καὶ καθαίρουσι.]

Μάλωνος: Ὄνομα ἐθνικόν.

[Μαλλώτης, Διονυσιάδης, Φιλαρχίδου, τραγικός.]

Μάλχος, Βυζάντιος, σοφιστής. Ἔγραψεν ἱστορίαν ἀπὸ τῆς βασιλείας Κωνσταντίνου, καὶ ἕως Ἀναστασίου· ἐν ᾗ τὰ κατὰ Ζήνωνα, καὶ Βασιλίσκον, καὶ τὸν ἐμπρησμὸν τῆς [n] δημοσίας βιβλιοθήκης, καὶ τῶν ἀγαλμάτων τοῦ Αὐγουσταίου, καὶ ἄλλα τινὰ διεξέρχεται μάλα σεμνῶς, καὶ τραγῳδίας δίκην ἀποθρηνῶν αὐτά.

Μαμμάκυθος: Ὄνομα κύριον. [o] Ἀριστοφάνης·

> Τέως δ' ἀβελτερώτατοι,
> κεχηνότες Μαμμάκυθοι,
> Μελιτίδαι κάθηνται.

Μάμας: Ὅτι [p] ἐν τῷ ἁγίῳ Μάμαντι γέφυρα ἦν μεγάλη, ιβ' καμάρας ἔχουσα, (ὕδατα γὰρ [q] κατήρχετο πολλὰ,) ἔνθα καὶ δράκων ἵστατο χαλκοῦς, διὰ τὸ δοκεῖν δράκοντα οἰκεῖν ἐκεῖσε· ἔνθα καὶ πολλαὶ παρθένοι ἐτύθησαν. [r] Βασιλίσκος γάρ τις, [s] ἐρασθεὶς τοῦ τόπου, ὃς ἦν Νουμεριανοῦ Καίσαρος, ἐκεῖσε κατῴκησε, καὶ ναὸν ἤγειρεν· ἅπερ Ζήνων κατέλυσεν. [[t] Ἡ κλητικὴ, ὦ Μάμαν.]

[Μαμαίας, Ἀλέξανδρος, βασιλεὺς Ῥωμαίων.]

Μαμερτῖνος: Ὄνομα κύριον.

Μὰ μήκωνος χλόην:

[u] Ναὶ καὶ μὰ μήκωνος χλόην.

Μαμμίαν: Ἀττικοὶ τὴν μητέρα. Ἀπὸ τοῦ τὰ παιδία μαμμᾶν τὸ φαγεῖν λέγειν.

Μαμιανός: Πατρίκιος. Ἐν τῷ Πρίσκος.

Μαμωνᾶς: Χρυσὸς, γήϊνος πλοῦτος· οὐχὶ ὁ ἐκ τοῦ [x] Σατανᾶ, ἀλλ' ὁ περιττὸς, καὶ ὑπὲρ τὴν χρείαν.

---

versus, quod sequitur, satis ostendit, scribendum esse μαλκίστατον. KUST. Vid. supra ad v. Ἀλγίστατον.

ΜΑΛΛΟΝ ΜΑΛΛΟΝ] Utitur Aristoph. Ran. 1032.

[f] ἐπιτρέφεται] ἐπιτρέφει τὸ A.B.V.M. Photius.

[g] Τοῦτο τὸ μᾶλλον λέγεται θετικῶς, οἷον, οὐδὲν μᾶλλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Laërtii in Pyrrhone, [IX. 75.] ut Pearsonius observavit. Sed ibi rectius sic legitur: Λέγεται δὲ τὸ Οὐδὲν μᾶλλον καὶ θετικῶς, ὡς ὁμοίων τινῶν ὄντων· οἷον, Οὐδὲν μᾶλλον ὁ πειρατὴς, &c. Vide etiam Nostrum infra v. Οὐδὲν μᾶλλον, ubi locus hic auctior legitur. KUST.

[h] θετικῶς] ἐκφέρεται addit V.

[i] ὅτι μᾶλλον] ὅτι om. A. Mox σημαίνομεν δὲ A.

[k] ὑπὸ Κροίσου om. V.

[l] ὄντων] σοφῶν Photius. qui mox πελαργοὶ, omisso statim γάρ.

[m] Αἴσωπος ὁ φ.] ὁ λογοποιὸς Φρὺξ τὸ γένος Photius.

ΜΑΛΩΑ] Est vox recentiorum Græcorum; sed cujus significatio est prorsus obscura et incerta: quippe quum nec Suidas hoc loco, nec quisquam alius, quod sciam, explicat. Exstat autem in Vita S. Euthymii (edita a Cotelerio t. II. Monument. Eccles. Gr.) p. 327. unde et fragmentum ipsum quod sequitur, a Suida depromptum est. Ibi enim sic legitur: Καθημένοις γάρ ποτε πρὸς τῇ τοῦ μοναστηρίου εἰσόδῳ, καί τινα μαλῶαν ἔχουσι διὰ χειρὸς καὶ καθαίρουσιν, ἐπέστη ἡμῖν οἷά τις ῥοίζῳ μεγάλῳ, καὶ κατακρίδι παραπλησίως, ὑπὸ τοῦ πονηροῦ πνεύματος ἐλαυνόμενος. Cotelerius existimat, τὸ μαλῶα, vel μαλῶον, in loco citato significare genus ligonis, vel rastri, vel sarculi: sed conjecturam istam nullius scriptoris auctoritate probat. Quare rem istam, ut incertam, in medio relinquo. Vide etiam Dufrenium in Glossario Græco, qui recte quidem monuit, Suidam locum hunc ex Vita Euthymii descripsisse: sed de significatione vocis μαλῶα nihil certi tradit. KUST. Suspicor hanc gl. a mala manu Suidæ accessisse. Habet enim A. tantum in marg. ubi om. καὶ καθαίρουσι.

ΜΑΛΩΝΟΣ] Μάλλωνος V.

ΜΑΛΛΩΤΗΣ, Διονυσιάδης. Φιλ.] Puto locum hunc ad literam Δ referendum, et sic scribendum esse: Διονυσιάδης, Μαλλώτης, Φιλαρχίδου, τραγ. Vix enim mihi persuadeo τὸ Μαλλώτης esse nomen proprium viri, cum constet esse ἐθνικὸν, a Μαλλὸς, urbe Ciliciæ; ex qua Dionysiades oriundus fuerit: quemadmodum Crates grammaticus, et Proclus philosophus, Mallotæ fuisse leguntur. KUST. Recte. Deest hæc gl. A. e quo Διονυσιάδης Suidæ restitui supra p. 1011. Μαλλώτης B.V. Tum Διονυσιάδης B.E. et φιλαρχίδου V.

ΜΑΛΧΟΣ, Βυζ.] De hoc Malcho vide omnino Photium in Bibliotheca, Cod. LXXVIII. qui eum Philadelphiensem facit. Vide etiam Vossium de Hist. G. p. 266. KUST.

[n] δημοσίας om. E.

ΜΑΜΜΑΚΟΥΘΟΣ] μαμμάκυθος A.B.V.E. et in exempl. B.V.E. Ἀριστοφάνης—κάθηνται om. A.

[o] Ἀριστοφάνης] Ran. 1020.

[p] ἐν τῷ ἁγίῳ Μάμαντι γέφυρα ἦν μεγ.] Confer omnino Codinum de Orig. CPolitanis, qui eadem iisdem pene verbis tradit, ut Pearsonius etiam monuit. KUST.

[q] κατέρχετο] κατήρχετο A. Mox ἔνθεν V. et infra ἐκεῖ V. bis.

[r] Βασιλίσκος] Vid. supra Βασιλίσκος. Verinæ imper. frater, qui conjugem habuit Zenonidem; sed de ea hic sermonem esse non puto. REINES.

[s] ἐρασθεὶς] ἐραστὴς V.

[t] Ἡ κλητικὴ] καὶ ἀεὶ κλητικῆς B.V. Hæc om. A.

ΜΑΜΑΙΑΣ] Μαμαίας A. ubi gl. in marg. Vid. supra p. 180.

[u] Καὶ ναὶ] ναὶ ναὶ A.B.V.E. Et sic infra in Ναὶ ναί.

ΜΑΜΜΙΑΝ] Voce hac usus est Aristophanes Lysistr. 878. quo Suidas forte respexit. KUST. Amipsias apud Athen. p. 473. ubi leg. τῇ μαμμίᾳ. TOUP.

ΜΑΜΙΑΝΟΣ] A. in marg. ἐν τῷ Πρίσκος om. V.

[x] Σατανᾶ] Σατᾶν A.B.

σιλέως Ἀσσυρίων, δέσμιος εἰς [u]Νινευὴ τὴν πόλιν αἰχμάλωτος ἀπήχθη, καὶ ἐς τὸ χαλκοῦν ἄγαλμα καθείρχθη. Συνιεὶς δὲ ἐπὶ τοῖς πλημμελήμασιν ἀξίαν εἰληφέναι τὴν τιμωρίαν, ἐδεήθη τοῦ Κυρίου συγγνῶναί οἱ ἐπὶ ταῖς ἁμαρτίαις· μὴ γὰρ εἶναι μέγα [x]θεοῦ ἐγκώμιον, εἰ δίκαιον σώσειεν· ἀγαθοῦ δὲ, εἰ μετάνοιαν ἁμαρτωλοῦ προσοῖτο. Καὶ τὸ μὲν ἄγαλμα θείᾳ δυνάμει διερράγη. Ὁ δὲ Θεὸς ἠγάθυνε τὸν βασιλέα, καὶ εἰς Ἱερουσαλὴμ αὐτὸν ἐξέπεμψεν. Ὁ δὲ ἐπανελθὼν, καὶ [y]θείας χρηστότητος πεῖραν λαβὼν, πᾶσαν μὲν εἰδωλικὴν κατέστρεψε σκηνήν· τὸ δὲ ἱερὸν τοῦ Θεοῦ ἥγνισε, καὶ τὸν νόμον ἐφύλαξε, καὶ τὴν πόλιν τειχίσας, καὶ ἐπικτίσας, διεῖπε δικαίως καὶ εὐσεβῶς. Δεδεμένῳ δὲ ὄντι ἐν φυλακῇ ἐν πέδαις χαλκαῖς ἐν Βαβυλῶνι, ἐδίδοσαν αὐτῷ ἐκ πιτύρων ἄρτον βραχὺν, καὶ ὕδωρ [z]ὀλίγον σὺν ὄξει μετρητῷ, πρὸς τὸ ζῆν αὐτὸν καὶ μόνον. Καὶ τότε προσηύξατο πρὸς [a]τὸν Κύριον, Κύριε παντοκράτορ· καὶ [b]ἐπακούσας ὁ Θεὸς τῆς φωνῆς αὐτοῦ, ἔλυσεν αὐτὸν ἀπὸ τῶν δεσμῶν, καὶ ὑπέστρεψεν εἰς Ἱερουσαλήμ· καὶ λατρεύσας Κυρίῳ ἐξ ὅλης καρδίας, ἐλογίσθη δίκαιος.

Μανδαλωτόν: Εἶδος φιλήματος ποικίλου καὶ ἡδύ.

> [c]Θηλυδριώδης, καὶ κατεγλωττισμένον,
> καὶ μανδαλωτόν.

Ἀριστοφάνης φησί.

Μανδάτωρ: Εἶδος ἀξιώματος.

Μανδραγόρας: Ὑπνωτικὸς καρπὸς, ἢ λήθης ποιητικός.

[d]Καὶ φανεῖται πάλιν τὸν μανδραγόραν ἐκπεπωκώς.

Μανδραγορίζω:

[Μάνδρων: Ὄνομα κύριον. Καὶ ἔστι περὶ τούτου παροιμία, ἐν τῷ, Ἐγένετο καὶ Μάνδρωνι.]

Μανδύας: Εἶδος ἱματίου, ὅπερ καλεῖται λωρίκιον.

Μάναιχμος, [e]Ἀλωπεκοννήσιος, κατὰ δέ τινας Προικοννήσιος, φιλόσοφος Πλατωνικός. Ἔγραψε φιλόσοφα· καὶ εἰς τὰς Πλάτωνος Πολιτείας βιβλία γ′.

Μάναιχμος, Σικυώνιος, υἱὸς Ἀλκιβίου, ἢ Ἀλκιβιάδου, ἱστορικός. Γέγονε δὲ ἐπὶ τῶν διαδόχων. Ἔγραψεν ἱστορίαν [f]τὴν κατὰ τὸν Μακεδόνα Ἀλέξανδρον.

Μάνεθως, [g]Μένδης, τῆς Αἰγύπτου [h]ἀρχιερεύς. Ἔγραψε περὶ κατασκευῆς [i]Κυφίων.

Μάνεθως, Διοσπόλεως τῆς Αἰγύπτου, ἢ Σεβεννύτης. Φυσιολογικὰ, Ἀποτελεσματικὰ δι᾽ ἐπῶν· καὶ ἄλλα τινὰ ἀστρονομούμενα.

Μανέρως, καὶ περιμανώς. Ὀνόματα ᾠδῆς. Εὔβουλος Καμπυλίωνι.

Μανείην: Εὐκτικόν.

Μάνης: Ὄνομα κύριον οἰκέτου. [k]Ἀριστοφάνης Ὄρνισι·

> Νῦν δ᾽ ἀνδράποδ᾽, ἠλιθίους, Μάνας.

Μάνης: Οὗτος ὁ τρισκατάρατος ἐπὶ Αὐρηλιανοῦ βασιλέως ἐφάνη, Χριστὸν ἑαυτὸν καὶ Πνεῦμα ἅγιον φανταζόμενος· μαθητὰς ιβ′, [l]ὡς δὴ ὁ Χριστὸς, ἐπαγόμενος, καὶ ἐκ πάσης αἱρέσεως, εἴ τι κακὸν, ἐρανισάμενος, ἐκ Περσίδος εἰς τὴν Ῥωμαίων γῆν κατὰ Θεοῦ συγχώρησιν εἰσέφρησεν.

[m]Οὗτος, ὁ καὶ Μάνης [n]καὶ Σκυθιανὸς λεγόμενος,

---

[u] Νινευὴ] Νινεβῆ V. Νινευὶ E.

[x] θεοῦ] θυῶν V.

[y] θείας] θείαν A.

[z] ὀλίγον] ὅλον V.

[a] τὸν Κύριον] τὸν om. A.B.V.E. Statim τὸ addit A. qui etiam παντοκράτωρ cum M. non παντοκράτωρ.

[b] ἐπακούσας] ἐπάκουσον V.

ΜΑΝΔΑΛΩΤΟΝ: Εἶδος φιλήματος ποικ.] Ex Schol. Aristoph. ad Acharn. 1200. καὶ ante ποικίλου addit V.

[c] Θηλυδριῶδες, καὶ κατεγλωττισμένον] Aristoph. Thesmoph. 137. Tum Ἀριστοφάνης φησὶ μανδαλωτόν.

ΜΑΝΔΑΤΩΡ] Vide de hac voce Dufrenium in Glossario Græco. Confer etiam Nostrum infra v. Πεδῶν. KUST. Vid. Meurs. Gl. Gr. barb. Theophanes Justinianum factiosis inter se tumultuantibus in theatro ἔπεμψε μανδάτωρα εἰς ἑκάτερα μέρη. Μανδάτωρ erat, qui Cæsaris nomine tumultus sedaret in circo, et quid facto opus esset præscriberet. Aleman. not. ad Procop. p. 90. REINES. Μανδάτωρες A.B.V.

ΜΑΝΔΡΑΓΟΡΑΣ] Vid. Schol. Platon. p. 169.

[d] Καὶ φανεῖται] Julian. Ep. XXI. HEMST. quem vide ad Lucian. T. I. p. 103.

ΜΑΝΔΡΩΝ] Gl. om. A. καὶ ἔστι etc. om. V.

ΜΑΝΔΥΑΣ] Et de hac voce consulendus est Dufrenius in Glossario Græco. KUST. Dio Exc. Vales. p. 722. μανδύας τε φαιὰς ἐνεδέετο. TOUP.

[e] Ἀλωπεκοννήσιος] Antiquissimus codex ms. Paris. (et V.) addit, κατὰ δέ τινας, Προικοννήσιος: quæ verba procul dubio a festinantibus librariis omissa fuerunt, propter similem terminationem vocis Ἀλωπεκοννήσιος et Προικοννήσιος. KUST.

ΜΑΝΕΧΜΟΣ] Μάναιχμος A.B.E. Vid. Voss. de Hist. Gr. I. 11. p. 66.

[f] τὴν] Nescio an τῶν. Sed vid. p. 1733 B. Mox Μακεδόνων B.V.

ΜΑΝΑΙΘΩΣ] Μάνεθως A.B.V.

[g] Μένδης] Μενδήτης legendum monuit Holsten. ad Steph. in Μένδης. HEMST. Μεῖδης B.E.

[h] ἱερεὺς Αἰγύπτου] Mss. Paris. habent, τῆς Αἰγύπτου ἀρχιερεύς. KUST. V. in marg. μένδης τῆς Αἰγ. ἱερ. ἔγραψε περὶ σκευῆς κύφεων. ζήτ. τί τὸ κῦφ᾽.

[i] Κυφίων] Vide de hac voce Lexica vulgata: itemque Kircherum II. Œdip. Ægypt. 2. p. 539. KUST. Aristid. I. p. 279. habet κυφὶ pro κυφί. Vide supra v. Κυφί. TOUP. Κυφίων B.E.M.

ΜΑΝΑΙΘΩΣ, Διοσπ.] De hoc Manethone videndus omnino est Vossius de Hist. Gr. lib. I. c. 14. et Marshamus in Προπαρασκευῇ Canonis Chronici. KUST.

ΜΑΝΕΡΩΣ] Vide Pollucem lib. IV. c. 7. et Nostrum supra v. Ἀνακαλεῖ. KUST. Vid. Pausan. IX. 29.

ΜΑΝΗΣ] Nomen hoc apud veteres servis frequentissime imponi solebat, ut ex pluribus veterum scriptorum locis constat. Anthol. lib. III. c. 13. exstant duo Epigrammata in servos, quibus nomen erat Μάνης: ubi vide, quæ notavit Brodæus. Pherecrates apud Athenæum lib. VI. p. 263. Οὐ γὰρ ἦν τότ᾽ οὔτε Μάνης οὔτε Σάκης οὐδενὶ Δοῦλος, ἀλλ᾽ αὐτὰς ἔδει μοχθεῖν ἅπαντα. Vide etiam Eustathium ad Homerum. KUST. Cf. Strab. VII. p. 304. servus Manes e Phrygia coll. XII. p. 553. REINES. Conf. Menag. ad Laërt. V. 55.

[k] Ἀριστοφάνης Ὄρνισι] Ver. 523. sed ubi legitur Μανᾶς, cum circumflexo in ultima. KUST.

[l] ὡς δὲ] ὡς ἂν ὁ A.V. Leg. ὡς δὴ ὁ.

[m] Οὗτος, ὁ καὶ Μάνης καὶ Σκυθιανὸς λεγ.] Hæc, et quæ sequuntur, usque ad finem articuli, (pene) ad verbum leguntur apud Cedrenum p. 259. 260. KUST.

[n] καὶ Σκυθιανὸς λεγόμενος] Idem etiam affirmat Theodoretus Hæret. Fab. lib. I. c. 35. Sed Cyrillus Hierosolymit. Catech. VI. p. 57. Scythianum ab hoc Manente expresse distinguit, ejusque antecessorem statuit: cum quo facit Epiphanius Adv. Hæres. t. II. lib. II. p. 618. Vide etiam Gatakerum Miscell. Posthum. c. 35. p. 791. KUST.

Βραχμὰν ἦν τὸ γένος· διδάσκαλον δὲ ἔσχε Βουδδᾶν, τὸν πρώην καλούμενον [o]Τερέβινθον· ὃς παιδευθεὶς τὰ Ἑλλήνων, τὴν Ἐμπεδοκλέους ἠγάπησεν αἵρεσιν, δύο ἀρχὰς λέγοντος ἀντικειμένας ἀλλήλαις, [[p]νεῖκος καὶ φιλίαν.] Εἰσελθὼν δὲ ἐν Περσίδι, ἐκ παρθένου ἑαυτὸν ἔφασκε γεγεννῆσθαι, καὶ ἐν τοῖς ὄρεσιν ἀνατραφῆναι. [q]Καὶ συγγραψάμενος καὶ [r]βιβλία δ', τὸ μὲν ἐπωνόμασε τῶν Μυστηρίων, τὸ δὲ, τὸ [s]Εὐαγγέλιον, τὸ δὲ, τὸν [t]Θησαυρὸν, τὸ δὲ τῶν Κεφαλαίων. Καὶ ὁ μὲν Βουδδᾶς οὗτος, ὁ καὶ Τερέβινθος, ὑπὸ πνεύματος [u]ἀκαθάρτου συντριβεὶς, ἀπώλετο. Γυνὴ δέ τις, παρ' ᾗ κατέλυσε, [x]τὰ χρήματα αὐτοῦ καὶ τὰς βεβήλους βίβλους κληρονομήσασα, ὠνεῖται παιδάριον ἐτῶν ἑπτὰ, τοὔνομα Κούβρικον, ὃν καὶ διδάξασα γράμματα, καὶ ἐλευθερώσασα, κληρονόμον [y]αὐτῆς πάντων καθίστησιν. Ὁ δὲ λαβὼν τὰ βιβλία τοῦ Βουδδᾶ, καὶ τὰ χρήματα, διήρχετο τὴν Περσίδα, Μάνην ἑαυτὸν ὀνομάζων, καὶ τῆς πλάνης τοῦ Βουδδᾶ συνίστωρ γενόμενος, τὰ βιβλία [z]ποιήματα ἴδια ἔλεγεν. Ὃν ὁ βασιλεὺς [a]Περσῶν ἐξέδειρε ζῶντα, ὡς αἴτιον [b]θανάτου τοῦ υἱοῦ αὐτοῦ γενόμενον. Νοσοῦντος γὰρ, καὶ θεραπείας πολλῆς παρὰ τῶν ἰατρῶν τυγχάνοντος, [c]ὁ Κούβρικος ὑπέσχετο χωρὶς ἰατρῶν ἀναστῆσαι αὐτόν· καὶ ἀποστήσας τοὺς ἰατροὺς, ἐθανάτωσεν αὐτόν. Ὁ οὖν Μάνης οὗτος [d]ἀποβαλλόμενος τὴν παλαιὰν διαθήκην, καὶ τὴν κτίσιν πᾶσαν καὶ τὴν τοῦ ἀνθρώπου κατασκευὴν οὐκ ἀγαθοῦ τινος εἶναι [e]θεοῦ βλασφημῶν, ὑπὸ φθορὰν καὶ ἀλλοίωσιν οὖσαν, τὴν νέαν ὡς ἀγαθοῦ δῆθεν προσίεται Θεοῦ· καὶ κατὰ φαντασίαν καὶ δόκησιν τὸν Χριστὸν πεφηνέναι ἐτερατεύετο· καὶ καταδύσεις τινὰς ἐναγεῖς καὶ νυκτερινὰς, καὶ παρανόμους μίξεις, καὶ ἀρρητοποιίας, καὶ εἱμαρμένην, καὶ μετενσωματώσεις, καὶ ἄλλα τινὰ Ἑλληνικὰ διδάσκων. Περὶ οὗ καὶ [f]Θεόδωρος ὁ τῆς Ῥαϊθοῦ [g]πρεσβύτερος φησί· Μάνης, ὃς φαντασίᾳ τινὶ ψιλῇ καὶ σχήματι διακένῳ σώματος ἀνθρωπείου πεφανερῶσθαι τὸν Κύριον ἐφαντάσθη καὶ ὠνείρωξεν, ὡς πάσχειν μὲν δοκεῖν αὐτὸν καὶ πράττειν, ἅπερ ἔδρα καὶ [h]ἔπασχε καθ' ἡμᾶς· μηδὲν δὲ τούτων ἀληθείᾳ καὶ πράγματι ὑπάρξαι, ἀλλὰ δοκήσει μόνον καὶ ἀπάτῃ, [i]ἀποβουκολεῖν τοὺς ἀνθρώπους, οἷς καὶ συναναστρέφθαι [k]νενόμισται. Διὰ τοῦτο καὶ φύσεις δύο παραιτεῖται ἐπὶ τοῦ Χριστοῦ λέγειν, ἀλλὰ μίαν τῆς θεότητος. Παῦλος δέ τις, σύγχρονος [l]αὐτοῦ, ἐπίσκοπος Ἀντιοχείας τῆς μεγάλης, ψιλὸν ἄνθρωπον τὸν Κύριον ἔφη, [[m]ὡς ἕνα τῶν Προφητῶν. [n]Ἐκ τούτου καὶ οἱ [o]Παυλιανοί.]

[[p]Μάνης: Ἀνδριάς. Ζήτει ἐν τῷ Κότταβος.]

Μάνης: Ὄνομα Περσοῦ, ὃς ἀποδρὰς ἐκ τῆς τῶν Περσῶν βασιλείας ἐπὶ τοῦ μεγάλου Κωνσταντίνου, τὰ Χριστιανῶν ἐτάραττε δόγματα. Κλίνεται [q]Μάνεντος.

Μανιάκης: Ὁ περιαυχένιος κόσμος.

[r]Μανιάκαις καὶ περιχείροις ἦσαν κατακεκοσμημένοι.

Μανίαι δ' οὐ πᾶσιν ὁμοῖαι: [s]Τῶν μανιῶν αἱ μὲν εἰσιν ἄτοποι, ὡς αἱ τῶν παραπαιόντων· αἱ δὲ, [t]αἱρεταὶ καὶ εὐχῆς ἄξιαι, οἷαι τῶν ποιητῶν καὶ τῶν χρησμολόγων.

Μανίη: Μανία.

Μανιῶν: Πληθυντικῶς. Ἀντὶ τοῦ, μανίας.

[u]Σὺ δ' εἰς τοσοῦτον τῶν μανιῶν ἐλήλυθας.

Λέγουσι δὲ καὶ ἑνικῶς· τὸ δὲ πλεῖστον πληθυντικῶς.

[x]Τὸ γὰρ παράδειγμα τῶν μανιῶν ἀκούετε.

Ἀριστοφάνης.

[o] Τερέβινθον] Τέρβινθον eundem vocat Cyrillus loco laudato. KUST.

[p] νεῖκος καὶ φιλίαν om. A.B.V.

[q] Καὶ συγγραψάμενος βιβλία δ'] Hæc vel ad Manentem, vel, cujus proxime ante mentio fit, Terebinthum referri possunt. At neuter illorum, secundum Cyrillum, sed eorum antecessor Scythianus, quatuor illos libros, qui hic recensentur, scripsit. Verba ejus hæc sunt: Σκυθιανός τις ἦν ἐν Αἰγύπτῳ, Σαρακηνὸς τὸ γένος, οὐδὲν κοινὸν, οὔτε πρὸς Ἰουδαϊσμὸν, οὔτε πρὸς Χριστιανισμὸν κεκτημένος. Οὗτος τὴν Ἀλεξάνδρειαν οἰκήσας, καὶ τὸν Ἀριστοτελικὸν μιμησάμενος βίον, τέσσαρας βίβλους συνέταξε· μίαν καλουμένην εὐαγγέλιον, οὐ Χριστοῦ πράξεις περιέχουσαν, ἀλλ' ἁπλῶς μόνον τὴν προσηγορίαν· καὶ μίαν ἄλλην, καλουμένην Κεφαλαίων· καὶ μίαν τρίτην, Μυστηρίων· καὶ τετάρτην, ἣν νῦν περιφέρουσι, Θησαυρῶν. Μαθητὴς δὲ ἦν τούτου Τέρβινθος. Idem etiam affirmat Epiphanius Advers. Hæres. t. II. lib. II. p. 619. his verbis: Ἐν τούτοις γὰρ ὁ προειρημένος Σκυθιανὸς τυφλωθεὶς τὴν διάνοιαν, λαβὼν παρὰ Πυθαγόρου τὰς προφάσεις, οὕτως ἐφρένησε, καὶ βίβλους τέσσαρας ἑαυτῷ πλάσσεται, τῇ μιᾷ ὄνομα θέμενος Μυστηρίων· τῇ δὲ δευτέρᾳ, Κεφαλαίων· τῇ τρίτῃ, Εὐαγγέλιον· τῇ τετάρτῃ, Θησαυρῶν. Horum virorum auctoritas facit, ut Suidæ fidem hic derogandam esse censeam. KUST.

[r] βιβλία] καὶ βιβλία A.B.V.E.M.

[s] Εὐαγγέλιον] Vide Socratis Hist. Eccl. I. 22. unde totus hic articulus depromptus est. TOUP.

[t] Θησαυρόν] Θησαυρῶν habent Cyrillus, Epiphanius, et Cedrenus, locis laudatis: quæ lectio et Suidæ restituenda est. KUST.

[u] ἀκαθάρτου] ἀκάθαρτα V.

[x] τὰ] δὲ τὰ V.

[y] αὐτῆς] ἑαυτῆς A.B. τῶν ἑαυτῆς Cedren.

[z] ποιήματα] Sic habent mss. Paris. itemque Cedrenus loco laudato. At priores editt. πειράματα. KUST.

[a] Περσῶν om. V.

[b] θανάτου] τοῦ θανάτου A.B.

[c] οὗτος] ὁ κούβρικος A.B. omissis his vv. post ἰατρῶν.

[d] ἀποβαλλόμενος] ἀποβαλόμενος A.

[e] θεοῦ] θεῶν V.

[f] Θεόδωρος ὁ τῆς Ῥαιθοῦ πρ.] In libello de Incarnatione Domini, qui hodie adhuc exstat. KUST.

[g] πρεσβύτερος] πρεσβύτης B.V.

[h] ἔπασχε] ἔπραττε A. (superscr. ἔπασχε)

[i] ἀποβουκολῶν] Apud Theodorum presbyt. rectius legitur, ἀποβουκολεῖν. KUST. Sic etiam A. et Cedren.

[k] νενόμισται] νενόμισθαι V.

[l] αὐτοῦ om. A.B.V.

[m] ὡς ἕνα] Seqq. om. A. Habet V. in marg. ὡς ἑ. τ. π. om. M.

[n] Ἐκ τούτου] ὅθεν B.V.

[o] Παυλιανοί] Παυλιανισταὶ V.E.

[p] Μάνης] Seqq. om. A.

[q] Μανέντος] Ita flexerunt ut propius accederet ad μανεὶς μανέντος. Attamen Teles apud Stobæum p. 524, 14. ἄνευ Μανέντος etiam dixit a Μάνης servi nomine. HEMST.

ΜΑΝΙΑΚΗΣ] Vox hæc ea, quam Suidas hic tradit, significatione, occurrit in Græca Veteris Testam. versione, III. Esdr. c. 3. KUST.

[r] Μανιάκαις καὶ περιχ.] Hæc sunt verba Polybii lib. II. c. 29. sed ubi legitur μανιάκοις. KUST.

[s] Τῶν] τὸ τῶν V.

[t] αἱρεταὶ] αἱ ἀρεταὶ A. qui mox ἄξιαι. Αἱ δὲ ἀρετῆς Prov. Vat. App. II. 70. ubi vid. Schott. Diogenian. VI. 47.

[u] Σὺ δ' εἰς τοσοῦτον τῶν μ.] Aristoph. Nub. 830.

[x] Τὸ γὰρ παράδειγμα τῶν μ.] Aristoph. Pac. 64. Vide ibi veterem Enarratorem, cujus verba Suidas hic descripsit. KUST. τὸ δὲ A.

Μάρδοι: Ἔθνος τὸ πᾶν λησταί· καὶ οὔτ' ἂν εὖ [q]ποιῶν τις αὐτοὺς πιστοὺς κτήσαιτο, οὔτ' αὖ κακώσας ἐς τοσόνδε ταπεινώσειεν, ὡς, εἰ τοῦ φόβου ἀπαλλαχθεῖεν, μὴ ἂν παραυτίκα ἐπιθέσθαι, οἷς πάλαι ὑπέδυσαν.

Μάρδοι: Ἔθνος πολυάνθρωπον, τραχεῖαν γῆν [r]ἐποικοῦντες, καὶ μόλις ἀφ' ὧν γεωργοῦσι τρεφόμενοι, ἄνιπποι, καὶ πένητες· [s]ὡς καὶ τὴν πρώτην ἀπιστεῖσθαι τύχην.

Μαραίνω: Αἰτιατικῇ.

Μαριανός, Μάρσου δικηγόρου, τῶν ὑπάρχων Ῥώμης. Ῥωμαῖος [u]γὰρ τὸ ἀρχαῖον· μετοικήσαντος δὲ τοῦ πατρὸς Ἐλευθερόπολιν, μίαν τῶν τῆς πρώτης Παλαιστίνης, ἀπὸ ὑπάτων, καὶ ὑπάρχων, καὶ πατρίκιος γεγονὼς, τὸ ἐπιφανέστερον, κατὰ τὸν βασιλέα Ἀναστάσιον. Ἔγραψε βιβλία τοσαῦτα· [x]Μετάφρασιν Θεοκρίτου ἐν ἰάμβοις ͵γχν', Μετάφρασιν Ἀπολλωνίου τῶν Ἀργοναυτικῶν ἐν ἰάμβοις ͵ϛχη', Μετάφρασιν Καλλιμάχου Ἑκάλης, Ὕμνων, καὶ [y]τῶν Αἰτίων, καὶ τῶν Ἐπιγραμμάτων, ἐν ἰάμβοις ͵ϛϡι', Μετάφρασιν Ἀράτου, ἐν ἰάμβοις ͵αρμ', Μετάφρασιν Νικάνδρου τῶν Θηριακῶν, ἐν ἰάμβοις ͵ατϛ'· καὶ ἄλλας πολλὰς μεταφράσεις.

Μαριλάδης: Ὄνομα. Τουτέστι, γέρων Ἀχαρνικός.

Μαρίλη: Ἀμαυρὸν πῦρ· ὁ χνοῦς, καὶ τὸ λεπτότατον τῶν ἀνθράκων.

Χαλκεὺς οἷά τις γέμων καπνοῦ καὶ μαρίλης.

Καὶ Κρατῖνος ἐν Ὥραις·

[z]Ἐφθάρη μαρίλης [a]τὴν φάρυγγα πλέαν ἔχων.

Ἡ ἀπὸ τῶν ἀνθράκων σποδιά. [b]Ἀριστοφάνης·

[c]Ὑπὸ τοῦ δέους δὲ τῆς μαρίλης μοι συχνὴν
ὁ λάρκος ἐνετίλησεν, ὥσπερ σηπία.

Μαρίνα:

A Μαρῖνος, Νεαπολίτης, φιλόσοφος, καὶ ῥήτωρ, μαθητὴς Πρόκλου τοῦ φιλοσόφου, καὶ διάδοχος. Ἔγραψε [d]βίον Πρόκλου τοῦ αὐτοῦ διδασκάλου, [e]καὶ καταλογάδην, καὶ ἐπικῶς· καὶ ἄλλα τινὰ φιλοσόφων ζητήματα.

Μαρῖνος: Οὗτος τὴν Πρόκλου διατριβὴν παραδεξάμενος, καὶ Ἰσιδώρου τοῦ φιλοσόφου τῶν Ἀριστοτέλους λόγων καθηγησάμενος, ἐλθόντι τὸ δεύτερον
B Ἀθήναζε, τοῦ κοινοῦ διδασκάλου τετελευτηκότος, [f]ἐπέδειξεν αὐτῷ συγγεγραμμένον ὑπόμνημα πρὸς ἑαυτοῦ στίχων παμπόλλων εἰς τὸν Πλάτωνος Φίληβον, ἐντυχεῖν τε καὶ ἐπικρῖναι κελεύσας, εἰ ἐξοιστέον εἴη τὸ βιβλίον. Ὁ δὲ ἀναγνοὺς ἐπιμελῶς, οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων· οὐ μέντοι ἄμουσον ἀφῆκε φωνὴν οὐδεμίαν, τοσοῦτον δὲ ἔφη μόνον· Ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου ὑπομνήματα εἰς τὸν διάλογον·
C [g]συνεὶς δ' ἐκεῖνος, παραυτίκα διέφθειρε [h]πυρὶ τὸ βιβλίον. Ἤδη δὲ καὶ πρότερον δι' [i]ἐπιστολῆς ἐκοινώσατο πρὸς αὐτὸν τὴν ἑαυτοῦ δόξαν [περὶ] τῶν εἰς Παρμενίδην ὑποθέσεών τε καὶ ἐξηγήσεων· τά τε ἐπιχειρήματα συντάξας ἔπεμψεν, οἷς ἐπείσθη μὴ εἶναι τὸν διάλογον περὶ θεῶν ὁ Μαρῖνος, ἀλλὰ περὶ εἰδῶν. Ἐφ' ᾧ καὶ ὑπομνήματα κατεβάλετο, τοῦτον ἐξηγού-
D μενα τὸν τρόπον τὰς Παρμενίδου διαλεκτικὰς ὑποθέσεις. Ὁ δὲ καὶ πρὸς ταύτην ἀντιγράφει τὴν ἐπιστολὴν, μυρίαις ὅσαις ἀποδείξεσι [k]καταβαλλόμενος, ἀληθεστάτην εἶναι τὴν θειοτέραν ἐξήγησιν τοῦ διαλόγου, ὥστε εἰ μὴ ἔφθη τὸ βιβλίον ἐκδεδομένον, τάχα ἂν καὶ τοῦτο διέφθειρεν. Ἴσως δὲ αὐτὸν διεκώλυσε καὶ ἡ ὄψις τοῦ ἐνυπνίου· ὅτι θεάσασθαί [l]ποτε ἔλεγεν ὁ Πρόκλος, ὡς ὑπομνημάτων εἰς Παρμενίδην αὐτοῦ
E [m]Μαρίνου ἐσομένων.

Μαρίωνος: Ὄνομα κύριον.

Μάρις, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος ἐπίσκοπος,

ΜΑΡΔΟΙ] Vid. Freinshem. ad Curt. V. 6. p. 354.

q ποιῶν τις] τριῶν V. sine τις. Mox οὔτ' ἂν A.B.V. In fine ὑπέδησαν V.

r ἐποικοῦντες] ἐπιοικοῦντες A.

s ὡς καὶ] ὡς om. A.

ΜΑΡΑΙΝΩ] Post h. gl. habent edd. Μάρης: τῆς ἐν Βιθυνίᾳ. Vide post Μαρίωνος in Μάρις.

ΜΑΡΙΑΝΟΣ] Hic Μαριῖνος appellatur Σύρος ab Euagrio Hist. Eccl. lib. III. c. 42. ubi vide Valesium. KUST.

u γὰρ] μὲν V. Mox μετοικήσαντος A.B.V.E. pro μετοικήσαντες. Infra ἀπὸ ὑπάτων om. edd. vett.

x Μετάφρασιν] Μετάφρασις A. Mox ͵ϛχκ V.

y τῶν αἰτιῶν] τῶν om. A.

ΜΑΡΙΛΑΔΗΣ: Ὄνομα. Τουτέστι γέρων Ἀχ.] Aristophanes Acharnens. 609. Τουδὶ δὲ μηδὲν ὑπείω, ὦ Μαριλάδη. Scholiasta ad eum locum: Ὦ Μαριλάδη. Ἀπὸ τῆς μαρίλης· ὅτι τὸ ἀμαυρὸν πῦρ δηλοῖ. Τουτέστιν, ὦ γέρων Ἀχαρνικέ. KUST.

z Ἐφθάρη μαρίλης τὴν φ.] Metrum fragmenti hujus luxatum est, quod sic vel alio modo in integrum restitui potest: Ἐφθάρη Οὗτος μαρίλης τὴν φάρυγγα πλέαν ἔχων. KUST.

a τὴν φάρυγγα] Hæ duæ voces in prioribus editt. [et B.V.E.] desunt, quas ex mss. Paris. revocavi. KUST. Mox ἔχων suprascr. in V. ἔφθη Porsonus pro ἐφθάρη. Dobræus ad Aristoph. Eq. 523. p. (127.)-- ἐφθάρη μαρίλης τὴν φάρυγα πλέαν ἔχων.

b Ἀριστοφάνης] Acharn. 349.

c Ὑπὸ] ἀπὸ A.

ΜΑΡΙΝΑ] ὄνομα κύριον A. in marg.

d βίον Πρόκλου] Post Fabricium edidit J. Fr. Boissonadius Lipsiæ 1814.

e καὶ καταλογάδην, καὶ ἐπικῶς· καὶ ἄλλα τινὰ φιλ.] Locus hic turbatus mihi videtur, quem modo laudatus Joannes Albertus Fabricius in Prolegomenis ad Marini Proclum sic restituendum esse putat: Ἔγραψε βίον Πρόκλου, τοῦ αὐτοῦ διδασκάλου· Φιλοσόφων ζητήματα· καὶ ἄλλα τινὰ καὶ καταλογάδην, καὶ ἐπικῶς. Sic sane Suidam scripsisse, vel scribere debuisse censeo, quoniam lectio ista sensum hujus loci concinniorem reddit. KUST.

ΜΑΡΙΝΟΣ: Οὗτος τὴν Πρόκλου διατρ.] Tota hæc de Marino Ecloga descripta est ex Damascio, ut patet ex Photio, apud quem in Excerptis ex Damascio p. 1036. nonnulla eorum, quæ Suidas hic tradit, αὐτολεξεὶ quoque leguntur. En Photii verba: Μαρῖνος δὲ, ὁ Πρόκλου διάδοχος, ὁ καὶ Ἰσιδώρου μετὰ καὶ ἄλλων τῶν Ἀριστοτέλους λόγων διδάσκαλος, ὑπόμνημα πολύστιχον εἰς Φίληβον συντάξας τοῦ Πλάτωνος. Οὗτος τῷ Ἰσιδώρῳ ἐντυχεῖν τε τῷ ὑπομνήματι κελεύει, καὶ ἐπικρῖναι, εἰ ἐξοιστέον. Ὁ δὲ ἀναγνοὺς, οὐδὲν ἀπεκρύψατο τῶν αὐτῷ δοκούντων· οὐ μέντοι οὐδὲ ἄμουσον ἀφῆκε φωνὴν, τοσοῦτον δὲ μόνον ἔφη, ἱκανὰ εἶναι τὰ τοῦ διδασκάλου. Ὁ δὲ Μαρῖνος συνεὶς, πυρὶ διέφθειρε τὸ βιβλίον. Qui hæc cum verbis Suidæ contulerit, nullus utique dubitabit, quin Noster ex eodem auctore, ex quo Photius, (id est, ex Damascio, ut diximus,) sua depromserit. KUST.

f ἐπέδειξεν] ὑπέδειξεν A.

g Συνεὶς] συνεὶς B.E.

h τὸ βιβλίον πυρὶ] πυρὶ τὸ βιβλίον A.

i ἐπιστολῆς] ἐπιστολὴν V. Mox [περὶ] inseruit Kusterus.

k καταβαλλόμενος] καταβαλόμενος A.B.

l ποτε] ὅτι A.

m τοῦ Μαρίνου] τοῦ om. A.B.E.

ΜΑΡΙΣ, τῆς ἐν Βιθυνίᾳ Χαλκηδόνος Ἐπ.] Articulum hunc

καὶ [o]τῆς ἡμερότητος μετεῖχεν. Ὅπως γὰρ δὴ διὰ πάσης τῆς νυκτὸς ἐγρηγορέναι [p]δοκῇ, καὶ κατὰ τοῦτο μηδὲ τῶν ἄλλων τις τῶν συνόντων οἱ καθεύδῃ, δώδεκα γραμματεῖα, οἷά γε ἐκ φιλύρας ποιεῖται, καθ' ἑκάστην ἑσπέραν, ὡς εἰπεῖν, συνέγραφε, καὶ προσέταττέ τινι ἄλλο ἄλλῃ ὥρᾳ κομίζειν τισὶν, ἵν' ὡς καὶ ἀεὶ ἐγρηγορὼς θαυμάζηται. Ἦν μὲν γὰρ καὶ ἄλλως ὑπνομαχεῖν πεφυκώς· ἐπὶ πλεῖον δὲ αὐτὸ καὶ ἐκ τῆς τροφῆς ἠσκήκει. Τά τε γὰρ ἄλλα ἥκιστα [q]ἄδην ἐσιτεῖτο, καὶ ὅπως μηδὲ τῶν ἄρτων διαπιμπλᾶται, ἐκ τῆς Ῥώμης αὐτοὺς μετεπέμπετο, οὐχ ὡς οὐ δυνάμενος τῶν ἐπιχωρίων ἐσθίειν, ἀλλ' ἵν' ὑπὸ τῆς παλαιότητος αὐτῶν μὴ δύνηται μηδὲ σμικρῷ πλέον τοῦ πάνυ ἀναγκαίου φαγεῖν. [r]Τὰ γὰρ [s]οὖλα αὐτοῦ κακῶς ἔχοντα ῥᾳδίως ὑπὸ τῆς τῶν ἄρτων ξηρότητος ᾑμάσσετο. Ἐπετήδευε δ' οὖν ἐπὶ μεῖζον αὐτὸ πλάττεσθαι, ἵν' ὡς μάλιστα διαγρυπνεῖν δοκῇ.

Μαρκιανός: Οὗτος ἐπὶ Οὐάλεντος [t]βασιλέως ἦν, καὶ Ἀγγελίου ἐπισκόπου Κωνσταντινουπόλεως, ἐλλόγιμος· ὃς πάλαι μὲν κατὰ τὰ βασίλεια ἐστρατεύετο, τότε δὲ [u]πρεσβύτερος τῆς Ναυατιανῶν ἦν ἐκκλησίας, γραμματικοὺς λόγους Ἀναστασίαν τὴν τοῦ βασιλέως θυγατέρα διδάσκων.

Μαρκιανός: Οὗτος συνῆν Μουσωνίῳ ἐκ Παμφυλίας, ἀνὴρ ἐς ἀρετὴν ἅπασαν ὥσπερ τις κανὼν ἀπηκριβωμένος. Φιλόκαλος γὰρ ὢν καὶ φιλάγαθος ὁ Μουσώνιος, τοὺς πανταχόθεν εἷλκε [x]παρ' ἑαυτὸν, ὥσπερ ἡ μαγνῆτις τὸν σίδηρον. Οὐκ ἦν δὲ βασανίζειν ὁποῖός τις ὁ δεῖνα, ἀλλὰ [y]Μουσωνίου φίλον ἀκούσαντα, ὅτι καλὸς ἦν εἰδέναι.

Μαρκιανός: Οὗτος ἐπὶ Ζήνωνος ἤκμαζεν. Ἐν ᾧ δὲ ἦν εὐκτηρίῳ [z]πρεσβύτερος χειροτονηθεὶς, διετέλει. Μεγίστης δὲ ἐξουσίας τυχὼν παρὰ Ἴλλου [a]οὗτος ὁ πλάνος, καὶ τοῖς Ἐπικουρείοις δόγμασιν ὁσημέραι αὐτὸν κακύνων, αὐτοφυῆ ἔλεγε τὸν κόσμον, καὶ διοικεῖσθαι οὐκ ἐκ Θεοῦ, ἀλλ' [b]ἐξ ἐνεργείας τῆς τῶν ἀστέρων. Καθὸ γὰρ ἕκαστον αὐτῶν τῇ τούτων φθάσει συμπεριφερόμενον δινήσει τῶν κατ' αὐτὴν τικτομένων τὴν ῥοπὴν, τὴν ἐπικρατείαν κληροῦνται.

Μάρκιον: Ὄνομα ὄρους.

Μάρκιος, στρατηγὸς Ῥωμαίων. Οὗτος ἐφυγαδεύθη ὑπὸ τοῦ δήμου· ἥν τε οἰμωγὴ καὶ δάκρυα τῶν προπεμπόντων αὐτὸν καὶ οἰκτειρόντων. Ὁ δὲ Μάρκιος οὔτε ἀνακλαυσάμενος ὤφθη τὰς ἑαυτοῦ τύχας, οὔτε ἀποιμώξας, οὔτε ἄλλο εἰπὼν ἢ δράσας ἀνάξιον τῆς ἑαυτοῦ μεγαλοφροσύνης οὐδοτιοῦν. Ἔτι δὲ μᾶλλον ἐδήλωσε τὴν καρτερίαν καὶ τὴν γενναιότητα τῆς γνώμης, ἐπειδὴ οἴκαδε ἀφικόμενος γυναῖκά τε εἶδε καὶ μητέρα καταρρηγνυμένας τοὺς πέπλους, καὶ τὰ στέρνα τυπτούσας, καὶ οἷα εἰκός ἐστιν ἐπὶ τοιαύταις συμφοραῖς λέγειν τὰς ἀποζευγνυμένας ἀπὸ τῶν ἀναγκαιοτάτων σφίσι θανάτοις ἢ φυγαῖς ἀναβοώσας· οὐδὲ πρὸς τὰ δάκρυα τῶν παίδων ἔπαθεν· ὧν ὁ εἷς δέκα γεγονὼς ἔτη, ὁ δὲ, ὑπαγκάλιος· ἀλλ' ἐξῄει κατὰ σπουδὴν ἐπὶ τὰς πύλας, [c]οὐδενὶ δηλώσας, ὅποι τὴν ἀπαλλαγὴν ποιήσοιτο. Ἦν δὲ ἀνὴρ ἄριστος τὰ πολέμια, καὶ πρὸς πάσας τὰς ἡδονὰς ἐγκρατὴς, τά τε δίκαια οὐκ ἀπὸ νόμου μᾶλλον ἀνάγκης ἅπασιν ἀποδιδοὺς, ἀλλ' ἑκών τε καὶ [d]προσπεφυκὼς πρὸς αὐτὰ εὖ. Καὶ οὐ μόνον αὐτὸς ἁγνεύειν ἀπὸ πάσης κακίας προθυμούμενος, ἀλλὰ καὶ τοὺς ἄλλους προσαναγκάζειν δικαιῶν· μεγαλόφρων τε, καὶ δωρηματικὸς, [e]καὶ ἐς ἐπανόρθωσιν προχειρότατος. Ἀλλὰ γὰρ ἐν ἀδυνάτῳ ἦν ἄρα πάσας τὰς ἀρετὰς ἐν ἀνθρώπου γενέσθαι φύσει· οὐδὲ φύεταί τις ἀπὸ θνητῶν καὶ ἐπικήρων σπερμάτων περὶ πάντα ἀγαθός. [f]Ἐκείνῳ γε οὖν πάντα καὶ πάσας τὰς ἀρετὰς ὁ δαίμων χαρισάμενος, ἑτέρας οὐκ εὐτυχεῖς κῆράς τε καὶ ἄτας προσῆψε. Τὸ γὰρ πρᾳῢ καὶ φαιδρὸν οὐκ ἐπῆν αὐτοῦ τοῖς τρόποις, οὐδὲ τὸ θεραπευτικὸν τῶν πέλας, ἔν τε ἀσπασμοῖς, καὶ [g]προσαγορεύσει. [h]Οὐδὲ δὴ τὸ εὐδιάλλακτον καὶ μετριοπαθὲς, ὁπότε δι' ὀργῆς [i]τῳ γένοιτο, οὐδὲ ἡ πάντα τὰ ἀνθρώπινα ἐπικοσμοῦσα χάρις· ἀλλ' ἀεὶ πικρὸς καὶ χαλεπὸς ἦν. Ταῦτα [k]δὲ δὴ αὐτὸν [l]ἐν πολλοῖς ἔβλαψε. Καὶ πάντων μάλιστα

[o] ἡμερότητος] τῆς ἡμ. A. Exc. Mox μετεῖχεν om. Exc.

[p] δοκῇ] δοκεῖν V. Mox τῶν συνόντων οἱ om. B.E. οἱ τίς καθ. V. Tum γραμμάτια B.V. Exc.

[q] ἄδην] ἅδην A.V. Exc. Paullo infra habet A. in marg. Ἐπεξήγησις τοῦτο. Περὶ τῶν οὔλων Μαρκέλλου, καὶ περὶ τῆς αὐτοῦ ἀσκήσεως. καὶ ὅπως τὸ ὅλον οὐδὲν ἀπώνατό τινες τῆς ἀκρότητος ὁποῖαι αἱ τῶν Ἑλλήνων μάλιστα ἐπιδεικτικαί.

[r] Τὰ γὰρ οὖλα αὐτοῦ κακῶς ἔχοντα ῥᾳδ.] De hoc loco Suidæ vide Reinesium Var. Lect. lib. I. p. 74. KUST. H. Valesii interpretationem dedit Kusterus, quæ non probanda: nam ὑπὸ τῆς τῶν ἄ. ξ. jungi debent non cum κακῶς ἔχ. sed cum ᾑμάσσετο. HEMST.

[s] οὖλα] ὅλα V.

ΜΑΡΚΙΑΝΟΣ: Οὗτος ἐπὶ Οὐάλεντος βασιλ.] Articulum hunc descripsit Suidas ex Socratis Hist. Eccles. lib. IV. c. 9. KUST.

[t] βασιλέως] τοῦ βασ. V.

[u] πρεσβύτερος] πρεσβύτης B.E.

[x] πρὸς] παρ' A.

[y] Μουσωνίῳ] Μουσωνίου A.

[z] πρεσβύτης] πρεσβύτερος A.

[a] οὗτος—ὁσημέραι] οὗ ὁσημέραι A.

[b] ἐξ ἐνεργείας] ἐκ συνεργίας V. Mox τῆς addidi cum A.B. Infra habet A. in marg. Ὅπως τὴν γενεθλιαλογίαν ἐσπούδαζεν οὗτος.

ΜΑΡΚΙΟΝ: Ὄνομα ὄρους] Stephanus Byzantius: Μάρκαιον. Ὄρος τῆς Τρωάδος. KUST. Μάρδιον E. Post v. seq. ponit A.

ΜΑΡΚΙΟΣ, στρατηγὸς Ῥωμ.] Totum hunc articulum descripsit Suidas ex Dionysii Halicarnass. Antiq. Rom. lib. VII. ut Portus etiam monuit. Et quidem pars prior, usque ad verba illa, ὅποι τὴν ἀπαλλαγὴν ποιήσοιτο, legitur apud modo dictum Dionysium, p. 472. Reliqua vero usque ad finem articuli, p. 528. 529. Multa autem Suidas brevitatis gratia præteriit: nonnulla item aliter habet, quam Dionysius; ut lector ex collatione locorum facile deprehendet. KUST.

[c] οὐδενὶ] οὐθενὶ A. Mox ἐγκρατείας V.

[d] προσπεφυκὼς] Dionysius habet, πεφυκώς: quæ lectio melior est. KUST. Lege πρὸς πεφυκὼς, *et præterea*: vel πρός τε πεφ. *et præterea etiam*. TOUP.

[e] καὶ εἰς ἐπανόρθωσιν προχ.] Vide hic Dionysium, qui plura habet. KUST.

[f] Ἐκείνῳ γε οὖν πάντα καὶ πάσας τὰς ἀρ.] Dionysius melius: Ἐκείνῳ γε οὖν ταύτας ὁ δαίμων τὰς ἀρετὰς, &c. KUST. πάσας om. A.B.V.E.

[g] προσαγορεύσει] προσηγορεύσει B.E.

[h] Οὔτε δὴ] δὴ om. E. οὔτε μὴ B.

[i] τῳ] Sic Dionys. ὅτῳ A.B.V.E. edd. ante Kuster.

[k] δὲ δὴ] τε δὴ A.B.

[l] ἐν πολλοῖς] Dionysius, ἐν πολλοῖς πολέμοις. KUST.

ἡ περὶ τὰ δίκαια καὶ τὴν φυλακὴν τῶν νόμων [m]ἄκριτός τε καὶ ἀπαράπειστος καὶ [n]οὐθὲν τῷ ἐπιεικεῖ διδοῦσα ἀποτομία. Ἔοικεν ἀληθὲς εἶναι τὸ ὑπὸ τῶν ἀρχαίων λεγόμενον φιλοσόφων, ὅτι μεσότητές εἰσιν, οὐκ ἀκρότητες αἱ τῶν ἠθῶν ἀρεταί· μάλιστα [o]δὲ ἡ δικαιοσύνη. Οὐ γὰρ μόνον λείπουσα τοῦ δικαίου πέφυκεν, ἀλλὰ καὶ ὑπερβάλλουσα· αὐτοῖς τε οὐ λυσιτελής ἐστιν, ἀλλ' [p]αἰτία μεγάλων συμφορῶν. Μάρκιον γὰρ τὸ ἄκρον δίκαιον ἔβλαψε, καὶ [q]ἐξηλάθη τῆς πατρίδος. [r]Πρὸς πάντα γὰρ τὰ μὴ δίκαια ἀντιλέγων, μῖσος ἤγειρεν. [s]Εἰ μὲν οὖν ἅμα τοῖς σώμασι διαλυομένοις καὶ τὸ τῆς ψυχῆς, ὅ τι δή ποτέ ἐστιν ἐκεῖνο, συνδιαλύεται, καὶ οὐδαμῇ οὐθὲν ἔτι ἐστὶν, οὐκ [t]οἶδ' ὅπως μακαρίους ὑπολάβω τοὺς μηδὲν μὲν ἀπολαύσαντας τῆς ἀρετῆς ἀγαθὸν, δι' αὐτὴν δὲ ταύτην [u]ἀπολομένους· εἰ δὲ καὶ ἄφθαρτοι μέχρι τοῦ παντὸς αἱ ψυχαὶ [x]τυγχάνουσιν ἡμῶν οὖσαι, ἢ χρόνον μετὰ τὴν ἀπαλλαγὴν τῶν σωμάτων [y]ἐνδιαμένουσι, μήκιστον μὲν αἱ τῶν ἀγαθῶν ἀνδρῶν, ἐλάχιστον δὲ [z]αἱ τῶν κακῶν, ἀποχρῶσα τιμὴ φαίνοιτο [a]ἂν τοῖς τὴν ἀρετὴν ἀσκοῦσιν, [b]κἂν ἠναντιώθη παρὰ τῆς τύχης, [c]ἡ παρὰ τῶν ζώντων εὐλογία καὶ μνήμη μέχρι πλείστου παραμείνασα χρόνου. Ὃ καὶ τῷ ἀνδρὶ ἐκείνῳ συνέβη. Οὐ γὰρ μόνον [d]Οὐολοῦσκοι τοῦτον ἐπένθησαν, ὧν ἦρχεν, ἀλλὰ καὶ Ῥωμαῖοι πένθος ἐποιήσαντο ἰδίᾳ καὶ δημοσίᾳ, καὶ αἱ γυναῖκες, ἀποθέμεναι χρυσὸν καὶ τὸν ἄλλον κόσμον, καὶ μέλασιν [e]ἀμφίοις χρησάμεναι, καὶ πενθήσασαι ἐνιαύσιον χρόνον· καὶ ἐτῶν ἐς τόδε [f]πεντακοσίων διαγεγονότων, οὐ γέγονεν ἐξίτηλος ἡ τοῦ ἀνδρὸς μνήμη.

Μαρκίωνος:

Μάρκος, ὁ καὶ Ἀντωνῖνος, βασιλεὺς Ῥωμαίων, [g]ὁ ἐπαινετὸς κατὰ πάντα φιλόσοφος· ἀκροατὴς μὲν καὶ [h]ἄλλων πολλῶν γενόμενος, [i]ὕστερον δὲ διήκουσε [k]καὶ Σέξτου, ἐκ Βοιωτίας φιλοσόφου, ἐπ' αὐτῆς [l]τῆς Ῥώμης, θαμίζων αὐτῷ, καὶ φοιτῶν ἐπὶ [m]θύρας· ὃν καὶ [n]Λούκιός τις ῥήτωρ, γνώριμος Ἡρώδου τοῦ Ἀθηναίου ῥήτορος, ἤρετο [o]προϊόντα, ποῖ [p]βαδίζοι, καὶ ἐφ' ὅ τι. Καὶ ὁ Μάρκος, "Καλὸν," ἔφη, "καὶ γηράσκοντι τὸ μανθάνειν. Εἶμι δὴ πρὸς Σέξτον τὸν φιλόσοφον μαθησόμενος ἃ οὔπω οἶδα." Καὶ ὁ Λούκιος ἐξάρας τὴν χεῖρα ἐς τὸν οὐρανὸν, "Ὦ ἥλιε," ἔφη, "[q]ὁ Ῥωμαίων βασιλεὺς γηράσκων [r]ἤδη [s]δέλτον ἐξαψάμενος ἐς διδασκάλου φοιτᾷ. Ὁ δὲ ἐμὸς βασιλεὺς Ἀλέξανδρος δύο καὶ λ' ἐτῶν ἀπέθανεν." Οὗτος [t]ἔγραψε τοῦ ἰδίου βίου [u]ἀγωγὴν ἐν βιβλίοις ιβ'.

Μάρκος, βασιλεὺς Ῥωμαίων· ὃν ἐκπλήττεσθαι σιωπῇ μᾶλλον ἢ ἐπαινεῖν ῥᾴδιον, οὐδενὸς λόγου ταῖς τοῦ ἀνδρὸς ἀρεταῖς ἐξισουμένου. Ἐκ πρώτης γὰρ ἤδη τῆς ἡλικίας εὐσταθῆ τε καὶ ἡσύχιον [x]βίον ὑποστησάμενος, οὔτε κατὰ δέος οὔτε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε. [y]Ἐπῄνει δὲ τῶν φιλοσόφων τοὺς ἀπὸ τῆς Στοᾶς· καὶ ἦν ἄρα ἐκείνων μιμητὴς, οὐ μόνον κατὰ τὴν τῶν διαιτημάτων ἐπιτήδευσιν, ἀλλὰ καὶ κατὰ τὴν τῶν μαθημάτων σύλληψιν. Οὕτω γοῦν ἐκ νέας κομιδῆ τῆς ἡλικίας [z]ἐξέλαμπεν, ὡς πολλάκις τὸν Ἀδριανὸν ἐπὶ τούτῳ ἐθελῆσαι τὸν τῆς βασιλείας ἀγαγεῖν κλῆρον. Ἐπεὶ δὲ ἔφθασε τὸν Εὐσεβῆ πρότερον κατὰ νόμον [a]παῖδα ποιησάμενος, ἐκείνῳ μὲν τὴν [b]αὐτοῦ διαδοχὴν ἐφύλαξε· τοῦτον δὲ συνοικεῖν ἔγνω διὰ τῆς ἐπιγαμίας τῷ Εὐσεβεῖ, ὡς ἂν κατὰ τὴν τοῦ γένους διαδοχὴν εἰς τὴν ἡγεμονίαν παρέλθοι. Τόν τε γοῦν ἰδιώτην βίον ἐν ἰσηγορίᾳ τοῖς πολλοῖς Ῥωμαίοις [c]ἐβίω, οὐδὲν τῇ εἰσποιήσει τοῦ γένους ἀλλοιωθείς.

[m] ἄκριτός τε καὶ ἀπαρ.] Dionysius, ἄκρατός τε καὶ ἀπαράπειστος. KUST.

[n] οὐδὲν] οὐθὲν A.B.E.M.

[o] δὲ ἡ] ἡ om. A.

[p] αἰτία] αὐτίκα V.

[q] ἐξηλάθη] ἐξηλάσθη B.

[r] Πρὸς πάντα] πρὸς om. A.B.V.E.M.

[s] Εἰ μὲν οὖν] οὖν om. A. Mox διαβαλλομένοις V.

[t] οἶδ' ὅπως] οἶδα πῶς A.B.V.E.

[u] ἀπολομένους] ἀπολουμένους B.E.M.

[x] τυγχάνουσιν αἱ ψυχαὶ] αἱ ψυχαὶ τυγχάνουσιν A.

[y] διαμένουσι] ἐνδιαμένουσι A.V.

[z] αἱ τῶν] αἱ om. B.E.M.

[a] ἂν τοῖς] αὐτοῖς A.B.E. Mox τὴν om. B.E.M.

[b] κἂν ἠναντιώθη παρὰ τῆς τύχης] Dionysius rectius habet: Καὶ εἰ ἠναντιώθη τὰ ἐκ τῆς τύχης. KUST. κἂν om. A.B.V.E.M. Post ἠναντιώθη lacuna in M.

[c] ἡ παρὰ τῶν ζώντων εὐλογία, καὶ μνήμη, μέχρι πλείστου παραμείνασα χρόνου] Sic habent mss. Paris. itemque Dionysius Halicarnassensis. At priores editt. male, (et fere B.E.) ἡ περὶ τῶν ζώντων εὐλόγῳ μνήμῃ μέχρι πλείστου παραμείνασα χάρις. KUST.

[d] Οὐολοῦσκοι] Βολοῦσκοι V. Mox τοῦτο A.

[e] ἀμφίοις] Dionysius habet, ἀμφιασμοῖς. KUST.

[f] πεντακοσίων] φησὶ V. Post h. v. addunt B.V.E. edd. ante Kuster. Μάρκιος πόλις. Ἐν τῷ Βουλοῦσκοι.

ΜΑΡΚΙΩΝΟΣ] Sic A.B.V. Vulg. Μαρκίων, Μαρκίωνος, ὁ αἱρεσιάρχης.

[g] ὁ ἐπαινετὸς] ὃς ἐπ. B.E.

[h] ἄλλων] ἄλλων πολλῶν A.B.V.E.

[i] ὕστερον δὲ διήκουσε καὶ Σέξτου, ἐκ Βοιωτ.] Hæc, et quæ sequuntur, deprompsit Suidas ex Philostrato in Vita Herodis, p. 556. ut Pearsonius etiam observaverat. KUST.

[k] καὶ Σέξτου] καὶ om. A. Tum σέκστου V.

[l] τῆς Ῥώμης] τῆς om. A.B.V.E.

[m] θύραις] θύρας A. Tum τρὶς addunt A.B.E.M.

[n] Λούκιος] Sic habent mss. Paris. itemque Philostratus. At priores editt. male, Λύκιος. KUST. γνώριμος ῥήτωρ M.

[o] προϊόντα] προσιόντα A.

[p] βαδίζει] βαδίζοι A.B.V.

[q] ὁ Ῥωμαίων] ἡρμηνέων A.

[r] ἤδη om. Exc.

[s] δέλτον ἐφαψάμενος] Philostratus rectius habet, δέλτον ἐξαψάμενος: i. e. *tabulam sibi appendens*; vel, *tabella ex lacerto suspensa*. Solebant enim olim adolescentes Romæ ludum literarium adire, suspensis e lævo lacerto tabellis, ut discimus ex hoc loco Horatii lib. I. Sat. 7. *Noluit in Flavi ludum me mittere, magni Quo pueri magnis e centurionibus orti, Lævo suspensi loculos tabulamque lacerto, Ibant.* KUST. δέλτον A.V. δέλτων B. Non dubitavi recipere ἐξαψάμενος.

[t] ἔγραψε τοῦ ἰδίου βίου διαγωγὴν ἐν βιβλίοις ιβ'.] Hoc opus hodie adhuc exstat, illustratum erudito commentario Thomæ Gatakeri. KUST.

[u] διαγωγὴν] ἀγωγὴν A.V.

ΜΑΡΚΟΣ, βασιλεὺς Ῥωμαίων ὃν ἐκπλήττεσθαι σιωπ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Joannis Antiocheni, quæ leguntur in Collectaneis Constant. imper. a Valesio editis, p. 821, 822. unde ea Suidas descripsit. KUST.

[x] βίον om. A.

[y] Ἐπῄνει] ἐπαίνει V.E. Mox ἀπὸ om. A.

[z] ἐξέλαμπεν] ἐξέλαμψεν A.B.V. Excerpt.

[a] παῖδα om. A.B.V.E. edd. ante Kuster. qui addidisse videtur ex Excerptis.

[b] αὐτοῦ] ἑαυτοῦ A.B.V.

[c] ἐβίω] ἐβίου A.B.E. Mox οὐδ' ἐν τῇ εἰσποιήσει V.

Καὶ ἐπεὶ παρῆλθεν εἰς τὴν ἡγεμονίαν, κατὰ μοναρχίαν ἐξηγούμενος, καὶ τὴν ἄκραν δυναστείαν καρπούμενος, πρὸς οὐδεμίαν ἀλαζονείαν ὑπήχθη πώποτε· ἀλλ' ἦν ἐλεύθερος μὲν [d]καὶ δαψιλὴς ἐν τοῖς εὐεργετήμασιν, ἀγαθὸς δὲ καὶ μέτριος ἐν ταῖς τῶν ἐθνῶν διοικήσεσι.

Μάρκος, βασιλεὺς Ῥωμαίων, ὁ Εὐσεβὴς ἐπικληθείς. [e]Οὗτος εἶχε μὲν καὶ τὰς ἄλλας ἀρετὰς ἁπάσας, καὶ ἄριστα [f]δὴ πάντων τῶν ἐν κράτει [g]τινὶ γενομένων ἦρξε, πλὴν καθόσον οὐ πολλὰ τῷ σώματι ἀνδρίζεσθαι ἐδύνατο· καὶ τοῦτο ἐξ ἀσθενεστάτου καρτερικώτατον [h]ἀπέδειξε. Πλεῖστον δὲ ἐν εὐεργεσίᾳ διῆγεν, ὅθεν που καὶ νεὼν αὐτῆς ἱδρύσατο, ὀνόματί τινι ἰδιωτάτῳ καὶ μήποτε ἀκουσθέντι προσκαλέσας αὐτήν. Αὐτὸς μὲν γὰρ πάντων τῶν ἁμαρτημάτων ἀπείχετο, καὶ οὔτε ἑκὼν οὔτε ἄκων ἐπλημμέλει· τὰ δὲ δὴ τῶν [i]ἀλλοτρίων ἁμαρτήματα, καὶ μάλιστα τὰ [k]τῆς γυναικὸς, ἔφερε, καὶ οὔτε ἐπολυπραγμόνει, οὔτε ἐκόλαζεν· ἀλλ' εἰ μέν τις χρηστόν τι ἔπραττεν, ἐπῄνει, καὶ ἐχρῆτο ἐς ἐκεῖνο αὐτῷ, τῶν δὲ ἑτέρων οὐ προσεποιεῖτο, λέγων, ὅτι ποιῆσαι μὲν [l]τινὶ ἀνθρώπους ὁποίους βούλεται ἔχειν, ἀδύνατόν ἐστι· τοῖς δὲ δὴ οὖσι προσήκει, ἐς ὅ τι ἄν τις αὐτῶν τῷ κοινῷ χρήσιμος ᾖ, χρῆσθαι. Ἔτη γὰρ πεντήκοντα, καὶ μῆνας δέκα, ἡμέρας τε κʹ ζήσας, καὶ ιθʹ ἔτη, ἡμέρας ιαʹ αὐταρχήσας, [m]ὅμοιος διὰ πάντων ἐγένετο, καὶ ἐν οὐδενὶ ἠλλοιώθη. Ἀγαθὸς δὲ ἦν, καὶ οὐδὲν προσποιητὸν εἶχε. Πάμπολλα γὰρ καὶ ὑπὸ παιδείας ὠφελήθη, ἐν ῥητορικῆς [n]καὶ φιλοσοφίας λόγοις ἀσκηθείς. Ἀφ' οὗ δὴ παμπληθεῖς φιλοσοφεῖν ἐπλάττοντο, ἵνα ὑπ' αὐτοῦ πλουτίζωνται. Πλεῖστον δὲ ὅμως ὑπὸ τῆς φύσεως ἐξήρθη. Λέγει καὶ ἄλλους [o]μυρίους ἐπαίνους εἰς αὐτὸν ὁ Δίων.

Μάρκος Ἀπίκιος, Ῥωμαῖος, [p]ὡς ἦν ἀσωτίας πέρας οὐδεὶς ἀντιφήσει· δοκεῖ δέ πως μεγαλονοίας ἔργον ἐκεῖνο [q]ἀποδείξασθαι· ἐν [r]αὐτοῦ εἱστιῶντο ὁσημέραι· (καὶ γὰρ ἔζη, [s]φασὶ, τῇ γαστρὶ, καὶ τοῖς ἐκείνης ἀκρατεστέροις·) καί ποτε μεταξὺ θοιναζόντων, Φάβιος, τῶν ὑπατευκότων εἷς, λαβὼν ἔκπωμα κρυστάλλου μέγα τίμιον, εἶτα ἄκων κατέαξεν αὐτό· καὶ ἐπὶ τούτῳ συννεφὴς ἦν, [t]ἄχει πληγεὶς τὴν ψυχήν. Ὁ τοίνυν Ἀπίκιος πειρώμενος αὐτὸν τῆς λύπης ἀπάγειν, Οὐ καταβαλεῖς, φησὶ, τὸ πραχθὲν, καὶ σεαυτὸν ἡμῖν παρέξεις φαιδρότερον συμπότην; ἢ σοὶ φίλῳ ὄντι [u]τοῦτο δρᾶσαι οὐκ ἐξέσται, ὅπερ οὖν δρῶσι καὶ τῶν οἰνοχόων καὶ τῶν ἀργυρωνήτων πολλοὶ πολλάκις;

Μάρκος Μάλλιος, εὐπατρίδης, Κελτῶν ἐπελθόντων [x]τῇ Ῥώμῃ, ταύτην [y]περιέσωσε, καὶ [z]τιμῶν μεγίστων ἠξιώθη. Ὕστερον δὲ πρεσβύτην πολλάκις ἐστρατευμένον, ἀγόμενον εἰς δουλείαν ὑπὸ τοῦ δανειστοῦ γνωρίσας, ἀπέδωκε τὸ χρέος ὑπὲρ αὐτοῦ, καὶ ἐπὶ [a]τῷδε εὐφημούμενος, πᾶσιν ἠφίει τοῖς ἑαυτοῦ χρήσταις τὰ ὀφλήματα. Προϊὼν δὲ τῇ δόξῃ, καὶ ὑπὲρ ἄλλων ἀπεδίδου, καὶ ταῖς δημοκοπίαις ἐπαιρόμενος, ἐβούλευσεν ἤδη χρεῶν ἀποκοπὰς κοινὰς, ἢ τὸν δῆμον ἠξίου τοῖς δανείσασιν ἀποδοῦναι τὴν γῆν, ἐς τοῦτο ἀπολόμενον ἔτι οὖσαν ἀνέμητον.

Μάρκος, Ἀρεθουσίων ἐπίσκοπος, λόγῳ καὶ βίῳ κεκοσμημένος· ὃν ἐπὶ Ἰουλιανοῦ πολλαῖς αἰκίαις ὑπέβαλον, καὶ εἰς ὑπονόμους ἐμβαλόντες, εἶτα παιδίοις παρέδοσαν κεντεῖν αὐτὸν ταῖς [b]γραφίσι. Μετὰ δὲ ταῦτα εἰς γύργαθον ἐμβαλόντες, καὶ γάρῳ καὶ μέλιτι χρίσαντες, ὑπαίθριον ἠώρησαν ἐν θέρους ἀκμῇ, σφῆκας ὁμοῦ καὶ [c]μελίσσας εἰς θοίνην προκαλούμενοι. Ὁ δὲ ἀνενδότως διεκαρτέρησε.

[Μάρκος, ὁ εὐαγγελιστὴς, ἔχει τίτλους μηʹ κεφάλαια λςʹ.]

Μαρμαρέην: Λαμπράν. Καὶ [d]Μαρμαρέαισιν αὐγαῖς: Ταῖς [e]λαμπραῖς. Μαρμαίρειν γὰρ, τὸ λάμπειν, καὶ καταυγάζειν.

Μαρμαρυγή: Ἄστραψις, λαμπηδών.

[d] καὶ] μὲν καὶ A.B.E.

[e] Οὗτος εἶχε μὲν καὶ τὰς ἄλλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Dionis de Marco Antonino philosopho, quæ Suidas hic male ad Antoninum Pium refert. KUST. Vid. Excerpta ed. Vales. p. 721. Dio LXXI. 34.

[f] δὲ ἁπάντων] δὴ πάντων A.V.E. δὴ ἁπάντων Exc.

[g] γενομένων τινὶ] τινι γενομένων A. γινομένων V.

[h] ἀπέδειξε] ἐπέδειξε B.V.E.M.

[i] ἀλλοτρίων] ἄλλων Exc.

[k] τῆς] τὰ τῆς A.B.V.E. Exc.

[l] τινὶ] τι B.E.

[m] ὅμοιος διὰ πάντων ἐγ.] Recte. Ipse enim Marcus lib. I. §. 8. de se ait, se ab Apollonio didicisse, τὸ ἀεὶ ὅμοιον ἐν ἀλγηδόσιν ὀξείαις, ἐν ἀποβολῇ τέκνου, ἐν μακραῖς νόσοις. Vide ibi Gatakerum. KUST.

[n] λόγοις καὶ φιλοσοφίας] καὶ φιλοσοφίας λόγοις A. Mox δὲ V.

[o] ἐπαίνους μυρίους] μυρίους ἐπαίνους A. Mox Δίων sine ὁ A.E.

ΜΑΡΚΟΣ Ἀπίκιος] Confer Nostrum supra v. Ἀπίκιος. KUST. Ælianum stylus prodit. HEMST.

[p] ὃς ἦν] ὡς ἦν ἀσωτείας πέρας οὐδεὶς ἀντιφήσει. VALCK. Adnot. Crit. Nov. Test. p. 332. secundum ms. Leid. ὡς ἦν A. Tum ἀσωτίας A.V. δ' post οὐδεὶς om. A.B.V.E.

[q] ἀποδ. ἐν αὐτῷ] Puto legendum, ἀποδείξασθαι ἐν αὐτοῦ εἱστιῶντο ὁσημέραι. Apud eum vel ejus in ædibus epulabantur quotidie. HEMST. ἑστιῶντος ὁσημέραι (καὶ γὰρ ἔζη, φασὶ, τῇ γαστρὶ) καί ποτε μεταξὺ θοινάζων. VALCK.

[r] αὐτῷ] αὐτοῦ A.

[s] φασὶ] φησὶ B.E. Mox ἐκείνοις V.E. Infra τῶν ante θοιναζόντων om. A.B.V.E.

[t] ἄχει] ἄχῃ A.

[u] δρᾶσαι τοῦτο] τοῦτο δρᾶσαι A. et ni fallor V. Tum οὖν A. post ὅπερ. Supra σὺ M.

ΜΑΡΚΟΣ Μάλλιος, εὐπατρίδης, Κελτῶν ἐπελθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Appiani apud Constantinum in Excerptis a Valesio editis, p. 549. unde ea Suidas descripsit. KUST.

[x] τῇ Ῥώμῃ] τὴν Ῥώμην A.V.E. pr.

[y] τε διέσωσε] περιέσωσε A.B.V. Exc.

[z] μεγίστων τιμῶν] τιμῶν μεγίστων A. Exc.

[a] τούτῳ] τῷδε A.V. Exc.

ΜΑΡΚΟΣ, Ἀρεθουσίων ἐπίσκοπος, λόγῳ καὶ β.] Eclogam hanc excerpsit Suidas ex Theodoreti Histor. Eccles. lib. III. c. 7. ut Pearsonius etiam observaverat. KUST.

[b] γραφίσι] Sic recte mss. Paris. itemque Theodoretus loco laudato. At priores editt. [et E.] ῥαφίσι: i. e. acubus. KUST.

[c] μελίσσας] μελίττας A.

ΜΑΡΚΟΣ, ὁ Εὐαγγελιστὴς, ἔχει τίτλ.] Confer Nostrum infra v. Τίτλος. KUST. Hæc A. in marg. om. V.

ΜΑΡΜΑΡΕΗΝ] Vid. Il. γʹ. 126. Schol. ad eum l. et Heyne.

[d] ΜΑΡΜΑΡΕΑΙΣΙΝ ΑΥΓΑΙΣ. Λαμπραῖς] Aristoph. Nub. 286. Ὄμμα γὰρ αἰθέρος Ἀκάματον σελαγεῖται ΜΑΡΜΑΡΕΑΙΣΙΝ ἘΝ ΑΥΓΑΙΣ. Ad hunc locum respexit Suidas. TOUP.

[e] λαμπραῖς] ταῖς λαμπραῖς A.B.V.

ΜΑΡΜΑΡΥΓΗ] Vid. Od. θʹ. 265. et Schol.

Μαρώνεια: Τόπος ἐστὶ τῆς Ἀττικῆς, οὗ [f]Δημοσθένης ἐν τῇ πρὸς Πανταίνετον παραγραφῇ μνημονεύει. Ἔστι [g]δὲ καὶ πόλις ἐν Θράκῃ, ἣν φασιν εἶναι τὴν ὑφ' Ὁμήρου Ἴσμαρον καλουμένην.

Μαρωνεῖτις φυλὴ [[h]καὶ γυνή. Καὶ Μαρώνειος [i]οἶνος.]

Μάρωνος: Ὄνομα κύριον.

Μάρπησσος: Ὄνομα κύριον.

Μάρσιππος: Σάκκος, θυλάκιον, σακέλλιον.

[k]Εἶδόν τινας ἐν πέτραις [l]μαρσιππείους ἱματίων κατατιθεμένους. Ξενοφῶν.

Μαρσύας, Περιάνδρου, Πελλαῖος, ἱστορικός. Οὗτος δὲ ἦν πρότερον γραμματοδιδάσκαλος, καὶ ἀδελφὸς Ἀντιγόνου τοῦ μετὰ ταῦτα βασιλεύσαντος· σύντροφος δὲ Ἀλεξάνδρου τοῦ βασιλέως. Ἔγραψε Μακεδονικὰ ἐν βιβλίοις δέκα· ἤρξατο δὲ ἀπὸ τοῦ πρώτου βασιλεύσαντος Μακεδόνων, καὶ μέχρι τῆς Ἀλεξάνδρου τοῦ Φιλίππου ἐπὶ τὴν Συρίαν ἐφόδου, μετὰ τὴν Ἀλεξανδρείας κτίσιν· Ἀττικὰ ἐν βιβλίοις ιβ'· καὶ [n]αὐτοῦ Ἀλεξάνδρου ἀγωγήν.

Μαρσύας, Κριτοφήμου, Φιλιππεὺς, ἱστορικὸς, ὁ νεώτερος.

Μαρσύας, Μάρσου, [o]Ταβηνὸς, ἱστορικός. Ἔγραψεν Ἀρχαιολογίαν ἐν βιβλίοις [p]ιβ', Μυθικὰ ἐν βιβλίοις ζ', καὶ ἕτερά τινα περὶ τῆς ἰδίας πατρίδος.

πλείονι δυνάμει χρῆσθαι τῇ Περσικῇ. [ˣΤοῖς δὲ ἄλλοις προσετίθεσαν καὶ τῶν ἀρχομένων τὰ ὀνόματα, οἷον, ʸΛακεδαιμονίων, Μακεδόνων. ᶻΚαὶ ἔστιν ἐν τῷ Βασιλεὺς μέγας. ᵃἩ εὐθεῖα, ὁ μέγας, γενικὴν οὐκ ἔχει, οὔτε δοτικήν. ᵇἩ αἰτιατικὴ, τὸν μέγαν. Ἡ κλητικὴ δὲ εὕρηται παρὰ τοῖς ποιηταῖς· ὥς φησιν Ἀγαθίας ἐν Ἐπιγράμμασι·

ᶜἎ μέγα τολμήεις κηρός.]

Μέγα σεμναί: Τουτέστι, θαυμασιώταται, καὶ ὑπεράγαν σεμναί.

Μέγα τὸ στόμα τοῦ ἐνιαυτοῦ: Οἷον, πολλὴ παρρησία πάντων, εὐφορίας ᵈγινομένης.

Μέγα ᵉτοι ἄγγελος ἐσθλός: Ἐπὶ τῶν ἀγαθὰ ἀπαγγελλόντων.

Μέγα φρονεῖ μᾶλλον ἢ Πηλεὺς ᶠἐπὶ τῇ μαχαίρᾳ: Φασὶ ταύτην ᵍὑπὸ τοῦ Ἡφαίστου γενομένην, ʰδῶρον Πηλεῖ σωφροσύνης ἕνεκα ⁱὑπὸ Ἡφαίστου δοθῆναι, ᾗ χρώμενος, πάντα ᵏκατώρθου καὶ ἐν ταῖς μάχαις καὶ ἐν ταῖς θήραις.

Μεγαίνετος: Ὄνομα κύριον. Αὐθάδης, καὶ τῶν στρατηγιώντων, καὶ ἄλλως θρασύς.

Μεγαίνετος ὁ Μάνης, καὶ Φορμίσιος, δούλων ὀνόματα.

ˡΓνώσῃ δὲ τοὺς τούτου κἀμοῦ μαθητάς. Τούτου μὲν Φορμίσιος, Μεγαίνετός θ' ὁ Μάνης.

Μεγαίρων: Φθονῶν.

Μέγεθος: Ὅτι διττὸν τὸ μέγεθος. ᵐΚοινὴ αἴσθησις. ⁿΔύναται δὲ κατ' ἀναλογίαν καὶ ἐπὶ ὀσφρήσεως λαμβάνεσθαι, καὶ ᵒγεύσεως. Εἰσὶ γὰρ καὶ αὗται τοῦ οἰκείου μεγέθους ἀντιληπτικαί· ἡ μὲν, τοῦ ἐν ὀσμαῖς· ἡ δὲ, τοῦ ἐν ᵖχυμοῖς· εἰ καὶ μὴ οἶδεν ἡ συνήθεια τὸ τοῦ μεγέθους ὄνομα.

Μέγηρον: Τὸ ἐπέραστον.

Μέγης: Ὁ μέγας.

[Μεγιστᾶνες: Οἱ τοῦ βασιλέως περίβλεπτοι ᵠὑπεξούσιοι.]

Μέγιστος: Ποταμὸς ἐν Αἰγαίῳ πελάγει εἰσβάλλων.

Μέδεσθαι: Φροντίζειν. Καὶ Μεδήσομεν: Φροντίσομεν.

Μέδιμνον: Μέτρον χοινίκων μη̄. Καὶ παροιμία·

ʳΜεδίμνῳ ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργύριον.

Ἐπὶ τῶν ˢμεγάλην καὶ ἀθρόαν προσδοκώντων ὠφέλειαν.

Μέδιμνον: Μέτρον ἐστὶ ξηρῶν, οἷον πυρῶν, ἢ κριθῶν. [ᵗΜέδιμνον οὖν μοδίων ς'· ὡς εἶναι μέτρον ξεστῶν οβ'. ἤτοι ᵘλιτρῶν ρη'.]

Μεδιόλανον: Πολυάνθρωπος ˣπόλις, ʸἣν καταλαβὼν Ἀττήλας ἠνδραποδίσατο. Ὡς δὲ εἶδεν ἐν γραφῇ τοὺς μὲν Ῥωμαίων βασιλεῖς ἐπὶ χρυσῶν θρόνων καθημένους, ᶻΣκύθας δὲ ἀνῃρημένους, καὶ πρὸ τῶν

γενέσθαι. Et lib. V. in oratione Aristagoræ, p. 192. Παρὰ ποταμὸν τόνδε Χοάσπην κείμενά ἐστι τὰ Σοῦσα, ἔνθα βασιλεύς τε μέγας δίαιταν ποιέεται. Pariter apud Æschylum Persis 24. Rex Persarum vocatur Βασιλεὺς μέγας: ad quem locum vide Stanleium. KUST.

ˣ Τοῖς δὲ ἄλλοις] Seqq. om. A. τοὺς δὲ ἄλλους B.

ʸ Λακεδαιμονίων] Λακεδαιμόνων V.B.

ᶻ Καὶ ἔστιν—ΜΕΓΑΣ om. V.

ᵃ Ἡ εὐθεῖα etc. A. in marg.

ᵇ Ἡ αἰτ.] ἡ δὲ α. A. Tum ἡ ante κλητικὴ B.V.E.

ᶜ Ἆ μέγα] Anthol. Pal. I. 34. Hoc exemplum dedi cum A.V. ὦ μέγα V.

ΜΕΓΑ ΣΕΜΝΕ] At hic τὸ μέγα non est vocativus, sed potius neutrum, adverbialiter sumptum. KUST. Novæ glossæ initium feci cum A.V. quibuscum etiam dedi σεμναί, (σεμνοίως V.) θαυμασιώταται—σεμναί, pro σεμνὲ etc. Respicitur forte Aristoph. Nub. 290.

ᵈ γινομένης] γενομένης A.

ΜΕΓΑ ΤΙ ἈΓΓΕΛΟΣ ἘΣΘΛΟΣ] Videtur sumptum ex illo Homerico: (Il. ο'. 207.) Ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ. KUST. Ad eum locum Schol. Καὶ Εὐριπίδης (Fr. inc. 224.) ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος. Ἀγγέλου δ' ἐσθλὸν ἔφα τιμὰν μεγίσταν πράγματι παντὶ φέρειν. Πίνδαρος, Pyth. IV. 494.

ᵉ ΤΙ] τοι A.B.V. Tum ἐπαγγελλόντων A.B.V.E. pro ἀπαγγ. et sic Prov. Vat. Append. II. 75.

ᶠ ἘΠΙ ΤΗΙ] ἐν τῇ V.

ᵍ ἀπὸ] ὑπὸ A.B.E. Zenob. V. 20.

ʰ δῶρον Πηλεῖ σωφροσύνης] Fabulam hanc fusius narrat Schol. Aristoph. Nub. 1059. quem omnino conf. KUST.

ⁱ ὑπὸ Ἡφαίστου] παρὰ τῶν θεῶν Zenob.

ᵏ ἐκατόρθου] κατώρθου A.B.V. Zenob.

ΜΕΓΑΙΝΕΤΟΣ: Ὄνομα] Ex Schol. Aristoph. Ran. 996. Deest gl. A.

ˡ Γνώσῃ δὲ τοὺς τούτου] Locus hic apud Aristophanem Ran. 995. sic legitur et distinguitur: Γνώσει δὲ τοὺς τούτου γε κἀμοῦ γ' ἑκατέρου μαθητάς. Τούτου μὲν οὖν Φορμίσιος, Μεγαίνετός θ' ὁ Μάνης. KUST. Deest ex. E.

ᵐ Κοινὴ αἴσθησις] Scribe, κοινὸν αἰσθητόν. Vide Nostrum supra v. Αἰσθήσεις πέντε; qui locus hunc egregie illustrat. KUST.

ⁿ Δύναται δὲ κατ' ἀναλογίαν καὶ ἐπὶ ὀσφρ.] Hæc, et quæ sequuntur, sunt verba Philoponi in lib. II. Aristot. de Anima, K. I. b. KUST.

ᵒ ἐπὶ γεύσεως] ἐπὶ om. A.V.E. Philop. Mox καὶ αὗται A. Philop.

ᵖ χυμοῖς] μυχοῖς A.V.

ΜΕΓΗΡΟΝ] Μεγήρατον Albert. ad Hesych. v. Μεγήρατα, probante Ruhnkenio Ep. Crit. I. p. 97. Μεγήρατον dudum Portus.

ΜΕΓΙΣΤΑΝΕΣ] Usus fuerat ea voce Menander, regi Demetrio familiaris: (a Macedonibus videtur sumta et Persico modo formata:) et Antiochus sophista. REINES. Qui Phrynichum ob oculos habuit Ecl. p. 196. Vid. notata ad Hesych. Sturz. de Dialect. Maced. p. 180. seqq. Ceterum h. gl. om. A. Οἱ τοῦ—ὑπεξούσιοι om. B.V.

ᵠ ὑπεξούσιοι] ἐπεξούσιοι scriptum in Reinesii Var. Lectt. III. p. 630. Brisson. de Regn. Pers. I. §. 209. HEMST.

ΜΕΔΕΣΘΑΙ] Vid. Il. σ'. 245.

ΜΕΔΙΜΝΟΝ] Sic habent mss. Paris. itemque Hesychius, et Photius in Lexico inedito. At in prioribus editt. legitur μέδιμνος, genere masculino: quod, licet itidem apud Græcos scriptores in usu sit, malui tamen sequi auctoritatem manuscriptorum Parisiensium. KUST.

ʳ Μεδίμνῳ ἀπομετρῶ παρὰ τοῦ πατρὸς ἀργ.] Proverbium hoc Suidas sumpsit ex Xenophonte, qui Hellenic. lib. III. p. 491. inter alia et hæc habet: Δῃουμένης δὲ τῆς χώρας, καὶ οὔσης τῆς στρατιᾶς περὶ Κολλήνας, βουλόμενοι οἱ περὶ Ξενίαν, τὸ λεγόμενον, μεδίμνῳ ἀπομετρήσασθαι παρὰ τοῦ πατρὸς ἀργύριον, &c. KUST. μεδίμνων A.

ˢ μεγάλην] μεγάλου B.E.

ΜΕΔΙΜΝΟΝ: Μέτρον ἐστὶ ξηρ.] Ex Harpocratione. Confer etiam Nostrum supra v. Ἡμιεκτέον, et Etymologum v. Ἡμιμέδιμνον. KUST.

ᵗ ΜΕΔΙΜΝΟΝ οὖν—ρη' om. A.

ᵘ λιτρῶν] λι͞τ V.

ˣ Ἰταλίας πόλις] Ἰταλίας om. A.B.V.

ʸ ἣν καταλαβὼν Ἀττήλας, ἠνδρ.] Eadem leguntur etiam supra, v. Κόρυκος. KUST.

ᶻ τοὺς δὲ Σκύθας] Σκύθας δὲ A.B.V.

[a]ποδῶν αὐτῶν κειμένους, ζητήσας ζωγράφον, ἐκέλευσεν αὐτὸν μὲν γράφειν ἐπὶ [b]θάκου, τοὺς δὲ Ῥωμαίων βασιλεῖς κηρύκους φέρειν ἐπὶ τῶν ὤμων, καὶ χρυσὸν πρὸ τῶν [c]αὐτοῦ χέειν ποδῶν.

Μέδουσα: Ἡ καὶ Γοργόνη κληθεῖσα. [d]Περσεὺς, ὁ Δανάης καὶ Πήκου υἱὸς, διδαχθεὶς πάσας τὰς μυστικὰς φαντασίας, ἰδίαν βουλόμενος ἑαυτῷ καταστῆσαι βασιλείαν, κατεφρόνησε τῆς τῶν Μήδων· καὶ διὰ πολλῆς ἐρχόμενος γῆς, εἶδε παρθένον κόρην αὐχμηράν τε καὶ δυσειδῆ, καὶ ἀποβλέψας εἰς αὐτὴν, ἐρωτᾷ, τίς καλεῖται· ἡ δὲ εἶπε, Μέδουσα, καὶ ἀποτεμὼν αὐτῆς τὴν κεφαλὴν, [e]ἐτέλεσεν αὐτὴν ὡς ἐδιδάχθη, καὶ ἐβάσταζε, καταπλήττων πάντας, καὶ ἀναιρῶν τοὺς ὁρῶντας· ἥν τινα κεφαλὴν ἐκάλεσε Γοργόνην, διὰ τὴν ὀξύτητα τῆς ἐνεργείας. Ἐκεῖθεν δὲ ἐλθὼν εἰς χώραν βασιλευομένην ὑπὸ Κηφέως, εὗρεν ἐν τῷ ἱερῷ παρθένον κόρην, τὴν λεγομένην Ἀνδρομέδαν, ἣν ἔγημε· καὶ κτίζει [f]κώμην εἰς πόλιν, λεγομένην Ἄμανδραν, στήσας καὶ στήλην βαστάζουσαν τὴν Γοργόνην. Αὕτη μετεκλήθη Ἰκόνιον, διὰ τὸ ἀπεικόνισμα τῆς Γοργόνης. Ἐπολέμησε δὲ καὶ Ἰσαύρεις, καὶ Κίλιξι, καὶ κτίζει πόλιν, ἣν ἐκάλεσε Ταρσὸν, τοπρὶν λεγομένην Ἀνδρασόν. [g]Χρηματισθεὶς δὲ, ὅτι μετὰ τὴν νίκην ἐν ᾧ τόπῳ ἀποβὰς ἀπὸ τοῦ ἵππου τὸν ταρσὸν τοῦ ποδὸς ἀπόθηται, ἐκεῖ ὑπὲρ τῶν [h]νικητηρίων κτίσαι πόλιν, ταύτην [i]οὖν ἐκάλεσε Ταρσόν. Νικήσας δὲ καὶ τοὺς Μήδους, ἤμειψε τὸ ὄνομα τῆς χώρας, καὶ ἐκάλεσεν αὐτὴν Περσίδα. Ἐδίδαξε δὲ καὶ τὴν μυσαρὰν τελετὴν τὴν ἐπὶ τῇ Γοργόνῃ τινὰς τῶν Περσῶν, οὓς ἐκάλεσε Μάγους. Καθ' οὓς χρόνους καὶ σφαῖρα πυρὸς κατηνέχθη ἐκ τοῦ οὐρανοῦ, ἐξ ἧς [k]ἔλαβε πῦρ ὁ Περσεὺς, καὶ παρέδωκε τοῖς τοῦ ἔθνους φυλάττειν, καὶ τιμᾶν, ὡς ἐκ τοῦ οὐρανοῦ κατενεχθέν. Συμβαλὼν δὲ πόλεμον τῷ Κηφεῖ, Ατοῦ δὲ διὰ τὸ γῆρας μὴ βλέποντος, καὶ τῆς κεφαλῆς μὴ ἐνεργηούσης, δοκῶν αὐτὴν ἀνωφελῆ εἶναι, ἐπιστρέψας πρὸς ἑαυτὸν ὁ Περσεὺς, καὶ ταύτην θεασάμενος, ἀποθνήσκει. Ταύτην ὕστερον ἔκαυσεν ὁ υἱὸς αὐτοῦ Μέρρος.

Μέδων: Βασιλεύς.

Μεδοίατο: Φροντίζοιεν.

Μέζεα: Τὰ αἰδοῖα.

Μεθαρμοζόμενος: [l]Μετερχόμενος.

Μεθάρμοσον: Ἐπανόρθωσον.

> [m]Ὀξεῖαν ἀκοὴν τοῖς ἐμοῖς [n]λόγοις διδοὺς,
> εἰ μή τι καιροῦ τυγχάνω, μεθάρμοσον.

Μεθέμεν: [o]Συγχωρῆσαι.

[Μεθέξειν: Γενικῇ.]

Μέθεξις: Μετοχὴ, κοινωνία.

Μεθέσθαι: Καταλιπεῖν. [p]Σοφοκλῆς·

> Καὶ δὸς ἀνδράσιν φίλοις
> [q]γνώμης κρατῆσαι, τάσδε φροντίδας μεθείς.

Μεθείθη: Ἀντὶ τοῦ ἐστάλη.

Ὁ δὲ μεθείθη εἰς Παρθυαίους.

Μεθεῖναι: Ἀφεῖναι, ἀμελῆσαι.

Μεθείω: Ἀφῶ, ἐάσω. [r]Καὶ μεθείθη ἐξ αὐτοῦ.

Μεθείς: Ἐῶν, [s]ἀφείς.

Μέθη: Τὸ παλαιὸν οὐκ ἦν ἔθος οὔτ' [t]οἶνον ἐπὶ πλεῖον οὔτ' ἄλλην ἡδυπάθειαν προσφέρεσθαι, μὴ θεῶν ἕνεκα τοῦτο δρῶντας. Διὸ καὶ θοίνας, καὶ θαλίας, καὶ μέθας ὠνόμαζον· τὰς μὲν, ὅτι διὰ θεοὺς οἰνοῦσθαι ἐνόμιζον· τὰς δὲ, ὅτι θεῶν χάριν ἠλίζοντο καὶ [u]συνήεσαν. Τοῦτο γάρ ἐστι τὸ δαῖτα θάλειαν. [x]Τὸ δὲ μεθύειν, τὸ [y]μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι. καὶ Ὅμηρος, [z]ὅτε λέγει τέλος χαριέστατον, [a]τὴν θυσίαν φησί.

Μεθ' ἡμέραν: Ἀντὶ τοῦ, ἐν ἡμέρᾳ. Ἀττικῶς. [b]Ἀριστοφάνης Πλούτῳ·

---

[a] ποδῶν αὐτῶν] σφῶν ποδῶν A.

[b] θάκου] θάκου A.B.V.

[c] αὐτοῦ] τῶν αὐτοῦ A.B.E.

[d] Περσεὺς, ὁ Δανάης καὶ Π.] Confer Cedrenum p. 22, 23. qui eandem de Perseo et Medusa fabulam paulo prolixius refert. KUST.

[e] ἐτέλεσεν] Portus ignorabat, verbum istud de consecratione magica hic accipiendum esse: quæ ratio est, quare versionem ejus hic interpolandam esse censuerimus. Vide nos supra ad v. Μάλεκ, ubi de dicta significatione verbi τελεῖν pluribus agimus. KUST. ἐτέλεσεν αὐτὴν om. V.

[f] κώμην εἰς πόλιν] πόλιν εἰς κώμην A.B.V. Infra τοπρὶν om. V.

[g] Χρηματισθεὶς δὲ, ὅτι μετὰ τὴν νίκην, ἐν ᾧ τόπῳ ἀποβ.] Et constructio, et sensus hujus loci est ἀνακόλουθος: ut Portus etiam monuit. Quare sic legendum putem: Χρηματισθεὶς δὲ, μετὰ τὴν νίκην ἐν ᾧ τόπῳ ἀποβὰς ἀπὸ τοῦ ἵππου, τὸν ταρσὸν τοῦ ποδὸς ἀπέθετο ἐκεῖ ὑπὲρ νικητηρίων, &c. KUST.

[h] νικητηρίων] τῶν νικ. A.B.E. Tum κτίσαι A.B.V. pro κτίσας.

[i] ὀνόμασε] οὖν ἐκάλεσε A.V. οὖν ὀν. B. ἐκάλεσε suprasc. E.

[k] ἔλαβε] ἐλάτρευε V.

ΜΕΔΟΙΑΤΟ] Il. ι'. 618. Mox φροντίζει A.V.E.M. φροντίζω B.

ΜΕΖΕΑ] Plura de hac voce vide apud Etymologum. KUST. Hesiod. Ἔργ. 510. ubi vid. notata.

[l] Ἐπιδιορθούμενος] μετερχόμενος A.B.V.E. Photius, Lex. Seg. Hesych. ubi vid. Heins.

[m] Ὀξεῖαν ἀκοὴν τοῖς ἐμ.] Sophocl. Electr. 31.

[n] λόγοις] λόγοισι A.

[o] Συγχωρῆσαι] Sic rectius mss. Paris. quam priores editt. [et E.] quæ habent συγχωρήσειν. KUST. Vid. Il. α'. 283. et Schol.

ΜΕΘΕΞΕΙΝ om. A.V.

[p] Σοφοκλῆς] Aj. 484.

[q] γνώμης] γνώμησι φατῆσαι A.V. γνώμησι B.E.M. Mox τὰς δὲ A.B.V.M. Tum μεθέσθαι A.B.V.

[r] καὶ μεθείθη ἐξ αὐτοῦ] Hæc habent A.B.V.E. necnon edd. ante Kuster.

[s] ἀφείς] ἀφίων A.B.V. Photius. ἀφιῶν Lex. Seg. Hæc gl. in A. legitur statim post Μέζεα.

ΜΕΘΗ: Τὸ παλαιὸν οὐκ ἦν ἔθος, οὔτ' οἶν.] Hæc, et quæ sequuntur, sunt verba Athenæi lib. II. p. 40. ut a Porto quoque observatum fuit. KUST.

[t] οἶνον] ὄνον V.

[u] Συνήεσαν] Sic rectius Athenæus, quam priores editt. [et A.B.V.E.] quæ habent συνίεσαν. KUST.

[x] Τὸ δὲ ΜΕΘΥΕΙΝ, μετὰ τὸ θ.] Plura habet Athenæus, apud quem locus hic ita legitur: Τὸ δὲ μεθύειν φησὶν Ἀριστοτέλης τὸ μετὰ τὸ θύειν αὐτῷ χρῆσθαι. Θεοῖσι μακρὰ θύοντας τέλη Τοὺς βουθυτοῦντας ὄντας εὐσεβεστέρους Εὐριπίδης φησί. Καὶ σημαίνει ὧδε τὸ τέλος τὴν θυσίαν. Καὶ Ὅμηρος· Οὐ γὰρ ἔγωγέ τι φημὶ τέλος χαριέστερον εἶναι, Ἢ ὅταν εὐφροσύνη μὲν ἔχῃ κατὰ δῆμον ἅπαντα. KUST.

[y] μετὰ] τὸ μετὰ A.B.V.

[z] ὅτε] ὅτι B.E.

[a] τὴν θυσίαν φησί] Hanc interpretationem merito explodit Casaubonus ad Athen. lib. II. c. 3. quem adi. KUST.

ΜΕΘ' ἩΜΕΡΑΝ] Vid. Bergler. et Wagner. ad Alciphr. II. 4. p. 350.

[b] Ἀριστοφάνης Πλούτῳ] Ver. 931.

Οἴμοι τάλας, ἀποδύομαι μεθ' ἡμέραν.

Οὕτως [c] Ἀττικῶς φασιν· οὐκ, ἐν ἡμέρᾳ.

Μεθημοσύνη: Ἀμέλεια, ῥᾳθυμία.

Μεθήμων: Ἀμελής.

Μεθήσειν: [d] Ἀμελήσειν.

Μεθιεμένους: Ἐῶντας, προδιδόντας.

Μεθίετο: Προΐετο, ἠφίετο. Καὶ μεθιέμενα, ἀντὶ τοῦ, βαλλόμενα, πεμπόμενα.

B Μεθίει: Ἀμελεῖ, ἀφίει. Καὶ μεθικὶς, ἀντὶ τοῦ, καταλιμπάνων.

Οὐδὲ τὸν πόλεμον μεθιεὶς, τῷ [f] μιαιφόνος τις καὶ παλαμναῖος εἶναι.

Μεθοδεύει: Τεχνάζεται, μετέρχεται, ἀπατᾷ.

Μεθοδείας: Τέχνας, ἢ δόλους.

Μεθόδιον: Μέθοδος, τέχνη.

C Ὁ δὲ τὸ κατ' ἀλήθειαν [g] ὑπάρχων αὐτῷ μεθόδιον οὕτω πως ἐγκεχείρικεν.

Μεθοδικῶς: Τουτέστι, κατὰ μέθοδον. [h] Πολύβιος·

Ὁ δὲ τρόπος [i] τῶν κλιμάκων τῶν ἐν τοῖς τείχεσι προσαγομένων εὐχερὴς καὶ ἀδιάπτωτος, ἐὰν λαμβάνηται μεθοδικῶς.

[k] Κατὰ μέθοδον. Καὶ αὖθις·

[l] Πάντα δὲ τὰ λεγόμενα μεθοδικῶς [m] περὶ τῶν τάξεων [n] ἐποπτευκῶς, εἰ καί τις ἕτερος τῶν καθ' ἡμᾶς.

D Μεθόδιος, Ὀλύμπου Λυκίας, [o] ἤτοι Πατάρων, καὶ μετὰ ταῦτα Τύρου ἐπίσκοπος. [p] Οὗτος λαμπροῦ καὶ συγκειμένου λόγου [q] κατὰ Πορφυρίου συνέταξε τεύχη· καὶ [r] Συμπόσιον δέκα παρθένων, καὶ [s] περὶ Ἀναστάσεως λόγον ἄριστον, κατὰ Ὠριγένους· καὶ [t] ἕτερον κατὰ τοῦ αὐτοῦ, περὶ Πυθωνίσσης, καὶ [u] περὶ αὐτεξουσίου. Ἔγραψε δὲ [x] καὶ [y] εἰς τὴν Γένεσιν, καὶ εἰς τὸ Ἆισμα τῶν ᾀσμάτων [z] ὑπομνήματα· καὶ ἕτερα πολλὰ χύδην ἀναγινωσκόμενα. Ὃς περὶ τὰ τελευταῖα τοῦ διωγμοῦ ἐπὶ Δεκίου καὶ Βαλεριανοῦ ἐν Χαλκίδι τῆς ἀνατολῆς μαρτυρίῳ ἐστέφθη.

Μεθόριον: Μεταξὺ τῶν ὅρων.

Μεθορμιζόμενος: Μετερχόμενος.

Μεθωναῖος: Ὁ ἀπὸ [a] τῆς Μεθώνης πόλεως.

Μεθώνη: Ἡ [b] πόλις. [c] Δημοσθένης ἐν Φιλιππικοῖς [d] λόγοις· ἂν τὴν ἐν Θρᾴκῃ ἣν πολιορκῶν Φίλιππος, ἐξεκόπη τὸν δεξιὸν ὀφθαλμόν. Τέσσαρας δὲ εἶναι [e] φησὶ Μεθώνας Δημήτριος ὁ Μάγνης.

Μέθυ: Οἶνος.

> [f] Εὔδεις δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ,
> ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται.

Καὶ [g] Ὅμηρος·

> Δῶκεν Ἰησονίδης ἀγέμεν μέθυ χίλια μέτρα.

Μεθυμναῖος: [h] Ἀπὸ τόπου.

Μεθύουσαν: Διύγρον οὖσαν, [i] πεπληρωμένην. [k] Ἐν Ἐπιγράμμασι·

> Καὶ κύτην ἅλμης τὴν μεθύουσαν ἔτι.

[Καὶ μεθύω, αἰτιατικῇ.]

Μεθύση κύων: Θηλυκόν.

> [l] Αἴσωπον ἀπὸ δείπνου βαδίζονθ' ἑσπέρας,
> θρασεῖα καὶ μεθύση τις ὑλάκτει κύων.
> Κἄπειτ' ἐκεῖνος εἶπεν, ὦ κύον, κύον,

[c] Ἀττικοί] Ἀττικῶς A.V.E.

ΜΕΘΗΜΟΣΥΝΗ] Il. ν'. 121.

ΜΕΘΗΜΩΝ] Il. β'. 241.

[d] Ἀμελήσειν] Statim delevi ἀφήσειν cum A.B.V. Photio, et Lex. Seg. Hesychius: Μεθήσει: ἀμελήσει, ἐάσει.

ΜΕΘΙΕΤΟ] Schol. Platon. p. 238. Μεθιέτω: παριέτω, (πρoϊέτω ms. Paris.) ἢ ἀφιέτω.

ΜΕΘΙΕΙ] Il. κ'. 121.

[e] καταλιμπάνων] καταλαμβάνων A.V.B. pr.

[f] παλαμναῖος — μιαιφόνος] μιαιφόνος — παλαμναῖος A.V. Hunc locum Æliano tribuit Valckenærius.

ΜΕΘΟΔΙΟΝ] καὶ Μεθ. B.V.E. Mox ὑπάρχον B.

[g] ὑπάρχων αὐτῷ μεθόδιον] Imo potius, ὑπάρχοντος αὐτῷ μεθοδίου: nisi quis dicat, nominativum hic positum esse pro genitivo absoluto, ut vocant: cujus constructionis exempla apud scriptores Atticos interdum occurrunt. KUST.

[h] Πολύβιος] Lib. V. c. 98. ubi sic legitur: Ὁ δὲ τρόπος τῆς ἐκμετρήσεως καὶ κατασκευῆς τῶν τοιούτων (i. e. κλιμάκων) εὐχερὴς καὶ ἀδιάπτωτος, &c. Hinc apparet, quomodo Suidas locum hunc interpolaverit. KUST.

[i] τῶν] τοῖς A.

[k] Κατὰ μέθοδον om. V.

[l] Πάντα δὲ] Polyb. Fr. gr. 92. ubi vid. Schweighæuser.

[m] περὶ τῶν πράξεων] Ms. A. habet, περὶ τῶν τάξεων: quod magis placet. KUST.

[n] ἐποπτευκὼς] ἐποπτευκὼς B.V.E.

ΜΕΘΟΔΙΟΣ, Ὀλύμπου Λυκ.] Totum hunc locum ex Sophronio (qui Hieronymum de Scriptor. Eccles. Græce vertit) Suidas desumpsit: ut Pearsonius etiam monuit. Ceterum de Methodiis, eorumque scriptis, Diatribam edidit Leo Allatius; quæ consulenda est. KUST. Adde Caveum Script. Eccl. Hist. T. I. p. 150 seqq.

[o] ἤτοι Πατάρων] Deest apud Hieronymum, ejusque interpretem Sophronium. KUST.

[p] Οὗτος om. A.

[q] κατὰ Πορφυρίου συνέταξε τ.] Hi libri perierunt. KUST. Πορφύριον M.

[r] Συμπόσιον δέκα παρθένων] Exstat, editum primo a Leone Allatio, et deinde ab aliis. KUST.

[s] περὶ ἀναστάσεως λόγον] Hic liber hodie quidem intercidit, sed Excerpta quædam ex eo supersunt apud Photium, Cod. CCXXXIV. KUST.

[t] ἕτερον κατὰ τοῦ αὐτοῦ, περὶ Πυθων.] Non exstat. KUST. ἕτερος A. Mox Πυθωνίσσης A.B.E.M.

[u] περὶ αὐτεξουσίου] Magnam ejus operis partem edidit Combefisius cum reliquis Methodii operibus. Integrum autem se habuisse testatur Leo Allatius in Diatriba de Methodiis. KUST.

F [x] καὶ] δὲ καὶ A. Mox τὰ ᾄσματα A.

[y] εἰς τὴν Γένεσιν, καὶ εἰς τὸ Ἆισμα τῶν ᾀσμ.] Uterque commentarius injuria temporis intercidit. KUST.

[z] ὑπομνήματα—ἐπὶ Δεκίου] ὑπομνήματα ἕτερα πολλά. Ὃς ἐπὶ Δεκίου V. omissis mediis.

[a] τῆς Μεθώνης] τῆς om. A.B.

[b] πόλις] ἡ πόλις A.B.V. Statim delevi καὶ μία τῶν Ἀλκυονίδων, cum A. Vid. supra p. 205 A.

[c] Δημοσθένης ἐν Φιλιππικοῖς λόγοις.] Ex Harpocratione. KUST.

G [d] λόγοις] λέγει B.V.E.M. Tum αὐτὴν E.M.

[e] Μεθώνας φησὶ] φησὶ Μεθώνας A. Photius.

[f] Εὔδεις δ' ἀπὸ γῆς ἡδ.] Anthol. Pal. VII. 23.

[g] Ὅμηρος] Iliad. η'. 471.

[h] Ὁ ἀπὸ τῆς Μεθύμνης] ἀπὸ τόπου A.B.V.

[i] πεπληρωμένην addidi ex A. ubi mox om. καὶ μεθύω αἰτιατικῇ.

[k] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 38. Mox ἅλμην M.

ΜΕΘΥΣΗ ΚΥΩΝ: Θηλυκόν] Thomas Magister: Μεθύση γυνὴ, Ἀττικόν· ὡς Ἀριστοφάνης ἐν Νεφέλαις· Γραῦν μεθύσην τοῦ κόρδακος εἵνεκα. Μέθυσος δὲ, ἐπὶ μὲν ἀρσενικοῦ, οὐδεὶς τῶν δοκίμων εἶπεν· ἐπὶ δὲ θηλυκοῦ Λιβάνιος ἐν τῇ περὶ τῆς λάλου μελέτῃ· Οὐκ ἔστιν ἡ γυνή μοι μέθυσος. Σὺ τοίνυν Ἀττικοῖς ἑπόμενος, ἐπὶ μὲν ἀρσενικοῦ μεθύων λέγε, καὶ μεθυστικός· ἐπὶ δὲ θηλυκοῦ, μεθύουσα, καὶ μεθύση. KUST. Μέθυ. Μεθύση A. qui sequentem locum ex Aristoph. in marg. exhibet.

[l] Αἴσωπον ἀπὸ δείπνου βαδ.] Aristoph. Vesp. 1392.

κλέα, [z]ἐν [a]ἀναφόρῳ ἐδέθησαν. Εἶτα ὁρῶν αὐτοὺς γελῶντας καὶ κατακύπτοντας, ἐπυνθάνετο τὴν αἰτίαν. Οἱ δὲ ἔλεγον, ὅτι λόγιον ἦν τὸ τῆς μητρὸς, ἐμπεσεῖσθαι ἡμᾶς εἰς δασύπρωκτον· καὶ γελάσαντα τὸν Ἡρακλέα, ἀφεῖναι αὐτοὺς τῶν δεσμῶν.

[b]Ὅτι τοὺς λευκοπύγους ὡς γυναικώδεις ἐκωμῴδουν.

Μέλαν: Τὸ ἀντιδιαιρούμενον τῷ λευκῷ χρώματι· καὶ ἰδίως, ᾧ γράφομεν. Μέλαν [c]δέ ἐστι χρῶμα συγκριτικὸν ὄψεως. Καὶ [d]Μελαναιγίδα Διόνυσον ἱδρύσαντο ἐκ [dd]τοιαύτης αἰτίας. Αἱ τοῦ Ἐλευθῆρος θυγατέρες, θεασάμεναι [e]φάσμα τοῦ Διονύσου ἔχον μέλαιναν αἰγίδα, ἐμέμψαντο· ὁ δὲ ὀργισθεὶς, ἐξέμηνεν αὐτάς. Μετὰ ταῦτα ὁ Ἐλευθὴρ ἔλαβε χρησμὸν, ἐπὶ παύσει τῆς μανίας τιμῆσαι Μελαναιγίδα Διόνυσον.

Μελανείμονος: Τοῦ μέλανα ἱμάτια φοροῦντος.

Μελανίωνος [f]σωφρονέστερος: [g]Ἀριστοφάνης Λυσιστράτῃ·

Οὗτος φεύγων γάμον
ἀφίκετ' ἐς ἐρημίαν,
[h]κἀν τοῖς ὄρεσιν ᾤκει,
καὶ κύνα τιν' εἶχε,
κᾆτ' [i]ἐλαγοθήρει,
κοὐκ ἔτ' ἦλθεν οἴκαδ' ὑπὸ μίσους.
[k]Οὕτως
τὰς γυναῖκας ἐβδελύχθη
[l]ἐκεῖνος· ἡμεῖς δ' οὐδὲν ἧττον
τοῦ Μελανίωνος σωφρονέστεροι.

Μελανίππειον: [m]Μελανίππου τοῦ Θησέως ἡρῷον ἐστι.

Μελανιππίδης, Κρίτωνος, γεγονὼς [n]κατὰ τὴν ξε' Ὀλυμπιάδα, Μήλιος. Ἔγραψε δὲ διθυράμβων βιβλία πλεῖστα, καὶ ποιήματα ἐπικὰ, καὶ ἐπιγράμματα, καὶ [o]ἐλέγους, καὶ ἄλλα πλεῖστα.

Μελανιππίδης, θυγατριδοῦς τοῦ πρεσβύτου, παῖς Κρίτωνος, λυρικοῦ καὶ αὐτοῦ· ὃς ἐν τῇ τῶν διθυράμβων μελοποιΐᾳ ἐκαινοτόμησε πλεῖστα, καὶ διατρίψας παρὰ [p]Περδίκκᾳ τῷ βασιλεῖ, ἐκεῖ τὸν βίον κατέστρεψεν. Ἔγραψε καὶ αὐτὸς ᾄσματα λυρικὰ, καὶ διθυράμβους.

Μελάνθιος, καὶ Μόρσιμος: [q]Λέγει Ἀριστοφάνης περὶ [r]αὐτῶν οὕτως·

Ἄμφω
Γοργόνες ὀψοφάγοι, βατιδοσκόποι, ἅρπυιαι,
γραοσόβαι, μιαροὶ, τραγομάσχαλοι, ἰχθυολῦμαι·
ὧν καταχρεμψαμένη μέγα καὶ πλατὺ,
μοῦσα [s]θεὰ, μετ' ἐμοῦ ξύμπαιζε τὴν ἑορτήν.

Γοργόνες: Φοβεροὶ ἐς γαστριμαργίαν. Βατὶς δὲ, εἶδος ἰχθύος· Ἅρπυιαι δὲ, ἅρπαγες τῶν ἰχθύων. Ἅρπυιαι γὰρ [t]ἁρπακτικαὶ δαίμονες. Γραοσόβαι, ἀπὸ τῶν ἰχθύων ἀποσοβοῦντες τὰς γραΐδας, ὡς μὴ ἀγοράζειν· ἢ γραῖσι συγκοιμώμενοι. Σοβάδες γὰρ, αἱ πόρναι. Καταχρεμψαμένη δὲ, καταπτύσασα.

[Μέλανθος, Ἀθηναῖος· ὃς ἐμονομάχησε μετὰ Ξανθίου Βοιωτοῦ, καὶ ἀπέκτεινεν αὐτόν. Καὶ ἔστιν ἐν τῷ Ἀπατούρια.]

Μελανοστυρμαῖον λεών: Μέλανα, καὶ συρμαϊ-

rentes, risum Herculi movent etc. Eli. Cret. Comm. in Or. 3. Greg. Nazianz. REINES.

[z] ἐν ἀναφόρῳ] ἀναφόρων Phot. ἀναφόρῳ A.V. ἀναφόρω B.E.

[a] ἀναφόρῳ] De significatione hujus vocis vide Suidam supra v. Ἀμφίκαλον. KUST.

[b] Ὅτι τοὺς] Ex Sch. Aristoph. Lys. 803. ABRESCH.

[c] δὲ—συγκριτικὸν] εἰ—διακριτικὸν V.

[d] ΜΕΛΑΙΝΟΓΙΔΑ] Sic rectius mss. Paris. quam priores editt. quæ habent Μελανογίδαν. Casus rectus enim est Μελανογὶς, ίδος. Confer Nostrum supra v. Ἀπατούρια, ubi itidem Bacchi Μελανογίδος mentio fit. Ceterum, pro Μελανογὶς scribere præstat Μελαιναιγὶς, per diphthongum αι in syllaba penultima; si verum est, Bacchum ita vocatum esse a μέλας, niger, et αἰγὶς, pellis caprina. KUST. Nonnus Dion. XXVII. p. 471, 10. HEMST. Μελαναιγίδα A.B.V.E. hic et infra. Præterea A. in marg. Μελαναιγὶς Διον. Καὶ ζήτει ἐν τῷ Ἀπατούρια.

[dd] τοιᾶσδε] τοιαύτης A.B.V.

[e] φάσματα—ἔχοντα] φάσμα—ἔχον A.B.V. et fere E. Tum μελάνην A.B.V. edd. vett. Porti correctionem tacite admisit Kusterus.

ΜΕΛΑΝΕΙΜΟΝΟΣ] Polyb. II. p. 146. Plutarch. S.N.V. p. 53. ed. Wytt. TOUP.

[f] ΣΩΦΡΟΝΕΣΤΕΡΟΣ] σωφρονέστατος B.V.E.

[g] Ἀριστοφάνης Λυσιστράτῃ] Ver. 786.

[h] καὶ M. κἀν τοῖς ὄρεσιν ᾤκει om. V.

[i] ἐλαγοθήρει] ἐλαγωθήρει B.

[k] Οὕτω] οὕτως B.V.E.

[l] ἐκεῖνος] κεῖνος A.B.V.E. qui ἧττον addunt post οὐδέν.

[m] Μελανίππου, τοῦ Θησέως] De eo vide Plutarchum in Theseo, p. 4. KUST. Gl. Harpocrationis est.

ΜΕΛΑΝΙΠΠΙΔΗΣ] Melanippidis scriptores quidam veteres mentionem faciunt, sed incertum est, hujusne, an vero alterius, sive junioris, de quo Suidas in sequentibus agit. Athenæus lib. XIV. p. 616. Περὶ μὲν γὰρ αὐλῶν ὁ μέν τις ἔφη, τὸν Μελανιππίδην καλῶς ἐν τῷ Μαρσύᾳ διασύροντα τὴν αὐλητικὴν εἰρηκέναι περὶ τῆς Ἀθηνᾶς, &c. Idem p. 651. Μελανιππίδης ὁ Μιλήσιος ἐν ταῖς Δαναΐσι φοίνικας τὸν καρπὸν οὕτως ὀνομάζει, τὸν λόγον ποιούμενος περὶ αὐτῶν. Observa, Melanippidem ab Athenæo dici Milesium, quem Suidas Melium facit. Plutarchus in Amatorio, p. 758. Γλυκὺ γὰρ θέρος ἀνδρὸς ὑποστείψων πραπίδων πόθον, κατὰ τὸν Μελανιππίδην, τὰ ἥδιστα μίγνυσι τοῖς καλλίστοις. Clemens Alexandrinus Stromat. lib. V. p. 439. Ὁ μελοποιὸς δὲ Μελανιππίδης ᾄδων φησί· Κλῦθί μοι, ὦ πάτερ, θαῦμα βροτῶν, τᾶς ἀειζώου ψυχᾶς μεδέων. Ejusdem etiam mentio fit apud Aristotelem Rhetoric. lib. III. p. 131. edit. Sylburg. KUST. Notandum mss. Athenæi meliores pro Μιλήσιος exhibere Μήλιος.

[n] κατὰ τὴν ξε'] Suspectus est hic numerus, et leg. fortasse πε'. i. e. 85. quia nepos e filia sub Perdicca obierit. REINES. Vid. Clintoni Fast. Hellen. an. 520.

[o] ἐλεγεῖα] ἐλέγους A.B.V.E. ἐλεγεῖα E. marg.

ΜΕΛΑΝΙΠΠΙΔΗΣ, θυγ.] Emit Philoxenum. Vid. infra Φιλόξενος. REINES.

[p] Περδίκκᾳ] Qui incepit Ol. CIII. Melanipp. ἐν Δαναΐσι Milesium citat Athen. XIV. p. 651. Apollod. Fragm. (p. 391.) ἐν Περσεφόνῃ. De Diis ap. Stob. Ecl. phys. c. 40. (vid. Heeren. t. I. p. 1004 sq.) Melanipp. derisit Democritus Chius Aristot. Rhet. III. 9. hic autem cum Abderita vixit Laërt. IX. 10. REINES.

ΜΕΛΑΝΘΙΟΣ] Μελάνθιος τῶν ἀπολαύσεων ἐρῶν, ηὔξατο τῆς μακραύχενος ὄρνιθος τὸν τράχηλον ἔχειν, ἵνα ὅτι πλεῖστον τοῖς ἡδέσιν ἐνδιατρίβῃ Athen. I. 6. e Clearcho. REINES.

[q] Λέγει Ἀριστοφάνης] Pac. 809.

[r] αὐτῶν] αὐτοῦ E.

[s] θεὰ] καὶ θεὰ A.B.E.M.

[t] ἁρπακτικαὶ] ἁρπακτικοὶ A. Mox γραοσόβαι om. A.B.E. M. Mox συγκοιμώμενοι M.

ΜΕΛΑΝΘΟΣ] Athen. III. 116. (et Cononis narrat. 39.) Alii Μελάνθιος, ut Harpocr. in Ἀπατούρια. Polyæn. I. Ἀθηναίων στρατηγὸς ἦν Μελάνθιος, Βοιωτῶν Ξάνθος. REINES. Deest gl. V. Habet A. in marg.

ΜΕΛΑΝΟΣΤΥΡΜΑΙΟΝ ΛΕΩΝ] Sic recte mss. Paris. itemque Aristoph. Thesmoph. 864. unde locus hic depromptus est. At in prioribus editt. [et E.] pro λεὼν male legitur λέοντα; quod Portus, nullam mendi istius suspicionem habens, bona fide leonem verterat. KUST. Vid. Schol. 857. ed. Bekker. ubi σύρμα pro τόμα.

ζόμενον. Στρμαία δὲ, κρίθινόν ἐστι πόμα. [u]Λέγει δὲ τοὺς Αἰγυπτίους.

Μελανοχροιής: Ὁ μέλαιναν χροιὰν ἔχων.

Μελάνωψ: Ὄνομα κύριον.

Μελανωπός: Οὗτος κηδεστὴς ἦν Διοφάντου τοῦ ῥήτορος.

Μελαντιάς, (ἡ νῦν παρὰ πολλοῖς λεγομένη Μελιτιὰς,) κώμη τῆς Θρᾴκης, δύο καὶ ἑκατὸν [x]σταδίους διεστῶσα τοῦ Βυζαντίου. Παραρρεῖ δὲ αὐτὴν Ἀθύρας ποταμός· ὃς ὀλίγον τι προελθὼν, καὶ ἐπὶ ἄνεμον Καικίαν ὀλίγον τι ἠρέμα ἐκκλίνας, ἐς Προποντίδα τὸν ῥοῦν ἀπερεύγεται. [y]Ὅθεν καὶ τὸ πρὸς ἀκτῇ ἐπίνειον τὴν ἀπ' αὐτοῦ φέρεται προσηγορίαν.

Μελάνυδρος: Βαθεῖα. Κυρίως δὲ, [z]καθαροῦ ὕδατος.

Μελαίνη: Βαθεῖα. Μέλαιναι δὲ [a]φρένες, αἱ ἐν βάθει κείμεναι. Τὸ γὰρ βαθὺ, μέλαν.

Μελαίνω: Αἰτιατικῇ.

Μελεάγρια:

Ῥίζαις αὐτοὺς μελεαγρίων, καὶ καρδίαις καλάμων ἐβόσκοντο.

Λέγονται δὲ καὶ μελέαγρα.

Μελεαγρίδες: Ὄρνεα, ἅπερ ἐνέμοντο ἐν τῇ ἀκροπόλει. Λέγουσι δὲ οἱ μὲν, τὰς [b]ἀδελφὰς τοῦ Μελεάγρου μεταβαλεῖν εἰς τὰς μελεαγρίδας ὄρνιθας· οἱ δὲ, τὰς συνήθεις Ἰοκάλλιδος, [c]τῆς ἐν Λέρνῃ παρθένου, ἣν τιμῶσι δαιμονίως.

Μελέαγρος: Ὄνομα κύριον.

Μελδόμενος: Καιόμενος.

Μέλδοντες: Τήκοντες, ἕψοντες.

[d]Γέντα βοῶν μέλδοντες.

Τουτέστιν, ἕψοντες. Καὶ,

[e]Κνίσῃ μελδόμενος.

Ἀντὶ τοῦ, μέλδων τὰ κνίσῃ.

Μελεδαίνειν: Ἐπιμελεῖσθαι. [f]Ἡρόδοτος·

Τοὺς ποιέοντας κατέλιπον ἐν τῇσι πόλισι μελεδαίνειν τε καὶ τρέφειν.

Μελεδήματα: Μεριμνήματα. Καὶ μελεδήμων, μελεδήμονος. [g]Ἐν Ἐπιγράμμασι·

Ἃ δὲ πολυσταθέων μελεδήμονα περκίδα πέπλων.

Μελεδωνός: Φροντιστὴς, [h]ἐπιμελητής. Αἰλιανός·

Ὁ δὲ τὸν ἴδιον ἀδελφὸν κατέλιπε τοῦ υἱοῦ ἐπίτροπον, καὶ τῶν χρημάτων μελεδωνόν. Ὁ δὲ ἀνόσιος ὢν, καὶ τὰ τοῦ παιδὸς σφετερίσασθαι ἐγλίχετο.

Καὶ [i]Εὐνάπιος·

Τῶν αὐτῶν [k]ἐτῶν γυναῖκά τινα στείλας ἐσθῆτι λευκῇ καὶ στέμμασιν, ὡς δὴ μελεδωνὸν οὖσαν τῆς Συρίας οὕτω δὴ καλουμένης θεοῦ.

Τουτέστιν, ἱέρειαν. Καὶ Αἰλιανός·

Ὃς ἦν Νέρωνος ἀπελεύθερος, ἀπολειφθεὶς μελεδωνὸς τῶν ἐν Ῥώμῃ, καὶ ἔφορος, ὅτε Νέρων ἐς Ἀχαΐαν ἐξωρμήθη.

Μελεδωνοί: Ἐπίτροποι· φροντισταὶ παρ' [l]Ἡροδότῳ· προεστηκότες· ὥσπερ οἱ τοῦ ἀμπελῶνος, τοῦ [m]παρὰ τῷ Εὐαγγελίῳ.

Μελεϊστί: Κατὰ μέλος.

Μέλεος: Μάταιος, ἄθλιος, ταλαίπωρος, δυστυχής. [n]Ὁ μὲν ποιητὴς ἐπὶ τοῦ ματαίου ἐκδέχεται τὸ μέλεος· οἱ δὲ τραγικοὶ, ἐπὶ τοῦ οἰκτροῦ.

Μελέτη: Ἄσκησις, ἐπιμέλεια.

[o]Καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελέτας τῶν Ῥω-

[u] Λέγει δὲ τοὺς Αἰγυπτίους] Aristophanes nimirum, quem vide loco laudato. KUST.

ΜΕΛΑΝΩΠΟΣ: Οὗτος κηδεστὴς ἦν Διοφ.] Ex Harpocratione. KUST.

ΜΕΛΑΝΤΙΑΣ, ἡ νῦν παρὰ πολλοῖς λεγομένη Μελιτ.] Agathias lib. V. p. 158. Εἰς τοῦτο γὰρ ἐκεῖνοι ἤρθησαν ἀλαζονείας, ὡς καὶ ἀμφὶ Μελαντιάδα τὴν κώμην στρατοπεδεύσασθαι, οὐ πολλῷ τῆς πόλεως διεστηκυῖαν, ὅτι μὴ τεσσαράκοντα καὶ ἑκατὸν που σταδίους. Περιρρεῖ δὲ αὐτὴν Ἀθύρας ποταμὸς, ὃς δὴ ὀλίγον τι προελθὼν, καὶ ἐπὶ ἄνεμον Καικίαν ἠρέμα ἐκκλίνας, ἐς τὴν Προποντίδα τὸν ῥοῦν ἀπερεύγεται. Ὅθεν δὴ τὸ πρὸς τὴν ἀκτὴν καὶ τὰς ἐκβολὰς παρατεταμένον ἐπίνειον τὴν ἐκείνου φέρεται προσηγορίαν. Hinc Suidas sua descripsit: ut et ante nos monuit Valesius ad Amm. Marcellinum, p. 428. Melantiadis hujus meminit etiam auctor Chronici Alexandrini, sed qui eam Μελανθιάδα vocat, per θ': perinde ac Ammianus Marcellinus lib. XXXI. p. 456. Quare scripturæ diversitas notanda est. KUST. Vid. Surita et Wesseling. ad Antonin. Itin. p. 139. ἡ νῦν—Μελιτίας post Θρᾴκης leguntur in A. Facile commutantur μ' (40.) et α' (2.)

[x] σταδίους] σταδίων B.V.

[y] Ὅθεν] ἔθεν A.V. Agath.

ΜΕΛΑΝΥΔΡΟΣ] Est epithetum fontis apud Homerum Il. ι'. 14. ubi brevis Scholiasta vocem hanc itidem exponit βαθεῖα. KUST. Conf. Schol. Ven. ad Il. π'. 3.

[z] καθαροῦ] καθαρὰ Photius. In fine προσηγορίαν addit V. sc. ex præcedente articulo repetit.

ΜΕΛΑΙΝΗ] Il. α'. 300. et Schol.

[a] ΦΡΕΝΕΣ] αἱ φρένες B.V.E. Vid. Il. α'. 103. et Schol.

ΜΕΛΕΑΓΡΙΑ] Deest gl. V.

ΜΕΛΕΑΓΡΙΔΕΣ] De iis multa Salmasius ad Solinum, quem vide. KUST.

[b] ἀδελφὰς] τὰς ἀδ. A.B.V.E. Photius. Mox ἐμβαλεῖν V. pro μεταβαλεῖν. Photius μεταβάλλειν.

[c] τῆς ἐν Λέρνῃ] Sic habent libri tam chirographi, quam excusi: [et Photius.] sed male. Scribendum enim est, τῆς ἐν Λέρῳ: ut recte monuit Bochartus Hieroz. part. II. lib. I. c. 19. p. 132. Emendationem hanc plane confirmat Athenæus lib. XIV. p. 655. Περὶ δὲ τὸ ἱερὸν τῆς παρθένου ἐν Λέρῳ εἰσὶν οἱ καλούμενοι ὄρνιθες μελεαγρίδες. Antoninus Liberalis Metamorphos. c. 2. de Meleagri sororibus: Αὐτὰς Ἄρτεμις ἀψαμένη ῥάβδῳ, μετεμόρφωσεν εἰς ὄρνιθας, καὶ ἀπῴκισεν εἰς Λέρον τὴν νῆσον, ὀνομάσασα μελεαγρίδας. Vide etiam Ælianum Histor. Anim. lib. IV. c. 42. et lib. V. c. 27. KUST.

ΜΕΛΔΟΝΤΕΣ] Om. B.E.

[d] Γέντα βοῶν] Callimachi fr. 309. Vid. Ruhnken. Epist. Crit. II. p. 177.

[e] Κνίσῃ μελδόμενος] Homerus Il. φ'. 363. KUST. Κνίσῃ A. hic et infra.

[f] Ἡρόδοτος] Lib. VIII. 115. ut Portus observaverat. Ibi autem pro πύλῃσι legitur πόλεσι, i. e. urbibus: uti etiam hic apud Suidam scribendum est. KUST. πόλεσι A.B. τίσι πόλεσι V.

[g] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 39. Ἃ δὲ om. B. V.E.M.

[h] ἐπιμελητὴς] V. addit Ἔφορος. Fragmentum Æliani auctius legitur supra v. Ἡμέσεια.

[i] Εὐνάπιος] Fr. 52.

[k] ἐτῶν] ἔθνων vel ἐθνῶν A.B.V.E. edd. ante Kuster. Mox στήλας A.

[l] Ἡροδότῳ] Gl. II. 65. Mox προεστηκότες bis V.

[m] παρὰ τῷ εὐαγγελίῳ] Matth. XX. 8. τῷ ἐπιτρόπῳ.

ΜΕΛΕΙΣΤΙ] Il. π'. 409.

[n] Ὁ μὲν ποιητὴς] Schol. Ven. ad Il. π'. 336. μέλεον ἀντὶ τοῦ μάταιος, ματαίως. καὶ διὰ παντὸς οὕτως Ὅμηρος χρῆται· οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ καὶ τάλανος, καὶ ἡ συνήθεια. Conf. ad Il. κ'. 480. ψ'. 785.

[o] Καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελ.] Hæc Casaubonus ad Polybium refert: sed sunt verba Josephi lib.

μαίων χωρὶς αἵματος παρατάξεις· τὰς δὲ παρατάξεις, μεθ' αἵματος μελέτας.

**Μελετώμενοι**: Διδασκόμενοι, ἐκμανθάνοντες.

[p]Ὥσπερ [q]οἱ νέοι τῶν ἀετῶν ἁπαλῷ μὲν τῷ πτερῷ παραπέτονται τοῖς γειναμένοις αὐτούς, μελετώμενοι ὑπ' αὐτῶν τὴν πτῆσιν· ἐπειδὰν δὲ αἴρεσθαι δύνωνται, ὑπερπέτονται τοὺς γονέας, ἄλλως τε κἂν λίχνους αἴσθωνται, καὶ [r]κνίσσης ἕνεκα πρὸς τῇ γῇ πετομένους.

**Μελέτωρ**: Ὁ ἐπιμελούμενος, ὁ τιμωρὸς τοῦ πατρός.

Ἐφάνη γὰρ
μελέτωρ ἀμφὶ τὸν ἐν
πένθει.

**Μέλλει**: Ἔοικεν. Οὕτω [s]τίθεται παρ' Ὁμήρῳ. Καὶ παροιμία·

[t]Μέλει μοι τῶν τοιούτων [u]οὐδὲν ἧττον ἢ [x]τῶν ἐν τοῖς τέλμασι βατράχων.

**Μέλει**: Φροντίζει. **Μέλλει** δὲ, ἀντὶ τοῦ, βραδύνει. Καὶ **μέλλω**, τὸ ὀφείλω.

**Μελείρηνες**: Τῶν παίδων οἱ πρεσβύτεροι.

**Μέλη**: Τὰ τοῦ σώματος.

**Μεληδόν**: Κατὰ μέλος.

**Μέλημα**: Φρόντισμα.

**Μέλης**, Μέλητος. Ὁ τοῦ Ὁμήρου πατήρ.

**Μελλήσας**: Ὑπερθέμενος, βραδύνας. Καὶ [y]ἐπὶ τοῦ σπουδάσας.

**Μελήσερμος**, Ἀθηναῖος, σοφιστής. Ἔγραψεν Ἐπιστολῶν Ἑταιρικῶν βιβλία ιδ'· καὶ Ἀγροικικῶν ἕν, [z]Μαγειρικῶν ἐπιστολῶν [a]ἕν, Στρατηγικῶν βιβλίον α', Συμποσιακῶν βιβλίον ἕν.

**Μελησία**: Ὄνομα κύριον.

[b]Ὁ δὲ ἐρᾷ τὴν Μελησίαν, καὶ ἐρᾷ αὐτῆς.

**Μέλλησις**: Ὑπέρθεσις.

**Μελλησμός**: Ἡ βραδυτής.

**Μελήσω**: Σπουδάσω, φροντίσω.

**Μελληταί**: Ὑπερθετικοί.

**Μέλητος**: [c]Τραγῳδίας ποιητὴς ὑπόψυχρος. Καὶ Ἀριστοφάνης·

[cc]Σκολιὰ [d]Μελήτου, Καρικῶν αὐλημάτων.

Οὗτός ἐστιν ὁ Σωκράτην γραψάμενος. Κωμῳδεῖται δὲ ὡς ψυχρὸς ἐν τῇ ποιήσει, καὶ ὡς πονηρὸς τὸν τρόπον. Τὰ δὲ Καρικὰ αὐλήματα καὶ [e]μέλη θρηνώδη ἦσαν.

**Μέλητος**, [f]Λάρου, Ἀθηναῖος, ῥήτωρ. Οὗτος ἐγράψατο Σωκράτην μετὰ Ἀνύτου. Πεποίηνται δὲ αὐτῷ καὶ τραγῳδίαι. Κατελιθώθη δὲ ὑπὸ τῶν Ἀθηναίων.

[g]Καὶ ἦν ἐπὶ τῶν Ζήνωνος τοῦ Ἐλεάτου καὶ Ἐμπεδοκλέους χρόνων. [h]Οὗτος ἔγραψε περὶ τοῦ Ὄντος.

---

III. de Bello Jud. c. 6. p. 835. (III. 5, 1.) ut Pearsonius etiam observaverat. KUST.

p Ὥσπερ οἱ νέοι τῶν ἀετῶν ἁπαλ.] Fragmentum hoc deprompsit Suidas ex Philostr. de Vit. Apoll. lib. I. c. 5. Confer etiam Nostrum supra v. Εὐξίνους, ubi hic ipse locus legitur. KUST.

q οἱ νέοι] οἱ om. A.B.V.E. edd. ante Kuster.

r κνίσσης] κνίσης A.V.

ΜΕΛΕΤΩΡ: Ὁ ἐπιμελούμενος] Ex Schol. Sophocl. Electr. 846.

ΜΕΛΛΕΙ: Ἔοικεν] Homerus Il. α'. 564. Ἐμοὶ μέλλει φίλον εἶναι. Scholiasta ad eum locum: Μέλλει: Ἔοικεν. Huc Suidas respexit. Hesychius: Μέλλει: Φαίνεται, ἔοικε, δοκεῖ. Male ibi vir doctus μέλει reponit. Photius quoque in Lexico inedito τὸ μέλλει exponit ἔοικε. Hinc autem apparet in prioribus editt. Suidæ pro μέλλει male excusum esse μέλει. KUST. Μέλει B.V.E. Conf. Schol. Platon. p. 188.

s τίθεται] τέθειται A.V.

t Μέλει μοι τῶν τ.] Male hæc subjiciuntur voci μέλλει, quæ ad v. μέλει pertinent. KUST.

u οὐδὲν ἧττον τῶν ἐν τ.] Male. Vel enim scribendum est, οὐ μᾶλλον, ἢ τῶν, &c. Vel ἧττον, ἢ τῶν ἐν τ. omissa voce οὐδέν. Posterius malo, quoniam proverbium hoc sic efferri video apud Julianum in Misopog. p. 90. ubi apostata ille inquit: Οὐχ ὅτι τοὺς ἄλλους ἀποστερῶ τούτων, ἀλλ' ὅτι μέλει μοι τῶν τοιούτων ἧττον ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων. Hinc proverbium istud Suidam deprompsisse puto. KUST. Vid. Stobæi Append. e ms. Flor. t. IV. p. 21, 24.

x τῶν] ἢ τῶν A.V.

ΜΕΛΕΙ] Hanc gl. habet A. in marg. τὸ V. pro ἀντὶ τοῦ.

ΜΕΛΕΙΡΗΝΕΣ] Scribendum est, μελλείρενες, per duplex λλ in prima, et ι in penultima syllaba. Composita enim est hæc vox ex μέλλω, et εἴρην, ενος: eodem modo, quo μελλέφηβος, ex μέλλω et ἔφηβος. Εἴρενες autem apud Lacedæmonios dicebantur illi, qui annis duobus ætatem puerilem excesserant: quibus qui ætate proximi erant, vocabantur μελλείρενες; velut μελλέφηβοι, qui ephebis proximi erant. Plutarchus in Lycurgo, p. 50. Εἴρενας δὲ καλοῦσι τοὺς ἔτος ἤδη δεύτερον ἐκ παίδων γεγονότας· μελλείρενας δὲ, τῶν παίδων τοὺς πρεσβυτάτους. Ad hunc locum Plutarchi Suidam respexisse puto. Hesychius: Ἴρηνες, μελλέφηβοι. Rectius dixisset, Εἴρενες: ut ex iis, quæ diximus, liquet. KUST.

ΜΕΛΗΣ] Meles fluvius Smyrnam circumfluens: inde dic. Homerus Μελησιγενὴς et Μέλητος υἱός. Meleager dixit Μελητείους Χάριτας, et Tibull. IV. 1, 20. *Meliteas chartas* de Homero. Stat. Papin. II. Sylv. 7, 33. *Graio nobilior Melete*. Ib. III. 3, 61. *Verendo fonte Meles*. Vid. ibi Barth. REINES.

ΜΕΛΛΗΣΑΣ] Sic recte ms. A. At in prioribus editt. male, [et B.E.] μελήσας, per unicum λ. KUST.

y ἐπὶ τοῦ σπουδάσας] Et hanc lectionem ex optimo ms. A. revocavi. [Sic Photius.] Priores enim editt. [et B.E.] minus recte habent, ἐπισπουδάσας. Ceterum, interpretatio hæc pertinet ad vocem μελήσας, non μελλήσας. KUST. Vid. not. ad Hesych. in Μελλήσω. Conf. infra Μελήσω.

z Μαγειρικῶν ἐπιστολῶν ἕν] Ms. A. [et V.] post hæc verba addit, Στρατηγικῶν ἕν. KUST.

a ἕν] ββ α' A. qui in fine β'. α'.

b Ὁ δὲ om. A.

ΜΕΛΛΗΣΜΟΣ] Μελησμὸς A.B.E.

ΜΕΛΗΣΩ] Μελλήσω Photius.

ΜΕΛΛΗΤΑΙ] Thucyd. I. 70.

ΜΕΛΙΤΟΣ: Τραγῳδίας] Ex Schol. Aristoph. Ran. 1337. KUST.

ΜΕΛΙΤΟΣ] Μέλητος A. qui hunc articulum cum duobus seqq. collocat non post Μέλιτος μωλὸς, ut in edd. sed ea in sede, ubi nunc leguntur. Μέλιτος V. qui tamen ponit post Μελληταί. Vid. notam ad Aristotelis Rhet. III. 18, 2. ed. Oxon. 1820. Dobræum ad Aristoph. Ran. 1337.

c Τραγῳδίας] Athen. XII. p. 551. REINES.

cc Σκολιὰ Μελίτου, Καρ.] Apud Aristophanem loco laudato hodie legitur, Σκολιῶν Μελίτου, καὶ Καρικῶν αὐλημάτων: ubi cætera quidem recte se habent: sed vocula καὶ delenda est. Syllaba enim media in Μελίτου longa est; eamque ob causam modulus versus dictam voculam respuit. KUST.

d Μελίτου] Μελήτου A.

e μέλη] καὶ μέλη A.B.V.E. edd. ante Kuster.

f Λάρου] Λαΐου Clintonus Fast. Hellen. Introd. p. xxxiv. et ad ann. 440, 3.

g Καὶ ἦν om. V. τῶν om. E.

h Οὗτος ἔγρ.] Hæc nihil ad Melitum, verum ad Melissum pertinent. Pro Μέλισσος legitur Μιλήσιος apud Georgium Syncellum p. 248 A. HEMST. Immo omnia post Καὶ ἦν ἐπὶ τῶν Z. spectant ad Melissum, de quo vid. Diog. Laërt. IX. 24. et Menag.

Καὶ [i]ἀντεπολιτεύσατο [illegible] Περικλεῖ καὶ ὑπὲρ Σαμίων στρατηγήσας, ἐναυμάχησε πρὸς Σοφοκλῆν τὸν τραγικὸν, ὀλυμπιάδι ὀγδοηκοστῇ τετάρτῃ.

**Μέλητος**: Οὗτος ἐρᾷ νεανίου Ἀθήνησι τῶν εὖ γεγονότων καὶ πλουσίων, [k]μειρακίου καὶ ἐκείνου διαπρεποῦς, καὶ τὴν ὥραν ἀμάχου. Καὶ τῷ μὲν ἐραστῇ [l]Μέλητος ὄνομα ἦν· τῷ καλῷ δὲ, Τιμαγόρας, ὥς φασιν. [m]Ἦν [illegible] ἄτεγκτός τε καὶ ἀμείλικτος ὅδε ὁ παῖς, καί οἱ πολλὰ προσέταττε καὶ ἐπίπονα, καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων, καὶ ὁμοῦ [n]τῷ ὀλέθρῳ ἐλαύνοντα. Καὶ ἦν τὰ πράγματα, κύνας τε ἀγαθὰς καὶ [o]θηρευτικὰς ἐκ τῆς ἀλλοδαπῆς ἄγειν, καὶ [p]ἵππον αὖ τῶν πολεμίων ἀπαγαγεῖν ὅτου δὴ γενναῖόν τε καὶ θυμικόν· καὶ ἄλλου χλαμύδα ὡραίαν· καὶ τοιαῦτα ἕτερα. Καὶ τελευτῶν ὄρνιθάς οἱ προσέταξε κομίσαι ὅτου δὴ τροφίμους, καὶ οἰκέτας γένος θαυμαστούς. Ἐπεὶ δὲ καὶ τοῦτο κατεπράξατο ὁ ἔνθεος φίλος ἐκεῖνος, καὶ [q]ἐδωρεῖτό γε τῷ καλῷ τὸ μέγα τίμιον κτῆμα, τοὺς προειρημένους· ὁ δὲ ἀτεράμων ὢν, καὶ ἐς τοσοῦτον [r]ἀπεώσατο ἄρα τὸ δῶρον. Ὁ τοίνυν Μέλητος φλεγόμενος τῷ ἔρωτι, καὶ οἰστρούμενος, [s]καὶ ἐπὶ τούτοις [t]ἀσχάλλων τῇ ἀτιμίᾳ, καὶ ἀπαυδήσας ἐπὶ τοῖς ἀνηνύτοις [u]τε μόχθοις ἅμα καὶ ἀπείροις, ᾗ ποδῶν εἶχεν, [x]ἀνέθορέ τε ἐς τὴν ἀκρόπολιν, καὶ ἑαυτὸν ἔωσε κατὰ τῶν πετρῶν. [y]Οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν παῖδα καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ. Τοὺς ὄρνιθας [z]γοῦν ἀναλαβὼν, [a]καὶ ταῖς ἀγκάλαις ἐνθεὶς, [b]εἶτα μέντοι κατ' ἴχνια τὰ [c]ἐκείνου θέων, ὥσπερ οὖν ἑλκόμενος βίᾳ, ἑαυτὸν σὺν τῷ δυστυχεῖ [d]χορῷ ἐπὶ τῷ Μελήτῳ ἔρριψε φέρων, βραδὺν καὶ δυστυχῆ τὸν ἔρωτα [e]ἀντερασθεὶς τούτου. Καὶ ἕστηκεν εἴδωλον τοῦ πάθους κατὰ τὸν τόπον, παῖς ὡραῖος καὶ γυμνὸς, ἀλεκτρυόνας δύο μάλα εὐγενεῖς φέρων ἐν ταῖς ἀγκάλαις, καὶ ὠθῶν [f]ἐπὶ κεφαλὴν ἑαυτόν.

**Μέλητοι** καὶ **Ἄνυτοι**:

**Μέλι**: Τοῦτο γλυκὺ μέν ἐστι τὴν αἴσθησιν, πικρὸν δὲ τὴν ἀνάδοσιν. Χολῆς γὰρ [g]αὐτό φασιν ποιητικὸν εἶναι, καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως· ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ [h]πικρότητος κατηγορεῖ τὴν γένεσιν.

**Μελία**: Εἶδος δένδρου. [i]Ἀριστοφάνης Ὄρνισιν·

> [k]Ἱζόμενος μελίας ἐπὶ φυλλοκόμου.

**Μελίβοιον**: Τὴν Ὀλυζῶνα πόλιν.

[**Μελίβοιος**: Γεωργὸς, ὁ τὸν Οἰδίπουν ἀναθρεψάμενος. Καὶ ἔστιν [l]ἐν τῷ Οἰδίποδι.]

**Μελίδιον**: Κηρίον.

**Μελίαι**: Βέλη, δόρατα.

> Μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες·

φησὶν ὁ θεολόγος Γρηγόριος. Καὶ [m]ἐν Ἐπιγράμμασι·

> Οὕτω τοι μελίη ταναὰ ποτὶ κίονα μακρὸν
> ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά.

**Μελιηδής**: Ὁ γλυκύτατος. Καὶ [n]Ὅμηρος·

> Μελιηδέα θυμὸν ἀπηύρα.

**Μελίνη**: Εἶδος ὀσπρίου.

> [o]Ἦν [illegible] καὶ σῖτος ἀπὸ μελίνης. Τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον.

Καὶ αὖθις·

> Ἐφέροντο ἀδεῶς [p]οἶνον, ὄσπρια, μελίνας, σῦκα. Πάντα γὰρ ἀγαθὰ εἶχεν ἡ χώρα πλὴν ἐλαίου.

**Μελίνη**: Δημοσθένης ἐν [q]Φιλιππικῷ. Ὄσπριον

---

[i] ἀντεπολιτεύσατο] καὶ ἀντεπολιτεύσατο A.B.V.E.

ΜΕΛΙΤΟΣ, Οὗτος ἐρᾷ νεαν.] Totus hic locus descriptus est ex Æliano, ut discimus ex ipso Suida supra v. Ἀτέραμνον, ubi particula hujus Eclogæ, addito scriptoris illius nomine, legitur. Sumpta autem hæc sunt ex libro Æliani de Providentia, hodie deperdito; ex quo et reliqua fere omnia Æliani fragmenta, quæ apud Suidam occurrunt, deprompta esse, alibi quoque lectorem monuimus. Conferendus est autem cum hoc loco Pausanias in Atticis p. 58. qui ejusdem historiæ mentionem faciens, Μέλητα adolescentem illum vocatum scribit, quem Ælianus in hoc fragmento Μέλιτον appellat. KUST.

[k] μειράκιον [illegible] ἦν—διαπρεπὲς—ἄμαχον] μειρακίου καὶ ἐκείνου A. μειράκιον sine καὶ ἐκείνου B.V.—διαπρεποῦς A.V. ἀμάχου A.V.B. Infra ὥς φασιν om. V.

[l] Μέλιτος ὄνομα] Pausan. Att. 30. Μέλης—Τιμαγόραν ἐρασθέντα ἀτιμάζειν. REINES.

[m] Ἦν [illegible] ἀτεγκτός τε καὶ ἀμ.] Locus hic legitur etiam supra v. Ἄτεγκτος. KUST.

[n] τῷ] τὰ τῷ A.B.E.M. καὶ ὁμοῦ—ἐλαύνοντα om. V.

[o] θηρευτικὰς] θηρατικὰς A. θηρατικὰς V.E.

[p] ἵππον] ἵππον B.E. pr. Tum ἂν τῶν A. αὐτῶν V. ὅτου—θυμικὸν om. V. qui mox χλαμύδας ὡραίας. Bastius mallet πολεμιστηρίων pro πολεμίων, citato Synes. p. 185.

[q] ἐδωρεῖτο] καὶ ἐδωρεῖτο A.V.B. Tum γε om. V.B. καὶ ante τίμιον om. A.B.V.E.

[r] ἀπεώσατο ἄρα] Forte leg. ἀπεώσατο τὸ τοῦ ἐραστοῦ δῶρον. VALCK. ἀπεωρήσατο V.

[s] καὶ ἐπὶ—ἀτιμίᾳ om. V.

[t] ἀσχάλλων τῇ ἀτιμ.] Vide Nostrum supra v. Ἀσχάλλων. KUST. ἀσχάλλων A.

[u] τε μόχθοις] τε om. V. et mox ἅμα καὶ ἀπείροις.

[x] ἀνέθορεν εἰς] ἀνέθορέ τε ἐς A.

[y] Οὐ μὴν ἡ] Vid. Ἐπεγχανεῖν. HEMST.

[z] οὖν] γοῦν A.

[a] καὶ ταῖς ἀγ. ἐνθεὶς om. V.

[b] εἶτα] εἶτα μέντοι A.

[c] ἐκείνου] Μέλητ' V. ubi om. χορῷ ἐπὶ τῷ, et mox τοῦ—τόπον, et δύο—εὐγενεῖς.

[d] χορῷ] χορῷ recte Kuhnius fragm. Ælian. HEMST. χορῷ A.B. et sic conj. Portus.

[e] ἀντερασθεὶς] ἀνατερασθεὶς V.

[f] ἐπὶ κεφαλὴν ὠθῶν] ὠθῶν ἐπὶ κεφαλὴν A.

ΜΕΛΗΤΟΙ] Sic A. Vulgo Μέλιτοι etc., et collocant post Μελιτοῦττα.

[g] [illegible] ποιητικὸν αὐτό φασιν] γὰρ αὐτό φασι ποιητικὸν A.

[h] πικρότητος] πικρότατον B. πικροτάτην E. edd. ante Kusteri.

[i] Ἀριστοφάνης Ὄρνισι] Ver. 744.

[k] Ἑζόμενος] Ἱζόμενος A.V.

ΜΕΛΙΒΟΙΟΝ] Μελίβοιαν B. Homer. Il. β. 717. καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχεῖαν.

ΜΕΛΙΒΟΙΟΣ] Deest gl. A. καὶ ἔστι etc. om. V.

[l] ἐν τῷ ΟΙΔΙΠΟΤΣ] Sed ibi legitur Μέλιβος. KUST. Μελίβοιος ibi A.V.

[m] ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 52.

[n] Ὅμηρος] Il. κ'. 495.

ΜΕΛΙΝΗ] Addit V. εἶδος ὀσπρίου, ὅπερ τινὲς καλοῦσιν ἔλυμον.

[o] Ἦν δὲ καὶ σῖτος ἀπὸ μελ.] Ex Xenoph. lib. I. de Expedit. Cyri, [c. V. 10.] p. 256. ut Pearsonius observaverat. KUST.

[p] οἶνον] οἶνον A.E. Portus e conjectura. Et sic Xenoph. Exped. VI. 4, 1. unde sumptum est exemplum.

ΜΕΛΙΝΗ: Δημοσθένης ἐν Φιλιππ.] Ex Harpocratione. KUST. Vid. notata ad Harpocrat.

[q] Φιλιππικοῖς] Φιλιππικῷ A. Photius, Harpocr. ms. Pal.

ἐστίν· ὅπερ καὶ ἀρσενικῶς λέγεται. Σοφοκλῆς μὲν [r]γὰρ, καὶ Ἡρόδοτος, καὶ Ξενοφῶν, [s]θηλυκῶς [t]εἶπον μελίνην. Ξενοφῶν δὲ ὁ αὐτὸς ἐν Ἀναβάσει [u]καὶ μέλινον καὶ μελίνους εἶπε. Ἔνιοι δὲ εἶδός τι κεγχρίου νομίζουσι τὴν μελίνην, ὅπερ [x]τινὰς καλεῖν ἔλυμον. Θεόφραστος δὲ ἐν ἑβδόμῳ Περὶ Φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, κέγχρον, ἢ μελίνην, ἢ ἔλυμον.

**Μελίπηκτα:** Εἶδος πλακοῦντος.

**Μελιπνόους:** Ἡδυπνόους.

**Μελίρρυτον:**

**Μέλισσα:** Ὄνομα πόλεως. Καὶ ζωΰφιον, ὅπερ ἐργάζεται τὸ μέλι.

**Μελισσείου:** Κηρίου.

**Μελισμός:** Τῶν μελῶν ἡ διαίρεσις. Ἐκ τοῦ μελίζω.

**Μελισσοκόμος:** Ὁ τῶν μελισσῶν ἐπιμελούμενος.

**Μέλισσος:** Ὄνομα κύριον. [Ἔστιν ἐν τῷ Γεννητική.]

**Μελισσῶα:**

**Μελιστί:** Κατὰ μέλος.

**Μέλιττα:** Ἡ μέλισσα.

**Μελιταῖον κυνίδιον:**

[y]Τῶν γὰρ κυνῶν οἱ μὲν [z]ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί· οἱ δὲ ἐπὶ τέρψει, ὡς τὰ [a]Μελιταῖα κυνίδια.

[[b]Καὶ [c]**Μελιτηροὶ κύνες**· οἱ ἐπὶ τέρψει τρεφόμενοι.]

**Μελιταιεύς:**

**Μελίτη:** Δημοσθένης ἐν τῷ κατὰ [d]Κόνωνος. Δῆμός [e]ἐστι τῆς Κεκροπίδος, ὀνομασθεὶς ἀπὸ Μελίτης [f]κατὰ μὲν Ἡσίοδον [g]θυγατρὸς Μύρμηκος, κατὰ δὲ Μουσαῖον, Δίου τοῦ Ἀπόλλωνος.

**Μελιτηνή:** Ὄνομα πόλεως. [[h]Καὶ Μελιτηνός, ὁ πολίτης.]

**Μελιτιανός:**

**Μελιττοπηχεῖν:** Τὸ κρούοντας ψόφον ποιεῖν, ἵνα μὴ αἱ μέλισσαι [i]προσπέτωνται.

**Μέλιτος μυελός:** Ἐπὶ τῶν ἄγαν ἡδέων.

**Μελιτοῦττα:** [k]Μάζα μέλιτι δεδευμένη· ἣν ἔφερον, ὡς ἐδόκουν, τοῖς ὄφεσι τοῖς [l]ἐς Τροφωνίου [m]μαντευομένοις. Ἐν [n]Λεβαδείᾳ ἐστίν.

Ὅτι [o]ἡ **μελιτοῦττα**, ἐπίθετον τῶν ναστῶν.

[p]Ἰστέον, ὅτι ἡ **μελιτοῦττα** [pp]ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον· καὶ ὀβολὸς, μισθὸς τῷ πορθμεῖ· καὶ στέφανος, ὡς τὸν βίον [q]διηγωνισμένοις.

**Μελιτωδῶν ἐδεσμάτων:**

**Μελίτωνος:**

**Μελιτρός:**

**Μελίφρων:** Ἡδὺς, γλυκαίνων τὰς φρένας.

**Μελίχλωρος:** Ὁ χλωρός.

**Μελόμενοι:**

---

[r] γὰρ] μὲν γὰρ A. Phot. Harpocr. ms. Pal.

[s] θηλυκῶς] θηλυκὸν V.

[t] εἶπε] εἶπον A.V. Phot. Harpocr. ms. Pal. Tum μελίνη B.V. Phot. μελλίνην Harpocr. ms. Pal.

[u] καὶ μελίνην] καὶ μέλινον A.B.V. Phot. καὶ μέλλινον Harpocr. ms. Pal.

[x] τινὲς] τινὰς A. Phot. Harpocr. ms. Pal., θέλουσι post ἔλυμον, ni fallor, omisso. ὅπερ—θέλουσι om. V. qui et om. ἐν ἑβδόμῳ—ἀναγράφει. Vid. Theophrast. H. P. VIII. 1, 1. Schneid. ind. p. 446.

ΜΕΛΙΠΗΚΤΑ] Vid. Wagner. ad Alciphr. I. 39. p. 253.

ΜΕΛΙΠΝΟΟΥΣ] Vid. Ἀσταφίς. HEMST.

ΜΕΛΙΣΣΟΚΟΜΟΙ : Οἱ—ἐπιμελούμενοι] Μελισσοκόμος: Ὁ—ἐπιμελούμενος A.V.E.

ΜΕΛΙΣΣΟΣ] Μέλιττος A.V. qui mox om. ἔστιν ἐν τ. γ. Vid. in Μέλητος Λάρου.

ΜΕΛΙΣΣΩΣΑ] Μελισσῶα A.B.V.E.

ΜΕΛΙΤΤΑ] Post h. gl. delevi Μελιτεὺς cum A.V. Μελιτεὺς E.

ΜΕΛΙΤΑΙΟΝ ΚΥΝΙΔΙΟΝ] Multa de his collegit Boissonad. ad Herodian. p. 82.

[y] Τῶν γὰρ κυνῶν οἱ μὲν ἰχν.] Artemidorus lib. II. c. 11. Τῶν κυνῶν οἱ μὲν ἐπὶ θήραν τρέφονται· καὶ τούτων οἱ μέν εἰσιν ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων, οὓς οἰκουροὺς καὶ δεσμίους λέγομεν· οἵ τε ἐπὶ τερπωλῇ, καὶ οἱ Μελιταῖοι λεγόμενοι. KUST.

[z] ἰχνευτικοί] ἰχνευταὶ A.

[a] Μελιταῖα] Μελιτταῖα V.

[b] Καὶ Μελιτηροὶ—τρεφόμενοι om. A. Μελιτηροὶ Holsten. ad Steph. Byz. p. 203.

[c] ΜΕΛΙΤΗΡΟΙ] Μελιτήσιοι J. Ulit. in Gratii Cyneg. v. 405. Adducit Suidæ locum Petavius ad Themist. XXI. p. 503. [p. 520. ed. 4°.] HEMST.

ΜΕΛΙΤΑΙΕΥΣ :] Sic A.V. Μελιτεύς B. Vid. Steph. Byz. in Μελιταία.

ΜΕΛΙΤΗ : Δημοσθένης ἐν τῷ κατὰ Κ.] Ex Harpocratione. Confer etiam Schol. Aristoph. Ran. 504. KUST. Domum in Μελίτῃ habuit Epicurus, quam Hermacho, et qui cum eo philosophentur, dat inhabitandam testamento Laërt. X. 10. REINES. Schol. ad Platon. Parmenid. init. in ms. Paris. Μελίτη δῆμος Κεκροπίδος· ἔσχεν δὲ ὄνομα τοιοῦτον ἀπὸ Μελίτης τῆς τῷ Ποσειδῶνι φίλης, ὅθεν Μελίτην δὴ Ποσειδαῶνος ἑταίρην φησί τις ποιητής.

[d] Κόνωνος] P. 1258, extr.

[e] δέ ἐστι] δὲ om. A.

[f] ἡ κατὰ—θυγατὴρ ἦν] κατὰ—θυγατρὸς A.V. Photius.

[g] θυγάτηρ] ᾗ ἐμίγη ὁ Ἡρακλῆς. Schol. Aristoph. Av. REINES.

[h] καὶ ΜΕΛ.] Hæc om. A.

ΜΕΛΙΤΙΑΝΟΣ] Delevi statim cum A. ὍΤΙ Βουταλίων καὶ Κόροιβος, καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβέβληντο. Ἀριστοφάνης. Ἔστιν ἐν τῷ ΓΕΛΟΙΟΣ, quæ male repetuntur ex v. Βουταλίων.

ΜΕΛΙΤΤΟΠΗΧΕΙΝ] Et vox ista et interpretatio ejus mihi suspecta est: de qua proinde amplius cogitandum censeo. Confer interim Hesych. v. Μελιτοπωλεῖν. KUST. Μελιττοχεῖν E. Μελιττοποιχεῖν Photii ms. ubi editum Μελιττοπτηχεῖν. Et sic in Suida reponit post Wolfium Hemsterhusius, monens h. v. formari a πτήσσω, ἔπτηχα. Vossius ad Hesych. μελιττοπηχεῖν vel μελιτταπηχεῖν.

[i] προσπέτωνται] προσάπτωνται Photii ms. ubi editum πρόσπτωνται. Portus conj. ἀποπέτωνται.

[k] μᾶζα μέλιτι] Ex Schol. Aristoph. Nub. 507.

[l] ἐν Τροφωνίου] ἐς Τροφωνίου A.B.E.

[m] μαντευομένοις] οἱ μαντευόμενοι E. Schol. Aristoph. Rav. Ἐν Λεβαδείᾳ ἱερόν ἐστι Τροφωνίου, ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ κατιόντες πλακοῦντας ἔβαλλον μέλιτι δεδευμένους.

[n] Λεβαδίᾳ] Λεβαδεία A.

[o] Ἡ μελιττοῦττα ἐπίθετον τῶν ναστῶν] Respexit Suidas ad locum illum Aristophanis Av. 568. Ἢν δ' Ἡρακλεῖ τις θύῃ, λάρῳ ναστοὺς θύειν μελιτοῦττας. Vide ibi Scholiastam. KUST.

[p] Ἰστέον ὅτι Μελιτοῦττα] Schol. Aristoph. Lysist. 601. HEMST.

[pp] ἐδίδοτο τοῖς νεκροῖς] Vid. supra Δανάκη et Καρχάδοντα. REINES. Conf. Hemsterhus. Lucian. Dial. Mort. XXI. 2. p. 422.

[q] διηγωνισμένοις] διηγωνισμένοις A.B.E.

ΜΕΛΙΤΩΔΩΝ] Μελιτωδῶν B. edd. ante Kuster.

Καὶ ἐπίστευον εἶναι θεοφιλεῖς, τῷ δαίμονι τούτῳ μελόμενοι.

Μέλον: Διὰ φροντίδος ὄν. [r] Ἀριστοφάνης·

> Οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι
> σκωμμάτιον, εἴποτέ τι θλιβόμενος ἐκβάλω.

Ὅτι δὴ βασιλεὺς ὢν καὶ Πέρσης, ἐθνῶν [s] τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ· ὁ δὲ ἐφίετο γοῦν ὅμως ἀμηγέπη ἀντιποιεῖσθαι [t] λόγων, καὶ τῆς περὶ ταῦτα γάνυσθαι δόξης.

Μελλονικιᾶν: Τὸ βραδύνειν, καὶ ἀναβάλλεσθαι. [u] Ἀριστοφάνης·

> Οὐδὲ νυστάζειν . . .
> [x] ἄρ' ἐστὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν.

Νικίας γὰρ υἱὸς [y] Νικηράτου, ὃς [z] ἀνεβάλλετο ἀπελθεῖν εἰς Σικελίαν. Βραδὺς γὰρ ἦν περὶ τὰς ἐξόδους, [a] καὶ, ὡς οἱ διαβάλλοντες, οὐ προνοητικὸς, ἀλλ' ἀμελητής.

> Ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν.

Μελόντων: Ἐπιμελείσθωσαν.

Μέλος τι μελλοδειπνικόν: [aa] Ἀριστοφάνης·

> [b] Ἐπανακίνει Κρητικῷ τὼ πόδε.
> . . . . τάχα γὰρ ἔπεισι
> λοπαδοτεμαχοσελαχογαλεοκρά.

Μέλου: Ἐπιμελοῦ.

> [d] Καὶ τὰ λοιπά μου
> μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.

Μέλλω: [e] Ἐπὶ τοῦ βραδύνω. Καὶ ἐπὶ τοῦ ἐσομένου χρόνου, παρὰ Θουκυδίδῃ. Καὶ [f] Σοφοκλῆς·

> Μέλλων γὰρ ἀεὶ δρᾶν τι, τὰς οὔσας τέ μου
> καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορε.

Καὶ [g] Ἀριστοφάνης·

> Μὴ δῆθ' ἱκετεύω, πλὴν ὅταν μέλλω 'ξεμεῖν.

Τουτέστιν, εἰ ὅλως λέγεις, τότε εἰπὲ, ὅτε μέλλω ἐξεμεῖν· ἵν' ἅπαξ ἐμέσω, καὶ [h] μὴ τότε, καὶ ὅτε λέγεις. E Ἢ οὕτω· Τότε, φησὶ, λέγε, ἐὰν θέλῃς, ἐπιτηρήσας, A ὅτε μέλλω ἐξεμεῖν· ῥᾷστα γὰρ [i] μᾶλλον ἐξεμέσαιμι, ἐὰν εἴπῃς.

Μέλω: Ἐν ἐπιμελείᾳ εἰμί.

Μέλπηθρα: Παίγνια, σπαράγματα.

Μέλποντες: Ἄιδοντες, ἀνυμνοῦντες.

Μελύδριον Ἰωνικόν: Ἀντὶ τοῦ, τρυφηλόν· τοιοῦτοι γὰρ Ἴωνες. [k] Ἀριστοφάνης·

> Δεῦρ' [l] ἴτ' ἐπὶ τοὐμὸν στόμα
> B μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.

Μελχισεδέκ, ἱερεὺς τοῦ Θεοῦ, καὶ [m] βασιλεὺς τῶν Χαναναίων. Οὗτος κτίσας πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιὼν, ἐπωνόμασεν αὐτὴν Σαλήμ· ὅ ἐστιν, [n] εἰρήνης πόλις· ἐν ᾗ βασιλεύσας ἔτη ριγ', ἐτελεύτησε δίκαιος, καὶ παρθένος. Ἀγενεαλόγητος δὲ εἴρηται, παρὰ τὸ μὴ ὑπάρχειν ἐκ τοῦ σπέρματος Ἀβραὰμ [o] ὅλως, μηδὲ γενεαλογεῖσθαι τὸ παράπαν, εἶναι δὲ C Χαναναῖον τὸ γένος, καὶ ἐκ τῆς ἐπαράτου σπορᾶς [p] ὁρμώμενον· ὅθεν οὐδὲ γενεαλογίας ἠξίωτο. Οὐ γὰρ πρεπωδέστατον ἦν, τὸν τῆς ἄκρας δικαιοσύνης ἐπειλημμένον, συμπλέκειν τῷ τῆς ἄκρας ἀδικίας γένει· διὸ καὶ ἀπάτορα καὶ ἀμήτορα τοῦτον εἶναί φασιν. Ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος, εὔδηλον καὶ ἀφ' ὧν ἐκράτει καὶ [q] ἐβασίλευε κλιμάτων [r] τῶν Χαναναίων, καὶ οἷς ἐπλησίαζε πονηροτάτοις Σοδόμοις. Καὶ μέντοι D καὶ ἡ Σαλὴμ, ἧς ὑπῆρχε βασιλεὺς, ἡ πολυθρύλλητος Ἱερουσαλήμ ἐστιν, οὐδέπω τὸ ὅλον ὄνομα φέρουσα τῆς Ἱερουσαλήμ· ἐκ προσθήκης δὲ τῆς ἱεροῦ [s] μετὰ τὴν Σαλὴμ προσλαμβάνουσα συλλαβὴν, καὶ κατὰ συνάφειαν Ἱερουσαλὴμ ὀνομασθεῖσα· διὰ δὲ τὸ ἀγενεαλόγητον λέγεται ἀπάτωρ καὶ ἀμήτωρ. [t] Ὅταν δὲ ἀκούσῃς παρὰ τῶν Μελχισεδεκιτῶν, ὅτι Θεὸς ὀνομάζεται, μνήσθητι τοῦ Ἀποστολικοῦ, ὅτι ἑτέρας γενεᾶς ἐστι. Τουτέστι, τῶν Χαναναίων.

---

[r] Ἀριστοφάνης· Οὐδὲν ἄρ' —ἐκβάλω.—Ὅτι δὴ—δόξης] Prius fragmentum exstat apud Aristoph. in Vespis, 1279. ubi male legitur, ἐκβάλλω, ex Suida corrigendum. Quod et recte animadvertit Florens Christianus. In posteriori autem scribendum, καὶ ΤΗΙ περὶ ταῦτα γάνυσθαι ΔΟΞΗΙ. Quomodo legitur apud Agathiam, lib. II. p. 67. unde hunc locum decerpsit Suidas. De Chosroe autem Persarum rege hic sermo est, qui literas amabat scilicet, atque earum existimatione valde delectabatur. TOUP. τῇ —δόξῃ correxerat Portus. Et sic infra v. Χοσρόης.

[s] τε τοσούτων] τε om. E. Tum τοσούτω B.

[t] λόγων om. V. qui mox γῆς. Tum γάνυσθαι A.

[u] Ἀριστοφάνης] Av. 639. Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν ἔτι Ὥρα 'στὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν. Ἀλλ' ὡς τάχιστα δρᾶν. KUST.

[x] ἄρ'] ἄρ' A.V.

[y] Νικηράτου] Ἀλκιβιάδ A.B.V.E.

[z] ἀνεβάλλετο] ἀνεβάλετο A.

[a] καὶ ὡς οἱ] Seqq. om. V. Mox ἀλλ' ἀμελητὴς A.B.E. Schol. ἀλλὰ μελητὴς M. Ald.

ΜΕΛΟΝΤΩΝ] Il. σ'. 463. τ'. 29. et al. Male A. μελλόντων cum Photio.

[aa] Ἀριστοφάνης] Eccles. circa finem; ubi sic legitur: Ἐκφέρομαι μέλος τι μελλοδειπνικόν. Sed metrum versus hujus claudicare recte vidit Portus, qui proinde μελλοδειπνικὸν legendum esse existimabat: quam conjecturam non puto H esse spernendam. Jocatur enim Comicus, et canticum ob futuram cœnam cantandum esse dicit: cum moris sit, ut cœnantibus, non vero cœnaturis, cantica accinantur. KUST. μελλοδειπνικὸν A.V.

[b] Ἐπανακίνει Κρητικῷ τὼ π.] Hæc, et quæ sequuntur, nihil ad rem faciunt, eademque emendanda et supplenda sunt ex Aristophane. KUST. Κρητικῶ A. qui Ἀριστοφάνης inserit post πόδε.

[d] Καὶ τὰ λοιπά μου μ.] Sophocl. Œdip. Colon. 1137.

[e] Ἐπὶ τοῦ βραδύνω] Schol. Thucyd. I. 86. τὸ γὰρ μέλλουσιν νῦν, οὐχὶ ἐπὶ τοῦ βραδύνουσι λεκτέον, ἀλλ' ἐπὶ τοῦ ἐσομένου χρόνου.

F [f] Σοφοκλῆς] Electr. 305. Mox διέφθειρε A.V. διέφθορε E. τουτέστι—ἐξεμεῖν accedunt ex A. Vid. Schol. Aristoph.

[g] Ἀριστοφάνης] Initio Ranarum: ad quem locum vide Scholiastam; cujus scrinia Suidas hic compilavit. KUST. Seqq. om. V. Mox μέλλω γ' ἐξεμεῖν M.

[h] μὴ τότε καὶ ὅτε] μὴ καὶ τότε καὶ ὃ λέγεις A.

[i] μᾶλλον] ἂν μᾶλλον A. Post εἴπῃς delevi cum A., ΜΕΛΩ δὲ, τὸ φροντίζω, δι' ἑνὸς λ, δοτικῇ., qui in marg. exhibet, Μέλλω τὸ βραδύνω, διὰ β λλ., μέλω δὲ τὸ φροντίζω δι' ἑνὸς, δοτικῇ.

G ΜΕΛΠΗΘΡΑ] Il. ν'. 233.

[k] Ἀριστοφάνης] Eccles. 877.

[l] ἴτ'] εἶτ' A. Mox στόμμα A.B.V.E.

[m] βασιλεὺς] καὶ βασιλεὺς A.B. Pertinet hic art. ad Ep. Hebr. VII. 1.

[n] εἰρηνόπολις] εἰρήνης πόλις A.V.

[o] ὅλως] Addit A. μὴ δὲ γενεαλογεῖσθαι τὸ παράπαν.

[p] ὁρμώμενον] ὁρμώμενος A.B.E.

[q] ἐβασίλευσε] ἐβασίλευε A. qui mox om. τῶν.

[r] τῶν Χαν.] τῶν om. A.B.

[s] μετὰ] Σαλὴμ V.

Μεταποίνιον:

Τὴν δίκην, τὴν ἔφορον τῶν [q]ὅλων, μεταποίνιον.

Μεταπύργιον: [r]Ἐν μέσῳ οἰκοδόμημα τῶν ἐπὶ τοῦ [s]τείχους πύργων. [t]Οὕτως καὶ Θουκυδίδης καὶ Λυσίας.

Μετάρσιος: Μετέωρος, ὑψηλός. D

[Μεταρρυθμίζεται:]

Μέτασσαι: Τὰ ὕπαρνα πρόβατα.

Μετασοβῶν: Ἀποδιώκων.

Μετασπώμενος: [u]Ἐπακολουθήσας, μεταδιώξας.

Μεταστοιχειοῦσα: [x]Μετασχηματίζουσα.

Μετασχεῖν: [y]Ἐπιλαβεῖν.

[Μετὰ ταῦτα:]

Μετατάξασθαι: [z]Ἀντὶ τοῦ μετελθεῖν.

Μετὰ τὴν ἐν Μαραθῶνι μάχην, καὶ μετὰ τὸν πόλεμον ἡ συμμαχία: Ἐπὶ τῶν ἐπὶ ὑποθέσει τινὶ καθυστερησάντων.

Μετάτροπος αὔρα: Ἀντὶ τοῦ ἡ μεταβληθεῖσα.

Μέταυλος: Ἡ ῥυπαρὰ λεγομένη αὐλὴ, οὗ [a]ὄρνιθες ἦσαν.

Μετάφερε σαυτόν:

Ὅτι προσήκει ἑαυτοὺς μεταφέρειν, καὶ μεταχειρίζεσθαι τὰ πράγματα.

Μετάφρενον: Μεταξὺ τῶν ὤμων.

Μεταφῦναι: Μεταπλασθῆναι.

Μεταχειρίζειν: Ἀντὶ τοῦ μεταχειρίζεσθαι. Θουκυδίδης [b]δ'.

Μεταχειρίσαι: Τουτέστιν, ἐναλλάξαι, ἤγουν ἀπὸ [c]πεντηκοντόρων ποιεῖν τριήρεις.

Μεταχρονία: Ἡ εἰς ὕψος φερομένη.

[d]Τίς γάρ ἐμοὶ σέο μισθὸς ἐπάξιος, ἥν σε διδάξω
ὑψοῦ ὑπὲρ πόντοιο μεταχρονίην πετέεσθαι;

Μεταχρωννύντες: Μετασχηματίζοντες.

Μεταίτιον: [e]Ἡρόδοτος·

Τῶν ἡ πᾶν [ee]γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους.

Μέταιτος: Προσαίτης, ἐπαίτης.

[f]Οὕτω τε μέταιτος ἐτελεύτησε καὶ χρημάτων ἄπορος, [g]ὡς [h]κοινοῖς ταφῆναι χρήμασι.

---

[i] ἐν ταῖς] ἐν om. B.E.M.

[k] Διδάσκει οὖν] οὖν om. A.

[l] ἄλλῳ] ἄλλο B.E.

[m] ΜΕΤΑΠΟΙΩ δὲ] Seqq. om. A.V. A. habet in marg. Μεταποιῶ αἰτιατικῇ nec plura.

[n] Ἀντιποιεῖσθαι] Sic edd. et Photius. ἀντὶ τοῦ ποιεῖσθαι A. cum Timæi msto. Vide Ruhnkenium p. 179. Ceterum hanc gl. om. B.E.M. Tum Πολιτικῷ Πλάτων Photius. Vid. p. 289. ed. H. Steph.

[o] Θουκυδίδης] L. II. 51. unde sensus hujus loci supplendus est. KUST.

[p] ἐν τῇ λοιμικῇ καταστάσει non sunt Thucydidis sed grammatici verba, quæ male interpretatus est Kusterus, *grassante pestilentia*. Rectius Portus, *in pestilenti constitutione*, i. e. *morbo*, pro *in pestilentiæ descriptione*.

[q] ὅλων] ὅσων A. In fine φασι delevi cum A.B.E. Vid. infra v. Ποινή.

ΜΕΤΑΠΥΡΓΙΟΝ] Ex Harpocratione. KUST.

[r] Ἐν μέσῳ] τὸ ἐν μ. Harpocr. ms. Pal. qui ἐλέγετο addit post μεταπύργιον cum Photio.

[s] τείχους] τοίχους V.

[t] Οὕτω] οὕτως καὶ A.V. Harpocr. ms. Pal. οὕτω καὶ Photius B.E.

ΜΕΤΑΡΡΥΘΜΙΖΕΤΑΙ A. marg. om. V.

ΜΕΤΑΣΣΑΙ] Est vox Homerica Odyss. ι'. 221. ad quem locum vide veterem Scholiastam et Eustathium, qui vocem illam rectius exponunt, μεσήλικες. Confer etiam Etymologum. KUST.

ΜΕΤΑΣΠΩΜΕΝΟΣ: Ἀκολ.] Ex Schol. Homeri Il. ι'. 567. sed ubi legitur μετασπόμενος, per ο in syllaba tertia, ut etiam hic apud Suidam scribendum est. KUST.

[u] Ἀκολουθήσας] ἐπακολουθήσας A.V.

[x] Μετασχηματίζουσα] Statim delevi μεταπλάττουσα. Ὡς ἈΝΑΣΤΟΙΧΕΙΟΙΣ, μεταπλάττεις, cum A.V. In marg. tamen A. habet: μεταπλάττει, μετασχηματίζει, μεταστοιχειοῖ. Pro μεταπλάττεις Kusterus legerit ἀναπλάττεις.

E [y] Ἐπιλαβεῖν] Statim delevi μεθέξειν cum A.B.V. et Photio.

ΜΕΤΑ ΤΑΥΤΑ] Delevit Kusterus. Nec agnoscunt A.V.

ΜΕΤΑΤΑΞΑΣΘΑΙ: Ἀντὶ τοῦ μετελθ.] Scholiasta Thucydidis ad lib. I. 95. Παρ' Ἀθηναίους μετατάξασθαι. Πρὸς Ἀθηναίους μετελθεῖν, μετατεθῆναι. Huc Suidas respexit. KUST.

[z] Ἀντὶ τοῦ μετελθεῖν] ἀντιμετελθεῖν A.V. Photii ms.

ΜΕΤΑΤΡΟΠΟΣ ΑΥΡΑ: Ἀντὶ τοῦ ἡ μεταβλ.] Ex Schol. Aristoph. Pac. 945.

ΜΕΤΑΥΛΟΣ: Ἡ ῥυπαρὰ λεγ.] Ex Harpocratione. Confer Valesium ad Euagrium lib. IV. c. 1. KUST. F

[a] ὄρνεις] ὄρνιθες A.B.V. Harpocr.

ΜΕΤΑΦΡΕΝΑ: ὁ μεταξὺ τῶν ὤμων τόπος] Μετάφρενον: μεταξὺ τῶν ὤμων A.V. Lex. Seg. ms. Et sic fere Photius qui habet τῶν δύο ὤμων. Leg. Μετάφρενον ex Il. β'. 265. et Schol. cum lexici Seg. editore. μετάφρενον μεταξὺ τῶν ὤμων, et in marg. Μετάφρενον: ὁ μεταξὺ τῶν ὤμων τόπος· ὅτι ἐξόπισθεν τῶν φρενῶν ἔγκειται, οἱονεὶ μετὰ τὰς φρένας.

[b] δ'.] Lege α'. Scil. c. 13. VALCK. Numerus deest Photio: nec in Suida mutari debet, vid. IV. 18.

G ΜΕΤΑΧΕΙΡΙΣΑΙ: Τουτέστιν, ἐναλλ.] Ex Schol. Thucyd. I. 13.

[c] πεντηκοντόρων] πεντηκοντήρων A.B. πεντηκοντηρίων V.

[d] Τίς γάρ ἐμοὶ] Exemplum ἐκ τῶν Μυθικῶν petitum judice Ruhnkenio Ep. Crit. II. p. 207.

[e] Ἡρόδοτος] Lib. IV. 200. Deest gl. V.

[ee] γὰρ] γὰρ ἦν A. omisso ἦν post πλῆθος. In fine νόμους B.E. edd. ante Kuster. ἐδέχοντο item edd. vett.

[f] Οὕτω τε μέταιτος ἐτελ.] Hæc sunt verba Joannis Antiocheni de Valerio Poplicola, quæ exstant in Excerptis a Valesio editis, p. 786. KUST. H

[g] ὡς κοινοῖς ταφῆναι χρ.] Sic habet ms. Paris. A. itemque Joannes Antiochenus. At in prioribus editt. minus recte legitur, ὡς κοινοῦ ταφῆναι. KUST.

[h] κοινοῖς] κοινοῦ B.E. edd. vett. Tum χρη . . . E. voc. om. edd. vett.

Μεταίχμιον: [i] Μεταξὺ δύο φαλάγγων τοῦ πολέμου.

Μετεβάλετο: Ηὐτομόλησεν.

Ὁ δὲ, ἅμα τῷ εἰς ὄψιν ἐλθεῖν, μετεβάλετο πρὸς τοὺς πολεμίους.

Μετέθετο: Ηὐτομόλησεν.

Ὁ δὲ ἐν τὰ πάντα νεώτερος, καὶ τὸ πλέον μετεωρισθεὶς [k] ἀρχῇ, μετέθετο ἑκουσίως πρὸς τὸν βάρβαρον.

Μετεκίαθον: Μετῆλθον.

Μετελεύσομαι: Ἐπελεύσομαι.

Μετελθών: Ἐπελθών.

Μετ' ἐμέ: Πρός με.

Μετεμελήθη:

[l] Μεταμέλεια ἐπὶ Θεοῦ οὐκ ἔστιν, ἀλλὰ τῆς παιδείας φησὶ τὴν παῦλαν, μεταμέλειαν.

Μετεμόσχευσε: Μετεφύτευσε.

Μετ' ἐναργείας: Μετ' ἀληθείας.

[Μετένεγκε: Μετένεγκαι δέ.]

Μετεξέτεροι: [m] Παρ' Ἡροδότῳ ἀντὶ τοῦ, ἔνιοι.

Οἱ δὲ μετεξέτεροι αὐτῶν, οἱ μὲν πρὸς κύβους, οἱ δὲ πρὸς ὕπνον [n] ἐτράποντο.

Μετέωρα: Ὑψηλά. [o] Ἀγαθίας·

Τὰ δὲ τῆς Ἰταλίας πολίσματα μετέωρα ἦν [p] ἅπαντα, καὶ δεδονημένα.

Ἀντὶ τοῦ, ἕτοιμα πρὸς ἐπιχείρησιν.

Μετεωρίσαντες:

Μετεωρισθέντων: [q] Ἐπαρθέντων.

Μετεωρισθέντων δὲ τῶν Βοιωτῶν διὰ τὴν εὐημερίαν, τούτους Χαβρίας ἐταπείνωσε.

Μετεωρισμός: Ἡ ὑπερηφανία.

Μετεωροκοπεῖς: [r] Περὶ μετέωρα πέτῃ, καὶ μάτην [s] καὶ ὡς ἔτυχε κάμνεις· μετεωροκοπεῖν δέ ἐστι κυρίως, τὸ τῷ πλάτει τῆς κώπης ματαίως τὴν θάλασσαν τύπτειν. Καὶ [t] μετεωρολέσχους τοὺς φιλοσόφους [u] Ἀριστοφάνης φησὶν ἐν Νεφέλαις, ὅτι τὰ οὐράνια περισκοποῦσι. Μετενήνεκται δὲ ἡ λέξις τὸ μετεωροκοπεῖν παρὰ τὸ [x] τί θαλαττοκοπεῖς. Ἐπὶ γὰρ τοῦ σφοδροῦ τὸ κόπτειν παραλαμβάνεται. Καὶ ἀλλαχοῦ·

[y] Θαλαττοκοπεῖς καὶ πτερυγίζεις.

Μετεωρολέσχαι: [z] Περὶ οὐρανοῦ φλυαροῦντες.

Μετέωρον: Ἐφ' ὕψους.

[a] Οἱ γὰρ δορυφόροι μετέωρον ἀράμενοι τὸν [b] Σύφακα, εἰς τὸν Τριακοντόποδα καλούμενον ἐκόμισαν, ῥίψαντες κάτω.

Ἰώσηπος·

Ἄμεινον δ' εἶναι, μετέωρον ἐν φόβῳ τὸν αἴτιον καταλείπειν.

Μετεωροπολῶν: Τὰ οὐράνια σκοπῶν. Καὶ μετεωροπορῶν.

Μετέωρος: Ὁ ἤδη πρὸς πρᾶξίν τινα ηὐτρεπισμένος.

Μετῆλθε τὰς πόλεις μετεώρους πρὸς ἀπόστασιν οὔσας.

Καὶ αὖθις·

Πάλαι μετέωρος ὤν, πρὸς τὴν τῆς Ὀλυμπίας θέαν ὥρμησε.

Καὶ [c] Ἰώσηπος·

Μετεώρους ὄντας ἐπὶ τῷ μέλλοντι πολέμῳ, τοὺς πολλοὺς ἐστασίαζεν.

Ἦσαν δὲ μετέωροι ταῖς ψυχαῖς, καὶ πρὸς τὸ μέλλον ἔτι σαλεύοντες.

[d] Καὶ αὖθις·

Ὁ δὲ μετέωρος ἦν πρὸς πᾶσαν καινοτομίαν· δὲ καὶ προθύμως ὑπήκουσε τοῖς παρακαλουμένοις.

Μετέωρος ἦν ἡ Ἑλλάς.

[e] Παρὰ Θουκυδίδῃ. [f] Ἀντὶ τοῦ, ἐκεκίνητο, καὶ οὐχ ἡσύχαζον.

Μετεώρους νῆας: Παρὰ Θουκυδίδῃ, ἀντὶ τοῦ, πελαγίους, καὶ μὴ ἐπ' ἀγκυρῶν ἱσταμένας, ἀλλ' [g] ἀπεχούσας τῆς γῆς. Ἐκ μεταφορᾶς τῶν ἀπεχόντων

---

[i] τὸ μεταξὺ τῶν] μεταξὺ A.B.V. Photius. Iidem mox τοῦ πολέμου pro ἐν πολέμῳ.

[k] ἀρχῇ] ἀρχῆς A.B.E. Mox ἑκουσίως om. E.

ΜΕΤΕΚΙΑΘΟΝ] Hanc lectionem ex 2 mss. Paris. revocavi: cujus loco priores editt. [et E.] mendose exhibent μετεκίαθεν. Usus est autem hac voce Homerus Il. λ'. 52. et alibi. Confer etiam Hesychium. KUST.

ΜΕΤΕΛΕΥΣΟΜΑΙ] Il. ζ. 280.

[l] Μεταμέλεια ἐπὶ Θεοῦ οὐκ ἔστιν, ἀλλὰ τῆς π.] Theodoretus ad Psalm. CVI. 45. Μεταμέλειαν καλεῖ τῆς παιδείας τὴν παῦλαν. Ὁ γὰρ Θεὸς τῆς μεταμελείας οὐκ ἔχει τὸ πάθος, οὐδὲ νῦν μὲν τούτοις, νῦν δὲ ἐκείνοις ἀρέσκεται, ἀλλὰ σοφῶς ἅπαντα πρυτανεύων καὶ παιδείας ἐπάγει, καὶ φιλανθρωπίαν ὀρέγει. Hinc Suidas sua descripsit. KUST.

ΜΕΤΕΜΟΣΧΕΥΣΕ] Exempla dabit Suicerus Thes. Eccl. in v.

[ll] ἘΝΕΡΓΕΙΑΣ] ἐναργείας A.V.

ΜΕΤΕΝΕΓΚΕ] Gl. A. in marg. om. V.

[m] Παρ' Ἡροδότῳ] Lib. I. 63. ubi v. gl.

[n] ἐτράποντο] ἐτρέποντο A.B.V. et E. corr.

[o] Ἀγαθίας] Lib. II. p. 41. KUST.

[p] πάντα] ἅπαντα A.B.

ΜΕΤΕΩΡΙΣΑΝΤΕΣ] Procop. p. 376. ἐπὶ πλεῖστον μετεωρίσαντες. TOUP. Deest v. A.V.

[q] Ἐπαρθέντων. Μετεωρισθέντων om. Kusterus. Deest gl. V.

ΜΕΤΕΩΡΟΚΟΠΕΙΣ—τύπτειν] Ex Schol. Aristoph. Pac. 91.

[r] Περὶ om. A.B.V.E.M.

[s] καὶ ὡς] καὶ om. A. Mox καὶ μετεωρολέσχους usque ad finem om. V.

[t] ΜΕΤΕΩΡΟΛΕΣΧΟΥΣ] Monet Hemsterhusius ad Schol. Lucian. Prom. c. 6. p. 33. non hodie reperiri in Aristoph. μετεωρολέσχους, sed μετεωροφένακας Nub. v. 332. μετεωροσοφιστὰς v. 359. extare tamen apud Schol. 223. 330.

[u] Ἀριστοφάνης om. A.

[x] ΘΑΛΑΤΤΟΚΟΠΕΙΝ] τι θαλαττοκοπεῖς A.B.

[y] Θαλαττοκοπεῖς καὶ πτερ.] Aristoph. Equit. 827. Τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις; Vide ibi Scholiastam: et Nostrum infra v. Πλατυγίζει. KUST.

[z] οἱ περὶ—φλ. φιλόσοφοι] Delevi οἱ et φιλόσοφοι cum A. et Photio. οἱ φλυαροῦντες τὰ μετέωρα Schol. Luciani l. c. Voce utitur Plato Rep. VI. p. 489. conf. not. ad Hesych.

ΜΕΤΕΩΡΟΣ: Ὁ] Μετέωρον A.V. ὁ om. A.B.V.E.

[a] Οἱ γὰρ δορυφόροι μετέωρον ἀρ.] Fragmentum hoc auctius legitur infra v. Τριακοντόπους. KUST.

[b] Σύφακα] Σύφακιν A.

ΜΕΤΕΩΡΟΠΟΛΩΝ] συμμετεωροπολεῖν est verbum usitatum Gregor. Nyss. REINES. Μετεωροπολεῖν A. Sed vulg. habet Photius. Hesychius: Μετεωροπόλων: τῶν τ. οὐ. σκοπούντων.

ΜΕΤΕΩΡΟΣ] Damascius apud Suid. in Μεταπέσταντι. HEMST.

[c] Ἰώσηπος] Lib. II. de Bello Jud. p. 824. ut Pearsonius monuit. KUST. II. 21, 1.

[d] Καὶ αὖθις—παρακαλουμένοις om. V.

[e] Παρὰ Θουκυδίδῃ] Lib. II. c. 8.

[f] Ἀντὶ τοῦ, ἐκεκίνητο, καὶ οὐχ ἡσ.] Supple, ἀντὶ τοῦ, οἱ Ἕλληνες ἐκεκίνηντο, &c. Sic enim legitur apud Scholiastam ad modo indicatum locum Thucydidis. KUST.

ΜΕΤΕΩΡΟΥΣ ΝΗΑΣ: Παρὰ Θουκυδίδῃ, ἀντὶ τοῦ, πελαγ.] Ex Scholiasta Thucydidis ad lib. I. c. 48. ut Portus etiam observaverat. KUST.

[g] ἀπεχούσας τῆς] ἀπεχόντων A.

τῆς γῆς, καὶ ἐν ὄρει ὄντων. Ἢ παρὰ τὸ ἀφεῖναι τὴν A γῆν, καὶ περὶ τὸν ἀέρα λοιπὸν [b]εἶναι.

Μετεωροφένακας: Οὕτω καλεῖ τοὺς διὰ τῶν μετεώρων ἀπατῶντας [i]Ἀριστοφάνης. Φενακίζειν γὰρ, τὸ ἐξαπατᾷν.

[Μετερρυθμίζετο:

Μετέσχε: Γενικῇ. Καὶ μετέχω, ὁμοίως.]

Μετέρχομαι: Αἰτιατικῇ.

Μετειλήχει: [k]Γενικῇ. B

Μετειληχότα: Μεταλαβόντα.

Μέτειμι: Ἐξετάζω, ἀνακρίνω, μετέρχομαι.

Μετεῖναι: Μετιέναι, ἐπεξελθεῖν. [l]Ἡρόδοτος·

Πρῶτον μὲν τοὺς [m]μάγους, οἳ μετεῖναι τὸν Κῦρον ἀνέπεισαν, ἀνεσκολόπισε.

Μέτεισιν: [n]Αἰτιατικῇ. Ἀμύνεται, ἐπεξέρχεται.

Μέτεισι τοὺς Ἀθηναίους ὑπὲρ τῶν ἀθέσμων φόνων ἡ δίκη· καὶ C ἀφορίαις συνείχοντο.

Μετῇ: [o]Ἐξῇ.

Μετῄεσαν: Μετήρχοντο, ἐδίωκον.

Καὶ ὡς [p]κατειργάσατο τὸ κάλλιστον ἔργον, ἔφευγεν ὤκιστα εὐθὺ τοῦ ἐραστοῦ.

Μετῄεσαν δὲ αὐτὸν οἱ δορυφόροι, καὶ διέφυγεν ἂν ἐκείνους, εἰ μὴ προβάτοις συνεζευγμένοις περιπεσὼν καὶ συμπλακεὶς ἐς πέδην, κᾆτα ἀνετράπη.

Μετήει: Ἀφυστερεῖ, ἢ ἀποτυγχάνει κλήρου. D

Μετῆλθε τὴν ἄλοχον: Ἀντὶ τοῦ, προσωμίλησεν αὐτῇ.

Μετήορος: Ὑψηλός.

[Μετίημι: Αἰτιατικῇ.]

Μετ' ἴχνια: Κατὰ ἴχνη πορεύεσθαι.

Μετοκλάζει: Μετακαθίζει.

Μετ' ὀλίγον χρόνον:

Μετόν: Ἐξόν. [q]Ἀριστοφάνης·

Οὐδ' ἂν κλέπτης οὐδεὶς ἔσται. Πῶς γὰρ κλέψαι; μετὸν αὐτῷ.

Ἀντὶ τοῦ [r]μέτεστι.

Μετόπισθεν: Ἐν ὑστέρῳ, μετὰ ταῦτα.

Μετόπωρον: Τὸ φθινόπωρον, ὁ μετὰ τὴν ὀπώραν καιρός. B

Μετόρχιον: Τὸ μεταξὺ τῶν φυτῶν· ἢ τὸ μεταξὺ τῶν χωρίων, ὅπερ λέγεται ὄρχος. [s]Μεταστήσειε, φησὶ, τὰ φυτὰ ἀπὸ τῶν ἀρουρῶν τῶν σπειρομένων. Ἢ μετόρχιόν ἐστι τὸ μεταξὺ τῶν συμφύτων [t]πεδίον, ἐν ᾧ ἢ σῖτος ἢ ἄλλο τι ἔσπαρται.

Μετουσία: Κοινωνία.

Μετοχετεύειν: Μετακομίζειν. C

Μετοχή: Ὁ περίβολος. [u]Δαβίδ·

Ἧς ἡ μετοχὴ αὐτῆς ἐπιτοαυτό.

Μέτων: Ὁ μαθηματικός. Καὶ Μέτωνος ἐνιαυτός. Οὗτος ὁ Μέτων ἄριστος ἐγένετο [x]ἰατρὸς καὶ ἀστρονόμος. Τούτου ἐστὶν ὁ λεγόμενος [y]Μέτωνος ἐνιαυτός. Καλλίστρατος δέ φησιν [z]εἶναι αὐτοῦ ἐν Κολωνῷ ἀνάθημά τι [a]ἀστρονομικόν· Εὐφρόνιος δὲ, ὅτι D [b]τὸν δῆμον ἦν ἐκ Κολωνοῦ. Πρὸ Πυθοδώρου δὲ ἡλιοτρόπιον ἦν ἐν τῇ νῦν οὔσῃ ἐκκλησίᾳ πρὸς τῷ τείχει τῷ ἐν [c]Πνυκί. Ἢ ὅτι ἐν Κολωνῷ κρήνην τινὰ κατεσκευάσατο· φησὶν ὁ Φρύνιχος Μονοτρόπῳ·

[d]Τίς δ' ἐστὶν ὁ μετὰ [e]ταῦτα φροντίζων; Μέτων
ὁ [f]Λευκονοιεύς. [g]Οἶδ', ὁ τὰς κρήνας ἄγων.

[h] εἶναι] Addunt A.B.V.E. Edd. ante Kuster. Μετέωροι. ἦσαν—σαλεύοντες ex gl. superiore. E

[i] Ἀριστοφάνης] Nub. 332.

ΜΕΤΕΡΡΥΘΜΙΖΕΤΟ] Uncis inclusa om. A.V. Addit A. Μετέσχηκεν (Μετέσχε E.) γενικῇ. Μετέχω γενικῇ. Μετειλήχει γενικῇ. Μετ' ὀλίγον χρόνον. αἰτιατικῇ. Μετρεῖν αἰτιατικῇ. Μετάστασιν. αἰτιατικῇ.

[k] γενικῇ] μετέσχε A.

[l] Ἡρόδοτος] Lib. I. 128. PORT. Vid. Wesseling. Dissert. Herod. p. 40. TOUP.

[m] μάγους] τοὺς μάγους A.B.V.E. Mox ἀνεσκολόπισαν V. F

[n] Αἰτιατικῇ om. A. Seq. exemplum Æliano tribuit Valckenærius. Post h. gl. habet A. Μέτεισι· μετῆλθε τ. ἄ. ἀ. τ. τ. α.

[o] Ἐξῇ] μέτεισιν addunt edd. ante Kuster. et B. Μέτεισιν ὑψηλός. Tum Μετῆλθε τ. ἄ. V. Deest gl. A.

ΜΕΤΗΕΣΑΝ om. V. qui in exemp. μετιέσαν.

[p] κατεργάσατο] κατειργάσατο A.B. κατειργάσαντο E.M. Mox ἔφευγεν B.E. Et hoc fragmentum Æliano assignat Valckenærius. gl. seq. om. A. G

ΜΕΤΗΛΘΕ ΤΗΝ ἌΛ.] Pindar. Isthm. VII. 10.

ΜΕΤΗΟΡΟΣ h. l. om. A.V.

ΜΕΤΙΗΜΙ om. A.V.

ΜΕΤ' ἼΧΝΙΑ] Vid. Od. β. 406.

ΜΕΤΟΚΛΑΖΕΙΝ: μετακαθίζειν] Μετοκλάζει: μετακαθίζει A.B.E. ut Il. ν. 281. Vulg. habet Photius.

ΜΕΤ' ὈΛΙΓΟΝ] om. h. l. A.

[q] Ἀριστοφάνης] Eccles. 663. sed ubi hodie sic legitur: Οὐδ' ἂν κλέπτης οὐδεὶς ἔσται. Πῶς γὰρ κλέψαιμι τὸ 'μαυτοῦ. H At lectio Suidæ, ut elegantior et magis Attica præferenda est. Μετὸν enim Atticorum proprium est, pro μετόντος, ut ἐξὸν, pro ἐξόντος, et similia. Hoc librarius aliquis ignorans, locum hunc, quem emendare voluit, vere corrupit. Non dicerent enim Attici τὸ 'μαυτοῦ, sed potius per crasin τοὐμαυτοῦ; uti τοὐμὸν iidem dicunt pro τὸ ἐμόν. At si ita scribas, versus non stabit. Deinde, probabile non est, τὸ, πῶς γὰρ κλέψαιμι τὸ 'μαυτοῦ, mutatum fuisse in πῶς γὰρ κλέψαι; μετὸν αὐτῷ; sed contra: quoniam ea quæ sunt magis recondita, et usu vulgari minus trita (talis autem est lectio Suidæ) plerumque mutari solent in ea, quæ sunt notiora et magis communia. Habes, lector, de diversitate lectionis hujus judicium nostrum. KUST.

[r] μέτεστι] ἐξὸν V. Conf. Schol. Platon. p. 237.

ΜΕΤΟΠΙΘΕΝ] Μετόπισθεν A. Photius.

ΜΕΤΟΡΧΙΟΝ: Τὸ μεταξὺ τῶν φ.] Ex Schol. Aristoph. Pac. 567. sed ubi plura leguntur. KUST.

[s] Μεταστήσειε] Seqq. om. V.

[t] πεδίον] πεδίων A.M.

[u] Δαβίδ] Psalm. CXXI. 3. KUST.

ΜΕΤΩΝ: Ὁ μαθημ.] Ex Enarratore Comici ad Av. 998. KUST.

[x] ἰατρὸς] Imo γεωμέτρης, ut recte habet Enarrator Comici loco laudato. KUST.

[y] Μέτωνος] Μέτων A.B. pr.

[z] ἐν Κολωνῷ εἶναι αὐτοῦ] εἶναι αὐτοῦ ἐν Κολωνῷ A.

[a] ἀστρονομικὸν] ἀστρονομικός V.

[b] τὸν δῆμον] τῶν δήμων A.B.V.

[c] Πνυκί] Πυκὶ V. An Πυκνί?

[d] Τίς δ' ἐστιν, ὁ μετ.] Duo hi senarii iambici sic scribendi et numeris suis restituendi sunt: Τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα ταύτης φροντίσων; Μέτων ὁ Λευκονοιεὺς, οἶδ', ὁ κρήνας ἄγων. KUST. Hunc locum descripsit Suidas ex Schol. ad Aristophanis Aves, 998. ut recte monuit Kusterus. Phrynichi autem trimetros pessime contrectavit vir doctissimus. Alter enim versiculus titubat miserrime. Josephus Scaliger, in emendationibus ad Eusebium, reponebat: Μέτων ὁ Λευκονοιεὺς, οἶδ' ὁ τὰς κρήνας ἄγων. Edit. Mediolanensis in priori versiculo ταύτης non agnoscit. Quare vide an locus ita rescribendus sit: Τίς δ' ἐστὶν ὁ μετὰ ταῦτα φροντίζων; Μέτων Ὁ Λευκονοιεύς, ΕΥ ΟΙΔ', ὁ τὰς κρήνας ἄγων. Quod verum et κωμικώτερον videtur. Scribi-

Ἢ ἴσως, ὅτι ἐν τῷ Κολωνῷ κρήνην τινὰ κατεμηχανήσατο· ἢ ἄγαλμα, ἢ ἀνάθημα ἀστρονομικὸν κατεσκευάσατο. A

Μετωνυμικῶς: Μετωνομασμένως.

Μέτωπον: Καὶ Μετωπίδιον: Τὸ ἐπὶ τοῦ μετώπου.

Μέτωπον τῆς νεώς: Ἡ πρώρα ἐστί. [b] Καὶ Μετωπηδόν: Τουτέστι, τὰ πρόσωπα τῶν [bb] νεῶν παρεῖχον τοῖς ἐναντίοις.

Μετῴχετο: Ἐπορεύετο. B

Μετρεῖν: Αἰτιατικῇ.

Μετρείτω: [i] Παρεχέτω. Ἀριστοφάνης·

Πυροὺς πεινῶσι μετρείτω.

Μετρήσαντες: Διελθόντες.

Μέτρησον: Δάνεισον. Καὶ [k] Ἡσίοδος·

[redacted] μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι.

Καὶ Θεόπομπος Καπήλοις·

Μετάδος, ἢ μέτρησον, ἢ τιμὴν λάβε.

Μετριάζει: Ταπεινοφρονεῖ. C

Μετριοπαθεῖν: Ἐκ μέρους τὰ πάθη καταδέχεσθαι, [l] συγγινώσκειν. [m] Ἀππιανός·

Κλαύδιος Μάρκελλος πάλιν τῶν ἐναντίων παραστήσατο, καὶ συγγνώμην [n] ἔδωκε, ἀργυρίου τριάκοντα τάλαντα λαβών. [o] Νεργόβριγες δ' αὐτοῦ περὶ [p] τῆσδε τῆς μετριοπαθείας πυθόμενοι, ἐθαύμαζον.

Καὶ αὖθις· D

[q] Τοὺς Μήδους ἀναζωπυροῦνται τὸ φιλοπόλεμον, μετριοφρονεῖν ἐπὶ τοῖς ἔναγχος οἱ [r] χωρήσαντες ἐπιτεύγμασιν.

Ἀριστοτέλης λέγει τὸν σοφὸν μετριοπαθῆ μὲν εἶναι, ἀπαθῆ δὲ μὴ εἶναι.

Μέτριος: Ὁ μεμετρημένην ἔχων [s] οὐσίαν· ἢ τὸ ἦθος ἐπιεικής.

[t] Ἔνιοι [redacted] τῶν μετρίων ἀνδρῶν δυσφόρως ἐπὶ τοῖς προσπίπτουσι, καὶ Μαρκελλῖνος.

[u] Τιμολέοντα δὲ ὁ Τίμαιος ὁ [x] Ταυρομενίτης ὑπερετήρησε τοῦ μετρίου.

Μετρίως [y] ὠργασμένος: Ἀντὶ τοῦ [z] μεμαλαγμένος, ἢ δεδευμένος.

Μέτριοι: Εὐγνώμονες.

[a] Ξυνομολογήσαντες ἄμφω [b] ταῦτα ἑαυτοῦ, καὶ ἄλλο [c] ὅτι περ τῶν μετρίων [d] ἐπαγγέλλει Ἀντώνιος. Ὁ δὲ [e] οὔτε τῆς παρασκευῆς τὸν πόλεμον ἀνῆκε.

C Μέτριοι: [f] Ἀθήνηθεν ἀποπλεύσας [g] Ἀσκληπιόδοτος, καὶ εἰς Σελεύκειαν τῆς Συρίας ἀφικόμενος, διεσκοπεῖτο τὰ ἤθη τῶν ἀνθρώπων· καὶ ἐν τῇ περιόδῳ ὅλῃ τρισὶν μόνοις ἔφη ἐντετυχηκέναι μετρίως ἔχουσιν ἀνθρώποις, [h] Ἰλασίῳ [i] τῷ φιλοσόφῳ κατ' Ἀντιόχειαν· ἐν δὲ [k] Λαοδικείᾳ, τῇ ἐχομένῃ πόλει τῶν Σύρων, [l] Μάρσῃ τῷ δικαιοτάτῳ τῶν καθ' ἡμᾶς ἀνθρώπων, καὶ τὴν Ἀριστείδου ἐπωνυμίαν [m] ἀπενηνεγκαμένῳ· Δομνίνῳ τε τῷ φιλοσόφῳ. D

bitur autem Λευκονοεὺς et Λευκονοιεύς· de quo Rutgersius in Variis, lib. V. c. 4. TOUP.

[e] ταῦτα ταύτης] ταύτης om. A.B.E.

[f] Λευκονιεὺς] Λευκονοεὺς A.B.

[g] οὐδ' ἔτι] οὐδ' ὁ τὰς A.V.

[h] Καὶ ΜΕΤΩΠΗΔΟΝ: Τουτέστι, τὰ πρ.] Thucydides lib. II. c. 90. Ἐπιστρέψαντες τὰς ναῦς, μετωπηδὸν ἔπλεον, ὡς εἶχε τάχους ἕκαστος, ἐπὶ τοὺς Ἀθηναίους. Scholiasta ad eum locum: Τὸ δὲ μετωπηδὸν, πάλιν τὸ κατ' εὐθεῖαν πλέειν ἐστί. Τὸ γὰρ μέτωπον τῆς νεὼς ἡ πρώρα ἐστί. Λέγει οὖν, ὅτι τὰ μέτωπα, ὅ ἐστι τὰ πρόσωπα τῶν νεῶν, παρεῖχον τοῖς ἐναντίοις. Hinc Suidas sua descripsit, ut Portus etiam monuit. KUST.

[hh] νεῶν] νηῶν A.

ΜΕΤΩΙΧΕΤΟ: Ἐπορεύετο] Rectius Scholiasta Homeri ad Il. ε'. 148. Μετῴχετο: Μετήρχετο, ἐπορεύετο εἰς. KUST.

ΜΕΤΡΩ] Μετρεῖν A.V.B.E.

[i] παρασχέτω] παρεχέτω A.B.E. Aristophanis locus est Av. 581. Seq. gl. pertinet ad Od. γ'. 179.

ΜΕΤΡΗΣΟΝ—Θεόπομπος Καπήλοις· Μετάδος ἢ μέτρησον, ἢ τιμὴν λάβε] Senarius Theopompi turpiter decurtatus est. Adde quod fabula ejus perperam inscripta est. Repone, Θεόπομπος Καπηλίσιν· Ἢ μετάδος, ἢ μέτρησον, ἢ τιμὴν λάβε. Quemadmodum recte exhibet Scholiastes ad Aristoph. Acharn. 1020. unde descripsit Suidas. Theopompi autem fabulam laudat supra Noster, v. Ἄττις. Θεόπομπος Καπηλίσι· Κολάσομαί γε σέ Καὶ τὸν σὸν Ἄττιν. TOUP. καπήλοις M. Tum ἢ τιμὴν λάβε, ἢ μέτρησον A.

[k] Ἡσίοδος] Opp. 347.

[l] συγγινώσκειν] Seqq. om. V.

[m] Ἀππιανός] De Bellis Hispan. p. 475. ubi locus hic paulo aliter legitur. KUST.

[n] ἔδωκε, ἀργυρίου] ἀργυρίου ἔδωκε A.

[o] Νεργόβριγες] Νεργόβριδες B.E.M.

[p] τῆσδε] τῆσδε τῆς A.B.E.M.

[q] τοὺς Μήδους ἀναζωπυροῦνται τὸ φιλ.] Fragmentum hoc legitur apud Theophylactum Simocat. lib. III. c. 15. KUST. ubi μετριοπαθεῖν pro μετριοφρονεῖν.

[r] συγχωρήσασιν] χωρήσαντες A.B.D. χωρήσασιν E.

[s] τὴν οὐσίαν] τὴν om. A.B.V.E.

[t] Ἔνιοι [redacted] τῶν] Seqq. om. V.

[u] Τιμολέοντα [redacted] ὁ Τίμ.] Polybius in Excerptis a Valesio editis, p. 54. Τίμαιος [redacted] μείζω ποιεῖ Τιμολέοντα τῶν ἐπιφανεστάτων θεῶν. Ad hunc locum Suidas respexit, satis habens sensum Polybii exprimere, ipsis verbis neglectis; quod ipsi solenne est. KUST.

[x] Ταυρομενίτης] Ταυρομενίτης A.B.

ΜΕΤΡΙΩΣ ὨΡΓΙΣΜΕΝΟΣ] Ordinem, ut puto, perperam invertit Suidas: ita scribendum fuit: Δεδευμένος ὠργασμένος ἀντὶ τοῦ μεμαλαγμένος, μετρίως. Illud vocabulum dignum erat quod explicaretur; tum commodam interpretationem habet μεμαλαγμένος; nam apud Hesych. E aliosque grammaticos Δεῦσαι est μαλάξαι. Sed fallor: legendum est ὠργασμένος ἀντὶ τοῦ μεμαλαγμένος ἢ δεδευμένος. Μετρίως ὠργασμένος verba sunt Platonis, ut patet ex v. Ὠργασμένος. HEMST.

[y] ὨΡΓΙΣΜΕΝΟΣ] ὠργιασμένος A.B.V. ὀργιασμένος Photii ms. ὀργιασμένος Timæi ms. Dedi ὠργασμένος cum Timæi et Photii editoribus. Iidem libri μεμαλαγμένος et δεδευμένος. V. om. ἀντὶ τοῦ seqq.

[z] μεμαλαγμένος] Sic rectius habet ms. Paris. A. et Pho- F tius in Lexico inedito, quam priores editt. in quibus legitur μεταλλαγμένος. KUST. μεταλλαγμένος E.

[a] Ξυνομολογήσαντο] ξυνομολογήσαντες A.B.E.M.

[b] τὰ] ταῦτα A.B.V.E.

[c] ὅτι] ὅτι περ A.B.E.

[d] ἐπαγγέλλει] ἐπαγγέλει A.M. ἐπαγγέλλει V. Mox ἂν addit E.

[e] ἀντὶ] οὔτε A.B.V.

[f] Ἀθήνηθεν ἀποπλεύσας Ἀσκληπιόδωρος, καὶ εἰς Σελ.] Hæc, et quæ sequuntur, ex Damascio excerpta esse et stilus et G argumentum ipsum indicat. Confer Nostrum supra v. Δομνῖνος, et v. Μάρσος. KUST.

[g] Ἀσκληπιόδωρος] Potius Ἀσκληπιόδοτος. Vide Photium in Excerptis ex Damascio, p. 1054. 1056. KUST. Ἀσκληπιό A.

[h] Ἰλασίῳ] Leg. puto Ἰλαρίῳ: is nimirum intelligitur, de quo plura tradit ex Damascio in Ἰλάριος. HEMST. An est Ἰλάριος, de quo supra? Non videtur, sed est Ἰλάσιος, ad quem scribit Dionysius Sophista Antiochiæ. H REINES.

[i] τῷ] τε τῷ B.V. Mox Ἀντιόχου V.

[k] τῇ Λαοδικείᾳ] τῇ om. A.B.V.E.

[l] Μάρσῃ τῷ δικαιοτ.] De hoc pluribus agit Suidas supra v. Μάρσος. KUST. Μάρσῳ A. Μάρσει B.E.

[m] ἀπενηνεγκαμένῳ] ἀπενεγκαμένῳ. Cui perinde atque olim Aristidi cognomen erat Justi. HEMST. ἀπενεγκαμένῳ A.V.

[s] Ζωβίαν ὑποδεξαμένην Ἀριστογείτονα φυγόντα, καὶ ἀξιοῦσαν εὖ παθεῖν, ὅτε ἴσχυεν, ἐπὶ τὸ τοῦ μετοικίου πωλητήριον ἤγαγε, καὶ τὴν ἀδελφὴν ἐπ' ἐξαγωγῇ πέπρακε. A

Καὶ αὖθις·

[t] Τοῦτον δὲ ἐπίπρασκον, τὸ μετοίκιον [u] ἀτονοῦντα θεῖναι.

Μετοιωνίσασθαι: Ἀντὶ τοῦ, μεταθέσθαι τὸν φαῦλον οἰωνόν.

Μετοίχεσθαι: Μετελθεῖν, [v] μεταβαίνειν.

Μετοιχήσονται: Μεταπορεύσονται, μετέλθωσι. B

Μέχρι αἰδοῦς: Μέχρι αἰδοίων.

Μέχρι τῶν ἀμφωτίδων: Ἐπὶ τῶν ἄγαν πεπληρωμένων. Τὸ δὲ [x] ἀμφωτίδων, μέχρι τῶν ὤτων.

Μειαγωγεῖν: Τὸ ἔλαττον φέρειν. [y] Καὶ Μειαγωγεῖον.

[z] Μειαγωγήσουσι τὴν τραγῳδίαν.

Ἐάν τις [a] εἰσήγαγεν εἰς [b] τοὺς φράτορας υἱὸν ἐνήλικα γενόμενον, ἱερεῖον παρίστατο αὐτῷ ἐν ὡρισμένῳ σταθμῷ, C πρὸς ὃ ἔδει προσάγειν, καὶ οὐκ ἐξῆν μεῖον παρασχεῖν. [c] Ὅτε δὲ ἐντεθείη τὸ ἱερεῖον εἰς τὸν ζυγὸν, περιεστῶτες ἐβόων, μεῖον, μεῖον· τοῦτο δηλονότι ἔλαττόν ἐστι. [d] Παρὰ τοῦτο οὖν λέγει,

Μειαγωγήσουσι τὴν τραγῳδίαν.

Πρὸς τὸν ζυγὸν προσάξουσι, καὶ στήσουσι. Καὶ [e] ὁ τὸ πρόβατον εἰσάγων, μειαγωγὸς ἐκαλεῖτο, [[f] κουρεῖον.] D Ἔδει δὲ αὐτὸ ἔλαττον ἴσχειν σταθμοῦ τινος, διὰ τοὺς φιλοδοξοῦντας.

Μειαγωγία: Καὶ Μειαγωγὸς, ὁ εἰσάγων. Ἀπολλόδωρος ἐν τοῖς περὶ Θεῶν·

[g] Ὅτι Οἱ φράτερες, ἵνα μείζους νέμωνται μερίδας, ἐπεφώνουν ἑστῶτες, [h] ἱστάνειν δεῖ; μεῖον γάρ ἐστι.

Μειαγωγῆσαι δέ ἐστι, τὸ [i] ἐπιδοῦναι τοῖς φράτορσι τὸ Μεῖον.

Μείδας, Μείδαντος. Ὄνομα κύριον.

Μειδίαμα: Ὁ γέλως.

Μειδίας: Ὄνομα κύριον.

Μειδῶ: Τὸ γελῶ. Καὶ μειδιῶ, ὁμοίως.

Μείδωνος: Ὄνομα κύριον.

Μείδυλος: Ὄνομα κύριον.

Μείζονα βοᾷ δάφνης χλωρᾶς καιομένης: Ἐπὶ τῶν [k] μεγάλα βοώντων.

Μείλανι: Τῷ μέλανι.

Μείλαξ: Ὁ λειμὼν, ὁ παράδεισος. [l] Καὶ πληθυντικῶς, μείλακες.

Μείλια: Τὰ προικία.

Μειλίγμασιν: Ἀπατήμασιν, ἐξιλεώμασιν, ἡδύσμασι.

Καὶ τῷ τρόπῳ τῆς μειλίξεως οὐδ' αὐτὸν ἀπεκρύψατο.

Μειλικτήριον:

Μειλικτηρίοις: Προσηνέσιν, ἡδέσι, πραέσι.

Μείλινον δόρυ:

Μειλίξασθαι: Πραῦναι.

Μειλισιουργίς:

Μειλισσόμενος: Παρακαλῶν, πραΰνων.

Μειλιχία: Καὶ Μειλίχιος: Πρᾶος, χρηστός.

Μείλιχον: Πρᾶον, χρηστόν.

Μεῖον: Καὶ μειαγωγός. Ἰσαῖος ἐν τῷ πρὸς Στρατοκλέα φησί·

Παρίστη μεῖον.

---

[s] Ζωβίαν ὑποδεξαμένην Ἀριστογ.] Locum hunc composuit Suidas ex Demosthene, qui Orat. 1. contra Aristogit. p. 496. ingratum animum Aristogitonis erga Zobiam plenius sic describit: Ταύτην τὴν ἄνθρωπον (i. e. Ζωβίαν) τὴν τὰ τοιαῦτα εὐεργετήσασαν αὐτὸν, ὡς πάλιν παρ' ὑμῖν ὤφθη, καὶ λαμπρὸς ἦν, μεμφομένην τι καὶ τούτων ὑπομιμνήσκουσαν, καὶ ἀξιοῦσαν εὖ παθεῖν, τὸ μὲν πρῶτον ῥαπίσας καὶ ἀπειλήσας ἀπέπεμψεν ἀπὸ τῆς οἰκίας· ὡς δ' οὐκ ἐπαύετο ἡ ἄνθρωπος, ἀλλὰ γυναικεῖον πρᾶγμα ἐποίει, καὶ πρὸς τοὺς γνωρίμους προσιοῦσα ἐνεκάλει, λαβὼν αὐτὸς αὐτοχειρίᾳ, πρὸς τὸ πωλητήριον τοῦ μετοικίου ἀπήγαγε, καὶ εἰ μὴ κείμενον αὐτῇ τὸ μετοίκιον ἔτυχεν, ἐπέπρατ' ἂν διὰ τοῦτον, ᾧ τῆς σωτηρίας αὕτη αἰτία ἐγεγόνει. KUST. Mox ἐξαγωγὴν M. E

[t] Τοῦτον δὲ ἐπίπρασκ.] Hæc sunt verba Laërtii in Xenocrate, segm. 14. sed ubi pro ἀποτινοῦντα rectius legitur ἀδυνατοῦντα. KUST.

[u] ἀποτινοῦντα] ἀτονοῦντα ut recte Valesius. HEMST. ἀτονοῦντα A.B.E.

ΜΕΤΟΙΩΝΙΣΑΣΘΑΙ: Ἀντὶ τοῦ, μετ.] Ex Harpocratione. KUST. Ex Dinarch. c. Demosth. p. 101, 45. ed. Steph. conf. p. 94, 5.

[v] μεταβαίνειν] διαβαίνειν V.

ΜΕΧΡΙ. γενικῇ] Μέχρι αἰδοῦς. A.V. Photius. Μέχρι. γενικῇ, μέχρι αἰδοῦς B.E. edd. ante Kuster. Mox αἰδοίων A.B.V. pro αἰδοίου.

[x] ΜΕΧΡΙ ΤΩΝ ἈΜΦΩΤΙΔΩΝ] μέχρι τῶν om. A.B.V.E. edd. ante Kuster.

[y] Καὶ ΜΕΙΑΓΩΓΕΙΟΝ delevit Kusterus. Sequentia collocat V. post artic. Μειαγωγία.

[z] Μειαγωγήσουσι τὴν τραγ.] Aristoph. Ran. 809. Τί δὲ, μειαγωγήσουσι τὴν τραγῳδίαν; Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. Confer etiam Nostrum supra v. Ἀπατούρια, et Petitum de Leg. Att. p. 148. KUST.

[a] εἰσήγαγεν] εἰσάγῃ εἰς τοὺς ἰδίους φ. Schol. et mox ἐν ἡλικίᾳ. Tum παρίστα αὐτοῖς ἐπὶ ὡ. στ. πρὸς ὅν.

[b] φράτορας] τοὺς φράτερας A.B.E.

[c] Ὅτε δὲ] δὲ om. B.V.E. Tum τεθείη V. et infra ἔλασσον V.

[d] Παρὰ] περὶ A.V. Tum τούτου V. omisso statim λέγει.

[e] ὁ τὸ] ὁ om. B.E.

[f] κουρεῖον] Supple et scribe, τὸ δὲ ἱερεῖον τοῦτο καὶ κουρεῖον ἐκαλεῖτο. KUST. Κουρεῖον inepte h. l. positum est. Alio loco Schol. Aristoph. τοῦτο δὲ κέκληται κουρεῖον, ἀπὸ τῶν κούρων, ὑπὲρ ὧν ἐθύετο.

ΜΕΙΑΓΩΓΙΑ: Καὶ ΜΕΙΑΓ.] Ex Harpocratione. KUST.

[g] Οἱ φράτορες] Ὅτι οἱ φρ. A. Mox ἵνα μείζονας μερίδας Photius. F

[h] ἱστάνειν δεῖ] σταθεῖν δεῖ ἐν A.B.E.M. Et sic fere Photii ms.

[i] ἀποδοῦναι] ἐπιδοῦναι A.B. Phot. Harpocr. τὸ τοῖς φρ. δοῦναι τὸ μ. V. σημεῖον A. pro τὸ μεῖον.

ΜΕΙΔΙΑΣ] Μειδίας medicus et Cleombrotus fratres: soror eorum Cretoxene, mater Erasistrati Juliatæ: vid. supr. Ἐρασίστρατος. Laert. in Theophr. testamento V. 1. Μειδίου καὶ Πυθιάδος (Aristotelis filiæ) filium nominat Aristotelem. REINES.

ΜΕΙΔΩΝ] Μείδωνος A.B.V.E. G

[k] μέγα] μεγάλα A.

ΜΕΙΛΑΞ] Vocem hanc suspectam habeo, pro qua transpositis literis scribendum puto λείμαξ. Vide Nostrum supra v. Λείμαξ. KUST. μείλαξ A.

[l] Καὶ πληθυντικῶς μείλακες] καὶ λείμακες τὸ πληθυντικὸν A.

ΜΕΙΛΙΑ] Il. ι'. 147.

ΜΕΙΛΙΓΜΑΣΙΝ] Vid. Æschyl. Choëph. 13. In expos. ἀπατήμασιν om. A. Photius, Μειλίγμασιν: ἀπατήμασιν, nec plura. Μειλίγμασιν: ἀπατήμασιν Lex. Seg. H

ΜΕΙΛΙΚΤΗΡΙΟΝ om. V.

ΜΕΙΛΙΚΤΗΡΙΟΙΣ] Vid. Blomfield. Gloss. Æschyl. Pers. 616.

ΜΕΙΛΙΝΟΝ] Il. ε'. 666.

ΜΕΙΟΝ: Καὶ ΜΕΙΑΓΩΓΟΣ. Ἰσ.] Ex Harpocratione. KUST.

Θῦμα δέ ἐστιν, ὃ τοῖς φράτορσι παρεῖχον οἱ τοὺς A παῖδας εἰσάγοντες εἰς τούτους. Ὅθεν [m]τὰ μὲν ἱερεῖα μεῖον προσηγορεύθη.

Μεῖον: Ἔλαττον, μικρότερον.

[n]Ὁ ■ εἰς αὔξησιν τῆς ἀρετῆς καὶ μείωσιν τῆς κακίας ὅλην ἐξεκέχυτο τὴν ψυχήν.

Οὐδέν τι μεῖον ἢ ὁ Σωκράτης εἰς τὴν ζήτησιν τοῦ ἀληθοῦς. Ἐπεὶ καὶ ἐκεῖνος ὑπὸ τῶν λ' μὴ διαλέγεσθαι προσταχθεὶς, οὐχ οἷός τε ἦν πείθεσθαι τῷ προστάγματι.

B

Καὶ αὖθις·

Οἱ δὲ ἐν μάχαις πολλαῖς ἔφερον τὸ μεῖον.

Μεῖον: Τὸ ὑπὲρ τῶν [o]ἐγγραφομένων παίδων εἰς τοὺς φράτορας θυόμενον ἱερεῖον, οὐ μείζονος ἀποδεδειγμένου τινὸς σταθμοῦ· ᾧ ἐπεφθέγγοντο οἱ φράτορες, εἰ καὶ μεῖζον εἴη, ὅτι μεῖον· καὶ μειαγωγὸς ὁ τοῦτο παρέχων.

C Μειονεκτεῖν: Τὸ ἧττον φέρειν, ἐλαττοῦν.

Μειονέκτημα: [[p]Καὶ Μειονεκτῶ, γενικῇ. Τὸ ἔλαττόν σου ἔχω. Καὶ] Μειονεκτούμενοι, ἐλαττούμενοι.

Μειονεξία:

Μείου: [q]Ἐλάττονα τίθει. [r]Ξενοφῶν·

Κῦρος ἔφη πρὸς Ἀράσπαν τὸν κατάσκοπον, μηδὲν ἐλάσσω τἀληθοῦς, μηδὲ μείω τὰ τῶν πολεμίων. Κρεῖσσον γὰρ μείζω [s]οἰηθέντας μείονα ἰδεῖν, ἢ μείω ἀκούσαντας, ἰσχυρότερα εὑρίσκειν.

D

Μειοῦται:

Μείων: Ὁ ἐλάσσων.

Μειρακιεύεσθαι: Ὡς μειράκιον ἀθύρειν. [t]Μεῖραξ γὰρ, τὸ μειράκιον. Καὶ μειρακύλλιον.

Μείρεται: Βουλεύεται.

Μείρω: Μερίζω.

Μεὶς: Μὴν Αἰολικῶς.

E Μεῖστον: Τὸ ἐλάχιστον.

Μή: Τὸ ἀπαγορευτικόν. Ἀντὶ τοῦ οὐ κεῖται παρὰ [u]Καλλιμάχῳ.

Ἠρνεόμην θανάτου πάλαι καλέοντος ἀκοῦσαι,
μὴ μεταδῶ.

Τουτέστιν, οὐκ ἀπέθανον πρὸ τούτου, ἵνα οὐ μεταδῆν καὶ ἐπὶ σοὶ θρηνήσω ἀποθανόντος. Καὶ παρὰ Ἀριστοφάνει τὸ μὴ ἀντὶ τοῦ οὐ τάττεται.

[Μὴ ἀποσκορακίσῃς με: Μὴ ἐκδιώξῃς με, μὴ ἐς κόρακας [v]ἐκβάλῃς.]

Μηδ' ἄκανθα ἀντὶ τοὺς ἀγαθούς:

B Μηδ' αὖ [x]πλαδίῃ: Ἀντὶ τοῦ, μηδὲ πλησίον γένοιτό [y]μοι τοῦτο, ὅπερ λέγεις.

Μήδαβα: Ὄνομα τόπου παρὰ τῷ Ἰωσήπῳ.

Μηδ' ἀμελῶ: Ἐπὶ τῶν [z]καταφρονουμένων.

Μηδαμῆι, καὶ Μηδαμοῦ, καὶ Μηδαμῶς.

Μηδαμινός: Ὁ εὐτελής.

Μήδεα: Τὰ βουλεύματα, καὶ τὰ αἰδοῖα.

Μηδὲ κάρφος κινεῖν: Ἐπὶ τοῦ ἡσύχου.

C Μηδὲ μέλι, μηδὲ μελίσσας: Ἐπὶ τῶν μὴ βουλομένων [a]παθεῖν τι φαῦλον μετ' ἀγαθοῦ.

Μηδὲν μακρὰν ἀπέλθῃς: Παρὰ [b]Ἀριστοφάνει. Τὸ [c]δὲν παρέλκει κατ' Ἀττικούς.

Μηδέν ποτ' εἴην ἄλλο, πλὴν θεῷ φίλος: Εἰς ὅσον ὑπὸ τὴν αὐτοῦ λῆξιν καὶ τὸ αὐτοῦ κράτος ἀριθμοῦμαι. Λῆξις [d]δὲ, ἡ παῦσις.

D Μηδέποτε δουλεύσασα γυνὴ, δέσποινα γένηται:

Μηδέποτ' εὖ ἔρδειν γυναῖκα, μηδὲ γείτονος κύνα, μηδὲ κυβερνήτην φλύαρον, μὴ ἄλλον κωπηλάτην: Παραινεῖ μὴ εἰς ἄχρηστα ἀναλίσκειν.

Μήδεια, Κολχὶς, ἡ Αἰήτου θυγάτηρ, [e]φαρμακεστάτη γυναικῶν· ἥτις ἀσινῶς ἐποίησε τὸν Ἰάσονα ζεύξαντα τοὺς πυρίπνοους ταύρους ἀρόσαι τὴν γῆν. Καὶ λαβὼν τὸ χρυσόμαλλον δέρας, ἠγάγετο τὴν Μήδειαν.

E [f]Ὅτι οἱ Ἕλληνες τὴν νάφθαν καλοῦσι Μηδείας ἔλαιον.

Μὴ δεῖσαντες: Μὴ φοβηθέντες.

[m] τὰ ἱερὰ] τὰ μὲν ἱερεῖα A.B.V. Photius.

MEION: τὸ] Hæc dedi ex A. Habet item Photius.

[n] Ὁ ■ εἰς αὔξησιν τῆς ἀρετ.] Hæc sunt verba Damascii de Isidoro philosopho, ut discimus ex ipso Suida supra v. F Ἰδιότης. KUST.

[o] ἐγγραφομένων] Sic A. marg. et Photius. Ἐγγεγραμμένων A. textu. Gl. om. M.

MEIONEKTEIN] Μειονεκτεῖ—φέρει, ἐλαττοῖ A.B.V.E. Vulg. tenet Photius.

[p] Καὶ MEIONEKTΩ—ἔχω καὶ om. A.V.

[q] Ἔλαττω] ἐλάττωνα A.V.

[r] Ξενοφῶν] De Instit. Cyri lib. VI. p. 166. KUST. VII. 3, 17.

[s] οἰηθέντας] οἰηθέντα̈ς A.

G ΜΕΙΡΑΞ] Vid. Boissonad. ad Eunap. p. 291. Grævius ad Lucian. Pseudolog. c. 5. Lobeck. Phryn. p. 212.

MH: Τὸ ἀπαγορ.] Confer omnino de hac vocula Etymologum. KUST.

[u] Καλλιμάχῳ] Fr. 144. Mox ἀποθανόντι corrigit Portus, et sic Bentleius ad Callim.

MH 'ΑΠΟΣΚΟΡΑΚΙΣΗΙΣ ΜΕ] Hæc sunt verba Davidis Psalm. XXVI. 9. secundum interpretationem τῶν LXX. Theodoretus ad illum locum: Τὸ, Μὴ ἀποσκορακίσῃς με, μὴ H ἀπορρίψῃς με, εἶπον οἱ ἄλλοι ἑρμηνευταί. Ἀπὸ δὲ τῆς ἔξωθεν παιδείας οἱ Ἑβδομήκοντα τοῦτο τὸ ὄνομα πεποιήκασι. Τὸ γὰρ εἰς κόρακας, ὕβρις τις ἦν παρὰ τοῖς πάλαι ἀπό τινος μύθου γεγενημένη. KUST. Hanc gl. habet A. in marg. om. V. Μὴ ἐκδιώξῃς με om. A. In margine inferiori præbet A. Μὴ ἀποσκορακίσῃς με. Μὴ ἀποτινάξῃς με, ὡς ὁ χαλκεὺς τὴν σκωρίαν ἀπὸ τοῦ σιδήρου.

[v] ἐκβάλῃς] μὴ πέμψῃς A.

ΜΗΔ' 'ΑΚΑΝΘΑ] Hæc om. A.

[x] ΠΛΑΔΙΗΙ] Pro πλαδίῃ scribendum πλαδδίῃ per duplex δδ. Est ex Aristoph. Lysist. 989. BOS.

[y] μοι] μου A.

ΜΗΔΑΒΑ] Μήδαμα A.B.E. Vid. Josephi Antiq. XIII. 1, 2. ix. 1. B. J. I. 2, 6.

ΜΗΔ' 'ΑΜΕΛΩ] Interpretatio, quam Suidas subjungit, lectioni huic minime convenit. Quare sequor potius auctoritatem Appendicis Vaticanæ, in qua proverbium hoc sic effertur, Μήδων ἀμελῶν, i. e. *Medos contemnens.* KUST.

[z] καταφρονούντων] καταφρονουμένων A.B.E.

ΜΗΔΕΑ: Τὰ βουλεύματα. Καὶ τὰ αἰδ.] Artemidorus I. c. 47. Μήδεα καλεῖται τὰ βουλεύματα καὶ τὰ αἰδοῖον. Huc Suidas respexisse videtur. KUST. τὸ αἰδοῖον B.

[a] παθεῖν τι] τι παθεῖν A.

[b] Ἀριστοφάνει] Ran. 437.

[c] ΔΕΝ] δὲ ἡ A.V.

[d] δὲ ἡ] λ.ε A.V. i. e. λέγεται.

ΜΗΔΕΠΟΤΕ] Scribe μήποτε, ut versui modulus suus constet. KUST. Μήποτε—γίνεται Prov. Metric. 79.

ΜΗΔΕΠΟΤ' ΕΥ 'ΕΡΔΕΙΝ ΓΥΝΑΙΚΑ, ΜΗΔΕ Γ.] Eadem leguntur supra v. Ἄχρηστα. KUST. Vid. not. ad Aristot. Rhet. I. 13, 15. ed. Oxon. 1820.

[e] φαρμακεστάτη] φαρμακιστάτη A.V.

[f] 'ΟΤΙ οἱ] Seqq. Procopii sunt. Vid. infra v. Νάφθα. Desunt V.

Μήδη: Ὄνομα κύριον. Μηδία δὲ, [g]χώρα.

Μηδίας: Ὁ ῥήτωρ.

Μηδίζω: Τὰ τῶν Μήδων φρονῶ. [h]Καὶ μηδίσαντες.

Μηδικὴ πόα: Ἡ τρίφυλλος λεγομένη.

[i] Ἐκ τῶν Μηδικῶν τὸν λεγόμενον παππῷον ἔρανον.

[k] Ἐπὶ τῶν Μηδικῶν ἐγένετο ψήφισμα, ὥστε ἕκαστον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα. Ταῦτα δὲ ἔταξεν Ἀριστείδης δοῦναι τοῖς συμμάχοις, εἰ τοῖς βαρβάροις πολεμοῖεν.

Μηδικὸς ὄρνις: Ὁ [l]ταών.

Μήδιος: Ὄνομα κύριον.

Μηδισμὸς ὁ Παυσανίου: Ἁλόντος [m]γὰρ αὐτοῦ ἐπὶ μηδισμῷ, [n]συναιτιῶνται Θεμιστοκλέα.

Μηδόλως: Ἐπίρρημα.

Μήδομαι: Βουλεύομαι.

Μῆδος: Ὁ Περσῶν βασιλεύς. Καὶ τὸ βούλευμα.

Μηδοσύνη: Βουλή.

Μῆδοι: Ὄνομα ἔθνους.

Μὴ δῶτε τὰ ἅγια τοῖς κυσί:

Μὴ [o]ἐλλίπῃς:

Μὴ [p]ἐμβαίη:

Μὴ ἐπιχειρεῖτε:

Μηθώνη: Ὄνομα πόλεως.

Μήθ' οἷς ἐχθαίρεις [q]ὑπεράχθεο, μήτ' ἐπιλάθου. Χρόνος γὰρ εὐμαρὴς θεός:

Τουτέστι, μήτε ὑπὲρ τὸ δέον ἔχθαιρε, μήτ' [r]ἐπιλανθάνου τῆς ἔχθρας. Ὁ γὰρ χρόνος εὐμαρῶς παρέρχεται. Ὁ χορός φησι πρὸς Ἠλέκτραν.

Μηθυμναῖος: Ὁ ἀπὸ Μηθύμνης πόλεως.

[Μήθ' ὑπὸ νεότητος θρασύνεσθαι, μήθ' ὑπὸ γήρως ἀμβλύνεσθαι:]

Μηϊόχι:

Μηκάδες: Ἐπιθετικῶς, αἱ αἶγες. Ἀπὸ τοῦ ἰδιώματος τῆς φωνῆς.

Μὴ καταπραΰνῃς: Μὴ μακροθυμήσῃς, μὴ ἠρεμήσῃς. [s]Δαβίδ·

Μὴ σιγήσῃς, μηδὲ καταπραΰνῃς ὁ Θεός.

Μὴ κίνει Καμάριναν: Λίμνην [t]φασὶ τῇ Καμαρίνῃ πόλει παρακειμένην, ὁμώνυμον αὐτῇ, ἣν βουλομένοις τοῖς Καμαριναίοις μετοχετεῦσαι, ἔχρησεν ὁ θεὸς, "Μὴ κίνει Καμάριναν." Οἱ δὲ τοῦ θεοῦ παρακούσαντες, ἐβλάβησαν. Ὅθεν ἡ παροιμία εἴρηται ἐπὶ τῶν καθ' ἑαυτῶν βλαβερῶς τι [u]ποιεῖν μελλόντων. Τινὲς δέ φασι φυτὸν δυσῶδες εἶναι τὴν [x]καμάριναν, οὗ τοὺς κλάδους [y]διασειομένους ἀηδέστερον ὄζειν.

Μὴ κινεῖν ἀκίνητα, μηδ' ἄκροι δακτύλοι:

Μὴ κινεῖν κακὸν εὖ κείμενον: Ἐπὶ τῶν ἑαυτοῖς ἐξ ἀγνοίας πράγματα ἐγειρόντων.

Μηκιστεύς: Ὄνομα κύριον.

Μηκιστιάδης:

Μήκοθεν:

Μῆκος φάλαγγος: Τὸ πρῶτον ἐκ τῶν λοχαγῶν σύνταγμα, ὃ ὑπὸ μίαν εὐθεῖαν τάσσεται, ἀπὸ κέρατος εἰς κέρας διατεῖνον. [z]Καλεῖται δὲ τοῦτο καὶ πρόσωπον, καὶ στόμα, καὶ μέτωπον, καὶ παράταξις, καὶ [a]πρωτολοχία, καὶ [b]πρωτοστάται. Ὁ δὲ κατόπιν [c]τούτου στίχος παράλληλος κείμενος, δεύτερον ζυγὸν καλεῖται· καὶ ὁ τρίτος, τρίτον ζυγόν· καὶ ἑξῆς ὁμοίως.

Μηκώμενος:

Μήκων: Μέρος τι τῶν ἐντοσθίων τοῦ πολύποδος

---

[g] χώρα] Statim delevi ἡ τῶν Μήδων cum A.B.V.

[h] Καὶ ΜΗΔΙΣΑΝΤΕΣ om. A.

ΜΗΔΙΚΗ ΠΟΑ] Vid. not. ad Hesych.

[i] Ἐκ τῶν Μηδικῶν τὸν λεγ.] Aristoph. Lysistr. 652. Τοὐράνου γάρ μοι μέτεστι· καὶ γὰρ ἄνδρας εἰσφέρω· Τοῖς δὲ δυστήνοις γέρουσιν οὐ μέτεστ' ὑμῖν, ἐπεὶ Τὸν ἔρανον τὸν λεγόμενον παππῷον ἐκ τῶν Μηδικῶν Εἶτ' ἀναλώσαντες, οὐκ ἀντεισφέρετε τὰς εἰσφοράς. Scholiasta ad illum locum: Τοὐράνου γάρ μοι μέτεστιν: Τοῦ ἐράνου, φησὶ, μετέχω. Ἄνδρας γὰρ εἰσφέρω εἰς τοῦτο· καθὸ τίκτουσιν ἄνδρας αἱ γυναῖκες. Ἐγένετο δὲ ἐπὶ τῶν Μηδικῶν ψήφισμα, ὡς ἕκαστον κατὰ δύναμιν συμβάλλεσθαι εἰς τὰ κοινὰ χρήματα. Et paulo post: Ἐκ τῶν Μηδικῶν: Ὡς αὐτῶν τὰ Μηδικὰ χρήματα δαπανησάντων. Vide etiam Nostrum infra v. Παππῷον. KUST.

[k] Ἐπὶ τῶν Μηδικῶν ἐγένετο] ἐγένετο ἐπὶ τῶν Μηδικῶν A.V.E.

[l] ταώς] ταών A.B.V.E.

ΜΗΔΙΟΣ] Παρὰ Μηδείῳ (leg. Μηδίῳ) τῷ Θεσσαλῷ Alexander M. cœnans et bibens nimium obiit, Athen. X. 434. Plutarch. de An. Tranq. c. 22. et de Sanit. tuend. c. 8. solitum inprimis cum Alexandro compotare dicit. Zonaras Μηδίαν vocat. Μήδιος ὁ Λαρισσαῖος Strab. XI. 530. Μήδιος ὁ τῆς Λαρίσσας ἐν τῇ Θετταλίᾳ δυναστεύων. Diod. XIV. sub Olymp. 96. REINES. Μήδιον B. Vid. Wyttenbach. ad Plutarch. II. p. 65 C. D.

[m] γὰρ αὐτοῦ om. A.B. γὰρ om. V.

[n] συναιτιῶνται καὶ] καὶ om. A.B.V.

ΜΗΔΟΛΩΣ] A. in marg. om. V.

ΜΗΔΟΣ: Ὁ Περσῶν βασ.] Si Suidas vocem Μῆδος hic accepit pro nomine proprio Regis Persarum, Medus appellati, videtur respexisse ad locum illum Æschyli in Persis, 767. Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ. Vide omnino quæ ad illum locum notavit Stanleius. KUST.

ΜΗ ΔΩΤΕ] Evang. Matth. VII. 6.

[o] ἘΛΛΙΠΗΙΣ] ἐλλίπεις A.B. ἐλλείπεις V.

[p] ἘΜΒΑΙΗ] ἐμβῇη A.B.V. Mox ἐπιχειρῆτε M.

ΜΗΘ' ΟΙΣ ἘΧΘ.] Sophocl. Electr. 177.

[q] ὙΠΕΡΑΧΘΕΟ] ὑπεράχθου A.

[r] ἘΠΙΛΑΘΟΥ] ἐπιλανθάνου A.B.V.E. Schol.

ΜΗΘ' ὙΠΟ ΝΕΟΤΗΤΟΣ ΘΡΑΣ.] Hæc sunt verba Dionis de Trajano imperatore, ut monuimus etiam supra v. Ἤκμαζεν, ubi locus hic auctior legitur. KUST. Habet A. in marg. om. V.

ΜΗΚΑΔΕΣ] Vid. Schol. Il. Ψ. 31.

[s] Δαβίδ] Psalm. LXXXIII. 1. KUST.

[t] φασὶ] φησὶ B.V.E. Statim delevi Καμάριναν cum A.B.V.E. et Zenob. V. 18. Mox περικειμένην A.

[u] ποιούντων] ποιεῖν μελλόντων A.B.V. Zenob.

[x] καμάριναν] καμάρην A.B.

[y] ἀνασειομένους] διασειομένους A.B.V.E. Zenob.

ΜΗ ΚΙΝΕΙΝ ἈΚ.] V. in marg.

ΜΗ ΚΙΝΕΙΝ ΚΑΚΟΝ] Plura vide in Schol. Platon. p. 40.

ΜΗΚΟΘΕΝ] Vide Schol. Soph. Phil. 189. monente Porto.

ΜΗΚΟΣ ΦΑΛΑΓΓΟΣ: Τὸ πρῶτον ἐκ τῶν λοχ.] Confer Ælianum in Tactic. c. 7. qui eadem docet. KUST. Vid. Bibl. Coisl. p. 507.

[z] Καλεῖται] καλεῖτο A. Mox μέτωπος M.

[a] πρωτολοχία] πρωτολοχίαι V. qui mox πρωτοστάται.

[b] πρωτοστάτης] Lege πρωτοστάται, ut habet Ælianus loco laudato. KUST. Καὶ πρῶτον ζυγὸν καὶ παρυφὴ καὶ ἡγεμόνες καὶ προστάται Coisl. πρωτοστάτης conj. Portus.

[c] τούτου] τούτων Coisl. qui mox καὶ παραλλ. Tum στοῖχος M.

ΜΗΚΩΝ: Μέρος τι τῶν] Ex Schol. Aristoph. Av. 158. KUST.

τοῦ ἰχθύος, [d]ὃ κεῖται ἐπάνω τῆς κοιλίας, οἱονεὶ κύστις, A ἐν [e]αὐτῇ ἔχουσα τὸν θολὸν, ὥς φησιν Αἰλιανὸς ἐν τῷ Περὶ Ζώων. Σημαίνει δὲ καὶ εἶδος σπέρματος, [καὶ εἶδος βοτάνης,] καὶ [f]ὄνομα κύριον.

Μηκώνη: Ὄνομα πόλεως.

Μηκωνοειδὲς:

Μηκύβερνα: Πόλις ἐστὶν ἐν Θρᾴκῃ, σταδίους εἴκοσιν ἀπέχουσα τῆς [g]Ὀλύνθου, ἡ Μηκύβερνα.

Μῆλα: Πάντα τὰ τετράποδα. Ὅθεν καὶ πᾶσα B βύρσα μηλωτὴ καλεῖται.

Μῆλα: Παρὰ τὸ μέλω, τὸ φροντίζω, μέλα, καὶ μῆλα, τὰ ἐπιμελείας ἄξια. [h]Ὅμηρος·

Καλλίτριχα μῆλα νομεύων.

Ἀντὶ τοῦ νομεύσας. Μῆλα καὶ οἱ μασθοί·

[i]Ὁ γοῦν Μενέλαος τῆς Ἑλένης τὰ μῆλά που
γυμνῆς παρενιδὼν, ἐξέβαλ', οἶω, τὸ ξίφος.

Μηλάνθη: Εἶδος ζώου μικροῦ. C

Μηλέα: Τὸ δένδρον.

Μήλειος Ἡρακλῆς: Ἐπὶ τῶν εὐτελῶν. Τοῦ γὰρ βοὸς ἐκφυγόντος ποτὲ, ὃν ἔμελλον τῷ Ἡρακλεῖ προσάξειν, μῆλον λαβόντες, καὶ κλάδους ὑποθέντες τέσσαρας, ἔθυσαν.

Μήλειος [k]βληχή: Ἡ τῶν προβάτων. Καὶ μήλειος καρπὸς, [l]ὁ τῆς μηλέας.

Μήλη: Ἡ ἰατρική. D

Ὅτι [m]μήλης ἐντεθείσης τῷ ὀφθαλμῷ, οὐκ ἀντιλαμβανόμεθα τῶν αἰσθητῶν, καὶ οὐδὲ τοῦ μεταξὺ [n]ὡς ἔτυχεν [o]ἀέρος ἔχοντος, ἀλλὰ πεφωτισμένου. Καὶ αὕτη ἡ αἰτία τοῦ μὴ τὰς αἰσθήσεις τῶν ἰδίων αἰσθητηρίων ἀντιλαμβάνεσθαι.

Μηλιακὸν πλοῖον: Ἐπὶ τῶν παλαιῶν καὶ ἄγαν [p]ἐκρεόντων πλοίων. Ἱππότην γὰρ εἰς ἀποικίαν στελλόμενον E τοῖς μὴ [q]βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι, μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ, καὶ γυναικοκρατεῖσθαι.

Μηλιέας: Ὄνομα κύριον.

Μηλιέων πολιτεία:

Μηλιεὺς καὶ Μήλιοι:

Μηλιῶν: Ἐπὶ γενικῆς ὄνομα τόπου.

Μηλόβιος: Εἷς τῶν λ', τῶν παρὰ Ἀθηναίοις τυραννησάντων· οὗ Ὑπερίδης ἐν τῷ κατ' Αὐτοκλέους μέμνηται.

Μηλοβοτέα: Γῆν εὔτραφῆ, [r]ἀνειμένην εἰς νομὴν προβάτων.

Μηλοβοτὴρ: Ὁ τῶν προβάτων ποιμήν. Καὶ μηλονόμος, ὁ αὐτός.

Μηλόβοτος χώρα: Ὑπὸ πολεμίων [s]ἐξερημωθεῖσα, ἣν κατανέμεται τὰ [t]τετράποδα. Κεῖται δὲ τοὔνομα καὶ παρὰ τῷ Λυκούργῳ ἐν τῷ κατ' Αὐτοκλέους.

Ἀλλὰ καὶ μηλόβοτον τὴν Ἀττικὴν ἀνῆκε.

[u]Βουλευομένων δὲ ὅπως τῇ πόλει [x]χρήσονται, [y]Ἀθηναῖοι μὲν μηλόβοτον ἀνεῖναι συνεβούλευον, Φωκεῖς δὲ ἀντεῖπον οὖσαι.

Μὴ λόγους ἀντ' ἀλφίτων: Ἐπὶ τῶν ἔργα ἀλλὰ μὴ λόγους ἀξιούντων λαβεῖν.

Μηλολόνθη: Ζωΰφιον, ᾧ χρῶνται [z]οἱ παῖδες εἰς παιδιάν· ὃ τοῖς ἄνθεσιν ἐπικαθέζεται. Οἱ δὲ παῖδες λίνον τοῦ ποδὸς ἐξαρτῶντες, καὶ [a]ξυλήφιον ὃ οὐκ [b]ἰσχύουσιν ἀνακουφίσαι, εἰς τὸν ἀέρα [c]ἀφιᾶσιν. [d]Ἀριστοφάνης·

Ἀλλ' ἀποχάλα τὴν φροντίδ' ἐς τὸν ἀέρα,
λινόδετον ὥσπερ [e]μηλολόνθην τοῦ ποδός.

Σημαίνει δὲ καὶ εἶδος ἄνθους.

Μῆλον: Τὸ πρόβατον. Καὶ ἡ ὀπώρα. [f]Ἐν Ἐπιγράμμασι·

Μῆλον ἐγὼ [g]στρουθεῖον ἀπὸ προτέρης ἔτι ποίης
ὥριον ἐν νεαρῷ χρωτὶ φυλασσόμενον,
ἄσπιλον, ἀρρυτίδωτον, ἰσόχνοον [h]ἀρτιγόνοισιν,
ἀκμὴν ἐν πετάλοις [i]ἐμφυὲς ἀκρέμοσιν.

Μηλοσφαγίαις: Θυσίαις [k]προβάτων.

[d] ὃ κεῖται] ὃς κεῖται A.B.V.E. Schol. Aristoph. edd. ante Kuster. qui tacite correxit monitu Porti.

[e] αὐτῇ] ἑαυτῇ A.B.E. Schol. Aristoph.

[f] ὄνομα κύριον] Confudisse videtur Μίκων nomen viri, et μήκων papaver. BOISSONAD. Herodian. p. 85. καὶ εἶδος βοτάνης om. A.B.V.

ΜΗΚΥΒΕΡΝΑ: Πόλις ἐστὶν ἐν Θρ.] Ex Harpocratione. KUST.

[g] Ὀλύνθου] Addidi ἡ Μηκύβερνα cum A. Photio et Harpocrat.

ΜΗΛΑ] Vid. Apollon. Lex. et Hesych.

[h] Ὅμηρος] Odyss. ί. 336. KUST.

[i] Ὁ γοῦν Μενέλαος τῆς Ἑλ.] Aristoph. Lysistr. 155. sed ubi eadem dialecto Dorica concepta leguntur. KUST.

ΜΗΛΙΟΣ] Μήλειος A.B.V. Mox ποτε repetit E. post ἔμελλον. Vid. not. ad Hesych. v. Μῆλον. Ἡρακλῆς.

[k] ΒΛΗΧΗ] βραχὺ B.E.

[l] ἡ τῆς] ὁ τῆς B.V.E.

[m] Μήλης ἐντεθείσης τῷ ὀφθ.] Hæc, et quæ sequuntur, sunt verba Philoponi in lib. II. Aristot. de Anima l. iv. a. KUST.

[n] καὶ ὡς] καὶ om. A. Philop. Mox τοῦ πεφωτισμένου E.

[o] ἀέρος] Hæc vox apud Philoponum deest, quæ ex hoc loco Suidæ ei restituenda est. KUST.

[p] ἐκρεόντων] ῥεόντων Diogenianus VIII. 31. Prov. Vat. IV. 4. HEMST.

[q] βουληθεῖσιν] βουλευθεῖσιν A.

ΜΗΛΙΩΝ] Μηλιεῦς B.V.E.

ΜΗΛΟΒΙΟΣ: Εἷς τῶν λ'] Ex Harpocratione. KUST.

ΜΗΛΟΒΟΤΕΑ] Scribendum est, μηλόβοτα, vel μηλόβοτον. KUST.

[r] ἀνακειμένην] Scribendum est ἀνειμένην, ut recte habet F Photius in Lexico inedito. KUST. ἀνειμένην A.V.

[s] ἐξερημωθεῖσα] ἐρημωθεῖσα A.

[t] στρατόπεδα] Ne dubites rescribere τετράποδα. Ratio enim hic redditur, quare regio inculta et ab hostibus vastata dicatur μηλόβοτος. Nimirum, quia eam depascuntur μῆλα, i. e. pecora: quæ Græci etiam τετράποδα vocant. Vide supra v. Μῆλα. KUST. τετράποδα A.B.V.

[u] Βουλευομένου] Lycurgi non esse puto βουλευομένων et quæ sequuntur. HEMST.

[x] χρήσονται] χρήσηται A.V. Mox ἀνεῖναι B.V.E. pro ἀνεῖναι. G

[y] Ἀθηναῖοι] Imo, Θηβαῖοι. KUST. Conf. Wesseling. Diod. Sic. XV. 63.

[z] οἱ παῖδες εἰς παιδιάν] εἰς παιδιὰν οἱ π. A. ὃ τοῖς—παῖδες om. V. et infra ὃ οὐκ ἰσχ. ἀνακουφίσαι om. V.

[a] ξυλήφιον] ξυλύφιον B.E. Malim ξυλήφιον.

[b] ἰσχύουσιν] ἐξισχύουσιν A.

[c] ἀφιᾶσιν] Addit A. ἔχοντες ἐξουσίαν πάλιν αὐτὰς κυνηγετῆσαι.

[d] Ἀριστοφάνης] Nub. 761. Vide ibi Scholiastam. KUST.

[e] μηλολόνθην] μηλολόνθαν A. Mox τοῦ ποδὸς om. A.B.V. H

[f] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 252.

[g] στρουθίου] στρουθίον A.B.V.E. Anthol. Pal. ms.

[h] ἀρτιγόνοισιν om. A.B.V.E.M.

[i] εὐφυὲς] ἐμφυὲς A.B.V.E. εὐπετάλοις συμφυὲς Anthol. supra v. Ἀκμὴ p. 148 A.

[k] προβάτων] προβάτοις B.E.

**Μηλοῦν**: Τὸ ψηλαφᾶν.

**Μῆλος**: Καὶ ἡ πόλις, καὶ ἡ νῆσος.

**Μήλῳ βληθῆναι**: Ἐπὶ τῶν εἰς ἔρωτά τινα ἐπαγομένων. Καὶ [l]Ἀριστοφάνης·

> Μὴ [p] εἰς ὀρχηστρίδας [m]εἰσάττειν, ἵνα μὴ πρὸς ταῦτα κεχηνὼς, μήλῳ βληθεὶς ὑπὸ πορνιδίου, τῆς εὐκλείας ἀποθραυσθῇς.

Τουτέστιν, ἐκπέσῃς.

**Μήλωθρον**: Τὸ βάμμα.

B **Μηλῶσαι**: Τὸ καθεῖναί τι εἰς βάθος. Καὶ Τὴν φάρυγγα μηλῶσαι: Τὸ [n]διαχρίσαι τῷ δακτύλῳ. Καὶ Ἀριστοφάνης·

> [o]Τὴν φάρυγα [p]μηλῶσαι, δύο δραχμὰς ἕξει μόνας.

Καὶ μήλη, ἐργαλεῖον, δι' οὗ χρίεταί τι καὶ ὑπαλείφεται.

**Μηλωτή**: Ζώνη ἐκ δέρματος.

C **Μήλοις βάλλειν**: Ἐπὶ τῶν εἰς ἔρωτας [q]ἐπαγομένων.

**Μή με παρόψει**:

**Μὴ μή μ' ἄναξ**: Τὸ πλῆρες, Μὴ μή μοι. [r]Σοφοκλῆς·

> Μὴ μή μ', ἄναξ,
> κακὰν φάτιν [s]ἄρῃ.

D **Μή μοί ποτ' ἔλθῃς, ὅτ' ἐγὼ πράττω [t]κακῶς**: Παροιμία ἐπὶ τῶν μὴ συνερχομένων τοῖς φίλοις ἐν κινδύνοις. Παίζει δὲ Ἀριστοφάνης· εἰς τὸ ἐναντίον γὰρ ἡ παροιμία,

> Μή μοί ποτ' ἔλθῃς, ὅτ' ἐγὼ πράττω [u]καλῶς.

**Μὴν** μηνὸς κλίνεται.

**Μηναγύρτης**: Ἀπὸ μηνὸς συνάγων. Καὶ μηναγύρτης, ὁ τῆς Ῥέας [x]ἱερεὺς, ὁ κατὰ μῆνα ἀγείρων καὶ συναθροίζων.

A **Μηνᾶς**: Ὅτι [y]ἐν τῷ ναῷ τοῦ ἁγίου Μηνᾶ ὄρυγμα εὑρέθη μέγα, ὅτε ἐκαθαίρετο, καὶ ὀστᾶ ἀνθρώπων γιγάντων εἰς πλῆθος· [z]ἅτινα θεασάμενος Ἀναστάσιος ὁ βασιλεὺς, καὶ ἐκπλαγεὶς, εἰς τὸ [a]παλάτιον κατέθετο εἰς θαῦμα ἐξαίσιον.

**Μήνη**: [b]Σελήνη.

B **Μηνία**: Ὀργίζου. Καὶ μηνιάω, μηνιῶ, [c]δοτικῇ.

**Μηνιθμόν**: Τὴν ὀργήν.

**Μήνιμα**: Ἡ μανία.

**Μῆνιγξ**: Ὑμὴν τὸν ἐγκέφαλον σκέπων. [d]Τοῦ δὲ καλουμένου μηνιγγοφύλακος ἐπιτεθέντος τῇ μήνιγγι, ἀναίσθητον τὸ ζῶον γίνεται καὶ ἀκίνητον. [e]Αἱ αἰσθήσεις γὰρ ἀπὸ τοῦ ἐγκεφάλου ἀρχόμεναι, διὰ τῶν C νεύρων ἄχρι τῶν αἰσθητηρίων προΐασι. Πρόεισιν οὖν καὶ ἡ ἀκουστικὴ δύναμις μέχρι τῆς ῥίζης τῶν ὤτων, ἃς καλοῦσι μήνιγγας. Ἔστι δὲ νεῦρον ἀπὸ τοῦ ἐγκεφάλου [f]προϊὸν πεπορωποιημένον· ἐν ᾧ πόρῳ ἐστὶ τὸ [g]ὀπτικὸν πνεῦμα. Ἔστιν οὖν ἀπειλημμένος τις ἀὴρ ἐν τῷ κοιλώματι τῆς ἀκοῆς, συμφυὴς ὢν τῇ μήνιγγι καὶ τῷ ὑμένι. Οὗτος οὖν ὁ ἀὴρ δεχόμενος ἐκ τοῦ D ἔξωθεν ἀέρος τοὺς ψόφους, ἔχων καὶ αὐτὸς τὴν διηχῆ δύναμιν, δι' ἑαυτοῦ εἰς τὴν μήνιγγα διαπορθμεύει τοὺς ψόφους. [h]Πρόεισι δ' ἀπὸ πλατυτέρου [i]πόρου τῆς μήνιγγος. Οὐ δεῖ δὲ νομίζειν [k]τοῦτον τὸν ἀέρα, εἰ καὶ συμφυής ἐστιν, ἤδη καὶ ἄφθαρτον εἶναι, ὡς ἀεὶ ἕνα καὶ τὸν αὐτὸν τῷ ἀριθμῷ ὄντα· ἀλλ' ἔστι κατὰ μέρη

ΜΗΛΟΥΝ: ψηλαφᾶν] Etymologus: Μήλη ἰατρική, δι' ἧς ψηλαφᾶται τὰ τιτρωσκόμενα. Μηλοῦν γὰρ τὸ ψηλαφᾶν λέγεται. Photius in Lexico inedito: Μηλαφῆσαι: Ψηλαφῆσαι. Et sic Hesychius. Sed suspicor scribendum esse, Μηλῶσαι: Ψηλαφῆσαι. KUST.

[l] Ἀριστοφάνης] Nub. 992. καὶ Ἀριστοφάνης om. A.V.

[m] εἰσιέναι] εἰσάττειν τουτέστιν εἰσελθεῖν A.B.V.E. εἰσιέναι suprasc. in E.

ΜΗΛΩΘΡΟΝ: Τὸ βάμμα] Optime Photius in Lexico inedito: Μήλωθρα: Τὰ βεβαμμένα ἔρια. Καὶ τὸ βάψαι, μηλῶσαι· ἀπὸ τῆς εἰς τὴν βαφὴν τῶν ἐρίων καθέσεως. Confer etiam Etymologum et Hesychium. KUST.

ΜΗΛΩΣΑΙ: Τὸ καθεῖναί τι εἰς βάθος. Καὶ τὴν φάρυγγα μηλ.] Locus hic male interpunctus est, qui ex Lexico Photii ms. sic scribendus et distinguendus est: Μηλῶσαι. Τὸ καθεῖναί τι εἰς βάθος, καὶ τὴν φάρυγγα. Μηλῶσαι: Τὸ διαχρίσαι, &c. KUST.

[n] διαχρίσαι] διαχρῖσαι Photius. διαχρύσαι M.

[o] Τὴν φάρυγγα] τὴν φάρυγα A. Mox μηλῶν in Photio editum. Infra A. in marg. φάρυξ φάρυγος γράφεται.

[p] μηλῶσαι] Quantum ex sensu fragmenti hujus, (quod ubi apud Aristophanem exstet nunc non recordor,) colligere licet, scribendum puto, μηλώσας. KUST.

ΜΗΛΩΤΗ] Vid. supra in Μήλη.

ΜΗΛΟΙΣ ΒΑΛΛΕΙΝ] Vide paulo ante, v. Μήλῳ βληθῆναι. KUST.

[q] ἐπαγομένων] ἀπαγομένων E.

ΜΗ ΜΕ π.] Om. A. Vide post Μὴ παροξύνου.

ΜΗ ΜΟΙ] Μὴ μή μ' A.B.V.E.

[r] Σοφοκλῆς] Aj. 191.

[s] ἄρῃς] ἄρῃ A.B.V. Supra κακοῦ B.

ΜΗ ΜΟΙ ΠΟΤ' ἜΛΘΗΙΣ, ὍΤΤ.] Aristoph. Av. 134. ubi vide Scholiastam, cujus verba Suidas hic descripsit. KUST. ἔλθοις A. Mox ὅτ' A.B.V.E. non ὅττ'. Et sic paullo infra.

[t] ΚΑΚΩΣ] Sic recte mss. Paris. et Aristophanes loco laudato. At priores editt. male, καλῶς. Contra in sequentibus ex iisdem mss. καλῶς reposui, ubi priores editt. repugnante sensu habent κακῶς. KUST.

[u] καλῶς] κακῶς V.

ΜΗΝΑΓΥΡΤΗΣ] Vide Sylburgium ad Dionys. Halicarnass. p. 15. Henr. Stephanum in Animadvers. ad Adag. Erasmi, p. 37. et nos supra ad v. Ἀγείρει. Confer etiam Suidam infra v. Μητραγύρτης. KUST. Adde not. ad Hesych.

[x] ἱερεὺς] υἱὸς E. (ἱερεὺς suprasc.)

[y] ἐν τῷ ναῷ τοῦ ἁγίου Μηνᾶ ὄρυγμα εὑρ.] Eadem αὐτολεξεὶ quoque leguntur apud Codinum de Origin. CPol. [p. 18. ed. Par.] num. XXXV. ut Pearsonius etiam observaverat. Confer Meursium in notis ad Hesychium Miles. p. 237. KUST.

[z] ἅτινα] αὐτίκα A.

[a] παλάτιον] παλλάτιον A. Mox εἰς om. edd. ante Kuster.

[b] ἡ σελήνη] ἡ om. A. Photius.

ΜΗΝΙΑ] Xenoph. Hist. p. 497. nisi forte ἤνια. TOUP.

[c] δοτικῇ] γενικῇ A.V. Addunt A.V. Μιμνήσκω γενικῇ.

ΜΗΝΙΘΜΟΝ] Il. π'. 62.

[d] Τοῦ δὲ καλουμένου μηνιγγοφύλακος ἐπιθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Philoponi in lib. II. Aristot. de Anima, L. 5. a. KUST. Nonnulla omisit aut mutavit Suidas. Τοῦ δὲ καλουμένου—καὶ ἀκίνητον h. l. ap. Philop. non leguntur.

[e] Αἱ αἰσθήσεις γὰρ] Ὅτι αἱ αἰσθήσεις A.V.

[f] προϊὸν om. V. Tum πεπωροποιημένον A.M. πεπορωποιημένον B. πεπορωποιημένον E.

[g] ὀπτικὸν] Scribendum est ἀκουστικὸν, ut habet Philoponus loco laudato. KUST.

[h] Πρόεισιν οὖν] Seqq. usque ad ἑλικοειδεῖς om. V. ἐν A. Philop. pro οὖν.

[i] πόρου τῆς μήνιγγος] πόρου ἐπὶ στενότερον. λέγω δὴ τοῦ κοιλώματος τοῦ ὠτὸς μέχρι τοῦ πόρου τῆς μήνιγγος Philop.

[k] τοῦτον τὸν] τοῦτο μόνον A.B.E.M. Mox ὡς ἀεὶ ἕνα M.

φθαρτὸς καὶ [l]γεννητὸς, ὥσπερ καὶ τὸ ἄλλο τοῦ [m]ἀνθρώπου σῶμα. Ἀμέσως δὲ δέχεται τὰς τοῦ ἔξωθεν ἀέρος προσβολάς. Διὸ καὶ ὑπὸ τῶν μεγάλων ψόφων πάσχει ἡ ἀκοὴ, [n]τοῦ ἔξωθεν ἀέρος σφοδρῶς ὠθουμένου, καὶ τῇ βίᾳ ὠθοῦντος τὸν ἐν τοῖς ὠσὶ [o]συμφυᾶ τοῦτον ἀέρα, [p]καὶ πολλάκις διασκεδαννύντος αὐτόν. [q]Καὶ διὰ τὰς περιστατικὰς ἐνεργείας, ἤτοι τὰς ἐν τοῖς ὕδασι καταδύσεις, ἐγκατῳκοδόμηται οὗτος ὁ ἀὴρ εἰς φυλακὴν τοῦ αἰσθητηρίου. Διὰ τοῦτο καὶ ἑλικοειδεῖς ἐποίησεν ἡ φύσις τοὺς πόρους τῶν ὤτων, ἵνα μὴ ῥᾳδίως [r]εἰσέρχηταί τι, καὶ [s]πλήξῃ τὴν μήνιγγα.

**Μηνιόντων**: Ὀργιζομένων.

**Μηνίω**, [[t]μηνίσω.] Βαρύτονον. Ὀργίζομαι. Ὥσπερ κυλίω, [κυλίσω.] κονίω, [κονίσω. **Μήνυμα** δὲ, μηνύσαι.]

**Μῆνις**: Ὀργὴ ἔμμονος.

**Μηνίσκος**: Παράταξις πολεμική.

**Μηνίσκους**: Ὑμένας, πέταλα, [u]περιτραχήλια κόσμια· [v]ἢ ἃ ἐπιτιθέασι τοῖς ἀγάλμασι, διὰ τὸ μὴ ἐφιζάνοντα τὰ ὄρνεα ἀποπατεῖν.

> [x]Μηνίσκους χαλκεύεσθε φορεῖν, ὥσπερ ἀνδριάντες, ἐὰν μὴ ἡμᾶς κρίνητε νικᾶν.

Φησὶν οὖν, ὅτι μέλλομεν ὑμῶν καταπατεῖν. [[y]Μηνίσκοι δὲ, τὰ τοῦ κύκλου τμήματα παρὰ τοῖς φιλοσόφοις.]

**Μηνοειδής**: Σεληνοειδὴς, στρογγύλος.

**Μὴ νόμισον**: Ἀντὶ τοῦ μὴ νομίσῃς. Οὕτως [z]Θαγενίδης.

**Μήνυμα**:

**Μήνυε**: Παροξυτόνως, ἀντὶ τοῦ, μὴ δή.

**Μηνύω σοι χαράν**: Δοτικῇ.

**Μηνῦσαι**:

**Μήονος**: Ἐθνικόν.

**Μὴ οὐχί**: [a]Σοφοκλῆς·

> Κόμπος πάρεστι, κοὐκ ἀπαρνοῦμαι τὸ μή.

Τὸ μὴ οὐχὶ βάψαι τὸ ξίφος [b]ἐν τῷ στρατῷ.

**Μὴ πάντα** [c]**κατὰ βοὸς ἕξεις**: Παραινεῖ [d]διὰ τούτου μὴ πάντα ἐπ' εὐχαῖς ποιεῖσθαι καὶ ταῖς παρὰ θεῶν ἐλπίσιν, ἀλλὰ πράττειν καὶ δι' ἑαυτῶν.

**Μὴ παραζήλου**: Μὴ ὁμοιωθῇς.

**Μὴ παρόψει**: [e]Μὴ παρίδῃς.

**Μὴ παιδὶ μάχαιραν**: Ἐπὶ τῶν εἰκῇ ἐγχειριζόντων. Καὶ Εὔπολις Δήμοις·

> Μὴ παιδὶ τὰ κοινά.

**Μὴ πολλάκις πρὸς τὸν αὐτὸν λίθον παίειν, ἔχοντα καιρὸν ὁμολογούμενον**:

---

[l] γεννητὸς] γενητὸς A.

[m] ἀνθρώπου σῶμα] Plura hic sequuntur ap. Philop.

[n] τοῦ] τοῦ δ' A.

[o] συμφυῆ] συμφυᾶ A.B. Philop. τοῦτον om. Philop.

[p] καὶ πολλάκις] καὶ πολλάκις καὶ B.E.

[q] Καὶ διὰ τὰς] διά τε οὖν τοῦτο ἡ φύσις ἐγκατῳκοδόμησε τοῖς ὠσὶ τοῦτον τὸν ἀέρα· καὶ διὰ τὰς περιστατικὰς τοῦ ζώου ἐνεργείας. οἷον τὰς ἐν τοῖς ὕδασι καταδύσεις ἤμελλε τὸ ὕδωρ αὐτῶν προσπελάζειν τῷ αἰσθητηρίῳ καὶ βλάπτειν ἢ εἴ τι καὶ ἐπινενόηται πρόβλημα ὑπὸ τῆς φύσεως. διὰ τὸ μὴ εἰσιέναι τὸ ὕδωρ, οὐκ ἂν ἤκουσε τὸ ζῷον ὑποβρύχιον ὂν μὴ ὄντος τοῦ ἐγχέοντος τοῦ μέχρι τοῦ αἰσθητηρίου διαβιβάζοντος τοὺς ψόφους. εἰς φυλακὴν οὖν τοῦ αἰσθητηρίου ἐγκατῳκοδόμηται. διὰ τοῦτο δὲ καὶ ἑλικοειδεῖς ἐποίησεν ἡ φύσις τοὺς πόρους τῶν ὤτων, ἵνα μὴ ῥᾳδίως εἰσιόντα ἢ τὸ ὕδωρ ἢ ὁ ἀὴρ ἢ ἄλλο τι πλήξῃ τὴν μήνιγγα. Philop.

[r] εἰσέρχηται] εἰσέρχωνται V.

[s] πλήττῃ] πλήξῃ A.B.V.

[t] μηνίσω] μηνίσω et rell. uncis inclusa om. A.

[u] περιτραχήλια] Isai. III. 18. TOUP. Vid. not. ad Hesych.

[v] ἢ ἃ ἐπιτιθέασι] Vid. Schol. Aristoph. Av. 1114.

[o] βασιλικὸν κατεναυμάχησε] βασιλ. ἀπεναυμάχησε A. Mox delevi ΝΑΥΠΑΚΤΟΣ. Πόλις Αἰτωλική. Ἀπὸ τῆς ἐκεῖ ναυπηγίας τῶν Ἡρακλειδῶν, πρὶν ἢ κατασχεῖν τὴν Πελοπόννησον. Ὁ πολίτης, Ναυπάκτιος. ΝΑΥΠΛΙΑ. Πόλις Ἄργους. Παρὰ τὸ ναυσὶ προσπλεῖσθαι. Οἱ πολῖται, Ναυπλιεῖς, cum A.V. Utraque gl. ex Stephano Byz. sumpta est.

[p] Ἀρριανός] An potius Ἀππιανός? Quæ enim hoc fragmento continentur, ab Appiano quam Arriano scripta esse verisimilius est. KUST.

[q] ναῦς] νῆας A.

[r] ἐφεῖλκον] καθεῖλκον V.

[s] καὶ βάθος] βάθους E. Mox μεγίστῳ E. et ἡ Αἰγυπτία A.

[t] βασιλεῖ A.

[u] ἔφερε] ἔφαινε A.B.V.E. Tum τῶν ἱστίων B.E.

[x] ἐπ' ἄκρῳ τῷ ἱστίῳ] Sic rectius ms. Paris. A. quam priores editt. quæ habent, ἐπ' ἄκρου τῶν ἱστίων. KUST.

[y] ὄνομα] ὄμμα Toupius, videndus infra v. Ξυστόν.

[z] τῷ] τὸ A.

ΝΑΥΣΙΚΑΑ] Alcinoi, Phæacum regis filia, Corcyræa. Athen. I. 14. REINES. Delevi Μέμνηται Ὅμηρος Ναυσικάας Φαιακικῆς βασιλικῆς παιδὸς, προσφυῶς τῇ χώρᾳ· ἐπεὶ ναυτικώτατοι ὄντες ἐπίκαιον ταῖς ναυσὶ πίσσαν πρὸς ἀσφάλειαν, cum A.V.

E [a] Περσίς] Athenæus libro IX. [p. 399 E.] fabulam hanc Naucrati, non, ut hic Suidas, Nausicrati Comico assignat. KUST. Statim delevi ΝΑΥΚΡΑΤΗΝ μέντοι εἰπεῖν ἐφίλησέ τις ἐπὶ ἐχεφρόνος φάναι· ὡς ταυτὸν ὂν ναῦν κρατεῖν, καὶ ἐπέχειν νῆα· ὅθεν ἡ ἐχενηΐς· καὶ ναῦν κρατεῖν, ὅθεν ὁ ναυκράτης, cum A.V. Conf. supra v. Ἐχενηΐς. Eustath. Od. δ'. p. 1490=159, 43. Pro ναῦν κρατεῖν καὶ B.E. habent ἔχειν ἦγειν.

ΝΑΥΣ ἹΚΕΤΕΥΕΙ Π.] Confer Nostrum supra v. Ἀνὴρ ἔοικε. KUST.

ΝΑΥΣΙΠΟΡΟΣ ΠΟΤΑΜΟΣ] ποταμὸς om. A.B.E. Photius. F Mox Photii ms. περίμενος, ed. περώμενος. Xenoph. Anab. II. 2, 3. ὁ Τίγρης ποταμός ἐστι ναυσίπορος.

ΝΑΥΣ ΝΙΚΟΜΗΔΙΣ, καὶ ΣΤΡΑΤΗΓΙΣ] Vide paulo ante v. Ναῦς. KUST. Delevi Ταύτην τὸ μὲν ἐκ τόπου παρῆκται, τὸ δὲ κατ' ἀξίωμα, cum A.V. ἐκ πόντου παρῆκται E.

[b] ΝΑΥΣΘΛΩΣΑΣΘΑΙ: Κυρ.] Ex Schol. Aristoph. Pac. 125.

[c] ἐπιβήσεσθαι] ἐπιβήσομαι A.B.V.E.

ΝΑΥΣΩΝ ΝΑΥΚΡΑΤΕΙ: Ἐπὶ τ.] Confer Vaticanam Appendicem Centur. II. 96. KUST. cf. not. ad Hesych. G

[d] ΝΑΥΚΡΑΤΕΙ] Ναυκράτη A. Post λεύκωνος delevi Ἐπιστολιμαῖος ὁ χαρακτήρ· ὡς καὶ εἴ τις εἴποι· Πομπαῖος Πομπίλῳ· ἢ, Πομπαῖος Πομπίλον προσφωνεῖ. Καὶ ἔστι τὸ σχῆμα παρηχητικὸν, cum A.B.V.E.

ΝΑΥΣΤΑΘΜΟΝ: Τὸν λιμένα. Ἐφρ.] Ex Schol. Aristoph. Acharn. 95. sed ubi sic legitur: Ἐφράττοντο δὲ (αἱ τριήρεις) καὶ δερματίνοις τροποῖς πρὸς τὸ μὴ τρίβεσθαι τὰ σανιδώματα. Ἄλλως. Ὁ ναυτικὸς στρατὸς, ναύφρακτος καλεῖται, &c. Sic etiam apud Suidam scribendum est. KUST. Nil in H Suida mutandum censet Hemsterhus. ad Schol. Lucian. de Sacrif. c. 3.

[e] δέρμασιν] δέρματι A.C.E.

[f] Εἰκόνα τῆς κήλης] Anthol. Pal. VI. 166. ubi Διονύσῳ δῶ' ἀνέθηκεν.

[g] ἀνέθηκα] ἀνέθηκε A.V.

ΝΑΥΤΙΑΝ] Vid. Plato Theæt. p. 191 A.

[h]Φασὶ Ζήνωνα ὑπὲρ ͵α τάλαντα ἔχοντα ἐλθεῖν εἰς τὴν Ἑλλάδα, καὶ ταῦτα δανείζειν [i]ναυτικῶς.

Ναυτιαία: Ὁ πλοῦς.

Ναυτιλλόμενος: Πλέων.

Ναυτίλος: Ὁ ἰχθὺς, καὶ ὁ ναύτης.

Ναυτοδίκαι: Ἄρχοντες ἐπὶ τοῖς ναυκλήροις δικάζοντες, καὶ τοῖς περὶ τὸ ἐμπόριον ἐργαζομένοις· ὡς καὶ ναυφύλακες ἄρχοντές τινες ἐπὶ [k]τῆς τῶν νεῶν φυλακῆς. Ἄλλως. [l]Ἀρχή τις ἦν Ἀθήνησιν οἱ Ναυτοδίκαι. Κρατερὸς [m]γοῦν φησὶν,

Ἐὰν δέ τις [n]μὴ ἐξ ἀμφοῖν [o]γενοῖν γεγονὼς [p]φρατρίζῃ, διώκειν [q]δεῖ τῷ βουλομένῳ [r]Ἀθηναίων, οἷς δίκαι εἰσί· λαγχάνειν ■ τῇ ἕνῃ καὶ νέᾳ πρὸς τοὺς Ναυτοδίκας.

Ναῦφι: Ἐν ταῖς ναυσί.

Ναύφρακτον βλέπεις: [s]Ἀριστοφάνης·

Πρὸς τῶν θεῶν, ἄνθρωπε, [t]ναύφρακτον βλέπεις.

Ἐπειδὴ μεγάλοι ταῖς τριήρεσιν οἱ ὀφθαλμοὶ γίνονται, δι' ὧν τὰς κώπας ἐμβάλλοντες [u]ἐκωπηλάτουν.

Ναυφράκτῳ στρατῷ: Τῷ [x]συντεταγμένῳ καὶ συμπεφραγμένῳ. Ἐθαλασσοκράτουν γὰρ οἱ Ἀθηναῖοι μάλιστα ἐπὶ τῇ [y]ἐν Ἀρτεμισίῳ καὶ Σαλαμῖνι ναυμαχίᾳ.

[Νάφθα: Τριγενὲς τοῦτο. Κοινῶς μὲν γὰρ ἡ νάφθα, παρὰ Πλουτάρχῳ δὲ καὶ ὁ νάφθας, εὕρηται δὲ καὶ οὐδετέρως τὸ νάφθα.] [z]Οἱ μὲν Ἕλληνες Μηδείας ἔλαιον ταύτην καλοῦσιν· οἱ ■ Μῆδοι, νάφθαν.

Ναχώρ: Ὄνομα κύριον.

Ναί: [a]Συγκαταθέσεως ἐπίρρημα.

Ναίεθος: Ὄνομα ποταμοῦ.

Ναιετάουσιν: Οἰκοῦνται. Ναίω, ναιέτης, ναιετῶ· ὡς κυνηγέτης, κυνηγετῶ. Ναιετῶ, ναιετάω. Ναιετάουσιν, ἐνεργητικὸν ἀντὶ παθητικοῦ τοῦ οἰκοῦνται.

Ναίει: Διατρίβει.

Ναὶ μὰ τόν:

[b]Καὶ ναὶ μὰ τὸν, εἴγε τοῦ Περσικοῦ τις ἐφάνη, τὸ Ῥωμαϊκὸν ἅπαν διώλωλε.

Ναὶ μὰ τόν:

Ἁμαρτάνοντι ἐπέπληττε, καὶ ἀδικοῦντα ἤλεγχε, καὶ [c]ἀνέστελλε τοῦ ἀδικεῖν πατρικῇ, καὶ μὰ τὸν, ὁ γενναῖος τῇ παρρησίᾳ.

Ναὶ μὰ [d]τό:

[e]Ναὶ μὰ τὸ μικκὸν

σῦφαρ ἐμόν,

(Ὅ ἐστι δέρμα. Καλλίμαχος ἐν Ἑκάλῃ.)

καὶ τοῦτο τὸ [f]δένδρεον αὖον ἐόν περ.

Οἱ ἀρχαῖοι οὐ προπετῶς κατὰ τῶν θεῶν ὤμνυον, ἀλλὰ κατὰ τῶν προστυγχανόντων· ὡς καὶ [g]Μένανδρος·

Μαρτύρομαι τὸν Ἀπόλλω τουτονὶ, καὶ τὰς θύρας.

Καὶ [h]Ὅμηρος·

Ναὶ μὰ τόδε σκῆπτρον.

Καὶ Ἑκάλη εἶπε,

[i]Ναὶ μὰ τόν·

καὶ [k]οὐκέτι ἐπάγει τὸν θεόν. Ῥυθμίζει δὲ ὁ λόγος πρὸς εὐσέβειαν.

Ναὶ μήν: Ναὶ ὄντως.

Ναὶ ναὶ μὰ μήκωνος χλόην: Ὅρκος ἐπὶ χλευασμῷ.

Ναίουσιν: Οἰκοῦσι.

Ναίχι: Ἐπίρρημα συγκαταθέσεως.

---

[h] Φασὶ Ζήνωνα] Ex Diog. Laërt. VII. 13.

[i] ναυτικῶς] Demosth. c. Apatur. p. 579. ναυτικοῖς ἐργάζεσθαι. Lege ναυτικῶς. TOUP.

ΝΑΥΤΟΔΙΚΑΙ] Confer Nostrum supra v. Βάψας. KUST.

[k] τῆς νεῶν] τῆς τῶν νεῶν A. Tum ἄλλως om. A.

[l] Ἀρχή τις ἦν Ἀθήνησιν οἱ Ναυτ.] Ex Harpocratione. KUST.

[m] γοῦν] ■ V.

[n] μὴ ἐξ] μὴ om. A.B.V.E.

[o] γενοῖν] Sic etiam habet Harpocratio. At Photius in Lexico ms. locum hunc sic scriptum exhibet, ἐὰν δέ τις ἐξ ἀμφοῖν ξένοιν γεγονὼς, quæ vera lectio est. KUST. ξένοιν Harpocr. mss. Med. Pal.

[p] φρατρίζῃ] φρατίζῃ A.B.E. Harp. Phot.

[q] δεῖ τῷ βουλομένῳ Ἀθ.] Scribe, ἔξεστι τῷ βουλομένῳ, &c. KUST. εἶναι duo mss. Harpocrat. δεῖ delerit Hemsterhusius.

[r] Ἀθηναίων] Ἀθηναίῳ A. Phot.

ΝΑΥΦΙ] Il. θ'. 474. et al.

[s] Ἀριστοφάνης] Acharn. 95.

[t] ναύφρακτον βλέπεις] ναύλην A.B.V.E. Mox μεγάλη V. μεγάλῃ E.

[u] ἐκωπηλάτουν] Statim delevi Ὥστε τὸ ναύφρακτον βλέπεις, αἴνιγμά ἐστι τοῦ τραγὸς καὶ πλατὺ καὶ μέγα βλέπεις, cum A.V.

ΝΑΥΦΡΑΚΤΩΙ ΣΤΡΑΤΩΙ: Τῷ συντ.] Aristoph. Equit. 564. Οἵτινες πεζαῖς μάχαισιν, ἔν τε ναυφράκτῳ στρατῷ. KUST.

[x] συντεταγμένῳ καὶ συμπεφραγμένῳ] συμπεφραγμένῳ καὶ συντεταγμένῳ A.

[y] ἐν Ἀρτεμισίῳ] ἐν om. A.V. Tum Ἀρτεμι A. Ἀρτέμιδι V.

ΝΑΦΘΑ] Schol. Nicand. p. 80. [Alex. v. 249.] Suid. v. Ἐφήμερον. Hesych. Plutarch. Alexand. p. 685. 686. TOUP. Plutarchi locum priorem indicavit etiam Hemsterhusius. Ceterum deest gl. A. qui in marg. Νάφθα παρὰ Μήδοις. Νάφθα—νάφθα om. V. qui Νάφθαν: Ὅτι οἱ μὲν Ἑλλ. Vid. supra v. Μήδεια.

[z] Οἱ μὲν Ἕλληνες Μηδείας ἔλ.] Procopius lib. IV. de Bello Goth. c. 11. Ἀγγεῖα ■ θείου καὶ ἀσφάλτου ἐμπλησάμενοι, καὶ φαρμάκου, ὅπερ Μῆδοι μὲν νάφθαν καλοῦσιν, Ἕλληνες ■ Μηδείας ἔλαιον. Hinc Suidas sua deprompsit. Vide etiam infra v. Φάρμακον. KUST. Procopium citat etiam Reinesius, qui addit: "Ambros. libr. de Noa c. 6. παρὰ τὸ συνάπτειν "dictum esse putat, vid. Lindenbrog. ad Ammian. Mar-"cell. XXIII. 6, 16."

[a] Συγκαταθετικόν] συγκαταθέσεως A. Mox delevi Ἔστι καὶ ὀρκωμοτικὸν μετὰ κωμῳδικῆς λέξεως· οἷον, ΝΑΙ ΤΩ ΘΕΩ· τουτέστι, μὰ τὰς Θεάς, cum A.V.

ΝΑΙΕΤΑΟΥΣΙΝ] Vid. Schol. Ven. ad Il. β'. 45.

[b] Καὶ ναὶ μὰ τὸν, εἴγε τοῦ Περσ.] Hæc sunt verba Theophyl. Simocattæ lib. II. c. 9. ut Pearsonius monuit. KUST.

[c] ἀνέστελλε] ἀνέστειλε A.V.

[d] τὸ] τὸν A.

[e] Ναὶ μὰ τὸ μικκὸν σῦφαρ ἐμ.] Locum hunc turbatum continua serie sic lege, et numeris suis redde: Ναὶ μὰ τὸ μικκὸν Σῦφαρ ἐμὸν, καὶ τοῦτο τὸ δένδρεον αὖον ἐόν περ. Et deinde subjunge, ὅ ἐστι δέρμα. Καλλίμαχος ἐν Ἑκάλῃ. Confer Nostrum infra v. Σῦφαρ. KUST. Bentl. Fr. 49.

[f] δένδρεν αὖον περ ἐόν] τὸ δένδρεον αὖον ἐόν περ V. et ni fallor alii mss.

[g] Μένανδρος] Fr. Meinek. p. 256.

[h] Ὅμηρος] Il. α'. 234.

[i] Ναὶ μὰ τὸν] Hecalen intellige sic locutam apud Callimachum, in cujus fragmentis has voces omiserunt. HEMST.

[k] οὐκ ἐπάγει] οὐκέτι ἐπάγει τὸν A.B.V. Post εὐσέβειαν delevi Τοσούτου σχήματός τε καὶ ἤθους καὶ τὸ, ναὶ μὰ τάς. Ὡς εἴπερ εἴποι τις, μὰ τὰς χάριτας, cum A.V.

ΝΑΙΧΙ] Vid. Valcken. Callimach. p. 20. sq. qui tamen

Νεαλής: Κυρίως ὁ νεωστὶ ἑαλωκὼς ἰχθύς. Λέγε- A ται δὲ καὶ ὁ νεωστὶ ἁλισθεὶς, καὶ ὁ νεωστὶ ἁλούς. [l] Ἀππιανός·

Τὸν δὲ δῆμον ἀπὸ τοῦ τείχους ὁρῶν, καὶ τοὺς πεπονηκότας ἑτέροις νεαλέσιν ἐπιτέμπειν ἀεί. Οἱ δὲ Κελτοὶ κεκμηκότες ἀκμῆσι συμπλεκόμενοι, ἔφευγον ἀτάκτως.

Καὶ [m] Πολύβιος·

Τοὺς πολεμίους ἀκεραίους ὄντας καὶ νεαλεῖς.

Νεανεία: Ἡ ἔπαρσις. B

Νεανίας: Τολμηρὸς, ἢ ὁ νέος.

Νεανιεύεται: Νέου ἔργα ποιεῖ.

Νεανιεύματα: Κομπάσματα, [n] κενὰ τολμήματα.

Νεανικόν: Ἀντὶ τοῦ μέγα, καὶ δυνάμενον χορτάσαι νεανίαν. [o] Ἀριστοφάνης Πλούτῳ·

Εἴ μοι πυρίνας ἄρτον τιν' εὖ πεπεμμένον
δοίης καταφαγεῖν, καὶ κρέας νεανικόν.

Νεανικῶς: Ἰσχυρῶς, γενναίως. [p] Ἀριστοφάνης· C

[q] Κάτνυετε [δή] με νεανικῶς, παῖ, παῖ, καλῶν.

[Νεᾶνις, νεάνιδος. Ἐκ τοῦ νέος, νεάν· ὡς ἄλκιμος, ἀλκιμὰν, καὶ ἀλκμάν.]

Νεανισκεύεται: Ἄμφις [r] ἐν Ῥείθροις, Ποσείδιππος Δημόταις, Εὔπολις Σφιγξίν. [s] Ἰδίως δὲ ἐσχημάτικε τὸ [t] νεανισκεύειν ἐν Δήμοις·

Γυναῖκ' ἔχοντα μάλα καλήν τε κἀγαθὴν,
αὐτὴ [u] νεανισκεύσαντος ἐπεθύμησέ μου.

Νεάνθης: Κυζικηνὸς, ῥήτωρ, μαθητὴς Φιλίσκου τοῦ [x] Μιλησίου.

Νεαροί: Νέοι, νήπιοι. Καὶ [y] νεαρώτεροι.

Παῖδων νεαρώτεροι, οἱ λέγοντες μὴ ἐφορᾶν τὰ τῇδε τὸ θεῖον.

Νέαρχος: Οὗτος ξυνεστράτευσεν Ἀλεξάνδρῳ, καὶ συγγραφὴν συνεγράψατο [z] ὑπὲρ Ἀλεξάνδρου. [a] Ἐψεύσατο δὲ ναύαρχον ἑαυτὸν ἀναγράψας εἶναι, κυβερνήτης ὤν.

Νεάτη: [b] Ἐσχάτη, καὶ νέατοι, φθόγγοι χορδῆς B μουσικῆς τελευταίας.

Νεάτης: [c] Ἡ ἐσχάτη. Καὶ ἡ νήτη χορδὴ λεγομένη ὑπὸ τῶν μουσικῶν, πρὸς ἀντιδιαστολὴν [d] τῆς τε ὑπάτης, καὶ τῆς μέσης.

Νέα χελιδών: Ἐπὶ τῶν ἐξαπατώντων τινάς. [e] Ἀριστοφάνης Ὄρνισιν·

[f] Ἐξηπάτων γὰρ τοὺς μαγείρους, (ἐπι)λέγων τοιαυτί·
σκέψασθε παῖδες, οὐχ [g] ὁρᾶθ'; ὥρα· νέα χελιδών. C
Οἱ δὲ ἔβλεπον, [h] κἀγὼ 'ν τοσούτῳ τῶν κρεῶν ἔκλεπτον.

Νέβελ: Ὄνομα κύριον. [i] Καὶ εἶδος μέτρου Ἑβραϊκοῦ.

Νεβρείην [k] καρδίην: Βάβριος·

Πεινῶσα κερδὼ καρδίην δὲ νεβρείην.

Νεβρίζων: [l] Δημοσθένης ὑπὲρ Κτησιφῶντος. Οἱ μὲν ὡς τοῦ τελοῦντος νεβρίδα [m] ἐνημμένου, καὶ [n] τοὺς D τελουμένους διαζωννύντος [o] νεβρίσιν, ἐπὶ τῷ νεβροὺς διασπᾶν κατά τινα ἄρρητον λόγον.

Νεβρίς:

fallitur. Exstat enim h. v. Sophocl. Œd. Tyr. 684. Statim delevi cum A.V. ΝΕΑΙ: Νῆσος πλησίον Λήμνου, (παρὰ τὸ νέω, τὸ κολυμβῶ) ᾗ προσενήξατο, φασὶν, Ἡρακλῆς. Περὶ ἣν, κατά τινας, Φιλοκτήτης ἐδήχθη ὑπὸ ὕδρου. ΝΕΑ δὲ, φρούριον Μυσίας. Ἐθνικὸν Νεαῖος.

ΝΕΑΛΗΣ] Similia Schol. Platon. p. 37.

[l] Ἀππιανός] Ed. Schweigh. T. I. p. 82. Post h. gl. delevi ΝΕΑΝΔΡΕΙΑ, ἢ ΝΕΑΝΔΡΕΙΟΝ, οὐδετέρως. Πόλις Τρφάδος Ἑλλησποντία, ἣν τινες διὰ τοῦ λ, ΛΕΑΝΔΡΕΙΑΝ γράφουσι κακῶς, cum A.V. Quæ leguntur in Steph. Byzant.

[m] Πολύβιος] In iis, quæ habemus, non exstant hæc ipsa. Est tamen vox Polybiana lib. III. c. 73. et lib. X. c. 14. ut recte observavit Gronovius. KUST.

ΝΕΑΝΕΙΑ] Vocabulum suspectum H. Stephano Thesaur. t. II. p. 1037. qui dici potius existimat νεανιεία.

[n] κενὰ τολμήματα] Sic etiam habet Photius in Lex. ms. At ego scripserim potius, καινὰ τολμήματα. KUST. καινὰ A.V. Lex. Seg.

[o] Ἀριστοφάνης Πλούτῳ] Ver. 1137.

[p] Ἀριστοφάνης] Vesp. 1298.

[q] Κάτνυετε δή] δὴ om. A.B.V.E.M. Seq. gl. om. A.V.

ΝΕΑΝΙΣΚΕΥΕΤΑΙ] Forte melius Νεανισκεύεται a νεανικὸς, quia mox sequitur Ἰδίως δὲ ἐσχημάτικε τὸ νεανισκεύειν. HEMST. Νεανισκεύεται verum esse arguit literarum series, et sic Photius.

[r] ἐν Ῥείθροις] Photius in Lexico ms. habet, Ἐρίθοις: quam veram lectionem esse non dubito. Fabula enim Amphis Ἔριθοι laudatur etiam ab Athenæo et Stobæo. At Ῥείθρων, si ab hoc loco Suidæ discedas, nulla usquam fit mentio. KUST.

[s] Ἰδίως δὲ] δὲ om. A.V. Photius.

[t] νεανισκεύειν] νεανιεύειν E.

[u] νεανισκεύσαντος] νεανιεύοντος Photius.

ΝΕΑΝΘΗΣ Κυζικηνός] De eo vide Vossium in opere de H Hist. Gr. KUST. Adde Clinton. F. H. ad a. 241. et Append. p. 509.

[x] Μιλησίου] Μιλησίου A. Mox omisi cum A.V., ΝΕΑΠΟΛΙΣ, πόλις Ἰταλικὴ διάσημος· ἐν ᾗ Παρθενόπης ἵδρυται Σειρῆνος ἄγαλμα. Πολλαὶ δὲ καὶ ἄλλαι Νεαπόλεις. Similia habet Steph. Byz.

[y] ΝΕΑΡΩΤΕΡΟΙ] Νεαρότεροι A. Sequentem locum Valckenaerius Æliano tribuit.

ΝΕΑΡΧΟΣ] Et de hoc vide Vossium in eodem opere. KUST. v. Καλλισθένης. HEMST. v. Menag. ad Laërt. E I. 99.

[z] ὑπὲρ Ἀλεξάνδρου] Potius, περὶ Ἀλεξάνδρου. Secundum vulgatam lectionem enim Nearchus historiam pro Alexandro conscripserit. KUST. Miror virum in Græcis versatissimum non observasse ὑπὲρ sæpe idem significare quod περὶ de. Sic λέγειν, εἰπεῖν, γράφειν ὑπέρ τινος passim occurrunt. Ælian. V. H. II. 24. τοιαῦτα ὑπὲρ αὐτοῦ λέγοντες. Latini pariter super pro de usurpant. Plautus Cistell. *Quid nuncias super anu?* Virg. Æn. II. *Multa super Priamo rogitans, super Hectore multa.* BOS.

F [a] Ἐψεύσατο] Hoc Arrianus Exp. Alex. VI. narrat de Onesicrito ap. Scheffer. Mil. Nav. IV. 5. Nearchum multa esse mentitum dicit Strab. II. 70. cf. Philostrat. Vit. Apoll. III. 53. et Arrian. Ind. III. 12. REINES.

[b] Ἡ ἐσχάτη] ἡ om. A.B.E.

[c] Ἡ ἐσχάτη om. E. Conf. Schol. Platon. p. 160.

[d] τῆς ὑπάτης] τῆς τε ὑπάτης A.

[e] Ἀριστοφάνης Ὄρνισι] Imo, Equit. 416.

[f] Ἐξηπάτων] ἐξηπάτων A. Mox λέγων A.B.V.E.M.

[g] ὁρᾶθ' ὥρα] ὁρᾶτ' ἄρα A.B.V.E.M. σκέψεσθε edd. sed G σκέψασθε C.

[h] κἀγὼ 'ν τοσούτῳ τῶν] κἀγὼ τοσούτων A. κἀγὼ τοσοῦτον V.

[i] Καὶ εἶδος] Seqq. om. A. Vid. Schleusner. Lex. V. T.

ΝΕΒΡΕΙΗΝ ΚΑΡΔ.] Vide paulo post v. Νεβρός. KUST. Apud Tyrwhitt. p. 42.

[k] ΚΑΡΔΙΗΝ] κραδίην A.B.V.E.M. et in exemp. V.E.M.

ΝΕΒΡΙΖΩΝ: Δημοσθ.] Ex Harpocratione. KUST.

[l] Δημοσθένης] P. 313, 15. Mox οἱ μὲν A.V. Phot. Harpocr. pro τινες.

[m] ἐνημμένου] ἐνειμένου A.V. Phot. ms. Harpocr. ms. Mox ἢ καὶ Phot. Harp. Tum Photius ms.: διαζωννύντες νεβρίσιν ἐπὶ τ νεβροὺς δ. ubi dedit editor διαζωννύντες νεβρίζειν ἐπὶ τοῦ ν. δ. Harpocr. ms. Pal. διαζωννύντος νεβρίσιν ἐπὶ τὸ . .

[n] τοὺς τελουμένους] Sacris Cereris Eleusiniæ et Iacchi Athenis. REINES.

[o] νεβρίσιν] νεβρίσειν V.

[p] Κισσοτὴν στέρνοις νεβρίδ' [q] ἀνεστεμμένη.

**Νεβρίς**: Ἐλάφου δέρμα. [r] Ἐν Ἐπιγράμμασι·

Ἀνθετό σοι κορύναν καὶ νεβρίδας [s] ἡμέτερος Πάν.

**Νεβρός**: Ἐλάφου γέννημα, [t] οἱονεὶ νέον ἐπὶ τὴν βορὰν ἐξιὸν καὶ νεμόμενον. Ἐτυμολογεῖται δὲ, [[u] ὡς καὶ] νεοπόρος τις ὤν. Καὶ [x] **νεβρεία καρδία**. Βάβριος·

Πεινῶσα κερδὼ [y] καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως.

**Νεβρώδ**: Ὄνομα κύριον. Ἀφ' οὗ οἱ γίγαντες. Ὁ αὐτὸς καὶ **Νεβρώδης**.

**Νεεμάν**: Ὄνομα κύριον.

**Νέεσθαι**: Πορεύεσθαι.

**Νέηαι**: [z] Πορευθῇς, ἐπανέλθῃς.

**Νέηκες**: Νεωστὶ ἠκονημένον.

**Νεήλατα**: Τὰ νεωστὶ ἀληλεσμένα ἄλφιτα, καὶ μέλιτι δεδευμένα· οἷς καὶ ἀσταφίδες καὶ χλωροὶ ἐρέβινθοι [a] συνεφύροντο· ἃ τοῖς τὰ ἱερὰ τελοῦσιν ἔνεμον. Ἐκάλουν δέ τινες αὐτὰ καὶ ἀμβροσίαν, καὶ μακαρίαν. Κατ' ἔλλειψιν δὲ [b] προφέρουσιν οἱ Ἀττικοὶ τὸ **νεήλατα**, μὴ προστιθέντες τὸ ἄλφιτα.

**Νεήλυδες**: Νεωστὶ ἐληλυθότες. Ἡ εὐθεῖα, [c] **νέηλυς**.

**Νεηνίας**: Νεανίας.

**Νεῆνις**: Νεᾶνις.

**Νεκάδες**: Νεκροί. Καταχρηστικῶς δὲ καὶ αἱ

A τῶν [d] ζώων τάξεις.

**Νεκρῷ λέγουσα μῦθους εἰς οὖς**: Ἐπὶ τῶν ἀναισθήτων καὶ μὴ ἐπαϊόντων.

[**Νεκροὺς ὁρᾶν, νέκρωσιν ἕξεις πραγμάτων.**]

**Νεκτάρεον**: Ἡδὺ, καλὸν, εὐῶδες. [e] Ἐπὶ τοῦ

νεκταρέου ἑανοῦ.

[f] Καὶ **νέκταρ**, θεῶν πόμα, καὶ οἶνος [g] οὕτως, ὡς Ἀναξανδρίδης. Καὶ τὸ βρῶμα τῶν θεῶν. Ὁ αὐτός.

B **Νεκταρέου**: Θείου.

**Νεκτόμαντις**: Ὁ ἐπερωτῶν τὸν νεκρόν.

**Νεκτία**: Ἡ τῶν νεκρῶν ἑορτὴ, [h] φρουδέγα παρὰ Πέρσαις, [i] Ἑλληνικὴ νεκυία. Καὶ **νεκυοστόλος**, ὁ τοὺς νεκροὺς διαπερῶν.

[k] Τὸν κύνα Διογένην, νεκυοστόλε, [l] δέξαι πορθμεῦ,
γυμνώσαντα βίου παντὸς ἐπισκύνιον.

**Νέκυς**: [m] Νεκρός.

C **Νέμεα καὶ Ἴσθμια**: [n] Τόποι, ἐν οἷς ἐτελοῦντο ἐπέτειοι ἀγῶνες. [Ὅθεν καὶ λέων Νεμεαῖος, ὃν ἐκεῖ νεμόμενον ἀνεῖλεν Ἡρακλῆς. Λέγεται δὲ καὶ θηλυκῶς ἡ Νεμέα, ὁ τόπος.]

**Νεμέας** αὐλητρίδος μνημονεύει Ὑπερίδης ἐν τῷ κατὰ [o] Πατροκλέους, εἰ γνήσιος. Καὶ, [p] **Νεμέας σέλινα**.

D **Νεμέας χαράδρα**: Τόπος τις οὕτως ἐκαλεῖτο ἐν Πελοποννήσῳ.

**Νεμεσᾷ**: Μέμφεται.

[p] Κισσοτὴν στέρνοις νεβρ.] Anthol. Pal. VI. 172.

[q] ἀνεστεμμένη] ἀνεστεμμένη A. Anthol.

[r] ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 87.

[s] ἡμέτερος] ὑμέτερος A.B. Anthol. ms.

[t] Οἱονεὶ νέον ἐπὶ] νέον om. A.V. Photius. νεβροὶ—οἱ νεωστὶ E ἐπὶ βορὰν ἐλθόντες Etymol.

[u] ὡς καὶ νεοπόρος] ὡς καὶ om. A.V. Pro νεοπόρος lege ex Hesych. νεοβόρος. νεόπορος V.C.

[x] NEBPEIA ΚΑΡΔΙΑ] νεβρείη V. Tum καρδίαν A.

[y] καρδίην δὲ] κραδίην E.M. δὲ om. C.

NEBPΩΔ] Vid. Genes. X. 8. Omisi statim cum A.V. ΝΕΓΛΗ. (Νέγλη B.) πολίχνιον Ἀραβίας. ΝΕΔΗ. Πόλις Ἀρκαδίας. Ἀπὸ νύμφης Νέδης. Γράφεται καὶ ΝΕΔΕΗ. Ὅθεν ὁ πολίτης Νεδεήσιος. ΝΕΔΩΝ. Ποταμὸς, καὶ τόπος Λακωνικός. (Λακωνικῆς E.) Κλίνεται Νέδωνος. (Νέδωντος B.E. suprasc.) F Ὅθεν Νεδουσία Ἀθηνᾶ. Ζήτει καὶ τὴν παρὰ Λυκόφρονι. Quæ sumpta sunt ex Steph. Byz.

[z] Πορευθείης, ἐπανέλθοις] πορευθῇς, ἐπανέλθῃς A.B.V. cum Schol. Hom. Il. α'. 32.

NEHKEΣ] νεήκεσσι πελέκεσσι Hom. Il. ν'. 391. et π'. 484. REINES.

NEHΛATA: Τὰ νεωστὶ ἀληλεσμένα ἄλφ.] Ex Harpocratione. KUST. Julian. p. 393. TOUP.

[a] συνεφύροντο] συνεφυρῶντο Phot. omissis ἃ τοῖς—ἔνεμον.

[b] προφέρουσιν] προσφέρουσιν V. Phot. ms. Statim inserui G τὸ cum A.V. Phot.

NEHΛΥΔΕΣ] Il. κ'. 434.

[c] ὁ NEHΛΥΣ] ὁ om. A.

[d] ζώων τάξεις] Lege, νεκρῶν τάξεις. Vide Hesychium et Eustathium. KUST. Cave mutes in νεκρῶν. Etymologus: Ὅμηρος εἴωθε λέγειν νεκάδας τὰς τῶν νεκρῶν τάξεις—οἱ δὲ νεώτεροι καὶ τὰς τῶν ὁπλιτῶν τάξεις οὕτω καλοῦσι.

NEKPOΥΣ ὉΡΩΝ, NEKP.] Est senarius ad somniorum interpretationem pertinens, qui legitur apud Astrampsy- H chum. KUST. Hunc vs. A. et V. marg.

NEKTAPION] Νεκτάρεον A.V. Phot.

[e] Ἐπὶ τοῦ νεκταρέου ἑανοῦ] Respexit ad locum illum Homeri Il. γ'. 385. Χειρὶ δὲ νεκταρέου ἑανοῦ ἐτίναξε λαβοῦσα. KUST.

[f] Καὶ NEKTAP θεῶν π.] Vide Athenæum lib. II. p. 39. unde Suidas hæc descripsit. KUST.

[g] οὕτως] οὕτως ὡς A.V. Phot.

NEKTAPEOΥ] Νεκταρέου V. Tum delevi NEKTAP δὲ, τουτέστι νεόκταρ, τὸ νέους ποιοῦν τοὺς πίνοντας. Ἢ, ἡ στέρησις τῆς κτήσεως τοῖς πολλοῖς. Οὕτω δὲ καὶ ἀμβροσία· οὐ μόνον ἡ ὑπεραναβαίνουσα τὴν ῥοὴν, ἤγουν τὴν καταφθοράν· ἀλλὰ καὶ ἣν οὐκ ἔχει βροτὸς, cum A.V. quorum tamen Νέκταρ—πίνοντας V. habet in marg.

[h] φρουδὴ γᾶ] Scribe, φουρδίγα. Menander in Excerpt. Legat. [p. 149.] Ὁ δὲ Ἰωάννης δεχθεὶς μετὰ τὴν ἑορτὴν, τὴν φουρδίγαν προσαγορευομένην, ὅ ἐστιν Ἑλληνιστὶ νεκυία. Ad hunc locum Menandri respexit Suidas, ut Pearsonius optime observaverat. KUST. φρούγα A. φρουδὴ γὰ—νεκυία καὶ om. V.

[i] Ἑλληνικὴ] Lege, Ἑλληνιστὶ, ut habet Menander. KUST.

[k] Τὸν κύνα Διογένην, νεκ.] Anthol. Pal. VII. 63.

[l] δέξο με] δέξαι A.B.V.E. edd. ante Kuster. qui ex Anthol. tacite mutavit.

[m] Νεκρὸς] ὁ νεκρός A. Statim delevi ΝΕΜΑΥΣΟΣ. Πόλις Γαλλίας. Ἀπὸ Νεμαύσου Ἡρακλείδου. ΝΕΜΕΑ. τόπος, καὶ πόλις, cum A.V. Ἰταλικὴ B.E. pro Γαλλίας. Vid. Steph. Byz.

NEMEA] Anthol. p. 183. Ἴσθμια καὶ Νέμεα. Dio Chrysost. p. 458. ita leg. TOUP.

[n] Τόποι] Male. Νέμεα enim et Ἴσθμια vocabantur ipsi ludi, non vero loca, in quibus ludi illi celebrabantur. Res nota est. KUST. Uncinis inclusa om. A.V.

NEMEAΣ αὐλητρίδος μνημ.] Ex Harpocratione, qui plura habet. Harpocratio vero eadem mutuatus est ab Athenæo, qui tibicinam hanc Νεμεάδα vocatam fuisse scribit, lib. XIII. p. 587. KUST.

[o] Πατροκλέους] Ita Kusterus ex Harpocrat. Ἡρακλέους A. V.E.M.

[p] NEMEAΣ ΣΕΛΙΝΑ] An, Νεμέα Σελήνης? Nemea enim Lunæ erat filia, teste Anonymo in Prologo ad Pindari *Nemea*. KUST. Humani quid passus est Kusterus, quem fugere non debuerat σέλινα in certamine Nem. victoris præmium esse.

NEMEAΣ ΧΑΡΑΔΡΑ: Τόπος τ.] Ex Harpocratione. KUST. Νεμέα V.E.M.

NEMEΣA] Agathias p. 32. τὸ θεῖον νεμεσᾷ τοῖς γεγραμμέ-

Νεμεσᾶν: Τὸ ἐμποδὼν ἵστασθαι τοῖς [q]πραττομένοις [r]κατὰ γνώμην [ἢ μᾶλλον, μὴ κατὰ γνώμην.] A

Νεμεσηθείς: Μεμφθείς.

[rr]Νεμεσηθεὶς δ' ἀλόχῳ [s]κατ' ὄρχησιν, βέλει τρωθεὶς λείπει τὸν βίον.

[t]Ἰώσηπος·

Παρεκάλει τὸν Θεὸν, νεμεσῆσαι μὲν ταῖς τῶν πολεμίων ἐλπίσιν, ἐλεῆσαι δὲ τὸν αὐτοῦ λαόν.

Καὶ αὖθις· B

[redacted] νεμεσηθείην τῆς [u]ἐπιβουλῆς, ἴσθι με μὴ πταίσαντα παρ' ἐλπίδας.

Νεμεσήσομαι: [x]Φθονήσω. Καὶ νεμεσῆσαι, μέμψασθαι.

Νεμεσητικός: Ὁ ἐναντίος τῷ φθονερῷ. [y]Ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τῶν καλῶν εὐπραγίαις· ἐπεὶ καὶ ὁ φθόνος τοιοῦτον. Νεμεσητικὸς δὲ, ὁ λυπούμενος ἐπὶ ταῖς τῶν κακῶν εὐπραγίαις· τοιοῦτον γὰρ ἡ νέμεσις. Ὥστε ὁ νεμεσητικὸς οὐ φθονερός. [z]Ἔστι δὲ τὸ πρόβλημα ὁρικόν. [Ζήλῳ ῥητόρων τοῦτο λέγει. Ὁριζομένου γάρ τινος, φθονερὸν εἶναι καὶ τὸν λεγόμενον νεμεσητικὸν, ἐπειδὴ καὶ αὐτὸς μέμφεταί τινας· ἀνθοριζόμεθα, οὐ τὸν νεμεσητικὸν [a]τοιοῦτον, εἴπερ ὀρθῶς τινας μέμφεται· ἀλλὰ τὸν μὴ τὰ δέοντα μεμφόμενον. Αὐτὸς γάρ ἐστι φθονερός.] C D

Νεμεσητόν: Μεμπτόν.

Νεμεσία: [b]Δημοσθένης ἐν τῷ κατὰ Σπουδίου. Μήποτε ἑορτή τις Νεμέσεως, καθ' ἣν τοῖς κατοιχομένοις ἐπετέλουν τὰ νομιζόμενα. Νεμεσία οὖν, ἡ ἐπὶ τοῖς νεκροῖς [c]γινομένη πανήγυρις· ἐπεὶ ἡ νέμεσις ἐπὶ τῶν νεκρῶν τέτακται.

Νεμεσίζει: Μέμφεται.

Νεμεσίων: Ὄνομα κύριον.

[d]Ὁ [redacted] Νεμεσίων ἀνεπτεροῦτο, καὶ μετέωρος ἦν ταῖς ἐλπίσι, καὶ ἐδόκει ἑρμαίῳ ἐντετυχηκέναι, ἐμοὶ περιτυχών.

Νέμεσις: Ἡ δίκη. [e]Ἀριστοφάνης·

Ἰὼ [f]Νέμεσι, βαρύβρομοί τε βρονταί.

Νέμεσις: Μέμψις, δίκη, ὕβρις, φθόνος, τύχη.

[g]Τὴν τῶν ἀλαζόνων τιμωρὸν [h]Νέμεσιν συνέντες, ἥπερ αὐτοὺς B μετῆλθε σὺν τῇ δίκῃ.

Καὶ αὖθις·

[i]Οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντιουμένην τοῖς ὑπερηφάνοις Νέμεσιν, ἀλλ' ἐν ταῖς ἰδίαις ἠναγκάσθη παιδευθῆναι συμφοραῖς.

Παρῆν [k]δὲ Νέμεσις, [[l]ἢ τὰ γῆς ἐνωπτεύει·
ἢ καὶ ἄλλως,]
ἢ τἄδικ' ἐνωπτεύει.

[m]Βάβριός φησιν ἐν Μυθικοῖς. Καὶ Αἰλιανός·

C Νεμέσεως ἐφόρου, τρόπους ὑπερόπτας καὶ ὑπερηφάνους κολαζούσης, ἐναργῆ μαρτύρια.

Καὶ [n]παροιμία·

Νέμεσις δέ γε πὰρ [o]πόδα βαίνει.

Παρόσον μέτεισι ταχέως ἡ [p]δαίμων τοὺς ἡμαρτηκότας.

[q]Λήθουσα [redacted] πὰρ πόδα βαίνεις·
γαυρούμενον αὐχένα κλίνεις·
D [r]ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς.

Νεμεσῶ: Δοτική.

Νέμειν: Καρποῦσθαι, διοικεῖν.

Ἀλλὰ παρ' ἐμοὶ [s]γεγονημένην πατρίδα τε νέμειν, ἣν ἐγὼ νέμω, καὶ οἶκον, ὃν ἐγὼ κέκτημαι.

Νέμειν προστάτην: Ἀντὶ τοῦ, ἔχειν προστάτην.

---

νοις. Menander Hist. p. 134. Hœschel. νεμεσᾷ τε καὶ ἀγανακτεῖ ὁ Καῖσαρ. TOUP. Νεμεσεῖ B. Νεμεσᾶται V. Νεμεσσᾷ ed. Photii, ubi ms. Νεμεσσᾷ. E

NEMEΣAN: Τὸ ἐμποδὼν ἵστ.] Artemidorus lib. II. c. 42. p. 135. Νέμεσις τοῖς παρανομοῦσι, καὶ τοῖς ἐπιτιθεμένοις τισὶ καὶ μεγάλων ἀρχομένοις πραγμάτων, ἐναντία καθίσταται, καὶ ἐμπόδιος τῶν ἐπιχειρουμένων. Νέμεσιν γὰρ καλοῦμεν καὶ τὸ ἐμποδὼν ἵστασθαι τοῖς πραττομένοις παρὰ γνώμην. Hinc Suidas sua descripsit. KUST.

[q] πραττομένοις etc. om. V. ἢ μᾶλλον etc. om. A.

[r] κατὰ] L. παρά. TOUP.

[rr] Νεμεσηθεὶς] Seqq. om. V.

[s] κατ' ὄρχησιν] κατορχήσει A. κατορχήση B.E.

[t] Ἰώσηπος] P. 511. ed. Haverc. TOUP.

[u] ἐπιβουλῆς] Ms. A. ἐπιβολῆς. KUST. ἐπηβολῆς A. ex em. ἐπιβουλῆς pr. ἐπιβολῆς B.E.

[x] φθονήσω] φθονῶ A.V. Mox μέμψεσθαι V.

[y] Ὁ μὲν γὰρ φθονερὸς λυπεῖται ἐπὶ ταῖς τ.——πρόβλημα ὁρικόν] Hæc sunt verba Alexandri Aphrodisiensis in librum II. Topic. p. 76. KUST.

[z] Ἔστι δὲ] [redacted] om. A. Mox ζήλῳ ῥητόρων etc. om. A.V. G

[a] τοιοῦτον] τοιοῦτον εἶναι B.E.M.

NEMEΣHTON] Sic rectius habent mss. Paris. et Photius in Lexico ms. quam priores editt. in quibus legitur νεμεσητικόν. KUST. Nic. Damasc. p. 461. ed. Vales. ἐννοηθεὶς ὅτι νεμεσητὰ δρᾷ. TOUP.

NEMEΣIA] Scribe, Νεμέσεια, ut habet Harpocratio, ex quo notam hanc Suidas descripsit. KUST.

[redacted] Δημοσθένης] P. 1031, 13.

[c] γινομένη] γενομένη Photius. H

NEMEΣIZEI] Menand. Hist. p. 93. TOUP.

[d] Ὁ [redacted] Νεμεσίων ἀνεπτ.] Fragmentum hoc ex Damascio depromptum esse discimus ex voce Ἑρμαῖον. Vide etiam supra v. Ἀνεπτεροῦτο, ubi eadem leguntur. KUST.

[e] Ἀριστοφάνης] Fallitur Suidas. Est enim ex Euripidis Phœniss. 189. atque ita cum auctoritate Scholiastæ, tum sententiæ arbitrio repræsentandum: Ἰὼ ΝΕΜΕΣΙ καὶ Διὸς Βαρύβρομοι βρονταί, Κεραύνιόν τε πῦρ αἰθαλόεν. Σύ τοι ΜΕΓΑΛΗΓΟΡΙΑΝ Ὑπεράνορα κοιμίζεις. Vulgo ineptissime legitur, μεγαλανορίαν ὑπεράνορα. Quod et doctissimo Valckenario displicuisse video. Ceterum occurrit hoc fragmentum supra v. Ἰώ. ubi recte Suidas, Νέμεσι. TOUP.

[f] νέμεσις] νέμεσι A.V.E.

[g] Τὴν τῶν ἀλαζ.] Videtur Æliani fragmentum. VALCK.

[h] Νέμεσιν συνέντες] συνέντες Νέμεσιν A. v. συνιέντες V.

[i] Οὐκ ἔλαθε τὴν ἅπασιν ἐναντ.] Inepte Portus fragmentum F hoc in versus redigere conatur, quod pedestri oratione constare facile cuivis patere potest. KUST.

[k] δὲ] [redacted] ἡ A.B.V.E. edd. ante Kuster.

[l] ἢ τὰ γῆς—ἄλλως om. A. ἢ καὶ ἄλλως om. V. Vitiosum esse τὰ γῆς judicavit Schneiderus: at τἄδικ' metro repugnat.

[m] Βάβριος] Tyrwhitt. p. 44.

[n] παροιμία] Vid. Jacobs. Animadv. Anthol. T. IX. p. 345.

[o] πόδα] πόδας A.B.V.E. edd. ante Kuster. et sic infra. G

[p] δίκη] δαίμων A. δίκη δαίμων V.C.

[q] Λήθουσα δὲ πὰρ πόδα β.] Synesius Epist. XCIV. p. 235. Οὐχ ὡς ἂν κινῆσαι Θεοῦ τε καὶ ἀνθρώπων Νέμεσιν. Αὕτη μέντοι σαφῶς ἐστι, περὶ ἧς πρὸς λύραν ᾄδομεν, Λήθουσα δὲ πὰρ πόδα βαίνεις· Γαυρούμενον αὐχένα κλίνεις· Ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρατεῖς. Hinc Suidas sua deprompsit. Vide etiam infra v. Ὑπὸ πῆχυν. KUST.

[r] ὑπὸ πῆχυν ἀεὶ β.] Locum hunc pulchre illustrat Reinesius Var. Lect. lib. III. p. 573. KUST.

H NEMEΣΩ] A. in marg.

[s] γεγονημένην] For. γενόμενον. TOUP.

NEMEIN ΠΡΟΣΤΑΤΗΝ] Confer Nostrum supra v. Ἀπροστασίου, et Petitum de Leg. Att. p. 170. KUST. Plutarch. in Mario p. 488. ubi lapsus est Bryanus. Dion. Hal. p. 81. Harpocrat. v. Προστάτης. Synes. Ep. p. 179. ed. Cuj. TOUP.

Τῶν γὰρ μετοίκων ἕκαστος μετὰ προστάτου τῶν ἀστῶν A τινος τὰ πράγματα αὐτοῦ [t]διῴκει, καὶ τὸ μετοίκιον κατετίθει. Καὶ τὸ ἔχειν προστάτην, καλεῖται νέμειν προστάτην. Ὑπερίδης·

Ὥστε κελευστέον τοὺς μαρτυροῦντας τὰ τοιαῦτα, καὶ τοὺς παρεχομένους μάτην [u]ἀπατᾶν ὑμᾶς, μὴ τυγχάνουσι [x]δικαιότερα λέγοντες· καὶ νόμον ὑμῶν ἀναγκάζετε παρέχεσθαι, τὸν κελεύοντα μὴ νέμειν προστάτην.

Νέμειος: Ὁ ἐν τῇ [y]Νεμέᾳ.

Νεμηθέντων: Κληρωθέντων. Αἰλιανός·

Ἀλλὰ καὶ ἐκείνων νεμηθέντων εἰς τὴν στάσιν.

Νεμήσασθαι: Διαμερίσασθαι.

Νεμήσεις ὑποκριτῶν: Οἱ ποιηταὶ ἐλάμβανον [z]τρεῖς ὑποκριτὰς, κλήρῳ νεμηθέντας, ὑποκρινομένους τὰ δράματα· ὧν ὁ νικήσας εἰς τοὐπιὸν [a]ἄκριτος παραλαμβάνεται. Ἔστιν οὖν οἷον διαιρέσεις.

Νέμοντα: Διοικοῦντα.

Νέμος ἐπάκτιον: Τὸ ἄλσος, τὸ ὄρος τὸ παράλιον. [b]Σοφοκλῆς·

Πάραλά τ' [c]ἄντρα, καὶ νέμος ἐπάκτιον.

Οἱ δὲ ἐγγὺς τῆς χηλῆς τοῦ ὄρους φυλίζοντο, ὡς τὴν ὕλην, καὶ τὸ ἐκ ταύτης νέμος, πρόβλημα εἶναι.

[Νέμω: Τὸ μερίζω [d]δοτικῇ.]

Νέμω: Νομεύω.

[e]Τὴν δ' ἄρ' οὐκέτι νέμω πόλιν.

[Νέμω: Τὸ βόσκω [f]αἰτιατικῇ.]

Νέμοιτο: Καρποῖτο.

Νένακτο: [g]Ἐπεπλήρωτο. [h]Ἰώσηπος·

Συνεκπίπτει δὲ τοῖς πολεμίοις εἴσω· καὶ πᾶσα οἰκία δεκτῶν νένακτο, τὰ [i]τέγη δ' ἦν τῶν μαινομένων κατάπλεα.

Νενεωλκημένας ναῦς: Ἔξω οὔσας, εἱλκυσμένας.

Νενημένην καὶ νενησμένην: Σεσωρευμένην. B [k]Ξενοφῶν·

[l]Εὕροις γὰρ θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων πατρικῶν περιουσιῶν.

Καὶ [m]Ἀριστοφάνης·

Τί κάθησθ' ἀβέλτεροι,
. . . . . . . . . . . . . . ὄντες λίθοι,
ἀριθμὸς, [n]πρόβατ', ἄλλως ἀμφορεῖς νενησμένοι;

τουτέστιν, ἀνόητοι. Πρὸς τοὺς θεατάς φησι. Διὰ C γὰρ τοῦ μωροῦ [o]δοκιμάζεται ὁ φρόνιμος. Ἀμφορεῖς δὲ [νενησμένοι,] ἀντὶ τοῦ, ματαίως κέραμοι σεσωρευμένοι. [p]Νῆσαι γὰρ, τὸ σωρεῦσαι.

Νενώμεθα: Διανενοήμεθα.

Νεοαρδέα: Νεωστὶ πεποτισμένα.

Νεογιλλόν: Νεογέννητον.

Νεογνόν: Νεωστὶ γεννηθέντα.

Νεοδαμώδης: Ὁ ἐλεύθερος παρὰ τοῖς Λακεδαι- D μονίοις.

[t] διῴκει] συνῴκει A.B.V.E. edd. ante Kuster. τὰ αὐτῶν πράγματα διοικεῖν Lex. Seg. Bekker. p. 298, 3.

[u] ἀπατᾶν] ἀπαντᾶν V.

[x] δικαιότερα] Sic habet ms. Paris. A. At reliqui mss. Paris. et priores editt. σκαιότερα. KUST. Et σκαιότερα præferre videtur Toupius, in superioribus reponens κωλυστέον.

[y] Νεμέᾳ] Statim delevi τῇ Λοκρικῇ δηλαδή. Ὁ γὰρ τῆς κατὰ τὴν Ἦλιν Νεμέας πολίτης, Νέμεος ἀναγράφεται, καὶ Νεμεαῖος· ἤδη δὲ καὶ Νεμεήτης· ὡς δῆλον ἐκ τοῦ Ζεὺς Νεμεήτης, cum A.V. Conf. Steph. Byz. Νεμήϊος Ζεὺς habet Archytas Stobei XLIII. 134. p. 270. ed. Gesn.

ΝΕΜΗΣΕΙΣ ὙΠΟΚΡΙΤΩΝ: Οἱ π.] Eadem etiam legas apud Hesychium. KUST. Vid. Polyb. p. 683. Plutarch. in Pyrrh. 446. ποιούμενοι τὴν νέμησιν. Vulgo νέμεσιν. TOUP.

[z] τρεῖς ὑποκριτὰς] Id est, πρωταγωνιστὴν, δευτεραγωνιστὴν, et τριταγωνιστήν. Latine, *Actorem primarum, secundarum, et tertiarum partium.* Confer Valesium in notus Maussaci ad Harpocrat. v. Ἰσχανδρος. KUST.

[a] Ἄκριτος] Hesychius habet ἀκρίτως: quod malim. KUST. Interpretatur Hemsterhusius, (ad Luciani Tim. c. 51.) *quorum poëtarum qui superior discessit, in posterum sine sortis discrimine suos sibi actores legebat.* Hæc ampliori disquisitione indigere putat Tyrwhittus ad Aristot. Poët. c. 10.

[b] Σοφοκλῆς] Aj. 413.

[c] ἄντρα] ἄνδρα A.V. qui mox om. καί.

[d] δοτικῇ] Hanc gl. V.A. marg. B.

[e] Τὴν δ' ἄρ' οὐκέτι ν.] Sophocl. Œdip. Colon. 879.

[f] αἰτιατικῇ] Hanc gl. A.V. marg.

ΝΕΝΑΚΤΟ] Joseph. Vide Haverc. ad Bell. Jud. p. 96. Idem p. 107. νάγμα. Aristid. I. p. 545. TOUP.

[g] Ἐπεπλήρωτο suprasc. in A. a m. recent. Delevi cum V.E. Ἐκ τοῦ νάσσω, νάξω, καὶ τοῦ παρ' Ὁμήρῳ ἐν Ὀδυσσείᾳ. Ἐξ οὗ καὶ ὁ ΝΑΣΤΟΣ ἄρτος. Habet tamen E. in marg. H Ceterum ἐπεπλήρωτο—δεκτῶν νένακτο desunt A. et fortasse exciderunt ob ὁμοιοτέλευτον. Ad verba καὶ τοῦ παρ' Ὁμήρῳ sic Kusterus: "Lego et suppleo: Καὶ παρ' Ὁμήρῳ ἐν "Ὀδυσσείᾳ, ἔναξε. Usus est enim Homerus v. ἔναξε, "Odyss. φ'. 122."

[h] Ἰώσηπος] Lib. I. de Bello Jud. c. 13. p. 739. sed ubi pro νένακτο, cujus vocabuli gratia locum hunc adduxit Suidas, hodie male legitur ἐκτᾶτο. Vetus tamen interpres, qui vulgo Ruffinus putatur, νένακτο etiam legit, ut ex versione ejus apparet. Vicissim apud Josephum pro μαινομένων, ut hic Suidas habet, rectius legitur ἀμυνομένων. KUST. Mox post εἴσω M. inserit καὶ αἰτιατικῇ.

E [i] τέγη] γένη V.

ΝΕΝΗΜΕΝΗΝ] Delevi statim καὶ νενησμένην cum A.V. Photius Νενησμένην: σεσωρευμένην, nec plura. Restituenda ista vox Xenoph. Anab. p. 521. lib. VII. ubi male legitur, Κρεῶν μεστοὶ νενεμημένων. Leg. νενημένων. Arrian. Exp. Alex. p. 429. ubi male νενεμήκη. Vid. v. Καλανός. TOUP.

[k] Ξενοφῶν] Lib. V. de Expedit. Cyri, p. 353. [V. 4. 27.] ut Portus monuit. Ibi autem sic legitur: Εὕρισκον θησαυροὺς ἐν ταῖς οἰκίαις ἄρτων νενημένων πατρίους περιουσιῶν. KUST.

[l] Εὕροις] εὕρης A.B.V.

F [m] Ἀριστοφάνης] Nub. 1203. Τί κάθησθ' ἀβέλτεροι Ἡμέτερα κέρδη τῶν σοφῶν, ὄντες λίθοι, Ἀριθμὸς, πρόβατ', ἄλλως ἀμφορῆς νενασμένοι. Nota, apud Aristophanem pro νενησμένοι, ut hic Suidas habet, hodie legi νενασμένοι, i. e. *repleti*, a νάσσω, νάσω: quod magis probem. Vide etiam supra v. Ἀμφορεαφόρους, ubi idem locus Aristophanis adducitur. KUST.

[n] πρόβατ'] προβάτων A.

[o] ὁ φρόνιμος δοκιμάζεται] δοκιμάζεται ὁ φρόνιμος A.

[p] ΝΗΣΑΙ] νῆσαι A.B.V.E.

ΝΕΝΩΜΕΘΑ] Vide infra v. Νενόμεικας, et v. Νῶσαι. G KUST.

ΝΕΟΑΡΔΕ' ἈΛΩΗΝ] Homerus Il. φ'. 346. KUST. Νεοαρδέα A.V. Photius. Mox πεποτισμένα A. non πεποτισμένην.

ΝΕΟΓΙΛΟΝ] Νεογιλλὸν A.V. Photii ms. λ duplicant Apollonius Lex. Hom. in v. et ni fallor Homeri mss. Od. μ'. 86. Sequentia Παρὰ τὸ νέον γίνεσθαι, νεογινόν. Καὶ ὡς πνεύμων, πλεύμων, Ἀττικῶς, καὶ νίτρον, λίτρον· οὕτω νεογιλόν, νεογιλλὸν, omisi cum A.V. et Photio. Vide Piersonum ad H Mœrin p. 309. quosque ille laudat.

ΝΕΟΔΑΜΩΔΗΣ: Ὁ ἐλ.] Ex Scholiasta Thucydidis ad lib. VII. c. 58. Confer etiam Hesychium, Athenæum, Eustathium, et alios. KUST. Plutarch. Ages. p. 598. Xenoph. p. 436. TOUP. Delevi Ἦτοι ἐκ τῶν Εἱλώτων, cum A.B.V.

ΝΕΟΔΜΗΤΟΝ: Νεοδάμαστον.

ΝΕΟΕΡΓΕΣ: Προσφάτως εἰργασμένον.

ΝΕΟΘΑΛΗΣ: Νεωστὶ βλαστήσασα.

ΝΕΟΘΑΝΗΣ: Νεωστὶ τεθνεώς.

ΝΕΟΘΗΓΕΙ: Νεωστὶ ἀκονηθέντι.

> [q]Ἡ δὲ σέθεν φθιμένης πολιοὺς [r]νεοθηγεῖ σιδήρῳ
> κείρατο γηραλέης ἐκ κεφαλῆς πλοκάμους.

ΝΕΟΚΑΤΑΣΤΑΤΟΙΣ ΑΝΘΡΩΠΟΙΣ: [s]Φησὶ Θουκυδίδης. Ἀντὶ τοῦ, νεωστὶ κατῳκισμένοις.

ΝΕΟΚΛΗΣ, Ἀθηναῖος, φιλόσοφος, ἀδελφὸς Ἐπικούρου. [t]Ὑπὲρ τῆς ἰδίας αἱρέσεως.

Ὅτι Νεοκλέους ἐστὶ τὸ ΛΑΘΕ ΒΙΩΣΑΣ.

ΝΕΟΚΛΕΙΔΟΥ ΚΛΕΠΤΙΣΤΕΡΟΣ: Οὗτος κεκωμῴδηται ὡς ῥήτωρ ἦν, καὶ τυφλὸς, καὶ συκοφάντης, καὶ κλέπτης. [u]Ἀριστοφάνης·

> Νεοκλείδης, ὅς ἐστι μὲν τυφλὸς,
> κλέπτων δὲ τοὺς βλέποντας ὑπερηκόντισε.

ΝΕΟΚΜΗΤΟΝ: Νεωστὶ κατεσκευασμένον.

ΝΕΟΛΑΙΑ: Νέων συναγωγὴ, [x]ὁ νέος λαός.

> [y]Ὑπὲρ τοῦ τὴν νεολαίαν [z]τῶν Ῥωμαίων ἀξιοζήλως τε καὶ ἅμα τῷ θάρσει διαγωνίζεσθαι.

Καὶ Αἰλιανός·

> [a]Λοιμὸς γὰρ τῇ Ἐφέσῳ πόλει ἐνήκμαζεν οἷος βαρύτατος, πρημαίροις δὲ θανάτοις [b]διεφθείροντο ἡ νεολαία, καὶ ἦν [c]ἀγωνία καὶ μάντει καὶ γυναικῶν καὶ τῆς ἀγέλης τῆς τετράποδος.

ΝΕΟΛΕΚΤΟΣ: Ὁ νεωστὶ ἠθροισμένος λαός.

ΝΕΟΝ [d]Ὅμηρος ΗΒΩΟΝΤΑ: Οὐ λέγει νέον καθ' ἡλικίαν, ἀλλὰ κατὰ μεσότητα· οἷον, νεωστὶ ἡβῶντα.

ΝΕΟΝΤΑΣ: Νηχομένους.

> [e]Ἐφείλκον καὶ ἵππους [f]νέοντας τρεῖς ἅμα καὶ τέτταρας τοὺς ἀγωγεῦσι.

ΝΕΟΠΛΟΥΤΟΣ: Ὁ νεωστὶ πλουτῶν.

ΝΕΟΡΡΑΝΤΩΙ: Νεαρῷ ἀπὸ τοῦ αἵματος. [g]Σοφοκλῆς·

> [h]Πηδῶντα πεδία σὺν νεορράντῳ ξίφει.

ΝΕΟΡΤΟΝ: Νέον.

> [i]Τί δ' ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ;

ΝΕΟΡΡΥΤΟΙΣ: Νεωστὶ ῥέουσι.

ΝΕΟΣ: Ἡ νεωστὶ [k]ἠροτριασμένη γῆ.

> [l]Καί τις γεωργὸς πυρὸν εἰς νεὸν σπείρας,
> φύλασσεν ἑστώς.

ΝΕΟΣ ΕΣΤΙ ΚΑΙ ΟΞΥΣ: Ἀμαθής [m]ἐστι καὶ προπετής. [Πλάτων ἐν Γοργίᾳ.]

ΝΕΟΣΣΙΑ: Ἡ καλιὰ τῶν στρουθίων.

ΝΕΟΣΜΗΚΤΟΝ: Νεόθηκτον, [καὶ νεοκάθαρτον.]

ΝΕΟΣΣΟΣ: Ὁ στρουθός.

ΝΕΟΣΠΑΔΑ: Τὴν νεωστὶ ἀποσπασθεῖσαν. [n]Πισίδης·

> Ταύτην δὲ τὴν φάλαγγα τὴν νεοσπάδα.

ΝΕΟΤΕΛΗΣ: Νεωστὶ τετελειωμένος.

ΝΕΟΤΕΥΧΕΣ: Νεωστὶ κατεσκευασμένον.

ΝΕΟΤΤΕΙΑ: Ἡ ἐκλέπισις.

ΝΕΟΤΤΙΟΝ: Γέννημα. [o]Ἀριστοφάνης·

> Πέρδιξ [p]γενέσθω τοῦ πατρὸς νεόττιον.

Τοῦ Πισίου [q]ὁ υἱὸς ὅμοιος βούλεται γίνεσθαι τῷ πατρί. Ἦν δὲ ὁ Πισίας προδότης. Καὶ αὖθις·

> [r]Τρία κνώδαλα ἀναιδῆ, Πισίας, [s]Ὀσφύων, [t]Διιτρεφής.

ΝΕΟΤΤΟΣ: Ἡ τοῦ ὠοῦ [u]λέκιθος, καὶ τὸ πυρρόν. Μένανδρος [x]Ἀνδρίᾳ·

ΝΕΟΘΑΝΗΣ] Ruhnken. ad Timæi Lex. Νεοθνής. Sed Græci utrumque amant. Sic ἡμιθνὴς et ἡμιθανής. Agathias p. 66. ἀνθρώπω νεοθανέε. TOUP.

[q] Ἡ δὲ σέθεν φθιμ.] Anthol. Pal. VII. 181.

[r] νεοθηγεῖ] Metri gratia scribendum est νεοθηγεῖ: ut legitur in codice ms. Epigrammatum. KUST. Recte νεοθῆγι: sed ms. Pal. habet νεοθηγεῖ. Seq. gl. ΝΕΟΚΑΙΣΑΡΕΙΑ. Ποντική, φασί, πόλις. Καὶ οἱ πολῖται, Νεοκαισαρεῖς. Οἱ αὐτοὶ καὶ Ἀδριανοπολῖται. Ἔστι δὲ καὶ Βιθυνίας πόλις, delevi cum A.V. Descripta est ex Steph. Byzant.

[s] Φησὶ Θουκυδίδης] Lib. III. c. 93.

ΝΕΟΚΛΗΣ, Ἀθην.] Vide Menagium ad Laërt. lib. X. 3. KUST.

[t] ἔγραψεν ὑπὲρ] ἔγραψεν om. A.V. Et sæpe in talibus omittit Suidas. Mox Ὅτι A.V. pro καί.

[u] Ἀριστοφάνης] Plut. 665. Vide ibi Scholiastam. KUST.

[x] ὁ νέος λ.] Heinsius ad Theocr. p. 132. ὁ ἐκ νέων λαός. Ita Schol. TOUP.

[y] Ὑπὲρ τοῦ] Et h. fr. Æliano tribuit Valckenærius.

[z] τῶν Ῥωμαίων] τὴν Ῥωμαίων B.E.V. Mox τε om. E.

[a] Λοιμὸς γὰρ τῇ Ἐφ.] Confer Nostrum supra v. Ἀγωνία, et infra v. Πρημαίροις, ubi idem fragmentum adducitur. KUST.

[b] διεφθείροντο] Leg. διεφθείρετο. Vid. vv. Ἀγωνία. Πρημαίροις. TOUP.

[c] ἀγωνία] ἀγωνία V.E. In fine addit V. Νεολαία δὲ ὁ τοῦ νέου λαοῦ:

[d] Ὅμηρος] Il. ζ. 446. ubi legitur, Νέω ἡβώοντα: uti etiam hic apud Suidam scribendum est. KUST. Dedi ἡβώοντα pro ἡβόωντα ex A. ἡβώωντα B.E. ἡβόωντα M. Descripta est gl. ex Schol. Ven.

[e] Ἐφείλκον καὶ ἵππ.] Hæc sunt verba Polybii, III. 43. KUST.

[f] νέοντας om. A. Sequentem gl. ΝΕΟΝ ΤΕΙΧΟΣ. Τῆς Αἰολίδος ἐστὶ τόπος. Ὁ ἐκεῖθεν, Νεοτειχίτης. Ὡς καὶ τὸ Χαλλὸν τεῖχος, τὸ περὶ Καρίαν· καὶ Χαλλοτειχίτης, ὁ ἀπὸ τούτου, delevi cum A.V. Provenit ex Stephano Byz.

ΝΕΟΠΛΟΥΤΟΣ] Vid. Photii Bibl. p. 1468. TOUP.

[g] Σοφοκλῆς] Aj. 30.

[h] Πηδῶντα] καί μοί τις αὐτὸν σὺν νεορράντῳ ξίφει πηδῶντα ἰδὼν, ἐδήλωσε A.B.V. τρεῖς πηδῶντα σὺν ν. ξ. E. πεδία π. σ. ν. ξ. M.

[i] Τί δ' ἐστὶν] Soph. Œd. Col. 1507.

[k] ἠροτριασμένη] ἠροτριωμένη A.

[l] Καί τις γεωργ.] Fragmentum hoc ex Babrio desumptum est. KUST. Tyrwhitt. p. 44.

[m] δηλονότι] ἐστι A.V. Photius. Mox Πλάτων ἐν Γοργίᾳ om. A.B.V. Photius. Platonis locus est p. 463 E.

ΝΕΟΣΜΗΚΤΟΝ] Anthol. Pal. VI. 227. Mox καὶ νεοκάθαρτον om. A.V.

[n] Πισίδης] Fr. Foggin. 121.

ΝΕΟΤΕΛΗΣ] Ex Timæo, ubi τετελεσμένος pro τετελειωμένος. Cum Suida concordat Photius.

ΝΕΟΤΕΥΧΕΣ] Theocrit. I. 28.

[o] Ἀριστοφάνης] Av. 768.

[p] γενέσθω] γενέσθαι B.V.

[q] ὁ υἱὸς] ὁ om. A. Mox γενέσθαι A.

[r] Τρία κνώδαλα ἀναιδ.] Est fragmentum Cratini, quod auctius adducit Scholiasta ad modo indicatum locum Aristophanis. Vide etiam infra v. Πισίαν. KUST.

[s] Ὀσφύων] Apud Scholiastam Aristophanis loco laudato, et ipsum Suidam infra v. Πισίαν, legitur Ὀσφρίων. KUST.

[t] Διιτρεφής] Scribe, Διιτρέφης, cum accentu in penultima. KUST.

ΝΕΟΤΤΟΣ: Ἡ τοῦ ὠοῦ λ.] Sic locus hic in mss. Paris. itemque Lexico Photii legitur. At in prioribus editt. post vocem νεοττὸς inepte addita sunt hæc verba, ἴδιος τοῦτο παρὰ τὸ δηλοῦντα τὸ νεόττιον. Quid hæc ad rem? KUST. Νεοττὸν edd. ante Kuster. probante Bentleio.

[u] λέκιθος] λέκιθος A.V. λέκηθος Photii ms.

[x] Ἀνδρεία] Scribe Ἀνδρίᾳ, per ι. Fabulæ enim huic nomen dedisse mulierem Andriam, ab insula Andro, a qua

Καὶ τεττάρων ᾠῶν μετὰ ταῦτα, φιλτάτη, [y]τὸν νεοττόν. A

Κλέαρχος [z]ἐν τῷ Περὶ Οἴνων συγγράμματι φησίν·

Ὃ διαδίδοται [a]ἀρχὴ ὑπὸ τὸν ὑμένα λευκόν· ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ. Διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες. Καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος.

Ὅτι δὲ τὸ ὠχρὸν νεοττὸν ἔλεγον, μαρτυρεῖ καὶ Χρύσιππος ἐν τῷ Περὶ Χρησμῶν. [b]Ὄναρ γάρ τινα [c]φησὶ B θεασάμενον ἐκ τῆς κλίνης αὐτοῦ [d]κρέμασθαι ᾠὸν, προσαναθέσθαι ὀνειροκρίτῃ· τὸν δὲ εἰπεῖν, Ὀρύττων θησαυρὸν εὑρήσεις κατὰ τὸν τόπον ἐκεῖνον. Εὑρόντα δὲ σταμνίον ἐν ᾧ ἀργύριον ἦν καὶ χρυσίον, ἐπενεγκεῖν τι τοῦ ἀργυρίου τῷ μάντει· τὸν δὲ μάντιν εἰπεῖν· [e]Τοῦ δὲ νεοττοῦ οὐδέν μοι δίδως; Καὶ Δίφιλος κέχρηται τῇ λέξει·

Ὠὸν δ' ἐν αὐτῷ διέτρεχεν νεόττια. C

Νεοττός: Καὶ ὁ νεογνὸς ὄρνις.

Οἶδά [f]τοι ἔγωγε καὶ ἐς ὀκτὼ ὅλας ἡμέρας ἀναλαβόντα αὐτῷ κατοικιδίας ὄρνιθας οὐ μέγαν νεοττόν.

Νεουργόν: Νεωστὶ εἰργασμένον.

Νεόφθιτον: Νεωστὶ τελευτῆσαν, νεωστὶ φθαρέν.

Νεοφρῶν, ἢ Νεοφῶν, Σικυώνιος, τραγικός· οὗ φασιν εἶναι τὴν [g]τοῦ Εὐριπίδου [h]Μήδειαν· ὃς πρῶτος εἰσήγαγε παιδαγωγοὺς, καὶ οἰκετῶν βάσανον. D [i]Ἐδίδαξε δὲ τραγῳδίας ρκ'. Συνῆν δὲ μετὰ ταῦτα Ἀλεξάνδρῳ τῷ Μακεδόνι, καὶ διότι φίλος ἦν Καλλισθένει τῷ φιλοσόφῳ, σὺν ἐκείνῳ καὶ [k]αὐτὸν ἀνεῖλεν αἰκισμοῖς.



Νεόφυτον: Τὸ νεωστὶ φυτευθέν.

Νεόφυτος: Ὄνομα κύριον.

Νεοχάρακτα: Νεωστὶ κεχαραγμένα. [l]Σοφοκλῆς·

Ἴχνη τἀκείνου νεοχάρακτα.

Ὁπόταν γὰρ νεωστὶ αἱ ἀποχαράξεις τῶν ζῴων γένωνται, μᾶλλον ἐπακολουθοῦσιν οἱ κυνηγέται, πρὶν ὑπὸ ἀνέμου ἀφανισθῇ ἡ ὀδμή.

Νεοχμός: Νέος, νέαν καὶ ἀκαταπόνητον δύναμιν ἔχων.

[m]Μὴ παρόντων ἐς τὰς ἀρχὰς ἀνδρῶν τῶν διέπειν ταύτας δυναμένων, πολλὰ νεοχμοῦσθαι ἐν τοῖς πολιτικοῖς.

[n]Ἀριστοφάνης·

Τέρας νεοχμόν.

Ἀντὶ τοῦ, παράδοξον.

Ἀτοπίας [o]πλέων.

C Ἀντὶ τοῦ, θαύματος.

Νεοχμοῦν: [p]Καινοτομεῖν, νεώτερα ἐργάζεσθαι.

[q]Ὁ δὲ φυλάσσειν τῶν καθεστώτων οὐδὲν ἠξίου· πάντα δὲ νεοχμοῦν ἐσαεὶ ἤθελε.

Νεοχμώσαντες: Νεωστὶ κινήσαντες. [r]Ἡρόδοτος.

Νεοχμώσειν: Νεωτερισθῆναι, καινόν τι ἐργάσασθαι.

D Ἀσχόλους τε γὰρ αὐτοὺς ὄντας διὰ τὸν πόλεμον, μηδὲν [s]νεοχμώσειν.

Νέω: Τὸ κολυμβῶ, καὶ τὸ πορεύομαι.

Νεωκορήσει: Ἐνίοτε ἀντὶ τοῦ [t]ἱεροσυλήσει. Κορεῖν γὰρ λέγουσι τὸ καλλύνειν, τὸ σαροῦν, καὶ

---

deducitur gentile Ἄνδριος, sic dictam, vel ex Terentii Andria patet, quæ ex fabula ista Menandri expressa est. KUST. Ἀνδρείᾳ A. Ἀνδρία Phot.

[y] τὸν νεοττόν] τῶν νεοττῶν V.C. τὸ νεοττὸν M.

[z] ἐν τῷ περὶ οἴνων] Menagius ad Laert. lib. I. segm. 9. scribendum censet, ἐν τῷ περὶ θινῶν: auctoritate Athenæi, qui Clearchum ἐν τῷ περὶ θινῶν laudat. Sed conjectura hæc dubia est et anceps, cum nihil obstet, quo minus quis credere possit, Athenæum ex Suida corrigendum esse: vel saltem, aliud esse opus περὶ θινῶν, et aliud περὶ οἴνων; et proinde neutram lectionem solicitandam esse. F KUST. Ego vero utramque lectionem sollicitandam esse puto. Illud enim Θινῶν est nihil aliud quam corruptio τοῦ Οἴνων· quod et ipsum corruptum est. Audacter repono: Κλέαρχος ἐν τῷ περὶ Ὠῶν. *Clearchus in libro de Ovis.* Quod vel ipse locus Clearchi, qui sequitur, manifeste evincit: Ὠῷ διαδίδοται ἀρχὴ ὑπὸ τὸν ὑμένα λευκόν· (leg. τὸ λευκόν·) ἐν τούτῳ γὰρ τὸ σπέρμα, καὶ οὐκ ἐν τῷ καλουμένῳ νεοττῷ. Διεψεύσθησαν γὰρ οἱ πρῶτοι τοῦτο φήσαντες. Καὶ ἔστι τὸ ὠχρὸν περίττωμα τοῦ σπέρματος. *Album sub membrana est ovi principium: in hoc enim semen continetur, non autem in vitello: et decepti fuerunt illi, qui primi hoc dixerunt. Luteum autem ovi est excrementum seminis.* Ita scribendus G iste locus. Vulgo legitur, Ὁ διαδίδοται. Sed editio princeps, Ὠι. Unde veram lectionem eruimus. Quare auctor sum, ut Clearchus deinceps laudetur ἐν τῷ ΠΕΡΙ ΩΩΝ. TOUP. ᾧ διαδ. E. Photius.

[a] ἀρχὴ] ἡ ἀρχὴ Phot.

[b] Ὄναρ γάρ τινα φησὶ θεασ.] Eandem ex Chrysippo historiam narrat Cicero lib. II. de Divinat. c. 65. his verbis: H *Defert ad conjectorem quidam somniasse se, ovum pendere ex fascia lecti sui cubicularis. (Est hoc in Chrysippi libro somnium.) Respondit conjector, thesaurum defossum esse sub lecto. Fodit: invenit auri aliquantum, idque circumdatum argento. Misit conjectori quantulum visum est de argento. Tum ille, Nihilne, inquit, de vitello? Id enim*

E *et ex ovo videbatur aurum declarasse; reliquum, argentum.* KUST.

[c] φησὶ] φασὶν Phot. A. Tum θεασάμενος E.

[d] κρέμασθαι] κρεμᾶσθαι V. qui mox προσανθέσθαι ὀνειροκρίτην.

[e] Τοῦ δὲ] δὲ om. V.

[f] τοι] τι A.V.

NEOΥΡΓΟΝ] Ex Timæo, ubi vid. Ruhnken. Deest gl. V.

NEOΦΡΩΝ] Νεόφρων A.B.V.

[g] Εὐριπίδου] τοῦ Εὐριπίδου A.B.V. Mox πρῶτα V.

F [h] Μήδειαν] Vid. Petit. Misc. VI. 17. p. 137. qui non esse Neophronis, sed Euripidis, qui fuit e fratre nepos, probat. REINES. Vide quæ de h. l. disputavit Elmsleius ad argum. Euripid. Med.

[i] Ἐδίδαξε] ἐδίδαξε δὲ A. qui mox δὲ τὰ μετά.

[k] αὐτὸν ἀνεῖλεν] Supra ad Καλλισθένης vocat eum Nearchum τὸν τραγικόν. REINES.

[l] Σοφοκλῆς] Aj. 6. Vide ibi Scholiastum, cujus verba Suidas hic descripsit. KUST.

[m] Μὴ παρόντων ἐς τὰς ἀρχ.] Locum integrum Joannis G Antiocheni, unde fragmentum hoc decerptum est, habes supra v. Θεοδόσιος, βασιλεὺς Ῥωμ. ubi pro παρόντων recte legitur παριόντων. Ceterum, exemplum hoc ad vocem sequentem Νεοχμοῦν referri debebat. KUST.

[n] Ἀριστοφάνης] Ran. 1418.

[o] πλέων] πλέαν A.

[p] Καινοτομεῖν] καὶ νεοτομεῖν E. καὶ καινοτομεῖν M.

[q] Ὁ δὲ φυλάσσειν τῶν καθεστ.] Hæc sunt verba Procopii Histor. Arc. c. 6. KUST. Desunt V.

H [r] Ἡρόδοτος] Gl. V. 19.

[s] νεοχμώσειν] νεοχμῶσαι E.M.

NEΩKOPHΣEI: Ἐνίοτε ἀντὶ τοῦ ἱεροσυλήσει] Vide nos supra ad v. Ἱερόν τι νεωκορήσας. KUST. Platonis locum Rep. IX. p. 503 e. ed. Lemar. [574 D. Steph.] indicavit Abreschius. Conf. Schol. p. 189.

[t] ἱεροσυλήσει] συλήσει V. et mox om. γάρ.

ἐκκαλλύνειν. Τό τε [u]ἘΚΚΟΡΗΘΕΙΗΣ, ἀντὶ τοῦ, ἐκκαλυνθείης. A

Νεωκόρος: Ὁ τὸν [x]ναὸν κοσμῶν καὶ εὐτρεπίζων· [[y]ἀλλ' οὐχ ὁ σαρῶν.]

Νεωδάμ: Ὁ τοῦ νεὼ λαός. [[z]Νεολαία δὲ, ἡ νεόλεκτος.]

Νεωλκήσας: Ἔξω τὴν ναῦν ἑλκύσας.

Νέων, Νέωνος. Ὄνομα κύριον. [a]Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος περὶ τῆς πρὸς Φίλιππον τούτου B φιλίας φησίν.

Νεώνητον: Τὸν νεωστὶ ἠγορασμένον. Ἐπεὶ μὴ ἐκ γένους ἦν [b]Ἀθηναῖος ὁ Κλέων, ἀλλὰ νεωστὶ προσεληλυθὼς τῇ πολιτείᾳ. Ἐμφαίνει δὲ διὰ [c]τούτου, ὅτι καὶ τῶν Ἀθηναίων καθάπτεται, ὅτι δέον πιστεύειν αὐτοὺς τοῖς γνησίοις καὶ πολλὰ τὴν πόλιν εὐεργετηκόσιν, οἱ δὲ μᾶλλον ἐτίμων τὸν Κλέωνα. Πεφύκαμεν γὰρ καὶ τῶν οἰκετῶν μᾶλλον πιστεύειν τοῖς οἴκοι γεννηθεῖσι καὶ [d]συντραφεῖσιν, ἢ οἷς ἂν [e]ἐπικτησώμεθα πριάμενοι. C

Νεωρῆ: Νεωστὶ ἠρτημένον· ἢ ἐκ νέου τινὸς, καὶ ὥραν ἔχοντος νέαν.

Ὁρῶ νεωρῆ βόστρυχον τετμημένον.

Καὶ [f]Σοφοκλῆς·

Φθάνω νεωρῆ τῆς ἐμῆς ἐπεισόδου.

Νεώρια: Ὁ ναύσταθμος τῶν νεῶν.

[g]Ἐμπρήσαιεν ἂν τὸ νεώριον.
Ἐνθεὶς ἂν ἐς τίφην ἀνὴρ Βοιώτιος,
ἅψας ἂν [h]ἐσπέμψειεν ἐς τὸ νεώριον.

Νεώρια καὶ νεώσοικοι: Μήποτε νεώρια λέγεται ὁ τόπος ἅπας, εἰς ὃν ἀνέλκονται αἱ τριήρεις, καὶ πάλιν ἐξ αὐτοῦ καθέλκονται, ὡς ὑποσημαίνουσι Λυκοῦργός τε καὶ Ἀνδοκίδης.

Νεώς: Ὁ ναὸς, Ἀττικῶς. [i]Θηλυκῶς δὲ ἐπὶ γενικῆς νεὼς, τοῦ πλοίου.

Νεώσατε: Ἀροτριάσατε.

Νεῶσι: [k]Δημοσθένης κατ' Αἰσχίνου. Πόλις ἐστὶν ἐν τῇ Φωκίδι. [l]Καὶ Ἡρόδοτος μὲν ἐν ὀγδόῃ Νεῶνα ὀνομάζει. Ἀνδροτίων δὲ ἐν ἕκτῳ Ἀτθίδος, Νεῶνας.

Νεωστί: [m]Προσφάτως.

Νεώσοικοι: Οἰκήματα παρὰ τῇ θαλάσσῃ οἰκοδομούμενα εἰς ὑποδοχὴν νεῶν, ὅτε μὴ θαλαττεύοιεν.

Ὅτι [n]Πολυκράτης ὁ [o]Σαμίων τύραννος τῶν ὑφ' ἑωυτῷ ἐόντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ἐς νεωσοίκους συνειλήσας εἶχεν [p]ἑτοίμους, ἢν ἄρα προδιδῶσιν οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι [q]αὐτοῖσι τοῖσι νεωσοίκοις.

Νέωτα: Τὸ ἐπιὸν ἔτος· ἤτοι, εἰς τὸ μέλλον.

Αὖθι γεωργὸς ἐς νέωτα πλούσιος.

Ἢ ἐκ τοῦ [r]νέος, ἐξ οὗ τὸ νεωστὶ, νέωστα, (ὡς [s]δὴ, δῆτα, ἐπεὶ, ἔπειτα) καὶ ἐκβολῇ τοῦ σ', νέωτα. Τὸ ἐκ νέου, καὶ ἔναγχος. C

Νεώτερα:

Τοῦτον [z]δὲ ἀνεῖλον, ὡς νεώτερα κατὰ Ῥωμαίων πράττοντα.

Νεωτερίζει: Καινὰ πράττει.

Νεωτερίζειν: [t]Θουκυδίδης·

Τῆς ἡμέρας τὸ πνῖγος ἔλυπει· νύκτες δὲ μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἀσθένειαν ἐνεωτέριζον. D

[u]Ὁ [illegible] βάρβαρος οὐδὲ ἐπὶ τὴν νεωτερίζουσαν τὰ πράγματα τύχην ἔσχεν ἀνενεγκεῖν τὴν αἰτίαν, ὡς ἂν ἔννομόν τινα καὶ ὕπαιθρον ἀγωνισάμενος μάχην.

Νεωτερισμός: [[x]Ἀνταρσία.]

Νεώτερον: Καινόν.

Ὁ δὲ ἔλεγε δεδιέναι ἂν ἀδύνατόν τι καὶ νεώτερον κακὸν [y]ἀπαντήσῃ.

Νεωτεροποιός: [a]Ἀντάρτης, τύραννος, ἐπιθέτης. E

[u] ἘΚΚΟΡΗΘΕΙΗΣ] Vide supra v. Ἐκκορηθείης. KUST.

[x] νεὼ] ναὸν A. Photius.

[y] ἀλλ' οὐχ ὁ σαρῶν] Quid ni? Κορεῖν enim significat idem quod σαροῦν. Quare legerim potius, ἢ ὁ σαρῶν. KUST. Hæc verba om. A. et Photius.

[[z] ΝΕΟΛΑΙΑ] Hæc om. A. Habet V. in marg.

ΝΕΩΛΚΗΣΑΣ] Νεωλκήσας E.

ΝΕΩΝ, Νέωνος, ὄνομα κ.] Ex Harpocratione. KUST.

[a] Δημοσθένης] P. 324, 12.

ΝΕΩΝΗΤΟΝ: Τὸν νεωστὶ ἠγορ.] Ex Schol. Aristoph. ad principium Equitum. KUST. τὸ νεωστὶ A.C.M.

ib. ΝΕΩΝΗΤΟΝ] Vales. ad Harpocr. p. 129. TOUP.

[b] Ἀθηναῖος] Ἀθηναίων A.

[c] τούτου] τούτων A.V. Schol. Mox εὐηργετηκόσιν edd.

[d] συντραφεῖσιν] τραφεῖσιν Schol.

[e] ἐπικτησαίμεθα] ἐπικτησώμεθα A.V. οἷς ἂν κτησώμεθα Schol. Tum πριάμενος B.

ΝΕΩΡΗ: Νεωστὶ ἠρτημ.] Ex Schol. Sophocl. Electr. 901.

[f] Σοφοκλῆς] Œdip. Colon. 730.

[g] Ἐμπρήσαιεν ἂν τὸ νεώρ.] Aristoph. Acharnens. 918. unde Suidam supplebis. KUST.

[h] ἐσπέμψειεν] ἐσπέμψοι E. Seqq. ΤΙΦΗ μὲν, θηλυκῶς, ἡ καὶ σίλφη, ζωΰφιον κανθαρῶδες· ᾧ δοκοῦσι Βοιωτοὶ ἐμπηγνύντες θρυαλλίδα ἡμμένην, ἤ τι τοιοῦτον, ἐμπυρίζειν ὃ δύνανται. Τοῦτο δὲ καὶ δι' ἀλωπέκων καὶ χελωνῶν ἐγένετο. ΤΙΦΟΣ δέ γε, τὸ δάσος. Παρὰ τὸ ΥΠΟΤΥΦΕΙΝ, φασί, καὶ ὑποκρύπτειν τὰ ἔσω αὐτοῦ, τροπῇ συνήθει τοῦ υ εἰς ι. Ἡ δὲ τίφη καὶ σπερματίου λεπτοῦ ἐστιν ὄνομα, om. A.V. Habet E. in marg. F G H

ΝΕΩΡΙΑ καὶ ΝΕΩΣΟΙΚΟΙ: Μήπ.] Ex Harpocratione. KUST.

[i] Θηλυκῶς δὲ] Seqq. om. Photius.

ΝΕΩΣΙ: Δοτικὴ πληθυντικῶν. Δημοσθ.] Et hæc ex Harpocratione sumpta sunt. KUST. Delevi δοτικὴ πληθυντικῶν cum A. et Photio.

[k] Δημοσθένης] P. 387, 9.

[l] Καὶ Ἡρόδ.] ἣν Ἡρόδ. Phot. Harpocr. Vid. Herodot. VIII. 32. 33. μὴν V. pro μέν.

[m] Προσφάτως] Statim omittunt A.V. Ὥσπερ ἐκ τοῦ μεγάλου, μεγάλως, καὶ Ἀττικῶς, μεγαλωστί· οὕτω καὶ νέου, νέως, νεωστί. Καὶ ἔστιν ὅμοιον τὸ αὐτὸ τοῦ· εἰ καὶ βαρύνεται ἐκεῖνο.

[n] Πολυκράτης ὁ Σαμίων τύραννος τῶν ὑφ' ἑωυτῷ ἐόντ.] Hæc, et quæ sequuntur, sunt verba Herodoti lib. III. c. 45. KUST.

[o] Σαμίων] Σαλαμίων V.

[p] ἑτοίμους] ἑτοίμους A.B.V.

[q] αὐτοῖσι νεωσοίκοισι] αὐτοῖσι τοῖσι νεωσοίκοις A. et fere V. ubi αὐτοῖς σιτοῖσι νεωσοίκοις. Αὐτοῖσι τοῖσι νεωσοίκοισι B.E.

ΝΕΩΤΑ: Τὸ ἐπιὸν ἔτ.] Eadem legas apud Etymologum. KUST. Delevi Παρὰ τὸ ἔν, ὥς φασιν, ἔνεστα, καὶ ἀποβολῇ τοῦ σ, ἔνετα, καὶ μεταθέσει τοῦ ε, καὶ ἐκτάσει τοῦ ο εἰς ω, νέωτα, cum A.V.

[r] νέος] νέος A. Mox ἐκδρομῇ E.M. pro ἐκβολῇ.

[s] δὴ] [illegible] A.V.E.

[t] Θουκυδίδης] Lib. VII. c. ultimo, ubi sic legitur: Ἐν γὰρ κοίλῳ χωρίῳ ὄντας πολλοὺς, οἵ τε ἥλιοι τοπρῶτον καὶ τὸ πνῖγος ἔτι ἐλύπει, διὰ τὸ ἀστέγαστον, καὶ αἱ νύκτες ἐπιγιγνόμεναι τοὐναντίον μετοπωριναὶ καὶ ψυχραὶ τῇ μεταβολῇ ἐς ἀσθένειαν ἐνεωτέριζον. Hinc Suidas supplendus est. KUST.

[u] Ὁ δὲ βάρβαρος] Eunap. Fr. 68. Conf. Wyttenbach. ad eundem scriptorem p. 82.

[x] Ἀνταρσία] om. A.V.

[y] ἀπαντήσειν] ἀπαντήσῃ A.B.V.

ΝΕΩΤΕΡΟΠΟΙΟΣ] Jamblich. Myst. p. 155. TOUP.

[a] Ἀντάρτης] ἀντάρτα V.

Νεώτερος: Τὸ συγκριτικὸν [a] ἀντὶ τοῦ ἁπλοῦ. Ἀντὶ τοῦ νέος.

Νέποδες: Οἱ ἰχθύες. Παρὰ τὸ νε στερητικὸν, [b] καὶ τὸ πούς· ἄποδες γάρ εἰσιν. [c] Ἐν Ἐπιγράμμασι·

Πτηνά, καὶ ἀγροτέρων κέρδεα, καὶ νεπόδων.

Νέποδες: Νηξίποδες· τὸ γὰρ ἄποδες, ψεῦδος. Ἔχουσι γὰρ πόδας αἱ φῶκαι.

Ἀμφὶ δέ μιν φῶκαι νέποδες.

[d] Ὅμηρος. Νέπος δὲ, Νέποτος, ἐθνικόν.

Νέρβας, βασιλεὺς τῶν Ῥωμαίων. Οὗτος καὶ τὸν εὐαγγελιστὴν Ἰωάννην [e] ἐκ τῆς ἐξορίας Πάτμου ἀνακαλέσας, ἤγαγεν ἐν Ἐφέσῳ· καθ' ὃν καιρὸν καὶ τὸ τῶν Μανιχαίων ἀνεφάνη δόγμα, αὐτοῦ Μάνεντος φανερῶς ἐξηγουμένου.

Νεργόβριγες: [[f] Ἐθνικόν.] [g] Ἀππιανός·

Νεργόβριγες δὲ αὐτοῦ περὶ τῆς μετριοπαθείας πυθόμενοι, ἐθαύμαζον.

Νέρων, βασιλεὺς Ῥωμαίων. Οὗτος κραταιευμένης αὐτῷ τῆς βασιλείας ἐς ἀνοσίους πράξεις ἐξώκειλε, [h] καὶ ἀλλότρια τῆς βασιλείας ἐπετήδευσε πράγματα, κιθαρίζων, καὶ τραγῳδῶν, καὶ ὀρχούμενος ἐπὶ τῶν θεάτρων· [i] καὶ πρὸς πάσαις αὐτοῦ ταῖς ἀθεμιτουργίαις καὶ τὸ τῆς θεομαχίας [k] μύσος προσέθηκε, διώκτης πρῶτος γενόμενος τοῦ θείου λόγου. Μετὰ δὲ ταῦτα ἀνεῖλε καὶ τὴν μητέρα, καὶ ἑαυτόν.

Ὅτι Νέρων [l] ἔτι νέος ὢν ἐσχόλαζε φιλοσόφοις, καὶ τὰ περὶ τοῦ [m] Χριστοῦ κατεμάνθανεν· ἔτι γὰρ ἐνόμιζεν αὐτὸν τοῖς ἀνθρώποις συναναστρέφεσθαι. Καὶ μαθὼν ὅτι ὑπὸ τῶν Ἰουδαίων ἐσταυρώθη, ἠγανάκτησε, καὶ προσέταξεν ἐλθεῖν [n] τοὺς ἱερεῖς Ἄνναν καὶ Καϊάφαν, καὶ αὐτὸν Πιλάτον, τὸν ἄρχοντα τότε γενόμενον, σιδηροδεσμίους. Καὶ καθίσας ἐπὶ τῆς συγκλήτου, τὰ περὶ αὐτοῦ πεπραγμένα κατεμάνθανεν. Οἱ οὖν περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἔλεγον, ὅτι ἡμεῖς τοῖς νόμοις αὐτὸν [o] παρεδώκαμεν, καὶ εἰς καθοσίωσιν οὐχ ἡμάρτομεν· [p] ὁ γὰρ ἄρχων ἐξουσίαν ἔχων, ὅσα ἠβουλήθη, ἔπραξεν. Ἀγανακτήσας οὖν ὁ Νέρων, Πιλάτον ἐν τῷ δεσμωτηρίῳ [q] ἐνέβαλε· τοὺς δὲ περὶ τὸν Ἄνναν καὶ Καϊάφαν ἀπέλυσεν. [r] Ἤκμαζε δὲ τότε καὶ Σίμων ὁ Μάγος. Καὶ διαλεγομένων Πέτρου καὶ Σίμωνος [s] παρουσίᾳ Νέρωνος, ἤχθη Πιλάτος ἀπὸ τοῦ δεσμωτηρίου· καὶ παρισταμένων τῶν τριῶν τῷ Νέρωνι, ἐρωτᾷ τὸν Σίμωνα, Σὺ εἶ ὁ Χριστός; ὁ δὲ λέγει, ναί. Εἶτα ἐρωτᾷ τὸν Πέτρον, Σὺ εἶ ὁ Χριστός; [t] ὁ δὲ λέγει, οὔ· ἐμοῦ γὰρ παρισταμένου εἰς τὸν οὐρανὸν ἀνελήφθη. Ἠρώτησε [u] δὲ καὶ τὸν Πιλάτον, ποῖός ἐστιν ἐκ τούτων ὁ λεγόμενος Χριστός; καὶ εἶπεν, Οὐδὲ εἷς· ὁ μὲν γὰρ Πέτρος μαθητὴς αὐτοῦ γέγονε, [x] καὶ εἰσηνέχθη παρ' ἐμοὶ ὡς μαθητὴς αὐτοῦ, καὶ ἠρνήσατο αὐτὸν, λέγων, Οὐκ οἶδα τὸν ἄνθρωπον· καὶ ἀπέλυσα αὐτόν. [y] Οὗτος δὲ ὁ Σίμων οὐδαμῶς ἔγνωσταί μοι, [z] οὐδεμίαν δὲ ἔχει ὁμοιότητα πρὸς ἐκεῖνον· ἔστι γὰρ οὗτος καὶ Αἰγύπτιος, καὶ ἐμπληθὴς, καὶ κατάκομος, καὶ μέλας, παντελῶς τῆς ἐκείνου μορφῆς ἀλλότριος. Ἀγανακτήσας οὖν ὁ βασιλεὺς, [a] κατὰ μὲν τοῦ Σίμωνος, ὡς ψευσαμένου, καὶ εἰπόντος ἑαυτὸν Χριστόν· κατὰ δὲ τοῦ Πέτρου, ὡς ἀρνησαμένου τὸν διδάσκαλον, ἐξέβαλεν αὐτοὺς ἀπὸ τοῦ συνεδρίου. [b] Τὸν δὲ Πιλάτον τῆς κεφαλῆς ἀπέτεμεν, [c] ὡς [d] τηλικοῦτον ἄνθρωπον ἀνελεῖν τολμήσαντα δίχα βασιλικῆς προστάξεως.

[e] Ὡς δὲ ἐκλήθη ὁ Νέρων πηλὸς αἵματι πεφυρμένος, [κεῖται ἐν τῷ Ἀλέξανδρος Αἰγαῖος.]

Νέρτερος: Κατώτερος. [[f] Τὸ ἐντελὲς, ἐνέρτερος, καὶ ἀφαιρέσει, νέρτερος. Ὁμοίως τὸ ἔνερ-

Νομοθεσία: Θέσις νόμου.

Νομοθέται: Τοπάλαι Μωϋσῆς· μετέπειτα δὲ ὁ [f] Χριστὸς Ἰησοῦς.

Νομοθέται: Παρ' Ἀθηναίοις πρῶτος ἐγένετο Δράκων, καὶ [g] μετ' αὐτὸν Σόλων, καὶ μετὰ τοῦτον Θαλῆς, καὶ μετὰ τοῦτον [h] Αἰσχύλος.

[Νόμοι κιθαρῳδικοί: Ἀπόλλων, φασὶ, μετὰ λύρας κατέδειξε τοῖς ἀνθρώποις νόμους, καθ' οὓς ζήσονται, πραΰνων τε ἅμα τῷ μέλει τὸ κατ' ἀρχὰς ἐν αὐτοῖς θηριῶδες, καὶ εὐπρόσιτον τῇ τοῦ ῥυθμοῦ ἡδύτητι ποιῶν τὸ παραγγελλόμενον· καὶ [i] ἐκλήθησαν νόμοι κιθαρῳδικοί. Ἐκεῖθεν δὲ σεμνολογικῶς, ὡς καὶ Ἀριστοτέλει δοκεῖ, νόμοι καλοῦνται οἱ μουσικοὶ τρόποι, καθ' οὕς τινας ᾄδομεν.]

Νομοΐστορες: Νομομαθεῖς.

[Νομοθετῶ: Δοτικῇ. Καὶ αἰτιατικῇ·

> [k] Νομοθέτησόν με, Κύριε, τὴν ὁδὸν τῶν δικαιωμάτων σου.]

Νομόν: Νομήν, βοσκήν.

Νόμος καὶ Ἰαννουάριος ἐπιεικίᾳ καὶ δικαιοσύνῃ

---

[o] Τὴν νομὴν τοῦ πυρὸς ἐνεργ.] Polyb. I. 48. KUST.

[p] Ἀριστοφάνης] Plut. 1186.

[q] σὺ τούτων] σὺ om. A.V. Tum λαμβάνεις A.

[r] τὰ ὑπολειπόμενα τῆς θυσ.] Idem Noster docet supra v. Κωλακρέτης. KUST.

[s] κοιλίας] Leg. Κωλᾶς. Vid. Hemsterh. ad Plut. p. 464. TOUP. κωλαὶ V. ἔλαι A. et sic supra v. Κωλακρέτης.

ΝΟΜΙΖΟΥΣΙΝ] Aristid. II. p. 145. Βυζάντιοι σιδήρῳ νομίζουσι. Polyæn. p. 472. ἐξορμηκέναι νομίσας. Leg. νομίσαι, exire solitos esse, vel, pro more exire. Philo Jud. II. p. 592. ubi male Mangeius. Menander p. 95. νομίζουσι Χριστιανοί. TOUP. Respici putat Dukerus Thucyd. II. 15. ubi νομίζουσιν interpretatur Schol. κατὰ νόμον ποιοῦσιν.

[t] τὸ νόμιμον ἔθος] Hoc sensu vox νόμισμα capitur in oraculo illo, quod Diogeni Cynico redditum fuit. Παραχάραξον τὸ νόμισμα. Mens enim oraculi illius non erat, ut Diogenes putabat, monetam esse adulterandam, sed consuetudinem sive opinionem vulgi. Vide Nostrum supra v. Γνῶθι σαυτόν: et Menag. ad Laërt. lib. VI. 20. KUST.

[u] Ἀριστοφάνης ἐν Νεφέλαις] Ver. 246. Delevi πρῶτον μὲν γὰρ θεοὶ cum A.B.V.

[x] κόμμα] τύμμα Schol. Aristoph. Qui mox λεπτοῖς δὲ νομίσμασι φαίνονται κεχρῆσθαι Βυζάντιοι.

ΝΟΜΙΣΤΕΥΟΜΕΝΩΝ] Νομιστευομένων A.V. et in exemp.

[y] Νομίμως διοικουμένων] Vel interpretatio hæc falsa est; vel saltem nihil facit ad exempla, quæ sequuntur, quippe in quibus τὸ νομιστεύειν significat, nummos cudere, vel signare. Confer Nostrum supra v. Κατανομιστεύσας. KUST. Rem minus adsecutus est vir doctissimus. Verba νόμος, νόμισμα, νομίζειν, νομιστεύειν, tum de nummis, tum de institutis usurpantur. Νομιστευόμενος χαλκὸς est nummus legitimus, νόμιμος, et usu receptus. Angl. current money. Etymol. Mag. v. Ὀβελίσκος. Πρὸ τούτου γὰρ ὀβελίσκοις τραχέσιν ἘΝΟΜΙΣΤΕΥΟΝ. Antea enim obeliscis pro nummis legitime utebatur. Quare utramque vocis significationem non male complexus est Suidas. Sextus Empiricus adversus Grammaticos I. 10. Ὁ δὲ τοῦτο μὲν μὴ παραδεχόμενος, ἄλλο δέ τι καινὸν χαράσσων ἑαυτῷ, καὶ ΤΟΥΤΟ ΝΟΜΙΣΤΕΥΕΣΘΑΙ θέλων, ματαίως καθέστηκεν. Ita legendus iste locus: ubi vide doctissimum Fabricium. Polybius p. 1097. Ἤδη γὰρ κατὰ τὴν Ἑλλάδα τῆς δωροδοκίας ἐπιπολαζούσης, καὶ τοῦ μηδένα μηδὲν δωρεὰν πράττειν, καὶ τοῦ χαρακτῆρος τούτου ΝΟΜΙΣΤΕΥΟΜΕΝΟΥ παρ' Αἰτωλοῖς, οὐκ ἐδύναντο πιστεύειν διότι χωρὶς δώρων ἡ τηλικαύτη μεταβολὴ γέγονε τοῦ Τίτου πρὸς τὸν Φίλιππον. TOUP.

[z] χρυσοῦς] χρυσοῦ A.V.

[a] τῶν ἐπιφανῶς] τῶν om. A.B.V.E. edd. ante Kuster.

ΝΟΜΙΤΩΡ] Νεμίτωρος A.V.E.

[b] τριακοσιοστῷ] τριακόσιοι. τῷ καὶ A.V. τριακόσιοι τῷ B. edd. vett. τριακόσιοι E. ubi om. πρώτῳ—προστασίαν. Kusterus tacite dedit correctionem Porti.

[c] πολιτῶν] πολιτικῶν V.

[d] μάλιστα πάντων inserunt A.B.V.

[e] Οὐεργινίου] Οὐεργηνίου A.B.E.M.

[f] Χριστὸς] Χριστὸς Ἰησοῦς A.

ΝΟΜΟΘΕΤΑΙ: Παρ' Ἀθην.] Vide de hoc loco Bentleium in Dissert. de Phalaridis Epist. p. 371. 372. KUST. Sed vide contra Bentleium dissentientem Wesselingium Præf. ad Petiti Legg. Att. p. ii.

[g] μετ'] καὶ μετ' A.B.V. μετὰ τοῦτον ante Θαλῆς om. V.

[h] Αἰσχύλος] Αἰσχύ A.

ΝΟΜΟΙ] Hoc articulo carent A.V. Similia habet Etymol. M. p. 607.

[i] ἐκλήθησαν] ἐκλήθησαν ἐκεῖνοι B.E. Juxta finem τινας om. B.

ΝΟΜΟΘΕΤΩ] Gl. om. A.V.

[k] Νομοθέτησόν με, Κύρ.] Psalm. CXVIII. 33. KUST.

ΝΟΜΟΝ] Damascius apud Suid. v. Ὑλίας. HEMST.

ΝΟΜΟΣ καὶ Ἰαννουάριος ἐπ.] Totum hunc articulum ex

τῶν πολιτῶν ὑπερφέροντες, οἶμαι, καὶ τῶν ἄλλων [l]σχεδὸν ἁπάντων ἀνθρώπων τῶν γε νῦν ζώντων, καὶ ἐν πράγμασι πολιτικοῖς ἀναστρεφομένων, ἐπῃνοῦντο καὶ ἠγαπῶντο πρός τε ἀστῶν καὶ ξένων. Τῇ τε γὰρ πατρίδι χρησιμώτατοι γεγόνασι, καὶ δεξιώτατοι πρὸς τοὺς ξένους. Ἑλόμενοι [m]δὲ τὸν ἡσύχιον καὶ ἀπράγμονα βίον, ἐλαττοῦσθαι μᾶλλον ᾑροῦντο τὰ οἰκεῖα, ἢ πλέον τι ἔχειν ἀπὸ τῶν ἀλλοτρίων. Κοινὰ μὲν οὖν ταῦτα αὐτοῖς· ἰδίᾳ δὲ ὁ μὲν Νόμος εὐφυέστερος ἦν καὶ φιλομαθέστερος ἐν λόγοις, τοῖς τε φιλοσοφίας ἀπογεύεσθαι βουλομένοις, καὶ ὅσοι προπαιδεύουσι τοὺς νέους. [n]Ἦν δὲ καὶ [o]κριτικώτατος τῶν καθ' ἡμᾶς ἐλλογίμων ἀνδρῶν, ποιημάτων τε πάντων, καὶ συγγραμμάτων τῆς λογογραφικῆς ἀρετῆς καὶ κακίας. Ὡς γοῦν φάναι τὸ ὅλον, οὔτε Σεβηριανὸν, οὔτε [p]Ἀγάπιον τὸν φιλόσοφον εἴποιμι ἂν γενέσθαι τοιούσδε περὶ λόγων κρίσιν. Ὁ δὲ Ἰαννουάριος ἐμπειροπράγμων ἦν, καὶ φρόνιμος ἐν τοῖς πολιτικοῖς [pp]ἐπὶ πλέον ἢ ὁ ἀδελφὸς αὐτοῦ Νόμος, ἔτι δὲ σωφρονέστερος, καὶ τἄλλα μᾶλλον τεταγμένος.

Νόμος: Ὁ κιθαρῳδικὸς τρόπος τῆς μελῳδίας, ἁρμονίαν ἔχων [q]τακτὴν, καὶ ῥυθμὸν ὡρισμένον. Ἦσαν δὲ ἑπτὰ οἱ ὑπὸ Τερπάνδρου· ὧν εἷς, [r]ὄρθιος, [s]τετράδιος, ὀξύς. [t]Δωριεῖς δὲ ἐπὶ νομίσματος χρῶνται τῇ λέξει· καὶ Ῥωμαῖοι [u]παρατρέψαντες, νοῦμμον λέγουσιν. Ἀττικοὶ τὰ διανενεμημένα μέρη τῆς γῆς, [x]ὡς καὶ ἐν Αἰγύπτῳ. Καὶ τὸ [y]δίκαιον ἔγγραφον.

Ὅτι [z]Δαρεῖος εἶχε νόμον, τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν.

Νομὸς, καὶ ἡ βοσκὴ, καὶ ὁ τόπος.

Νόμος: Θεσμὸς, συνήθεια. Νόμος [b]παρὰ Σοφοκλεῖ, ἡ φύσις τοῦ γεγεννηκότος, καὶ τὸ ἔθος. Νόμος καὶ ἡ ἱστορία. Ὁ [c]Ἀπόστολος·

Ὑπὸ νόμον θέλοντες εἶναι, τὸν νόμον οὐκ ἀκούετε.

Ὅτι [d]τὸν νόμον σπουδαῖον δεικνύοιμεν ἂν, εἰ ὁρισαίμεθα αὐτὸν, ὀρθὸν λόγον ἐπὶ σωτηρίᾳ [e]τῶν χρωμένων.

Νόμος: Τρία σημαίνει. Ὁ μὲν γὰρ δίχα γραμμάτων διὰ κτίσεως ἐδόθη τοῖς ἀνθρώποις·

[f]Τὸ γὰρ ἀόρατον τοῦ Θεοῦ [g]ἀπὸ κτίσεως κόσμου τοῖς ποιήμασι νοούμενον καθορᾶται.

Καὶ πάλιν·

[h]Ὅταν γὰρ ἔθνη, τὰ μὴ νόμον ἔχοντα, [i]φύσει τὰ τοῦ νόμου ποιῇ, οὗτοι νόμον μὴ [k]ἔχοντες, [l]ἑαυτοῖς εἰσὶ νόμος.

Καὶ ὁ ἐν [m]γράμμασι διὰ Μωσέως τῶν παραβάντων χάριν [n]παρεσχημένος. Καὶ τρίτος, ὁ διὰ τῆς χάριτος·

[o]Ὁ γὰρ νόμος τοῦ πνεύματος τῆς ζωῆς ἠλευθέρωσέ με ἀπὸ τοῦ νόμου [p]τῆς ἁμαρτίας καὶ τοῦ θανάτου.

[Νόμος Ἰουστινιανοῦ. Ζήτει ἐν τῷ Πρίσκος.]

Νόμος: Πολυώνυμός ἐστιν ἡ λέξις. [q]Καὶ Νόμος μὲν, ὡς τὴν ἀρίστην πολιτείαν ῥυθμίζων καὶ διατάττων. Μαρτύρια δὲ, ὡς τοὺς ἁμαρτάνοντας διαμαρτυρόμενος, καὶ τῆς παραβάσεως τὴν τιμωρίαν ὑποδεικνύς. Δικαιώματα δὲ, ὡς διδάσκων τὸ δίκαιον, καὶ ἀπαγορεύων τὸ ἄδικον, καὶ τοὺς κατορθοῦντας ἀποφαίνων δικαίους. Ἐντολὴ δὲ, ὡς τὸ πρακτέον ἐντελλόμενος καὶ κελεύων δεσποτικῶς. Κρίματα δὲ, ὡς [r]τὰς ψήφους ὑποδεικνὺς, καὶ διδάσκων, τίνων μὲν ὁ φυλάττων τεύξεται ἀγαθῶν, τίσι δὲ ὁ παραβαίνων τιμωρίαις παραδοθήσεται.

Νόμος κατὰ τὸν Ἀπόστολον σημαίνει τέσσαρα. Ὁ τοῦ Θεοῦ· περὶ οὗ φησί·

[s]Συνήδομαι γὰρ τῷ νόμῳ τοῦ Θεοῦ.

Καὶ

[t]Ὁ ἀντιστρατευόμενος.

Τρίτος, περὶ οὗ φησι·

[u]Τῷ νόμῳ τοῦ νοός μου.

---

Damascio descriptum esse suspicor, vel potius persuasum habeo. KUST. Ista de Nomo videntur e Damascio, qui vitam Isidori philosophi scripsit, et est apud Phot. c. 242., desumta esse. Vid. infra Ὑπατία. Agapium, Severianum et Nomum jungit idem, fortasse Damascius, et Nomum quidem suum ἡλικιώτῃ esse ait. Severianus sub imperat. Martiano, Leone, et Zenone fuerat. REINES.

[l] σχεδὸν ἁπάντων καὶ τῶν ἄλλων] καὶ τῶν ἄλλων σχεδὸν ἁπάντων A.B.V.E.

[m] δὲ τὸν] δὲ om. A.V.

[n] Ἦν δὲ] ἦν [illegible] καὶ A.V.E.

[o] κριτικώτατος] Vid. infra in Ὑπατία, κριτικοὺς ἄνδρας ἐπίσταμαι τρεῖς. REINES.

[p] Ἀγάπιον] Hic fuit sub Marino post Proclum. Vid. supra Ἀγάπιος. REINES.

[pp] ἐπὶ πλέον ἢ ὁ. ἀ. ἀ. Ν. ἔτι [illegible] σ.] ἐπιπλέον καὶ σωφρονέστερος, positis ἢ ὁ ἀδελφὸς αὐτοῦ Νόμος post τεταγμένος V.

[q] τακτὴν] ταύτην V. Photius.

[r] ὄρθιος] Vide supra v. Ἀμφιανακτίζειν, et infra v. Ὄρθιος. KUST. ὄρθριος A.

[s] τετράδιος] τετράοιδος Pollux IV. 65.

[t] Δωριεῖς δὲ ἐπὶ νομίσματος] Vid. Mazochium ad Tab. Heracl. p. 216. sq.

[u] παρατρέψαντες] παραστρέψαντες Photius.

[x] ὡς] ὡς καὶ A.B.V.E. Phot.

[y] ἔγγραφον δίκαιον] δίκαιον ἔγγραφον A.V.

[z] Δαρεῖος εἶχε] Legendum puto Δάμων εἶχεν, quamquam ne sic quidem locus videtur persanatus. HEMST.

[a] ΝΟΜΟΣ δὲ] δὲ om. A.

[b] παρὰ Σοφοκλεῖ] Aj. 548. Ἀλλ' αὐτίκ' ὠμοῖς αὐτὸν ἐν νόμοις πατρὸς δεῖ πωλοδαμνεῖν. Scholiasta: Νόμους τὴν φύσιν ὠνόμασε καὶ τὸ ἦθος τοῦ γεγεννηκότος. KUST.

[c] Ἀπόστολος] Ad Gal. IV. 21.

[d] τὸν νόμον σπουδ.] Ex Alexandro Aphrod. in Topica Aristot. KUST.

[e] τῶν χρωμένων] τῶν om. B.E.

ΝΟΜΟΣ: Τρία σημαίνει. Ὁ μὲν γ.] Locum hunc Suidas excerpsit ex Theodoreto ad prooemium Psalmi XVIII. ut Pearsonius recte observaverat. KUST.

[f] Τὸ γὰρ] Rom. I. 20.

[g] ἀπὸ κτίσεως κόσμου om. A.B.V.E. τοῦ Θεοῦ addit V. post ποιήμασι.

[h] Ὅταν γὰρ] Rom. II. 14.

[i] φύσει—ἔχοντες om. B.V. οὗτοι—ἔχοντες om. E.

[k] ἔχοντες] ἔχοντα A.

[l] ἑαυτοῖς] οὗτοι ἑαυτοῖς A.V.E.

[m] γράμματι] γράμμασι A.B.V.E.

[n] κεχαρισμένος] παρεσχημένος A.B.V.E.

[o] Ὁ γὰρ νόμος] Rom. VIII. 2.

[p] τῆς ἁμαρτίας] τοῦ ἁμαρτ. V.

ΝΟΜΟΣ Ἰουστ. om. A.

[q] Καὶ ΝΟΜΟΣ μὲν, ὡς τὴν ἀρ.] Et hæc sumpta sunt ex Theodoreto ad eundem Psalm. V. 8. p. 468. ut itidem Pearsonius observaverat. Confer etiam Nostrum supra v. Δικαιώματα. KUST.

[r] τὰς ψήφους] Theodoretus loco laudato habet, τὰς θείας ψήφους. KUST.

[s] Συνήδομαι] Rom. VII. 22. Mox φόβῳ B.E. pro νόμῳ.

[t] Ὁ ἀντιστρατευόμενος] Rom. VII. 23.

[u] Τῷ νόμῳ τοῦ νοός μου] Rom. VII. 23. KUST.

Τέταρτος, περὶ οὗ λέγει·

[x] Τῷ νόμῳ τῷ ὄντι ἐν τοῖς μέλεσί μου.

[[y] Ὅτι τοὺς τοῦ Σόλωνος νόμους ἌΞΟΝΑΣ Ἀθηναῖοι [z] ἐκάλεσαν, διὰ τὸ ἐγγραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν. Ἦσαν δὲ τετράγωνοι τὸ σχῆμα· κατὰ δέ τινας, μᾶλλον τρίγωνοι.]

Νόμος καὶ χώρα: Διὰ τὸ ἕκαστον ἔθνος ἰδίοις νόμοις χρῆσθαι.

Νομοφύλακες: Ἀρχή τις παρὰ Ἀθηναίοις οὕτως ἐκαλεῖτο, διαφέρουσα τῶν θεσμοθετῶν, οἵτινες τὰς ἀρχὰς ἐπηνάγκαζον τοῖς νόμοις χρῆσθαι.

Νομοφυλάκειου θύρα: Δι' ἧς οἱ καταδίκοι τὴν ἐπὶ θάνατον ἐξάγονται.

Νόνναι: Τοῦ μηνός. [a] [Αἱ εὐθὺς μετὰ τὰς καλάνδας, ἤγουν [b] περὶ τὴν πρώτην τῆς νουμηνίας· δευτέρα δηλαδὴ τοῦ μηνός. Μεθ' ἃς νόννας αἱ εἰδοί. Δοκοῦσι δὲ παρ' αὐτὰς γενέσθαι αἱ ἀννῶναι, ὡς οἷον αἱ ἀνὰ τὰς νόννας διδόμεναι. Ἰστέον δὲ ὡς ἔστι καὶ Νόννος κύριον, Πανοπολίτης, ἐξ Αἰγύπτου, λογιώτατος· [c] ὁ καὶ τὸν παρθένον [d] Θεολόγον παραφράσας δι' ἐπῶν.]

Νοσηλεύεσθαι: [e] Νοσεῖν οὐκ ἐπαχθῶς. Καὶ [ee] νοσηλεύω, νοσοῦντα θεραπεύω.

Νοσηλεία: Ἀσθένεια. [f] Νοσήλια δὲ φάρμακα.

Νοσοκομεῖον: Ὁ [g] ξενών.

Νόσον ἔχειν: Ἀντὶ τοῦ, φαῦλον ἔθος ἔχειν. Εὐριπίδης Ἀντιόπῃ.

Νόσος λεγόμενον ἐγκατασκῆψαι: Πρὸς τὸ σημαινόμενον ἡ σύνταξις· πρᾶγμα [h] δηλονότι. Παρὰ Θουκυδίδῃ.

[x] Τῷ νόμῳ τῷ ὄντι ἐν τοῖς μ.] Rom. eod. cap. KUST.

[y] ὍΤΙ τοὺς τοῦ Σόλωνος νόμ.] Vide supra v. Ἄξονες, et v. Κύρβεις. KUST. Desunt seqq. A.

[z] ἐκάλεσαν] ἐκάλουν V. Mox κατὰ δὲ τ. μ. τρίγωνοι om. V.

ΝΟΜΟΣ καὶ χ.] Vid. Zenob. V. 25. HEMST.

ΝΟΜΟΦΥΛΑΚΕΣ: Ἀρχή τις π.] De hoc magistratu Suidas plura habet infra v. Οἱ Νομοφύλακες. KUST.

ΝΟΜΟΦΥΛΑΚΕΙΟΥ] Deest gl. A. Vid. Polluc. VIII. 102. ubi Νομοφυλακεῖον. Adde Suid. in Χαρώνειος θύρα.

[a] Αἱ εὐθὺς] Sequentibus carent A.V.

[b] περὶ] μετὰ B.E. παρὰ M.

[c] ὁ καὶ τὸν παρθένον Θεολόγον παραφράσας] Hæc paraphrasis Joannis Euangelistæ, carmine heroico conscripta, hodie adhuc exstat. KUST.

[d] Θεολόγον] Ἰωάννην Eudocia.

[e] Νοσεῖν οὐκ ἐπ.] Appian. p. 170. Dio Chrys. p. 550. TOUP.

[ee] ΝΟΣΗΛΕΥΩ—θεραπεύω] νοσηλεύειν—θεραπεύειν V.

ΝΟΣΗΛΕΙΑ] Vide Rittershus. ad Oppian. p. 192. TOUP.

[f] ΝΟΣΗΛΕΙΑ δὲ] Νοσήλια M A.B.E. Delevi τὰ θεραπευτικὰ post φάρμακα cum A.B.V.

[g] ξενών] Statim delevi, Ἴνα ᾖ τὸ νόσον ἔχειν, ἀντὶ τοῦ πάθος, ἢ ἔθος τι ἔχειν· νοσομάνης τῆς νόσου ἀντὶ οὐδετέρου τοῦδε τινός, cum A.B.V.

ΝΟΣΟΣ ΛΕΓΟΜΕΝΟΝ ἘΓΚΑΤ.] Thucydides libro II. c. 47. Καὶ ἡ νόσος πρῶτον ἤρξατο γενέσθαι τοῖς Ἀθηναίοις, λεγόμενον μὲν καὶ πρότερον πολλαχόσε ἐγκατασκῆψαι, καὶ περὶ Λῆμνον, &c. Scholiasta ad eum locum: Θηλυκῶς ἡ νόσος. Τὸ M λεγόμενον ὡς πρὸς τὸ νόσημα ἀπήντησεν. Ὅμηρος· Νεφέλη δέ μιν ἀμφιβέβηκε Κυανέη, τὸ μὲν οὔποτε.——Τὸ μὲν οὔποτε ὡς πρὸς τὸ νέφος ἀπήντησεν. Aliam igitur grammaticus hic constructionis ἀκαταλλήλου in citato loco Thucydidis λύσιν affert, ac hoc loco Suidas. KUST. νόσου V.E.M.

[h] δηλονότι] Sic recte mss. Paris. At priores editt. male, δηλοῖ. KUST.

Νόσος: [i] Ὅτι πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς νόσοις ἑαυτῶν αἰσθανόμεθα, οὐκ αὐτῶν τῶν αἰσθητικῶν νεύρων, ἢ τῶν σαρκῶν τεθερμασμένων, ἀλλὰ τῶν ὑγρῶν, αἵματός τε καὶ πνεύματος. Ἐπεὶ οὖν ἡ αἰσθητικὴ δύναμις πρώτως ἐν σαρξίν ἐστι καὶ νεύροις, εἰκότως τῶν ὑγρῶν δυσκράτως ἐχόντων, πνεύματος λέγω καὶ αἵματος, παρακειμένων τε τοῖς αἰσθητικοῖς μορίοις, τῇ θίξει ἀντιλαμβανόμεθα αὐτῶν, ὥσπερ καὶ τοῦ ἀέρος [k] τεθερμασμένου ἢ κατεψυγμένου· κἂν αὐτῶν δὲ τῶν στερεῶν ἅψηται ὁ πυρετὸς, ἐπειδὴ μὴ ὁμαλῶς [l] θερμαίνεται, ἀλλὰ ἀνωμάλως. Εἰσὶ γάρ τινα μόρια κατὰ φύσιν ἔχοντα, τινὰ δὲ παρὰ φύσιν. [m] Οὐ συμβαίνει τὰ κατὰ φύσιν ἔχοντα ἀντιλαμβάνεσθαι τῶν παρὰ φύσιν [n] διακειμένων· ἀδύνατον γὰρ ὁμαλῆ γενέσθαι τὴν δυσκρασίαν. Οἱ δὲ ἑκτικῷ [o] κατεσχημένοι πυρετῷ, τοῦτο δέ ἐστιν, οἱ τὰ στερεὰ πυρέττοντες, ὁμαλῆς γενομένης ἐν αὐτοῖς τῆς δυσκρασίας [p] δι' ὅλων τῶν στερεῶν, συναίσθησιν οὐδεμίαν τῆς ἐν αὐτοῖς θερμασίας λαμβάνουσι, διὰ τὸ ὁμαλῆ εἶναι δι' ὅλων τῶν μορίων τὴν θερμασίαν, καὶ μὴ εἶναι τὸ μὲν ποιοῦν, τὸ δὲ πάσχον.

Νοσοποιεῖν:

Νοσῶ: Αἰτιατικῇ.

Νοστήσας: Ἐπανελθών.

Νόστος: Ἡ οἴκαδε ἐπάνοδος· παρὰ τὸ τῆς πατρίδος ἡδύ. [q] Ἢ ἡ ἀνάδοσις τῆς γεύσεως.

Καὶ οἱ ποιηταὶ δὲ, οἱ τοὺς Νόστους ἐμνήσαντες, ἔσονται τῷ Ὁμήρῳ ἐς [r] ὅσον εἰσὶ δυνατοί.

ΝΟΣΟΣ] Νόσου V.

[i] ὍΤΙ πυρεττόντων ἢ ψυχομένων ἐν ταῖς ν.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Philoponi in lib. II. Aristot. de Anima, I. 4. a. KUST.

[k] τοῦ τεθερμασμένου] τοῦ om. A.B.V.E.

[l] θερμαίνεται] θερμαίνηται A.

[m] Οὐ συμβαίνει] οὐ om. A.B.E. τινὰ δὲ—ἔχοντα om. V.

[n] διακειμένων] παρακειμένων (δια supra) E.

[o] κατεσχημένοι] κατεσχημένοι M.

[p] δι' ὅλων τῶν om. V.

ΝΟΣΤΗΣΑΣ] Post h. v. delevi ΝΟΣΤΙΑ: Κώμη Ἀρκαδίας. Ἔφορος H τὸ ἐθνικὸν Νοστανίους εἰπών, δοκεῖ Νοστανίαν αὐτὴν εἰδέναι, cum A.V. Sumpta sunt ex Steph. Byz.

ΝΟΣΤΟΣ] Vide Schol. ad Il. β. 155. TOUP.

[q] Ἢ ἡ] ἡ om. A.V. sed habet Photius. Post γεύσεως delevi cum A.B.V.E., Δῆλον δὲ, ὅτι οὐχ εἷς εὑρίσκεται, ἀλλὰ πολλοὶ οἱ γράψαντες τὸν Νόστον. B. tamen habet in marg. Φαίνεται ὅτι οὐ μόνον εἷς εὑρισκόμενος ἔγραψε νόστον . . . ἀλλὰ καί τινες ἕτεροι, et E. in marg. δῆλον ὅτι οὐχ εἷς εὑρίσκεται, ἀλλὰ πολλοὶ οἱ γράψαντες τὸν νόστον. Ad πολλοὶ hæc Kusterus: "Veluti Lysimachus, teste Scholiasta Apoll. Rh. "ad lib. I. 558. et Nostro infra v. Σαμαίνη: Anticlides, "teste Athenæo lib. IV. c. 14. p. 157. et plures alii. "Vide Casaubonum ad Athen. lib. IV. c. 14. qui de "Nostorum scriptoribus lectorem plura docet."

[r] ὅσον] ὅσοι A. Sequentem gl., quæ ex parte saltim legitur in Etymol. M. p. 607., delevi cum A.V ΝΟΣΤΟΣ: Παρὰ τῇ συνηθείᾳ ὁ γλυκασμὸς, ἐπὶ τῶν ἐδεσμάτων. Ὡς ἀπὸ τῆς οἴκαδε ἀναστροφῆς καὶ ἀνακομιδῆς· παρὰ τὸ τῆς πατρίδος γλυκύ. Οὐδὲν γὰρ γλύκιον ἧς πατρίδος, καθ' Ὅμηρον. Ἐκ δὲ τοῦ κατὰ τὴν συνήθειαν νόστου, καὶ νόστιμον, τὸ ἡδύ. Καὶ Εὔνοστος, θεός τις, φασὶν, ἐπιμύλιος. Ὁ δὲ ποιητικὸς νόστος παρὰ τὸ νέομαι (νέω B.E.) γίνεται. Οἷον, Νῦν δ' ἐπεὶ οὐ νέομαί γε. Ἤγουν, οὐκ ἐπανέρχομαι. Ἔστι δὲ καὶ ῥῆμα νοστῶ· οὗ σύνθετα, παλινοστῶ, καὶ ἀπονοστῶ.

Νόσφι: Χωρίς.

Νοσφιζόμεθα: Χωριζόμεθα.

Νοσφιζόμενον: Ὑφαιρούμενον, ἰδιοποιούμενον.

Νοτάριος: Ὁ γραμματεύς. Νότα γὰρ, τὰ [a]γράμματα.

Νοτία: Ἡ θάλασσα, καὶ ἡ ὑγρασία.

Νότιον: Χωρίον, προκείμενον τῆς Κολοφωνίων πόλεως. Νότιον δὲ κλίμα, τὸ πρὸς νότον κείμενον.

Νότιος: Ὑγρός. Καὶ νότιος ἱδρὼς, ὁ ὑγρός.

Νότος: Ὁ ἄνεμος. Καὶ Νοτόθεν, ἀπὸ [t]Νότου.

Νουθετητικόν: Νοῦ πεπληρωμένον.

[u]Γυναῖκα δ' εἶναι πρᾶγμ' ἔφη νουθετικόν.

Καὶ [x]νουθετικῶς, συνετῶς.

Νουμᾶς Πομπίλιος: Τοῦτον οἱ Ῥωμαῖοι, καὶ μὴ ἐπιδήμιον ὄντα, [y]προεβάλοντο μετὰ τοὺς μεσοβασιλεῖς, καὶ αὐτῷ πᾶσαν τὴν ἡγεμονίαν ἐκ προβουλεύματος [z]ἔδοσαν. Καὶ τὰ πολιτικὰ ἔθη οὗτος διῳκήσατο· ἐνιαυτόν τε πρῶτος εὕρατο, εἰς δώδεκα μῆνας τὴν ἡλιακὴν καταγείμας περίοδον, χύδην τε καὶ ἀκατανοήτως παντάπασι πρὸ αὐτοῦ παρὰ Ῥωμαίοις φερομένην· ἱερά τε καὶ τεμένη ἱδρύσατο, καὶ τοὺς λεγομένους [a]Ποντίφικας καὶ Φλαμινίους τοῖς ἱερεῦσιν ἐπέστησε· Σαλίους [b]τε τοὺς τὴν ὄρχησιν ἀσκήσαντας· τάς τε Ἑστιάδας παρθένους τοῦ πυρὸς καὶ ὕδατος τὴν [c]ἐπιμέλειαν ἔχειν [d]ἐπέτρεψεν· αἳ τὴν μὲν ἄκραν τιμὴν παρὰ Ῥωμαίοις εἶχον, διὰ βίου δὲ τὴν παρθενίαν ἐφύλαττον· κἂν τις αὐτῶν ἠνδρώθη, κατεχώννυτο· καὶ διὰ τοῦτο οὐ μύρῳ, οὐκ ἀνθεσιν, οὐχ ἱματίῳ χρῆσθαι συνεχωροῦντο, πλὴν λευκοῦ.

Νουμηνία: Ἡ τοῦ μηνὸς ἀρχή. Ἐν ταῖς νουμηνίαις δὲ οἱ δοῦλοι ἐπωλοῦντο, καὶ οἱ στρατηγοὶ [e]ἐχειροτονοῦντο παρὰ Ἀθηναίοις. Καὶ Ἀριστοφάνης·

Τῇ προτέρᾳ νουμηνίᾳ.

[f]Ἀλείφεσθαί σ' ἀπ' αὐτῶν κἀμὲ ταῖς νουμηνίαις.

Διὰ τὸ ταύτας εἶναι τιμίας τῶν ἡμερῶν.

Νουμήνιος, Ἀπαμεὺς, ἀπὸ Συρίας, φιλόσοφος Πυθαγόρειος. Οὗτός ἐστιν ὁ τὴν τοῦ Πλάτωνος ἐξελέγξας διάνοιαν, ὡς ἐκ τῶν Μωσαϊκῶν τὰ περὶ Θεοῦ καὶ κόσμου γενέσεως ἀποσυλήσασαν. Καὶ διὰ τοῦτό φησι· "[g]Τί γάρ ἐστι Πλάτων, ἢ Μωσῆς Ἀττικίζων;"

Νουμήνιος, ῥήτωρ. [h]Περὶ τῶν τῆς λέξεως σχημάτων, Ὑποθέσεις τῶν Θουκυδίδου καὶ Δημοσθένους, Χρειῶν συναγωγὴν, Ἀδριανῷ παραμυθητικὸν εἰς Ἀντίνοον.

Νουμῆς: Ὄνομα κύριον.

Νοῦν: Ἀριστοτέλης τὸν νοῦν ἀθάνατον λέγει.

Νοῦν [i]ἔχειν: [k]Πολύβιος·

Νοῦν ἔχειν καὶ τόλμαν δεῖ τοὺς στρατηγοὺς, ἅπερ ἐστὶ κυριώτατα πρὸς τὰς ἐπισφαλεῖς καὶ παραβόλους πράξεις.

Νουνεχῶς: Πεφροντισμένως.

[l]Νουνεχῶς ἐδόκουν πολιτεύεσθαι πρὸς τοὺς τότε καιρούς.

Νοῦν τὸν ξένον: Ἐπὶ τῶν ὑφορωμένων τινά.

Ὅτι [m]Ἀναξαγόρας ὁ σοφιστὴς Νοῦς ἐπεκαλεῖτο, ἐπειδὴ ὕλην καὶ νοῦν [n]πάντα φρουρεῖν εἶπε.

[a] γράμματα] Statim delevi Ῥωμαϊστὶ ὁ ὑπογραφεύς, cum A.V.

ΝΟΤΙΟΣ] Vid. Schol. ad Aristid. I. p. 96. Hinc νοτισμὸς Damasc. ap. Phot. p. 1048. TOUP.

[t] Νότου] Statim delevi Καὶ ΝΟΤΟΝ ΝΑΤΣΩΝΑ, cum A. V. ubi Καύσωνα B.E. ut conj. Portus. Delevi etiam ΝΟΤΒΑΙ: Ἔθνος Λιβύης παρὰ Νείλῳ, quæ sunt Steph. Byzant.

[u] Γυναῖκα δ' εἶναι] Aristoph. Eccles. 441.

[x] ΝΟΤΒΤΣΤΙΚΩΣ, συνετῶς] Ex Schol. Aristoph. Vesp. 1285. Seqq. ΝΟΥΚΕΡΙΝΟΙ: Ἔθνος Ἰταλίας· οὗ μέμνηται καὶ Πολύβιος. ΝΟΥΚΡΙΑ: Πόλις Τυρρηνίας, ἡ καὶ Νακρία, διὰ τοῦ ἄλφα, delevi cum A.V. Sunt ex Steph. Byz.

ΝΟΥΜΑΣ] Vid. Val. Max. I. 3. et Plutarch. in ejus vita. De Numa eludente oraculum, quod hominem immolari debere consuluerat, vid. Jo. Sarisb. Policr. II. 27. p. 140. et Plutarch. in Numa p. 70. REINES. Vide supra in v. Ἀσσάρια. TOUP.

[y] προεβάλλοντο] προεβάλοντο A.B.V.

[z] ἔδωκαν] ἔδοσαν A.B.V.E.

[a] Ποντίφικας] Vid. infr. Ποντίφιξ. REINES.

[b] τε τὴν] τε τοὺς τὴν A.V.

[c] ἐπιμέλειαν] τὴν ἐπιμέλειαν A.V. Cedrenus p. 148.

[d] προέτρεψεν] ἐπέτρεψεν A.B.V. Cedrenus.

ΝΟΥΜΗΝΙΑ] Schol. Aristoph. Eq. 43. HEMST.

[e] ἐχειροτονοῦντο] ἐχειροῦντο A.

[f] Ἀλείφεσθαί σ' ἀπ' αὐτ.] Aristoph. Acharn. 998. Ὥστ' ἀλείφεσθαί σ' ἀπ' αὐτῶν, κἀμὲ ταῖς νουμηνίαις. Vide etiam supra v. Ἀλείψας. KUST.

ΝΟΥΜΗΝΙΟΣ Ἀπαμεὺς, ἀπὸ Συρ.] Ex Hesychio Milesio. Varia autem scripsit Numenius; ut, Περὶ τἀγαθοῦ, teste Origene contra Celsum lib. I. p. 13. edit. Cantabr. ubi sic inquit: Ὁ Πυθαγόρειος Νουμήνιος, ὅστις ἐν τῷ πρώτῳ περὶ τἀγαθοῦ λέγων, &c. Ex hoc opere Numenii fragmenta adducit Eusebius lib. XI. Præp. Euang. c. 7. et 8. et lib. XI. c. 10. et 22. Περὶ τῶν παρὰ Πλάτωνι ἀπορρήτων. Eusebius lib. XIII. Præp. Evang. c. 4. in fine: Διασαφεῖ δὲ τὴν διάνοιαν ὁ Νουμήνιος ἐν τῷ περὶ τῶν παρὰ Πλάτωνι ἀπορρήτων, ὧδέ πη λέγων. Sequuntur deinceps ipsa Numenii verba. Περὶ τῆς τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως. Eusebius lib. XIV. modo laudati operis, c. 4. Ὁποῖοι δὲ γεγόνασιν οἵδε τὸν τρόπον, λαβὼν ἀνάγνωθι τὰς ὧδε ἐχούσας Νουμηνίου τοῦ Πυθαγορείου φωνὰς, ἃς τέθειται ἐν τῷ πρώτῳ, ὧν ἐπέγραψε, περὶ τῆς τῶν Ἀκαδημαϊκῶν πρὸς Πλάτωνα διαστάσεως. Scripserat etiam περὶ ἀφθαρσίας ψυχῆς, sive, *de Immortalitate animæ*, teste Origene contra Celsum, lib. V. p. 269. edit. Cantabr. Item librum, Ἔποψ inscriptum; ut et περὶ ἀριθμῶν, et περὶ τόπου: quæ tria opera laudantur ab eodem Origene contra Celsum lib. IV. p. 198. Præterea, Numenius quidam laudatur ἐν τῷ Θηριακῷ a Scholiasta Nicandri, p. 30. Absque nomine operis Numenius sæpe laudatur a Porphyrio in vita Plotini, itemque in libello de Antro Nympharum, et alibi. KUST. Vixisse tempore Veri Cæsaris cum Harpocratione probat Barth. ad Æneam p. 97. REINES. qui et nonnulla eorum protulit quæ habet Kusterus.

[g] Τί γάρ ἐστι Πλάτων ἢ Μωσ.] Celebratissimum hoc Numenii apophthegma refert Clem. Alex. lib. I. Strom. p. 251. et ex eo Euseb. lib. IX. Præp. Evang. c. 6. Alii quoque scriptores passim ejus meminerunt. KUST.

[h] Ἔγραψε περὶ] ἔγραψε om. A.V.

ΝΟΥΜΗΣ] Pro Νουμᾶς. HEMST.

ΝΟΥΝ: Ἀριστοτέλης τὸν ν.] Vide Menagium ad Laërt. lib. III. 67. KUST.

[i] ἜΧΕΙΝ] ἔχεις V.

[k] Πολύβιος] Fr. gr. 95.

[l] Νουνεχῶς ἐδόκουν] Polybius lib. III. p. 356. Καὶ γὰρ ἀνδρωδῶς καὶ ΝΟΥΝΕΧΩΣ ΕΔΟΚΟΥΝ ἕκαστα χειρίζειν. Quare nostrum fragmentum Polybio adjudicaverim. TOUP. Fr. gr. 96.

ΝΟΥΝ ΤΟΝ ΞΕΝΟΝ] In Vaticana Proverb. Appendice legitur, Νοῦ τὸν ξένον: quod magis placet. KUST.

[m] Ἀναξαγόρας ὁ σοφ.] Vide supra h. v. KUST. Desunt hæc A.

[n] πάντα] πάντων V. πάντων φρουρὸν v. Ἀναξαγόρας.

Νοῦς: Ὅτι ὁ νοῦς πάντων ἔχει τοὺς λόγους ἐν ἑαυτῷ· ἀλλὰ τῶν μὲν πρὸ αὐτοῦ, εἰκονικῶς· τῶν δὲ μετ' αὐτὸν, παραδειγματικῶς.

[[o]Ἀρθεὶς νόον, γίνωσκε γῆν ναίειν ξένην.]

[p]Ὅτι Πυθαγόρας τὴν τοῦ ἀνθρώπου ψυχὴν [q]διαιρεῖσθαι ἔφη εἰς γ'· νοῦν, φρένας, καὶ θυμόν. Καὶ νοῦν μὲν καὶ θυμὸν εἶναι καὶ ἐν τοῖς ἄλλοις ζώοις· φρένας δὲ μόνον ἐν ἀνθρώπῳ. Εἶναι δὲ τὴν ἀρχὴν τῆς ψυχῆς ἀπὸ καρδίας μέχρι ἐγκεφάλου. Καὶ τὸ μὲν [r]ἐν καρδίᾳ μέρος αὐτῆς ὑπάρχειν θυμόν· φρένας δὲ καὶ νοῦν, τὰ [s]ἐν τῷ ἐγκεφάλῳ.

[t]Ὅτι τῶν διανοουμένων τὰ μὲν κατὰ περίπτωσιν ἐνοήθη· τὰ δὲ, καθ' ὁμοιότητα· τὰ δὲ, κατὰ ἀναλογίαν· τὰ δὲ, κατὰ μετάθεσιν· [u]τὰ δὲ, κατὰ σύνθεσιν· τὰ δὲ, κατ' ἐναντίωσιν. Καὶ κατὰ περίπτωσιν μὲν, τὰ αἰσθητά· καθ' ὁμοιότητα δὲ, τὰ ἀπό τινος παρακειμένου, ὡς Σωκράτης ἀπὸ τῆς εἰκόνος· κατ' ἀναλογίαν δὲ, αὐξητικῶς μὲν, ὁ Τιτυὸς, καὶ ὁ Κύκλωψ, μειωτικῶς δὲ, ὡς ὁ πυγμαῖος· καὶ τὸ κέντρον δὲ τῆς γῆς κατ' ἀναλογίαν ἐνοήθη ἀπὸ τῶν μικροτέρων σφαιρῶν· κατὰ μετάθεσιν δὲ, οἷον οἱ ὀφθαλμοὶ ἐπὶ τοῦ στήθους· κατὰ σύνθεσιν δὲ, ἱπποκένταυρος· καὶ κατ' ἐναντίωσιν, θάνατος. Νοεῖται δὲ καὶ κατὰ μετάβασίν τινα, ὡς τὰ [x]λεκτὰ, καὶ ὁ τόπος. Φυσικῶς δὲ νοεῖται [y]δίκαιόν τι καὶ ἀγαθόν· καὶ κατὰ στέρησιν, οἷον [z]ἄχειρ.

[a]Ὅτι τοῦ νοῦ ἔργον ἐστὶν, [b]ἁπλαῖς προσβολαῖς, καὶ κρεῖττον ἢ κατὰ ἀπόδειξιν, ἐπιβάλλειν τοῖς πράγμασιν. Ὥσπερ ἡ αἴσθησις [c]προσβαλοῦσα τυχὸν τῷ λευκῷ, ἢ τῷδε τῷ σχήματι, κρεῖττον ἢ κατὰ ἀπόδειξιν αὐτοῦ τὴν γνῶσιν ἔσχεν· οὐ γὰρ δεῖται πρὸς [d]ταύτην συλλογισμοῦ. Ἡ δέ γε τοῦ νοῦ ἐνέργεια ἐκείνοις παραγίνεται, οἷς εἰς ἄκρον καθάρσεως καὶ ἐπιστήμης γέγονεν ἀφικέσθαι, καὶ διὰ τῶν καθαρτικῶν ἀρετῶν ἀφαντάστως καὶ δίχα αἰσθήσεως ἐνεργεῖν συνειθισμένοις. Ἔστι γὰρ ὁ νοῦς, [e]οἷον ἕξις τῆς ψυχῆς τελειοτάτη. Καὶ γίνεται τοίνυν ὁ μὲν νοῦς περὶ τὰ νοητά· ἡ δὲ διάνοια, περὶ τὰ διανοητά· ἡ δὲ δόξα, περὶ τὰ δοξαστά. Τούτων δὲ τῶν δυνάμεων [f]πρώτην μὲν ἔχει τάξιν ὁ νοῦς· μέσην δὲ, ἡ διάνοια· ἐσχάτην δὲ, ἡ δόξα. Ἡ δὲ διάνοια προσῳκείωται τῇ ἡμετέρᾳ ψυχῇ, ἐπειδὴ καὶ [g]αὐτὴ τὴν μέσην ἐν τῷ παντὶ τάξιν [h]ἔχει, καὶ διὰ τῆς διανοίας ἀνάγεται [i]ἡ ἡμετέρα ψυχὴ ἐπὶ τὴν τῶν νοητῶν θεωρίαν, ἥτις ἐστὶ τελειότης τῆς ψυχῆς. Ἐπειδὴ γὰρ σύντροφος καὶ σύμφυλός ἐστι τοῖς αἰσθητοῖς ἡ ψυχὴ ἡ ἡμετέρα, ἀδυνατεῖ διὰ τὸν συνεθισμὸν τῶν αἰσθήσεων ἐπὶ τὴν θεωρίαν τῶν νοητῶν καὶ ἀΰλων [k]ἀνάγειν ἑαυτὴν, ἀλλὰ νομίζει κἀκεῖνα σώματα εἶναι, καὶ μεγέθη ἔχειν· καὶ ὅσα ἐπὶ τῶν αἰσθητῶν, κἀκείνων φαντάζεται. Καὶ Πλάτων ἐν [l]Φαίδωνι· "Τοῦτό ἐστι τὸ χαλεπώτατον τῶν ἐν ἡμῖν, "ὅτι ὅταν σχολὴν ἀπὸ τῶν περιολκῶν τοῦ σώματος "μικρὸν [m]ἄγωμεν, καὶ θελήσωμεν τῇ θεωρίᾳ τῶν "θείων σχολάσαι, παρεμπίπτουσα ἡ φαντασία θόρυ"βον ἡμῖν κινεῖ, ὑπονοεῖν διδοῦσα, ὅτι σῶμά ἐστι τὸ "θεῖον, καὶ μέγεθος ἔχει καὶ σχῆμα, καὶ οὐκ ἐᾷ ἡμᾶς "ἀσωμάτως καὶ ἀσχηματίστως περὶ Θεοῦ ἐννοεῖν. "Καὶ διὰ τοῦτο δεῖ τὴν ψυχὴν ὁδεύουσαν ἐπὶ τὴν "ἑαυτῆς τελειότητα, πρῶτον ἐνεργῆσαι κατὰ διάνοιαν, "[n]ἥτις ἔχει περὶ τὰ μέσα τῶν πραγμάτων· οἷά ἐστι "τὰ διανοητὰ, ἥ τε ψυχὴ ἡ ἡμετέρα, καὶ ἡ περὶ αὐ"τῆς θεωρία· ἔτι δὲ καὶ [o]τὰ μαθηματικά."

Νοῦς οὐκ ἔνι Κενταύροισι: Παροιμία ἐπὶ τῶν ἀδυνάτων καὶ [oo]ἀνοήτων ταττομένη. Καὶ ἄλλως·

[p]Νοῦς οὐκ ἔνι ταῖς κόμαις
ὑμῶν, ὅτε μ' οὐ φρονεῖν
νομίζετ', ἐγὼ δ' ἑκὼν
ταῦτ' ἠλιθιάζω.

Νώ: Ἀντὶ τοῦ, [q]αὐτόν. [r]Ἀριστοφάνης Πλούτῳ·

Βλέψαι ποιῆσαι νώ.

Ἀντὶ τοῦ, αὐτόν. Ἢ, ἀντὶ τοῦ, δεῖ ἡμᾶς ποιῆσαι αὐτὸν βλέψαι.

Νωγαλέον:

Νωδός: Ὁ μὴ ἔχων ὀδόντας.

---

[o] Ἀρθεὶς νόον, γίν.] Versus hic oneirocriticus, qui ex Astrampsycho sumptus est, deest in ms. A. KUST. et V.

[p] Ὁ Πυθαγόρας τὴν τοῦ ἀνθρ.——ἐν τῷ ἐγκεφάλῳ] Hæc sunt verba Laërtii in vita Pythagoræ, segm. 30. KUST.

[q] διαιρεῖσθαι] διῃρῆσθαι B.V.

[r] ἐν καρδίᾳ] ἐγκάρδιον V.

[s] ἐν τῷ] ἐν om. A.

[t] ὍΤΙ τῶν διανοουμένων τὰ μὲν κ.——οἷον ἄχειρ] Hæc omnia leguntur apud Laërtium in Zenone Citt. segm. 52. 53. ut Pearsonius etiam observaverat. KUST.

[u] τὰ δὲ κατὰ σύνθεσιν om. Kusterus.

[x] λεκτὰ] λεπτὰ V.

[y] δίκαιόν] καὶ ἓν A.B.V.E. edd. ante Kuster.

[z] ἄχειρ] ἄχειρος A.V.

[a] ὍΤΙ τοῦ ἔργον ἐστὶν, ἁπλαῖς προσβολαῖς, καὶ κρ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Philoponi in lib. I. Aristot. de Anima, p. 1. et 2. ut itidem Pearsonius monuit. KUST. τοῦ νοῦ A.B.V.E.

[b] ἁπλαῖς] ἁπλῶς B.

[c] προβαλοῦσα] προσβαλοῦσα B.E. προσβάλλουσα Philop. Mox τυχεῖν V. et deinde ἤτοι δὲ τῷ σχήματι καί.

[d] ταύτην] ταῦτα Philop.

[e] οἷον ἕξις] Sic recte mss. Paris. itemque Philoponus loco laudato. At priores edit. male, μίξις. KUST.

[f] πρώτην μὲν] πρώτην μὲν γὰρ V. τὴν ante τάξιν om. A.B. V. Philop.

[g] αὐτὴ] αὐτὴν V.

[h] ἔχει] ἔχειν A.

[i] ἡ ἡμετέρα] ὡς ἡμετέρα A.B.V.E.

[k] ἀνάγειν] ἄγειν A.B.V.E. Tum αὐτὴν V.

[l] Φαίδωνι] P.

[m] ἄγωμεν] ἀγάγωμεν Philop. Mox ἡμᾶς et καὶ ἀσχηματίστως om. V. qui infra νοεῖν.

[n] ἥτις] ἥτις ἔχει A.V. πῶς Philop. pro περί.

[o] περὶ τὰ μαθ.] περὶ om. A.B.V.E. Philop.

ΝΟΥΣ] Hesych. v. Νοῦς. Vid. Suid. v. Τῶν ἀδυνάτων. TOUP.

[oo] ἀνοήτων] τῶν ἀνοήτων V. Mox καὶ ἄλλως om. A.

[p] Νοῦς οὐκ ἔνι ταῖς κόμ.] Aristoph. Equit. 1118. κόμαις B.E.M.

[q] αὐτόν] αὐτοὺς A.B.E. hic et infra. Mox Πλούτῳ addunt A.V. Statim delevi ΝΩ: Ῥῆμα. Οὗ αἱ κινήσεις χρηστικαί. ΝΩ, τὸ σωρεύω· ἐξ οὗ ΝΗΣΑΙ, τὸ σωρεῦσαι. Καὶ ΝΗΔΥΣ, εἰς ἣν αἱ τροφαὶ σωρεύονται. ΝΩ, τὸ κολυμβῶ· ἐξ οὗ καὶ ΝΑΥΣ, καὶ ΝΗΣΣΑ, καὶ ΝΗΣΟΣ, ἡ πᾶν μέρος αὐτῆς ἐν ὑγρῷ ἔχουσα. ΝΩ, τὸ ῥέω, οὗ ὁ μέλλων νάσω· ὅθεν καὶ ΝΑΡΟΝ φασι, τὸ ὑγρὸν, καὶ ΝΗΡΕΥΣ. Καὶ τέταρτον ΝΩ, τὸ κλώθω· οὗ παράγωγον, τὸ ΝΗΘΩ, καὶ τὸ ΝΗΜΑ, cum A.V. et post Νωγαλέον iidem omittunt: Καὶ χρῆσις αὐτοῦ ἐν ταῖς τοῦ Ἀθηναίου. [II. p. 47.] Παρ' ᾧ καὶ ΝΩΓΑΛΕΥΕΙΝ ῥῆμα· ἐξ οὗ τὸ ΝΩΓΑΛΕΥΜΑ. Δοκεῖ δὲ τὰ τοιαῦτα, ἐν οἷς καὶ τὰ ΝΩΓΑΛΑ, σκεύασμά τι δηλοῦν χρηστὸν εἰς ἑστίασιν.

[r] Ἀριστοφάνης] Plut. 401.

ΝΩΔΟΣ] Aristoph. Plut. 266. Ach. 715.

Νώατνον : Ἀνώδυνον.

Νῶε : Ὄνομα [s] κύριον.

[Νωθέστερος : Βραδύτερος.

Νωθείας : Βραδυτῆτος.]

Νωθής : Βραδὺς, [t] ἀκίνητος, ἄλογος.

Νωθρεία : Καὶ νωθρὸς, ὁ ἀσθενής.

[u] Νωθρότερος ὑπάρχων τοῦ τῆς βασιλείας προσχήματος τῇ φύσει.

Νωθρότης : Ἡ βραδυτής.

Νῶϊ, νωΐτερος :

Νῶϊν : Ἡμῖν. [x] Ἀριστοφάνης·

> Μεῖζω μὲν οὐδὲν, προσφερεστέραν δὲ (νῶϊν.)
> [y] Ἔφασκε νῶϊν [z] φράσειν τὸν Τηρέα.
> [a] Κράτιστον οὖν νῶϊν ἀποθανεῖν ἀνδρικώτατα.
> [b] Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν·
> ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.

Περὶ Θεμιστοκλέους οὖν [c] Σοφοκλῆς φησιν·

> Ἐμοὶ δὲ λῷστον αἷμα ταύρειον πιεῖν.

Νῶϊν : Τουτέστιν, ἡμῖν. Δεικτικῶς.

Νωΐτερον : Ἡμέτερον.

Νῶκαρ : Ὁ δυσκίνητος.

Νωλεμέως : Ἀδιαλείπτως.

Νῶμα : Ὄνομα χώρας.

Νωμῆσαι : Κινῆσαι, [d] μερίσαι.

Νώμησις : Ἡ κίνησις.

Νωμίστωρ : Ὄνομα κύριον.

Νωμῶν : Κρίνων, ἐξετάζων. [e] Σοφοκλῆς·

> Ὦ πάντα νωμῶν Τειρεσία, [f] διδακτά τε,
> ἄρρητά τ', οὐράνιά τε, καὶ χθονοστιβῆ.

Νωνακρίνη : Λέγεται ἡ Καλλιστώ.

A Νωνᾶς : Ὄνομα κύριον.

Νώνυμος : Ἀνώνυμος, ἄδοξος.

> [g] Οὐδέ τις ἔσται
> τῆς λυριαῆς Σαπφοῦς νώνυμος ἠέλιος.

Νῶι πείθου : Παροιμία, ὁμοία τῷ, Θεῷ [[h] πείθου, ἢ] ἕπου.

Νώρα : Ὄνομα χώρας.

Νώρβα : Ὄνομα χώρας.

B Νωρβανός : Ὄνομα κύριον.

Νωρικία : Ὄνομα χωρίου. [[i] Καὶ Νωρικοὶ, ἔθνος. Ζήτει ἐν τῷ Βηρότνιον.]

Νώροψ : Ὁ [k] λαμπρός.

Νωσάμενος : Νοήσας, γνούς. [l] Παρὰ Καλλιμάχῳ.

Νῶσαι : Εἰς νοῦν λαβεῖν.

Νῶτα θαλάσσης : Ἡ ἐπιφάνεια τῆς θαλάσσης.

C Νωτάρης : Ὁ ἐπὶ νώτου αἴρων καὶ βαστάζων.

Νωτιαία θρίξ : Ἡ τῶν μεταφρένων.

Νωτίζω : Τὰ νῶτα μεταστρέφω. Καὶ [m] νωτίσαι, ἀπελάσαι. Ἀπὸ μεταφορᾶς τῶν τὰ νῶτα διδόντων ἐν ταῖς φυγαῖς.

Νωτοπλῆγα : Μαστιγίαν, τὸν εἰς τὰ νῶτα τὰς πληγὰς λαμβάνοντα. Φερεκράτης Κραπατάλοις·

> Καὶ νωτοπλῆγα μὴ ταχέως διακονεῖν.

D Νῶτος : Ἡ [n] ψόα τοῦ ἀνθρώπου.

Τὸ δὴ λεγόμενον τὸ [o] πλῆθος τῶν Ἀβάρων εἰς τὰ νῶτα περιωρεῖσθαι.

Νωτοφόρος : Ὁ ἐπὶ νώτου βαστάζων.

Νωχελῆ : Βραδέα.

Νωχελὴς, βραδὺς, [p] ῥόμαλὸς, ἄχρηστος.

[s] κύριον] Statim delevi Παρὰ τὸ ΝΩ, τὸ κολυμβῶ, cum A. Addit mox V. Νωθεία : ἡ πλεψογαμία.

ΝΩΘΕΣΤΕΡΟΣ] Gl. om. A. Deest in eodem gl. seq. βραδυτῆτος usque ad τοῦ τῆς om. E.

[t] ἀκίνητος] δυσκίνητος Phot.

[u] Νωθρότερος] Hæc forte Polybii esse opinatur Wesseling. Diod. Sic. T. II. p. 625, 44.

ΝΩΙΝ] Ἡμῖν addunt A.B.V.E. vid. Timæus p. 186. c. n. Ruhnkenii. Mox νῶϊν om. A.B.E.M.

[x] Ἀριστοφάνης] Av. 124.

[y] Ἔφασκε νῶϊν φρ.] Aristoph. Av. 15.

[z] φράσειν] φράσσειν A.

[a] Κράτιστον οὖν νῶϊν ἀποθ.] Aristoph. Equit. 80. Κράτιστον οὖν νῷν ἀποθανεῖν. Ἀλλὰ σκόπει, Ὅπως ἂν ἀποθάνοιμεν ἀνδρικώτατα. Πῶς δῆτα; πῶς γένοιτ' ἂν ἀνδρικώτατα; Βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν· ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος. KUST. κράτιστον οὖν νῶϊν om. A.V.

[b] Βέλτιστον] βέλτιον A.

[c] Σοφοκλῆς] Ægei fr. 2.

ΝΩΙΤΕΡΟΝ] Il. ο'. 39.

ΝΩΚΑΡ] Athenæus p. 133. f. νωκαρῶδες. TOUP. Vid. not. ad Hesych. Statim delevi ΝΩΛΑ : Πόλις Λιβύων παρὰ Ἑκαταίῳ. Πολύβιος δὲ Νόλην αὐτήν φησιν. Οἱ πολῖται, Νῶλιοι, καὶ Νωλανοί, cum A.V. quæ sumpta sunt ex Steph. Byz.

ΝΩΛΕΜΩΣ καὶ ΝΩΛΕΜΕΩΣ] Νωλεμέως A.V. Quibus mox desunt ΝΩΜΕΝΤΟΣ : Πόλις οὐ πόρρω Ῥώμης. Οἱ πολῖται, Νωμεντῖνοι.

[d] μερίσαι] καὶ μερίσαι A.B.

[e] Σοφοκλῆς] Œdip. Tyrann. 300.

[f] διδακτά τε] Σοφοκλῆς A. cui deest Σοφοκλῆς supra. vv. om. B.V.E.

ΝΩΝΑΚΡΙΝΗ] Νώνα A. Νώνα. κρήνη B.E. Νωνακρήνη M. Seq. gl. ΝΩΝΑΚΡΙΣ : Πόλις Ἀρκαδίας, ἡ περὶ Ἦλιν. Ὁ πολίτης, Νωνακρίτης, καὶ Νωνακριάτης, καὶ Νωνακριεύς, delevi cum V. Est ex Steph. Byz.

[g] Οὐδέ τις ἔσται τῆς λυρ.] Anthol. Pal. VII. 17. Deest E exemplum A.

[h] ΠΕΙΘΟΥ, ἢ om. A. Tum delevi cum A.V. ΝΩΝΥΜΝΑ : Πόλις Σικελίας παρὰ Φιλίστῳ. Ex Steph. Byz. sumpta est gl.

ΝΩΡΒΑ] Νώρβα V.

[i] Καὶ ΝΩΡΙΚΟΙ etc. om. A.V.

[k] λαμπρός] Seqq. Οἱ μὲν ἐτυμολόγοι παρὰ τὴν στέρησιν τοῦ ὁρᾶν. Ἀμαυροῖ γάρ, φασί, τὴν ὄψιν τὰ πάνυ λαμπρά, καὶ διαχεῖ, ὥστε ΝΩΡΟΨ ΧΑΛΚΟΣ, ὁ μὴ ἐῶν ὁρᾶν εἰς αὐτόν. Ἐπαφρόδιτος δὲ, Νωρακὸς (εἰρηκὼς Hemsterhusius) Νώρακον πόλιν F Παννονίας, ἧς ὁ πολίτης Νωράκιος, γίνεσθαι ἱστορεῖ ἐν Παννονίᾳ σίδηρον, ὃς ἀποσβεὶς, λαμπρότατός ἐστιν. Ὅθεν καὶ ΝΩΡΟΠΑ φασὶν εἰρῆσθαι ΧΑΛΚΟΝ, ὡς εἴ τις εἴποι, Νωράκιον, delevi cum A.V. Ad v. Ἐπαφρόδιτος notavit Kusterus: "Ex Stephano Byzantio, v. Νωράκος. Huc spectat locus ille Clementis Alexandr. Strom. lib. I. p. 225. Νώρικοι, (ἔθνος ἐστὶ Παιονικὸν, νῦν δὲ Νωρικοὶ καλοῦνται) κατειργάσαντο χαλκὸν, καὶ σίδηρον ἐκάθηραν."

ΝΩΣΑΜΕΝΟΣ] Confer Nostrum supra v. Νενώμεθα. G KUST.

[l] Παρὰ Καλλιμάχῳ om. A. Vid. not. ad Hesych.

ΝΩΤΑ ΘΑΛΑΣΣΗΣ] Ex Scholiasta Homeri ad Il. β'. 159. KUST.

ΝΩΤΑΡΗΣ] Scheffer. de R.V. II. 2. p. 28. HEMST.

ΝΩΤΙΑΙΑ] mss. Paris. [sic A.B.V.] habent νωταία: sed minus recte. KUST.

[m] ΝΩΤΙΣΑΙ : Ἀπελάσαι. Ἀπὸ μεταφ.] Ex Schol. Sophocl. ad Œdip. Tyrann. 193.

[n] ψόα] ψοία V.

H [o] πλῆθος] τὸ πλῆθος A.B.V. Mox βαρβάρων V. pro Ἀβάρων.

ΝΩΤΟΦΟΡΟΣ] Vid. Πλημμελεῖν. HEMST.

ΝΩΧΕΛΗ] Vid. Eurip. Orest. ibique Schol. v. 788. ed. Matthiæ.

[p] ῥόμαλός] ὁ μαλλὸς Bos Obs. Crit. p. 175. probante Toupio. Vid. not. ad Hesych.

Νωχελία: Ἀργία.

Νοιδιον: Διανοημάτων. Παρήγαγε δὲ ἀπὸ τοῦ πληθυντικοῦ τοῦ οἱ ΝΟΙ τὸ ΝΟΙΔΙΟΝ ὑποκοριστικόν. Τινὲς δὲ [q]οὕτως, ὀνειδισμῶν καὶ λοιδοριῶν ἀπὸ τοῦ οἴνου καὶ τῆς μέθης. Ἀριστοφάνης·

Ἐγὼ δὲ πάντα καταπάσω
βουλευματίων, γνωμιδίων, [r]νοιδίων.

Νύκτα: Τὰς συμφορὰς [s]πολλάκις ΝΥΚΤΑΣ ἡ Γραφὴ καλεῖ· ἐπειδὴ οἱ ἐν συμφοραῖς περιπίπτοντες, ἐν σκότει διάγειν νομίζουσι.

Νύκτα δασκίην: Τὴν χειμερινήν φασι.

Νυκταλός: Ὁ νύκτα φιλῶν. Περὶ Διογένους τοῦ Κυνός φησιν·

[t]Οὐδὲ γὰρ ἦν τις νυκταλὸς καὶ ὑπνηλός.

Νυκτερίδος αἶνος: Αἰνιγματωδῶς δηλοῖ περὶ νυκτερίδος. [u]Ὑπερέκκειται ἐν τοῖς μετὰ ταῦτα.

Νυκτερινοὶ κύνες: Οἱ λύκοι.

[[x]Ἡ νυκτερὶς μόνη τῶν πτητικῶν ζώων καὶ γάλα ἔχει ἐν μαστοῖς, καὶ θηλάζει εὐθέως τὸ γεννώμενον. Καὶ ὁ Χαιρεφῶν Νυκτερὶς ἐκαλεῖτο. Καὶ ζήτει ἐν τῷ Διοίσειν.]

Νυκτερίωνος:

Νυκτίβιος: Ὁ ἐν νυκτὶ ὡς [y]ἐν ἡμέρᾳ διάγων.

Νυκτὶ θοῇ ἀτάλαντος: Ὅμηρος τὰ φοβερὰ νυκτὶ ὁμοιοῖ. Καὶ ἀλλαχοῦ·

[z]Ὁ δ' ἤϊε νυκτὶ ἐοικώς.

Νυκτικόραξ: Εἶδος ὀρνέου ἐρημικοῦ, ὃ τὰς οἰκουμένας φεῦγον τῶν οἰκιῶν, ταῖς ἐρήμοις [a]καὶ καταλελυμέναις προστρέχει. Τὰ γὰρ οἰκόπεδα ἐρείπια φασίν. Οὕτω καὶ τὸ στρουθίον δειλὸν ὄρνεον ὄν, ὑπὸ ἀγωνίας ἐλαύνει τὸν ὕπνον.

Νυκτιλόχοι: Λῃσταί. [b]Καὶ Νυκτοπεριπλάνητος, παρὰ Ἀριστοφάνει.

Νύκτωρ: Διὰ τῆς νυκτός.

Νύμφα: Νύμφη. Ἰωνικῶς. Ὡς [c]τόλμα, τόλμη.

[Νυμφαγωγῷ: Δοτικῇ.]

Νύμφαι: Σκώληκες, οἱ ἐν τοῖς τῶν [d]μελισσῶν [e]κυττάροις, ὅταν ἤδη πτεροποιεῖν ἄρξωνται. Οἱ δ' ἁπλῶς τοὺς πτερωτοὺς σκώληκας, Σάμιοι. Καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων νύμφην καλοῦσι. Καὶ τῶν ῥόδων αἱ κάλυκες αἱ [g]μεμυκυῖαι, νύμφαι. Καὶ αἱ νεόγαμοι κόραι, νύμφαι. Καὶ αἱ Μοῦσαι δὲ ὑπὸ Λυδῶν νύμφαι. [h]Ὅτι δὲ πάντων τῶν καρπῶν αἱ ἐκφύσεις οὕτω, δῆλον. [i]Περὶ δὲ τῶν θεῶν [k]Διονυσίῳ πᾶσα ἡ ἱστορία συνῆκται ἐν τριάκοντα καὶ τρισὶ βιβλίοις.

Νυμφαῖον: Νυμφῶν ἱερόν.

Νύμφαιον: Ἐν τῷ Πόντῳ ἐστὶ τὸ Νύμφαιον. Καὶ φησὶ Κρατερὸς ἐν ἐννάτῳ τῶν ψηφισμάτων, ὅτι Ἀθηναίοις ἐτέλει [l]τάλαντον.

Νυμφεῖος οἶκος: Ἐν ᾧ αἱ νύμφαι εἰσί.

Νύμφιος κόσμος, κτητικῶς, ὡς Τύριος, Λύδιος, Φρύγιος.

[m]ἤματι δ' ᾧ νύμφειος ἀνήπτετο λαμπάδι παστάς,
τούτῳ πυρκαϊῆς αὖ θαλάμων ἔτυχε.

Νυμφεύτρια: Ἡ συμπεμπομένη ὑπὸ τῶν γονέων τῇ νύμφῃ. [n]Καὶ ἡ νεόγαμος δὲ, καὶ ἡ γαμετὴ

ΝΩΧΕΛΙΑ] Jamblichus Vit. Pythag. c. 14. p. 51. ed. Kuster. καὶ τῆς νωχελίας αὐτοὺς ἀπήλλασσε. Citavit Toupius. Hom. Il. τ'. 411.

ΝΟΙΔΙΩΝ: Διανοημάτων. Παρήγ.] Ex Schol. Aristoph. Equit. 100.

[q] οὕτως om. Schol. posito κακῶς post μέθης.

[r] καὶ νοιδίων] καὶ om. A.B.V.E.M. Statim delevi, Κάλλιον καθ' ὑποκορισμὸν ΝΟΙΔΙΩΝ εἰπεῖν· εἶτα συνῃρημένως, ΝΟΙΔΙΩΝ. Οὕτω καὶ ἐκ τοῦ ΠΡΟΧΟΟΣ γίνεται ΠΡΟΧΟΙΔΙΟΝ, καὶ ἐκ τοῦ ΒΟΥΣ, βοὸς, ΒΟΙΔΙΟΝ, cum A.V.

[s] πολλάκις ΝΥΚΤΑΣ] νύκτας om. A. Theodoretus ad Ps. III. 6. Νύκτα τὰς συμφορὰς πολλάκις ἡ θεία καλεῖ γραφή· ἐπειδὴ ὡς ἐν σκότει διάγειν νομίζουσιν οἱ ταῖς ἄγαν ἀνιαραῖς περιπίπτοντες.

[t] Οὐδὲ γὰρ ἦν τις νυκτ.] Hæc sunt verba Diogenis Laërtii in Diogene Cynico, s. 77. ut et Pearsonius monuit. KUST. Mendum esse in Diogene, et reponendum νυσταλὸς suspicatur Rossius Comm. Laërt. p. 98. Debebat saltim νυσταλέος.

ΝΥΚΤΕΡΙΔΟΣ ΑΙΝΟΣ] Ænigma hoc habes supra v. Αἶνος: quem locum confer. KUST.

[u] Ὑπερέκκειται ἐν τοῖς μετὰ ταῦτα] Hæc litura sananda sunt, utpote inepta, et nullum sensum habentia. Non enim infra, sed supra, ut diximus, nimirum v. Αἶνος, ænigma de vespertilione, cujus hic obscure mentio fit, a Suida refertur. Quare scribi potius debebat, κεῖται ἐν τοῖς πρὸ τούτων. KUST.

ib. Ὑπερέκκειται] L. ὑπὲρ ἧς κεῖται. TOUP. ὑπερ ἔκκειται Photius.

[x] Ἡ νυκτερὶς] Hæc om. A. Habet V. infra in Νυκτίβιος.

[y] ἐν ἡμέρᾳ] ἐν om. A.V. Sed habet Photius.

ΝΥΚΤΙ ΘΟΗΙ ἈΤΑΛΑΝΤΟΣ] Homerus Il. μ'. 463. KUST.

[z] Ὁ δ' ἤϊε νυκτὶ ἐοικὼς] Il. α'. 47. KUST.

ΝΥΚΤΙΚΟΡΑΞ] Ad Ps. CI. 7. ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ, sic Theodoretus: ὁ νυκτικόραξ τὰς οἰκουμένας φεύγων τῶν οἰκιῶν, ταῖς ἐρήμοις καὶ καταλελειμμέναις προστρέχει· τὰ γὰρ οἰκόπεδα ἐρείπια ὁ Σύμμαχος εἴρηκεν· οὕτω καὶ τὸ ἄλλο ὀρνέον ταῖς ἐρήμοις ἐνδιαιτᾶται. Vid. Schleusner. Lex. V. T. Mox φεύγων M. C. pr.

[a] καὶ καταλ.] καὶ om. A. καὶ κατ. om. C.

[b] Καὶ ΝΥΚΤΙ ΠΕΡΙΠΛΑΝΗΣ, παρὰ Ἀριστοφάνει] Vox excidit. Scribendum sine dubio, Καὶ Νυκτοπεριπλάνητος, νυκτὶ περιπλανής. Locus Aristophanis, ad quem respexit Suidas, exstat in Acharn. 263. Φάλης ἑταῖρε Βακχείου, Σύγκωμε, ΝΥΚΤΟΠΕΡΙΠΛΑΝΗΤΕ, μοιχὲ, παιδεραστά. TOUP. Scripsi Νυκτοπεριπλάνητος cum A.B.V. Νυκτοπεριπλάνητος E.

[c] τόλμα, τόλμη] τόλμη, τόλμα A.V.

ΝΥΜΦΑΓΩΓΩ] Om. A.V.

ΝΥΜΦΑΙ] Confer Hesychium h. v. KUST.

[d] μελιττῶν] μελισσῶν A. Photius.

[e] κυττάροις] κυτάρροις A. κυτταρίοις E. Photius.

[f] Σάμιοι δὲ] Σαμίοι καὶ A.B.V.E. Photius.

[g] μεμυκυῖαι] μεμακυῖαι A. qui mox om. καὶ αἱ νεογ.— νύμφαι.

[h] Ὅτι δὲ καὶ] καὶ om. A.B.V.E. Photius.

[i] Περὶ δὲ τῶν θεῶν Διονυσίῳ πᾶσα ἡ ἱστ.] Hæc nihil ad rem faciunt. KUST. Hæc omnino ad rem facere, atque adeo nequaquam pro inutili adsumento esse rejicienda docuit H. Valesius ad Socrat. Hist. Eccl. III. p. 204, 2. HEMST.

[k] Διονυσίῳ] Διονύσου Photius. Mox ἡ ante ἱστορία om. A. B. Phot.

ΝΥΜΦΑΙΟΝ] Nymphæum Romæ in septemzodio, Amm. Marc. XV. 7. REINES. Vid. Ναυάδεια. HEMST.

ΝΥΜΦΑΙΟΝ: Ἐν τῷ Πόντῳ ἐστὶ τὸ Νύμφ.] Ex Harpocratione. KUST.

[l] τάλαντον] Statim delevi cum A.V., ΝΥΜΦΑΙΠΙΔΑΚΑ: Ἐν Ἐπιγράμμασι· Πανωγύλῳ νυμφαπίδακα, Βάκχῳ γάνος. Ζήτει ἐν τῷ ΓΑΝΟΣ.

ΝΥΜΦΕΙΟΣ] Deest gl. V. Seqq. Νύμφιος δὲ, omisso δὲ sejunxi cum A. et Photio. Κόσμος om. Photius.

[m] Νημάτια] ἠματίαι ᾧ νύμφιος A. ἤματι δ' ᾧ νυμφείος Anthol. Pal. VII. 188. Et sic manifesto in Suida reponendum.

ΝΥΜΦΕΥΤΡΙΑ] Aristoph. Ach. 1055.

[n] Καὶ ἡ ν.] Hæc loco suo sunt mota, inserique debent

καὶ [o]πρεσβυτέρα, Πηνελόπη, καὶ ἡ Ἑλένη. Παρὰ Ἀθηναίοις καὶ ἡ τοῦ Διὸς μήτηρ, καὶ ἡ [p]θεὰ, ἡ ἐπὶ τῶν ὑδάτων.

ΝΥΜΦΗ: Πηγή. Καὶ ἡ [q]νεόγαμος γυνή. Αἰλιανός·

Μῆνις δὲ ἰδάνει καὶ Νυμφῶν δι' ἀπειρίαν ναμάτων.

ΝΥΜΦΗΝ δὲ καλοῦσι καὶ τὸ ἀνὰ μέσον τῶν γυναικείων αἰδοίων, [ὡς προεγράφη.]

ΝΥΜΦΙΚᾺ ΛΟΥΤΡΆ: Τὰ εἰς γάμους ἐκ τῆς ἀγορᾶς ἀπὸ κρήνης λαμβανόμενα.

ΝΥΜΦΊΟΣ: Ὄνομα ποταμοῦ. [r]Πισίδης·

Καὶ τὸν μέγιστον ἐκπεράσας Νυμφίον,
ὅστις [s]Τίγρητος ταῖς ῥοαῖς ἐπιρρέων,
ἀποστερεῖται τοῦ καλεῖσθαι Νυμφίος.

ΝΥΜΦΊΟΥ ΒΊΟΝ: Παροιμία.

[t]Ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίου βίον.

Οἱ γὰρ γαμοῦντες ἐστέφοντο σισύμβροις καὶ φυτοῖς τισι πρὸς τὰς τῶν γάμων ἡμέρας.

ΝΥΜΦΙΣ, Νύμφιδος, Ξεναγόρου, Ἡρακλεώτης ἐκ Πόντου, ἱστορικός. Περὶ Ἀλεξάνδρου καὶ τῶν διαδόχων καὶ ἐπιγόνων βιβλία κδ΄, [u]Περὶ Ἡρακλείας βιβλία ιγ΄· ἔχει δὲ μέχρι τῆς καθαιρέσεως τῶν τυράννων τὰ [x]μετὰ τοὺς ἐπιγόνους, καὶ μέχρι τοῦ [y]τρίτου Πτολεμαίου.

ΝΥΜΦΟΣΤΟΛῆΣΑΙ: Νύμφην κοσμῆσαι.

ΝΥΜΦΟΣΤΌΛΟΣ: Νυμφαγωγός.

ΝΥΜΦῶΝΟΣ: Τοῦ κοιτῶνος.

ΝῦΝ: Χρονικὸν ἐπίρρημα.

[z]Νῦν δεῖ σε πάντα δὴ κάλων ἐξιέναι σεαυτοῦ,
καὶ λῆμα θούριον [a]φορεῖν, καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλῇ· ποικίλος γὰρ ἀνὴρ,
κἀκ τῶν ἀμηχάνων πόρους εὐμηχάνους πορίζειν.

ΚΆΛΩΝ: [b]Σχοινίον. Τροπικῶς δὲ ὡς ἐπὶ τοῦ ἱστοῦ λέγει, δεῖ τὰ ἄρμενα πάντα κινεῖν ὑπὲρ τοῦ [c]περιγενέσθαι αὐτοῦ.

ΝῦΝ ΔΉ: Ἀρτίως, ἢ μικρὸν ἔμπροσθεν. Πλάτων [d]Νόμοις·

Ἦ νῦν δὴ ὀλίγον ἔμπροσθεν τούτοις περιτυχόντες τοῖς λόγοις, οὕτω ταῦτ' ἐτίθεμεν· νῦν δὲ ἐπιλελήσμεθα.

Καὶ [e]Εὐριπίδης ἐν Ἱππολύτῳ·

Νῦν δὴ μὲν ὄρος βᾶσ', ἐπὶ θήρας
[f]πόθον ἐστέλλου· νῦν δὲ ψαμάθοισιν
ἀκυμάντοις.

Καὶ ἐν Μελεάγρῳ·

Ὁρᾷς σὺ νῦν δή μ' ὡς ἐκράνας [g]τύχην.

Μάγνης δὲ ἐν [h]Πυτακίδῃ·

Εἰπέ μοι· νῦν [i]δὴ μὲν ὤμνυς μὴ γεγονέναι, νῦν δὲ φῄς.

Ἐν δὲ τοῖς Νόμοις [k]διαλελυμένον εἴρηκε, τὸ μὲν νῦν ἐπὶ τοῦ παρόντος χρόνου, τὸ δὲ δὴ ἐπὶ συνδέσμου.

Ὃς δὴ πάντων τῶν πολέμων χαλεπώτατος, ὡς φαμὲν ἡμεῖς νῦν δή.

ΝῦΝ ΕΥ̓ΠΛΌΗΚΑ, ὍΤΕ ΝΕΝΑΥΆΓΗΚΑ: Ἐπὶ τῶν παρ' ἐλπίδα εὐτυχησάντων. Ζήνων γὰρ ὁ [l]Κιτιεὺς, καταλιπὼν τοὺς πρὶν διδασκάλους, καὶ Κράτητος τοῦ φιλοσόφου φοιτητὴς γενόμενος, τοῦτο εἴρηκε, ναυαγίῳ περιπεσὼν, καὶ εἰπὼν, [m]Εὖ γε ποιεῖ ἡ τύχη προσελαύνουσα ἡμᾶς φιλοσοφίᾳ, οὕτω τραπῆναι πρὸς φιλοσοφίαν.

ΝῦΝ ΕἸΣ ΧΏΡΑΝ ἮΛΘΟΝ: Ἐπὶ τῶν πρῶτον μὲν οὐκ ἀνεχομένων ἐλθεῖν, ὅποι δεῖ· ὕστερον δὲ αὐτομάτως παραγενομένων.

ΝῦΝ ἮΛΘΟΝ ΕἸΣ ΧΟΡΌΝ· ΝῦΝ Τ' ἜΠΑΡΔΕΣ:

sequenti articulo post πηγή. Res liquida, si conferas Hesych. in Νύμφη. HEMST.

[o] πρεσβυτέρα] καὶ πρεσβυτέρα V. Photius.

[p] θεὰς] θεὰ A.V. Photius.

[q] νεόγαμος] ἡ νεόγαμος A.B.V. Photius. Mox δὲ post Αἰλιανὸς om. A. Tum Μῆνις δὲ A.B.V.E. non Μῆνίς τε. In fine ὡς προεγράφη om. A.V.

ΝΥΜΦΙΚΑ ΛΟΥΤΡΑ] Confer omnino Nostrum supra v. Λουτροφόρος. KUST. Vid. notata ad Hesych.

ΝΥΜΦΙΟΣ] Vid. Vales. ad Ammian. Marcellin. XVIII. 9. HEMST. REINES.

[r] Πισίδης] Fr. Foggin. 124.

[s] Τίγρητος] Τίγρηδος A.

[t] Ὑμεῖς μὲν ἄρα ζῆτε νυμφίου β.] Aristoph. Av. 161. Post h. gl. delevi ΝΥΜΦΙΟΣ ΟΙΚΟΣ: Ἐν ᾧ αἱ νύμφαι εἰσὶν, cum A.B.V.E.

ΝΥΜΦΙΣ] Chion in Ep. ad Matridem patrem Nymphin Clearchi Heracl. tyranni συγγενῆ adpellat. Mittitur ab Heracliensibus legatus, et quidem princeps inter alios ad Galatas regnum Mithridatis regis Cappadocum divexantes, Memnon Hist. Eccl. c. 25. ap. Photium c. 224. p. 723. Ad hunc scripsit sua περὶ θαυμασίων Philo Heracleota, quem sub Philone Alex. memorat auctor II. 10. p. 132. Huc pertinet Porphyr. lib. de Styge ap. Stob. Ecl. Phys. c. 40. p. 130. Vid. et p. 318. item p. 416. et 439. Herodorus erat recentior Nymphi. Volat. XIII. inter scriptores rerum Alex. M. eum nominat. Νύμφις μὲν γάρ φησιν ἱστορεῖν Ἀκαρίωνα, leg. Εὐφορίωνα. Schol. Apoll. Rhod. II. 168. p. 172. Natal. Com. Mythol. II. 1. Samium adpellat. Vid. Schol. Apoll. Rhod. II. 652. 674. 731. 754. 780. 789. 817. 856. IV. 247. Voss. de Hist. Gr. p. 84. REINES.

[u] Περὶ Ἡρακλείας] Operis hujus mentionem faciunt Enarrator Apoll. Rh. ad lib. II. 652. 731. 754. 817. et ab lib. IV. 247. Stephanus Byzantius v. Ὕπιος, et v. Φρίξος. Athenæus lib. XII. p. 549. et lib. XIII. p. 619. Plutarchus libro De virtutibus mulierum, p. 248. Confer Voss. De Histor. Gr. KUST.

[x] μετὰ τοὺς] κατὰ τοὺς Clintonus, quem vide F. H. ad a. 247.

[y] τρίτου Πτολεμαίου] τριπτολεμαίου A.

ΝΥΜΦΩΝΟΣ] Matth. IX. 15. οἱ υἱοὶ τοῦ νυμφῶνος. ERNESTI.

[z] Νῦν δεῖ σε πάντα δὴ κ.] Ex Aristoph. Equit. 753.

[a] φορεῖν] φορεῖν A.B.E. Tum λέχους B. λόφους E.

[b] Σχοινίον] σχοινίον E.

[c] περιγενέσθαι] γενέσθαι A.B.V.E.

ΝΥΝ ΔΗ] Vid. Ruhnken. ad Tim. p. 186.

[d] Νόμοις] νόμοις V. et sic Photius, omisso Πλάτων. Tum ἦ, non ἤ, legendum, et cum verbis Platonis conjungendum, quæ sumpta sunt ex Legg. III. p. 683 E., monuit Dobræus in Photii indice.

[e] Εὐριπίδης ἐν Ἱππολύτῳ] Vers. 233. 234. et 235. ut Portus monuit. Ibi autem ultima sic leguntur: Νῦν δ' αὖ ψαμάθοισιν Ἐπ' ἀκυμάντοις πώλων ἔρασαι. KUST.

[f] πόθον] πόθον A. Photii ms. πόθι vel ποθὶ B.V.E. Mox ψαμμάθοισιν B.E.

[g] τύχην] τύχη V.

[h] Πυτακίδῃ] Leg. Πιθακίδῃ. HEMST. Πυτακίδῃ A. Photius. Πυτακίδῃ V. Πυτακίσκοι B.E.

[i] μὲν δὴ] δὴ μὲν B.V.E. Photius.

[k] διαλελυμένως] διαλελυμένον A.V. Photius.

ΝΥΝ ΕΥΠΛΟΗΚΑ, ὍΤΕ ΝΕΝ.] Idem Zenonis apophthegma refert Laërtius in vita Zenonis Citt. segm. 5. ad quem locum vide Menagium. KUST.

[l] Κιττιεὺς] Κιτιεὺς A.V.

[m] Εὖγε] Εὖ V. Tum ποιεῖν A.E.

ΝΥΝ ἨΛΘΟΝ] Hæc om. A. Hesychius: Νῦν τ' ἦλθες —ἔπραδες.

Νυνμενί: Ἀντὶ τοῦ, [n] νῦν μέν. Πολλαχοῦ δὲ οὕτω χρῆται Ἀριστοφάνης.

Νυνὶ δὲ ὡς τύποι πρός σε γράφω: Ἀντὶ τοῦ, ὁλοσχερῶς.

Νῦν πᾶς κίνδυνος ἐνθάδ' ἀνεῖται σοφίας, ἧς πέρι τοῖς ἐμοῖς φίλοις ἐστὶν ἀγὼν μέγιστος:

Νῦν ὀσπρίων ἄμητος: Ἐπὶ τῶν καθ' ὥραν ἕκαστα πράττειν ὀφειλόντων.

Νῦν σωθείην, ἵν' ἦι μοι δίδαγμα τοῦτο τοῦ λοιποῦ χρόνου: Παρὰ τὸν μῦθον εἴρηται τοῦτο τῆς μανθανούσης χελώνης ἵπτασθαι παρὰ τοῦ ἀετοῦ, καὶ πεσούσης.

Νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος: Ἐπὶ τῶν χαρμοσυνῶν. Ὁ γὰρ Δᾶτις σατράπης Περσῶν, ὃς εὐδοκιμήσας κατὰ τὸν πόλεμον, ἑλληνίζειν βουλόμενος, εἶπεν, Ἥδομαι, καὶ εὐφραίνομαι, καὶ χαίρομαι· καὶ ἐβαρβάρισε.

Νύξ: Εὐφρόνη, καὶ ἡ σκοτία.

Νύξ ἐστι σκιὰ γῆς· ἀλλ' οὐχ ἡ τυχοῦσα, ἀλλ' ἡ γινομένη παρὰ τὴν τοῦ ἡλίου αἰτίαν, [o] τοῦ εἶναι αὐτὸν ἐν τῷ ὑπὸ γῆν, ὡς πρὸς τούτους παρ' οἷς ἐστιν ἡ νύξ, ἡμισφαιρίῳ. Ὥσπερ οὐχ ὁ ὑφ' ὁποιασοῦν ἡδονῆς κρατούμενος, ἀκρατής· ἀλλ' ὁ ὑπό τινος.

Νὺξ ὑγρά: Χαλεπή, [p] φησί.

Νυρίζει: Ξύει, νύσσει.

Νύρων: Νύττων.

Νύσσα: Καμπτὴρ, τέρμα, βαθμίς.

Νυσήϊον: Ὄρος Διονύσου.

Νύσια: Ὀρχήματος εἶδος. Τῶν γὰρ ὀρχήσεων ἡ μὲν [q] Βερεκυντιακὴ λέγεται· ἡ δὲ, Κρητική· ἡ δὲ, [r] Παρική. [s] Νύσια οὖν, τὰ Βερεκύντια· [t] Νυσιὰς γάρ

A ἐστιν ἡ Βερεκυντιακή. Κνώσσια δὲ, [u] Κρητική· [x] ἐν Μυσίᾳ [y] γὰρ καὶ Κνωσσῷ [z] ἐπιμελὴς ἡ ὄρχησις. Νύσια δὲ, τὰ ἐν τῇ Νύσῃ γινόμενα. Ἔστι δὲ αὕτη Διονύσου ἱερά. [a] Καὶ τὰ Κνώσσια ὡσαύτως. Ἄλλως. Τῶν ὀρχήσεων αἱ μὲν εἰσὶ Διονυσιακαὶ, αἱ δὲ, [b] Κορυβαντιακαὶ, αἱ ἐνόπλιοι. Νύσιαι δὲ, αἱ Διονυσιακαί· Κνώσσιαι δὲ, αἱ Κορυβαντιακαί. Κνωσσὸς γὰρ πόλις Κρήτης. Ἐν τῇ Κρήτῃ δὲ ὑπὸ τῶν Κορυβάντων

B ἐτράφη ὁ Ζεύς.

Νύχιος: Νυκτερινός.

Νύχος: Νύξ.

## Ξ Α

Ξαινᾶν: Πονεῖν τοὺς καρποὺς τὰς γυναῖκας [c] τῶν

C χειρῶν, διὰ συνεχῆ τῶν ἐρίων ἐργασίαν.

Ξανήσει: Κοπιάσει.

Ξανθήν: Πυρροειδῆ.

Ξανθίζετε: Οἷον τῷ μέλιτι [d] χρωΐζετε, ἢ πυρρὰ τῇ ὀπτήσει ποιεῖτε. Ἡ γὰρ καλῶς ἔχουσα ὄπτησις τῶν κρεῶν ἐστιν, ἵνα πυρρὰ ᾖ.

Ξανθίζεσθαι: Κοσμεῖσθαι τὰς τρίχας.

Ξανθικός: Ὄνομα μηνὸς [e] παρὰ Μακεδόσιν. Ὁ

D Ἀπρίλλιος.

Ξάνθιον: [f] Ἐπίσκοπον.

Ξάνθιος: Ὄνομα κύριον. Ἦν δὲ Βοιωτὸς, καὶ μονομαχῶν ἀνῃρέθη ὑπὸ Μελάνθου Ἀθηναίου. Ζήτει ἐν τῷ Ἀπατούρια.

Ξάνθος, Κανδαύλου, Λυδὸς ἐκ Σάρδεων, ἱστορικὸς, γεγονὼς ἐπὶ τῆς ἁλώσεως Σάρδεων. Λυδιακὰ, βιβλία δ'. [g] Ἐν δὲ τῷ β'. τούτων ἱστορεῖ, ὡς πρῶτος

E

[n] νῦν μέν] νυὶ μὲν A.B.V. Sumpta hæc ex Schol. Aristoph. Av. 448.

ΝΥΝ ΠΑΣ ΚΙΝΔΥΝΟΣ] Hæc sunt Aristophanis in Nub. 952. TOUP. ὁ κίνδυνος A.B.V.E. Mox φιλοσόφοις A. pro φίλοις.

ΝΥΝ ΣΩΘΕΙΗΝ] Hæc in choliambos redigere frustra conatur Schneiderus Fab. Æsop. p. 207. νῦν γε σωθείην, Ἵν' ᾖ μοι χρόνου δίδαγμα τοῦτο τοῦ λοιποῦ. Si choliambi sunt, longe faciliori mutatione dispone, Νῦν δὲ σωθείην, Δίδαγμ' δ' ᾖ μοι τοῦτο τοῦ χρόνου λοιποῦ.

F

ΝΥΝ ΤΟΥΤ' ΈΚΕΙΝ' ῞ΗΚΕΙ ΤΟ ΔΑΤ.] Aristoph. Pac. 288. Νῦν τοῦτ' ἐκεῖν' ἥκει τὸ Δάτιδος μέλος, Ὅς δεφόμενός ποτ' ᾖδε τῆς μεσημβρίας, Ὡς ἥδομαι, καὶ τέρπομαι, καὶ χαίρομαι. KUST.

[o] τοῦ εἶναι] τῷ εἶναι V.

[p] φησί] Statim delevi cum A., ΝΥΞΑΙ: ῞ΟΤΙ ΒΑΛΕΙΝ, τὸ πέμψαι πόρρωθεν. ΟΥΤΑΣΑΙ δὲ, καὶ ΝΥΞΑΙ, καὶ ΤΥΨΑΙ, τὸ ἐκ χειρὸς τρῶσαι, quæ leguntur supra v. Βαλεῖν.

G

ΝΥΣΙΑ: Ὀρχήματος εἶδος. Τῶν γ.] Ex Schol. Sophocl. Aj. 699. KUST.

[q] Βερεκυνθιακὴ] Βερεκυντιακὴ A.V.E. et sic in seqq. Mox ἡ δὲ Κρητικὴ om. A.

[r] Παρικὴ] Scholiasta Sophoclis habet πυρρική. Sed utrumque mendosum est. Scribi enim debet, Πυῤῥίχη. Pyrrichen enim genus saltationis fuisse, ex veteribus scriptoribus notissimum est. KUST. Παῤῥικὴ A.V. ἡ καὶ π. Sch.

H

[s] Νύσια οὖν, τὰ Βερεκύνθια] Scribe, Νύσια οὖν, τὰ Βερεκυνθιακά. Apud Scholiastam Sophoclis fœminino genere legitur, Νύσιαι οὖν, αἱ Βερεκυνθιακαί: sed minus recte. Nam apud ipsum Sophoclem est Νύσια ὀρχήματα, genere neutro. KUST.

[t] Νυσιὰς γάρ ἐστιν ἡ Βερεκ.] Scholiasta Sophoclis habet: Νυσίας γάρ ἐστιν ἡ Βερέκυνθος. Sic etiam apud Suidam scribendum est. KUST.

[u] Κρητικὰ] Κρητικὴ A. Schol. ἡ Κρητικὴ V.

[x] Ἐν Μυσίᾳ] Scribe ἐν Νυσίᾳ, ut apud Scholiastam Sophoclis. KUST.

[y] γὰρ] δὲ V.

[z] ἐπιμελῶς] ἐπιμελὴς A.V.

[a] Καὶ τὰ Κνώσσια ὡσαύτως] καὶ συνᾴδει τῷ Κνώσσια· καὶ ἡ Κνωσὸς γὰρ Διονύσου. Schol.

[b] Κορυβαντικαὶ] Κορυβαντιακαὶ A.V.E. et sic mox. Tum αἱ δὲ ἐνοπλ. V.

[c] τοὺς τῶν] τοὺς om. A.B.E. Photius.

ΞΑΝΘΟΝ] Ξανθήν A.B.V.E. Photius.

ΞΑΝΘΙΖΕΤΕ: Οἷον, τῷ μέλιτι χρ.] Ex Schol. Aristoph. ad Acharn. 1046. sed ubi pro χρωΐζετε legitur χρίετε. KUST.

[d] χρωΐζετε] χωρίζετε V. χρωτίζετε edd. ante Kuster.

ΞΑΝΘΙΖΕΣΘΕ: Κοσμεῖσθε] Ξανθίζεσθαι: κοσμεῖσθαι A. V.

[e] παρὰ Μακεδόσιν· ὁ Ἀπρίλλιος] ὁ Ἀπρίλλιος παρὰ Μακεδόσιν V. Deest gl. A. Vid. Sturz. de Dial. Maced. p. 49.

[f] Ἐπίσκοπον] ἐπισκοπεῖν Photius.

ΞΑΝΘΙΟΣ] Deest artic. A. Μοναχῶν V. pro μονομαχῶν. Tum ζήτει etc. om. V.

ΞΑΝΘΟΣ] De hoc vide Vossium in opere de Hist. Gr. et præcipue Meursium ad Hesych. Miles. p. 173. 174. KUST. Artemon Cassandreus ἐν τῷ περὶ συναγωγῆς (Voss. de Hist. Gr. IV. c. 5.) βιβλίων ait Dionysium Scythobrachionem, de quo supra, in Διονύσιος Μιτυληναῖος, τὰς εἰς Ξάνθον τὸν Λυδὸν ἀναφερομένας ἱστορίας scripsisse, nescius etiam Ephorum Xanthi meminisse, ὡς παλαιοτέρου τινὸς καὶ Ἡροδότῳ τὰς ἀφορμὰς δεδωκότος, Athen. XII. p. 515. REINES. qui addit, Menippum, qui de Lydis scripsit, Xanthum redegisse in epitomen, Diog. Laërt. VI. 8.

[g] Ἐν δὲ τῷ β'. τούτων ἱστορεῖ, ὡς πρ.—δεῖ παιζούσαις] Hæc

Γύγης ὁ Λυδῶν βασιλεὺς γυναῖκας εὐνούχισεν, ὅπως αὐταῖς χρῷτο ἀεὶ νεαζούσαις. Οὗτος [b]ἱστορεῖ ὁ Ξάνθος, Ἄλκιμόν τινα βασιλεῦσαι τῆς [i]ἐκεῖσε χώρας, εὐσεβέστατον καὶ πρᾳότατον [k]ἄνδρα· καὶ ἐπ' αὐτοῦ γενέσθαι εἰρήνην βαθεῖαν, καὶ πλοῦτον πολύν· ἀδεῶς δὲ καὶ ἀνεπιβουλεύτως ζῆν ἕκαστον. Εἶτα ἐπειδὴ ἑπτὰ ἔτη ἦν τῷ Ἀλκίμῳ, [l]προελθόντας τοὺς Λυδοὺς παγγενεί [m]τε καὶ πανδημεὶ προσεύξασθαι, καὶ αἰτῆσαι τῷ Ἀλκίμῳ τοιαῦτα ἔτη δοθῆναι ἐς τὸ Λυδῶν ἀγαθόν· ὃ καὶ γέγονε· καὶ ἐν εὐποτμίᾳ τε καὶ εὐδαιμονίᾳ πολλῇ διῆγον.

ΞΑΝΘΟΣ: Ὁ ποταμός. ΞΑΝΘΟΣ δὲ, ὁ πυρρός.

ΞΑΝΘΟΤΕΡΟΣ: Καὶ ΞΑΝΘΟΤΑΤΟΣ.

ΞΑΝΘΟΙΣΙΝ: Ὀρνέοις.

ΞΑΝΙΟΝ: Κτένιον, ὃ φοροῦσιν αἱ γυναῖκες [n]ἐν τοῖς [o]ἀναδήμασιν, οἷς κόσμος χρυσοῦς ἐπὶ κεφαλῆς.

ΞΑΝΩ: Κοπιάσω. Σοφοκλῆς Ποιμέσιν Ἕκτωρ τοῖς Ἀχαιοῖς βουλόμενος μάχεσθαι, φησίν·

Ἠδὲ ξανῆσαι, καὶ προγυμνάσαι χέρα.

ΞΑΙΝΕΙΝ: Τὸ τύπτειν. Καὶ ΞΑΙΝΕΣΘΑΙ, τὸ πάσχειν. [p]Φησὶν οὖν, Ἡ βύρσα σου τυπτομένη διαφθαρήσεται. [q]Οἱ γὰρ βυρσεῖς τὰς βύρσας ξύλοις τύπτειν εἰώθασιν, ἵνα ἁπαλαὶ γενόμεναι [r]διαλάβοιεν εὐχερῶς τοῦ φαρμάκου.

Ἐκέλευσε δὲ [s]τὸ σῶμα [t]ξαίνειν μάστιξι πάνυ πολλαῖς.

Καὶ ἐν Ἐπιγράμμασι·

[u]Πολλὰ θαλασσαίῃ ξανθὲν ὑπὸ σπιλάδι.

Περὶ ὀστέου σκολοπένδρης ὁ λόγος.

ΞΑΙΝΩ: Νήθω, [x]σωρεύω, διαλύω, μαστίζω.

ΞΕΝΑ: Θαυμαστά.

ΞΕΝΑΓΙΑ: Δύο Πεντακοσιαρχίαι, ἀνδρῶν αωδʹ. οἱ δὲ πλεῖστοι τοῦτο τὸ πλῆθος Χιλιαρχίαν καλοῦσι· καὶ Χιλίαρχον, τὸν ἡγούμενον.

ΞΕΝΑΓΟΣ: Ὁ τῶν ξένων ἡγεμών.

ΞΕΝΑΓΩΝ: Ξενοδοχῶν.

[y]ΞΕΝΑΓΟΙ παρὰ Θουκυδίδῃ, οἱ τῶν μισθοφόρων ἄρχοντες.

Οἵτε ξεναγοὶ [z]ἑκάστης πόλεως ξυνεφεστῶτες ἠνάγκαζον εἰς τὸ ἔργον.

ΞΕΝΑΛΙΖΩ: Τὸ [a]συναθροίζω.

ΞΕΝΑΡΧΟΣ, [b]κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστι, [c]Βουκαλίων, [[d]ὡς] Ἀθήναιός φησιν ἐν δευτέρῳ τῶν Δειπνοσοφιστῶν· καὶ [e]Πορφύρα, καὶ [f]Σκύθαι, ὡς ὁ αὐτός. Καὶ [g]Δίδυμοι, καὶ [h]Πένταθλος, καὶ Πρίαπος, Ὕπνος, Στρατιώτης.

ΞΕΝΑΣ: Θαυμαστάς. [i]Πισίδης·

Ὕλας χορηγῶν, καὶ τοσαύτας, καὶ ξένας.

ΞΕΝΕΤΟΣ: Ὄνομα κύριον.

αὐτολεξεὶ etiam leguntur apud Hesychium Milesium, unde ea Suidas mutuatus est. KUST.

[h] ὁ Ξάνθος ἱστορεῖ] ἱστορεῖ ὁ Ξάνθος A.V.

[i] ἐκεῖσε] ἐκεῖθεν A.

[k] ἄνθρωπον] ἄνδρα A.B.V.

[l] προσελθόντας] προελθόντας A.B.V.E. Mox παγγενῆ A.B.V.E.M.

[m] τε καὶ] τε om. V. Mox πολλῇ om. A.

[n] ἐν τοῖς ἀναδήμασιν, οἷς κόσμος χρυσοῦς ἐπὶ κεφ.] Locus hic in Lexico Photii inedito rectius sic legitur et distinguitur: Ἐν τοῖς ἀναδεματίοις. Κόσμος χρυσοῦς ἐπὶ κεφαλῆς. Ἀναδεμάτιον vero, (pro quo usitatius dicitur ἀναδημάτιον, per η, ab ἀνάδημα) est vinculum, quo capilli constringi solebant; eique aureus hic pecten innexus erat. Confer etiam Hesychium et Pollucem. KUST.

[o] ἀναδήμασιν] ἀναδέμασιν A.V. edd. ante Kuster. ἀναδέσμασιν B.E. ἀναδήμασιν, ἃς conj. Portus. ἀναδέμασιν Jungerman. Polluc. V. 96. Lex. Seg. Bekker. p. 284, 7. Ξάνιον: κτένιον, ὃ φοροῦσιν ἐν τῷ ἀναπλέγματι αἱ γυναῖκες, οἱ δὲ κτένιον ἀπέδοσαν ἐν τοῖς φυλακτηρίοις.

[p] Φησὶν οὖν, Ἡ βύρσα——τοῦ φαρμάκου] Ex Schol. Aristoph. Equit. 368.

[q] Οἱ—βυρσεῖς] ἡ—βύρσεις V.

[r] διαλάβοιεν] διαβάλλοιεν B.E.

[s] τὸ σῶμα ξαίνειν] ξαίνειν τὸ σῶμα V.

[t] ξαίνειν—πολλαῖς] Procop. Arc. Hist. p. 54. ξαίνουσα κατὰ νώτου πολλαῖς. Leg. πολλάς. Vid. Thom. Mag. v. Ξαίνω. Ælian. apud Hemsterh. ad Polluc. X. 54. ubi leg. μάστιξί τε πολλαῖς ex Suid. TOUP.

[u] Πολλὰ θαλασσαίῃ ξανθ.] Ex Anthol. Pal. VI. 223.

[x] σωρεύω, διαλύω] διαλύω, σωρεύω A.V.E. Mox μαστίζω om. A. cum lacuna, V.B. Habet E. In Photio tantum Ξαίνω: νήθω, σωρεύω. Et sic Lex. Seg.

ΞΕΝΑΓΙΑ] Ξεναγίαι V. Eadem habet Tacticorum Scriptor apud Montfaucon. Bibl. Coislin. p. 506.

ΞΕΝΑΓΟΣ] Ξεναγὸν A. Seq. gl. post ξενοδοχῶν addunt A.C.V. παρὰ Θουκυδίδῃ οἱ τῶν μισθοφόρων ἄρχοντες, ξ. γ. ε. τ. μ.

[y] ΞΕΝΑΓΟΙ, οἱ ἄρχοντες τῶν μισθοφ.] Ex Scholiasta Thucydidis ad lib. II. c. 75. KUST.

ib. Παρὰ δὲ Θουκυδίδῃ ΞΕΝΑΓΟΙ οἱ ἄρχοντες τῶν μισθοφόρων· ξένους γὰρ ἐκάλουν τοὺς μισθοφόρους] ξεναγοὶ παρὰ Θουκυδίδῃ οἱ τῶν μισθοφόρων ἄρχοντες A.C.V. cum vulg. fere consentit Lex. Seg. Montfaucon. Bibl. Coisl. p. 237.

[z] ἐκ πάσης] ἑκάστης A.B.V.

ΞΕΝΑΛΙΖΩ] Sic habent 2 mss. Paris. itemque omnes editt. præcedentes. At optimus et antiquissimus ms. A. ξεναγίζω, quod magis placet. KUST. Mihi quidem minus: commodissimum enim ξεναλίζειν ἀπὸ τοῦ τοὺς ξένους ἀλίζειν. Ξεναλίζω corruptum ex ξυναλίζω. HEMST. Ξεναγίζω verbum ne Græcum quidem. Ξεναλίζω habet etiam Lexic. Bibl. Coisl. p. 237. Debuerat autem uterque scribere Ξυναλίζω. Ξυναλίζω Atticum pro συναλίζω, cujus verbi multa exempla dederunt homines eruditi ad Act. I. 4. PIERSON. Mœr. p. 271.

[a] συναθροίζω] Immo, do dona hospitalia. Meurs. in Gloss. Gr. barb. REINES.

ΞΕΝΑΡΧΟΣ] Sophronis, qui mimos scripsit, filius. v. Βουταλίων, Ῥηγῖνος. HEMST.

[b] κωμικός] κωμῳδὸς V.

[c] Βουκαλίων] Hodie fabulæ ejus nulla apud Athenæum libro II. fit mentio. An ergo Noster erravit, vel memoria eum decepit? Non puto: sed potius crediderim, locum illum, in quo Athenæus fabulæ Bucalionis mentionem fecerat, hodie intercidisse, cum non integer liber secundus Dipnosophistarum, ut constat, sed tantum Excerpta quædam ex eo ad nos pervenerint. KUST. Βουταλίων ex Athenæo II. p. 63 F. excidisse suspicatur Dindorfius.

ib. Βουκαλίων] Leg. Βουταλίων, quæ est fabula Antiphanis, Athen. VII. p. 304. et 313. VIII. p. 358. sed ap. eundem II. p. 63. nulla fit mentio Antiphanis, neque fabulæ ejus eo nomine. REINES. Βουκαλίων A.V.

[d] ὡς Ἀθηναῖος] ὡς om. A.V.E.M. τῶν ante Δειπνοσ. om. A.

[e] Πορφύρα] Quæ fabula etiam tribuitur Timocli ap. Athen. VII. p. 319. et X. 431. REINES.

[f] Σκύθαι] Athen. IX. p. 367. Vid. ibi Casaub. REINES. Σκύθα V. Tum ὁ ante αὐτὸς addunt A.V.

[g] Δίδυμοι] At hæc fabula non Xenarcho, sed Xenocharto Comico tribuitur ab Athenæo lib. X. Dipnosophist. p. 426. Existimo tamen corruptum esse Athenæum, et apud eum pro Ξενόχαρτος ex hoc loco Suidæ rescribendum esse Ξέναρχος. KUST.

[h] Πένταθλοι] Πένταθλος A.V.

[i] Πισίδης] De Exped. Heracl. Acroas. III. 61.

ΞΕΝΕΤΟΣ] Om. A. Conf. Diodor. Sic. XIV. 44.

Ξενηλατεῖν: Λακεδαιμόνιοι μετὰ πληγῶν ἐξ- A ήλαυνον τοὺς ξένους. [k]Ἀριστοφάνης·

> Τί δ' ἔστι δεινόν; Ὥσπερ ἐν Λακεδαίμονι
> ξενηλατοῦνται, καὶ κεκίνηνταί τινες
> πληγαὶ συχναὶ κατ' ἄστυ.

Ποτὲ γὰρ ἐκεῖσε [l]σποδιᾶς γενομένης, ξενηλασία γέγονε.

Ξενία: Καὶ ξενίζω.

> [m]Φοίνιος Ἄρης οὐκ [n]ἐξένισεν

αὐτόν. [o]Τουτέστιν, οὐκ ἀπέκτεινε. Ξένια γὰρ [p]Ἄρεος, τραύματα καὶ φόνοι. Καὶ Ἀρχίλοχος·

> [q]Ξείνια δυσμενέεσσιν λυγρὰ χαριζόμενος.

Ξενίαν: Καταγώγιον, κατάλυμα.

Ξενίας: Ὄνομα κύριον.

Ξενίζειν: Ξένῃ [r]χρῆσθαι φωνῇ, ἢ ξενικοῖς ἐπιτηδεύμασι. Δηλοῖ δὲ καὶ τὸ [s]ξενίας χάριν τινὰ ὑποδέξασθαι.

Ξενίζειν: Οἱ μὲν, ξένῃ διαλέκτῳ χρῆσθαι· οἱ δὲ, ἐν τῇ ξένῃ διατρίβειν.

Ξενίην συνθήκατο: Παρὰ [t]Ἡροδότῳ. Ὡς ξένιον ἐδωρήσατο.

Ξενικὸν ἐμπόριον: Ὅπου οἱ ξένοι ἐμπορεύονται. Ὥσπερ [u]ἀστικὸν, ὅπου οἱ ἀστοί.

Ξενικὸν ἐν Κορίνθῳ: Δημοσθένης Φιλιππικοῖς, καὶ [x]Ἀριστοφάνης. Συνεστήσατο δ' αὐτὸ [y]πρῶτος Κόνων, παρέλαβε δ' αὐτὸ Ἰφικράτης ὕστερον καὶ Χαβρίας· ᾧ [z]χρησάμενοι τὴν [a]Λακεδαιμονίων μοῖραν κατέκοψαν, στρατηγοῦντος αὐτοῖς Ἰφικράτους καὶ [b]Καλλικλέους.

Ξενικός: Ὁ ξένος, ὁ ἀλλότριος.

[c]Ὡς εἶδεν ἄγαλμα ξενικὸν, καὶ ἱερουργίαν οὐκ ἐπιχώριον, εἰς τὸ τιμώμενον παρῴνησεν.

Οἱ ξενικοὶ μισθοφόροι τεσσαράκοντα εἰώθασι χρησιμεύειν ἐν πολέμοις.

Ὅτι [d]οἱ Ἀθηναῖοι, μὴ βουλόμενοι δι' ἑαυτῶν πολεμεῖν [e]πρὸς τοὺς Κορινθίους διὰ τὸν κίνδυνον, μισθούμενοι ξένους εἰς τὸν πόλεμον, ἔτρεφον αὐτούς. Τοῦτο δὲ ἐν [f]πολλαῖς τῶν πολέμων διεπράττοντο· ὅπερ ξενικὸν ἐκάλουν.

Ξενικοῖς: Ἀντὶ τοῦ, ἀλλοτρίοις, καὶ μὴ προσήκουσιν· ὅτι ἀνοίκειον [g]Ἑλλήνων τὸ ἐξαπατᾶσθαι· ἢ ξενικοῖς, τοῖς ἀπὸ τῶν ξένων πρέσβεων λεγομένοις. B Ἀριστοφάνης·

> Παύσας [h]ὑμᾶς ξενικοῖσι λόγοισι μὴ λίαν ἐξαπατᾶσθαι.

Ξένιον: Δῶρον παρὰ ξένων διδόμενον.

Ξένιος: Ὁ τῆς ξενίας ἔφορος. Λέγεται καὶ Ξένιος ὁ Ζεύς.

Ξενίων, Ξενίωνος. Ὄνομα κύριον.

Ξενιτευομένους: Ἀντὶ τοῦ, μισθοφοροῦντας. Ἀντιφάνης Εὐθυδίκῳ·

C

> Ἐγὼ ξενιτευόμενος ἐστρατευόμην.

[Καὶ [i]ξενιτεύω, καὶ ξενιτεία.]

Ξενοδοχεῖον: Τὸ τοὺς ξένους ὑποδεχόμενον. Καὶ ξενοδόχος, ὁμοίως.

Ξενοκοπεῖν: Ἐπὶ τοῦ πληγὰς λαβεῖν. Οὕτω Μεταγένης.

Ξενοκράτης, Ἀγάθωνος, ἢ Ἀγαθάνορος, [k]Χαλκηδόνιος, μαθητὴς καὶ [l]διάδοχος μετὰ Σπεύσιππον D Πλάτωνος· τοῦ δὲ, Πολέμων· τοῦ δὲ, Κράντωρ. [n]Καὶ πέμψαντος αὐτῷ τοῦ Μακεδόνος Ἀλεξάνδρου χρυσοῦ [o]τάλαντα λ', αὐτὸς ἀπέπεμψεν, εἰπὼν, Βασιλέα δεῖσθαι χρημάτων, οὐ φιλόσοφον. Ἔγραψε περὶ τῆς Πλάτωνος πολιτείας.

Ξενοκράτης, φιλόσοφος, ὃς ἐπὶ σωφροσύνῃ [p]ἐτεθρύλητο.

E Ὁ δὲ πρὸς σωφροσύνην οὐδὲν μεῖον εἶχε τοῦ Πλατωνικοῦ Ξενοκράτους.

---

[k] Ἀριστοφάνης] Av. 1013.
[l] σποδιᾶς] σιτοδείας Hemsterhusius.
[m] Φοίνιος Ἄρης οὐκ ἐξ.] Sophocl. Electr. 96.
[n] ἐξείνισεν] ἐξένισεν A.V. οὐκ om. E.
[o] Τουτέστιν οὐκ ἀπέκτεινε. ξένια γὰρ Ἄρ.] Hæc, et quæ sequuntur sunt verba Scholiastæ ad modo indicatum locum Sophoclis. Vide etiam supra v. Ἐξένισεν, ubi eadem leguntur. KUST.
[p] Ἄρεως] Ἄρεος A.V.E.
[q] Ξεῖνα] ξένια A.E. Schol. Soph. Tum δυσμενέεσσι (vel δυσμενέεσσιν) A.B.V.E. Schol. Mox χαριζόμενοι Schol.
ΞΕΝΙΑΝ] Forte ex bis locis Nov. Test. Act. XXVIII. 23. Ep. ad Philem. 22. ERNESTI.
ΞΕΝΙΑΣ] Xeniam citat Plin. in Ind. l. XII. eum vocat Athenæum. REINES.
[r] χρῆσθαι] χρᾶσθαι V.E.
[s] ξενίας] τὸ ξενίας B.V.E. Photius.
ΞΕΝΙΖΕΙΝ: Οἱ μὲν ξένῃ χρ.] Confer Nostrum supra v. Ἐξένιζεν. KUST.
[t] Ἡροδότῳ] Gl. Herodot. I. 27. παρὰ δὲ Ἡ. V.
[u] ἀστικὸν] ἀστικῶν A.V. Photius.
ΞΕΝΙΚΟΝ ἘΝ ΚΟΡ.] Ex Harpocratione. KUST.
[x] Ἀριστοφάνης] Plut. 173. Τὸ δ' ἐν Κορίνθῳ ξενικὸν οὐχ οὗτος τρέφει; Vide ibi Scholiastam, qui ad loci hujus illustrationem multa affert. KUST.
[y] πρῶτος] πρῶτον Photius.
[z] χρησάμενοι—κατέκοψαν] χρησάμενος—κατέκοψε A. Photius, Harpocr. ms. Pal.
[a] Λακεδαιμονίων] Λακεδαιμ' A. Λακεδαιμονίαν B.E.
[b] Καλλικλέους] Harpocratio habet Καλλίου. KUST.
[c] Ὡς εἶδεν] Nescio an Æliani.
[d] οἱ Ἀθηναῖοι μὴ βουλόμενοι δι' ἑαυτῶν πολ.] Schol. Aristoph. Plut. 173.
[e] πρὸς τοὺς] τοὺς om. A.V.
[f] πολλαῖς] πολλῷ A.
ΞΕΝΙΚΟΙΣ: Ἀντὶ τοῦ, ἀλλ.] Ex Schol. Aristoph. Ach. 634.
[g] τῶν Ἑλλήνων] τῶν om. A.V.E. qui addunt ante ξένων.
F Schol. Ἕλλησι.
[h] ἡμῶν] ὑμᾶς A. ἡμᾶς V.
ΞΕΝΙΤΕΥΟΜΕΝΟΥΣ] Ex Harpocratione. KUST.
[i] ΞΕΝΙΤΕΥΩ] Nic. Damasc. p. 522. ed. Vales. TOUP. Καὶ ξενιτεία etc. om. A.V. Sed V. addit καὶ ξενιτεία post ξενοκοπεῖν.
ΞΕΝΟΚΟΠΕΙΝ] Mendose pro Ξενοκόπῳ Meinekio Quæst. Sc. Sp. 2. p. 54. Mox πληγὰς ἔλαβον Photius.
ΞΕΝΟΚΡΑΤΗΣ] De eo vide plura apud Laërtium. KUST. Ἀγαθήνορος Laërt. IV. 2. et Stob. Ecl. I. p. 62.
G ed. Heeren. MULLER.
[k] Χαλκηδόνιος] Καρχηδόνιος vitiose Themist. p. 26 A. HEMST. Stob. l. l. Καλχηδόνιος, ex Onato l. de Deo ac divino, Stob. in Ecl. Phys. c. 3. Xenocrati in Academia operam dedit Procles, Plut. Symp. V. 3. cf. Schott. Obs. I. 6. REINES. Καρχηδόνιος E.
[l] διάδοχος] διάκονος A.
[n] Καὶ πέμψαντος αὐτῷ τοῦ Μακεδ.] Hæc, et quæ sequuntur, sumpta sunt ex Hesychio Milesio. KUST.
H [o] τάλαντα λ'] τάλαντα ν' scribendum erit si sequaris Themist. Or. II. p. 26 A. 252 A. qui utrobique πεντήκοντα τάλαντα commemorat. Videndi sunt eruditissimi viri ad Diogen. Laërt. IV. 8. HEMST. Conf. Davis. ad Ciceron. Tusc. V. 32.
[p] ἐτεθρύλητο] ἐτεθρύλητε A.

[q]Οὗτος συνεγράψατο τὸ οἰκοσκοπικὸν οἰώνισμα· [r]ὅτι οἶον, εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ, ἢ ὄφις, τόδε σημαίνει.

Ξενολόγιον: Καὶ Ξενολόγος: [s]Ὁ ξένους συλλέγων στρατιώτας.

Ξένος: Ὁ φίλος.

[t]Ἐφοίτων δὲ πρεσβεῖαι ἐκ τῶν πόλεων, ξένον τε αὐτὸν ἡγούμενοι, καὶ βίου σύμβουλον, βωμῶν τε ἱδρύσεως καὶ ἀγαλμάτων. Ὁ δὲ ἕκαστα τούτων διωρθοῦτο.

Καὶ αὖθις·

Ἐν ταῖς ἰδίαις πατρίσι ξένους ποιοῦνται.

Ξένος: Καὶ ὁ ξενοδόχος. Ὁ [u]Ἀπόστολος·

Ἀσπάζεται ὑμᾶς ξένος ὁ φίλος μου.

Ξενοφάνης ἐν [x]ἐλεγείᾳ περὶ τοῦ ἄλλοτε ἄλλον αὐτὸν γεγενῆσθαι·

[y]Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
 φασὶ γ' ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπεὶ ἦ φίλου ἀνέρος ἐστὶ
 ψυχὴ, τὴν ἔγνων [a]φθεγξαμένης ἀΐων.

Ἔσκωψε δ' αὐτὸν καὶ Κρατῖνος ἐν [b]Πυθαγοριζούσῃ. Καὶ ἐν Ταραντίνοις·

Ἔθος ἐστὶν αὐτοῖς, [c]ἐὰν ἰδιώτην ποθὲν
λάβωσιν εἰσελθόντα, διαπειρώμενοι
τῆς τῶν λόγων ῥώμης, ταράττειν καὶ κυκᾶν
τοῖς ἀντιθέτοις, τοῖς πέρασι, τοῖς παρισώμασι,
τοῖς [d]ἀποπλάνοις, τοῖς μεγέθεσι, νουβυστικῶς.

Ξενοφῶν, [e]Γρύλλου, Ἀθηναῖος, φιλόσοφος Σωκρατικός· ὃς [f]πρῶτος ἔγραψε Βίους φιλοσόφων, καὶ Ἀπομνημονεύματα. Παῖδας ἔσχεν ἀπὸ Φιλησίας, Γρύλλον καὶ Διόδωρον· οἳ καὶ Διόσκουροι ἐκαλοῦντο· αὐτὸς δὲ Ἀττικὴ μέλιττα ἐπωνομάζετο. Γέγονε δὲ συμφοιτητὴς Πλάτωνος, καὶ [g]ἤκμαζε κατὰ τὴν ἐνενηκοστὴν πέμπτην ὀλυμπιάδα. Ἔγραψε βιβλία πλείονα τῶν μ', ὧν καὶ ταῦτα· [h]Κύρου παιδείας βιβλία η'. [i]Κύρου Ἀναβάσεως βιβλία ζ'. Ἑλληνικῶν βιβλία ζ'. Συμπόσιον· καὶ ἄλλα πολλά.

Ξενοφῶν, Σωκράτους μαθητὴς, ἐστρατεύσατο ἐπὶ Πέρσας Κύρῳ συναπελθὼν ἐπὶ τὸν ἀδελφὸν Ἀρταξέρξην. Ὁ Κῦρος δὲ ἦν μετὰ [k]Τισσαφέρνην ὕπαρχος ὑπὸ Δαρείου τοῦ πατρὸς τῶν ἐν τῇ Ἀσίᾳ καταστάς. Μετὰ δὲ τὸν Δαρείου θάνατον, Κῦρον Ἀρταξέρξης διαβληθέντα ὑπὸ Τισσαφέρνους ἀναιρεῖν μέλλων, ἀφῆκε, Παρυσάτιδος τῆς μητρὸς παραιτησαμένης αὐτὸν, καὶ τὴν στρατιὰν [l]αὐτῷ φυλαξάσης. Ὁ δὲ, ὡς Τισσαφέρνει πολεμῶν, ἤθροισε δύναμιν, καὶ ἐπὶ τὸν ἀδελφὸν ἔγνω στρατεύειν. Τετρακόσιοι δὲ κατέλιπον τὸν Κῦρον, καὶ ἔφυγον ἐκ τῶν συστρατευσάντων ὁπλῖται καὶ πελτασταὶ γφ'. Ξενοφῶν δὲ συνεπέβη. Δέκα οὖν βαρβάρων μυριάδας συναθροίσας, ὡς ἐπὶ Πισίδας δῆθεν ἐπορεύετο. Ὡς δὲ τὰ ἔθνη διῆλθεν, ἐφ' ἃ στρατεύειν [m]προεφασίζετο, συνέντες οἱ Ἕλληνες ἐπὶ βασιλέα εἶναι τὴν στρατείαν, ὤκνουν τὴν ἀνάβασιν. Κλεάρχου δὲ εἰπόντος τὴν [n]ὑποστροφὴν ἄπορον εἶναι, Κύρου μὴ [o]συναιρομένου, συνῄεσαν. Κῦρος δὲ γυμνῇ τῇ κεφαλῇ πρὸς [p]Τισσαφέρνην μαχόμενος, [q]Κλεάρχου δὲ ἀπαγορεύοντος αὐτῷ μὴ πολεμεῖν, ἀπέθανεν. Οἱ δὲ Ἕλληνες ὑπὸ Κλεάρχῳ τεταγμένοι, Ἀριαῖον προεβάλλοντο βασιλέα [r]αὐτῶν· ὁ δὲ παρῃτήσατο. Βασιλεὺς δὲ [s]τὴν τοῦ Κύρου κεφαλὴν καὶ [t]τὴν χεῖρα ἀποκόψας, τοῖς Ἕλλησιν ἔπεμπε, ζητῶν τὰ ὅπλα ὡς παρὰ νενικημένων· οἱ δὲ οὐκ ἔδοσαν. [u]Δόλῳ δὲ Τισσαφέρνης παραβὰς τοὺς ὅρκους, προδίδωσι βασιλεῖ τοὺς Ἕλληνας, καὶ Κλέαρχον, καὶ Μένωνα, [καὶ τοὺς λοιποὺς στρατηγοὺς τῶν Ἑλλήνων,] οὓς ἀναιρεῖ. Καὶ Ξενοφῶν αὐτῶν στρατηγεῖ, [x]καὶ πάντας νικᾷ. Ἑλ-

[q] Οὗτος συνεγράψατο τὸ οἰκοσκ.] Vide infra v. Οἰωνιστική, ubi eadem leguntur. KUST. Est Xenocrates Aphrodisiensis, de quo Galenus VI. de simpl. med. fac. REINES.

[r] οἶον, ὅτι] ὅτι οἶον A.V. Tum τι om. A.V. post τόδε.

[s] Ὁ ξένους] ὁ om. A.V. Photius. Conf. Wesseling. Diod. Sic. XIV. 47.

[t] Ἐφοίτων δὲ πρεσβ.] Hoc fragmentum, ni fallor, sumptum est ex Philostrato de Vita Apollonii. KUST.

[u] Ἀπόστολος] Ad Rom. XVI. 23. HEMST. Scribi debuerat ἀ. ὑ. Γάϊος ὁ ξένος μου, ut legitur Rom. XVI. 23. VALCK. Suidæ lectionem pro variante non habuerim sine aliorum codicum suffragio. Forte scripserat lexicographus, Ἀσπ. ὑ. ὁ. ξ. μ. omisso Gaii nomine. Quando alius postea φίλος addiderit pro interpretamento, quod in textum deinde, ut sæpius, irrepsit. Paullo ante enim Ξένος expositum erat, ὁ φίλος. Conf. Hesych. in Ξεῖνος et Ξενία. ALBERT.

ΞΕΝΟΦΑΝΗΣ ἐν ἐλεγείᾳ περὶ τοῦ ἄλλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Laertii in Pythagora, Segm. 36. 37. KUST.

[x] ἐλεγείᾳ] ἐλεγείῳ E.M.

[y] Καί ποτέ μιν στυφελιζομένου σκύλακος παρ.] Sic versus hic recte legitur, non solum in ms. Paris. A. sed etiam apud Laërtium loco laudato. At priores editt. Suidæ corrupte habent, Καί ποτέ μοι στυφελιζομένῳ σκύλακος παριόντος. Confer etiam Anthol. [Pal. VII. 120.] in fine, ubi idem versus sic legitur: Δή ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα, &c. KUST.

[z] μιν] μοι E. Tum παρέντα V. παριόντος B.

[a] φθεγξαμένης] φθεγξαμένην B.E.

[b] Πυθαγοριζούσῃ] Πυθαγορίζουσι V.

[c] ἐὰν] ἄν τιν' ib. TOUP.

[d] ἀποπλάνοις] ἀπὸ πλάνης edd. ante Kuster.

ΞΕΝΟΦΩΝ] De hoc plura vide apud Laërtium. KUST.

[e] Γρύλλου] Γρύλου A. et mox Γρύλον.

[f] πρῶτος ἔγραψε βίους φιλοσόφων] De hoc loco Suidæ vide omnino Jonsium lib. I. de Scrip. Hist. Phil. c. 7. qui Nostrum hic errasse contendit. KUST. Vid. Menag. Laërt. II. 48.

[g] ἤκμαζε] ἤκμασε V. Mox πέμπτην pro ὀγδόην A.B.V.E. Conf. Menag. Laërt. II. 55.

[h] Κύρου παιδείας] De hoc opere vide Menagium ad Laërt. lib. III. 34. KUST.

[i] Κύρου Ἀναβάσεως] Hoc opus an vere Xenophontis sit, quidam olim dubitarunt. Vide quæ de hoc argumento disputamus supra ad v. Θεμιστογένης Συρακούσιος. KUST.

[k] Τισσαφέρνην] Τισσαφέρνη V.E.M.

[l] αὐτῷ] αὐτοῦ V.

[m] ἐπροφασίζετο] προεφασίζετο A. Qui infra στρατιάν.

[n] ὑποστροφὴν] ἐπιστροφὴν V.

[o] συναιρομένου] συναιρομένου A.E. Tum συνήεσαν corr. Hemsterhusius infra ad v. Ὤκνουν.

[p] Τισσαφέρνην] Τισσαφέρνη V.E.

[q] Κλεάρχου δὲ] καίτοι Κλεάρχου A.V. Mox αὐτοῦ V.

[r] αὐτῶν] ἑαυτῶν A.E.

[s] τὴν τοῦ Κύρου—ἀποκόψας] Plutarch. in Artax. p. 1017. ex more quodam Persarum ita fieri scribit. REINES.

[t] χεῖρα] τὴν χεῖρα A.B.V.

[u] Δόλῳ δὲ] δὲ om. A. Mox τοὺς Ἕλληνας καὶ om. E. καὶ τοὺς—Ἑλλήνων om. A.B.V.

[x] καὶ πάντας] καὶ om. A.

θέντες δὲ καὶ εἰς Θρᾴκην, ἐμίσθωσαν ἑαυτοὺς [y]Σεύθῃ A τῷ βασιλεῖ μύριοι διασωθέντες.

Ξενοφῶν Ἀντιοχεύς, ἱστορικός. [z]Βαβυλωνιακά· ἔστι δὲ ἐρωτικά.

Ξενοφῶν Ἐφέσιος, ἱστορικός. Ἐφεσιακά· ἔστι δὲ ἐρωτικὰ [a]βιβλία ι'., περὶ Ἀβροκόμου καὶ Ἀνθίας· καὶ περὶ τῆς πόλεως Ἐφεσίων· καὶ ἄλλα.

Ξενοφῶν Κύπριος, ἱστορικός. Κυπριακά. Ἔστι δὲ καὶ αὐτὰ ἐρωτικῶν ὑποθέσεων ἱστορία, [b]περί τε B Κινύραν καὶ Μύρραν, καὶ Ἄδωνιν.

Ξενῶνος: [c]Δόμου τοῦ ὑποδεχομένου τοὺς ξένους καὶ ἀρρωστοῦντας.

[Ξέα: Αἰτιατικῇ.]

Ξέρξης, Περσῶν βασιλεύς. Οὗτος, τοῦ πατρὸς Δαρείου τελευτῶντος καὶ "Μέμνησο Μαραθῶνος" εἰπόντος, ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσε, καὶ πρῶτον C κήρυκας ἔπεμψεν αἰτοῦντας γῆν καὶ ὕδωρ. Ἀθηναῖοι μὲν οὖν τοὺς πρέσβεις ἐξεκήρυξαν [d]ἐκ τῆς πόλεως, καὶ τὸν ὑπακούειν συμβουλεύσαντα κατέλευσαν, καὶ γυναῖκα, καὶ παῖδας· Λακεδαιμόνιοι δὲ ἐς φρέαρ ἐμβαλόντες, γῆν [e]ἐπέβαλον. Μηνίσαντος δὲ τοῦ θεοῦ, ἐνόσησαν. Χρήσαντος δὲ τοῦ [f]θεοῦ, δίκας δοῦναι Ξέρξῃ ὑπὲρ τῶν κηρύκων, Βοῦλις καὶ Σπέρχις αὐθαίρετοι ἐς Πέρσας ἀνῆλθον, δώσοντες δίκας. Ὁ δὲ D θαυμάσας ἀφῆκε ζῶντας, καὶ ἡ νόσος ἐπαύσατο. Ὁ δὲ πεζοῦ μὲν μυριάδας τῶν [g]Αἰγυπτίων καὶ Φοινίκων καὶ Κυπρίων πλείστας ἔχων, ἐστρατοπέδευεν. Ἐν Σάρδεσι δὲ [h]γενομένῳ ὁ ἥλιος ἐξέλιπεν. Εἶχε δὲ ἐπιλέκτους μυρίους, οὓς Ἀθανάτους ἐκάλει. [i]Διώρυξε δὲ καὶ τὸν Ἄθω, Μακεδονικὸν ὄρος. Ἔζευξε καὶ τὸν Ἑλλήσποντον μεταξὺ Σηστοῦ καὶ Ἀβύδου· διαλυθέντος δὲ ὑπὸ χειμῶνος μέρους, [k]πέδας τε εἰς τὴν θάλασσαν καθῆκε, καὶ [l]ἐμαστίγου τὸ ὕδωρ. E Προσενεχθεισῶν δὲ αὐτῷ καὶ σιταγωγῶν νηῶν Ἑλληνίδων, ἀφῆκε, τροφὴν εἶναι δούλων εἰπών. [m]Κατασκόπους δὲ λαβών, δείξας τὴν δύναμιν ἅπασαν, ἀφῆκε.

Ξεστίον: Μέτρον ἐπὶ ὑγρῶν.

Ξεστόν: Ὡμαλισμένον.

Ξεινήϊον: [[n]Φιλικόν.] Καί, Ξεινήϊος Ζεύς.

Ξεινοδόκος:

Ξεῖνοι: Οἱ ἀπὸ ξένης φίλοι.

Ξηνός: Ὁ κορμός.

Ξηραλοιφεῖν: Αἰσχίνης κατὰ Τιμάρχου. Ξηραλοιφεῖν ἔλεγον τὸ χωρὶς λουτρῶν ἀλείφεσθαι. [o]Μήποτε δὲ καὶ τὸ ὑπὸ τῶν ἀλειπτῶν λεγόμενον [p]ξηροτρίβεσθαι οὕτως ἐλέγετο.

Ξηραλοιφία καὶ ξηραλοιφεῖν: Τὸ ἄνευ τοῦ λούεσθαι ἀλείφεσθαι.

Ξηραίνω: Τὸ ψύχω.

Ξηρίον: [q]Εἶδος [r]ἰατρικόν.

Ξηρόλοφος: [s]Ὅτι τὸν Ξηρόλοφον [t]πρώην [u]Θέμα τινὲς ἐκάλουν. Ἐν αὐτῷ γὰρ κοχλίαι ιϛ'., καὶ Ἀρτέμιδος σύνθετος στήλη, καὶ Σεβήρου τοῦ κτίσαντος, καὶ θεμάτιον τρίπουν· ἔνθα ἐθυσίασε πολλὰς θυσίας Σεβῆρος· ἔνθα καὶ χρησμοὶ πολλοὶ τῷ τόπῳ γεγόνασι. Καθ' ὃν καιρὸν καὶ [x]κόρη παρθένος ἐτύθη. Καὶ θέσις ἦν ἀστρονομικὴ, λϛ'. χρόνους διαρκέσασα.

Ξηρός: Ὁ ἰσχνός.

Ξηρὸς ἱδρώς: Ὁ μὴ ὑπὸ λουτρῶν, ἀλλ' ὑπὸ γυμνασίων καὶ πόνων γινόμενος.

Ξηρὸς λίθος: Ὁ ἄνευ πηλοῦ κτιζόμενος.

Ἦν γὰρ λίθῳ ξηρῷ διεσκευασμένον τὸ φρούριον, [[y]καὶ] ἐκ μεγάλων λίθων συνηρμοσμένον.

Ξίρις: Εἶδος φυτοῦ ἀρωματικοῦ.

Ξιφῶν: Ὁ φέρων ξίφος.

Ξιφήρης: Ξίφος ἔχων. Καὶ τὸ [z]πληθυντικὸν, ξιφήρεις.

Ξιφηφορία: [a]Τὸ φέρειν τὰ ξίφη. Καὶ ξιφηφόρος.

Ξιφίζειν: Τὸ χειροτονεῖν, παραπλήσιον [b]ξίφει τὸ τῆς χειρὸς σχῆμα ποιοῦντα.

Ξιφισμός: Σχῆμα ἐκ τῆς ἐμμελείας καλουμένης.

[y] Σεύθῃ] Meminit hujus rei e Xenophonte Anonym. in Periplo P. Euxini. Vid. Chionem in Ep. ad Matridem 3. et Xenoph. Anab. VII. 7. sqq. REINES.

[z] Βαβυλωνικὰ] Sic et Jamblichus: Phot. c. 94. REINES. Βαβυλωνιακὰ A.V.

[a] βιβλία ι'] Forte βιβλία ε': ut jam patet ex Ant. Cocchii ed. qui 5 libros ex ms. Florent. protulit 1726. in 4°. ALBERT. Similiter Suidam emendat Locella præf. p. vi.

[b] περί τε Κινύραν καὶ Μύρραν, καὶ Ἄδωνιν] Scribe, περί τε Κινύρας καὶ Μύρρας, καὶ Ἀδώνιδος. KUST.

[c] Δόμου] δόμου τοῦ A.B.E.

ΞΕΩ] om. A.V.

[d] ἐκ τῆς] ἐκ om. V. Qui mox ἐκέλευσαν pro κατέλευσαν.

[e] ἐπέβαλλον] ἐπέβαλον A.B.V.

[f] Πυθίου] θεοῦ A.B.V.E. Tum δίκας δοῦναι A.V. non δοῦναι δίκας.

[g] Αἰγυπτίων] Αἰγύπτου τε A. Αἰγύπτου B. Mox πλείστας ἔχων om. A.B.V.

[h] γενομένου] γενομένῳ A.B.V.E. edd. ante Kuster.

[i] Διώρυξε] διώρυξε δὲ A.

[k] πέδας τε] τε om. V.E.

[l] ἐμαστίγου] Vid. Max. Tyr. s. 19. REINES.

[m] κατασκόπους δὲ] δὲ om. A. Mox ἅπασαν A.B. pro πᾶσαν.

[n] Φιλικὸν om. A.B.

ΞΗΡΑΛΟΙΦΕΙΝ: Αἰσχίνης κατ.] Ex Harpocrat. KUST. Vid. Wyttenbach. Plutarch. p. 152 D.

[o] Μήποτε] Seqq. om. A. Sed habent ceteri cum Photio.

[p] ΞΗΡΟΤΡΙΒΕΣΘΑΙ] Hesychius rectius, ξηροτριβεῖσθαι. Eum vide in Ξηράλειφω. KUST.

F ΞΗΡΑΛΟΙΦΙΑ] Deest hæc gl. A. Habet eam Photius.

ΞΗΡΙΟΝ] Scribitur etiam ξήριον, cum acuto in antepenultima. Vide Stephanum in Thesauro. KUST.

[q] Εἶδος ἰατρ.] Pulvis inspersibilis, empasma, catapasma. REINES.

[r] ἰατρικὸν] ἰατρι' A.

[s] ὍΤΙ τὸν Ξηρόλοφον πρώην μὲν Θέμα τ.] Hæc omnia αὐτολεξεὶ etiam leguntur apud Codinum de Orig. CPol. p. 17. ut Pearsonius quoque monuit. KUST.

[t] πρώην μὲν] μὲν om. A.V. Mox Σευήρου, Σευῆρος A.

G [u] Θέμα] Codinus habet Θέαμα. KUST. et sic in Suida reponendum censet Lambecius ad Codinum: et infra θεαμάτιον.

[x] κόρη παρθένος] Malela Chron. p. 379. TOUP. qui mox f. εἰς λϛ' χ. δ.

ΞΗΡΟΣ ἹΔΡΩΣ] Plato Phædr. p. 239 C. πόνων μὲν ἀνδρείων καὶ ἱδρώτων ξηρῶν ἄπειρον.

[y] καὶ ἐκ] καὶ om. A.E.C. edd. ante Kuster.

ΞΙΡΙΣ] Alii ξηρὶς scribunt: nonnulli, ξυρὶς: alii, ξειρίς. H Vide Bodæum ad Theophr. Hist. Plant. lib. VI. p. 712. 713. KUST.

[z] πληθυντικὸν] πλῆθος V. mox ξιφήρεις A.

[a] Τὸ φέρειν] τὸ om. A.E.

[b] ξίφει] ξίφους A.V. Sed ξίφει Photius.

ΞΙΦΙΣΜΟΣ: Σχῆμα ἐκ τῆς ἐμμ.] Rectius et clarius Hesychius: Ξιφισμός: Σχῆμα ὀρχηστικὸν τῆς λεγομένης ἐμμε-

ΞΙΦΟΚΤΟΝΕΙΝ: Ξίφεσιν ἀναιρεῖν.

ΞΙΦΟΣ καὶ [c] ΞΙΦΙΔΙΟΝ:

ΞΙΦΟΥΛΚΙΑ:

Οὐκ εἶναί φασι ξιφουλκίας εὐμοιρίαν.

ΞΟΑΝΟΝ: Ἄγαλμα, εἴδωλον, ζώδιον, ἀνδριάς.

ΞΟΥΘΗ: Εὐμορφοτάτη.

[d] Οὐδέ με κεκλιμένον [e] σκιερὴν ὑπὸ φυλλάδα τέρψεις,
ξουθὴ ἐκ στερύγων ἡδὺ κρέκουσα μέλος.

ΞΟΥΘΗΣ: [f] Ἀριστοφάνης·

Δι' ἐμῆς γένυος ξουθῆς μελέων
Πανὶ νόμους ἱεροὺς ἀναφαίνω.

ΞΟΥΘΟΝ: Λεπτὸν, [g] καπυρὸν, [h] ἀργυροῦν, ξανθὸν, καλὸν, πυκνὸν, ὀξὺ, ταχύ· οἱ δὲ, ποικίλον, εὐειδὲς, διαυγές.

[i] Ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν
τοὺς λόφους σείων.

ΞΟΥΘΟΣ: Ὄνομα κύριον. [[k] Ζήτει ἐν τῷ ΒΟΗΔΡΟΜΙΑ.]

ΞΥΓΓΕΝΕΙΣ ΤΟΥΜΟΥ ΤΡΟΠΟΥ: Ἀντὶ τοῦ, τὰ [l] αὐτά μοι πράττουσαι.

ΞΥΓΓΕΝΟΥ: Σύνελθε.

[m] Ὦ δέσποινα Νίκη, ξυγγενοῦ.

ΞΥΓΓΕΩΡΓΟΣ: Προπαροξυτόνως. [n] Σύνθετον γὰρ, ὡς πάγκαλος, πάνσοφος. Τὰ γὰρ εἰς ος ὀξύτονα συντιθέμενα βαρύνεται. Ἀριστοφάνης Πλούτῳ·

Τοὺς ξυγγεώργους κάλεσον.

ΞΥΓΓΝΩΜΗ [o] ΠΡΩΤΟΠΕΙΡΩ: Ἐπὶ τῶν ἐν πρώτοις τινὸς διαμαρτανόντων.

ΞΥΓΓΡΑΦΕΙΣ: [p] Οἱ περὶ Πείσανδρον ἐλθόντες εἰς Ἀθήνας, πρῶτον μὲν τὸν δῆμον ξυλλέξαντες, εἶπον γνώμην, δέκα ἄνδρας ἑλέσθαι ξυγγραφέας αὐτοκράτορας, τούτους ξυγγράψαντας γνώμην εἰσενεγκεῖν εἰς τὸν δῆμον εἰς ἡμέραν ῥητὴν, καθότι ἄριστα ἡ πόλις οἰκήσεται. Ἐπεὶ δὲ ἡ ἡμέρα ἐφῆκε, ξυνέλεξαν τὴν ἐκκλησίαν ἐς τὸν Κολωνὸν, ὃ ἦν ἱερὸν Ποσειδῶνος, καὶ ἐσήνεγκαν οἱ ξυγγραφεῖς ἄλλο μὲν οὐδὲν, αὐτὸ δὲ τοῦτο, ἐξεῖναι μὲν [q] Ἀθηναίων [r] ἀνατρέπειν γνώμην, ἣν ἄν τις βούληται· ἢν δέ τις [s] τὸν εἰπόντα ἢ γράψηται παρανόμων, ἢ ἄλλῳ τῳ τρόπῳ βλάψῃ, μεγάλας ζημίας ἐπέθεσαν. Ἐνταῦθα δὲ λαμπρῶς ἐλέγετο ἤδη, μήτε ἀρχὴν [t] ἄρχειν μηδεμίαν ἐκ τοῦ αὐτοῦ κόσμου, μήτε μισθοφορεῖν, προέδρους τε ἑλέσθαι πέντε ἄνδρας, τούτους ἑλέσθαι ἑκατὸν ἄνδρας, καὶ τῶν ἑκατὸν ἕκαστον πρὸς ἑαυτῷ τρεῖς· ἐλθόντας δὲ αὐτοὺς τετρακοσίους ὄντας εἰς τὸ βουλευτήριον, ἄρχειν, ὅπῃ ἂν ἄριστα γινώσκωσιν, αὐτοκράτορας· καὶ τοὺς πεντακισχιλίους δὲ ξυλλέγειν, ὁπότ' ἂν αὐτοῖς δοκῇ. Ἦν δὲ ὁ ταύτην τὴν γνώμην [u] εἰπὼν Πείσανδρος, καὶ τἄλλα ἐκ τοῦ προφανοῦς [x] προθυμότατα ξυγκαταλύσας τὸν δῆμον.

ΞΥΓΓΡΑΦΑΙ καὶ ΓΡΑΦΑΙ: Τὸ μὲν ΓΡΑΦΑΙ, ἐφ' ἑνὸς πράγματος· τὸ δὲ ΞΥΓΓΡΑΦΑΙ, ἐπὶ πολλῶν. Ἢ ΞΥΓΓΡΑΦΑΙ, τὸ μετ' ἐπιμελείας καὶ σπουδαίως συντάξαι· ΓΡΑΦΑΙ δὲ, τὸ ἁπλῶς καὶ μὴ ἐπιμελῶς τὴν ἀλήθειαν εὑρεῖν.

ΞΥΕΙ: Γράφει. Ὡς παρ' Ὁμήρῳ. Ἔνθεν καὶ τὰ [y] ΞΥΣΜΑΤΑ, γράμματα.

ΞΥΗΛΗΝ: Ἣν ξυάλην λέγομεν. [z] Ξενοφῶν [a] Κύρου Ἀναβάσει·

Εἶχον δὲ θώρακας [b] λινοῦς μέχρι τοῦ ἤτρου, ἀντὶ δὲ τῶν πτερύγων [c] σπάρτα πυκνὰ ἐστραμμένα. Εἶχον δὲ καὶ κράνη, καὶ [d] παρὰ τὴν ζώνην μαχαίριον, ὅσον [e] ξυήλη Λακωνική.

Ἣν Ἀττικοὶ ΚΝΗΣΤΙΝ, Λάκωνες δὲ ΞΥΗΛΗΝ [f] λέγουσι μόνον.

Ἐπὶ δ' αἴγειον κνῆ τυρὸν
[g] Κνήστει χαλκείῃ.

λείας ὀρχήσεως. De saltatione autem Ἐμμέλεια dicta multa passim legas, quæ hic repetere minime necessarium ducimus. KUST.

ΞΙΦΟΚΤΟΝΕΙ—ἀναιρεῖ] Ξιφοκτονεῖν—ἀναιρεῖν A.V. Mox V. Λύσις ὀνείρου. Ξίφος κατασχὼν ὅπλον εὑρεῖν προσδόκα.

[c] ΞΙΦΕΙΔΙΟΝ] Ξιφίδιον A.E.

[d] Οὐδέ με κεκλιμ.] Anthol. Pal. VII. 192.

[e] σκιερὴν] σκιερὰ V.

[f] Ἀριστοφάνης] Av. 743.

[g] καπυρὸν, ἀργυροῦν] ἁπαλὸν, ἐλαφρὸν, χλωρὸν, ὑγρὸν Photius.

[h] ἀργυροῦν] Leg. λιγυρὸν, argutum. TOUP.

[i] Ὥσπερ ξουθὸς ἱππαλ.] Aristoph. Pac. 1177. Κᾆτα φεύγει πρῶτος, ὥσπερ ξουθὸς ἱππαλεκτρυὼν Τοὺς λόφους σείων. KUST.

[k] Ζήτει etc. om. A.V.

ΞΥΓΓΕΝΕΙΣ ΤΟΥΜΟΥ] Aristoph. Thesmoph. 581. Φίλαι γυναῖκες, ξυγγενεῖς τοὐμοῦ τρόπου. Ad hunc locum respexit Suidas. TOUP.

[l] ταυτὰ] τὰ αὐτὰ A. Mox μοι om. A.B.

[m] Ὦ δέσποινα] Hæc sunt verba Aristoph. Lysist. 317. ubi vide Scholiastam. TOUP.

ΞΥΓΓΕΩΡΓΟΣ: Προπαροξ.] Ex Schol. Aristoph. Plut. 223. KUST.

[n] Σύνθετον] σύνθετα A.

[o] ΠΡΩΤΟΝ ΠΕΙΡΩ] Sic D. et nescio an alii mss. πρωτοπείρῳ edd. ante Kuster. cum Diogeniano VI. 93. Apostol. XIII. 96.

[p] Οἱ περὶ Πείσανδρον ἐλθόντες εἰς Ἀθ.] Ex Thucyd. VIII. c. 67. ut Portus etiam monuit. Confer etiam Nostrum infra v. Συγγραφεῖς. KUST.

[q] Ἀθηναίους] Ἀθηναίων A.B.V.E.

[r] ἀνατρέπειν] Lege ἀνειπεῖν, ut habet Thucydides. KUST.

[s] τὸν εἰπόντα] τὸν om. A.B.E. Mox πέντε om. V.

[t] ἄρχειν om. A. Mox γινώσκουσιν V.

[u] εἰπὼν—καὶ τἄλλα—προθυμότατα om. V.

[x] προθυμότατα] Sic recte habet ms. A. itemque Thucydides. At priores editt. [et B.E.] male, προθυμήματα. KUST.

ΞΥΓΓΡΑΨΑΙ] Ex Schol. Thucyd. I. 1.

ΞΥΕΙ: Γράφει. Ὡς παρ' Ὁμ.] Eadem legas apud Hesychium. KUST. Ξύει et ξύσματα nusquam apud Homerum comparent. Hoc vult grammaticus, γράφειν apud Homerum (conf. Il. ζ. 169. ρ. 599.) ξύειν significare. Schol. Theocrit. VI. 18. Γράψαι τὸ ξέσαι οἱ παλαιοὶ ἔλεγον. Ἀπὸ γοῦν τοῦ γράφειν, τοῦ δηλοῦντος τὸ ξέειν, γίνεται γραμμὴ ἡ λάξευσις.

[y] ΞΥΣΜΑΤΑ τὰ] τὰ ξύσματα A.B.V.E. Photius. Vulg. habet Hesychius. Male sine dubio. Nam τὰ ξύσματα expositio est τοῦ γράμματα.

[z] Ξενοφῶν ἐν τῇ Κύρου Ἀναβ.] Lib. IV. p. 338. ut Portus monuit. KUST. IV. 7, 15.

[a] ἐν τῇ Κύρου] ἐν τῇ om. A.V. Photius.

[b] λινοῦς] λίνους A. Phot. ms. λινοῦ M.

[c] σπάρτα] ὡς παρὰ τὰ A.B. ὡς παρὰ V. ὡς περὶ τὰ E.M. Tum καὶ ἐστραμμένα V.

[d] παρὰ] περὶ B.E.M.

[e] ξυήλην Λακωνικὴν] ξυήλη Λακωνικὴ A.B. Phot.

[f] λέγουσι μόνον] Lege et distingue, λέγουσιν. Ὅμηρος. Quæ enim sequuntur, sunt verba Homeri Il. λ'. 638. 639. Certe illud μόνον, si non est corruptum ex voce Ὅμηρος, est saltem supervacaneum, et proinde litura sanandum. KUST. Leg. καὶ μόνον. Vid. v. Ἴσαν. TOUP.

[g] κνήστει] κνήστι Photius.

Οἱ μὲν οὖν Ἀττικοὶ τὸ ῥῆμα οὕτως λέγουσι, [b]ΚΆΠΙΚΝΕΙ͂Ν ΚΆΠΕΣΘΊΕΙΝ. Οἱ δὲ Λάκωνες τοὔνομα ΞΥΉΛΗΝ. Ὡς καὶ [i]Ξενοφῶν φησιν ἐν τῷ τετάρτῳ τῆς Ἀναβάσεως, ὅτι Δρακόντιος ἔφυγεν ἐκ Σπάρτης, παῖς ἔτι ὤν, ἀποκτείνας ξυήλῃ Λακωνικῇ παῖδα. Διὰ τοῦτο δὲ καὶ τὸ [k]κνεῖν οἱ Δωριεῖς ΞΎΕΙΝ λέγουσιν· ὡς καὶ [l]Σώφρων· A

Ἄν τις τὸν ξύοντα ἀντιξύῃ.

Καὶ πάλιν· B

Ξύεται ὁ χοραγός.

ΞΥΛΛΑΒΕΙ͂Ν: Διττή ἐστιν ἡ χρῆσις τοῦ συλλαβεῖν παρὰ τοῖς ἀρχαίοις· πρὸς γὰρ διάφορον κλίσιν διάφορος καὶ ἡ διάνοια. Ἐὰν μὲν γὰρ πρὸς αἰτιατικὴν ἡ σύνταξις ᾖ, ἔχθραν καὶ δυσμένειαν παρίστησι τοῦ συλλαμβάνοντος, κακουργίαν δὲ τοῦ [m]συλλαμβανομένου, ὡς [n]νῦν,

Ξυλλαβεῖν τὸν ἄνδρα. C

Καὶ Δημοσθένης ἐν τῷ κατὰ Μειδίου·

Οὐχὶ συλληψόμεθα αὐτόν;

ἐὰν δὲ πρὸς δοτικήν, σημαίνει φιλίαν καὶ συμμαχίαν, ὡς [o]Ἰσοκράτης ἐν ταῖς Παραινέσεσιν·

Ὁρῶ δὲ καὶ τὴν τύχην ἡμῖν συλλαμβάνουσαν.

Ἴσον τῷ, συναγωνιζομένην. Ἐπάγει γοῦν,

Καὶ τὸν παρόντα καιρὸν συναγωνιζόμενον.

Καὶ Δημοσθένης πρώτῳ Φιλιππικῶν. D

ΞΎΛΑ [p]ΚΛΊΝΕΙΑ: Τὰ τῶν κλινῶν.

ΞΥΛΕΊΑ: Ἡ τῶν ξύλων τῶν ναυπηγησίμων συλλογή.

ΞΎΛΙΝΟΣ:

ΞΎΛΟΝ ἈΓΚΎΛΟΝ ΟΥ̓ΔΈΠΟΤ' ὈΡΘΌΝ: Ὅτι δυσχερὲς ἐκ φαύλων ἀγαθοὺς ἀπεργάσασθαι.

ΞΎΛΟΧΟΣ: Σύνδενδρος καὶ ξυλώδης πάγος, δρυμός, E ὕλη, χέρσος, [q]ἀγρός, τόπος· [r]οἱ δέ, κοίτην θηρίου.

[s]Οὐδ' ἵκετ' ἐκ μάνδρης αὖθις ἐπὶ ξύλοχον.

ΞΎΛΩΝ ἘΡΕΨΊΜΩΝ: Στεγάσματά ἐστι τὰ ἐρέψιμα, εἰς τὰς οἰκίας κατατεταγμένα.

ΞΥΜΒΆΛΛΕΙΝ: Νοεῖν.

Ὁ δὲ οὐ χαλεπῶς εἶχε ξυμβάλλειν, τὸν στρατηγὸν ἐμβεβλημένον αὐτοῖς τὸν φόβον.

ΞΥΜΒΑΊΝΟΝΤΑ: Συμφωνοῦντα.

Πρὶν τὰ ἔργα τοῖς λόγοις ξυμβαίνοντα ὀφθῆναι.

ΞΥΜΒΑΙΝΟΎΣΗΣ: Συμφωνουμένης, ἀρεσκούσης.

Ὅτι ἀνεχχῶν ἔσται τοῖς ἀμφ' αὐτὸν ἀναδεῖσθαι τὰ ἐπιτήδεια τῆς ξυμβαινούσης τιμῆς.

Καὶ αὖθις·

Ἐθέλειν σπείσασθαι, εἰ μάθοι ἐφ' οἷς τισι ξυμβαίνουσι.

ΞΎΜΒΛΗΤΟ: Συνήντησε.

ΞΎΜΒΟΛΟΝ ὌΡΝΙΝ φασίν· ἐπειδὴ [t]συμβόλους ἐποίουν τοὺς πρῶτα συναντῶντας, καὶ [u]ἐξ ἀπαντήσεώς τι προσημαίνοντας.

ΞΥΜΒΌΛΟΥΣ: Οὕτω τοὺς διὰ τῶν πταρμῶν οἰωνισμοὺς ἔλεγον. Ἀνετίθεντο δ' οὗτοι Δήμητρι.

ΞΥΜΜΊΞΑΣΑ: Ξυντυχοῦσα.

[x]Οὐδεμιᾷ γὰρ δεινοτέρᾳ σου ξυμμίξασ' οἶδα γυναικί.

[y]Ἀντὶ τοῦ, ἱκανωτάτῃ, φρονιμωτάτῃ.

ΞΥΜΠΆΘΕΙΑ: Συμπάθεια. [z]Ὅλως δὲ ὁ διὰ τοῦ ξ σχηματισμὸς κοινός ἐστι τῶν τε Ἰώνων καὶ τῶν Ἀττικῶν.

ΞΥΜΠΟΝΉΣΑΝΤΑ: Ἀντὶ τοῦ, ὑπομείναντα.

ΞΥΜΦΈΡΩ: [a]Ξυμβαστάσω.

[aa]Φέρε νῦν ἐγώ σοι ξυμφέρω.

ΞΥΜΦΟΡΆΝ [b]φησι [c]Θουκυδίδης τὴν ἀπὸ περιστάσεως δυστυχίαν, καὶ οὐκ ἐξ οἰκείας ἀβουλίας κακοπραγίαν, ἤτοι κακίαν. Καὶ γὰρ αἱ τῆς φύσεως ἐλαττώσεις καὶ διαπτώσεις, κακίαι πάντως εἰσίν. Ἢ ΞΥΜΦΟΡΑ͂Σ, τὰς ἀποτυχίας.

[d]Ἐνδέχεται γὰρ τὰς ξυμφορὰς τῶν πραγμάτων οὐχ ἧσσον ἀμαθῶς χωρῆσαι [e]ἢ καὶ τὰς διανοίας τοῦ ἀνθρώπου.

[b] ΚΑΠΙΚΝΕΙΝ] κάπικνῆν Photius. Verba κάπικνεῖν κάπεσθίειν veteris comici esse non injuria censet Piersonus ad Mœrin p. 234.

[i] Ξενοφῶν φησ.] P. 342. ubi verba ejus hæc sunt: Εἵλετο δὲ Δρακόντιον Σπαρτιάτην, ὃς ἔφευγε παῖς ὢν οἴκοθεν, παῖδα ἄκων κατακτανών, ξυήλῃ πατάξας. KUST. IV. 8, 25. F

[k] κνεῖν] κνῆν Photius.

[l] Σώφρων ἄν] Σώφρονα Phot. et mox ἀντιξύει. Infra idem ὁ χοραγὸς ξύεται.

ΞΥΛΛΑΒΕΙΝ: Διττή ἐστιν ἡ χρ.] Ex Schol. Aristoph. Acharn. 205. KUST.

[m] συλλαμβανομένου] ξυλλαμβανομένου A.

[n] νῦν] οἷον B.E.

[o] Ἰσοκράτης] P. 2 C.

[p] ΚΛΙΝΕΙΑ] κλίνεια A.V. G

ΞΥΛΕΙΑ] Polyb. III. 42, 3. τὴν ἁρμόζουσαν ξυλείαν ἐξέλαβε πρὸς τὴν κατασκευὴν τῶν μονοξύλων.

ΞΥΛΟΝ ἈΓΚΥΛΟΝ ΟΥΔ.] Confer Nostrum infra v. Σκαμβόν. KUST.

ΞΥΛΟΧΟΣ] Ξυλόχους Photius, qui mox τόπος pro πάγος.

[q] ἀγρός, τόπος] Male. Sublato enim puncto scribendum est, ἄγριος τόπος, i. e. *locus horridus et incultus*: qua phrasi usus est Plato in Legibus. KUST. Cum Suida concordat Photius. H

[r] οἱ δὲ] ὃς δὲ V.

[s] Οὐδ' ἵκετ'] Anthol. Pal. VI. 263. ἵκεθ' A. Statim delevi ΞΥΛΟΦΙΟΝ: Οἷον ἐπὶ τῶν αὐλῶν (ὀπαλῶν Portus) ξυλοφίων, ὅταν κάμψαντες ἀφῶμεν αὐτά. ὍΤΙ Δισκλῆς ὁ Ἀθηναῖος πρῶτος εὗρε τὴν ἐν τοῖς ἐξυβάφοις (ἐξυγράφοις B.E.) ἁρμονίαν, ἐν ὀστρακίνοις ἀγγείοις, ὅπερ ἔκρουεν (ὄκρουεν B.E.) ἐν ξυλοφίῳ, cum A.V. Vid. supra v. Δισκλῆς.

ΞΥΛΩΝ ἘΡΕΨ.] Ex Timæo p. 187. ubi vid. Ruhnkenius. Mox στεγνάσματα B.E.

ΞΥΜΒΑΛΛΕΙΝ] Deest gl. A.

ΞΥΜΒΛΗΤΟ] Est vox Homerica Il. ξ'. 39. et alibi. KUST.

ΞΥΜΒΟΛΟΝ ὌΡΝΙΝ φασίν. Ἐπ.] Ex Schol. Aristoph. Av. 722. KUST.

[t] συμβόλους] συμβόλου V.

[u] ἐξ ἀπαντήσεως τι] ἐξαπαντήσεως A. Mox τι om. A.B.E.M.

ΞΥΜΒΟΛΟΥΣ: Οὕτω τοὺς διὰ τῶν πτ.] Et hæc leguntur apud Enarratorem Comici loco modo laudato: eademque habet Hesychius. Ceterum vox ξύμβολος, vel ξύμβολον, apud Græcos quodvis omen significat, non tantum id, quod ex sternutatione captabatur: unde non video quorsum hæc annotatiuncula Suidæ. KUST. Ξυμβόλους Photius. Deest gl. A.

[x] Οὐδεμιᾷ γὰρ] Ex Aristoph. Eccles. 512. TOUP.

[y] Ἀντὶ τοῦ etc. om. A.

[z] Ὅλως] ὅλος A. Mox τοῦ ξ B.V.E.

[a] ξυμβαστάζω] ξυμβαστάσω A.V.

[aa] Φέρε νῦν ἐγώ] Ex Aristoph. Eccles. 864. TOUP.

[b] φησι addidi cum A.V.

[c] Θουκυδίδης τὴν ἀπὸ] Ex Schol. Thucyd. ad lib. I. 127. KUST.

[d] Ἐνδέχεται γὰρ] Hæc sunt verba Thucydidis, I. 140. TOUP.

[e] ἢ καὶ] ἢ διὰ A.B.E.

A Ξὺν: Θουκυδίδης ἀντὶ τοῦ σύν. Καὶ τὰ ἄλλα τὰ ὅμοια. Οὕτω καὶ οἱ παλαιοὶ πάντες.

Ξυνάγκεια: Ὁ κοῖλος τόπος. Ἀρριανός·

Ὁ δὲ ὑποτεμόμενος αὐτὸν ἐν ξυναγκείᾳ τινὶ, βάλλει κατὰ νώτου τὸν ἄνθρωπον.

Ξυναλλαγή: Ἀμοιβὴ, παραμυθία, συνάντησις.

[f] Λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω,
ἀνδρῶν γερόντων ἐν ξυναλλαγῇ λόγου.

B Σοφοκλῆς. Ἢ [g] ξυναλλαγῇ, τῇ ὁμιλίᾳ.

Ξυναλλαγή:

[h] Πότερα δόλοισι τέθνηκεν, ἢ [i] νόσου ξυναλλαγῇ;
Νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο,
καὶ τῷ μακρῷ γε συμμετρούμενος χρόνῳ.

Ξυνάορον: Γαμετήν.

Ξυναυλία: Αὔλησίς τις σύμφωνος, ὑπὸ δύο περαινομένη [k] αὐλῳδία.

C Ξυναυλίαν: Κοινωνίαν. [l] Τουτέστιν, [m] ὁμοῦ ἀποδυρώμεθα. Ξυναυλία δὲ καλεῖται, ὅταν δύο αὐληταὶ τὸ αὐτὸ λέγωσιν. Ἢ, ὅταν κιθάρα καὶ αὐλὸς συμφωνῇ. Νόμοι δὲ καλοῦνται οἱ εἰς θεοὺς ὕμνοι.

Ξυναυλίαν πενθήσωμεν, Οὐλύμπου νόμον: Ὄλυμπος αὐλητὴς γέγονε, [n] Μαρσύου μαθητὴς, καὶ αὐτὸς δυστυχήσας διὰ μουσικήν. Καθάπερ οὖν Ὄλυμπος εὗρε τὸ συναυλεῖν, καὶ ἡμεῖς ὅμοια καὶ ὥσπερ ἀπὸ μιᾶς φωνῆς [o] ὀδυρώμεθα. Μιμησώμεθα ἐν τῷ θρηνεῖν συναυλίαν Ὀλύμπου. Οὗτος δὲ ὁ Ὄλυμπος ἐν Φρυγίᾳ τοὺς αὐλητικοὺς νόμους ἐποίει. Ἔγραψε δὲ καὶ θρηνητικοὺς νόμους.

D Ξύναυλον: Παρ' [p] Ἀριστοφάνει, ξύναυλον βοὰν, τὴν [q] μετ' αὐλῶν κοινήν.

Ξυνδιενεγκεῖν: Συμπράξαι, συναγωνίσασθαι.

[r] Οἱ δὴ ἐδέοντο πόλεμον τὸν πρὸς [s] Λογγιβάρδους ξυνδιενεγκεῖν σφίσιν. Οἱ δὲ δισχιλίους ἔπεμψαν.

Ξυνδιήνεγκαν: Συνέκαμον, συνεπράξαντο.

[t] Πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας.

Ἀντὶ τοῦ, ὑπερήνεγκαν. Οὕτως Ἀριστοφάνης.

Ξὺν δίκῃ: Ἀντὶ τοῦ, πρεπόντως, εὐλόγως.

Ξὺν δίκῃ ταῦτα ἀξιοῦν [u] ἔφη τὸν βασιλέα.

Ξὺν δίκῃ: Κατὰ τὸ πρέπον.

[x] Τὰ γέρα τούτοις ξὺν δίκῃ νενέμητο ἑκάστοις.

Ξυναίρεται: Συνάπτεται. Καὶ ξυναιρόμενον, [y] συναντιλαμβανόμενον.

Εἰ ξυγχωρήσαιμεν τὸ [z] παρὰ σοῦ κομισθὲν γράμμα [a] ξυναιρόμενον τῇ κατά σε πολιτείᾳ.

Ξυνέβημεν: Ὡμονοήσαμεν, [b] συνεφωνήσαμεν. [c] Ἀριστοφάνης Νεφέλαις·

Εἶτα τῷ χρόνῳ
κοινῇ ξυνέβημεν.

Ξυνέηκε: Ξυνέβαλε.

Ξυνενεχθῆναι: Εὐτυχηθῆναι, αὐξηθῆναι.

Ξυννενημένων: Σεσωρευμένων. Θουκυδίδης·

Τῶν νεκρῶν ὁμοῦ ἐπ' ἀλλήλοις ξυννενημένων, ὀσμαὶ ἦσαν οὐκ [d] ἀνεκτοί.

Ξυννένοφεν: Ἐπινεφῆ καὶ συννεφῆ καὶ συννέφελά ἐστιν. Ἀριστοφάνης Ἀναγύρῳ·

Καὶ ξυννένοφε, καὶ χειμέρια βροντᾷ μάλ' εὖ.

Καὶ ἐν Νήσοις·

Ὡς ἐς τὴν γῆν κύψασα κάτω καὶ ξυννενοφυῖα βαδίζει.

Ἀντὶ τοῦ, σκυθρωπάζουσα.

E

ΞΥΝΑΓΓΕΙΑ] Mss. Paris. [A.B.V.] habent ξυνάγκεια, per κ. KUST. ξυναγκεία item in exemplo A.V.

[f] Λήγει δ' ἔρις δρ.] Sophocl. Aj. 731.

[g] ΞΥΝΑΛΛΑΓΗΙ, τῇ] ξυναλλαγὴ, ἡ V. ξυναλλαγὴ, ἡ A.

[h] Πότερα δόλοισι τέθν.] Sophocl. Œdip. Tyran. 960. ut Portus etiam monuit. In versu autem primo redundat vox τέθνηκεν, quam Suidas sensus supplendi gratia de suo addidit. Ea enim apud Sophoclem ex præcedentibus subintelligitur. KUST.

F [i] ξυναλλαγῇ νόσου] νόσου ξυναλλαγῇ A.V.

ΞΥΝΑΟΡΟΝ] Eurip. Orest. 653. et al.

[k] αὐλῳδία] Hanc lectionem ex mss. Paris. et Lexico Photii inedito revocavi. Priores enim editt. minus recte habent αὐλῶν. KUST.

[l] Τουτέστιν, ὁμοῦ ἀποδυρώμεθα] Sensus hujus loci est mancus et mutilus, qui sic suppleri debet, Ἀριστοφάνης. Ξυναυλίαν κλαύσωμεν. Τουτέστιν, ὁμοῦ ἀποδυρώμεθα, &c. Referenda enim est hæc nota ad locum illum Aristophanis initio Equit. Ξυναυλίαν κλαύσωμεν, Οὐλύμπου νόμῳ. Confer articulum sequentem. KUST.

G [m] ὁμοῦ] ὁμόσε A.B.V.E. Tum ἀποδυρόμεθα V.E.

ΞΥΝΑΥΛΙΑΝ ΠΕΝΘΗΣΩΜΕΝ, ΟΥΛΥΜΠΟΥ ΝΟΜΩΙ] Versus hic sumptus est ex Aristophanis Equitibus, ut et in nota præcedente monuimus. Apud Aristophanem vero pro Ὀλύμπου hodie legitur Οὐλύμπου: sed quod Ionicum est, non Atticum. Quare inserta particula ἂν scribendum putem,—κλαύσωμεν ἂν Ὀλύμπου νόμον. Pro νόμῳ porro apud Aristophanem rectius legitur, νόμον. KUST. Οὐλύμπου νόμου A. νόμου item B.

[n] Μαρσύου] Μαρσύου B.E.

[o] ὀδυρώμεθα] ὀδυρόμεθα V.

[p] Ἀριστοφάνει] Ran. 214.

[q] μετ' αὐλῶν κοινήν] Malim, μετ' αὐλῶν γινομένην. KUST.

[r] οἱ δὴ ἐδέοντο πολ.] Fragmentum hoc legitur apud Procopium lib. III. de Bell. Goth. c. 33. KUST. Fallitur Kusterus. Nihil hujusmodi in Procop. Goth. III. 33. reperio, sed cap. 34. legimus, Γήπαιδές τε, ὡς ἔνσπονδοι ἢ ξυνάρασθαι Ῥωμαίους τοῦ ἀγῶνος αὐτοῖς δέον ἔγνωσαν δεηθῆναι, καὶ τὸν πόλεμον ξυνδιενεγκεῖν ἀξιῶσαι.

[s] Λογγιβάρδους] Λογγιβάρδω V. Mox διενεγκεῖν A.

[t] Πολλὰ γὰρ δὴ πρ.] Aristoph. Eq. 593.

[u] ἔφη] ἐφάνη V.

[x] Τὰ γέρα] ξὺν δίκῃ νενόμηντο τὰ γέρρα τούτοις ἑκάστοις V.

[y] συναντιλαμβανόμενον] Occasione vocis hujus obiter emendo Hesychium v. Ξυμπονῆσαι, apud quem pro ἀντὶ τοῦ λαβέσθαι legendum est, ἀντιλαβέσθαι, i. e. *adjuvare*, vel *opitulari*. KUST.

[z] περὶ] παρὰ B.V.E.

[a] ξυναιρόμενον τῇ κατά σε πολιτείᾳ] Hoc fragmentum deprompsit Suidas ex Menandro in Excerptis Hœschelii, p. 123. (147 Par.) ubi ita haud paulo emendatius exhibetur: Εἰ ξυγχωρήσαιμεν τὸ ΠΑΡΑ σοῦ ΠΡΟΚΟΜΙΣΘΕΝ γράμμα ξυναιρόμενον τῇ κατά σε πολιτείᾳ ἔχειν τὸ πιστόν. *Si concesserimus literas a te allatas, et pro te facientes, veras esse atque indubitatas.* Συναίρεσθαι est *adjuvare, facere cum aliquo*. Schol. ad Aristoph. Plut. 328. Παροιμία ἐπὶ τῶν ὑπισχνουμένων παντὶ σθένει ΣΥΜΠΡΑΤΤΕΙΝ καὶ ΣΥΝΑΙΡΕΣΘΑΙ εἰς βοήθειαν. Herodian. lib. III. c. 29. Πλὴν παρεμυθήσατο αὐτὸν ἡ ΣΥΝΑΙΡΟΜΕΝΗ τότε τοῖς ἐκείνου πράγμασι τύχη. *Sed eum consolabatur fortuna, quæ ejus cœptis adspirabat.* TOUP.

[b] συνεφωνήσαμεν om. A.

[c] Ἀριστοφάνης Νεφέλαις] Ver. 67.

ΞΥΝΕΗΚΕ: Ξυνέβαλε] Ex Scholiasta Homeri ad Il. α'. 8. συνέβαλε A.V.

H ΞΥΝΝΕΝΗΜΕΝΩΝ] Ξυνενημένων A. ξυννενημένων V. et sic A. in exemplo. σεσωρευμένων—ξυννενημένων om. V. Cum simplici ν codd. quidam Thucydidis VII. 87.

[d] ἀνεκτοί] ἀνεκτοὶ A.V.

ΞΥΝΕΠΙΛΑΒΕΙ͂Ν: [e]Συναγωνίσασθαι.

Πιστὴν Ῥωμαίοις εἶναι τὴν πόλιν, ὡς Λουκούλλῳ τε ξυνεπιλαβεῖν τοῦ πρὸς Μιθριδάτην πολέμου.

ΞΥΝΈΡΞΕΤΕ: Ἀποκλείσατε. [f]Σοφοκλῆς·

Οὐ ξυνέρξεθ' ὡς τάχος.

ΞΎΝΕΣ: Σύνες, ἄκουσον.

ΞΥΝΈΣΕΩΣ: Συνέσεως, φρονήσεως.

Ὁ δὲ πρῶτος ἦν, καὶ ξυνέσεως εὖ ἥκων,
(ἀντὶ τοῦ, καλῶς καὶ ἐπὶ πλεῖστον,)
καὶ ἀρετῆς μεταποιεῖσθαι ἐξεπιστάμενος.

ΞΥΝΕΤΡΊΒΗ ΤΗ͂Σ ΚΕΦΑΛΗ͂Σ: Οὕτως ἐπὶ γενικῆς τάττουσιν.

[g]Ἕως ξυνετρίβη τῆς κεφαλῆς.

ΞΥΝΕΥΝΈΤΗΣ: Ἀρσενικῶς. Θηλυκῶς δὲ, διὰ τοῦ ί.

ΞΥΝΕΙ͂Α:

ΞΥΝΉΓΑΓΕ: Συνήρμοσεν. [h]Ἀριστοφάνης Ἀχαρνεῦσι·

[i]Πόσου τὸν πρωκτὸν συνήγαγε.

Περὶ Κλεωνύμου.

ΞΥΝΗΪ́Α: Κοινὰ χρήματα.

ΞΥΝΗ͂ΚΑ: Ἐνόησα.

ΞΥΝΗ͂ΔΕΤΟ: Συνηυφραίνετο.

ΞΥΝΉΙΣΘΕΤΟ: Ἐνόησε.

ΞΥΝΊΑΣΙ: Συνέρχονται.

ΞΥΝΊΕΙΣ: Ὑπονοεῖς. [k]Ἀριστοφάνης Πλούτῳ·

Εἶτ' οὐ ξυνίεις τὴν ἐπίνοιαν τοῦ θεοῦ.

ΞΎΝΙΟΝ: Ἤκουον.

ΞΥΝΘΉΜΑΤΑ: Ὑπομνήματα. [l]Σοφοκλῆς·

[m]Οὗ τὰ Θησέως
Περίθου τε κεῖται πιστὰ ξυνθήματα,

ἃ ἔθεντο πρὸς ἀλλήλους περὶ τῆς εἰς ᾅδου καταβάσεως. Καὶ αὖθις·

Ὥσπερ ἀπὸ ξυνθήματος αὐτοκράτορα τοῦτον [n]ἐπευφήμησεν ὁ στρατός.

A Οὐκ ἀφ' ἑνὸς ξυνθήματος, ἀλλὰ [o]διεσπασμένως, καὶ οὐκ εἰς ἓν ξυμβαίνουσαν τὴν βοήν.

ΞΥΝΟΔΌΚΟΣ: Ξενοδόχος.

ΞΥΝΌΝ: Κοινόν.

ΞΥΝΟΠΑΔΌΣ: Ὁ ἑπόμενος, καὶ ἀκολουθῶν.

ΞΥΝΟΥΣΊΑΙ: Τῷ ἔργῳ, τῇ πείρᾳ.

[p]Ταῦτ' ἐστιν, ὦ ξέν', οὐ λόγοις
τιμώμεν', ἀλλὰ τῇ ξυνουσίᾳ πλέον.

B Σοφοκλῆς.

ΞΥΝΩΜΟΣΊΑ: Ἡ ὁρκωμοσία.

ΞΥΝΩΜΌΤΗΣ: Συστασιαστής.

[q]Ξυνωμότης ὢν, καὶ φρονῶν τυραννικά.

ΞΥΝΩΜΟΤΩ͂Ν: Ξυνωμοσίαν πεποιημένων, τουτέστι, πίστεις δι' ὅρκων δόντων ἑαυτοῖς, καὶ [r]συνθήκας κατά τινων πεποιηκότων ἐπὶ καταλύσει τινῶν. Ἀριστοφά-
C νης·

[s]Βοηθεῖθ', ὡς ὑπ' ἀνδρῶν τύπτομαι ξυνωμοτῶν.

ΞΥΝΩΡΊΣ: Τὸ μὴ πλῆρες ἅρμα, ἀλλ' ἐκ δύο ἵππων συνεστώς· ὃ νῦν δίφρον καλοῦσι.

ΞΥΝΩΡΊΣ: Συζυγία. Ἡ ἅρμα ἐκ δύο ἵππων συνεζευγμένον.

ΞΥ͂Ν ΤΩ͂Ι ΘΕΩ͂Ι ΠΑ͂Σ ΚΑῚ ΓΕΛΑ͂Ι ΚὨΔΎΡΕΤΑΙ: Ἀντὶ τοῦ, Θεοῦ βουλομένου καὶ τὰ κακὰ μεθίσταται εἰς
D τέρψιν.

ΞΥΠΕΤΑΙΩΝΕΎΣ: Δῆμος τῆς Κεκροπίδος [t]Ξυπεταίῃ· ἀφ' ἧς ὁ δημότης Ξυπεταιών.

ΞΥΡΕΙ͂ ΓᾺΡ ἘΝ ΧΡΩ͂Ι, ὭΣΤΕ ΜῊ ΧΑΊΡΕΙΝ [[u]ΤΙΝΆ:] Ἀντὶ τοῦ, μέχρι βάθους διϊκνεῖται, ὥστε μὴ χαίρειν. [x]Τὸ δὲ τινὰ παρέλκει.

ΞΥΡΉΚΗΣ: Ὁ [y]ξυρήσιμος, καὶ κουριῶν.

ΞΥΡΗΣΜΌΣ:

E ΞΥΡΊΔΕΣ: [z]Καμπάκια, [a]ζυγάβδια, ἢ [b]ἄλλο τι ὑπόδημα διάφορον.

[e] ξυναγωνίσασθαι] συναγωνίσασθαι A.V.

ΞΥΝΕΡΞΕΤΕ] Ξυνέρχετε V. Mox ἀποκλείσατε A.V. Schol. Soph. Mox ξυνέρξεσθ' A. ξυνέρχεσθ' V.

[f] Σοφοκλῆς] Ajace, 593. ut Portus monuit. KUST.

ΞΥΝΕΣ] Il. β'. 26.

ΞΥΝΕΣΕΩΣ] Procop. Vandal. I. p. 94, 41. HEMST.
F TOUP. Vid. supra p. 1790 C.

[g] Ἕως ξυνετρίβη τῆς κεφαλῆς] Aristoph. Pac. 70. Ἕως ξυνετρίβη τῆς κεφαλῆς καταρρυείς. Huc nota Suidæ referenda est. TOUP.

[h] Ἀριστοφάνης Ἀχαρνεῦσι] Ver. 83. Πόσου δὲ τὸν πρωκτὸν χρόνου συνήγαγε; KUST.

[i] Πόσου χρόνου] χρόνου om. A.B.V.E.

ΞΥΝΗΙΑ: Κοινὰ χρήματα] Ex Schol. Homeri ad Il. α'. 124. KUST.

ΞΥΝΗΙΑ—ΞΥΝΙΕΙΣ om. A.

[k] Ἀριστοφάνης Πλούτῳ] 45.

[l] Σοφοκλῆς] Œdip. Colon. 1593. ut Portus monuit. Ibi autem locus hic recte sic distinguitur et legitur: Οὗ τὰ Θησέως, Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα. Scholiasta: Ξυνθήματα: Οἷον ὑπομνήματα τῆς πίστεως, ἣς ἔθεντο πρὸς ἀλλήλους περὶ τῆς εἰς ᾅδου καταβάσεως. KUST.

[m] Οὗ] Οὗ V. Ceterum Σοφοκλῆς usque ad finem articuli om. A.

[n] ἐπευφήμησεν] ἐπεφήμησεν V.

[o] διεσπασμένως] διεσπασμένων V.

ΞΥΝΟΔΟΧΟΣ] Mss. Paris. [A.B.] habent ξυνοδόκος, per κ in syllaba ultima. Sed utraque scriptura usu recepta est. KUST. Sic fere Photius, ubi ξυνοδόκος.

[p] Ταῦτ' ἐστιν, ὦ ξέν.] Sophocl. Œdip. Colon. 63. ut Portus monuit. KUST.

[q] Ξυνωμότης ὢν] Aristoph. Vesp. 505. ubi legitur, καὶ φρονῶν τυραννίζω. TOUP.

ΞΥΝΩΜΟΤΩΝ: Ξυνωμοσίαν πεπ.] Ex Schol. Aristoph. Equit. 257. KUST.

[r] συνθήκας] ξυνθήκας A. Tum τινος V.

[s] Βοηθεῖθ', ὡς ὑπ' ἀνδρ.] Ut versui modulus constet, scribendum est, παραβοηθεῖθ', ὡς &c. Sic enim legitur apud Aristophanem loco laudato. KUST.

ΞΥΝΩΡΙΣ: Τὸ μὴ πλῆρες ἅρμ.] Ex Schol. Aristoph. Nub. 15. Deest gl. A.

ΞΥΝ ΤΩ ΘΕΩ ΠΑΣ] Sophocl. Aj. 383. τῷ θεῷ γὰρ V. πᾶς τις E.M. Deest gl. A.

ΞΥΠΕΤΑΙΩΝΕΥΣ] Scribendum esse, Ξυπεταιών, ex iis, quæ sequuntur, patet. Confer Meurs. de Pop. Att. v. Ξυπέτη. KUST. Leg. Ξυπεταιὼν εἷς. Hæc verba esse
G puta veteris alicujus scriptoris. HEMST. Ξυπεταίονες Photius. Ξυπεταιόνες Harpocr.

[t] Ξυπεταίῃ] Ξυπέτῃ Harpocr.

ΞΥΡΕΙ ΓΑΡ ΕΝ ΧΡ.] Sophocl. in Aj. 786.

[u] ΤΙΝΑ om. A.V.

[x] Τὸ δὲ, τινὰ, παρέλκει] Imo, non redundat. Vide ipsum Sophoclem. KUST. παρέλκει A.V.

[y] κουριῶν ἢ ξυρήσιμος] ξυρήσιμος καὶ κουριῶν A.B.V. Photius.

H ΞΥΡΙΔΕΣ] Confer Nostrum supra v. Ἀναξυρίδες. KUST. Salmas. ad Trebell. Poll. p. 292 D. HEMST.

[z] Καμπάκια] κομπάκια A. Vid. Du Cang. in Καμπάγιον. Meurs. Gloss. in Καμπάγια. Salmas. ad Trebell. Poll. T. II. p. 235.

[a] ζυγάβδια] Sic habet optimus ms. A. At in mss. B.C. itemque in editt. prioribus, et Lexico Photii inedito, le-

Ξυρὸς εἰς ἀκόνην: Παροιμία πρὸς τοὺς ὧν βούλονται τυγχάνοντας. Ὁμοία τῇ,

Ὄνος εἰς ἄχυρα.

Ξυρός: Τὸ ἐργαλεῖον.

Ξυροῦ ἀκμῆς: Τοῦ ὀξυτάτου, [c] κατὰ λεπτότητα τῶν σιδηρίων.

Ξύσσιτος: Σύντροφος, συνδιαιτητής.

Ξυσταθεύσω: Σὺν σοὶ ὀπτήσω τῷ ἔρωτι. Ἀπὸ μεταφορᾶς τῶν κρεῶν.

Ξυστάρχεις: Τοῦ γυμνασίου ἄρχεις.

Ξυστίδα: Λεπτὸν ὕφασμα, [d] περιβόλαιον.

Ξυστίδα: Τὸ παχὺ ἱμάτιον.

Ξυστίς: Χιτὼν ποδήρης γυναικεῖος. Οἱ δὲ, τραγικὸν ἔνδυμα ἐσκευοποιημένον, καὶ ἔχον ἐπιπόρπημα. Οἱ δὲ, τὸ λεπτὸν, παρὰ τὸ ἐξύσθαι. Ἰδίως δὲ τὸ τῶν τραγῳδῶν ἔνδυμα.

Ξυστὶς λέγεται τὸ κροκωτὸν ἱμάτιον, ὃ οἱ ἡνίοχοι μέχρι [f] νῦν φοροῦσι πομπεύοντες. Χρῶνται δὲ αὐτῷ καὶ οἱ τραγικοὶ [g] βασιλεῖς. Ξύστιδα δὲ προπαροξυτόνως οἱ Ἀττικοί. Ἀριστοφάνης Νεφέλαις·

Ὥσπερ [h] Μεγακλέης ξύστιδ' ἔχων.

Ξύστις [i] ἔστι καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης ἐν Νεφέλαις.

Ξυστόν: Δορύλλιον, ἀκόντιον· καὶ τὸ τέλειον δόρυ· καὶ [k] ὁ τόπος, ἔνθα οἱ ἀθληταὶ γυμνάζονται. [l] Ἀρριανός·

Τὰ σημεῖα τῆς ἐπιλέκτου στρατιᾶς ἀετοὶ, εἰκόνες βασίλειοι,

A στίμματα, πάντα χρυσᾶ, ἀνατεταμένα ἐπὶ ξυστῶν ἠργυρωμένων.

Ξυστός: Ὁ ἐξεσμένος.

## Ο Α

Ὄα: Ἀκροδρύων εἶδος, μήλοις μικροῖς ἐμφερές·

B ὀπώρα.

Ὀαρίζω: Τὸ γυναιξὶ λαλῶ. Ὄαρος γὰρ, ἡ ὁμιλία.

Ὀαρισμοί: Διαλογισμοί.

Ὀαριστύς: Γυναικώδης ὅμιλος.

Ὀβελίας ἄρτος:

Ὀβελός: Καὶ ὀβελίσκος, ἡ [m] σούβλα. [n] Ξενοφῶν·

C Ἐπέταξεν ἔνδον [o] βουπόρῳ τις ὀβελίσκῳ διαμπερὲς τὸν μηρὸν τοῦ ἐγγυτάτου.

Καὶ παροιμία·

Τὸ θερμὸν τοῦ ὀβελοῦ.

Ἐπὶ τῶν τὰ χείρονα ἀντὶ τῶν [p] κρειττόνων αἱρουμένων.

Ὀβολός: [q] Ὁ τόκος. Εἶδος νομίσματος. Ὀβολὸς δὲ παρὰ Ἀθηναίοις [r] ἓξ ἐστι χαλκῶν, ὁ δὲ χαλκοῦς, λεπτῶν ἑπτά. [s] Τὸ δὲ τάλαντον τοῦ ἀργυρίου

D τῶν νῦν, τέσσαρα, καὶ νομισμάτων ή καὶ ϛ΄. ἡ δὲ μνᾶ ἑξηκοστόν ἐστι [t] τοῦ ταλάντου. Τὸ δὲ τάλαντον τοῦ χρυσίου ἑξαπλάσιόν ἐστι.

---

gitur ξυγάβλια: quod corruptum esse existimo. KUST. ξυγάδια V.

[b] ἄλλο τι] τι om. A.V.

ΞΥΡΟΣ ΕΙΣ 'ΑΚΟΝΗΝ] Plutarch. in Artax. c. 29. carnificem vocatum ξυρὸν habuisse scribit, ᾧ τὰς κεφαλὰς ἀποτέμνουσι τῶν κολαζομένων. cf. Lycophr. Cassand. v. 840. REINES. Deest gl. A. Mox Ὄνον B.V.E. Conf. notata ad Aristænetum p. 439. ed. Boissonad.

ΞΥΡΟΥ 'ΑΚΜΗΣ] Confer Nostrum supra v. Ἐπὶ ξυροῦ. KUST.

[c] κατὰ λεπτότητα] Malim, καὶ λεπτοτάτου. KUST. Vulg. tenet Photius.

ΞΥΣΤΑΘΕΥΣΩ: Σὺν σοὶ ὀπτ.] Ex Schol. Aristoph. Lysist. 844. KUST.

ΞΥΣΤΑΡΧΕΙΣ] Potius, ξυσταρχεῖς, cum circumflexo in ultima. KUST. Et sic ed. in Photio. Accentum non habet ms.

[d] περιβόλαιον] Addit Schol. Platon. p. 158. ἢ χιτὼν ποδήρης etc. ut in gl. Ξυστίς: Χιτών. Vid. Ruhnken. ad Tim. p. 188. Adde Schol. Theocrit. II. 74.

ΞΥΣΤΙΔΑ] A superioribus sejunxi cum A. Et παχὺ quidem cum aliis interpretationibus conciliari nequit.

ΞΥΣΤΙΣ: Χιτὼν ποδήρης γυναικ.] Photius in Lexico inedito: Ξύστις: Γυναικεῖόν τι ἔνδυμά ἐστι πεποικιλμένον, ὡς δηλοποιοῦσιν ἄλλοι τε τῶν κωμικῶν, καὶ Ἀντιφάνης ἐν Εὐπλοίᾳ. Ἔστι μέντοι καὶ τραγικόν τι ἔνδυμα οὕτω καλούμενον, ὡς Κρατῖνος ἐν Ὥραις. Ἔστι δὲ καὶ ἱππικὸν ἔνδυμα, ὡς Ἀριστοφάνης ἐν Νεφέλαις. Eadem legas apud Harpocrationem. KUST.

ΞΥΣΤΙΣ λέγεται τὸ κροκωτὸν ἱμ.] Ex Schol. Aristoph. Nub. 70. KUST.

[f] τοῦ νῦν] τοῦ om. A.V.E. Tum φορέουσι A.

[g] βασιλεῖς] βασῖ V.

ΞΥΣΤΙΔΑ] Ξύστιδα δὲ A.V.

[h] Μεγακλέης] Μεγακλέη A. Μεγακλέως B. Μέγα κλέος V.

[i] ἔστι γὰρ—ὡς ἐνταῦθα Ἀριστοφάνης] ξύστις ἔστι καὶ—ὡς Ἀριστοφάνης ἐν Νεφέλαις A.V.B. Cum iisdem delevi οἱ δὲ τὸ ἀκόντιον εἶπον.

[k] ὁ τόπος] Photius: Ξυστός: τόπος ἀνειμένος ἀθλητῶν.

[l] Ἀρριανός· Τὰ σημεῖα] Hæc Arriano adsignat Suidas, atque eum secutus Lipsius in Militia Romana. Sed uterque falsus est. Sunt enim verba Dexippi, in Excerptis ab Hœschelio editis, p. 3. ubi ita loquitur: Κατ-

E όπιν δὲ βασιλέως τὰ σήματα ἦν τῆς ἐπιλέκτου στρατιᾶς. Τὰ δ' εἰσὶ ἀετοὶ χρυσοὶ, καὶ εἰκόνες βασίλειοι, καὶ στρατοπέδων κατάλογοι, γράμμασι χρυσοῖς δηλούμενοι· ἃ δὴ σύμπαντα ἀνατεταμένα προὐφαίνετο ἐπὶ ξυστῶν ἠργυρωμένων. Ad hunc locum proculdubio respexit Suidas. Atque hinc corrigendus videtur Arrianus, sive Appianus potius, apud Suidam v. Ναῦς. Αὕτη δὲ τά τε ἀκροστόλια ἔφερε, καὶ ἐπ' ἄκρῳ τῷ ἱστίῳ τὸ βασιλικὸν ὄνομα, καὶ ὅσοις ἄλλοις βασιλεὺς γεραίρεται χρυσῷ ἐγκεχαραγμένα. Fidenter rescribo, Ἐπ' ἄκρῳ τῷ ΙΣΤΩΙ ΤΟ ΒΑΣΙΛΙΚΟΝ ΟΜΜΑ. Quod ex Dexippo satis constat.

F Locus ita vertendus est: *Navis autem prætoria aplustria ferebat, et in summo malo effigiem imperatoriam, cæteraque quæ imperatori tribuuntur insignia auro insculpta habebat.* Suetonius in Calig. c. 14. *Namque Artabanus, Parthorum rex,—transgressus Euphratem, aquilas, et signa Romana,* Cæsarumque imagines *adoravit.* TOUP.

ὍΑ] Usque ad ἐμφερές habent Timæus et Photius. Tum ὀπώρα ἡ ὄα A.B.V.E.M.

'ΟΑΡΙΖΩ] Vid. Schol. Il. ζ. 516.

ΟΑΡΙΣΜΟΙ] Plutarch. in Anton. p. 125. TOUP.

G 'ΟΑΡΙΣΤΥΣ: Γυναικώδης ὅμ.] Vide alios Grammaticos, qui vocem hanc rectius et clarius exponunt. Confer item Nostrum supra v. Ἀοριστύν. KUST.

'ΟΒΕΛΙΑΣ] Vid. not. ad Hesych.

[m] σούβλα] Vid. Du Cang. in v.

[n] Ξενοφῶν] Anab. VII. 8. 14.

[o] βουπόρῳ] Vide Suidam supra v. Βουπόρος, et v. Βουτόρος. KUST.

[p] κρειττόνων] κρείττονα A. Vulg. tenet Zenobius V. 19.

H [q] Ὁ τόκος] Vide Salmas. de Usuris, p. 581. KUST.

[r] ἓξ ἐστι χαλκῶν] Atqui obolus octo continebat chalcos, testibus Herone et Polluce; quos potius sequor. Vide Scriptores de Re Nummaria Antiquorum. KUST. ἓξω A.

[s] Τὸ δὲ τάλαντον τοῦ ἀργυρίου τῶν νῦν, τέσσαρα, καὶ νομ.] Locus hic et mutilus est et corruptus, qui in Lexico Photii inedito sic legitur: Τὸ δὲ τάλαντον τοῦ ἀργυρίου λε-

"Ογκος: Τὸ βάρος. [m]Σοφοκλῆς·

> [n]Μικρὸς προσήκεις ὄγκος ἐν μικρῷ κύτει.

Περὶ τῶν Ὀρέστου λειψάνων. Καὶ [o]ἐν Τραχινίαις·

> Ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν
> μητρῴου;

καὶ εὔογκον, τὸ εὐβάστακτον.

"Ογκος: Πισίδης·

> Εἰς τρεῖς γὰρ ὄγκους τὸν στρατὸν περισχίσας,
> [p]ἔφειλκε τοὺς σοὺς, τῷ δοκεῖν περιτρέχων.

[q]Μαυρίκιος δὲ ὁ βασιλεὺς συνεκέραστο ἐν ἑαυτῷ ἄμφω τὰ ἐναντίως ἔχοντα ἀλλήλοις, ὄγκον φρονήματος καὶ [r]πρᾳότητος.

Καὶ αὖθις·

[s]Καρτερὸς ὁ Μακεδὼν, μέγιστός τε ὀφθῆναι, καὶ οὐ [t]πρόσω ὄγκου βασιλικοῦ.

"Ογκοι: Αἱ ἀκίδες.

Ὀγκύλλεσθαι: Ὑψαυχενεῖν, καὶ ὄγκους περιβάλλεσθαι, σεμνύνεσθαι. [u]Ἐν τῷ περὶ Εἰρήνης δράματι φησὶν Ἀριστοφάνης·

> Ὑπότεινε δὴ πᾶς, καὶ κάταγε τοῖς κάλοις.

Εἶτα μὴ ἑλκόντων φησίν·

> [x]Οἳ ὀγκύλλεσθε.

Ἀντὶ τοῦ, οἷα ἐπερείδεσθε μὲν τῷ σχοινίῳ, προσποιούμενοι ἕλκειν, οὐχ ἕλκετε δέ· ἢ, τὸν ὄγκον περιβάλλεσθε, καὶ ἀλαζονεύεσθε, καὶ ὑπερηφανεύεσθε. Ὡς φιλοπόλεμοι δὲ οὐχ εἷλκον· ἢ, ὡς ἔκσπονδοι.

Ὀγκυλλόμενος: Ὑπερήφανος.



A "Ογμος: Ἡ κατὰ στίχον ἔφοδος τῶν θεριστῶν. Καὶ [y]ὄγμοι σταχύων. Καὶ [z]Σοφοκλῆς·

> Φορβῆς χρείᾳ
> [a]στίβον ὀγμεύει τόνδε [b]πέλας που.

Καὶ, Ἐπόγμιος Δημήτηρ: Ἡ ἔφορος τοῦ θέρους. Ἐν [c]Ἐπιγράμμασι·

> Τὰν ὖν, ὦ Δάματερ ἐπόγμιε, τάν τ' ἀκέρωτον
> μόσχον.

B "Ογχναι: Ἀχράδες, ἢ [d]ἄπιοι.

Ὀδάξ: Τοῖς ὀδοῦσιν [e]ἐνδεδηχότες.

> [f]Διόγενες, ἄγε, λέγε, τίς ἔλαβέ σε μόρος
> ἐς ᾅδος; Ἔλαβέ με κυνὸς ἄγριον ὀδάξ.

Ὀδαξησμός: Κνησμὸς, καὶ ὀδόντων τρισμός.

Ὀδαῖα: Τὰ ἐφόδια.

Ὀδαίναθος, ἀπὸ Συρίας. Οὗτος τῷ φιλοσόφῳ Πλουτάρχῳ συνὼν, ἀπορίων [g]ἐνεπίπλα τὰς τοῦ C διδασκάλου διατριβὰς, καὶ οὐκ εἴα τὸν λόγον [h]ἀνύτειν [i]συμποδιζόμενον. Ἀλλὰ πρὸς σύνεσιν τοῦ ἀληθοῦς ἐνδεέστερος ἦν ὁ Ὀδαίναθος. [k]Οὔκουν δεῖν οἴεσθαι ἐκεῖνος ἠξίου τὸν φιλόσοφον ἐρωτᾶσθαι, οὐδὲ ἀποκρίνεσθαι ἐκ τοῦ παρατυχόντος ὁτιοῦν· μάλιστα δὲ χαλεπὸν καὶ ἐγγύς τι ἀδύνατον [l]εἶναι περὶ θεῶν τι λέγειν, ἢ φρονεῖν, ἀνθρώπους ὄντας.

D "Οδε ἐγώ: Αὐτὸς ἐγώ.

"Οδε τις: Ἀντὶ τοῦ, ἄλλος δέ τις.

Ὁ δεῖνα καλός: [m]Ἴδιον ἐραστῶν ἦν, τὸ τὰ τῶν ἐρωμένων ὀνόματα γράφειν ἐν τοῖς τοίχοις, [n]ἢ δένδροις,

---

Ὄγκιον οὖν, ἡ θήκη τῶν ἀκίδων. Εἴρηται δὲ, παρὰ τὸ ὀγκώδεις εἶναι. KUST.

[m] Σοφοκλῆς] Electr. 1142.

[n] σμικρὸς—σμικρῷ] μικρὸς—μικρῷ A.V.E.

[o] ἐν Τραχινίαις] Ver. 819.

"ΟΓΚΟΣ] Deest gl. A. Pisidis Fr. Foggin. 128.

[p] ἔφειλκε] ὑφεῖλκε B.V.E.

[q] Μαυρίκιος δὲ ὁ βασ.] Fragmentum hoc auctius legitur supra v. Μαυρίκιος. KUST.

[r] πρᾳότητος] πραό V.

[s] Καρτερὸς] Κρατερός. Vid. v. Σκευή. TOUP.

[t] πόρρω] πρόσω B.V.E.

"ΟΓΚΟΙ] Ὄγκιοι B.E.M. Tum ὀγκίδες M.

[u] Ἐν τῷ περὶ Εἰρήνης δράματι φησ. Ἀριστοφάνης] Ver. 464.

[x] Οἳ ὀγκύλλ.] Καὶ ὀγκύλλ. καὶ αὖθις Ἀριστοφάνης· καὶ (οἷον B.V. οἳ M.) ὀγκύλλεσθε A.B.V. edd. vett. Jac. Gronovius locum sic constituit: σεμνύνεσθαι. Καὶ ὀγκύλλεσθε ἐν τῷ περὶ εἰρήνης δράματι φησὶν Ἀριστοφάνης. Ὑπότεινε δὴ καὶ κάταγε τοῖς καλοῖς· εἶτα μὴ ἑλκόντων φησὶ καὶ αὖθις Ἀριστοφάνης, Οἳ ὀγκύλλεσθε.

Ὀ ΓΚΥΛΛΟΜΕΝΟΣ] Ὀγκυλλόμενος A.B.V.E. Lex. Seg. ὀγκυλλόμενος Photius, ubi pr. ὀγκυλλόμενος.

[y] "ΟΓΜΗ] Ὄγμοι A.B.V.E. Photius.

[z] Σοφοκλῆς] In Philoct. 163.

[a] στίβον ὀγμεύει] στιβοσμεύει A. στιβοσμεύει V. στίβον ἠγμένα B.E.

[b] πέλας σοῦ] πέλας που A.B.V. Mox ἡ ante ἔφορος ex A.V.

[c] Ἐπιγράμμασι] Anthol. Pal. VI. 258.

"ΟΓΧΝΑΙ] Sic habet ms. A. itemque Photius in Lexico inedito. At priores editt. [et B.E.] minus recte, Ὄχναι, absque γ. KUST.

[d] ἄπια] ἄπιοι A.V. Photius.

[e] ἐνδεδηχότες] ἐνδεδηχότας V.

[f] Διόγενες, ἄγε, λέγ.] Vide nos supra v. Ἄγε, ubi hic ipse locus legitur. KUST.

Ὀ ΔΑΞΗΣΜΟΣ] Artemidor. p. 264. Suid. supr. δαξισμός. TOUP.

Ὀ ΔΑΙΝΑΘΟΣ: Ἀπὸ Συρ.] Hæc descripta sunt ex Damascio. KUST.

E [g] ἐνεπίμπλα] ἐνεπίπλα A.V.

[h] ἀνύτειν] ἀνύττειν E.

[i] συμποδιζόμενος] συμποδιζόμενον A.B.V.

[k] Οὔκουν δεῖν οἴεσθαι ἐκεῖνος ἠξ.] Sensus planior erit, si verba sic collocentur, οὔκουν οἴεσθαι ἐκεῖνος ἠξίου, τὸν φιλόσοφον δεῖν ἐρωτᾶσθαι, &c. KUST. οἴεσθαι δεῖν A.V. Hæc duo vocabula tollenda censebat Portus.

[l] εἶναι om. B.E.

"ΟΔΕ ἐγώ. Αὐτὸς ἐγώ] Respexit Suidas ad Homer. Odyss. φ'. 207. Ἔνδον μὲν δὴ ΟΔ' ΑΥΤΟΣ ἘΓΩ κακὰ πολλὰ μογήσας.

[x] ἀπὸ τῶν ἐλαφείων ὀστῶν] Confer Hesych. v. Κάκτος. KUST.

[y] φυσᾶτε] φυσῆτε A.B.E.C.M.

ΟΣΤΑΙΓΓΕΣ] Callim. fragm. 12. *capilli*. Apollon. Rhod. I. 1297. TOUP.

[z] ἐξερευνᾶν] καὶ ἐρευνᾶν A.

ΟΣΤΡΑΚΙΣΜΟΣ: Οἱ κακονούστατοι τ.] Ex Schol. Aristoph. Equit. 851.

[a] κακονούστατοι] Sic recte habent mss. Paris. itemque Scholiastes Aristophanis. At priores editt. male, κακουργότατοι. KUST.

[b] Ἐν ὀστράκοις] ἐν om. A.C.E. Schol. Tum γὰρ om. C.

ΟΣΤΡΑΚΙΣΜΟΣ φυγῆς διαφ.] Et hæc leguntur apud enarratorem comici, loco laudato. KUST. Eum invenit Achilles, Lysonis filius. Ptol. Heph. Καιν. ἱστ. ap. Phot. c. 190. REINES. Conf. Meier. Hist. Jur. Att. p. 97. Schöman. de Comitiis p. 243. seqq.

[c] ἐδημεύοντο] δημεύονται A.B.C. Schol. et mox ἀφαιρεῖται pro ἀφῄρει.

[d] Ὅτι Κίμων] Eadem supra v. Κίμων. Desunt C.

ΟΣΤΡΑΚΟΔΕΡΜΟΙ] Vid. Ælian. N. A. XI. 37.

Ὀστράκου περιστροφή: Παροιμία, ἐπὶ τῶν ταχέως τι ποιούντων λεγομένη. Εὐνάπιος·

Ὥσπερ ὀστράκου [e]μεταπεσόντος ἐπὶ τὸ βέλτιον ἐχώρησε Ῥωμαίοις.

Ὄστρεα:

[f]Τραϊανῷ ἐν Πάρθοις ὄντι, καὶ τῆς θαλάσσης ἀπέχοντι ἡμερῶν πολλῶν ὁδὸν, Ἀπίκιος ὁ ὀψοφάγος ὄστρεα νεαρὰ διεπέμψατο, ὑπὸ σοφίας τεθησαυρισμένα.

Ὀσφραντικὸν αἰσθητήριόν ἐστιν, ἡ κατὰ τὰ ἐμπρόσθια τοῦ ἐγκεφάλου μαστοειδὴς ἀπόφυσις, μετὰ τὰ [g]ὁμοιοειδῆ ὀστέα ὡς ἐπὶ τὸ ἔνδον. Γίνεται δὲ ἡ ἀντίληψις τῶν ὀσμῶν [h]διὰ τῆς διόσμου τοῦ ἀέρος [i]δυνάμεως.

[k]Κατέκειτ' ὀσφραινόμενος.

Οἱ γὰρ ὑπὸ φόβου ἐκλυόμενοι, ὀσφρήσει τὸν πόνον παύουσιν· ὁ δὲ πόνος αὐτοῖς ἐκ καρδίας γίνεται.

Ὀσφραίνομαι: Γενικῇ.

Ὀσφύς:

Ὄσχεος: Ὁ περὶ τὰ αἰδοῖα τόπος.

Ὀσχοφόροι: Δύο ἦσαν τῶν γένει καὶ [l]πλούτῳ προεχόντων. Ἡ δὲ ὄσχη κλῆμά ἐστι βότρυς ἐξηρτημένους ἔχον· ταύτην δ' ἔνιοι ὀρεσχάδα καλοῦσιν.

Ὄττα: Φήμη, μαντεία, θεία κληδών. Καὶ ὀττεύεσθαι, τὸ μαντεύεσθαι.

[m]Ὁ δὲ τὸ μέλλον ἐμφρόνως ὀττευσάμενος, εἰς ἔννοιαν ἦλθε τὴν φρουρὰν ἀποτρίψασθαι τὴν παρὰ Πτολεμαίου.



Ὅτ' ἄν σε καιρὸς εἰσάγῃ: [n]Ὅταν σε καιρὸς καλῇ.

Ὅταν σύ ποι ἄλλοσε [o]χάσκῃς: Ἀντὶ τοῦ, περὶ ἄλλα τὴν διάνοιαν ἔχῃς.

Ὀτέοισιν: Οἷς τισιν.

Ὀττευομένη: Κληδονιζομένη, [p]οἰωνιζομένη, μαντευομένη.

[q]Ἐξ αὐτῆς [r]δὲ τῆς τῶν πρέσβεων ἐμφάσεως ὀττευόμενοι, εἰς παντοδαπὰς οἰμωγὰς καὶ θρήνους [s]ἐνέπιπτον.

Ἤτοι, τὸ ὀρνεοσκοποῦντες.

Ὀττευσάμενος: Οἰωνισάμενος, μαντευσάμενος.

Ὀττεία: Ἡ μαντεία.

Ὁτίη τί: Ἀντὶ τοῦ, διατί. Τὸ δὲ τὶ, περιττόν. Ἀριστοφάνης [t]Νεφέλαις.

Ὅτι μ' εἰδέναι: Ἀντὶ τοῦ, ὅσον ἐμὲ εἰδέναι.

Οὔκουν πονηρά γ' ἐστὶν, [u]ὅτι κἀμ' εἰδέναι.

Ὅτι νόμος ἐστὶν, ὑπὲρ μ' ἔτη γενόμενον χορηγεῖν παισίν.

Ὅτι ξένους τινὰς [x]ἑαυτοῦ αἰχμαλώτους, σκάπτοντας ἐν τῷ Φιλίππου ἀμπελουργίῳ, καὶ [y]δεδεμένους, παρὰ πότον ἐξῃτήσατο παρὰ Φιλίππου [z]Σάτυρος, Αἰσχίνης μὲν ἐν τῷ [[a]περὶ] Παραπρεσβείας φησίν. Ὁ δὲ [b]Δημοσθένης ἐν τῷ κατ' Αἰσχίνου λέγει, ὅτι [c]τὰς Ἀπολλοφάνους θυγατέρας ἐξῃτήσατο· καὶ ἔοικε μᾶλλον ἀληθεύειν. Καὶ γὰρ Ἀριστοτέλης ἔν τινι τῶν πρὸς Φίλιππον ἐπιστολῶν λέγει·

Σατύρῳ τῷ ὑποκριτῇ τὰς Ἀπολλοφάνους θυγατέρας ἀφῆκεν.

ΟΣΤΡΑΚΟΥ ΠΕΡΙΣΤΡΟΦΗ] Aliter proverbium hoc explicat Diogenianus Centur. VI. 95. quem vide. Confer etiam Eustath. ad Iliad. σ'. p. 1161. KUST. Ita ut Suidas Schol. Platon. p. 179. Vid. ib. p. 59. Adde Boissonad. ad Eunap. p. 364 et ad fr. 47. Wyttenbach. ad eundem scriptorem p. 299.

[e] μεταπεσόντος] λεγομένη πεσόντος C.

[f] Τραϊανῷ ἐν Πάρθ.] Hæc sunt verba Athenæi lib. I. c. 7. p. 7. ut Pearsonius observaverat. KUST.

ΟΣΦΡΑΝΤΙΚΟΝ αἰσθητ.——ὡς ἐπὶ τὸ ἔνδον] Hæc leguntur apud Philoponum in lib. II. Aristot. de Anima, M. 4. a. Confer etiam Nostrum supra v. Δίοσμος. KUST.

[g] ὁμοιοειδῆ ὀστέα] Mendose. Scribendum enim est, ἠθμοειδῆ ὀστέα, ut habet Philoponus loco laudato. Vel potius, ἠθμοειδῆ, per η. Quænam autem ossa vocentur ἠθμοειδῆ, præter alios docet Stephanus in Thesauro: ad quem lectorem remitto. KUST. ὁμοειδῆ A.

[h] διὰ τῆς] ὡς διὰ τοῦ C.

[i] δυνάμεως] Statim delevi Καὶ γὰρ δίοσμός ἐστιν ἡ διαπορθμευτικὴ δύναμις τῶν ὀσφραντῶν, παρὰ Θεοφράστῳ. Οὐκ ἔστι δὲ ἡ ῥὶς τὸ αἰσθητήριον, ἀλλ' ἡ μαστοειδὴς τοῦ ἐγκεφάλου ἀπόφυσις, ἢ ἀπόθεσις, cum A., quæ supra leguntur v. Δίοσμος p. 1023 B.

[k] Κατέκειτ'] κατάκειτ' A.C. Seqq. sunt ex Aristoph. Ran. 492. et Schol. in eum locum. Monuit Abreschius.

ΟΣΦΥΣ] Delevi cum A.B.E., Τὰ πλησίως τοῦ γλουτοῦ. Ἢ ἡ ῥάχις, ἢ ἡ ψόα. Ὡς μὲν Ἀριστοτέλης, ἡ ἴση πρὸς τὰ ἄνω ἐμπεφυκυῖα, ἰσοφύς τις οὖσα. Ὡς δὲ Ἀπολλόδωρος, οἱονεὶ ὀστοφυὴς οὖσα. Ὀστώδης γάρ ἐστι., quæ leguntur apud Etymol. M. ut vidit Kusterus.

ΟΣΧΕΟΣ] Ὄσχιον C.

ΟΣΧΟΦΟΡΟΙ: Δύο ἦσ.] Ex Harpocratione. KUST.

[l] πλούτῳ] τῷ πλούτῳ C.

ΟΤΤΑ καὶ ΟΣΣΑ] καὶ ὄσσα om. A.B.C. Timæum c. n. Ruhnkenii p. 197. Schol. Platon. p. 229.

[m] Ὁ δὲ τὸ μέλλ.] Valesius fragmentum hoc ad Polybium refert. KUST. Fr. Hist. 55.

[n] Ὅταν] ὅταν σε A.B.E.C.

[o] ΧΑΣΚΗΙΣ] Hanc lectionem ex mstis Paris. revocavi. Ante enim male legebatur, σχάσῃς. KUST. Recte vir doctissimus. Ita enim legitur hic locus apud Aristoph. Equit. 1029. TOUP. Deest gl. C.

ΟΤΤΕΥΟΜΕΝΗ] Respexit, opinor, Suidas Dionys. Halic. Ant. p. 556. τὴν τότε συμβᾶσαν αὐτῇ τύχην ὀττευομένη. TOUP. Sed vid. Schol. Aristoph. Lys. 597.

[p] οἰωνιζομένη om. A.

[q] Ἐξ αὐτῆς δὲ τῆς τ.] Et hoc fragmentum Valesius Polybio tribuit. KUST. De legatis, qui Carthaginem re infecta redierant. Vide Appian. TOUP.

[r] δὲ τῆς τῶν] γὰρ τῆς τῶν C.

[s] ἔπιπτον] ἐνέπιπτον A.C. Mox τὸ post ἤτοι A.B.E.C.

ΟΤΤΕΙΑ] Dion. Hal. p. 30. TOUP.

[t] Νεφέλαις] Ver. 782. Statim delevi cum A.C., Ζήτει τὴν ΔΙΟΤΙ πρὸς τὸ ΟΤΙ διαφορὰν ἐν τῷ ΔΙΟΤΙ.

[u] ὅτι κἀμοὶ εἰδέναι] Scribe, ὅτι κἀμ' εἰδέναι. Quomodo recte legitur apud Aristoph. Eccles. 350. unde hunc versiculum desumpsit Suidas. Idem autem ὅτι κἀμὲ εἰδέναι est ὡς κἀμὲ εἰδέναι. Quemadmodum locutus est Comicus in Thesmoph. 34. Μὰ τὸν Δί' οὔτοι γ', ὥστε κἀμέ γ' εἰδέναι. TOUP. κἀμ' A.E.

ΟΤΙ ΝΟΜΟΣ] Sunt hæc Harpocrationis. REINES.

ΟΤΙ ΞΕΝΟΥΣ τινὰς ἑαυτ.] Ex Harpocratione. KUST.

[x] ἑαυτοῦ] ἑαυτῷ B.E.M. Phot.

[y] δεδεμένους] δεμένους A. δεσμίους B.E. edd. ante Kuster.

[z] Σάτυρος] Vid. in Φωκίων. HEMST.

[a] περὶ παραπ.] περὶ om. A.E.

[b] Δημοσθένης] P. 401, 16. ubi vid. Taylor.

[c] τὰς Ἀπολλοφάνους θυγ.] Libanius Declam. XIV. Ἀκούομεν δὲ αὐτὸν καὶ πρὸς τὰς Ἀπολλοφάνους θυγατέρας ποιῆσαί τι παραπλήσιον· ἀφεῖναι γὰρ αὐτὰς Σατύρῳ τῷ τῆς κωμῳδίας ὑποκριτῇ. De clementia Philippi loquitur. KUST. Ex Valesio ad Harpocr.

ibid. Apollophanes Pydnæus, unus ex iis, qui Alexandrum Mac. Philippi fratrem interfecerant, Demosth. Or. de Fals. Leg. (p. 402.) Ejus filiæ a Satyro in libertatem sunt restitutæ (p. 401.) REINES.

Ὅτι παιδὶ καὶ γυναικὶ οὐκ ἐξῆν [d]ἐμβάλλειν πέρα A
[e]μεδίμνου κριθῶν.

Ὅ τι περ ἐστὶν ὄφελος ἐν τῆι πόλει: [f]Ἀριστοφάνης. Τουτέστιν, εὐγενεῖς.

Ὅτι πρὸς τὴν φυλὴν τοῦ κτησαμένου αἱ πρὸς τοὺς δούλους λαγχάνονται δίκαι.

Ὅτι ῥά: Ὅτι δή.

Ὅτι τὰ ἐπικηρυττόμενά [g]τισι χρήματα ἐπὶ τῶν βωμῶν ἐτίθετο.

B Ὅτι οἱ ποιητοὶ παῖδες ἐπανελθεῖν εἰς τὸν πατρῷον οἶκον οὐκ ἦσαν κύριοι, εἰ μὴ παῖδας γνησίους [h]καταλίποιεν ἐν τῷ οἴκῳ τοῦ ποιησαμένου.

Ὅτι οἱ ἁλόντες ἐπ' ἀκουσίῳ φόνῳ εἶχον [i]ἐξουσίαν εἰς διοίκησιν τῶν ἰδίων, Δημοσθένης τε ἐν τῷ κατὰ Ἀριστοκράτους ὑποσημαίνει, καὶ Θεόφραστος ἐν τῷ ιγ'. τῶν Νόμων.

C Ὅτι χιλίας ἐζημιοῦντο αἱ κατὰ τὰς ὁδοὺς ἀκοσμοῦσαι γυναῖκες.

Ὀτλήσοντες: Ὑπομενοῦντες, κακοπαθήσοντες. Ἐν Ἐπιγράμμασι·

> [k]Ἔνδικον ὀτλήσαντες ἀεὶ πόνον. Ἐξ ὑμέων γὰρ,
> φεῦ, πυρὸς ἐς τόσσην ἤλθομεν ἐργασίην.

Ὄτλος: Ἡ κακοπάθεια. Καὶ ὀτλεύω, τὸ κακοπαθῶ.

> [l]Τάλας, ἐφώνει, μόχθου εἶον ὀτλεύεις.

D Ὄτοβον: Ὅμαδον, ἦχον.

> [m]Οὔτε γλυκὺν αὐλῶν ὄτοβον.

Καὶ αὖθις·

> [n]Περίσταται διαπρύσιος ὄτοβος.

Ὀτοτύζειν: Θρηνεῖν.

Ὅτου χάριν: Τίνος ἕνεκεν.

Ὅτωι γὰρ φίλον: Ὧι τινι ἀρέσκει.

> [o]Ὅτῳ δὲ μὴ τάδ' ἐστὶν ἐν γνώμῃ φίλα,
> [p]κεῖνός τ' ἐκεῖνα στεργέτω, κἀγὼ ταῦτα.

Καὶ,

> Ὅτῳ ἂν αὐτὸν τιμωρήσαιντο.

Ἀντὶ τοῦ, [q]πῶς, καὶ ᾧ τινι.

Ὀτραλέως: Σπουδαίως.

B Ὁ τρέσας: [r]Ὁ Ἀριστόδημος οὕτως ἐκλήθη, ὃς σὺν [s]Εὐρύτῳ [t]τοὺς ὀφθαλμοὺς οὐκ ἐκοινώνησε τῆς τῶν Περσῶν μάχης.

Ὀτρῆος:

Ὀτρηρός: Ταχὺς, δραστήριος, ὀξύτατος.

Ὀτρίχας: Ὁμοιότριχας.

Ὁ τρυγίας: Παρὰ τῇ Γραφῇ, τὸ ἔσχατον τῆς ὀργῆς.

C Ὁ [u]τρύγοιπος ταῦτα πάντ' ἰάσεται: Ἐπὶ τῶν χρηστὰ ἐπαγγελλομένων περί τινων ὑποθέσεων.

Ὀτρυγήφατος: Ὁ Δημητριακὸς καρπός.

Ὀτρύνοντος: Κελεύοντος. [[x]Καὶ ὀτρύνω, αἰτιατικῇ.]

Οὗ: Τοπικὸν ἐπίρρημα, ἀντὶ τοῦ ὅπου.

> [y]Οὗ κῶλα κάμψον τοῦδ' ἐπ' ἀξέστου πέτρου,
> μακρὰν γὰρ ὡς γέροντι προυστάλης [z]ὁδόν.

D Ἀντὶ τοῦ, προῆλθες μακροτάτην ὁδὸν, ἢ ὡς ἔπρεπε γέροντι. Καὶ αὖθις·

> [a]Δειξάτω, οὗ κεῖται Ὁμήρου ῥαψῳδιῶν στίχος. Ἀλλ' οὐδ' ἂν Ἴωνα δικῶ τὸν ῥαψῳδὸν ἐξευρεῖν.

Οὗ: [b]Ὅτι δισσῶς [c]τοῦ οὗ ἕνεκα λεγομένου, τοῦ τε οὗ, καὶ τοῦ ᾧ. Ἡ μὲν γὰρ ψυχὴ, φησὶ, τέλος ὡς

---

ὍΤΙ ΠΑΙΔΙ] Ex Harpocrat.

[d] ἐμβάλλειν] Scribe, συμβάλλειν: ut habet Hapocratio. KUST.

[e] κριθῆς μεδίμνου] μεδίμνου κρι[θ] A. μεδίμνου κριθῶν Photius, Harpocrat.

[f] Ἀριστοφάνης] Eccles. 52. Ὁρῶ προσιούσας χ' ἑτέρας πολλὰς πάνυ Γυναῖκας, ὅ τι περ ἔστ' ὄφελος ἐν τῇ πόλει. Confer etiam Nostrum infra v. Ὄφελος. KUST. Hanc formulam illustrat Hemsterhus. ad Lucian. Tim. c. 55.

ὍΤΙ ΠΡΟΣ Τ.] Ex Harpocr. qui κεκτημένου pro κτησαμένου. REINES.

[g] χρήματά τισι] τισι χρήματα A. Phot.

ὍΤΙ ΟΙ ΠΟΙΗΤΟΙ Π.] Ex Harpocratione. Confer Petitum in Commentar. ad Leg. Att. p. 141. 142. KUST.

[h] καταλίποιεν] καταλείποιεν A.B.

ὍΤΙ ΟΙ ἉΛΟΝΤ.] Et hæc ex Harpocratione sumpta sunt. KUST.

E [i] ἐξουσίαν om. A. Photius, Harpocr. ms. Pal. Pro ea v. duo mss. alii Harpocrationis præbent φρόντισιν.

ὍΤΙ ΧΙΛΙΑΣ ἐζημ.] Vide Petitum de Leg. Att. Tit. de Adulteriis, p. 467. KUST. Reinesius citat Harpocrat. et Polluc. VIII. 9, 112.

[k] Ἔνδικον ὀτλ.] Anthol. Pal. V. 226.

ὈΤΛΟΣ] Ante h. gl. delevi, ὈΤΛΟΙ: Οἱ πλόκαμοι, cum A.B.E. Quæ fortasse irrepsit huc e Zonara, ubi ὄτλοι. Pro πλόκαμοι malebat Toupius μοχθοί, collato Hesychio.

[l] Τάλας] Ex Babrio. Tyrwhitt. p. 37.

ὈΤΟΒΟΝ] Ὄτοβον A.B. Mox καὶ αὖθις etc. om. A.

[m] Οὔτε γλυκὺν αὐλ.] Sophocl. Aj. 1202.

[n] Περίσταται διαπρ.] Sophocl. Œdip. Colon. 1478. Vide etiam supra v. Ἀμφίσταται. KUST.

ὈΤΟΤΥΖΕΙΝ] Aristoph. Pac. 1011.

ὍΤΟΥ ΧΑΡΙΝ] Aristoph. Plut. 260. 281.

[o] Ὅτῳ δὲ μὴ τ.] Sophocl. Aj. 1038. ut Portus monuit. Ibi autem versus posterior rectius sic legitur: Κεῖνός τ' ἐκεῖνα στεργέτω, κἀγὼ τάδε. KUST.

[p] ἐκεῖνος τἀκεῖνα] κεῖνός τἀκεῖνα A.C. κεῖνός τε κεῖνα B. κεῖνος τἀκεῖνα E. Mox κἀγὼ δὲ τ. A.C.

[q] ὅπως καὶ ἀντὶ τοῦ] πῶς καὶ A. πῶς item C. Mox delevi cum A.B.E. ὈΤΤΟΤΟΙ: Ἀντὶ τοῦ, φεῦ.

[r] Ὁ Ἀριστόδημος οὕτως ἐκλ.] Vide Herod. VII. 231.

[s] Εὐρύτῳ] Scribe, Εὐρύτῳ. Vide Herodotum loco laudato. KUST. Εὐρύτῳ A.

[t] τοὺς ὀφθαλμοὺς] Excidisse hic vocem νοσῶν, colligi potest ex iis, quæ Herodotus loco laudato narrat. KUST.

F ὈΤΡΗΟΣ] Homerus Il. γ'. 186. KUST. Delevi Ὄνομα κύριον, οὗ ἡ εὐθεῖα, Ὀτρεύς, cum A.B.

ὈΤΡΙΧΑΣ] Homerus Il. β'. 765. KUST.

Ὁ ΤΡΥΓΙΑΣ: Παρὰ τῇ Γρ.] Psalm. LXXIV. 9. Vide infra v. Τρυγίας. KUST. παρὰ τῇ Γραφῇ om. C.

[u] ΤΡΥΓΗΤΟΣ] τρύγοιπος A.B.E. cum Aristoph. Plut. 1088.

G ὈΤΡΥΓΗΦΑΤΟΣ: Ὁ Δημητρ.] Locus hic et corruptus est et mutilus, qui ex Lexico Photii inedito sic suppleri et emendari potest: Ὀτρυγηφάγος: Ὁ κριθοφάγος. Ἀρχίλοχος. Κατὰ πλεονασμὸν τοῦ ο. Τρύγη γὰρ, ὁ Δημητριακὸς καρπός. Etymologus: Ὀτρυγηφάγος: Τρύγη ὁ Δημητριακὸς καρπὸς ἐξ οὗ τρυγηφάγος, καὶ πλεονασμῷ τοῦ ο', ὀτρυγηφάγος. Vide etiam Hesychium. KUST. Ὀτρυλήφατος A.

[x] Καὶ ὈΤΡΥΝΩ] Hæc om. A. σε addit E. post ὀτρύνω.

[y] Οὗ κῶλα κάμψ.] Sophocl. Œdip. Colon. 19. κάμψον E.M. κάμψαν C. mox ἀξέστου C.E.

[z] ὁδόν] Ita Bas. C.D. et ni fallor A.B. ὁδοῦ E.M.

H [a] Δειξάτω, οὗ κεῖται Ὁμ.] Hæc sunt verba Synesii in Encomio Calvit. p. 82. ut Pearsonius etiam observaverat. KUST. Vid. Leopardi Emend. II. 19. qui in Suida reponit ἐξευρήσειν ex Synesio. Leopardum citat Reinesius.

[b] ὍΤΙ δισσῶς τοῦ οὗ ὁ.] Cum hoc loco conferenda sunt ea, quæ Suidas habet infra v. Τέλος. Ceterum, ne oratio pendeat, prima articuli hujus verba sic scribenda sunt, Ὅτι δισσῶς τὸ οὗ ἕνεκα λέγεται, τό τε οὗ, καὶ τὸ ᾧ, &c.

οὗ· τὸ δὲ ζῶον, ὡς ᾧ. Ποιεῖ γὰρ τὸ ὀργανικὸν σῶμα ἡ [d]φύσις τῆς μὲν ψυχῆς ἕνεκα, ἵνα χρῆται αὐτῷ ὡς τέλος ἡ ψυχὴ, ὡς οὗ. Τέλος δὲ ὡς ᾧ, τὸ ἔμψυχον. Ὥστε γὰρ ἀνεμποδίστους εἶναι [e]τῷ ζώῳ τὰς ἐνεργείας, πάντα ποιεῖ ἡ φύσις. Ἡ τοίνυν οὕτως τὸ οὗ, καὶ τὸ ᾧ, ἢ ἄλλως. Οὗ μὲν ἕνεκα, τῆς [f]κοσμοποιίας, καὶ τῆς ἀϊδιότητος· τούτου γὰρ πάντα ἐφίεται. Ὧι δὲ, τῇ ψυχῇ· [g]ταύτῃ γὰρ παρασκευάζει εἰς χρῆσιν τὸ ὄργανον· ὅπερ καὶ μᾶλλόν ἐστιν ἀληθέστερον.

**Οὐαλεντινιανὸς**, Ῥωμαίων βασιλεὺς, Χριστιανὸς, καὶ τὰ τοῦ ὁμοουσίου φρονῶν, οὐδὲν τοὺς ἐναντίους ἠδίκει. Ἐγένετο δὲ καὶ πρὸς τὸ νομοθετεῖν ἑτοιμότατος, [h]φροντίζων καὶ τῆς τῶν θησαυρῶν δικαίας ὑποδοχῆς· πρὸς δὲ ταῖς τῶν ἀρχόντων αἱρέσεσιν ἀκριβὴς, καὶ [i]τιμωρίαις τῶν ἀπειθούντων ἀπαραίτητος· [k]ἐπὶ δὲ τοῖς πολέμοις ἄριστος. Ὁ δὲ Οὐάλης τῆς Ἀρείου δόξης μεταποιούμενος, πολλοὺς ἐξορίαις [l]ὑπέβαλε· καθ' ὃν χρόνον τῆς ἐν Ῥώμῃ ἐκκλησίας Λιβέριος προειστήκει, τῆς δὲ ἐν Ἀλεξανδρείᾳ, Ἀθανάσιος, καὶ τῆς ἐν Κωνσταντινουπόλει, Εὐδόξιος, τῆς Ἀρείου θρησκείας διδάσκαλος.

**Οὐαλεντινιανὸς**, βασιλεὺς Ῥωμαίων. Οὗτος διὰ τῆς μητρὸς Ἰουστίνης παρετράπη τῆς ὀρθῆς πίστεως, καὶ ἐξεβλήθη τῆς βασιλείας· καὶ ἐλθὼν πρὸς Θεοδόσιον, ἐπαιδεύθη τὴν ὀρθὴν πίστιν. Ἔλεγε γὰρ αὐτῷ ὁ Θεοδόσιος, τὴν βασιλικὴν παράταξιν ἑστάναι, οὐ δι' ὅπλων, ἀλλ' ἐξ ἀγαθῶν προφάσεων. Καὶ, Οἶδα, φησὶν, Οὐαλεντινιανὲ, παρὰ τῶν εὐσεβεστάτων βασιλέων ἡσυχάζοντος τοῦ στρατοπέδου τὴν νίκην κατορθωθεῖσαν, καὶ τοὺς πολεμίους ὑποταγέντας, ὑποτελεῖς γεγενῆσθαι, [m]τοῦ προλαβόντος κινδύνου. Οὕτω καὶ [n]Κωνσταντῖνος ὁ μέγας ἀνορθωθεὶς Λικίνιον τὸν τύραννον ἐν ναυαγίᾳ διέφθειρεν, οὕτω καὶ Οὐαλεντινιανὸς ὁ σὸς πατὴρ εὐτυχέστερον τὴν βασιλείαν καὶ ἀβλαβῆ παρὰ τῶν πολεμίων ἰθύνων [o]ἐτέλεσε, τοῦ Θεοῦ ἐκδικοῦντος αὐτὸν, καὶ μάχας ἀναριθμήτους καὶ νίκας ἀπίστους ἐδέξατο, πολλοὺς βαρβάρους [p]διαφόρως ἀνελών. Οὐάλης δὲ ὁ θεῖος ὁ σὸς, τὸν Θεὸν διασπαράττων, ἐμίανε τὴν ἐκκλησίαν ὁ βέβηλος, διὰ τῆς σφαγῆς τῶν ἁγίων, καὶ ἐξορίας τῶν ἱερέων· ὃς τῇ τοῦ Θεοῦ βουλήσει ὑπὸ τῶν Γότθων πολιορκηθεὶς, ἐκαύθη. Ὀρθῶς τὸν Χριστὸν [q]σέβει ὁ [r]ἀδίκως σε ἐκβαλών. Ἡ σὴ ἀπιστία Μαξίμῳ εὐχέρειαν συνήνεγκεν. [s]Εἰ τὸν Χριστὸν οὐ βλέπομεν, τίνα παρακαλέσομεν μαχόμενοι; Ταῦτα καὶ πλείω τούτων νουθετήσας Θεοδόσιος Οὐαλεντινιανὸν εἰς τὴν ὀρθὴν πίστιν μετήγαγεν.

**Οὐάλης**, βασιλεὺς Ῥωμαίων. Ὃς κακοδοξῶν, καὶ συγκροτῶν τοὺς αἱρετικοὺς, εἰς τὴν ὁδὸν τῶν ἰδίων πατέρων ἐπορεύετο. Καὶ γὰρ ἐπισκόπους εἰς ἐξορίαν ἔπεμπε, καὶ πρεσβυτέρους, καὶ διακόνους, καὶ μοναχοὺς, Τατιανοῦ τότε ἄρχοντος Ἀλεξανδρείας· καὶ πολλοὺς τῶν Χριστιανῶν ἐβασάνισε, καί τινας πυρὶ παρέδωκε. Ταῦτα δὲ πάντα μετὰ τὴν τελευτὴν [t]τοῦ Ἀθανασίου. Οἱ οὖν ἐν Κωνσταντινουπόλει ὀρθόδοξοι, ἐλεηθήσεσθαι νομίζοντες ὑπὸ Οὐάλεντος, πρεσβείαν [u]ἔστειλαν πρὸς αὐτὸν ἐν Νικομηδείᾳ τυγχάνοντα, [x]ὀγδοήκοντα ἱερατικοὺς ἄνδρας, ὧν ἡγοῦντο Θεόδωρος, καὶ [y]Κουρβασὸς, καὶ Μενέδημος· οὓς ἅπαντας σὺν τῷ πλοίῳ ὑφαφθῆναι προσέταξε. Καὶ πάντες σὺν τῇ νηῒ κατεφλέχθησαν, μέχρι Δακιβίζων τοῦ πλοίου διαρκέσαντος, κἀκεῖσε διαλυθέντος.

Ἐπὶ τοῦ βδελυροῦ Οὐάλεντος [z]Λούκιός τις ἐπίσκοπος, τῆς τῶν Ἀρειανῶν αἱρέσεως, παραχρῆμα ὡς λύκος τῇ ἐκκλησίᾳ ἐπεπήδησεν. Ὁ δὲ Πέτρος εἰς τὴν Ῥώμην ἀπέφυγεν. Ὁ δὲ Λούκιος τοσαῦτα ἐνεδείξατο, οἷα οὐδὲ ἐν τοῖς διωγμοῖς τῶν Ἑλλήνων ἐγένετο· τρεῖς γὰρ χιλιάδας ἀπέστειλεν κατὰ τὴν ἔρημον ἀναιροῦντας καὶ πορθοῦντας τοὺς θεοσεβεῖς ἄνδρας.

**Οὐ ἀρᾶς**: Οὔ τινος κατάρας.

**Οὔαρος**, [a]Λαοδικεὺς, σοφιστὴς, σύγχρονος Πολέμωνος, καὶ ἄλλων.

**Οὐάρωνος**: Ὄνομα κύριον.

**Οὐ γὰρ** ([b]ἀλλά:) Ἀριστοφάνης Νεφέλαις. Ἀντὶ τοῦ, [ἀλλὰ] καὶ γὰρ, Ἀττικῶς· ὡς Καλλίμαχος·

> [c]Ἀκούσαθ' Ἱππώνακτος· οὐ γὰρ ἀλλ' ἥκω.

Ἀντὶ τοῦ, καὶ γὰρ ἥκω. [d]Καὶ ἐν Βατράχοις,

> Οὐ γὰρ ἀλλὰ,

---

Sumpta autem hæc sunt ex Philopono in lib. II. Aristot. de Anima. KUST.

[c] τοῦ] τὸ A.C.

[d] φύσις] ἡ φύσις A.B.C.

[e] τῷ ζώῳ] τῶν ζώων A.

[f] κοσμοποιίας] κομποιίας E. cum οὐκ οἶδα τί βούλεται in marg.

[g] Ταύτῃ γὰρ] γὰρ om. C.

ΟΥΑΛΕΝΤΙΝΙΑΝΟΣ, Ῥωμαίων βασ.] Hæc Joanni Antiocheno tribuuntur in Excerptis historicis a Valesio editis, p. 846. KUST.

[h] φροντίζων] φοντίζων B.E.

[i] τιμωρίαις] τιμωρίαις A.

[k] ἐπὶ δὲ] ἐπί τε A.

[l] ὑπέβαλε] ὑπέβαλλε A.

[m] τοῦ προλαβόντος κινδύνου] Hæc cum præcedentibus non satis cohærent, et locus videtur esse mutilus. KUST. Excidit forte ἄνευ vel δίχα.

[n] Κωνσταντῖνος] ὁ Κωνστ. A. qui mox Λικίννιον.

[o] ἐτέλεσε] Portus recte monuit, scribendum esse, διετέλεσε. KUST.

[p] διαφόρως] διαφόρως A.

[q] σέβεται] σέβει A.B. σέβειν E.

[r] οὐκ ἀδίκως] οὐκ om. A.B.E.

[s] Εἰ τὸν Χριστὸν οὐ βλ.] εἰς τὸν Χριστὸν βλάπτομεν A. οὐ om. B.E.

ΟΥΑΛΗΣ, βασιλεὺς Ῥωμ.] Unde hæc Suidas? KUST.

[t] τοῦ Ἀθανασίου] τοῦ om. A.E.

[u] ἔπεμψαν] ἔστειλαν A.

[x] πέμψαντες] π A.

[y] Κούρβαγος] Οὔρβανις Socrat. Hist. Eccl. IV. 16. Sozomen. VI. 14. HEMST. Conf. Wesseling. Itin. Hierosol. p. 572. Κουρβαὸ A.B.E.

[z] Λούκιός τις ἐπισκ.] Sc. episcopus Alexandrinus. Red. ad Chron. Alex. p. 9. REINES.

ΟΥ ἈΡΑΣ] Deest gl. A.

ΟΥΑΡΟΣ] De hoc vide Philostr. lib. II. de Vit. Sophist. p. 615. KUST.

[a] Λαοδικεὺς om. E.

[b] ἈΛΛΑ om. A.C.E. Nubium locus est v. 232. Mox ἀλλὰ ante καὶ γὰρ om. E. cum Schol. Aristoph.

[c] Ἀκούσαθ' Ἱππ.] Est versus Hipponactis, quem citat etiam Hephæstio, p. 17. ubi de choliambo agit. Confer Bentleium ad Fragm. Callim. 92. KUST. ἀκούσαντες A.

[d] Καὶ ἐν Βατάχοις] Seqq. exhibui cum A.C. Edidit Kusterus ΟΥ ΓΑΡ ἈΛΛΑ: ἀντὶ τοῦ, καὶ γὰρ, Ἀττικῶς. Ὁ δ' εἶπεν· Οὐ γὰρ ἀλλ' ἔχω κακῶς. (Aristophanis Ran. 58.) Ἀντὶ τοῦ, ἔχω γὰρ κακῶς. Τὸ δὲ ἈΛΛΑ παρέλκει.

ἀντὶ τοῦ καὶ γὰρ, Ἀττικῶς. Ἀντὶ τοῦ ἔχω γὰρ κακῶς. Ὁ δὲ εἶπεν,

Οὐ γὰρ ἀλλ' ἔχω κακῶς.

Τὸ [redacted] ἀλλὰ παρέλκεται καὶ ἐν Βατράχοις·

Οὐ γὰρ ἀλλὰ [e] πειστέον.

[f] Ἀντὶ τοῦ, καὶ γὰρ πειστέον. Οὐδαμῶς, φησὶν, ὀφείλεις λέγειν, ἀλλὰ καὶ διδόναι, ἵνα σοὶ πιστεύσω, ὅτι ἀληθῶς ἐπαγγέλλῃ μοι αὐτὰ διδόναι. Καὶ ἐν Θεσμοφοριαζούσαις·

[g] Οὐ γὰρ ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ 'κκλησία.

ΟΥ ΓΑΡ ἌΚΑΝΘΑΙ: [h] Λεγόμενον ἐπὶ τῶν ὠφελίμων, ἀπὸ τῆς τοῦ βίου εἰς τὸ ἡμερώτερον μεταβολῆς.

ΟΥ ΓΑΡ [i] Μ' ΟΥ 'ΣΤΙΝ ἈΛΛ' ἈΚΟΥΣΤΕΑ: Τὸ τέλειον, Οὐ γὰρ ἀλλά μοι ἐστὶν ἀκουστέα. Ἀντὶ τοῦ, πάνυ γάρ. Ἀριστοφάνης [k] Βατράχοις. Καὶ ἐν Ἱππεῦσιν·

Ἀπιθ'· οὐ γὰρ ἀλλὰ τοῦ παραθέντος ἡ χάρις.

Ἀντὶ τοῦ, καὶ γὰρ τοῦ παραθέντος ἡ χάρις.

ΟΥ ΓΑΡ ΠΕΙΣΕΙΣ, ΟΥΔ' ἨΝ ΠΕΙΣΗΙΣ: Καθ' ὑπερβολὴν λέγει. Κἂν πείσῃς, οὐχ ἕξεις ἡμᾶς πειθομένους.

[ΟΥΓΚΙΑ: Εἶδος μέτρου· ἢ σταθμός.]

ΟΥΔΑΜΑ:

[l] Καὶ μέντοι τῆς ἀδείας Ἐπίκουρος ἠνέγκατο μισθὸν οὐδαμὰ οὐδαμῇ μεμπτόν.

ΟΥΔΑΜΗ: Ἀντὶ τοῦ, οὐδαμόθι. Τηλεκλείδης Ἡσιόδῳ. Αἰλιανός·

Ὁ [redacted] ἀποκτείνει αὐτοὺς, καὶ [m] περισυλᾷ ὅσους ἐπηγάγοντο. Ἦν [redacted] κόσμος καὶ σκευὴ περὶ τὴν τέχνην τὴν [n] ἑκατέρου οὐδαμῇ εὐκαταφρόνητα.

Καὶ αὖθις·

[o] Καὶ μαρτύρια ἐπάγονται οὐδαμῇ ἄσημα.

ΟΥΔΑΜΙΝΟΣ: [[p] Οὐτιδανὸς, εὐτελής.]

ΟΥΔΑΜΩΣ: Κατ' οὐδένα τρόπον.

ΟΥΔ' [q] ἈΠΟ ΓΕΙΣΩΝ ὟΣΕΝ: Ἐπὶ τοῦ ἐλαχίστου.

ΟΥΔΕ ΓΡΥ ΛΟΓΩΝ ἉΨΑΜΕΝΟΣ, ὍΣΑ ΓΕ ΕΙΚΟΣ ἘΣΤΙ

A ΤΑΙΣ ἘΠΙΣΤΟΛΑΙΣ ΣΟΥ ΤΕΚΜΗΡΑΣΘΑΙ: Ἰουλιανός.

ΟΥΔΕ ἩΡΑΚΛΗΣ ΠΡΟΣ ΔΥΟ: [r] Τοὺς Μολιονίδας ἔφυγε. [s] Δίων δὲ ἐν δευτέρῳ τῆς δευτέρας συντάξεως, Ἡρακλέα τὸν Ἰδαῖον Δάκτυλον, καταδείξαντα Ὀλύμπια, πρὸς δύο διαπυκτεύσαντα ἡττηθῆναι.

ΟΥΔΕΝ ἈΝΗΚΕ: Περισσὸν τὸ δεν. ἀντὶ τοῦ, οὐκ ἀνῆκεν.

Οὐδὲν ἀνῆκεν εὔνους τε τῇ πατρίδι τῇ ἑαυτοῦ.

B ΟΥΔΕΝ ἈΝΙΕΙ:

[t] Αὐτός τε οὐδὲν ἀνίει, παράδειγμα ἑαυτὸν ἀποδεικνὺς τῆς τε ἄλλης ἀσκήσεως, καὶ παντὸς ἔργου στρατιωτικοῦ.

Καὶ αὖθις·

Οὐδέν τι [u] πλέον ἀνίει ὁ νεανίας, τάς τε [x] προσβολὰς ἀνακόπτων, καὶ πᾶσαν βουλὴν ἀμαστηρίων διανοούμενος.

ΟΥΔΕΝ ἈΠΟ ΤΡΟΠΟΥ: Ἀντὶ τοῦ, οὐκ ἀπεικὸς, Ἀττικοί.

C ΟΥΔΕΝ ΓΑΡ ΟΙΟΝ ἈΚΟΥΕΙΝ ΑΥΤΟΥ ΤΟΥ ΝΟΜΟΥ: Οὐ γὰρ τοιοῦτον ἐγὼ δύναμαι εἰπεῖν, οἷον ὁ νόμος.

[y] ΟΥΔΕΝ ΓΑΡ ΟΙΟΝ, Ὦ ΦΙΛΗ ΛΥΣΙΣΤΡΑΤΗ: [z] Ἀντὶ τοῦ, τὸ κωλῦον.

ΟΥΔ' ἘΝ ΔΕΡΜΑΤΙ: Ἀντὶ τοῦ γυμνός. Ὑπερβολικῶς.

ΟΥΔΕΝ ΔΕ ΟΙΟΝ ἘΣΤ' ἈΚΟΥΣΑΙ ΤΩΝ ἘΠΩΝ: Τουτέστιν, οὐδὲν κωλύον ἐστὶ καὶ νῦν ἀκοῦσαι τῶν χρησμῶν.
D Οὕτως ἔλεγον τὸ λυσιτελοῦν. ΟΥΔΕΝ ΟΙΟΝ, οὐδὲν κωλύον.

ΟΥΔΕΝ ἘΛΑΤΤΟΝ:

Ὁ [redacted] ἐκήλει τοὺς ἀκούοντας οὐδὲν ἔλαττον, εἰ μὴ καὶ πλέον, [a] ἢ Ὀδυσσεὺς Ὁμήρου τοὺς Φαίακας. [b] Ὁ μέν γε Ἀλκίνους ἀπολογίας μεστὸς, ἐν μὲν ἐπινοίαις ἀληθευούσης, ἐν δὲ τῷ φανερῷ διαβεβλημένης εἰς τὸ ψευδέστερον.

E ΟΥΔΕΝ ἘΞ ἈΓΡΟΥ ΛΕΓΕΙΣ: Ἀντὶ τοῦ, οὐδὲν εὐτελὲς, ἢ κοινόν.

ΟΥΔΕΝ ἘΣΤ' ἌΜΕΙΝΟΝ, ΟΥΔ' ἭΔΙΟΝ, Ἢ ΦΥΣΑΙ ΠΤΕΡΑ:

ΟΥΔΕΝΕΣ: Οἱ οὐδαμινοὶ τῶν ἀνθρώπων. Καὶ ΟΥΔΕΝΕΙΑ, ἡ [c] ἀπανθρωπία.

---

[e] πειστέον] Ran. 501.
[f] Ἀντὶ τοῦ κ. γ. πειστέον om. A.
[g] Οὐ γὰρ ἀλλ' ὑπερφ.] Eccl. 386.
ΟΥ ΓΑΡ ἌΚΑΝΘΑΙ] Confer Nostrum supra v. Ἀληλεσμένον. KUST. 2 seqq. gl. om. C.
[h] Λεγόμενον] λεγόμενα A. Photius.
[i] Μ' ΟΥΣΤΙΝ—ἈΚΟΥΣΤΕΑ] μου τιν'—ἀκουστέα A. Fere cum cod. Rav.
[k] Βατράχοις] Ver. 1211. Seqq. sunt ex Eq. 1202.
ΟΥ ΓΑΡ ΠΕΙΣΕΙΣ, ΟΥΔ' ἨΝ Π.] Aristoph. Plut. 600.
ΟΥΓΚΙΑ] Deest gl. A.C.
ΟΥΔΑΜΑ] Οὐδαμὰ A. et in exemp. Οὐδαμὰ οὐδαμῇ C. nec plura.
[l] Καὶ μέντοι τῆς ἀδ.] Fragmentum hoc ex Æliano depromptum esse discimus ex ipso Suida supra v. Ἐπίκουρος: ubi integer locus affertur. KUST. p. 1365 B.
[m] περισυλᾷ] περισυλοῖ A.C. Debebant περισυλᾷ.
[n] ἑκατέρου] ἑκατέρων C.
[o] Καὶ om. A. Statim omisi cum A.C., ΟΥΔ' ΑΙΜΑΤΙ ΚΛΑΙΩ: Ζήτει ἐν τῷ ΑΙΜΑΤΙ ΚΛΑΙΕΙΝ.
[p] Οὐτιδανὸς, εὐτελὴς om. A.C. Addit C. ἐπὶ τοῦ ἐλαχίστου.
[q] ἈΠΟ ΓΗΣ ὪΝΗΣΕΝ] ἀπὸ γῆς ὤνησεν A. ἀπὸ γείσων ὗσεν Photius. ἀπὸ γῆς ὄνησις Apostol. XIV. 93. ἐπὶ γῆς ὤνησεν B. Mox τῆς ἐλαχίστου E.M. Deest hæc gl. et 2 seqq. C.
ΟΥΔΕ ἩΡΑΚΛΗΣ ΠΡ.] Vide paulo inferius v. Οὐδ' Ἡρακλῆς. KUST. Vid. Fischer. ad Platon. Phæd. c. 38. p. 378. Wyttenbach. ad eund. p. 237.
[r] Τοὺς Μολιονίδας ἔφ.] Ante τοὺς Μολ. addiderim, διότι: ut
F legatur, διότι τοὺς Μολ. KUST. τοὺς γὰρ Photius.
[s] Δίων] Dionem Chrysostomum intelligit Reimarus ad Dion. Cass. t. II. p. 1521. Rationes apud ipsum vide.
[t] Αὐτός τε οὐδὲν ἀνίει om. C.
[u] πλέον] πλεῖον A.
[x] προσβολὰς] προβολὰς A.C.
ΟΥΔΕΝ ἈΠΟ ΤΡΟΠΟΥ] Vid. Schol. Platon. p. 17. 166. Plures gl. h. l. om. C.
ΟΥΔΕΝ ΓΑΡ ΟΙΟΝ ἈΚΟΥΕΙΝ ΑΥΤΟΥ ΤΟΥ ΝΟΜΟΥ] Hæc sunt verba Demosthenis in oratione contra Midiam.
G KUST. P. 529, 11.
[y] Οὐδὲν γ.] Aristoph. Lysistr. 135. ὀφείλει λ. M.
[z] Ἀντὶ τοῦ, κωλύον] Hæc interpretatio aliena est a citato loco Aristophanis. Confer Lexica vulgata. KUST. Sic tamen Schol. τὸ κωλῦον A.
ΟΥΔΕΝ ΔΕ ΟΙΟΝ ἘΣΤ' ἈΚ.] Aristoph. Av. 967.
[a] ἢ Ὀδυσσεὺς] ἢ om. A.B.E.M. Ald.
[b] Ὁ μέν γε Ἀλκίνους ἀπολ.] Hæc corrupta sunt. KUST. Legendum forte, Ὁ μέν γε Ἀλκινόου ἀπόλογος εὐγλωττίας
H μεστός.
ΟΥΔΕΝ ἘΣΤ' ἈΜ.] Aristoph. Av. 786. ἢ φῦσαι πατέρα M.
ΟΥΔΕΝΕΣ] Euagrius p. 264. οὐδένες τῶν ἀνθρώπων. TOUP. Eupol. in Ἀνήρρησιν. HEMST. Deest gl. A.
[c] ἀπανθρωπία] Interpretatio inepta. Rectius, ἀσθένεια, vel εὐτέλεια: ut interpretatur Hesychius. KUST. Scribendum, Οὐδένεια: Ἀνανδρία. Error ortus ex compendio

A Οὐδέν ἐστι θηρίον γυναικὸς ἀμαχώτερον,
Οὐδὲ πῦρ, οὐδ' ὧδ' ἀναιδὴς οὐδεμία πάρδαλις:

Οὐδὲν ἦλθε ῥαψαμένη σκύτινον καθειμένον: Παρέλκει τὸ δὲν. Ἤθελε γὰρ εἰπεῖν, οὐκ ἦλθε, συνήθως.

Οὐδὲν ἦν παρά τ' ἄλλα πλὴν ὁ χρυσός:

Οὐδὲ Ἡρακλῆς πρὸς δύο: Φασὶν Ἡρακλέα θέντα τὸν Ὀλυμπιακὸν ἀγῶνα, πιστεύσαντά τε τῇ
B ἑαυτοῦ δυνάμει, τῇ προτεραίᾳ πενταετηρίδι πυκτεῦσαι πρὸς δύο, [d]Κτέατον καὶ Εὔρυτον, τοὺς Ποσειδῶνος καὶ Μολιόνης παῖδας, καὶ [e]ἀνελεῖν αὐτούς· τῇ δευτέρᾳ δὲ πάλιν ὁμοίως πρός τινας δύο πυκτεύσαντα, ἡττηθῆναι.

Οὐδὲν ἧττον: Ἀντὶ τοῦ [f]ἴσον, ὅμοιον.

[g]Φιλοσοφοῦντες οὐκ ἔστι μαντικὴν ἐπαγγέλλεσθαι καὶ προφέρειν, οὐδὲ τὴν ἄλλην ἱερατικὴν ἐπιστήμην. Χωρὶς γὰρ τὰ τῶν φιλοσόφων
C καὶ τὰ τῶν ἱερέων ὁρίσματα, οὐδὲν ἧττον ἢ τὰ λεγόμενα Μυσῶν καὶ Φρυγῶν.

Καὶ αὖθις·

[h]Ὀρχούμενος τῆς νυκτὸς οὐδὲν παύεται.

Παρέλκει τὸ δὲν. Καί,

Οὐδὲν ἐπαύετο ἀεὶ τοῖς βιβλίοις ἐνδιαιτώμενος.

Παρέλκει τὸ δὲν.

D Οὐδεναιός: Πολυχρόνιος. [Ὃς καὶ δηναιὸς λέγεται.]

Οὐδένεια: [i]Ἡ ἀπανθρωπία.

Οὐδὲν ἱερόν: Ἡρακλῆς εἶπεν, Ἀδώνιδος ἰδὼν ξόανον, ὡς τῶν εὐεργετησάντων τοὺς ἀνθρώπους [k]μόνων ὀφειλόντων τιμᾶσθαι· ἤ, ὅτι οἱ καταφυγόντες εἰς αὐτὸ δοῦλοι ἄδειαν οὐκ εἶχον.

Οὐδενὶ σὺν νῷ: Τουτέστιν, ἀφρόνως.

Ὅς τε καὶ τὴν στρατηγίαν οὐδενὶ σὺν νῷ πυθόμενος φαίνεται.

Οὐδενί τῳ ἄλλῳ: Οὐδενί τινι.

Οὐδὲν λευκῶν ἀνδρῶν ὄφελος, [l]ἢ σκυτοτομεῖν: Ἐπὶ τῶν εἰς μηδὲν λυσιτελούντων. Παρ' ὅσον οἱ μέλανες τῶν λευκῶν λυσιτελέστεροι.

Οὐδὲν μᾶλλον: [m]Ὅτι οἱ Σκεπτικοί, τουτέστιν οἱ Πυρρώνειοι, τὰ τῶν αἱρέσεων δόγματα πάντα ἀνατρέποντες, αὐτοὶ οὐδὲν ἀποφαίνονται δογματικῶς· [n]προφέρονται δὲ ἀποφάσεις [o]εἰς μήνυσιν τῆς ἀπροπτωσίας, ὡς εἰ καὶ νεύσαντας τοῦτο ἐνεδέχετο δηλῶσαι. [p]Διὰ τῆς οὐδὲν ὁριζομένης φωνῆς τὸ τῆς [q]ἀρρεψίας πάθος δηλοῦται· ὁμοίως δὲ καὶ διὰ τῆς, "Οὐδὲν μᾶλλον," καὶ τῆς, "Παντὶ λόγῳ λόγος ἀντίκειται," καὶ ταῖς ὁμοίαις. [r]Λέγεται δὲ τὸ "Οὐδὲν μᾶλλον" [s]καὶ θετικῶς, ὡς ὁμοίων τινῶν ὄντων· οἷον, "Οὐδὲν μᾶλλον ὁ πειρατὴς "κακός, [t]ἢ ὁ ψεύστης." Ὑπὸ δὲ τῶν Σκεπτικῶν οὐ θετικῶς, ἀλλ' ἀναιρετικῶς λέγεται· ὡς ὑπὸ τοῦ ἀνασκευάζοντος, καὶ λέγοντος, "[u]Οὐ μᾶλλον [x]ἡ Σκύλλα γέγονεν "ἢ Χίμαιρα." Αὐτὸ δὲ τὸ "μᾶλλον" ποτὲ μὲν συγκριτικῶς ἐκφέρεται· ὡς ὅταν φῶμεν "μᾶλλον τὸ μέλι "γλυκύ, ἢ τὴν σταφίδα" ποτὲ δὲ θετικῶς καὶ ἀναιρετικῶς· ὡς ὅταν λέγωμεν, "Μᾶλλον ἡ ἀρετὴ ὠφελεῖ, "ἢ βλάπτει." Σημαίνομεν [y]γάρ, ὅτι ἡ ἀρετὴ ὠφελεῖ, βλάπτει δ' οὔ. Ἀναιροῦσι [z]δὲ οἱ Σκεπτικοὶ καὶ αὐτὴν τὴν "οὐδὲν μᾶλλον" φωνήν. [a]Ὡς γάρ, "Οὐ μᾶλλόν "ἐστι πρόνοια, ἢ οὐκ ἔστι" οὕτω καὶ [b]τό, "οὐδὲν "μᾶλλόν ἐστιν, ἢ οὐκ ἔστι." Σημαίνει οὖν ἡ φωνή, τὸ μηδὲν ὁρίζειν, [c]ἀλλ' ἀπροσθετεῖν. Ἡ δὲ "Παντὶ "λόγῳ" φωνή, καὶ αὐτὴ συνάγει τὴν [d]ἐποχήν. Τῶν

E scripturæ. Usurpatur autem vox οὐδένεια de homine ignavo, et qui nullius frugis sit. Strabo lib. XIV. p. 984. Τοῖς δὲ Κίλιξιν ἀρχὴν τοῦ τὰ πειρατικὰ συνίστασθαι Τρύφων αἴτιος κατέστη, καὶ ἡ τῶν βασιλέων ΟΥΔΕΝΕΙΑ. *Cilicibus autem, ut societates prædandi in mari inirent, Trypho auctor fuit, et regum socordia.* Polybius in Fragment. p. 1506. Ἐξ ἔθους γὰρ παλαιοῦ ξένους ἔτρεφον τοὺς τὰ ὅπλα ἔχοντας, ἄρχειν μᾶλλον ἢ ἄρχεσθαι δεδιδαγμένους διὰ ΤΗΝ ΤΩΝ ΒΑΣΙΛΕΩΝ ΟΥΔΕΝΕΙΑΝ. Jamblichus in Protreptico, c. 14. Ἡ ὡς ἀληθῶς δεινότης ἀνδρός, καὶ ἡ ΟΥΔΕΝΕΙΑ ΚΑΙ ἈΝΑΝΔΡΙΑ.
F Hæc sunt Platonis verba in Theæteto p. 157. edit. Lips. TOUP.

ΟΥΔΕΝ ἘΣΤΙ ΘΗΡ.] Aristoph. Lysistr. 1013.

ΟΥΔΕΝ ἮΛΘΕ] Aristoph. Nub. 538.

ΟΥΔΕΝ ἮΝ ΠΑΡΑ] Athenæus XIV. p. 625 E. Πύθερμος, οὗ μνημονεύει Ἀνάνιος ἢ Ἱππῶναξ ἐν τοῖς ἰάμβοις οὕτως· Χρυσὸν λέγει Πύθερμος ὡς οὐδὲν τἄλλα. Λέγει δ' οὕτως ὁ Πύθερμος, Οὐδὲν ἦν ἄρα τἄλλα πλὴν ὁ χρυσός. Hæc verba scolii initium esse, Pythermo adscripti, docet Prov. Vat. App.
G III. 14.

ΟΥΔΕ ἩΡΑΚΛΗΣ] Vid. Schol. Platon. p. 11. Οὐδὲν Ἡ. M.

[d] Τέατον] Zenobius, Κτέατον. At in Vaticana Proverb. Append. idem vocatur, Κλέατος. KUST. Κτέατον A.B. Schol. Platon.

[e] ἀνελεῖν] ἀνεῖλεν B. Mox τινας om. E.

[f] ἴσον] ἧσσον C.

[g] Φιλοσοφοῦντας οὐκ ἔστι μαντ.] Hæc in Synesii Epistolis me legisse puto; eademque repetuntur infra v. Χωρίς. KUST. Damascii est, ut patet ex Photio p. 561, 24.
H HEMST. Et vidit Kusterus ad v. Χωρίς. Seqq. om. C.

[h] Ὀρχούμενος] Aristoph. Vesp. 1469.

ΟΥΔΕΝΑΙΟΣ: Πολυχρόνιος] Scribe, Οὐ δηναιός: Οὐ χρόνιος, ut recte Hesychius. KUST. Mox ὃς καὶ δ. λ. om. A.B.

[i] Ἡ ἀπανθρωπία] Hanc interpretationem rejecimus jam supra v. Οὐδένες. KUST.

ΟΥΔΕΝ ἹΕΡΟΝ] Vid. Schol. Theocriti V. 21.

[k] μόνων] μόνον A.B.

ΟΥΔΕΝΙ ΣΥΝ ΝΩΙ] Aristoph. Nub. 580. μηδενὶ ξὺν νῷ. Seq. gl. om. A.

[l] Ἢ ΣΚΥΤΟΤΟΜΕΙΝ] Huc egregie facit locus apud Aristoph. Eccles. 385. ubi Chremes, cum concionem in foro albis hominibus plenam vidisset, eam concioni σκυτοτόμων assimilat. Vide Nostrum infra v. Σκυτοτόμος, ubi locus ille Aristophanis adducitur. KUST.

[m] ὍΤΙ οἱ Σκεπτικοί, τουτέστιν οἱ Πυρρ.] Vide Diog. Laërtium in Pyrrhone, num. 74. et seqq. unde totum hunc articulum excerpsit Suidas. KUST.

[n] προφέρονται] προσφέρονται A.B.

[o] εἰς μήνυσιν τῆς ἀπροπτωσίας] Interpretatur Kusterus, *ut ostendant, se non temere rebus assentiri.*

[p] Διὰ τῆς οὐδὲν ὁριζ.] Scribe, διὰ τῆς οὖν Οὐδὲν ὁρίζομεν, φωνῆς, &c. ut apud Laërtium. KUST.

[q] ἀρρεψίας] ἀρεψίας A.E.M.

[r] Λέγεται δὲ τὸ Οὐδὲν μ.——βλάπτει δ' οὔ] Hæc leguntur etiam supra v. Μᾶλλον. KUST.

[s] καὶ θετικῶς] καὶ om. A.B.E. Mox οὐδὲν A.

[t] ἢ ὁ ψεύστης] ἔστιν ἢ καὶ ψ. A.

[u] Οὐ μᾶλλον ἡ Σκ.] Laërtius rectius, Οὐ μᾶλλον ἡ Σκύλλα γέγονεν, ἢ ἡ Χίμαιρα. KUST.

[x] ἡ Σκύλλα] ἡ Σκ. B.E. Mox ἡ Χίμαιρα non καὶ Χ. A. B.E.

[y] γάρ] οὖν A.

[z] δὲ καί] καὶ om. A.B.E.

[a] Ὡς] ὡς γὰρ A.

[b] τὸ οὐδὲν μᾶλλόν ἐστ.] Supple ex Laërtio, τὸ οὐδὲν μᾶλλον οὐ μᾶλλόν ἐστιν, ἢ οὐκ ἔστι. KUST.

[c] ἀλλ' ἀπροσθετεῖν] ἀλλὰ προσθετεῖν A.B.E.M.

[d] ἐποχήν] τὴν ἐποχὴν A.B.E.

μὲν γὰρ πραγμάτων διαφωνούντων, τῶν δὲ λόγων ἰσοσθενούντων, ἀγνωσία τῆς ἀληθείας ἐπακολουθεῖ. [e]Εἰσὶ δὲ δέκα τρόποι, καθ' οὓς [f]τὰ ὑπερκείμενα παραλλάττοντα ἀπεφαίνετο.

Οὐδὲν μέλον αὐτῷ:

Τὸ δὲ τῶν Ῥωμαίων ἄθροισμα ἀπόμαχον ἦν, οὐδὲν μέλον αὐτῷ περὶ ἀλλοτρίου [g]πράγματος, τῶν γινομένων τὴν φροντίδα τιθέμενον.

Οὐδὲν πρὸς ἔπος: [h]Ἀντὶ τοῦ, ὡς ἔτυχεν, ἕνεκα μηδενός.

[i]Οὐδὲν πρὸς ἔπος οὕτως ἀνοήτως ἐκβαλῶ,
πρὶν ἐκπύθωμαι πᾶν τὸ πρᾶγμ', ὅπως ἔχει.

Οὐδὲν πρὸς τὸν Διόνυσον: Ἐπιγένους τοῦ Σικυωνίου τραγῳδίαν εἰς τὸν Διόνυσον ποιήσαντος, ἐπεφώνησάν τινες τοῦτο· ὅθεν ἡ παροιμία. Βέλτιον δὲ οὕτως· Τὸ πρόσθεν εἰς τὸν Διόνυσον γράφοντες, τούτοις ἠγωνίζοντο, ἅπερ καὶ Σατυρικὰ ἐλέγετο· ὕστερον δὲ μεταβάντες εἰς τὸ τραγῳδίας γράφειν, κατὰ μικρὸν εἰς μύθους καὶ ἱστορίας ἐτράπησαν, μηκέτι τοῦ Διονύσου μνημονεύοντες· ὅθεν τοῦτο καὶ ἐπεφώνησαν. Καὶ Χαμαιλέων ἐν τῷ Περὶ Θέσπιδος τὰ παραπλήσια ἱστορεῖ. Θεαίτητος δὲ ἐν τῷ Περὶ παροιμίας, Παρράσιον φησὶν τὸν ζωγράφον ἀγωνιζόμενον παρὰ Κορινθίοις [k]ποιῆσαι Διόνυσον κάλλιστον· τοὺς δὲ ὁρῶντας τά τε τῶν ἀνταγωνιστῶν ἔργα, ἃ κατὰ πολὺ ἐλείπετο, καὶ τὸν τοῦ Παρρασίου Διόνυσον, ἐπιφωνεῖν, "Τί πρὸς "τὸν Διόνυσον;" ἐπὶ τῶν μὴ τὰ προσήκοντα τοῖς ὑποκειμένοις φλυαρούντων. Καὶ αὖθις·

Τὸν Κόρινθον Ὀδυσσέα φήσας εἶναι τὸν πολύτροπον. Καίτοι μὴ πρὸς τοῦτο παράδειγμα φέρων, τῇ φάτνῃ προσάγεις τὸν κύνα, καὶ πρὸς τὸν Διόνυσον ἄγεις οὐδέν.

Οὐδὲν προτιμῶ σου: Ἀντὶ τοῦ, οὐ [l]φροντίζω σου. Ἡ φράσις Ἀττική. [m]Ἀριστοφάνης Πλούτῳ·

Φορῶ γὰρ τὸν δακτύλιον [n]τουτονὶ παρ' Εὐδάμου [o]δραχμῆς.

Εὔδαμος δὲ φιλόσοφος ἦν.

Οὐδ' ἐν σελίνοις: Ἐπὶ τῶν μηδὲ [p]τὴν ἀρχὴν πεφθακότων. Ἀπὸ τῶν εἰς τοὺς κήπους ἰόντων. Ἐπὶ γὰρ τὰ ἄκρα, τοὺς λεγομένους περικήπους, σέλινα καὶ πήγανα κατεφύτευον. Βούλεται οὖν λέγειν ἡ παροιμία, οὔπω οὐδὲ ἀρχὴν ἔχεις τοῦ πράγματος· καθάπερ οὐδὲ οἱ ἐν τοῖς κήποις εἰσιόντες ἐν τοῖς σελίνοις εἰσί.

Οὐδέν τι πλέον εἶχον ἀνύειν οἱ βάρβαροι. [q]Οὔτοι ᾤοντο χρῆναι μὴ οὐχὶ γενναιότατα συμπλέκεσθαι τοῖς πολεμίοις.

Οὐδὲν φρονεῖ δίκαιον [r]ἑστυκὼς ἀνήρ:

Οὐ δέον: Οὐ πρέπον.

[s]Ἐκστῆναι τῶν χωρίων, ὧν Θευδίβερτος οὐ δέον ἐπιβατεῦσαι διὰ σπουδῆς ἔσχεν.

Οὐδέποτ' ἐγὼ τοῦτον ὑποδέξομαι· οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται, ὅτι [t]παροίνιος ἀνὴρ ἔφυ: Ἐν ταῖς τῶν πότων συνόδοις ᾖδον μέλος [u]τι, Ἁρμόδιον καλούμενον, οὗ ἡ ἀρχή·

Φίλταθ' Ἁρμόδι', οὔτι που τέθνηκας.

Ἦιδον δὲ αὐτὸ εἰς Ἁρμόδιον καὶ Ἀριστογείτονα, ὡς καθῃρηκότας τὴν τῶν [x]Πεισιστρατιδῶν τυραννίδα. Ἦν δὲ καὶ ἕτερα μέλη, τὸ μὲν Ἀδμήτου λεγόμενον, τὸ δὲ, Λάμπωνος. Ὁ δὲ λόγος, Οὐδέποτε παρ' ἐμοὶ ἑστιαθήσεται ὁ τοιοῦτος. Παροίνιος δὲ, ὁ μέθυσος, καὶ ὑβριστής.

Οὐδὲ πυρφόρος: Ὅταν πολλοὺς ἀποφῆναι [y]βουλώμεθα τοὺς τελευτήσαντας, λέγομεν, ὅτι οὐδὲ πυρφόρος ὑπελείφθη. Οἷον, οὐδὲ ὁ τὸ [z]πῦρ οἴσων εἰς τὴν πόλιν. Καθάπερ εἰ ἐλέγομεν, οὐδὲ σκηνοφύλαξ, ἤ τις τῶν παραπλησίων.

Οὐδὲ πυρφόρος ἐλείφθη: Ἐπὶ τῶν μεγάλων [a]κινδύνων εἴρηται ἡ παροιμία· ἐπειδὴ πάσης πολεμικῆς παρασκευῆς ἔδει τὸν μάντιν ἡγεῖσθαι, δάφνης ἔχοντα κλάδους, καὶ στέμματα, καὶ λαμπάδα· καὶ τούτου νόμος ἦν μόνου φείδεσθαι τοὺς πολεμίους. Ἐπὶ τοίνυν τῶν πανωλεθρίᾳ διεφθαρμένων καιρὸν ἔσχεν ἡ παροιμία.

[e] Εἰσὶ δὲ] δὲ om. A.B. εἰσὶ δὲ κακότροποι E. Mox ἢ A. pro καθ' οὓς.

[f] τὰ ὑπερκείμενα παραλλ.] Laërtius, τὰ ὑποκείμενα παραλλάττοντα ἐφαίνετο. KUST.

[g] πράγματος] τοῦ πρ. A.

ΟΥΔΕΝ ΠΡΟΣ ʹΕΠΟΣ] Lucianus in Philopseud. c. 1. Οὐδὲν πρὸς ἔπος ταῦτά φασιν, οὐδὲ περὶ τούτων ἠρόμην. De origine adagii disputat Alciatus lib. II. Dispunct. et hic Erasmus. Nec abludit Pindari illud in Nemeis, παρὰ μέλος ἔρχεσθαι. SCHOTT.

[h] Ἀντὶ—μηδενός] Hæc iterant A.B.E.M. post seq. exemplum. Sunt verba Scholiastæ Aristoph. ἐκ τοῦ μ. M.

[i] Οὐδὲν πρὸς ἔπος κ.τ.] Aristoph. Eccles. 746.

ΟΥΔΕΝ ΠΡΟΣ ΤΟΝ Δ.] A. Schott. ad Zenobii Prov. V. 40. HEMST.

[k] ποιῆσαι Διόνυσον κάλλιστον] Strabo VIII. 381. Polybius excidium Corinthi deplorans narrat vidisse se tabulas a militibus projectas, eosque in illis talis ludentes: inter istas fuisse Dionysum ab Aristide pictum, ἐφ' οὗ εἰρῆσθαι τινας φησὶ τὸ, οὐδὲν πρὸς τὸν Διόνυσον, et Deianiram tunica induta conflagrantem. REINES.

[l] φροντίζω] οὐ φροντίζω A.B.C.E.M.

[m] Ἀριστοφάνης Πλούτῳ] Ver. 884. Οὐδὲν προτιμῶ σου· φορῶ γὰρ πριάμενος Τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμου δραχμῆς. KUST. Totum hunc locum reddidi secundum A.B.E. Vulgo addunt οὐδὲν προτιμῶ σου post Πλούτῳ, et πριάμενος ἀντὶ τοῦ οὐ φροντίζω σου post δραχμῆς.

[n] τουτονὶ] τουτὶ A.C. τὸν om. C.

[o] δραχμῆς] δραχμήσαντα οὐ φροντίζω σου C.

ΟΥΔ' ʹΕΝ ΣΕΛΙΝΟΙΣ] Aristoph. Vesp. 478. et Schol. HEMST.

[p] τὴν ἀρχὴν πεφθακότων] ἐπὶ τὴν ἀρχὴν ἐφθακότων Photius.

[q] οὔτοι] οὔ τι A. Dedi οὔ τοι. Mox γενναιότητα edd. vett.

[r] Ἑστυκώς] A στύων. Vide Eustath. ad Il. δ. p. 455. et Nostrum supra v. Ἑστυκώς. Ceterum priores editt. pro ἑστυκὼς habent ἀστικός: quod manifeste corruptum est. KUST. ἑστυκὼς Photius. ἐστρακὼς A.

ΟΥ ΔΕΟΝ] Schol. Platon. p. 180. Οὐ δέον: ἀντὶ τοῦ οὐ δεόντως, Ἀττικῶς.

[s] Ἐκστῆναι τῶν χωρ.] Locus hic sumptus est ex Procopio de Bello Goth. lib. IV. c. 24. sed ubi sic legitur: Καὶ χωρίων ἐκστῆναι τῶν ἐπὶ τῆς Ἰταλίας αἰτούμενος, ὧνπερ Θευδίβερτος οὐ δέον ἐπιβατεύσας ἐν σπουδαῖς ἔσχε. KUST.

ΟΥΔΕΠΟΤ' ʹΕΓΩ ΤΟΥΤΟΝ ʹΥΠ.] Aristoph. Acharn. 976. Οὐδέποτ' ἐγὼ πόλεμον οἴκαδ' ὑποδέξομαι, Οὐδὲ παρ' ἐμοί ποτε τὸν Ἁρμόδιον ᾄσεται, Συγκατακλινείς, ὅτι παροίνιος ἀνὴρ ἔφυ. Sic etiam apud Suidam locus hic scribendus et distinguendus est. Confer Nostrum infra v. Παροίνιος, ubi eadem leguntur. KUST.

[t] ΠΑΡΟΙΝΙΟΣ] ὅτι πάροινος A.

[u] τι] τὸ B.E. Mox E. pro που.

[x] Πεισιστρατιδῶν] Πεισιστράτων A.

[y] βουλώμεθα] βουλόμεθα A.E. suprasc.

[z] πῦρ] τὸ πῦρ A.B.E.

ΟΥΔΕ ΠΥΡΦΟΡΟΣ ʹΕΛΕΙΦΘΗ: ʹΕπὶ τ.] Ex Zenobio. KUST. Vid. Herodot. VIII. 6. c. n. Wesselingii.

[a] κινδύνων] κοινῶν B. κινῶν E.

**Οὐδ' ἔργα μείω χειρὸς** [b]**ἀρκέσαι ἐμῆς**: Πιθανῶς τὸ μὴ εἰπεῖν πλείονα τοῦ πατρὸς κακοπαθῆσαι, ἀλλὰ μὴ ἐλάττονα.

**Οὐδὲ** [c]**τὰ τρία Στησιχόρου γινώσκεις**: Ἐπὶ τῶν ἀπαιδεύτων καὶ ἀμούσων εἴρηται ἡ παροιμία· ἐπειδὴ εὐδόκιμος ἦν.

**Οὐδὲ τἀρχαῖον** [d]**ποιεῖ**:

**Οὐδὲ χαίρω βατίσιν, οὐδ'** [e]**ἐγχέλυσιν, ἀλλ' ἥδιον ἂν δικίδιον σμικρὸν φάγοιμ' ἂν ἐν λοπάδι πεπνιγμένον**:

Λοπὰς δὲ, τὸ τήγανον.

**Οὔδει**: Ἐδάφει.

**Οὐδεὶς δυσώνης χρηστὸν ὀψωνεῖ κρέας**:

**Οὐδεὶς κομήτης, ὅστις οὐ περαίνεται**:

**Οὐδεὶς οἶδεν τὸν θησαυρὸν τὸν ἐμὸν, πλὴν εἴ τις ἄρ' ὄρνις**: Παροιμιακόν. Οὐδεὶς εἶδε τί ὡμίλησα, πλήν γε εἴ τις ὄρνις. Ἐπὶ τῶν ἀγνώστων. Πάλιν Οὐδείς με θεωρεῖ, πλὴν ὁ [f]παριπτάμενος ὄρνις. Ἀριστοφάνης.

**Οὐ δήπου μ' ἀφελέσθαι διανοῇ,** [g]**ἃ δέδωκας αὐτός; Οὐ τάχ'· ἀλλ' ἤδη ποιῶ**: Ἀντὶ τοῦ, ὄντως διανοῇ, ὥστε ἀφελέσθαι τὰ ὅπλα με; ἡ γὰρ οὐ ἄρνησις συγκατάθεσιν δηλοῖ. Οὐδόλως, φησὶ, διανοοῦμαι, ἀλλ' ἤδη αὐτὰ ἀφαιροῦμαι. Οἷον, οὐ διστάζω.

**Οὐ διαφρήσετε**: Ἀντὶ τοῦ, οὐ διαφορήσετε, οὐδὲ διαπέμψεσθε. Ἀριστοφάνης.

**Οὐδ' ἴκταρ** [i]**βάλλει**: Εἴρηται δὲ κατὰ γλῶτταν· ὥσπερ τὸ διωλύγιον. Ἀντὶ τοῦ, Οὐδὲ μικρὸν ἐξισάζει.

**Οὐδόλως**: Οὐδαμῶς.

**Οὐδός**: [k]Φλιὰ, βατὴρ, τὸ κάτω τῆς θύρας· ἢ ἔδαφος· ἢ βαθμός.

[**Οὐδὸς ἐς λαύρην**: Ἡ [λαύρη,] στενὴ ὁδός. Παρὰ τὸ ῥέειν τὸν λαὸν δι' αὐτῆς.]

[**Οὐδ' ὅσον ἀηδόνες ὑπνώουσιν**: Ἐπὶ τῶν ἀγρυπνούντων· παρ' ὅσον ἡ ἀηδὼν ἀγρυπνεῖ διὰ τὸν Ἴτυν· μᾶλλον δὲ διὰ δειλίαν.]

**Οὐδ' ὥς**: Οὐδαμῶς δή.

**Οὐδ' ὑφ' ἑνός**: [Ἀττικοὶ] ἀντὶ τοῦ ὑπ' οὐδένων λέγουσιν ὑπερβιβάζοντες.

**Οὐ ἕθεν**: Οὗ τινος ἕνεκα.

**Οὐεργίλιος**: Ὄνομα κύριον.

**Οὐεσπεσιανός**: Ὄνομα κύριον. [[l]Βασιλεὺς Ῥωμαίων. Καὶ ζήτει ἐν τῷ Βεσπεσιανός.]

**Οὐετηρία**: Ὄνομα κύριον.

**Οὐηστῖνος**, Ἰούλιος χρηματίσας, σοφιστής. Ἐπιτομὴν τῶν Παμφίλου Γλωσσῶν, [m]βίβλους δ', Ἐκλογὴν ὀνομάτων ἐκ τῶν Δημοσθένους βιβλίων, Ἐκλογὴν ἐκ τῶν Θουκυδίδου, Ἰσαίου, Ἰσοκράτους, καὶ Θρασυμάχου τοῦ ῥήτορος, καὶ τῶν ἄλλων ῥητόρων.

**Οὐΐνδικτος**: Ὁ κατὰ οὐΐνδικταν ἐλευθερούμενος.

**Οὖθαρ**: [n]Τὸ γονιμώτατον μέλος.

**Οὔθατα**: Οἱ μαζοὶ τῶν προβάτων.

**Οὐ θᾶττον ἐγκονήσεις**: Οὐ ταχύτερον ἐνεργήσεις;

**Οὐ θελήσει**: Οὐ δυνήσεται. [o]Ὅμηρος·

Οὐδ' ἔθελεν προρέειν.

Ἀντὶ τοῦ, οὐ δύναται.

ΟΥΔ' ἜΡΓΑ ΜΕΙΩ Χ.] Portus ad hunc locum: *Senarius, cujus auctor est incertus.* At est Sophoclis in Aj. 439. ubi pro ἀρκέσειν legitur ἀρκέσας. KUST.

[b] ἈΡΚΕΣΕΙΝ] ἀρκέσῃς A. ἀρκέσας B.E.

[c] ΤΑ ΤΡΙΑ ΣΤΗΣΙΧΟΡΟΥ] Tria Stesichori fuere, στροφὴ, ἀντίστροφος, et ἐπῳδός. Tale enim ejus poëma, ut hic infra auctor Suidas. SCHOTT.

[d] ΠΟΙΕΙΣ] ποιεῖ A. Photius. Photius præterea: Ἐπὶ τῶν μὴ λυσιτελούντων· ὁ F ἐξὶ κριθαῖς ἐπὶ τῶν ἐλαχίστων.

ΟΥΔΕ ΧΑΙΡΩ ΒΑΤ.] Aristoph. Vesp. 508.

[e] ἘΓΧΕΛΥΣΙΝ] ἐγχελίσιν A. qui v. seq. φάγοιμ' ἀπολοπάδι et ἐν om. post Λοπάς.

ΟΥΔΕΙ] Il. ε'. 734.

ΟΥΔΕΙΣ ΔΥΣΩΝΗΣ] Meminit Pollux hujus proverbii III. (126.) SCHOTT.

ΟΥΔΕΙΣ ΚΟΜΗΤ.] Senarium hunc citat Synesius Epist. CIV. sed qui pro περαίνεται habet ψωλίζεται: uti et ipse Suidas infra v. Ψωλίζεται. Utraque vox est obscœna, et de cinædis dicitur. KUST.

ΟΥΔΕΙΣ ΟΙΔΕΝ ΤΟΝ ΘΗΣ.] Aristoph. Av. 602. Confer Nostrum supra v. Ὄρνις. KUST.

[f] περιπτάμενος] παριπτάμενος A.B.E.M. Schol.

ΟΥ ΔΗΠΟΥ Μ' ἈΦ.] Aristoph. Ran. 529. Τί δ' ἔστιν; οὐ δήπου μ' ἀφελέσθαι διανοεῖ, Ἃ δέδωκας αὐτός; Οὐ τάχ'· ἀλλ' ἤδη ποιῶ. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. KUST.

[g] Ἃ ΔΕΔΩΚΑΣ] ἃ δέδωκας A.E. Mox ποιῶ A.

ΟΥ ΔΙΑΦΡΗΣΕΤΕ] Aristoph. Av. 193. Τῶν μηρίων τὴν κνῖσαν οὐ διαφρήσετε. Ad hunc locum Suidas respexit. KUST. διαφορήσετε A.C. qui mox διαπέμψησθε.

ΟΥΔ' ΙΚΤΑΡ Β.] Vide supra v. Ἴκταρ. KUST.

[i] ΒΑΛΛΕΙ] βάλλει A.B.E. Mox ἀντὶ τοῦ etc. om. A.

ΟΥΔΟΛΩΣ] Gl. om. A. οὐδαμῶς om. B.

[k] Φλιὰ] φλιὰ A.B.E. pr.

ΟΥΔΟΣ ἘΣ Λ.] Homerus Il. χ'. 128. Ἦν ὁδὸς ἐς λαύρην. Scholiasta ad eum locum: Λαύρην, στενὴν ὁδὸν, δι' ἧς οἱ λαοὶ ῥέουσι καὶ φέρονται. Huc Suidas respexit: sed qui pro ὁδός male habet οὐδός. Vide etiam supra v. Λαύρα. KUST. Deest gl. A. Et deleri debet.

ΟΥΔ' ὍΣΟΝ ἈΗΔ.] Pro ὅσον metri gratia scribendum est, ὅσσον. Est enim finis versus hexametri. Confer Nostrum supra v. Ἀηδών. KUST. Et hanc gl. om. A.

ΟΥΔΕΝΩΝ ὙΠΟ Ἀττικοὶ] In optimo ms. A. itemque in Lexico Photii ms. legitur, Οὐχ ὑφ' ἑνός: quod magis placet. KUST. Οὐδ' ὑφ' ἑνὸς A.C. Phot. Ἀττικοὶ om. A. ὑπὸ om. B.E.

ΟΥ ἝΘΕΝ: Οὗ τ.] Hæc nauci sunt, et nullius momenti. Scribendum enim potius erat, Οὐ ἕθεν: Οὐκ αὐτῆς. Homerus Il. α'. 114. Ἐπεὶ οὐ ἕθεν ἐστὶ χερείων. Scholiasta: Ἐπεὶ οὐ ἕθεν: Ἐπεὶ κατ' οὐδὲν αὐτῆς. Ad hunc locum poëtæ Suidas respexisse videtur. KUST. Hanc gl. post Οὐετηρία ponit A.

[l] Βασιλεὺς] Hæc om. A.

ΟΥΗΣΤΙΝΟΣ] Deest articulus A.

[m] βίβλους] βιβλία E. Tum ϛ δ B.E.

ΟΥΙΝΔΙΚΤΟΣ] Id est, *Vindicta*. Sic autem apud Romanos olim dicebatur modus manumittendi servos; ut abunde docent juris Romani interpretes. KUST.

[n] Τὸ γονιμώτατον μέλος] Scribo et suppleo, τὸ γονιμώτατον μέρος τῆς γῆς. Scholiasta Homeri ad Il. ι'. 141. Οὖθαρ ἀρούρης: Τὸ γονιμώτατον καὶ κάλλιστον τῆς γῆς. Huc Suidas respexisse videtur. KUST.

ΟΥΘΑΤΑ] Od. ι'. 440.

ΟΥ ΘΑΤΤΟΝ] Hæc sunt verba Aristophanis in Av. 1324. atque ejus Scholiastæ; cujus scrinia pro more suo compilavit Suidas. TOUP.

ΟΥ ΘΕΛΗΣΗ: Οὐ δυνήσῃ. Ὅμ.] Ex Schol. Aristoph. Av. 582. Vide etiam supra v. Ἐθελήσει. KUST. θελήσει A.C. qui mox δυνήσεται pro δυνήσῃ cum Schol. Aristoph. Mox προρέειν A.

[o] Ὅμηρος] Il. φ'. 366. KUST.

Οὔθ' ὕεται, οὔτε ἡλιοῦται: Ἐπὶ τῶν ἔξω πά- A σης φροντίδος ὄντων.

Οὐκ ἀδύνατοι: Ὅτι τὸ οὐκ ἀδύνατοι μεσότητός ἐστι ῥῆμα· οἷον, οὔτε τελείως δυνατοὶ, οὔτε ἀσθενεῖς.

Οὐκ ἀθεεί: Οὐ χωρὶς θείας προνοίας.

Οὐ καθέστηκεν: Οὐ νήφει, μαίνεται.

Οὐκ ἄλλως ποιεῖται: Ἀντὶ τοῦ, οὐ μάτην.

Οὐκ ἂν ἀποδοίης· οὐχ, ὅσον [p]γέ μ' εἰδέναι: B Ἀντὶ τοῦ, [q]ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμὶ, καὶ οἶδά τι. Τουτέστιν, αἰσθάνομαι.

Οὐκ ἀνασχήσομαι: Τινὲς τοῦτο ὡς ἔκφυλον νομίζουσιν· ἐχρήσατο δὲ αὐτῷ καὶ Δημοσθένης ἐν τῷ κατὰ Ἀριστοκράτους. Οὐ δεῖ οὖν μόνον λέγειν ἀνέξομαι.

Οὐκ ἂν δύναιο γαστρὶ πενθῆσαι [r]νέκυν: Καὶ [s]Ὅμηρος· C

Γαστέρι δ' οὔπως ἔστι νέκυν πενθῆσαι Ἀχαιούς.

Οὐκ ἄνευ γε Θησέως: Θησεὺς καὶ τῷ Μελεάγρῳ συνηγωνίσατο πρὸς τὴν θήραν τοῦ κάπρου, καὶ τῷ Πειριθόῳ κατὰ τῶν Κενταύρων, καὶ τῷ Ἡρακλεῖ πρὸς τὰς Ἀμαζόνας. Ὅταν οὖν θαυμαστόν τι πραχθῇ, οὐκ ἄνευ γε Θησέως λέγεται.

Οὐκ ἄνευ τινός: Τοῦτο τριχῶς λέγεται. Ἢ D γὰρ τὸ [t]μήτε βλάπτον, μήτε ὠφελοῦν· ὡς λέγομεν, Οὐκ ἄνευ σκιᾶς τὸ ἐν φωτὶ σῶμα. Ἢ τὸ ἐξ ἀνάγκης, ὡς ὄργανον, ἤ τι τοιοῦτον· ὡς λέγομεν, Ἠρίστευσεν Ἀχιλλεὺς, ἀλλ' οὐκ ἄνευ τῆς [u]μελίας· οὐ γὰρ ἠδύνατο γυμνὸς ἀριστεῦσαι. Ἢ τὸ πάθος ἐμποδίζον· ὡς λέγομεν, Ἐν χειμῶνι πλεύσας ἐσώθη, ἀλλ' οὐκ ἄνευ κινδύνου.

Οὐκ ἂν ὀρθῶς, καὶ ἑξῆς. Οὕτω δὴ ἀναγνωστέον· E

[x]Οὐκ ἂν ὀρθῶς προσενέγκῃς, ὀρθῶς δὲ μὴ διέλῃς, ἥμαρτες· ἡσύχασον.

Οὐκ ἀξιῶ: Οὐχ ὑπολαμβάνω, οὐκ ἄξιον νομίζω.

Οὐκ ἀπεικός: Οὐκ ἄτοπον, ἄξιον, ὀφειλόμενον, πρέπον, ὅμοιον. Εἰκὸς δέ ἐστι παρὰ τὸ ἐοικός· εἶτα, ἀπεικὸς, τὸ ἀπρεπὲς, τὸ ἀνόμοιον. Καὶ λοιπὸν, τὸ οὐκ ἀπεικὸς, διὰ δύο ἀρνήσεων μία συγκατάθεσις· ὡς τὸ, ἥκιστα, οὐδαμῶς· οὐχ ἥκιστα δὲ, τὸ μάλιστα.

Οὐκ ἀπεικότως: Ἀντὶ τοῦ εὐλόγως, καὶ εὐπροσώπως.

Οὐκ ἀποδύσει τῶν νυκτῶν, ἣν οἴκοι γε καθεύδῃς, οὐδ' ἤν γε θύραζε, ὥσπερ πρότερον:

Οὐκ ἀπολιβάξεις: Ἀντὶ τοῦ, οὐκ ἐς κόρακας [y]καὶ Λιβύην ἀποφθερῇ. Ἀπὸ τοῦ λιβὰς, ὅ ἐστιν, ἡ σταγὼν· ἧς οὐδὲν ταχύτερον ἐν τῷ πίπτειν. Ἀριστοφάνης·

Οὐκ ἀπολιβάξεις, ὦ κάκιστ' ἀπολούμενος;

Οὐκ ἀπορρυήσεται: Οὐκ ἀποπεσεῖται.

Οὐκ ἀποστατῶ φίλων: Ἀντὶ τοῦ, οὐ χωρίζομαι φίλων.

Οὐκ ἄπο τρόπου: Οὐ πόρρω τρόπου.

Οὐ κατὰ κόσμον: Οὐ κατὰ τὸ πρέπον.

Οὐ κατασχὼν τῆς χαρᾶς, παρελύθην ἀθρόον τοὺς τόνους τοῦ σώματος:

Οὐκ ἐᾷ: Οὐ συγχωρεῖ.

Οὐκ ἔθ' ὁμῶς τιμῆς ἔσσεαι: Ὁμηρικόν. Ἀντὶ τοῦ, μεθέξεις τιμῆς.

Οὐκ ἐκθανεῖν:

Οὐκ ἐκνεομένως: Οὐ προσηκόντως. Ἡρόδοτος.

Οὐκ ἐκομπολάκουν: Ἀντὶ τοῦ, κενοὺς οὐκ ἐποίουν ψόφους. Οὐκ ἔλεγον κομπώδη, ὡς Αἰσχύλος. Οὕτω

ἤλεγχον ἂν μου τὴν τέχνην· ἀλλ' οὐκ ἐκομπολάκουν.

Ἀριστοφάνης.

Οὐκ ἐκ τοῦ ὁμοίου: Οὐκ ἐξ ἴσου.

ΟΥΘ' ῞ΥΕΤΑΙ] Hanc et seq. gl. om. A.

ΟΥΚ 'ΑΘΕΕΙ] Od. σ'. 352.

ΟΥΚ ῎ΑΛΛΩΣ ΠΟΙΕΙΤΑΙ] Photius in Lex. ined. Οὐκ ἄλλως ποιεῖται: quod magis placet. KUST. Οὐκ ἄλλως προιεῖ Timæus: ubi v. Ruhnken.

ΟΥΚ 'ΑΝ 'ΑΠΟΔ.] Aristoph. Nub. 1254.

[p] ΓΕ Μ'] ἐμαί γ' A. γ' ἐμοί γ' B.C.

[q] ἐν ὅσῳ ἐν αὐτῷ εἰμί] Scribe, ἐν ὅσῳ ἐν ἐμαυτῷ εἰμί: ut apud enarratorem Comici. KUST. Sic A.C. Mox τι om. M.

ΟΥΚ 'ΑΝΑΣΧ.] Sumta sunt ex Schol. Aristoph. Ach. 296. qui corrigendus est ex Suida HEMST. Vid. Pierson. ad Mœrin p. 26.

[r] ΝΕΚΥΝ] νεκρὸν Photius.

[s] Ὅμηρος] Il. τ'. 225. KUST. καὶ om. A.

[t] μήτε βλάπτον om. A.

[u] μελίας] μελίας πρὸς τὴν ἀριστείαν A.

ΟΥΚ 'ΑΝ 'ΟΡΘΩΣ] Hunc artic. om. A. Mox προσενέγκοις E.

[x] Οὐκ ἂν ὀρθῶς προσενέγκ.] Hæc sunt verba LXX interpretum, Genes. c. IV. 7. KUST.

ΟΥΚ 'ΑΞΙΩ] Aristoph. Eq. 182. ubi in Schol. κρίνω pro νομίζω. Monuit Abreschius.

ΟΥΚ 'ΑΠΕΙΚΟΣ] Eadem Hesychius.

ΟΥΚ 'ΑΠΕΙΚΟΤΩΣ] Ex Schol. Thucyd. II. 8.

ΟΥΚ 'ΑΠ.] Aristoph. Eccl. 664. Οὐκ ἀποδύσεσθ' ἄρα τῶν H νυκτῶν; ΠΡ. οὐκ ἢν οἴκοι γε καθεύδῃς Οὐδ' ἤν γε θύραζ', ὥσπερ πρ. HEMST. TOUP.

ΟΥΚ 'ΑΠΟΛΙΒΑΞΕΙΣ: Ἀντὶ τοῦ, οὐκ ἐς κ.] Ex Schol. Aristoph. Av. 1467.

[y] καὶ Λιβύην] Inepte et pueriliter. Τὸ ἀπολιβάζειν enim nihil ad Λιβύην. KUST.

ΟΥΚ 'ΑΠΟΡΡΥΗΣΕΤΑΙ] Psalm. I. 3. Καὶ τὸ φύλλον αὐτοῦ οὐκ ἀπορρυήσεται. Huc Suidas respexisse videtur. KUST. Deest gl. A.

ΟΥΚ 'ΑΠΟΣΤΑΤΩ] Aristoph. Av. 314.

ΟΥΚ 'ΑΠΟ] Vid. supra Οὐδὲν ἀπό. Ceterum Photii ms. F et C.M. præbent ἀπο. Vid. Bast. ad Gregor. de Dial. p. 211.

ΟΥ ΚΑΤΑ ΚΟΣΜΟΝ] Homerus Il. β'. 214. et alibi. KUST.

ΟΥ ΚΑΤΑΣΧΩΝ ΤΗΣ ΧΑΡ.] Nilus Eremita in Narration. p. 106. Καὶ οὐ κατασχὼν τῆς χαρᾶς παρελύθην ἀθρόως τοὺς τόνους τοῦ σώματος· καὶ καταπεσὼν ἀχανὴς ἐκείμην χαμαὶ, τεθνάναι τοῖς πολλοῖς νομισθείς. Hinc Suidæ verba deprompta sunt, ut Pearsonius recte monuit. Ceterum Henricus Stephanus Schediasm. lib. VI. c. 1. testatur, se historicum quendam Græcum ineditum habuisse, (cujus nomen G in codice suo, fugiente prima litera, fuerit ΕΙΛΟΥ,) apud quem hunc ipsum locum Suidæ repererit. Addit ibidem, literam illam fugientem sibi visam fuisse Γ: sed in quo vir doctissimus fallitur. Nomen enim scriptoris illius, qui post id tempus in lucem prodiit, est Νεῖλος, ut diximus. KUST. Deest hic articulus A.

ΟΥΚ 'ΕΑΙ] Vid. Schol. Il. δ'. 55.

ΟΥΚ 'ΕΘ' 'ΟΜ.] Homerus Il. ι'. 601. Οὐκ ἔθ' ὁμῶς τιμῆς ἔσεαι, &c. Sic etiam apud Suidam scribendum est. Τιμῆς per crasin dictum est, pro τιμήεις. KUST. Hinc usque ad Ἀριστοφάνης om. A. Dedi ὁμῶς cum C. pro ὁμοίως.

ΟΥΚ 'ΕΚΝΕΟΜΕΝΩΣ] Portus recte monuit, scribendum esse, οὐκ ἱκνεομένως. Sic enim legitur apud Herodotum lib. VI. 65. quem auctorem Suidas hic citat. KUST.

ΟΥΚ 'ΕΚΟΜΠΟΛΑΚΟΥΝ: Ἀντὶ τ.] Ex Schol. Aristoph. Ran. 992.

Ἄλλα τέ τινα οὐκ ἐκ τοῦ ὁμοίου ποιεῖν [z]ἐκελεύοντο.

Οὐκ ἔνδον, ἔνδον ἐστὶν, εἰ γνώμην ἔχεις.
Πῶς ἔνδον, εἶτ' οὐκ ἔνδον; Ὀρθῶς, ὦ γέρον.
Ὁ νοῦς μὲν ἔξω συλλέγων ἐπύλλια,
οὐκ ἔνδον· αὐτὸς δ' ἔνδον ἀναβάδην ποιεῖ
τραγῳδίαν:

[a]Σκώπτει τὸν Εὐριπίδην ὡς συλλογιστικὸν, καὶ οὐ ἐὰν λέγῃ τὸ ἐναντίον πάλιν κατασκευάζοντα. Οἷον,

Ἡ γλῶσσ' ὀμώμοχ'· ἡ δὲ φρὴν ἀνώμοτος.

Καὶ πάλιν, αὐτὸς μὲν ἔσω ἐστὶν, ὁ δὲ νοῦς αὐτοῦ συλλογίζεταί τῶν ἔξω τι, καὶ μετεωρίζεται. Ὁμηρικῶς. Ὅμηρος γὰρ διώρισε τὰς ψυχὰς πρὸς τὰ σώματα, εἰπὼν,

Πολλὰς δ' ἰφθίμους ψυχάς.

Εἶτα,

Αὐτοὺς δ' ἑλώρια τεῦχεν.

Οὕτω καὶ Ἀριστοφάνης· εἰπὼν γὰρ,

Ὁ νοῦς μὲν ἔξω,

ἐπήνεγκεν,

Αὐτὸς δ' ἔνδον ποιεῖ τραγῳδίαν ἀναβάδην.

Τουτέστιν, ἄνω τοὺς πόδας ἔχων. Ἢ, ἐπὶ ὑψηλοῦ τόπου κείμενος, ἢ καθήμενος.

Οὐκ ἐνέλιπεν εὐεργετῶν με:

Οὐκ ἐξελεύσῃ: Ἀντὶ τοῦ, οὐ [b]στρατηγήσεις ἡμῶν. Δαβίδ·

Καὶ οὐκ ἐξελεύσῃ ὁ Θεὸς ἐν ταῖς δυνάμεσιν ἡμῶν.

Οὐκ ἐξῄεσαν: Ἀντὶ τοῦ, οὐκ ἐξήρχοντο. Οὐκ [c]ἐξίεσαν δὲ, ἀντὶ τοῦ οὐ συνεχώρησαν.

Οὐκ ἐξήρκεσεν: Οὐκ ἀντέσχε πρὸς τοὺς τρόπους [d]ὑμῶν.

Οὐκ ἐξόν: Οὐ προσῆκον, οὐ πρέπον.

[e]Ὃν παρὰ τὰ πάτρια ὠνόμασεν, ἥρωος ἐπιθεὶς ὄνομα, οὐκ ἐξόν.

Οὐκ ἐπαινεθείης, οὐδὲ ἐν περιδείπνῳ: Ἐπὶ τῶν μηδενὸς ἀξίων ἡ παροιμία. [f]Εἰώθεσαν γὰρ ἐν τοῖς περιδείπνοις τὸν [g]τελευτήσαντα ἐπαινεῖν, καὶ εἰ φαῦλος ἦν.

A Οὐκ ἔπεσεν εἰς γῆν ἡ εὐχή: Ἀντὶ τοῦ, εἰσηκούσθη. Οἰκτείρει γὰρ αὐτὸν ὁ Θεὸς, καὶ εἰς ὕπνον ἐνέβαλεν.

Οὐκ ἐπιγλωττήσομαι: Οὐ βλασφημήσω.

Οὐκ ἐπιεικῶς: Οὐ μετρίως. Οὐκ ἐπικῶς δὲ, [h]ἀντὶ τοῦ οὐ λογίως.

Οὐκ ἐπίσταμαι: Ἀντὶ τοῦ, οὐ δύναμαι.

Σκάπτειν γὰρ οὐκ ἐπίσταμαι.

B Οὐκ ἐπὶ τῆς αὐτῆς [i]ὁρμεῖ τοῖς πολλοῖς: [k]Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Παροιμία ἐστὶν ἐλλειπῶς εἰρημένη· προσυπακουστέον δὲ ἔξωθεν [l]τὸ ἀγκύρας.

Οὐκ ἔσθενεν: Οὐκ ἐδύνατο.

Οὐκ ἐς μακράν: Ἀντὶ τοῦ ταχέως.

Οὐκ ἔστιν ἄλλος πλὴν ἐγώ: Ἀττικῶς. Ἀντὶ
C τοῦ, πλὴν ἐμοῦ. Ἀριστοφάνης [m]Πλούτῳ·

Μὰ τὸν Δί'· οὐ γάρ ἐστιν ἄλλος πλὴν ἐγώ.

Οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ.
Ἢ γὰρ πεφυκὼς ἐσθλὸς, οὐκ ἔχει βίον,
ἢ [n]δυσγενὴς ὢν, πλουσίαν ἀροῖ πλάκα.

Τὸ ἑξῆς, Πλουσίαν ἀροῖ πλάκα.

Οὐκ ἔστι παρὰ ταῦτ' ἄλλα: Ἀντὶ τοῦ, οὐκ ἔστιν ἄλλως γενέσθαι, ἢ καθὼς εἴρηκε. Τοῦτο, φησὶ, πάν-
D τως δέδοκται, καὶ οὐκ ἂν ἐάσαιμί σε ἕτερόν τι ποιῆσαι. Ἀριστοφάνης. Οὐκ ἔστιν ἄλλως γενέσθαι, ἢ ἀνελθεῖν εἰς τὸν οὐρανόν.

[o]Ὁ δὲ οὐδὲν ὅ τι οὐχ ἑτοίμως τῶν [p]προταθέντων ἔσχε συνθέσθαι, οὐχ ὅτι καὶ ἐμμένειν αὐτοῖς ἔμελλεν, ἀλλ' ἵνα ἐκ τῶν παρόντων ἀναπνεύσῃ.

[Οὐκ ἔστι συκοφάντου δήγματος: Παροιμία, ἐπὶ τῶν ἀνηνύτων. Λείπει δὲ τὸ φάρμακον. Λέγει
E δὲ ἐν ἤθει, ὅτι οὐκ ἔστιν ἐπῳδὴ, ἢ φάρμακον, πρὸς δῆγμα συκοφάντου. Ἐπεὶ εἰώθασι λέγειν οἱ τὰ περίαπτα πωλοῦντες, ὅτι χρησιμεύει τόδε πρὸς τόδε. Ἄλλως· [q]Ἀλεξητήριον δείκνυσιν αὐτῷ, καὶ βασκανίας ἀποτρεπτικὸν δακτύλιον, ὃν καλοῦμεν φαρμακίτην.]

[z] ἐκελεύοντο] ἐκωλύοντο C.

ΟΥΚ ἘΝΔΟΝ, ἘΝΔΟΝ ἘΣΤ.] Aristoph. Acharn. 395.

[a] Σκώπτει τὸν Εὐριπίδην, ὡς συλλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, leguntur etiam apud Scholiastam ad modo indicatum locum Aristophanis. Confer etiam Nostrum supra, v. Ἀναβάδην. KUST.

ΟΥΚ ἘΞΕΛΕΥΣῌ] Ex Ps. LIX. 10. ubi tamen Theodoretus explicat, οὐ στρατηγεῖς. Eadem formula est in Ps. CVII. 12. ERNEST.

[b] στρατηγήσεις] στρατηγεῖς C.

[c] ἘΞΙΕΣΑΝ] Sic mss. Paris. At priores editt. male, ἐξῄεσαν. KUST.

ΟΥΚ ἘΞΗΡΚΕΣΕΝ] Aristoph. Eq. 521.

[d] ὑμῶν] ὑμῶν A.C.

[e] Ὃν παρὰ τὰ πάτρ.] Verba hæc intelligenda esse de Pericle, qui uni filiorum suorum nomen Parali imposuerat, discimus ex ipso Suida infra v. Περικλῆς, ubi hæc ipsa verba leguntur. KUST. Οὐ B.E.M. pro ὃν. C. habet ὂν sed ex em.

ΟΥΚ ἘΠΑΙΝΕΘΕΙΗΣ] Vid. Zenob. V. 28. c. n. Schotti. Hunc artic. om. A. et seqq. usque ad Οὐκ ἐπίσταμαι.

[f] Εἰώθεσαν γὰρ τὸν ἐν τοῖς περιδ. τελ.] Mutato verborum ordine scribendum est, εἰώθεισαν γὰρ ἐν τοῖς περιδείπνοις τὸν τελευτ. KUST. Delevi τόν.

[g] τελευτήσαντα] τὸν τελευτήσαντα Photius.

ΟΥΚ ἘΠΕΣΕΝ ΕΙΣ ΓΗΝ Ἡ ΕΥΧ.] Est Hebraismus. KUST.

ΟΥΚ ἘΠΙΓΛΩΤΤΗΣΟΜΑΙ] Aristophanes Lysistr. sub
F initium. Vide etiam supra v. Ἐπιγλωττήσομαι. KUST.

[h] ἀντὶ τοῦ λογίως] Rectius dixisset Suidas, ἀντὶ τοῦ καταλογάδην. KUST. οὐ λογίως B.E.C.M.

ΟΥΚ ἘΠΙΣΤ.] Aristoph. Av. 1432. Τί γὰρ πάθω; σκάπτειν γὰρ οὐκ ἐπίσταμαι. Scholiastes: Οὐκ ἐπίσταμαι: Ἀντὶ τοῦ, οὐ δύναμαι. Hinc Suidas sua deprompsit. KUST.

ΟΥΚ ἘΠΙ ΤΗΣ ΑΥΤΗΣ ὉΡΜ.] Ex Harpocrat. KUST.

[i] ὁρμεῖ] ὁρμῇ A. Photius, Harpocrat. ms. Pal. ὁρμᾷ B.E.

[k] Δημοσθένης] P. 319, 18.

[l] τῆς ἀγκύρας] τὸ ἀγκύρας E. Phot. Harpocr.

G [m] Πλούτῳ] Ver. 106.

ΟΥΚ ἘΣΤΙΝ ὉΣΤΙΣ Π.] Aristoph. Ran. 1248. Deest h. l. A.

[n] ΔΥΣΓΕΝΗΣ] δυσθενὴς C. qui mox ἀρῇ.

ΟΥΚ ἘΣΤΙ ΠΑΡΑ ΤΑΥΤ' ἈΛΛΑ] Aristoph. Pac. 109. Vide ibi Scholiastam. KUST. ἄλλο A.B.

[o] Ὁ δὲ οὐδὲν ὅ τι οὐχ ἑτ.] Hoc fragmentum nihil omnino ad rem facit. KUST.

[p] προταθέντων] προταχθέντων E.

H ΟΥΚ ἘΣΤΙ ΣΥΚΟΦ.] Aristoph. Plut. 886. Ἀλλ' οὐκ ἔνεστι συκοφάντου δήγματος. Vide ibi veterem enarratorem, ex quo Suidas notam hanc descripsit. Confer etiam Nostrum supra v. Ἀλλ' οὐκ ἔστι: ubi eadem leguntur. KUST. Deest articulus A. ἔνεστι E.

[q] Ἀλεξητήριον] Adde, τῶν δηλητηρίων, ut habet Suidas supra v. Ἀλλ' οὐκ ἔστι. KUST.

Οὐκ ἔσχον: Οὐκ ἔσχισα, οὐ διεῖλον. Οὕτως [r]ἔκλινεν Ἀττικῶς. A

Ὥπτων γαστέρα, κᾆτ' οὐκ ἔσχων ἀμελήσας, ἡ δ' ἄρ' ἐφυσᾶτ'.

Ἀριστοφάνης Νεφέλαις.

Οὐκ [s]ἐτὸς: Ἢ οὐκ εἰκότως, ἢ οὐ μάτην· παρὰ τὸ ἐτώσιον, ὅ ἐστι μάταιον· οὐκ ἀλόγως. [t]Ἀριστοφάνης·

[Οὐκ ἐτὸς ἄρ' ὡς ἔμ' ἦλθεν οὐδεπώποτε.]
Οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες θαμὰ
σπεύδουσιν ἐπὶ πολλοῖς γεγράφθαι [u]γράμμασιν.

B

Οὐκ ἐτὸς ἀφ' ἡμῶν εἰσιν αἱ τραγῳδίαι·
Οὐδὲν γάρ [x]εἰσι πλὴν Ποσειδῶν καὶ σκάφη: Παροιμία ἐπὶ τῶν ἐγκυλινδουμένων τῷ αὐτῷ πράγματι, ἄλλο δὲ μηδὲν νοεῖν ἀνεχομένων. Ὁ δὲ νοῦς· [y]Οὐδὲν ἐσμὲν, εἰ μὴ συνουσιάζειν καὶ τίκτειν. Ὁ γὰρ Ποσειδῶν ἐμίγη τῇ Τυροῖ, καὶ ἐγέννησε Νηλέα καὶ [z]Πελίαν. C

ΠΑΛΛΑΔΙΟΣ—σοφιστής habet A. in marg. qui rell. om.

ΠΑΛΛΑΔΙΩΝ ΧΡΥΣΟΥΜΕΝΩΝ: Ἐν ταῖς πρ.] Aristophanes Acharn. 546. Μισθοῦ διδομένου, Παλλαδίων χρυσουμένων. Scholiasta ad illum locum: Παλλάδια ἐν ταῖς πρώραις τῶν τριήρων ἦν ἀγάλματά τινα ξύλινα τῆς Ἀθηνᾶς καθιδρυμένα, ὧν ἐπεμελοῦντο μέλλοντες πλεῖν. Hinc Suidas sua descripsit. KUST. F

[i] οἱ Ἀθην.] οἱ om. A.

[k] ΠΑΛΑΘΙΩΝ: Τῶν πεπατημ.] Ex Schol. Aristoph. Pac. 573. sed apud quem pro παλαθίων legitur παλλασίων; minus recte, ut puto. KUST. παλασίων A.C.

[l] ΠΑΛΑΘΑΙ] Scribe παλάθη, ut habet Scholiasta Aristophanis loco laudato. KUST. Mox καὶ om. C.

ΠΑΛΑΘΑΙ: Καὶ] ἢ A. ita ut præcedenti gl. adhæreat. Sumpta sunt seqq. ex Gloss. Herodot. IV. 23. Conf. Hemsterhus. ad Schol. Luciani Vit. Auct. c. 19.

[m] Καὶ τὰ] καὶ om. C.

[n] τρυγὸς] An potius τυροῦ? Τὸ τρυγὸς enim suspectum mihi est. KUST. Ego nihil mutandum affirmo: satis sana est vox τρυγὸς, quæ pro *amurca* hic sumitur, adeo ut τὰ ἐκ τρυγὸς πλάσματα sint *massæ ex amurca*. Suid. in τρασιά . . ἀπὸ δὲ στεμφύλων ἡ τρὺξ, *ex olearum retrimentis fiunt fraces*. BOS. H

[o] Καὶ ΠΑΛΛΑΚΙΣ] καὶ om. A.E.C.

[p] αἱ χεῖρες] αἱ om. A.B.C. Seq. locus Sophoclis est Philoct. 177. In fine καὶ ἑξῆς om. A. οἷσι μ. μ. ὁ αἰὼν οὗτος C.

ΠΑΛΑΜΑΣΘΑΙ] Vid. Ἀνόφημον. HEMST.

[q] Τεχνάζεσθαι] τεχνᾶσθαι B.E.

[r] Πρὸς ταῦθ' ὅτι χρὴ καὶ παλ.] Sunt verba Aristophanis Acharnens. 659. ubi tamen quædam aliter leguntur. KUST. πρὸς—παλαμάσθω om. C.

[s] μήποθ'] μήθ' B.E.

[t] παρ' Ὁμήρῳ] Il. ε'. 597. sed ubi legitur ἀπάλαμνος. KUST. ἀπάλαμνος A.C. non ἀπάλαμος.

[u] Ἡ τέχνη] ἡ om. A.C.

[x] Ἡρόδοτος] Lib. VIII. 19.

[y] δοκέοι] δοκέει E. Tum τινα om. A.B.E. τινα παλάμην om. C. Mox ἐλπίζει A.C. ἐλπίζεν E.

[z] ΠΑΛΑΜΗΙ, τῇ ἀρχῇ] Hæc leguntur etiam paulo inferius post v. Παλατῖνοι. Sed tam illic, quam hic pro ἀρχῇ scribendum esse τέχνῃ, vel μηχανῇ, nemo, ut puto, ambiget. KUST. Desunt hæc A. h. l. Posteriore loco tamen habet in marg.

[a] Ὁ τοῦ Παλαμήδου om. A. ὁ tantum om. C.

ΠΑΛΑΜΗΔΗΣ Ἐλεάτης] *Quem Palamedem Plato appellat, Alcidamas Eleates*, Quintil. Inst. Rhet. III. G 1. cf. Etymol. M. in Ἁρμάτειον μέλος, ubi laudatur ὁ τὴν κωμικὴν λέξιν συναγαγὼν, et Athen. IX. 397. eum ὀνοματολόγον vocat. REINES. cf. Schweighæuser. ad Athen. T. I. p. 24. MULLER. Ἐλεατικὸς A.B.E.M. cum Athenæo IX. p. 397 A.

[b] Κωμικὴν καὶ τραγ. λέξιν] Hoc opus signat Etymologus v. Ἁρμάτειον μέλος, ubi ait, ὥς φησι Παλαμήδης ἱστορικὸς, ὁ τὴν Κωμικὴν λέξιν συναγαγών. KUST. Vid. Hemsterhus. ad Aristoph. Plut. p. 98.

[c] Κλιμένης] Κλυμένης B. Λιμένης E. Mox ἦν δὲ οὗτος om. A. ibidem om. ἔσχε δὲ—ποιητικὴν καί.

[d] καὶ εὑρετὴς γέγ.] Locus hic occasionem mihi præbet emendandi Hesychii v. Εὔβουις, ubi sic legitur: Εὔβουις, ὁ Παλαμήδης, ὁ πολλῶν ἀρετῆς ἢ ἐπίφθονος. Rescribe, Εὔβουλος, ὁ Παλ. ὁ πολλῶν εὑρετὴς καὶ ἐπίφθονος. Palamedem enim et multa invenisse, et cum invidia conflictatum fuisse,

ἄρα ἐκεῖνος σβέσαι. Προστάττει [i] οὖν τὴν ἄθλιον παρθένον δέχα τεμεῖν.

Παλαμωμένων: Χερσὶν ἐργαζομένων.

[k] Τὴν ἐκ τῶν Ῥωμαίων παλαμήσασθαι σωτηρίαν.

Παλαμῶν: Τεχνῶν, ἢ χειρῶν.

Παλλάντιον:

Ὁ Ῥωμύλος μετὰ τὸ καταστῆσαι τὰ πολιτικὰ, ἀνενέωσε καὶ τὸ καλούμενον ἀπὸ Πάλλαντος Παλλάντιον.

Τὸν βασιλικὸν οἶκον.

Παλλάς: Παρθένος μεγάλη. [l] Ἔστι δὲ ἐπίθετον Ἀθηνᾶς· ἀπὸ τοῦ πάλλειν τὸ δόρυ, ἢ ἀπὸ τοῦ ἀνῃρηκέναι Πάλλαντα, ἕνα τῶν Γιγάντων.

Παλατῖνοι: Εἶδος ἄρτων, οὓς ἐφιλοτιμήσατο τῷ δήμῳ Κωνσταντῖνος ὁ μέγας, καθ' ὃν ὑπάτευε χρόνον, οὕτως ὀνομάσας αὐτοὺς, οἷα ἐκ τοῦ παλατίου χορηγουμένους. Προσέθηκε δὲ τούτοις καὶ κρέα, καὶ οἶνον, καὶ ἔλαιον· ὧν [m] μέχρι τινὸς ἡ πόλις ἀπήλαυσε, τῶν ὑπ' αὐτοῦ [n] ῥιφέντων φέρουσα τὰ γνωρίσματα.

Παλάμῃ: [o] Τῇ ἀρχῇ.

Πάλαι: Ἐπίρρημα χρόνου δηλωτικόν.

Παλαιγενές: Πρεσβῦτα. [p] Ἀριστοφάνης·

Χαῖρ', ὦ πρεσβῦτα παλαιγενές.

Οὐχ ὡς σεμνόν τινα προσηγόρευσε διὰ τὸν χρόνον. Τοὺς γὰρ εὐήθεις ἀρχαίους καὶ παλαιοὺς ἔλεγον. Ἀντὶ τοῦ, ἀνόητε. Καὶ Εὐριπίδης·

Ἀρχαῖον εἴρηκας.

Ἀντὶ τοῦ, εὔηθες.

Εὐεργετῆσαι γὰρ τὸ σῶμ' οὐ βούλομαι.

[[q] Ἡ παλαιὰ ἐν πίθῳ εὑρέθη. Καὶ ζήτει ἐν τῷ Ὠριγένης.]

Παλαιόν: Οἱ ῥήτορες ἐχρήσαντο τῷ παλαιὸν ἐπὶ ἀργυρίου ἐκ δανείσματος ὀφειλομένου. Οὕτως Λυσίας ἐν τῷ πρὸς [r] Ἀλκίβιον·

Καίτοι, εἰ ἀποδεδώκει τῷ Κτησικλεῖ [s] ν' παλαιὰς, ὥσπερ αὐτὸς φησι.

Παλαιόν: Τὸ πρὸ πολλοῦ χρόνου· ὡς [t] παρ' Ὁμήρῳ·

Ἦ ῥά νύ μοι ξεῖνος πατρώϊος ἐσσὶ παλαιός.

Καὶ τὸ διερρυηκός. Ὡς τὸ,

[u] Πολλαὶ ἐν ἀμφιάλῳ Ἰθάκῃ, [x] νέαι ἠδὲ παλαιαί.

Παλαιὸς ἀφ' οὗ χρόνος: Ἀντὶ τοῦ, ἐκ πολλοῦ χρόνου.

Παλαιᾷ: Δοτικῇ.

Παλαίπολις: Ὄνομα τόπου.

Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι: Ἐπὶ τῶν ποτ' ἀκμασάντων, νῦν δὲ ἀσθενῶν ὄντων.

Παλαίσμασιν: Ἀντὶ τοῦ, στρατηγήμασι. Καὶ [y] Ἀριστοφάνης·

Φρυνίχου παλαίσμασιν.

Στρατηγοῦντος γὰρ αὐτοῦ ἡττήθησαν [z] Ἀθηναῖοι, καὶ πολλοὶ αὐτῷ προσεκρούσθησαν, ὡς προδόντι τὸν πόλεμον. Τινὲς δὲ τοῦτον [a] κωμικὸν ποιητὴν λέγουσιν, ὃς κινουμένους τοὺς [b] χοροὺς εἰσῆγε, καὶ παλαίοντας. Ἐγένετο δὲ στρατηγὸς, ἐφ' οὗ πολλοὶ ἥμαρτον τῶν τραγικῶν, καὶ ἄτιμοι ἐγένοντο.

Παλαιστάς: Σπιθαμὰς, ἢ ἐν πάλῃ.

Παλαιστηνός: Παλαιστῖνος δέ.

Παλαιστής: [c] Ἀνταγωνιστής.

---

[i] οὖν] γοῦν C.

ΠΑΛΑΜΩΜΕΝΩΝ—ἐργαζομένων A. in marg. omissis ceteris.

[k] Τὴν ἐκ τῶν Ῥωμαίων] Hic locus nonnihil auctior legitur infra, v. Πρεσβυγενέστερος. Est autem, ni fallor, ex Menandro historico: quod res et stilus suadet. TOUP.

ΠΑΛΑΜΩΝ] Hæc A. in marg.

ΠΑΛΛΑΝΤΙΟΝ] Παλάντιον ὁ βασιλέως οἶκος A. in marg. nec plura. Qui sequentis glossæ partem tantum usque ad Ἀθηνᾶς habet in marg.

[l] Ἔστι δὲ ἐπίθετον Ἀθηνᾶς ἀπὸ τοῦ π.] Idem docet Scholiasta Homeri ad Il. α'. 200. KUST.

ΠΑΛΑΤΙΝΟΙ: Εἶδος ἄρτων, οὓς ἐφιλ.] Codinus de Orig. CPol. num. 15. eandem rem iisdem pene verbis docet. Ait enim: Ἐφιλοτιμήσατο δὲ (Κωνσταντῖνος) καὶ τῷ δήμῳ καθ' ἓν ἕκαστον ἔτος, παρέχων ἄρτους ἡμερεσίους, ὀνομάσας αὐτοὺς ΠΑΛΑΤΙΝΟΥΣ, τοὺς ἐκ τοῦ Παλατίου χορηγουμένους, οἶνόν τε, καὶ κρέας, καὶ ἔλαιον, καὶ σιτηρέσια τάξας· ὧν καὶ νῦν ἡ πόλις ἀπολαύει, τῶν ὑπ' αὐτοῦ ῥιφέντων καλάμων φέρουσα τὰ γνωρίσματα. Hæc iis, quæ Suidas habet, egregie respondent. Ceterum, de toto hoc loco consulendus est Salmasius ad Flavii Vopisci Aurelianum, qui de panibus Palatinis, sive civicis, et distributionis eorum modo copiose et erudite disserit. KUST. Παλατῖνοι—ὁ μέγας A. in marg. omissis ceteris.

[m] μέχρι τινὸς] Sublata est an. 8. imp. Heraclii illa civicarum annonarum erogatio, Fasti Siculi. Vid. C. Theodos. V. de ann. civ. et pane gradili. Petit. Legg. Att. IV. tit. ult. p. 385. Meurs. Gloss. Gr. Barb. Βουκέλλατον et Παξαμᾶς, et Salmas. ad Vopisc. Aurelian. c. 48. et c. 35. REINES. Conf. Petavium ad Themist. IV. p. 554. ed. 1618.

[n] ῥιφέντων] Adde ex Codino, καλάμων. Καλάμους autem Codinus appellat *tesseras panarias*, ut pluribus docet Salmasius loco laudato. KUST. ῥηθέντων E.

ΠΑΛΑΜΗΙ] Hanc et seq. gl. habet A. in marg.

[o] Τῇ ἀρχῇ] Scribe, μηχανῇ. KUST.

ΠΑΛΑΙΓΕΝΕΣ: Πρεσβύτατον A. in marg. ubi rell. om. Παλαιγενές: πρεσβύτατον, nec plura Photius. Παλαιγενὴς πρεσβύτατον C.

[p] Ἀριστοφάνης] Nub. 357. Vide ibi Scholiastam. Confer etiam Nostrum supra v. Ἀρχαῖον. KUST.

[q] Ἡ παλαιὰ etc. om. C. Seq. ΠΑΛΑΙΕΥΣ in M.

ΠΑΛΑΙΟΝ] Gl. om. A. Habet Photius, unde dedi τῷ παλαιὸν pro τῷ παλαιῷ. In. C. παλαιον (sic) καὶ παλαιόν.

[r] Ἀλκίβιον] Ἀλκιβιάδιον B.E. qui mox ἀπεδόκει. Ἀλκύβιον C.

[s] ν'] τὰς ν' C. et mox οὕτω pro αὐτὸς.

ΠΑΛΑΙΟΝ: Τὸ πρὸ πολλοῦ χρόνου A. in marg. ubi rell. om. πολλοῦ χρόνου item C. et Schol. Aristoph. Ach. 414. unde gl. πολλῶν χρόνων M.

[t] παρ' Ὁμήρῳ] Il. ζ'. 215. KUST.

[u] Πολλαὶ ἐν ἀμφ.] Est versus Homericus Odyss. α'. 395. sed ubi genere masculino legitur, Πολλοὶ—νέοι ἠδὲ παλαιοί. KUST. Πάλαι C.M.

[x] νέαι] ἡ μὲν νέαι C.M.

ΠΑΛΑΙΟΣ ἈΦ' ΟΥ ΧΡΟΝΟΣ] Sophocl. Aj. 600. Hanc et duas seqq. gl. om. A.

ΠΑΛΑΙ ΠΟΤ' ἮΣΑΝ ἌΛΚ.] Vide nos supra ad v. Ἦσαν. KUST. Vid. Hemsterh. ad Aristoph. Plut. p. 356.

ΠΑΛΑΙΣΜΑΣΙΝ] Vid. infra Φρυνίχου πάλαισμα, et Ælian. V. H. III. 8. REINES. Παλαίσμασιν: ἀντιστρατηγήμασιν A. in marg. nec plura.

[y] Ἀριστοφάνης] Ran. 701. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. KUST.

[z] οἱ Ἀθηναῖοι] οἱ om. C.E.

[a] κωμικὸν ποιητὴν] ποιητὴν κωμικὸν C.

[b] χοροὺς] ἀστέρας C.

ΠΑΛΑΙΣΤΑΣ] Psalm. XXXVIII. 6. Ἰδοὺ παλαιστὰς ἔθου τὰς ἡμέρας μου. Quo respexit opinor. TOUP. Hanc gl. A. in marg. ubi om. ἢ ἐν πάλῃ, pro quibus Photius, ἢ ἔμπαλιν.

ΠΑΛΑΙΣΤΗΝΟΣ] Delevi statim cum A. ἐκ τοῦ παλαιστὴ, παλαιστής. ubi rell. in marg.

[c] Ἀνταγωνιστὴς] ἀγωνιστὴς E. Gl. om. A. οὖ om. B.E.C. ante πεῖνος.

[d]Σοφὸς παλαιστὴς κεῖνος· [e]ἀλλὰ χαὶ σοφαὶ
γνῶμαι ἐμποδίζονται θαμά.

Παλαιστίνη: Ὄνομα χώρας. Καὶ Παλαιστῖνος, ὁ ἀπὸ [f]Παλαιστίνης.

Πολλοῖς δὲ σταθμοῖς ἀφέστηκεν ἡ Βαβυλὼν τῆς Παλαιστίνης.

Παλαίστρα: Τὸ γυμνάσιον.

[g]Εὑρὼν δὲ πεδίον ὕπτιον καὶ καλὸν εἰς χρῆσιν ἵππων καὶ φάλαγγος, ἐκάθαιρε, καὶ διέσκαπτε, καὶ τῷ πολέμῳ παλαίστρας ἐποίει.

Παλαίτατος: Ὁ παλαιός.

Παλαίφατος, [h]Ἀθήνησιν ἐποποιὸς, υἱὸς Ἀκταίου καὶ [i]Βοιοῦς· οἱ δὲ Ἰοκλέους φασὶ καὶ Μετανείρας· οἱ δὲ, Ἑρμοῦ. Γέγονε δὲ κατὰ μέν τινας μετὰ Φημονόην, κατὰ δὲ ἄλλους, καὶ πρὸ αὐτῆς. Ἔγραψε δὲ Κοσμοποιίαν εἰς ἔπη ͵ε., Ἀπόλλωνος καὶ Ἀρτέμιδος γονὰς, ἔπη ͵γ., Ἀφροδίτης καὶ Ἔρωτος [k]φωνὰς καὶ λόγους, ἔπη ͵ε., Ἀθηνᾶς ἔριν καὶ Ποσειδῶνος, ἔπη ͵α., Λητοῦς πλόκαμον.

Παλαίφατος, Πάριος, [l]ἢ Πριηνεὺς, γεγονὼς κατὰ Ἀρταξέρξην. [m]Ἀπίστων βιβλία ε΄. Τινὲς δὲ ταῦτα εἰς τὸν Ἀθηναῖον ἀναφέρουσι· πλὴν καὶ οὗτος ἔγραψε.

Παλαίφατος, Ἀβυδηνὸς, [n]ἱστορικός. Κυπριακὰ, Δηλιακὰ, Ἀττικὰ, Ἀραβικά. Γέγονε δὲ ἐπὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος· παιδικὰ δὲ Ἀριστοτέλους τοῦ φιλοσόφου, [o]ὡς Φίλων ἐν [p]τῷ ει στοιχείῳ τοῦ περὶ παραδόξου ἱστορίας βιβλίου α΄, καὶ Θεόδωρος ὁ Ἰλιεὺς ἐν δευτέρῳ Τρωϊκῶν.

Παλαίφατος, Αἰγύπτιος, ἢ Ἀθηναῖος, γραμματικός. Αἰγυπτιακὴν Θεολογίαν, Μυθικῶν βιβλίον α΄, [q]Λύσεις τῶν μυθικῶς εἰρημένων, Ὑποθέσεις εἰς Σιμωνίδην, [r]Τρωϊκά· ἅ τινες εἰς τὸν Ἀθηναῖον, τινὲς δὲ εἰς τὸν Πάριον ἀνήνεγκαν. Ἔγραψε καὶ ἱστορίαν ἰδίαν.



Παλαιφάτου: Παλαιᾶς, καὶ ἀρχαίας· περὶ ἧς ἔφασαν ἔκπαλαι μύθους.

Παλεός: Ὁ [s]σκώπτης. Τίθεται καὶ ἐπὶ τοῦ ἄφρονος.

Παλεῦσαι: Ἐξαπατῆσαι, [t]ὑπαγαγέσθαι. Καὶ παροιμία·

Παλεύει καλῶς τὴν ἀλώπεκα.

Καὶ [u]παλεύτρια, περιστερὰ πλάνος. [x]Ἀριστοφάνης Ὄρνισι·

Κάτεινοσφάζει παλεύειν [y]δεδεμένας ἐν δικτύῳ.

Εἰώθασι γὰρ ἐκτυφλοῦν τινα τῶν ὀρνέων, καὶ ἱστᾶν ἐν δικτύῳ.

Πάλλει: Κινεῖ, [z]σείεται, ἅλλεται.

[a]Καὶ ἐπὶ τῷδε τὸν θυμὸν συνελέξατο ὁ βάρβαρος, καὶ τῷ πάλλεσθαι ὑπὸ τῷ τρόμῳ ἔληξε.

Παλληναῖος: Ὁ ἀπὸ Παλλήνης χώρας.

Παλληνεύς: Παλλήνη δῆμος τῆς [b]Ἀντιοχίδος. Τὸ δὲ ἐκ τόπου ἐπίρρημα [c]Παλληνόθεν. Ὁ δὲ δημότης Παλληνεύς. Ὅτι δέ [d]ἐστιν ἐν Θρᾴκῃ Παλλήνη γνώριμον.

Παλλήνη: Μία τῶν Ἀλκυονίδων. Καὶ ζήτει ἐν τῷ Ἀλκυονίδες.

Παλληνικὸν [e]βλέπειν: Ἀντὶ τοῦ, γενναῖον. Παλλήνη δὲ δῆμος τῆς Ἀττικῆς, ἔνθα Πεισιστράτῳ

[d] Σοφὸς παλαιστὴς κείν.] Sophocl. Philoct. 431. Σοφὸς παλαιστὴς κεῖνος· ἀλλὰ χ' αἱ σοφαὶ Γνῶμαι, Φιλοκτῆτ', ἐμποδίζονται θαμά. Sic etiam apud Suidam locus hic scribendus et distinguendus est. KUST. οὐκεῖδος M.

[e] ἀλλ' οὐχ αἱ] ἀλλὰ χαὶ C.

ΠΑΛΑΙΣΤΙΝΗ] Παλαιστήνη: ὄ. χ. A. in marg. rell. om.

[f] Παλαιστίνης] ταύτης E.

ΠΑΛΑΙΣΤΡΑ τὸ γ. A. in marg. ceteris omissis. Seq. gl. A. in marg.

[g] Εὑρὼν] Εὑρὼν δὲ C.

ΠΑΛΑΙΦΑΤΟΣ] Deest articulus A. Hoc et 3 seqq. caret C.

[h] Ἀθήνησιν ἐποπ.] Scripserim potius, Ἀθηναῖος, ἐποποιός. KUST. Vid. artic. seq.

[i] Βοιοῦς] Βοιοῦς B.D.

[k] φωνὰς καὶ λόγους] λόγον καὶ φωνὰς B.E.

[l] ἢ Πριηνεὺς] Seqq. om. A. qui priora habet in marg.

[m] Ἀπίστων βιβλία ε΄] Theon in Progymn. Καὶ Παλαιφάτῳ τῷ Περιπατητικῷ ἐστὶν ὅλον βιβλίον περὶ τῶν Ἀπίστων ἐπιγραφόμενον, ἐν ᾧ τὰ τοιαῦτα ἐπιλύεται. Palæphati Incredibilia citantur quoque ab Eusebio in Chronico DCCCXLIV. Hujus operis fragmentum hodie adhuc exstat. KUST.

[n] ἱστορικός] Seqq. om. A. ubi priora in marg. Κυπριακὰ B.E.

[o] ὡς Φίλων ἐν τῷ ει στοιχείῳ τοῦ περὶ παραδ. ἱστορ. βιβλ.] Locum hunc sic scribendum esse puto, ὡς Φίλων ἐν τῷ περὶ παραδόξου ἱστορίας βιβλίῳ πρώτῳ: omissis nempe verbis illis, ἐν τῷ ει στοιχείῳ. Non videtur enim probabile, opus illud Philonis ordine alphabetico conscriptum fuisse. Quod si tamen quis verba illa retinenda esse pertinaciter contendat, locus hic ita concipiendus erit, ὡς Φίλων ἐν τῷ ει στοιχείῳ τοῦ περὶ παραδόξου ἱστορίας βιβλίου πρώτου. KUST.

[p] τῷ ει] τῷ ι Eudocia, et mox πρώτου βιβλίου.

[q] Λύσεις] Sic recte mss. Paris. itemque editio Mediol. At in ceteris editt. male legitur, λίας. KUST. ἀλληγορίας Eudoc. λ' M.

[r] Τρωϊκά] Operis hujus mentionem faciunt Stephanus Byzantius, Harpocratio, et Noster supra v. Μακροκέφαλοι. Vide Vossium in opere de Hist. Gr. et Meursium in Bibliotheca Attica, v. Παλαίφατος. KUST.

ΠΑΛΑΙΦΑΤΟΥ] Homerus Odyss. τ΄. 163. Οὐ γὰρ ἀπὸ δρυός ἐσσι παλαιφάτου. Scholiasta: Παλαιφάτου: Παλαιὰ φατιζομένης. Περὶ ἧς παλαιὰ μυθεύεται. Huc Suidas respexit. KUST. Deest gl. A.

ΠΑΛΕΟΣ] Scribe παλαιός, per diphthongum αι in syllaba secunda. Vide Hesychium v. Παλαιός. KUST. Male Kusterus. Respexit Aristoph. Lys. 987. ubi recte reddit Suidas σκώπτης. TOUP. Vid. Kuster. ad Aristoph. Lys. 987. HEMST.

[s] σκώπτης] σκώπτης καὶ ἄφρων A. in marg. ubi rell. om.

ΠΑΛΕΥΣΑΙ: Ἐξ. ὑπ. C. ponit post ἀλώπεκα.

ib. Philostrat. p. 859. TOUP.

[t] ὑπαγαγέσθαι—ἀλώπεκα et mox καὶ παλεύτρια—πλάνος om. A. qui rell. habet in marg.

[u] ΠΑΛΕΥΤΡΙΑ] Vid. Ælian. N. A. XIII. 17.

[x] Ἀριστοφάνης Ὄρνισι] Ver. 1083.

[y] δεδεμένας om. A.E.C.M. εἰώθασι etc. om. C.

[z] σείεται, ἅλλ.] Hæc interpretatio mihi suspecta est. Nam τὸ πάλλει interdum passive poni pro πάλλεται, valde dubito. Quare fortasse scribendum est, Πάλλει: Κινεῖ. Καὶ Πάλλεται: Σείεται, ἅλλεται. Sic locus hic recte se habebit. KUST. Vulg. habet Photius.

[a] καὶ ἐπὶ τῷδε] Hoc exemplum delevit Kusterus: non est in A. ὑπὸ τοῦ τρόμου πάλλεσθαι corr. Portus. Dedi πάλλεσθαι pro παλεύεσθαι ex C. Gl. quatuor seqq. om. A.

ΠΑΛΛΗΝΕΥΣ: Παλλήνη δῆμ.] Ex Harpocratione. KUST.

[b] Ἀντιοχίδος] Ἀντιοχείας E.

[c] Παλληνόθεν] Παλληνῆθεν B.E. παλληνόθεν C.

[d] ἐστιν ἐν] ἐστι καὶ ἐν C.

ΠΑΛΛΗΝΙΚΟΝ ΒΛΕΠΕΙΝ: Ἀντὶ τοῦ γενν.] Ex Schol. Aristoph. Acharn. 233. KUST.

[e] ΒΛΕΠΕΙΝ] μέλπειν C.

βουλομένῳ τυραννεῖν, καὶ Ἀθηναίοις μὴ βουλομένοις, συνέστη πόλεμος. Βλέπειν δὲ Παλληνικὸν βούλεται εἰπεῖν, [f]ὠμῶς διακεῖσθαι καὶ τραχέως ἔχειν πρὸς τὸν ἐχθρόν· ὡς πάλαι πρὸς Πεισίστρατον τὸν τύραννον, ἡνίκα συνεστήσαμεν ἐν Παλλήνῃ τὴν μάχην. Ἢ [g]Βαλλήνῃ, [h]κατὰ συγγένειαν τοῦ β΄ πρὸς τὸ π΄. παρὰ τὸ βάλλειν [i]λίθοις. Θέλει γὰρ εἰπεῖν, ὅτι δεῖ ζητεῖν τὸν ἐχθρὸν, καὶ λιθολευστεῖν αὐτόν.

Παλίγκοτος: Ὀργίλος, στυγνὸς, φοβερὸς, [k]ἐναντίος. [l]Ἀριστοφάνης·

Μὴ γύνη [m]παλίγκοτός τις ἀντιβολοῦσιν ἡμῖν γε.

Ἤγουν, μὴ ἐξ ὑποστροφῆς ὀργισθῇς, καὶ πάλιν μετανοήσῃς, ἐφ' οἷς ἡμᾶς εὐεργετεῖν διέγνως. Καὶ [n]ἐν Ἐπιγράμμασι·

Κύπρις [o]γὰρ τὰ μὲν ἄλλα παλίγκοτος· ἢν δέ τι καλὸν ἔλλαχεν, ἐχθαίρειν τὰς σεβαρευομένας.

Παλίγκυρτος: Ἀλιευτικὸν ἀγγεῖον. [p]Πολύβιος·

Τῶν γὰρ πολεμίων αὐτομάτως καθάπερ ἐς παλίγκυρτον αὐτοὺς καθεικότων δυνάμενος κρατῆσαι, [q]τῶν ἐχθρῶν τούτους παρῆκε.

Παλίλλογα: Παλισύλλεκτα.

Παλιλλογία: Ταυτολογία.

Παλιμβαλής: Ὁ [r]ἀνάταυρα πεσὼν, ὁ ὕπτιος.

Παλίμβιος: [s]Ὡς ἐξ ἀναβιώσεως.

Παλιμβολία: Ἡ εὐμετάβλητος γνώμη. [t]Ἀγαθίας·

Τῶν δὲ στρατηγῶν πολλὴ μὲν ὑπῆρχε παράταξις, πολλαὶ δὲ φρουραὶ, καὶ ἀγρυπνίαι, καὶ ἀνὰ τὰ πλήθη περινοστήσεις, ἐλπὶς, καὶ δέος, καὶ παλιμβολία.

Παλίμβολον: Ἀβέβαιον, [u]ἄπιστον.

[x]Τὸ γὰρ Σκυθικὸν εἶναι παλίμβολον.

Παλίμβολος: [y]Ἀδόκιμος, εὐμετάβλητος, ἀνελεύθερος. Κλήμης. Δύναται [z]καὶ ἀντὶ τοῦ [a]παλίμβολος, [b]ἐναντιόβολος, ἐναντιογνώμων, [c]ὡς καὶ παλίνδης ὄνομα.

Παλιμπετής: Ὀπισθόρμητος.

Παλίμφημα: Δύσφημα, κακὰ, ἐναντία.

Παλινάγγελος: Ὀπίσω ἐπανελθὼν ἄγγελος.

Παλινάγρετον: Πάλιν καὶ αὖθις ὑστερόληπτον. [[d]ἢ ἀφ' οὗ δύναταί τις πάλιν διεγερθῆναι.]

Παλιγκάπηλος: Ὁ μεταπράτης.

Παλινδικεῖ: Ἐπισυνάπτει δίκην.

[e]Καὶ παλινδικίαν [f]διδοὺς τοῖς ἀδίκως καταδικασθεῖσι.

Παλίνδρομος: Ὀπισθόρμητος.

Πέμψας αὐτῷ μνᾶς εἴκοσι, παλινδρόμους ἀπέλαβε.

Παλινδρομῶν: Ὑποστρέφων.

Παλιναίρετα: Τὰ ἐπεσκευασμένα, καὶ οἷον ἐπίγραφα· [g]οὐ καινὰ δὲ, οὐδὲ ὑγιῆ.

Παλιναίρετος: Δείναρχος ἐν τῇ κατὰ Πολυεύκτου ἐκφυλλοφορηθέντος ἐνδείξει. Μήποτε δὲ [h]αἱρετὸν λέγει ὁ ῥήτωρ τὸν Πολύευκτον, [i]ἐπειδήπερ συκοφαντῶν

[f] ὠμῶς] ὁμοίως C.

[g] Βαλλήνῃ] Βαλλήνην E.

[h] κατὰ] ἢ κατὰ C.

[i] λίθοις] λίθον B.E.

[k] ἐναντίος] Seqq. om. A. qui priora habet in marg.

[l] Ἀριστοφάνης] In Pac. 390. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST. Ἀριστοφάνης—ἡμῖν post διέγνως ponit C. qui mox ὀργισθείς.

[m] παλίγκοτός τις] τις et mox γε om. B.E.C.M.

[n] ἐν Ἐπιγράμμασι] Anthol. Pal. V. 280.

[o] γὰρ] μὲν C.

[p] Πολύβιος] Fr. gr. 99.

[q] τῶν ἐχθρῶν] Hæ duæ voces, ut supervacaneæ, delendæ sunt. KUST.

ΠΑΛΙΛΛΟΓΑ] Il. α΄. 126. Deest gl. A.

ΠΑΛΙΛΟΓΙΑ] Παλιλλογία C.E. Phot. Hesych. Gl. habet A. in marg. Gl. seq. om. A.

[r] ἀνάταυρα] Hic hæreo, nec quid de voce hac statuendum sit scire me fateor. Certe, si non sit corrupta, est saltem barbara, et in scriptoribus infimæ ætatis quærenda. KUST. A ταῦρος, podex, qui in dorsum cadit. Hesych. Πρών: Ταῦρος. f. Πρωκτός: Ἐπίταυρος. v. Ὀρρωδία. TOUP. An corrupte pro ἀνάσκελα? quam vocem vide in Du Cang. Gloss. HEMST.

[s] Ὁ ἐξ] ὡς ἐξ B.C.E. Photius, Hesych. Deest gl. A. qui et om. gl. seq.

[t] Ἀγαθίας] Lib. II. p. 41. sed ubi pro παλιμβολία legitur παλιμβουλία. KUST.

[u] ἄπιστον] ἄπιστον, εὐμετάβολον, ἀνελεύθερον A. in marg. ubi om. rell. Seq. gl. om. A.

[x] Τὸ γὰρ Σκυθικὸν] Hæc sunt verba Menandri in Excerptis Hœschelii, p. 86. TOUP.

ΠΑΛΙΜΒΟΛΟΣ] Vid. Ruhnken. ad Tim. p. 205. Wyttenbach. Plutarch. p. 4 A.

[y] ἀδόκιμος] ἄδικος C. qui statim εὐμετάβολος.

[z] καὶ τὸ] καὶ ἀντὶ τοῦ B.E.M. ἀντὶ τοῦ C. sine καί.

[a] ΠΑΛΙΜΒΟΛΟΣ] Photius in Lexico MS. qui eadem habet quæ hic Suidas, post παλίμβολος addit, ἐναντιόβουλος. KUST.

[b] ἀντὶ τοῦ] ἐναντιόβολος B.E.M.C.

[c] ὡς καὶ παλίνδης ὄνομα] Hæc mihi non videntur sana, nec integra: de quibus lector proinde cogitet. Mihi enim omnibus minutiis per temporis angustias diu immorari non licet. In Lexico Photii inedito post vocem ὄνομα lacuna occurrit: unde suspicor, quædam huic loco deesse. KUST. Locus corruptissimus. Nam vox παλίνδης nihili est. Repono, ὡς καὶ Πάλιν δηλοῖ ὄνομα. *Ut vox πάλιν significat.* Est autem πάλιν nonnunquam idem ac ἐναντίον. Quare recte Suidas, Παλίμβολος: Ἀντὶ τοῦ Ἐναντιογνώμων. Quo sensu verbum usurpat Plutarchus de Genio Socratis, vol. VII. p. 595. edit. Reisk. Οὐ γὰρ ἀφίκετο μετὰ τῶν ἄλλων εἰς τὴν οἰκίαν, ἀλλ' ὅλως ἐδόκει πονηρὸς γεγονέναι καὶ ΠΑΛΙΜΒΟΛΟΣ. Atque hoc sensu accipiendus Callimachus Lav. Pall. 97. Δῖα γύναι, μετὰ πάντα ΒΑΛΕΥ ΠΑΛΙΝ ἴσσα δι' ἐργὸν Εἶπας. Sed forsan legendum: ὡς καὶ ΠΑΛΙΜΒΑΛΗΣ ὄνομα. De quo supra Suidas. TOUP. παλίνδης ἴσως. Photius.

ΠΑΛΙΜΠΕΤΗΣ] A. in marg.

ΠΑΛΙΜΦΗΜΑ] Cyrill. c. Julian. p. 6. TOUP. Hanc et seqq. gl. habet A. in marg. Portus citat Eurip. Ion. 1096. παλίμφαμος ἀοιδὰ, *infame carmen.* Παλίφημα M.

[d] Ἡ ἀφ' οὗ δύναταί τις πάλιν διεγ.] Inepte. Τὸ παλινάγρετον enim non est compositum ex πάλιν et ἐγείρω, sed ἀγρέω. KUST. Desunt hæc A. ubi priora in marg. scripto tamen παλινάγρετον. Παλινάγρετον usque ad ὑστερόληπτον Photius. Vid. Il. α΄. 526.

ΠΑΛΙΓΚΑΠΗΛΟΣ] Vide de hac voce Scholiastam Aristophanis ad Plut. 1157. KUST.

[e] καὶ παλινδικίαν] Exemplo caret A. qui priora exhibet in marg. Et sic dicendum de gl. seq.

[f] διδοὺς] Sic recte 2 mss. Paris. At in prioribus editt. male legitur, δίκην. KUST.

ΠΑΛΙΝΔΡΟΜΩΝ] Παλινδρομῶ: Ὑποστρέφω E. Gl. om. A.

[g] οὐ καινὰ] Seqq. om. A. qui priora habet in marg. Integram glossam agnoscit Photius. Vide Ruhnkenium ad Tim. p. 203.

ΠΑΛΙΝΑΙΡΕΤΟΣ: Δείναρχος ἐν τῇ κ.] Ex Harpocratione. KUST. Deest A.

[h] αἱρετὰ] αἱρετὸν λέγει C. Photius, Harpocr. ms. Pal. μήποτε παλιναίρετον λέγει Harpocr. ed. αἱρετὰ λέγῃ M.

[i] ἐπειδήπερ] ἐπειδὴ γὰρ Photius.

τινας, ἔπειτα λαμβάνων δῶρα, τούτοις αὐτοῖς ἐβοήθει· ἢ ὅτι συκοφάντης ἁλοὺς ἐζημιοῦτο, καὶ διὰ τοῦτο ἐκωλύετο λέγειν πρὶν ἀποτῖσαι τὴν ζημίαν, ἣν ὤφειλεν, ἔπειτα ἀποτίσας τὴν ζημίαν, πάλιν ἔλεγεν. Ἐκάλουν δὲ τοὺς τοιούτους παλιναιρέτους· ἀλλὰ καὶ τοὺς ἀποχειροτονηθέντας [k]ἀρχήν τινα ἄρχειν, καὶ πάλιν χειροτονηθέντας. Πίνδαρος δὲ ἐν Διθυράμβοις ἐπὶ τῶν καθαιρεθέντων οἰκοδομημάτων καὶ ἀνοικοδομηθέντων ἐχρήσατο τῇ λέξει.

Παλινοδία: Ἐναντία ὁδός. [l]Παλινῳδία δὲ, ἐναντία ᾠδὴ, ἢ τὸ τὰ ἐναντία εἰπεῖν τοῖς προτέροις. Καὶ ῥῆμα παλινῳδῶ. Καὶ παροιμία·

Ἄιδων παλινῳδίαν.

Παλίνορσος: Ὀπισθόρμητος.

Παλινοστήσας: Ἐπανελθών.

Παλίνορον: [m]Παλινόρμητον. [n]Διπλοῦν ἐποίησε τὸ ἀνάπαλιν ὁρμώμενον ποιεῖν. [o]Ἀριστοφάνης·

Τὸ σφαιρὸν παλίνορον [p]ἐξεκόκκισε.

Παλίνσκιον: Ἰσαῖος μὲν ἀντὶ τοῦ, σύσκιον. Ἀρχίλοχος δὲ, ἀντὶ τοῦ σκοτεινόν. Καὶ Σοφοκλῆς·

Χειμῶνι παλινσκίῳ.

Ἀντὶ τοῦ, ζοφερῷ.

Παλινσκίῳ: Σκοτεινῷ. Τὸ γὰρ πάλιν ἐπίτασιν δηλοῖ· ὡς παλιγκάπηλος, καὶ παλίμπρατος. [q]Ἡ κοινὴ συνήθεια παλίνσκια λέγει, τὰ μὴ ὑπὸ τοῦ ἡλίου θερμαινόμενα πεδία.

Παλιντράπελον: Ἀντίστροφον, ἐναντίον, [r]ἀντεστραμμένον.

Παλιντριβῆ: [s]Σοφοκλῆς·

[t]Πῶς οὐδὲν κακὸν ἀπώλετο.
Ἀλλ' εὖ περιστέλλουσιν [u]αὐτὰ δαίμονες,
καί πως τὰ μὲν πανοῦργα καὶ παλιντριβῆ
χαίρουσ' ἀναστρέφοντες ἐξ ᾅδου, τὰ δὲ
δίκαια καὶ [x]χρήστ' ἀποστέλλουσ' ἀεί.

Παλίντροπος: Ὀπισθόρμητος.

[y]Γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο
παῖδ' ἑὸν ἐς πάτραν ὠκὺν ἰόντα πόδα.

Παλίουρος: Εἶδος φυτοῦ ἀκανθώδους.

Παλίωξις: Ἡ ἐξ [z]ἐπιστροφῆς δίωξις· ὅταν οἱ φεύγοντες μεταβαλλόμενοι διώκωσιν. [a]Ἀγαθίας·

Οἱ δὲ Ῥωμαῖοι σφᾶς αὐτοὺς [b]ἐξελίξαντες, ὑπηντίαζον τοῖς διώκουσιν ἀντιμέτωποι, καὶ παίοντες ἀφειδῶς ἀντώθουν, καὶ ἐς παλίωξιν τὰ τῆς φυγῆς μετεχώρει.

Παλιρρόθιον: Ἐς τοὐπίσω [c]ἐφορμηκός.

Παλίρροια:

Παλμικὸν οἰώνισμα: Ὅπερ Ποσειδώνιος συνεγράψατο· [d]οἷον, ἐὰν πάλλῃ ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει.

Παλμουλάριος: Ὄνομα κύριον.

Παλλόμενον: Ἀλλόμενον, [e]κληρούμενον.

Πάλος: Κλῆρος.

[f]Ὁ δὲ Δαρεῖος τούτους κελεύει πάλλεσθαι· παλλομένων δὲ, [g]λαγχάνει ἐκ πάντων Βαγαῖος.

Παλμός: Τρόμος, σεισμός.

Παλτά: Τὰ δόρατα.

[h]Ὁ δὲ Κῦρος ἀναβὰς ἐπὶ [i]τὸν ἵππον, τὰ παλτὰ ἐπὶ τὰς χεῖρας ἔλαβε.

[k]Ξενοφῶν. Καὶ Ἀρριανός·

Ἐξηκόντιζον εἰς τοὺς προμαχομένους τοῦ τείχους, οἱ μὲν παλτὰ, [l]οἱ δὲ λίθους, οἱ δὲ τοξεύματα.

[m]Ἐν δὲ τῇ δεξιᾷ ἔχων παλτὸν ὡς ἐξάπηχυ, ἔμπροσθεν μὲν λόγχην ἔχον, ὄπισθεν δὲ αὐτοῦ τοῦ ξύλου σφαιροειδές.

[k] ἀρχήν] ἄρχοντας Photius, Harpocr. ms. Pal. ἀποχειροτονηθέντας τὴν ἀρχὴν Harpocr. ed. ἄρχοντας τινὰς C.

ΠΑΛΙΝΟΔΙΑ] Diodor. Sic. p. 556. TOUP. qui et extr. scripsit, Agathias p. 84. παλινῳδίαν, τὸ λεγόμενον, ᾖδον οἱ Κόλχοι. Παλινωδία A.E.

[l] ΠΑΛΙΝΩΙΔΙΑ] Vid. Schol. Platon. p. 60.

ΠΑΛΙΝΟΡΣΟΣ] Est vox Homerica Il. γ'. 33. KUST. Habet A. in marg.

ΠΑΛΙΝΟΣΤΗΣΑΣ] Gl. habet A. in marg.

[m] Παλινόρμητον. Διπλοῦν ἐποίησε. Τὸ ἀν.] Locum hunc sic lege, παλινόρμητον. Τὸ πάλιν ὁρμώμενον. Ἀριστοφάνης, &c. Verba enim illa, διπλοῦν ἐποίησε, et ποιεῖν, ut inutilia, lituram merentur. KUST.

[n] Διπλοῦν] Seqq. om. A. ubi priora, scripto Παλίνορον, in marg. In versu mox παλίνορον B.

[o] Ἀριστοφάνης] Acharn. 1178.

[p] ἐξεκόκκισε] Hanc lectionem ex mstis Paris. et Aristophane revocavi, cujus loco priores editt. male exhibent ἐξεκόμισε. KUST.

ΠΑΛΙΝΣΚΙΟΝ: Σύσκιον, σκοτεινόν. A. in marg. nec plura.

ΠΑΛΙΝΣΚΙΟΝ: Ἰσαῖος μὲν ἀντὶ τοῦ, συσκ.] Ex Harpocratione. KUST. Παλίνσκιος M.

ΠΑΛΙΝΣΚΙΩΙ] Plutarch. Num. pag. 67. ἐν παλισκίῳ. TOUP.

[q] Ἡ κοινὴ συνήθεια om. C.

[r] ἀντεστραμμένον om. A. Schol. Pindar. Ol. II. 68. παλιντράπελον δὲ ἀντεστραμμένον.

[s] Σοφοκλῆς] Philoct. 446. Ibi autem sic legitur: Ἐπεὶ γ' οὐδέν πω κακόν γ' ἀπώλετο. Et deinde: Δίκαια καὶ τὰ χρήστ' ἀποστέλλουσ' ἀεί. Sic etiam apud Suidam scribendum est. KUST.

[t] ὡς οὐδὲν] πῶς οὐδὲν κακὸν A.C. In C. tamen κακὸν κακόν.

[u] αὐτὰ] αὐτὸ A.

[x] χρήστ' ἀπαγγέλλουσ'] καὶ χρήστ' ἀποστέλλουσ' A.C.

[y] Γυμνὸν ἰδοῦσα Λάκαινα παλίντρ.] Anthol. Pal. IX. 61.

ΠΑΛΙΩΞΙΣ] Vid. Il. μ'. 71.

[z] ἐπιστροφῆς] ὑποστροφῆς C.

[a] Ἀγαθίας] Lib. I. p. 34. KUST.

[b] ἐξελίξαντες] ἐξελάξαντες C.

ΠΑΛΙΡΡΟΘΙΟΝ] Od. ε'. 430. ι'. 485.

[c] ἐφορμηκὸς] ἐφορμητικὸς C.M.

ΠΑΛΙΡΡΟΙΑ] Diodor. Exc. p. 564. Polyb. p. 115. TOUP. Gl. hanc et seq. om. A.

ΠΑΛΜΙΚΟΝ ΟΙΩΝΙΣΜΑ: Ὅπερ Ποσειδώνιος συνεγρ.] Nonnus in Gregor. Nazianz. p. 151. Παλμαστικὸν (rectius, παλμικὸν) δέ ἐστι τὸ διὰ τῆς πάλσεως τοῦ σώματος γνωριζόμενον. Οἷον, ἐπάλθη ὁ δεξιὸς ὀφθαλμὸς, τόδε σημαίνει· ἢ ὁ ὦμος, ἢ ὁ μηρὸς, τόδε· ὃ συνεγράψατο Ποσειδώνιος, καὶ ἄλλοι πολλοί. Eadem ad verbum pene leguntur etiam apud Suidam supra v. Οἰωνιστική: quem locum confer. KUST.

[d] οἷον] Seqq. om. C.

ΠΑΛΜΟΥΛΑΡΙΟΣ] Vide omnino de voce et loco hoc Gatakerum ad Marc. Antonin. p. 4. KUST.

[e] κληρούμενον] πληρούμενον A.E.C. Photii ms. edd. vett. κληρούμενον emendatio Porti est, a Kustero tacite recepta.

[f] Ὁ δὲ Δαρεῖος] Herodoti est III. 128. HEMST. TOUP.

[g] λαγχάνει] τυγχάνει C.

ΠΑΛΜΟΣ] Vid. Φρίκη. TOUP.

[h] Ὁ δὲ Κῦρος ἀναβὰς ἐπὶ τὸν ἵππ.] Hæc sunt verba Xenophontis lib. I. de Expedit. Cyri, p. 263. ut Pearsonius observaverat. KUST. I. 8, 3.

[i] τὸν ἵππον] τῶν ἵππων E. edd. vett. τὸν ἵππον C. sine ἐπί.

[k] Ξενοφῶν om. A.C.

[l] οἱ δὲ λίθους addunt A.B.V.E.C.

[m] Ἐν δὲ τῇ δεξιᾷ ἔχων π.] Et hoc fragmentum legitur apud Xenophontem lib. V. de Exped. Cyri, p. 352. ut itidem Pearsonius monuit. KUST. V. 4, 12.

ΠΑΑΤΑΡΙΑ: Σεμίδαλις.

ΠΑΑΤΝΟΜΕΝΗΣ: Λευκαινομένης.

[n]Τῆς χώρας τῶν Σκυθῶν θαμὰ νιφετῷ παλυνομένης.

ΠΑΜΜΑΧΙΟΝ: Παγκράτιον.

ΠΑΜΒΑΞ καὶ ΠΑΜΒΑΚΙΣ: Τὸ παρὰ πολλοῖς λεγόμενον ΒΑΜΒΑΚΙΟΝ.

[o]Καὶ τὴν τρυτοδίνην κοιτίδα παμβακίδων.

ΠΑΜΒΟΡΟΝ: [p]Κάκοσμον. [q]Ἰώσηπος·

Τὸ πάμβορον [r]γεγεννήκει βορὰν ἡδεῖαν ἐξ αὐτοῦ.

Τὸν λέοντα σημαίνων, καὶ κηρία μέλιτος.

ΠΑΜΒΟΡΩΤΑΤΟΝ:

ΠΑΜΒΩΤΑΔΕΣ: Παμβῶται δῆμος τῆς Ἐρεχθηΐδος.

ΠΑΜΜΗΣΤΟΡΑ: Πάντων τεχνίτην.

ΠΑΜΠΑΝ: Παντελῶς. Δράκων δὲ ὁ Στρατονικεὺς [s]συναλοιφὴν εἶναί φησιν ἐκ τοῦ παντάπασι.

ΠΑΜΠΗΔΗΝ: Παντελῶς.

ΠΑΜΠΗΣΙΑΝ: Πᾶσαν τὴν [t]κτῆσιν.

[u]Σὺ δ', ὦ Σίκων, καὶ Ξενόφαντες, [x]αἴρεσθε τὴν παμπησίαν.

ΠΑΜΠΛΕΙΣΤΟΣ:

ΠΑΜΠΛΗΘΕΙ: Καὶ ΠΑΜΠΛΗΘΕΣ, ἀντὶ τοῦ πολύ.

ΠΑΜΠΛΗΓΔΗΝ:

ΠΑΜΠΛΗΘΕΙΣ: Πάνυ πολλάς.

ΠΑΜΠΟΛΗ: Ὄνομα πόλεως.

ΠΑΜΠΟΛΛΗ: Ἡ πολλὴ καὶ ποικίλη.

ΠΑΜΠΡΕΠΙΟΣ, [y]Πανοπολίτης, ἐπῶν ποιητὴς, ἀκμάσας κατὰ Ζήνωνα τὸν βασιλέα. Ἔγραψεν Ἐτυμολογιῶν ἀπόδοσιν, Ἰσαυρικὰ καταλογάδην.

ΠΑΜΠΡΕΠΙΟΣ: Οὗτος [z]μέγα παρὰ Ζήνωνι ἐδυνήθη, γένος μὲν ὢν Θηβαῖος τῶν κατὰ τὴν Αἴγυπτον, φύσει δὲ πρὸς [a]ἅπαντα δεξιᾷ χρησάμενος, ἔρχεται εἰς Ἀθήνας, καὶ παρὰ τῆς πόλεως γραμματικὸς αἱρεθεὶς, συχνά τε ἐπαίδευσεν ἔτη, καὶ ἐπαιδεύθη ὁμοῦ, ὅσα ἦν [b]σοφώτερα, ὑπὸ τῷ μεγάλῳ Πρόκλῳ. Διαβολῆς δὲ A αὐτῷ πρὸς [c]Θεαγένην τινὰ τῶν ἐκεῖ γενομένων συστάσης, ὑβρισθεὶς ὑπ' ἐκείνου, καὶ μείζονος ἢ ἐχρῆν διδάσκαλον ὑπ' αὐτοῦ πειραθεὶς σκευωρίας, ἦλθεν εἰς Βυζάντιον, τὰ μὲν ἄλλα ἀγαθὸς καὶ χρηστὸς φαινόμενος, ὡς δὲ ἐν Χριστιανοὺς πάντας ἐχούσῃ πόλει τὸ Ἑλληνικὸν αὐτοῦ τῆς θρησκείας οὐκ ἔχον ὑπόκρισιν, ἀλλὰ μετὰ παρρησίας προδήλως δεικνύμενον, εἰς τὴν τοῦ καὶ ἕτερα τῆς ἀρρήτου σοφίας εἰδέναι ὑπόνοιαν B ἦγε. [d]Συσταθέντα δὲ αὐτὸν [e]ὁ Ἴλλους ἡδέως δέχεται, καί τι καὶ δημοσίᾳ ποίημα ἀναγνόντα λαμπρῶς τε ἐτίμησε, καὶ [f]σύνταξιν ἔδωκε, τὴν μὲν αὐτὸς ἰδίᾳ, τὴν δὲ ὡς διδασκάλῳ, καὶ ἐκ τοῦ δημοσίου. Καὶ ἀπελθόντος δὲ αὐτοῦ [g]εἰς τὴν Ἰσαυρίαν, οἱ βασκαίνοντες αὐτῷ συνθέντες διαβολὴν, τήν τε ἐκ τῆς θρησκείας, καὶ ὅτι [h]μαγγανεύει, καὶ μαντεύοιτο [i]τῷ Ἴλλῳ κατὰ τοῦ βασιλέως, πείθουσι τὸν Ζήνωνα καὶ τὴν Βηρίναν, C τότε μέγιστα δυναμένην, τῆς πόλεως ἐκπέμψαι. Καὶ ὁ μὲν ἐς Πέργαμον ἔρχεται τῆς Μυσίας· [k]Ἴλλους δὲ πυθόμενος κατὰ τὴν αὐτοῦ πρόφασιν ἐληλάσθαι τὸν ἄνδρα, πέμψας ἀναλαμβάνει [l]αὐτὸν ἐς Ἰσαυρίαν, καὶ σύμβουλόν τε αὐτὸν καὶ σύνοικον ποιεῖται, καὶ (ἦν γὰρ πολιτικῆς συνέσεως ἔμπλεως) [m]τὰ τῆς ἀρχῆς [n]αὐτοῦ, πρὸς ἃ μὴ σχολὴν ἦγε, διοικεῖν ἐπέτρεπεν, ἐλθών τε D ἐς Βυζάντιον συμπαρέλαβεν αὐτόν. Καὶ ὅτε ἐγένετο ἡ Μαρκιανοῦ σύστασις, ἀποροῦντα τὸν [o]Ἴλλουν αὐτὸς ἐπεθάρσυνε, καὶ τοσοῦτόν γε εἰπὼν, ὅτι τὰ τῆς προνοίας μεθ' ἡμῶν ἐστι [p]τεταγμένα, παρέσχεν ὑποψίαν τοῖς [q]τότε ὑπακούσασιν ὡς ἔκ τινος ἀδήλου ταῦτα [r]θειάζοι προγνώσεως. Καὶ ἐκβάντος, [s]ὥσπερ δὴ καὶ ἐξέβη, τοῦ τέλους, πρὸς τὴν τύχην τὸν ἐκείνου λόγον συμβάλλοντες, αὐτὸν πάντων αἴτιον (οἷα φιλεῖ ὅμιλος) E μόνον ὑπελάμβανον τῶν παραδόξως αὐτοῖς ἀποβαίνειν δοκούντων. Οὕτω μὲν οἱ σώφρονες περὶ [t]αὐτοῦ εἴκαζον. Εἰ δέ τι καὶ ἄλλο ἦν, οὔτε ἰσχυρῶς ἀνελεῖν ἔχω,

---

[n] Τῆς χώρας] Verba Menandri in Excerptis Hoeschelii, p. 86. TOUP.

ΠΑΜΒΑΞ] Vide Dufrenium in Glossario Græco. KUST.

[o] Καὶ τὴν τρυτοδίνην] Ex Anthol. Pal. VI. 254.

[p] Κάκοσμον] Imo, παμφάγον. Quid enim κάκοσμον ad πάμβορον? Videtur autem Suidas, cum hæc scriberet, in animo habuisse versum illum Aristoph. Pac. 38. Μιαρὸν τὸ χρῆμα, καὶ κάκοσμον, καὶ βορόν. KUST.

[q] Ἰώσηπος] Antiquit. Jud. lib. V. c. 10. KUST. V. 8, 6.

[r] γεγεννήκει] γεγεννήκοι A.V.B. Tum ἰδίαν E. pro ἡδεῖαν.

ΠΑΜΒΩΤΑΔΕΣ: Παμβῶται δ.] Harpocratio: Παμβωτάδης: Παμβωτάδαι, δῆμος τῆς Ἐρεχθηΐδος. Sic etiam apud Suidam legendum est. KUST. Παμβωτάδεις Harpocr. ed., Παμβωτάδης ms. V., ut Suidas ms. Pal. Tum Ἐρεχθεΐδος ms. Pal.

[s] συναλοιφὴν] συναλειφὴν A. συναλιφὴν Photius.

ΠΑΜΠΗΔΗΝ] Nicander, (Alex. 37.) ubi de herba μυακτόνῳ. REINES. Adde Alex. 526. Æschylum Platon. Rep. II. p. 380. Schol. Soph. Aj. 916. Παμπήδην: Παντελῶς, ὅλον τὸ σῶμα.

[t] κτῆσιν] κτίσιν A.

[u] Σὺ δ', ὦ Σίκων, καὶ Ξενόφ.] Aristophanes Ecclesiaz. 862. Βάδιζε τούνυν ὕστερος. Σὺ δ', ὦ Σίκων, Καὶ Παρμένων, αἴρεσθε τὴν παμπησίαν. KUST. Conf. Jungerman. ad Pollue. X. 12.

[x] ἀείρεσθε] ἄρεσθε A.

ΠΑΜΠΟΛΗ] Deest A.

[y] Πανοπολίτης] Πανοπλίτης B. Πανοπλίτης E.

ΠΑΜΠΡΕΠΙΟΣ: Οὗτος μέγα——ἐγένετο τῇ πολιτείᾳ] Hæc omnia ex Malcho historico excerpta esse, colligo ex ipso Suida infra v. Σύνταξις, ubi fragmentum eclogæ hujus, addito scriptoris illius nomine, repetitur. KUST. Vid. v. Ἀμφίβολοι. TOUP. Vid. Σαλούστιος. REINES. Εἰς τὸ F Παμπρέπιος. Οὗτος V. Deest articulus A. Post Παμφίλη ponit V.

[z] μέγα] μέγας B.

[a] ἅπαντα] Ita tacite Kusterus ex Porti em. et sic ni fallor V. ἅπαντας B.E.M.

[b] σοφώτερα] σοφότερα V.

[c] Θεαγένην τινα] τινα om. V.

[d] Συσταθέντα δὲ] δὲ om. V.

[e] ὁ Ἴλλος ἡδέως] Vid. Phot. c. 79. e Candidi historiis, et c. 242. ex Isidori philosophi vita a Damascio scripta. G REINES. Ἴλλους B.M. Statim μάγιστρος addit V.

[f] σύνταξιν ἔδωκε] Vid. supr. Ἐμπεδών. REINES.

[g] εἰς τὴν] ἐπὶ τὴν B.V.E. Mox V. θέντες pro συνθέντες.

[h] μαγγανεύει] μαγκανεύει E.M. μαγγανεύοι V.

[i] τῷ Ἴλλῳ] τοῦ Ἴλλου B.V.E.

[k] Ἴλλος] Ἴλλους B.E.M.

[l] αὐτὸν deest ni fallor V.

[m] τὰ] καὶ τὰ B.V.E.

[n] αὐτοῦ] αὐτῷ B. voc. om. E. Mox ἦγε σχολὴν V.

H [o] Ἴλλον] Ἴλλουν B.E.M.

[p] τεταγμένα] Nescio an om. V.

[q] τότε] τούτου E. Tum ἀκούσασιν V.

[r] θειάζοι] θειάζει V. θειάζει E.

[s] ὥσπερ δὴ καὶ ἐξέβη om. V. Mox ἐκείνου τὸν λόγον συμβάλλοντες E.

[t] αὐτοῦ] αὐτὸν V.

τικὰ, Τέχνην [i]κριτικήν· καὶ ἄλλα πλεῖστα γραμματικά.

Πάμφιλος: Οὗτος ἀεὶ ἔμμετρα ἔλεγεν ἐν τοῖς πότοις.

Ἔγχει πιεῖν μοι, καὶ τὸ πέρδικος σκέλος.
Ἀμίδα δότω τις, ἢ πλακοῦντά τις δότω.

Οὕτως Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Πάμφιλος, δημαγωγὸς Ἀθήνησι. Καὶ ἔκλεπτε τὰ τοῦ δήμου, καὶ φωραθεὶς ἐπ' αὐτοφώρῳ κατελύθη, ὥς φησιν Ἀριστοφάνης.

Πάμφορος: Παντοῖα φέρων.

Πάμψυχος: Ὁ Ἀμφιάραος, ὅτι πασῶν [k]ἀνάσσει ψυχῶν ἐν ᾅδου· ἢ ὁ διασώσας πᾶσαν τὴν ἑαυτοῦ ψυχήν· ἢ ὁ διαπαντὸς τὴν ψυχὴν σώζων· ὅ ἐστιν ἀθάνατος.

Πάν: Ὄνομα [l]θεοῦ Ἑλληνικοῦ, τραγοσκελὴς, φιλέρημος, [m]ἀπράγμων, καὶ μόνον ἔχων νεβρίδιον, καὶ καλαυρόπιον, καὶ συρίγγιον. [Καὶ ζήτει περὶ τούτου ἐν τῷ Ἀλίπλαγκτος.]

Πὰν, Πανός. Ὅτι Αἴσωπος, ὁ Μιθριδάτου ἀναγνώστης, ἔγραψε περὶ Ἑλένης· ἐν ᾧ φησι, [n]Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. Ἐν τούτῳ δὲ τὸν ἀστερίτην λίθον εὑρίσκεσθαι, ὃς [o]ὑπὸ τῷ ἡλίῳ ἀνάπτεται, ποιεῖ δὲ πρὸς φίλτρα.

Πᾶν: [p]Τὸ Πᾶν ἐστιν ὅ τε κόσμος, [q]καὶ καθ' ἕτερον τρόπον, τὸ ἐκ τοῦ κόσμου καὶ τοῦ ἔξωθεν κενοῦ [r]συστήματος. Ὁ μὲν οὖν κόσμος πεπερασμένος ἐστί· τὸ δὲ κενὸν, ἄπειρον. Τῶν δὲ ἀστέρων τὰ μὲν ἀπλανῆ [s]συμφέρεσθαι τῷ οὐρανῷ· τὰ δὲ πλανώμενα, κατ' ἰδίας [t]κινεῖσθαι κινήσεις. Τὸν δὲ ἥλιον [u]λοξὴν τὴν πορείαν ποιεῖσθαι διὰ τοῦ ζωδιακοῦ κύκλου, [x]ὁμοίως τε τὴν σελήνην ἑλικοειδῆ. Εἶναι δὲ τὸν μὲν ἥλιον εἰλικρινὲς πῦρ, καὶ μείζονα τῆς γῆς, καὶ σφαιροειδῆ, ἀναλόγως τῷ κόσμῳ. Πῦρ μὲν οὖν εἶναι, [y]ὅτι τὰ πυρὸς πάντα ποιεῖ· μείζω δὲ τῆς γῆς, τῷ πᾶσαν ὑπ' αὐτοῦ φωτίζεσθαι, ἀλλὰ καὶ τὸν οὐρανόν· [z]καὶ τῷ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἐπιβάλλειν, [a]τὸ μείζονα εἶναι σημαίνει. Πάντοθέν τε βλέπεσθαι, διὰ τὸ μέγεθος. Γεωδεστέραν δὲ τὴν σελήνην, [b]ἅτε καὶ προσγειοτέραν οὖσαν. Τρέφεσθαι δὲ [c]τὰ ἔμπυρα ταῦτα, καὶ τὰ ἄλλα ἄστρα, τὸν μὲν ἥλιον ἐκ μεγάλης θαλάττης, [d]νοερὸν ὄντα ἄναμμα· τὴν δὲ σελήνην ἐκ ποτίμων ὑδάτων, ἀερομιγῆ τυγχάνουσαν, καὶ πρόσγειον οὖσαν· τὰ δὲ ἄλλα ἀπὸ γῆς. Δοκεῖ δὲ [e]αὐτοῖς σφαιροειδῆ εἶναι καὶ τὰ ἄστρα, καὶ τὴν γῆν ἀκίνητον οὖσαν. Τὴν δὲ σελήνην οὐκ ἴδιον ἔχειν φῶς, ἀλλὰ [f]ἀπὸ ἡλίου λαμβάνειν ἐπιλαμπομένην. Ἐκλείπειν δὲ τὸν ἥλιον, ἐπιπροσθούσης [g]αὐτῷ τῆς σελήνης κατὰ τὸ ἐφ' ἡμᾶς μέρος· (φαίνεται γὰρ [h]ὑπερχομένη ταῖς συνόδοις, καὶ ἀποκρύπτουσα αὐτὸν, καὶ πάλιν παραλλάττουσα· γνωρίζεται δὲ τοῦτο διὰ λεκάνης ὕδωρ ἐχούσης·) τὴν δὲ σελήνην ἐμπίπτουσαν εἰς τὸ τῆς γῆς ἀποσκίασμα. Ὅθεν καὶ ταῖς πανσελήνοις [i]μόναις ἐκλείπειν, καίπερ κατὰ διάμετρον ἱσταμένην κατὰ μῆνα τῷ [k]ἡλίῳ· ὅτι κατὰ λοξοῦ ὡς πρὸς τὸν ἥλιον κινουμένη, παραλλάττει τῷ [l]πλάτει, ἢ βορειοτέρα, ἢ νοτιωτέρα γινομένη. Ὅταν μέντοι τὸ πλάτος αὐτῆς κατὰ [m]τῶν ἡλιακῶν καὶ τῶν διὰ μέσων γένηται, εἶτα [n]διαμετρήσῃ τὸν ἥλιον, τότε ἐκλείπει. Γίνεται δὲ τὸ πλάτος αὐτῆς κατὰ τῶν [o]ἡλιακῶν, [p]καὶ τῶν διὰ μέσων, ἐν Χηλαῖς, καὶ Σκορπίῳ, καὶ Κριῷ, καὶ Ταύρῳ.

Παναγές: Καθαρόν. Ἄγος γὰρ, καὶ ἁγνεία, καὶ μύσος, κατ' ἀντίφρασιν.

Ἡ δὲ ἔθει, καὶ πᾶσαι μετ' αὐτῆς ἀρρηφόροι καὶ παναγεῖς γυναῖκες, καὶ πολὺν χρόνον ἔκπληξις αὐτοὺς κατεῖχε, καὶ σκότος.

Παναθήναια: Ἀθήνησιν ἑορτὴ ἐπὶ τῷ ὑπὸ Θησέως [q]γενομένῳ συνοικισμῷ. [r]Πρῶτον ὑπὸ Ἐριχθονίου, τοῦ Ἡφαίστου καὶ τῆς Ἀθηνᾶς, ὕστερον δὲ ὑπὸ

[i] κριτικὴν] ῥητορικὴν E.

ΠΑΜΦΙΛΟΣ: Οὗτος ἀεὶ ἔμμετρα ἔλεγ.] Hæc Suidas sumpsit ex Athenæi Dipnosoph. lib. I. p. 4. KUST.

ΠΑΜΦΙΛΟΣ, δημαγωγὸς Ἀθ.] Ex Schol. Aristoph. Plut. 174. KUST.

ΠΑΜΨΥΧΟΣ: Ὁ Ἀμφ.] Ex Schol. Sophocl. Electr. 841. ut Portus monuit. KUST.

[k] ἀνάσσει ψυχῶν] τῶν ψυχῶν ἀνάσσει A.

[l] θεοῦ ἑλληνικοῦ] Hæc verba Christianum auctorem produnt. Docta est de Pane Hemsterhusii disputatio ad Lucian. t. I. p. 270.

[m] ἀπράγμων ἐπ' ὤμων] ἀπράγμων καὶ πόνον ἔχων A.V. Dedi καὶ μόνον cum Artemidoro IV. 72. unde desumpta sunt φιλέρημος—συρίγγιον. καὶ ζήτει etc. om. A.V.

ΠΑΝ, Πανὸς] Hunc articulum habet A. in marg.

[n] Πᾶνα ἰχθὺν καλεῖσθαι κητώδη. Ἐν τούτῳ δὲ τὸν ἀστερ.] Hæc etiam ad verbum ex Hephæstione refert Photius p. 493. quem confer. Vide etiam Nostrum supra v. Αἴσωπος, ubi eadem leguntur. KUST. et Ἰχθύς. REINES. Πάντα M.

[o] ὑπὸ ἡλίου] ὑπὸ τῷ ἡλίῳ A.B.V.E. ὑπὸ ἡλίῳ edd. vett.

[p] Τὸ Πᾶν ἐστιν ὅ τε κόσμος, καὶ καθ' ἕτ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Laërtii in Zenone Citt. segm. 143. 144. ut Pearsonius etiam observaverat. KUST.

[q] καὶ καθ'] καὶ om. A.

[r] συστήματος] σύστημα Laërt. ed. συστήματος ms.

[s] συμφέρεσθαι] συμπεριφέρεσθαι τῷ ὅλῳ οὐρανῷ Laërt.

[t] κινεῖσθαι κινήσεις] κινήσεις κινεῖσθαι A.

[u] λοξὴν] λοξείαν A.

[x] ὁμοίως τε] ὁμοίως δὲ V. Mox εἶναι δὴ E.M.

[y] ὅτι τὰ] τὰ om. B.E.M. Mox πάντα V. pro πᾶσαν.

[z] καὶ τῷ τὴν γῆν κωνοειδῆ σκιὰν ἐπιβ.] Apud Laërtium rectius sic legitur, καὶ τὸ τὴν γῆν δὲ κωνοειδῆ σκιὰν ἀποτελεῖν, τὸ μείζονα εἶναι σημαίνει. KUST.

[a] τῷ μείζονα] τὸ μείζονα A.B.V.E.M. σ' i. e. σημαίνει addunt A.V. post εἶναι. Mox πάντοθεν δὲ A.

[b] ἅτε καὶ] καὶ om. V.

[c] τὰ μὲν] μὲν om. A.V. Laërt.

[d] νοερὸν] Sic recte habet Laërtius, cujus loco in prioribus editt. pessime excusum est νωθρόν. [sic A.B.E.] Vide quæ notavimus supra ad v. Ἄναμμα, ubi hic ipse locus legitur. KUST. Leg. νοτερόν. Vid. Suid. v. Μυδαλέας. TOUP.

[e] αὐτοῖς] αὐτοὺς A.

[f] ὑπὸ] ἀπὸ B.V.E. παρ' Laërt.

[g] αὐτῷ] Nescio an om. V.

[h] ὑπερχομένη] ὑπερμαχομένη V.

[i] μόναις om. A.B.V.E. edd. ante Kuster.

[k] ἡλίῳ] Sic recte habet ms. A. itemque Laërtius loco laudato. At priores editt. [et B.E.] male ἡμισφαιρίῳ. KUST. Tum ὅτι om. M.

[l] πλάτει] τῷ πλάτει A.B.V.E.

[m] τῶν ἡλιακῶν καὶ τῶν] τὸν ἡλιακὸν καὶ τὸν Laërt.

[n] διαμετρήσῃ] διαμετρήσει A.V.

[o] ἡλιακῶν καὶ om. Laërt.

[p] καὶ τῶν] ἐκ τῶν E.

ΠΑΝΑΘΗΝΑΙΑ] De hoc festo Meursius libello singulari egit: quem consule. KUST.

[q] γενομένῳ] γενομένῳ B.V.D. Photius. γενομένη M. Deest v. A.

[r] Πρῶτον] ἐτέθη πρῶτον Schol. Platon. p. 39. in seqq.

Θησέως συναγαγόντος τοὺς δήμους εἰς ἄστυ. Ἄγεται A δὲ ὁ ἀγὼν [s]διὰ πέντε ἐτῶν. [t]Καὶ ἀγωνίζεται παῖς [u]Ἴσθμια, οὐ πρεσβύτερος, καὶ [x]ἀγένειος, καὶ ἀνήρ. Τῷ δὲ νικῶντι [y]δίδοται ἆθλον, ἔλαιον ἀμφιφορεῦσι, [z]καὶ ὁ νικῶν στεφανοῦται ἐλαίᾳ πλεκτῇ.

Παναθήναια: Διττὰ Παναθήναια ἤγετο Ἀθήνησι· τὰ μὲν καθ' ἕκαστον ἐνιαυτόν· τὰ δὲ διὰ πενταετηρίδος, ἃ καὶ μεγάλα ἐκάλουν. Ἤγαγε δὲ τὴν ἑορτὴν πρῶτος Ἐριχθόνιος, ὁ Ἡφαίστου. Τὰ δὲ B Παναθήναια πρότερον Ἀθήναια ἐκαλοῦντο.

Πανάκεια: Θεραπεία, καὶ ὄνομα Θεᾶς.

Πάνακτος: Πόλις μεταξὺ τῆς Ἀττικῆς καὶ τῆς Βοιωτίας. [a]Θουκυδίδης δὲ καὶ οὐδετέρως καλεῖ τὸ χωρίον· Μένανδρος δὲ, [b]ἀρρενικῶς.

Παναλκές: Ἰσχυρότατον.

Πανάντον: [c]Πάντη δυνατόν.

Παναώριος: Ἐν Ἐπιγράμμασι·

> [d]Καὶ γάρ που λαγόνεσσι ῥυτὶς παναώριος ἤδη.

Πρὸ τῆς ὥρας.

Πανάπυστος: Ἀνήκοος.

Πανάρεια:

Παναριστίδης: Ὄνομα κύριον.

Παναρκέος: Τοῦ μεγάλου, καὶ δυνατοῦ.

> [e]Ἠλίου δὲ παναρκέος.

Τοῦ πανταχῇ λάμποντος.

Παναρμόνιον: Πάντοθεν ἡρμοσμένον.

Παναρμόνιον: Ἐξ ὅλου τεταγμένον. Ἁρμονία γὰρ ἡ εὔτακτος ἀκολουθία.

Παναυγές: Πάνυ λαμπρόν.

Πανδαμάτωρ: [f]Πάντας ὑποτάσσων.

Πανδαισία:

> [g]Ὡς καλὸν, ὦ Πόσειδον, τὸ στῖφος αὐτῶν,
> καὶ πυκνὸν, καὶ γοργὸν, ὥσπερ μᾶζα καὶ πανδαισία.

[h]Πανδαισία: Ἡ δαψιλὴς καὶ κραταιὰ εὐωχία. Μᾶζα δέ ἐστιν ὁ [hh]στρυφνὸς ἄρτος. Πανδαισία ἐστὶν, ὅταν δεῖπνον ἕκαστος αὐτῷ κομίζων κατατίθηται, καὶ πάντες πάντων μετέχωσιν. [i]Ἡ πανδαισία, B ἡ πάντα ἔχουσα ἄφθονα, καὶ μηδὲν ἐλλείπουσα ἐν τῇ δαιτί.

Πανδαισίας: Πολυτελοῦς τραπέζης, εὐωχίας.

Πανδαίσιον: Πολυτελὴς τράπεζα.

Πανδέκται:

> [k]Οὐκ ἀπέστειλα, ἵνα μὴ εὐθύνας ὑπόσχω τοῖς πανδέκταις, τοῖς ἀποσμιλεύουσι τὰ ὀνόματα.

Πανδελετείους γνώμας: Τουτέστι, δυστρόπους. C Ἐπεὶ Πανδέλετος συκοφάντης ἦν καὶ φιλόδικος, καὶ γράφων ψηφίσματα· καὶ ἦν εἷς τῶν περὶ τὰ δικαστήρια διατριβόντων. Μέμνηται αὐτοῦ καὶ [l]Κρατῖνος ἐν Χείρωσι.

Πανδερκεῖς: Πάντα ὁρῶντες.

Πάνδεια: Ἑορτή τις Ἀθήνησι, μετὰ τὰ Διονύσια ἀγομένη.

Πανδημεί: D

> [m]Πότερον πανδημεὶ ἐξεληλάκασιν, ἢ τοὺς ἀπομάχους σφῶν οἴκοι κατέλιπον;
>
> Πανδημεὶ δὲ καὶ [n]παγγενεὶ ἦλθον οἱ Λυδοὶ παρακαλοῦντες.

Πάνδημος Ἀφροδίτη: Οὕτως ἐκάλουν τὴν ἀφιδρυθεῖσαν περὶ τὴν ἀρχαίαν ἀγορὰν, διὰ τὸ ἐνταῦθα

---

plerumque cum Suida concordans. πρὸ τοῦ Photius, ubi mox Ἡφαίστου καὶ γῆς Ἀθηναῖον. qui infra om. συναγαγόντος E —ὁ ἀγών.

[s] διὰ πέντε ἐτῶν] πενταέτης Photius.

[t] Καὶ ἀγωνίζεται παῖς Ἴσθμια, πρεσβύτερος, καὶ ἀγένειος, καὶ ἀνήρ] Hæc valde vereor ne ab ineptulo aliquo in locum hunc intrusa sint. Quid enim ad rem faciant, non video. KUST.

[u] Ἴσθμια οὐ] Ἰσθμικοῦ Photius. παῖς om. B.E.

[x] ἀγένειος καὶ] ἀγενείου Photius. καὶ om. Schol. Platon.

[y] δίδοται] δίδωσιν ἔλ. ἐν ἀμφορεῦσι Schol. Plat. sine ἆθλον. F

[z] καὶ ὁ νικῶν στεφανοῦται] καὶ στεφανοῦσιν αὐτὸν Schol. Plat.

ΠΑΝΑΘΗΝΑΙΑ: Διττὰ Παναθήναια ἤγετο Ἀθ.] Ex Harpocratione. KUST.

ΠΑΝΑΚΕΙΑ] Aristoph. Plut. 702.

ΠΑΝΑΚΤΟΣ: Πόλις μεταξὺ τῆς Ἀττ.] Et hæc ex Harpocratione sumpta sunt. KUST.

[a] Θουκυδίδης] V. 3. ubi vid. Wass. et Duker.

[b] ἀρσενικῶς] ἀρρενικῶς A.V. Harpocr.

[c] Πάντη δυνατόν] Photius in Lexico inedito habet παντοδύναμον, i. e. *quod omnia potest:* quod magis placet. KUST. Utraque interpretatio convenit: habent enim istiusmodi nomina duplicem vim activam et passivam. HEMST. παντὶ δυνατὸν A. πανταδυνατὸν V. πάντα δυνατὸν C. Hesychius: Παναλκές: ἰσχυρὸν, παντοδύναμον.

[d] Καὶ γάρ που] Anthol. Pal. V. 264.

ΠΑΝΑΡΕΙΑ] Sic A. nec plura.

[e] Ἠλίου δὲ παναρκέος] Respexit Suidas ad locum Callimachi, quem adducit Scholiasta Pindari ad Nem. I. 3. H Οἵ νυ καὶ Ἀπόλλωνα παναρκέος ἠελίοιο Χῶρι διατμήγουσι, καὶ εὔποδα Δηϊώνην Ἀρτέμιδος. Sic enim fragmentum hoc emendat Bentleius ad Fragm. Callim. 48. KUST. Παναρκοῦς ἀκτῖνος apud Suid. in Ἀρίσταρχος Τεγεάτης. HEMST.

ΠΑΝΑΡΜΟΝΙΟΝ] Julian. p. 315. TOUP. v. n. ad Hesych.

ΠΑΝΑΡΜΟΝΙΟΝ: Ἐξ ὅλου τετ.] Confer Hesychium h. v. qui eadem habet. KUST.

[f] πάντα] πάντας A.V. Photius.

[g] Ὡς καλὸν, ὦ Πόσειδον, τὸ στῖφ.] Aristoph. Pac. 563. Ὦ Πόσειδον, ὡς καλὸν τὸ στῖφος αὐτῶν φαίνεται, Καὶ πυκνὸν, καὶ γοργὸν, ὥσπερ μᾶζα καὶ πανδαισία. Sic etiam apud Suidam locus hic distinguendus est. KUST.

[h] ΠΑΝΔΑΙΣΙΑ: Ἡ δαψιλὴς καὶ κρατ.] Ex Schol. Aristoph. Pac. 564. sed ubi pro κραταιὰ rectius legitur παντοία. KUST.

[hh] στρυφνὸς] στριφνὸς A.

[i] ΠΑΝΔΑΙΣΙΑ ἐστιν] ἡ vel ἣ πανδαισία A.B.V.E.

ΠΑΝΔΑΙΣΙΟΝ] Sic A.V.

[k] Οὐκ ἀπέστειλα, ἵνα μὴ εὐθ.] Hæc sunt verba Synesii, Epist. C. ut Pearsonius observaverat. KUST. Imo et Petavius observaverat. TOUP. ἀπέστειλα V.

ΠΑΝΔΕΛΕΤΕΙΟΥΣ ΓΝΩΜΑΣ: Τουτέστι, δυστρ.] Ex Schol. Aristoph. Nub. 921. Πανδελετίους A.E.M. καὶ inserit A. ante φιλόδικος.

[l] Κρατῖνος] καὶ Κρ. A. Mox ἐν Χειρωσίῳ A.V.

ΠΑΝΔΕΙΑ: Ἑορτή τις Ἀθ.] Ex Harpocratione, qui G scriptum habet Πάνδια, per ι. Ceterum, Photius in Lexico inedito de festo illo sequentia notat: Πάνδια: Ἑορτή τις, ἀπὸ Πανδίας τῆς Σελήνης, ἢ ἀπὸ Πανδίονος, οὗ ἐστι καὶ φυλὴ ἐπώνυμος. Ἄγεται δὲ αὕτη τῷ Διῒ, ἐπονομασθεῖσα ἴσως οὕτως ἀπὸ τοῦ πάντα δεῖν θύειν τῷ Διῒ. Eadem habet Etymologus; nisi quod pro πάντα δεῖν θύειν, apud eum legatur, πάντα διοσεύειν: dicerem mendose, si de ineptis etymologiis quicquam certi statui posset. KUST. Vid. not. ad Demosth. c. Mid. p. 517. ed. Reisk.

[m] Πότερον] Sic rectius ms. Paris. A. quam priores editt. quæ habent, πρότερον. KUST.

[n] παγγενεὶ] παγγενῆ A.B.V.E.

ΠΑΝΔΗΜΟΣ ἈΦΡΟΔΙΤΗ: Οὕτως ἐκ.] Ex Harpocratione. De Venere Pandemo autem præter alios vide Meursium ad Lycophr. 112. KUST.

A πάντα τὸν δῆμον συνάγεσθαι τοπαλαιὸν [o]ἐν ταῖς ἐκκλησίαις, ἃς ἐκάλουν ἀγοράς. Ἔστι δὲ τὸ πάνδημον, [p]πάγκοινον.

Πανδήμου: Παντὸς τοῦ πλήθους, ἢ παντὸς τοῦ δημώδους καὶ ἀγελαίου ὄχλου.

[q]Ἑταίρα ὄνομα, οὐκ ἐκ τοῦ πανδήμου καὶ ἀσελγοῦς ἐπιτηδεύματος.

Πανδιονίς: Μία τῶν δέκα φυλῶν παρὰ Ἀθηναίοις, ἀπὸ [r]Πανδίονος τοῦ Ἐριχθονίου κληθεῖσα.

B Πανδοκεύτρια: Ἡ καπηλίς. Παρὰ τὸ δέχεσθαι πάντας. Εἴρηται δὲ καπηλίς, παρὰ τὸ κακύνειν [s]τὸν πηλόν· πηλὸς δὲ ὁ οἶνος. Ὅθεν καὶ ἄμπελος, οἱονεὶ ἔμπελος οὖσα· ἢ ἐν αὐτῇ ἔχουσα τὸν [t]πηλόν.

Πάνδοκοι: Αἱ πάντας [u]ὑποδεχόμεναι.

Τοῦτο δὲ ἴσασιν ἤδη [x]περιφερόμενον καὶ αἱ [y]πάνδοκοι γρᾶες.

C Καὶ πανδοκεῖον, τὸ πάντας ὑποδεχόμενον οἴκημα.

Πανδοσία: Πόλις μία τῶν ἐν [z]Κασσωπίᾳ.

[Πανδοῦρα: Μάχαιρα κρεωκόπος. Ἡ πηκτίς. Ζήτει ἐν τῷ Πηκτίς.]

Πάνδροσος: Ὄνομα γυναικός.

Παναίτιος, Ῥόδιος, ὁ πρεσβύτης, φιλόσοφος· οὗ [a]πολὺς ἐν φιλοσόφοις λόγος. Φέρεται αὐτοῦ βιβλία φιλόσοφα πλεῖστα.

Παναίτιος ὁ νεώτερος, Νικαγόρου, Ῥόδιος, φιλόσοφος Στωϊκός, [b]Διογένους γνώριμος, [c]ὃς καθηγήσατο καὶ [d]Σκιπίωνος, τοῦ ἐπικληθέντος Ἀφρικανοῦ, μετὰ Πολύβιον Μεγαλοπολίτην. Ἐτελεύτησε δ' ἐν Ἀθήναις.

[Ὅτι ὁ [dd]Παναίτιος μάγειρος μικροφυὴς ἦν. Διαβάλλει δὲ αὐτὸν Ἀριστοφάνης ὡς καταλαβόντα τὴν γυναῖκα αὐτοῦ μοιχευομένην. Ἐδυναστεύετο γὰρ ὑπ' αὐτῆς μεγάλης οὔσης.]

Πάνεμος: Ὄνομα μηνὸς [e]παρὰ Μακεδόσιν, ὁ Ἰούλιος παρὰ Ῥωμαίοις.

Πάνθειον: Τόπος.

Ἀνὰ τὸ πεδίον τῆς Ῥωμαίων νεὼς ἦν κοινὸς πάντων τῶν θεῶν. Πάνθειον [f]ἐκάλουν αὐτὸν οἱ ἐπιχώριοι.

Πάνθηρα:

Πάνθηρ: Ὄνομα κύριον.

Πάνθος: Ὄνομα κύριον.

Πάνθ' ὅμοια, καὶ Ῥοδῶπις ἡ καλή: Ἡ Ῥοδῶπις ἑταίρα ἐγένετο. Τοὺς οὖν πολὺ ἀπολέσαντας [g]ἀργύριον, τὸ διάφορον τῆς μίξεως, πρὸς τὰς ἄλλας γυναῖκας συνορῶντας, ἐπιφωνεῖν τὸ λεγόμενον.

Πάνθοος: Ὄνομα κύριον.

Πάνθ' ὅσ' ἂν θεὸς θέλῃ, κ' ἡ τύχη κατορθοῖ, χωρεῖ κατὰ [h]νοῦν. Ἕτερον ἑτέρῳ τοῦ- D

---

[o] ἐν ταῖς ἐκκλησίαις] Has tres voces ex Harpocratione revocavi, quæ in prioribus editt. desunt. KUST. Desunt item A.B.V.E. et Phot.

[p] πάγκοινον] Sic recte habet ms. Paris. A. itemque Harpocratio, et Photius in Lexico inedito. At priores editt. pessime παγήσιμον: quod vocabulum Portus inepte interpretatur. KUST.

[q] Καὶ ἑταίρας ὄνομα] ἑταίρα ὁ A. ἑταίρα ὄνομα κ° V.

ΠΑΝΔΙΟΝΙΣ: Μία] Ex Harpocratione. KUST. Πανδιονὶς A.V.E.M. et B. pr.

[r] Πανδίονος] Πανδίονος A.B.V.E.M. Mox Ἐριχθονίου A. Phot. Harpocr. pro Ἀθηναίου.

ΠΑΝΔΟΚΕΥΤΡΙΑ: Ἡ καπηλίς] Ex Schol. Aristoph. Plut. 426.

[s] τὸν] τὴν V.

[t] πηλόν] τὸν πηλὸν A.B.E. τὴν πηλὸν V.

ΠΑΝΔΟΚΟΙ] Sic habent mss. Paris. At priores editt. πάνδοχοι et πανδοχεῖον, per χ. KUST.

[u] ὑποδεχόμεναι] ὑποδεχόμενοι V.

[x] περιφερόμενον] Vid. Βααίτιν. TOUP.

[y] πάνδοχοι] αἱ πάνδοκοι A.B.V.E.

ΠΑΝΔΟΣΙΑ: Πόλις μ.] Ex Harpocratione. KUST.

[z] Κασσωπίᾳ] Κασωπίᾳ A.V.E.M. Simplici σ solus utebatur Herodianus, teste Stephano Byz.

ΠΑΝΔΟΥΡΑ] Gl. habet A. in marg. om. V.

ΠΑΝΑΙΤΙΟΣ] Vid. Ἀντιφάνης Ἀθηναῖος, qui dicitur νεώτερος τοῦ Παναιτίου—Ἀπολλόδωρος . . . εἷς τῶν Παναιτίου τοῦ Ῥοδίου φιλοσόφου καὶ Ἀριστάρχου τοῦ γραμματικοῦ μαθητῶν—Πολέμων Εὐεργέτου. HEMST.

[a] πολὺς] πολλοῖς A. ubi mox ὁ λόγος.

ΠΑΝΑΙΤΙΟΣ ὁ νεώτερος, Νικαγ.] De hoc Panætio vide omnino Jonsium lib. II. de Script. Hist. Phil. c. 13. KUST. Duos fuisse Panætios negat Lyndenus, seu potius Wyttenbachius, in pererudita de Panætio disputatione Lugd. Bat. 1802. Cujus libelli censuram vide in Rochetti Miscell. T. I. p. 336 seqq.

[b] Διογένους] Sc. Babylonii, qui fuit e Seleucia, et Romam cum Carneade legatus venit. REINES.

[c] ὃς καθηγήσατο τοῦ Σκιπ.] Vid. Plutarch. II. p. 777 A. Panætius scripsit libros de Socrate, Plut. in Aristid. p. 335. ad extr. c. 27. In iis fortasse arguit Demetrium Phalereum furti, qui itidem scripserat librum de Socrate, teste Laërt. p. 253. et in Plut. Aristid. p. 318. c. 1. cum tamen Plut. p. 319. ita: Παναίτιος μέντοι περὶ τοῦ τρίποδος ἀποφαίνει τὸν Δημήτριον ὁμωνυμίᾳ διεψευσμένον. An idem scriptum duplici fuit titulo? Non. Scripsit libros tres de Officiis, quos Cicero æmulatus est, et ex lib. II. eorum allegat Gell. XIII. 25. quædam. Item περὶ εὐθυμίας, Laërt. in Xenoph. IX. 20. REINES. E

[d] τοῦ Σκιπίωνος] καὶ Σκιπίωνος vel Σκηπίωνος A.B.V.E.

[dd] ΠΑΝΑΙΤΙΟΣ μάγειρος. Οὗτος μικρ.] Ex Schol. Aristoph. Av. 441. Habet A. in marg. om. V.

[e] παρὰ Μακεδόσιν om. A.V. Mox παρὰ Ῥωμαίοις om. E.M.

[f] ἐκάλουν αὐτὸν] αὐτὸν ἐκάλουν A.

ΠΑΝΘΕΙΡΟΣ] Πάνθειος A.V. Πάνθιρος E.

ΠΑΝΘ' ὍΜΟΙΑ, ΚΑΙ ῬΟΔ.] Ut senarius compleatur, scribendum est, Ἅπανθ' ὅμοια, &c. ut Portus etiam monuit. Ceterum, Erasmus proverbium hoc male exponit. F Non enim sensus ejus est, eandem esse conditionem mortalium, formososque pariter ac deformes senescere et mori: sed potius, stultum esse, formosas tantum meretrices sectari, earumque noctes magno pretio redimere, cum nihil intersit inter formosas et deformes, et hæ libidini nostræ æque satisfacere possint, ac illæ. Nimirum, ut Horatius ait lib. I. Sat. II. *Num, tibi, quum fauces urit sitis, aurea quæris Pocula? Num esuriens fastidis omnia, præter Pavonem, rhombumque? Tument tibi quum inguina,* &c. G Cetera enim, quæ apud Satyricum sequuntur, præ pudore omitto. Deinde animadverto, ab interpretibus non esse intellectam vocem διάφορον, quæ hic non significat *diversitatem*; sed *pecuniam*, sive *pretium*: quo sensu vox ista tum apud Dionysium Halicarnassensem pluribus in locis, tum etiam apud alios scriptores interdum accipitur. Significationis hujus ignoratio effecit, ut Schottus et Portus loco huic Suidæ sensum omnino alienum affingerent: quorum hallucinationem nos correximus. KUST.

H [g] ἀργύριον] ἀρ̄ A. voc. om. V.C. Mox ἐπιφωνεῖ M.

ΠΑΝΘΟΟΣ] Christodor. Thebanus I. ἀγαλμάτων: Πάνθοος ἦν Τρώων βουληφόρος. Hom. Il. γ'. 146. REINES.

ΠΑΝΘ' ὍΣ' ἌΝ] Aristophanes Pac. 938. Monuit Abreschius.

[h] ΝΟΥΝ ΤΑΥΤΑ] ταῦτα om. A.B. A ταῦτα usque ad fin. om. V.

ΤΩΝ ΚΑΤᾺ ΚΑΙΡῸΝ ἈΠΑΝΤᾼ: Τουτέστιν, ὁπόσα ἂν A θελήσῃ ὁ Θεὸς, καὶ ἡ τύχη κατορθοῖ, ταῦτα χωρεῖ κατὰ νοῦν.

ΠΆΝΘΟΥΣ: Πανθέατος.

ΠΑΝΘΟΐΔΗΣ: Ὁ τοῦ Πάνθου.

ΠΑΝΘΟΙΝΕΊ: Ἐπίρρημα.

ΠΑΝΘΟΊΝΗΝ: Πανδαισίαν. [i]Βάβριος·

> Λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην,
> ἔγκατα λαφύσσων, μυελὸν ὀστέων πίνων,
> καὶ σπλάγχνα δάπτων.

Λέγεται καὶ ΠΑΝΘΟΙΝΊΑ.

> Βούλομαι ἑστιάσαι σε [ii]πανθοινίαν.

ΠΆΝΘ' ὙΠῸ ΜΗΝΙΘΜΌΝ: Ἤτοι μετὰ πάσης μήνιδος καὶ χόλου, ἢ κατὰ πάντα τὸν τῆς μήνιδος χρόνον.

ΠΆΝΘΥΤΑ: Πανσέβαστα.

> [k]Πάνθυτα θέσμι' ἐξήνυσε.

Πανσέβαστα νόμιμα ἐξεπλήρωσε.

ΠΑΝΗΓΥΡΊΖΩ: Δοτικῇ.

ΠΑΝΙΚῷ ΔΕΊΜΑΤΙ: Τοῦτο γίνεται ἐπὶ τῶν στρατοπέδων, ἡνίκα αἰφνίδιον οἵ τε ἵπποι καὶ οἱ ἄνθρωποι ἐκταραχθῶσι, μηδεμιᾶς αἰτίας προφανείσης. Τῷ δὲ [l]Πανὶ εἰώθεσαν ὀργιάζειν αἱ γυναῖκες μετὰ κραυγῆς. Καὶ Μένανδρος ἐν Δυσκόλῳ,

> Σιωπῇ φησι τούτῳ τῷ θεῷ
> οὐ [m]δεῖν προσιέναι.

Ἢ ὅτι τὰ ἄνευ αἰτίας τῷ Πανὶ ἀνετίθεσαν. Δοξάζεται γὰρ πολεμίων ἔφοδος εἶναι· καὶ ἀναλαμβάνοντες ὅπλα ὑπὸ ταραχῆς, ἀνθιστάμενοι ἀλλήλοις μάχονται. [n]Ἐν Ἐπιγράμμασι·

> [o]Πανὶ φιλασκοπέλῳ λάσιον παρὰ πρῶνα Χαρικλῆς
> κνακὸν ὑπηνήταν τόνδ' ἀνέθηκε τράγον.

Τοῦτο γίνεται [p]περὶ τοὺς πολέμους· Θεοδώρου τοῦ Ῥοδίων στρατηγοῦ ἐν τοῖς ὑπομνήμασι λέγοντος, ὅτι κράτιστόν ἐστιν ἐν τοῖς τοιούτοις καιροῖς μένειν ἐπὶ τῶν ὅπλων, καὶ τὴν ἡσυχίαν ἔχειν· αὐτός τε περιθέων [q]ἐβόα, καὶ διὰ τῶν ὑπηρετῶν παρήγγειλε μένειν ἐν ταῖς σκηναῖς καθωπλισμένους ἅπαντας.

ΠΆΝΙΟΝ: Ὄνομα τόπου· ἔνθα καὶ κάστρον παρὰ αἰγιαλῷ, ὃ λέγεται Πάνιον, πρὸς τοῖς τῆς Ἡρακλείας
B μέρεσι.

ΠΑΝΙΏΝΙΟΣ ΚΡΑΤΉΡ:

ΠΑΝΌΛΒΙΟΣ, ἐπῶν ποιητής. Ἔγραψε διάφορα, καὶ πρὸς Αἰθέριον μετὰ τὴν νόσον δι' ἐπῶν· καὶ πρὸς Ἐρύθριον, καὶ πρὸς Δωρόθεον ἡγεμόνα καὶ Κόμητα· καὶ εἰς Ἀφθόνιον Κόμητα· καὶ ἐπιτάφιον Ὑπατίας θυγατρὸς Ἐριθρίου.

ΠΑΝΟΜΦΑΊΩΙ: Ὧι πᾶσα φήμη καὶ μαντεία ἀνα-
C φαίνεται.

ΠΑΝΝΟΝΊΑ: Χώρα.

ΠΑΝΟΠΕΎΣ:

ΠΑΝΌΠΗ: Ὄνομα. Καὶ ΠΑΝΟΠΗΙΆΔΗΣ, πατρωνυμικόν.

ΠΑΝΌΠΤΗΣ: Πολυόφθαλμος.

ΠΑΝΌΠΤΡΙΑ:

ΠΑΝΌΣΠΡΙΑ: Ἡ ἐκ τῶν ὀσπρίων μίξις.
D
ΠΑΝΟῦΡΓΟΣ: Ὁ πάντα ἐν πονηρίᾳ ἐργαζόμενος. Λέγεται δὲ καὶ ὁ πάνυ φρόνιμος, καὶ ὁ πάντα ἐπιστάμενος. [r]Τὸ δὲ ΠΑΝΟῦΡΓΕ ἡμεῖς μὲν μετριώτερον φαμέν· Ἀττικοὶ δὲ ἐπὶ σφοδραῖς βλασφημίαις. Ἀριστοφάνης·

> [s]Καὶ πανοῦργον, καὶ πανοῦργον· πολλάκις γὰρ αὔτ' ἐρῶ·
> καὶ γὰρ οὗτος ἦν πανοῦργος πολλάκις τῆς ἡμέρας.

E [t]Καὶ, ΠΑΝΟΥΡΓΙΠΠΑΡΧΊΔΑΣ. Τούτους κωμῳδεῖ ὡς

ΠΑΝΘΟΥΣ] Alii Πάνθρους ὁ πάντα ἀθρῶν, ἤγουν ὁρῶν καὶ θεώμενος. PORT. Hoc πάνθους omnino mendi suspectum habeo, quum ab ἀθρῶ non possit deduci πάνθους, sed nec πάνθρους, ut quidam reposuerunt. H. STEPH. Thesaur. L. G. t. I. p. 1579 F. G.

ΠΑΝΘΟΙΔΗΣ] ὁ τοῦ Πανθόου, Euphorbus, Schol. Apoll. Rhod. I. 645. et Hom. Il. π'. 508. REINES. Πανθείδης B.E. Mox ΠΑΝΘΟΙΝΗΝ—δαῖτα om. V.C.

[i] Βάβριος] Tyrwhitt. p. 42. et p. 8. n. 10.

[ii] πανθοινίαν] πανδαισίαν θοινίαν V.C.

ΠΑΝΘ' ὙΠΟ ΜΗΝΙΘΜΟΝ] Il. σ'. 202.

Παρακρούεται: Ἀντὶ τοῦ ἐξαπατᾷ. Μετῆκται δὲ τοὔνομα ἀπὸ τοῦ τοὺς [a]ἱστάντας τι, ἢ μετροῦντας, κρούειν τὰ μέτρα καὶ διασείειν, ἕνεκα τοῦ πλεονεκτεῖν.

Παρακρουσάμενος: Ἐξαπατήσας, [b]παραπείσας.

Παῖδας τῶν εὐγενεστάτων οἴκων παρακρουσάμενος, ἐξήγαγεν ἐκ τῆς πόλεως.

Παρακρούσασθαι: Ἀνατρέψαι.

Ὁ δὲ, ὅσα δημοψηφισθῇ, οἷος ἐγένετο παρακρούσασθαι.

Παράκρουσιν: Ἐξαπάτην, ἐμπαιγμόν.

[c]Ἄπιστοί τε γὰρ δόξαντες εἶναι οἱ Σαυνῖται, καὶ πρὸς τὰς συμφορὰς ἐς παράκρουσιν τοῦ ἀεὶ κρατοῦντος σφῶν σπένδεσθαι, οὐχ ὅσον οὐχ [d]εὕροντό τι συμβατικὸν, ἀλλὰ καὶ ἄσπονδον σφίσι τὸν πόλεμον παρεσκεύασαν.

ΠΑΡΑΚΕΚΛΗΜΕΝΟΙ] Gl. om. A.V.

ΠΑΡΑΚΕΚΟΜΜΕΝΑ] Sejunxi a præced. cum A.

[i] Κἀμοὶ γάρ ἐστιν ἀμπ.] Aristoph. Acharn. 511. Ἐμοὶ γάρ ἐστιν ἀμπέλια κεκομμένα. Sic etiam apud Suidam scribendum est. KUST.

[k] λέγεται] λέγει A.

[l] Ἀνδράρια μοχθ.] Et hi duo senarii leguntur apud Aristophanem loco modo laudato. KUST.

ΠΑΡΑΚΕΧΟΡΔΗΚΕΝ] Malim παρακεχόρδικεν, per ι, ut habet Hesychius. Aristophanes Eccles. 295. Μηδὲν παραχορδῇς, ἂν δεῖ σ' ἀποδεῖξαι. Scholiasta ad eum locum: Παραχορδῇς: Παρὰ ῥυθμὸν ποιήσεις, μηδὲν παραφθέγξῃ. KUST. Similia Portus.

[m] Τὰ νῦν. Ἱκανὰ κακ.] Sic locum hunc auctoritate optimi codicis ms. A. interstinxi. In prioribus enim editt. τελεία στιγμὴ post νῦν male omissa est. KUST.

[n] Ἱκανὰ] Aristoph. Lys. 1046. docente Abreschio.

ΠΑΡΑΚΙΝΟΥΝΤΑ] Vid. in Παράθερμος. HEMST.

[o] Ἐξιστάμενον] ἐξιστάμενα Photius.

[p] εἰς Ἰουλιανὸν τὸν Εὐτροπίου] Interpres: *In Julianum Eutropii filium.* Hæc sana esse nequeunt; et aliud quid subesse monstrat A. in quo legimus ἐς ἰοῦ τὸν Εὐτρόπιον. Et hoc reposui, compendium scripturæ aliis enodandum relinquens. Εἰς ἰουλιανὸν τῶν Εὐτροπίου C.

[q] Καίτοι] Hoc fr. Eunapio tribuit Boissonadius n. 36. omisso superiore, quod vix dubitandum est ad Eunapium pertinere. Nam Suidæ verba Εὐνάπιος—εὐνούχου, ad præcedentia, non ad sequentia referenda sunt. Adde quod Καίτοι—προσήκοντος ab optimis mss. A.V. absunt.

ΠΑΡΑΚΛΗΣΙΣ: Ἀντὶ τοῦ προτροπή. Ἰσοκρ.] Ex Harpocratione. KUST.

[r] Παραινέσεσι] Παραίνεσιν A.V. Παραινέσεσι Phot. Vulg. voc. om. Locus est Or. ad Demonic. p. 3 A. Mox ἀντὶ τοῦ δεήσ. M.

ΠΑΡΑΚΛΙΔΟΝ] Est vox Homerica Od. δ'. 348. KUST.

[s] Ἡ μὲν ἀνακλῖναι πυκ.] Est versus Homericus Il. ε'. 751. KUST.

[t] Ἀριστοφάνης] In Pac. 981. KUST.

ΠΑΡΑΚΟΑΝ] Κοᾶν in Κοάλεμος, κονᾶν nusquam extat. HEMST.

ΠΑΡΑΚΟΝΑΝ: Τὸ ἐν τῷ φιλ.] Rectius et plenius Hesychius: Παρακονᾶν: Τὸ ἐν τῷ ἀσπάζεσθαι παρατρίβειν τὸ γένειον καὶ τὰς παρειάς. Hanc lectionem in versione secutus sum. KUST.

ib. Ab ἀκονᾶν. HEMST.

ΠΑΡΑΚΟΠΗ] Josephus B. J. I. 25, 4. παρακοπὴν δὲ φρενῶν καὶ μανίαν ὀδυρόμενος.

[u] φρενιτίασις] An leg. φρενῖτις? VALCK.

[x] παρατραπείς] τραπεὶς A.V.

[y] Ἐτελεύτησε δὲ, ἄκρατον πολὺν ἐμφ.] Hæc sunt verba Laërtii in Arcesilao, circa finem, ut Pearsonius recte observaverat. KUST.

ΠΑΡΑΚΡΗΣ] Deest h. gl. A.B.V.E. Vid. supra p. 2851 F.G.

ΠΑΡΑΚΡΟΤΟΥΝΤΕΣ] Vid. Παρακρότουν. HEMST.

[z] Παραθαρσύνοντες] Παραθρασύνοντες E.

ΠΑΡΑΚΡΟΥΕΤΑΙ: Ἀντὶ τοῦ ἐξαπ.] Ex Harpocratione. Confer Ammonium v. Παρακέκρουσται. KUST.

[a] ἱστάντας] ἱστῶντας B.E.M.

[b] παραπείσας] πείσας V.

[c] Ἄπιστοι] Depromptus est hic locus ex Dion. Cass. Legat. p. 374. ed. Ursin. quod et vidit Reimar. [t. I. p. 59.] TOUP.

[d] εὕροντο] εὕραντο A.B.M. εὕραντό τε συμ. E. Mox παρεσκεύασεν V.

Παρακοίτης: Ὁ ἀνήρ. Παράκοιτις δὲ, ἡ γυνή.

[Παρακωχή: Παρὰ [e]Θουκυδίδῃ, παροχή· ὡς ἡ ἀνακωχὴ, καὶ διακωχή.]

Παράλλαξον: Πάρελθε.

Ἡ γὰρ κατὰ μικρὸν παράλλαξις πᾶσαν ποιεῖ φύσιν ὑπερφέρειν τὰς μεταβολὰς, ὡς ἐπὶ τῶν ὡρῶν τοῦ ἐνιαυτοῦ.

Παραλλάττουσιν: Ἀντὶ τοῦ [f]παρέρχονται.

Παραλλάττουσι δὲ ἀλλήλους τῷ διαστήματι τῶν ὁδῶν ψευσθέντες ὅ τε Προκόπιος καὶ Οὐάλης ὁ βασιλεύς.

Παραλλήλων: Ὁμοίων, ἀκολούθων, ἐγγὺς ἀλλήλων, ἐξίσου.

[g]Καὶ παράλληλον ὀρύξαντες τῷ δοκοῦντι πεποιῆσθαι τείχει, συνῆψαν ὑπὸ γῆν τοῖς ἐναντίοις.

Ἀντὶ τοῦ, ἐξίσου.

Παραλογίζομαί σε.

Παραλογισμός: Ἀπάτη λογισμοῦ.

Παραλογιστής: Ἀπατεών.

Παράλογον λέγουσιν ἀρσενικῶς, οἵ τ' ἄλλοι, καὶ μάλιστα [h]Θουκυδίδης, τὸ παράδοξον, καὶ ὃ οὐκ ἄν τις προσδοκήσειεν· οἷον, [i]τοῦ πολέμου τὸν παράλογον. Καὶ, ὅτι ἐγένετο πολὺς ὁ παράλογος. [k]Προκόπιος·

Οἱ μὲν ἄλλοι τοῦ πλήθους ἐκλογιζόμενοι τὸν παράλογον, ἔδοξε μανιώδης εἶναι αὐτοῦ ἡ ἔννοια.

[l]Καὶ αὖθις·

Τοῖς δὲ Ῥωμαίοις [m]θάρσος καὶ ἀπιστία πρὸς τὰ [n]γενόμενα παρέστη πλεῖον, ἢ τοῖς τὰ παράλογα ὀνείρατα ὁρῶσι.

Παράλογος: [o]Θουκυδίδης·

Οἱ δὲ Ἀθηναῖοι ἐν παντὶ [p]ἤδη ἀθυμίας ἦσαν, καὶ ὁ παράλογος αὐτοῖς μέγας ἦν· πολὺ δὲ μείζων ἔτι τῆς [q]στρατιᾶς ὁ μετάμελος.

[r]Καὶ αὖθις·

[s]Οἱ δὲ σοφίσμασι καὶ παραγωγαῖς ἐκκρούοντες ἡμᾶς ἀεί τε καὶ καθημέραν, κύριοι τῶν ἡμετέρων ἐκ τοῦ παραλόγου γεγένηνται.

Παραλόγως: Ἀνελπίστως, παρὰ προσδοκίαν.

Οὐδέ τις ἦν, ὃς οὐκ ἠθέλησεν τὸ μὴ οὐ θεατὴς γενέσθαι παραλόγου οὕτως εἰς μέγεθος παρασκευῆς.

Ἀντὶ τοῦ, παραδόξου.

Πάραλος: Ναῦς ἱερὰ, θεωρίς· ἦν δὲ καὶ ἑτέρα Σαλαμινία ναῦς. [t]Τετθὶς δὲ πάραλος, ἡ παραθαλασσία, ἢ ἡ παρὰ [u]τοὺς ἅλας κειμένη.

Πάραλος, ἡ Σαλαμινία: Αὗται ἱεραὶ [x]τριήρεις δημόσιαι, ἐπὶ τὰς τῆς πόλεως χρείας πεμπόμεναι, καὶ ταχυναυτοῦσαι· καὶ ἦσαν ὡς ἂν ὑπηρέτιδες ταχεῖαι οὖσαι, ἡ μὲν ὑπηρετοῦσα εἰς τὰ θεωρικὰ, ἡ δὲ εἰς τὰ δημόσια. Καὶ αὖθις·

Οἱ δὲ Ἀθηναῖοι πέμπουσι τὴν Πάραλον, καλοῦντες αὐτὸν ἐπὶ κρίσιν.

Τουτέστι, [y]τὸν Ἀλκιβιάδην.

Πάραλος: Δημοσθένης Φιλιππικοῖς. Μία τῶν παρ' Ἀθηναίοις πρὸς τὰς δημοσίας χρείας [z]διαπεμπομένων τριήρων, ἀπό τινος ἥρωος τοὔνομα λαβοῦσα. Πάραλοι δ' ἐκαλοῦντο οἱ ἐπιβεβηκότες αὐτῆς, οἳ καὶ διὰ ταύτην τὴν ὑπηρεσίαν τέσσαράς τε ὀβολοὺς ἐλάμβανον, καὶ τὸ πλεῖστον τοῦ ἐνιαυτοῦ [a]οἴκοι τε ἔμενον, καὶ ἄλλα τινὰ ὑπῆρχεν αὐτοῖς παρὰ τῆς πόλεως.

Πάραλοι: Οἵ τε ἐν τῇ [b]νηῒ τῇ παράλῳ πλέοντες, καὶ οἱ τὴν παράλιον τῆς Ἀττικῆς κατοικοῦντες· ὥσπερ [c]ἕτεροι Πεδιάσιοι, καὶ Διάκριοι. [d]Πάραλος δὲ τριήρης ἱερὰ καλεῖται, ἥτις [e]διηνεκῶς ταῖς ἐπειγούσαις χρείαις ὑπηρέτει. Ὁπότε δὲ ἐκ τῆς ἀλλοδαπῆς μεταπέμψασθαι στρατηγὸν [f]ἐβούλοντο, ὥσπερ Ἀλκι-

[e] Θουκυδίδῃ] VI. 85. ubi vid. Wass. De seqq. ἀνακωχὴ, διακωχὴ vid. Pierson. ad Mœr. p. 86. Ceterum deest hæc gl. A. Vid. infra post Παρακλάζων.

[f] παρέρχονται] Sic recte habet ms. Paris. A. At priores editt. [et B.E.] male, παραδέχονται. KUST.

ΠΑΡΑΛΛΗΛΩΝ] Photius: Παράλληλον: ὅμοιον, ἀκόλουθον, ἐ. ἀ. ἐ.

[g] Ἐκ παραλλήλου] Καὶ παράλληλον A.B.V.E. Sed παραλλήλου A. in marg.

ΠΑΡΑΛΟΓΙΣΤΗΣ] Artemidor. p. 235. TOUP.

ΠΑΡΑΛΟΓΟΝ] H. gl. habet V. in marg. Eadem fere habet Schol. Luciani Abdicat. c. 6.

[h] Θουκυδίδης] Lib. I. c. 77. et lib. II. c. 85. et alibi. KUST. Vid. Wass. et Duker. ad priorem locum.

[i] τοῦ πολέμου τὸν παρ.] Sensus hujus loci supplendus est ex Thucydide, qui loco laudato sic habet: Τοῦ δὲ πολέμου τὸν παράλογον, ὅσος ἐστὶ, πρὶν ἐν αὐτῷ γενέσθαι, προδιάγνωτε. KUST.

[k] Προκόπιος] De Bello Vandal. lib. II. c. 13. sed ubi sic legitur: Πᾶσι μὲν οὖν τὸ τοῦ πλήθους ἐκλογιζομένοις παράλογον, ἔδοξε μανιώδης, &c. Sic etiam apud Suidam scribendum est. KUST.

[l] Καὶ αὖθις] Seqq. om. V. usque ad Θουκυδίδης in gl. prox.

[m] θάρσος] Sensus potius requirere videtur, ut scribatur θάμβος. KUST.

[n] γενόμενα] γινόμενα A. Tum πάρεστι E. et πλεῖον A.

ΠΑΡΑΛΟΓΟΣ] ὁ παράλογος A.

[o] Θουκυδίδης] Lib. VII. (55.) ut Portus monuit. KUST.

[p] ἤδη] δὴ B.E.

[q] στρατιᾶς] Lege, στρατείας. KUST.

[r] Καὶ αὖθις] Perierunt seqq. V.

[s] Οἱ δὲ σοφίσμασι καὶ παραγ.] Idem fragmentum legitur etiam supra v. Παραγωγαῖς. KUST.

ΠΑΡΑΛΟΓΩΣ] Παραλόγως B.E. Tum τὸ ἀνέλπιστον A.V. B. m. s. ἀνελπίστως E. Mox τοῦ παραλόγου E.

ΠΑΡΑΛΟΣ: Ναῦς ἱερ.] Schol. Aristoph. Av. 147. Δύο εἰσὶ νῆες ὑπηρέτιδες παρὰ τοῖς Ἀθηναίοις, ἡ Πάραλος, καὶ ἡ Σαλαμινία· ὧν ἡ μὲν Σαλαμινία τοὺς ἐκκαλουμένους εἰς κρίσιν ἦγεν· ἡ δὲ Πάραλος τὰς θεωρίας ἀπῆγεν· τουτέστι τὰ εἰς θυσίαν πεμπόμενα. Confer Nostrum supra v. Ἄπειρος, et v. Ἱερὰ τριήρης: itemque Ulpianum in orat. Demosth. contra Midiam, p. 216. et Sam. Petitum Miscell. lib. III. c. 5. KUST. Addit Reinesius vv. Δηλιὰς et Χελιδόνας.

[t] ΤΕΤΘΙΣ δὲ ΠΑΡΑΛΟΣ, ἡ παραθ.] Aristoph. Acharn. 1155. Ὃν γ' ἔτ' ἐπίδοιμι τευθίδος δεόμενον· ἡ δ' ὀπτημένη σίζουσα πάραλος ἐπὶ τραπέζῃ κειμένη. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[u] τοὺς ἅλας] Sic Schol. τὰς ἅλας A.B.E. τὰς ἄλλας C.M.

ΠΑΡΑΛΟΣ καὶ] Πάραλος ἢ A.V. Παρ. ἢ B.E. Priora hujus gl. habet Schol. Aristoph. Av. 1204.

[x] τριήρεις] ἱεραὶ τριήρεις A.B.E. ἢ ἱεραὶ τρ. V.

[y] τὸν om. A. Ceterum plerique narrant, v. c. Thucydides, Diodorus Siculus, Plutarchus, ad Alcibiadem arcessendum missam fuisse Salaminiam, non Paralum. Vide v. Σαλαμινία.

ΠΑΡΑΛΟΣ: Δημοσθένης Φιλιππ.] Ex Harpocratione. KUST.

[z] διαπεμπομένων] παραπεμπομένων A.

[a] οἴκοι τε] οἰκεταὶ E.

[b] παράλῳ νηῒ] νηῒ τῇ παράλῳ A.B.V.E. Photius. νηῒ παράλῳ νηῒ M.

[c] ἕτεροι] καὶ ἕτεροι V.

[d] ΠΑΡΑΛΟΣ] Cum præcedente gl. junxi cum A. et Photio. Pro πάραλος A. præbet παράλογος.

[e] συνεχῶς] διηνεκῶς A.B.V.E. Phot.

[f] ἐβούλοντο] ἠβούλοντο V. Phot.

βιᾶδην ἀπὸ Σικελίας, τῇ Παράλῳ ἐχρῶντο. [g]Λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμινία. [h]Ὕστερον [i]δὲ ἄλλαι δύο προσεγένοντο αὐταῖς, Ἀντιγονίς τε, καὶ Δημητριάς.

Παράλων: [k]Διήρητο εἰς τέσσαρας μοίρας πάλαι ἡ Ἀττική. Πανδίων γὰρ διαδεξάμενος Κέκροπα, προσκτησάμενος δὲ καὶ τὴν Μεγαρίδα, ἔνειμε τὴν χώραν τοῖς παισὶν εἰς τέσσαρας μοίρας· Αἰγεῖ μὲν, τὴν παρὰ [l]τὸ ἄστυ μέχρι Πυθίου· Πάλλαντι δὲ, τὴν Παραλίαν· Λύκῳ δὲ, τὴν Διακρίαν· [m]Νίσῳ δὲ, τὴν Μεγαρίδα. Ἀριστοφάνης·

Ἀλλ' οὐδὲ Παράλων οὐδεμία γυνὴ πάρα.

Παραδοῦμαι: Παροιμιακῶς. [n]Εἰώθεισαν γὰρ πρότερον ἐν τοῖς βαλανείοις οἱ πλούσιοι παραλούειν τοὺς πένητας. Ἀριστοφάνης Ἀναγύρῳ·

[o]Ἀλλὰ πάντας χρὴ παραλοῦσθαι, καὶ τοὺς σπόγγους ἐᾶν.

[p]Οἷον συνεισιέναι τοῖς πλουσίοις, ὥστε μηδὲ σπόγγους φέρειν, ἀλλὰ τοῖς ἐκείνων χρῆσθαι.

Παραλυπῶ: Αἰτιατικῇ.

Παραλύσας: [q]Ἀντὶ τοῦ, διαδεξάμενος.

Παραλύσας αὐτὸν τῆς ἀρχῆς.

Παραλῦσαι: Ἀφελέσθαι.

Βουλόμενος ἀναπαῦσαι, καὶ πόνου παραλῦσαι τοὺς ἰδίους στρατιώτας.

Καὶ αὖθις [r]Σιμόκατος·

Οἱ δὲ τῶν ὅπλων παραλυθέντες, οὐκ εἶχον ὅ τι χρήσωνται τοῖς θυμοῖς.

Παραμέλω: Γενικῇ.

Παραμεῖψαι: Παραλλάξαι.

Παραμπυκίζεται: [s]Παραπλέκεται τὰς τρίχας.

Παραμυθῆσαι: Αἰτιατικῇ. Συμβουλεῦσαι. Καὶ παραμυθήσασθαι, ὡσαύτως.

Παραναλώμα:

[t]Ὁ Μακρῖνος ὁ βασιλεὺς τρυφῇ καὶ ἐκδεδιῃτημένῳ βίῳ τὰ καθ' ἑαυτὸν παραδοὺς, παρανάλωμα τῆς τρυφῆς ἐποιεῖτο τοὺς [u]φόνους οὐδὲν ἠδικηκότων ἀνθρώπων.

Τουτέστι, προσθήκημα.

Παράνοια:

[x]Πότερον παρανοίας αὐτὸν εἰσαγαγὼν ἕλω;

Οἷον, [y]πρὸς τὸν πατέρα δικάσομαι, καὶ δείξας αὐτὸν μαινόμενον, οὕτω τὴν μανίαν παύσω, εἰς τὸ δικαστήριον ἀγαγών.

Παράπαν: Καθόλου, παντελῶς.

[z]Καὶ μάλιστα παρορμηθῆναι φύσας πρὸς τὴν ἐπιβολὴν τῆς πραγματείας, διὰ τὸ μηδέποτε τὴν Εὐρώπην ἐνηνοχέναι τοιοῦτον ἄνδρα [a]παράπαν, οἷον τὸν Ἀμύντου Φίλιππον.

Παραπαίων: Παραφρονῶν, ληρῶν.

Ἀγνοῶν καὶ παραπαίων ὁλοσχερῶς.

[Παραπέμπω: Αἰτιατικῇ.

Παραπέμπει πλωτῆρας σὺν εὐθυμίᾳ.

Καὶ κατὰ [b]περιποίησιν, δοτικῇ.

Μᾶλλον δὲ κόσμον παραπέμπουσι τὸν ἐνεστῶτα τῷ μέλλοντι.]

Παραπεπληγμένα: Μανικά.

[c]Ὅσ' ἂν πράξωσιν, ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα.

Παραπεπτωκώς: Ἀντὶ τοῦ ὑποπεπτωκώς. Δημοσθένης ἐν τῷ [d]κατὰ Στεφάνου.

Παραπέταλοι: Πετάλοις ἐσκεπασμέναι.

Αἱ δὲ τριήρεις ἦσαν κόσμῳ [e]διαπρεπεῖς, ἀργύρῳ τε τὰ ἔμβολα καὶ χρυσῷ τὰς πρύμνας παραπέταλοι.

Παραπέτασμα: Παρακάλυμμα, παράπλωμα· τὸ λεγόμενον βῆλον.

[g] Λέγεται δὲ ἡ αὐτὴ καὶ Σαλαμ.] Male. Fuerunt enim naves diversæ: quas et ipse Suidas paulo ante recte distinxit. KUST.

[h] Ὕστερον δὲ καὶ ἄλλαι δύο προσεγ.] Aliter Ulpianus ad Orat. Demosth. contra Midiam p. 216. qui tres triremes duabus prioribus additas esse refert, nimirum Antigonidem, Ptolemaidem, et Ammoniadem. En ejus verba: Ἦσαν δὲ τὸ μὲν πρῶτον ἱεραὶ δύο τριήρεις, ἥτε Σαλαμινία, ἣν καὶ Δηλίαν ἐκάλουν· καὶ ἡ Πάραλος. Ὕστερον δὲ καὶ ἄλλαι τρεῖς ἐγένοντο, Ἀντιγονίς, καὶ Πτολεμαΐς, καὶ Ἀμμωνιάς· ἐπειδὴ τῷ Ἄμμωνι δι' αὐτῆς τὰς θυσίας ἔπεμπον. KUST.

[i] δὲ καὶ] καὶ om. A.E. Phot.

[k] Διήρητο εἰς τέσσαρας] Ex Schol. Aristoph. Lysistr. 58. KUST. Mox δεξάμενος M.

[l] τῷ Ἄστει] τὸ ἄστυ A.V. Schol.

[m] Νίσῳ] Μενίσῳ V. νίσω M.

ΠΑΡΑΔΟΥΜΑΙ] Vid. Παραδύομαι. HEMST.

[n] Εἰώθεσαν] εἰώθεισαν A. Photius.

[o] Ἀλλὰ πάντας χρὴ παρ.] Est versus trochaicus, sed cui deest syllaba. KUST. Minime. Versus est Eupolideus polyschematistus.

[p] Οἷον om. Photius. Mox ἀλλὰ καὶ V.

ΠΑΡΑΛΥΣΑΣ] Ex Thucydide. Vid. v. Παρέλυσαν. TOUP.

[q] Ἀντὶ τοῦ διαδεξάμενος] Inepte. Nam παραλύσας τῆς ἀρχῆς non significat, qui alicui successit, sed, qui successorem alicui misit, ut Latini loqui solent: sive, qui magistratu aliquem movit. Res est plana. KUST.

[r] Σιμόκατος] Σιμοκρα^τ A. Σιμοκράτης V.

ΠΑΡΑΜΠΥΚΙΖΕΤΑΙ] Aristoph. Lysistr. 1319.

[s] Παραπλέκεται] παραπλέκει B.E.

ΠΑΡΑΝΑΛΩΜΑ] Simocat. 73. 126. Joseph. B. J. p. 272 et 287. Vide Wesseling. ad Diodor. T. I. p. 642. Plutarch. I. p. 234. παρανάλωσε τῷ πρὸς τὴν πατρίδα θυμῷ. Agathias p. 56. Demades p. 178. Procop. p. 332. TOUP. Conf. Schol. ad Gregor. Stelit. II. p. 112.

[t] Ὁ Μακρῖνος ὁ βασιλεὺς τρυφῇ καὶ ἐκδ.] Hæc sunt verba Joannis Antiocheni, non quidem de Macrino, sed Carino imperatore, quæ leguntur in Collectaneis Constantini imperatoris a Valesio editis, p. 834. unde ea Suidas sumpsit. Vide etiam supra v. Καρῖνος, ubi hic ipse locus legitur. KUST.

[u] φόνους] τοὺς φόνους A.V.

[x] Πότερον παρανοίας αὐτὸν εἰσαγ.] Aristoph. Nub. 843.

[y] πρὸς τὸν] πρὸς om. A.

[z] Καὶ μάλιστα παρορμηθῆναι φ.] Hæc sunt verba Polybii, quæ leguntur in Collectaneis Constant. imperat. a Valesio editis p. 21. unde ea Suidas deprompsit. KUST.

[a] τοπαράπαν] παράπαν A.V. Excerpt.

ΠΑΡΑΠΑΙΩΝ: Παραφρονῶν. Ληρῶν. Ἀγνοῶν. Καὶ παραπαίων ὁλοσχερῶς] Hæc male distincta sunt. Scribendum, Παραπαίων: παραφρονῶν, ληρῶν. Ἀγνοῶν καὶ παραπαίων ὁλοσχερῶς. Polybius, lib. IV. p. 416. Ἀγνοοῦντες καὶ πολὺ παραπαίοντες τοῦ δέοντος. Idem in Excerptis Valesii p. 1422. Ἀγνοεῖν μοι δοκεῖ καὶ πολὺ παραπαίειν τῆς ἀληθείας. Idem in Excerpt. Legat. p. 1133. Περὶ δὲ τῶν ἄλλων ἈΓΝΟΕΙΝ αὐτὸν ἔφη καὶ ΠΑΡΑΠΑΙΕΙΝ ΟΛΟΣΧΕΡΩΣ τοῦ σφετέρου συμφέροντος. Ad hunc locum sine dubio respexit Suidas. TOUP. Recte distinguit M.

ΠΑΡΑΠΕΜΠΩ] Gl. habet A. in marg. om. V.

[b] περιποίησιν] Ita tacite Kusterus, Portum secutus. Antea παραποίησιν.

[c] Ὅσ' ἂν πράξωσιν ὥσπ.] Aristoph. Eccles. 137. Τὰ γοῦν βουλεύματα Αὐτῶν, ὅσ' ἂν πράξωσιν ἐνθυμουμένοις, Ὥσπερ μεθυόντων ἐστὶ παραπεπληγμένα. KUST.

ΠΑΡΑΠΕΠΤΩΚΩΣ: Ἀντὶ τοῦ ὑποπεπτ.] Ex Harpocratione. KUST. Παραπεπτωκὼς—ὑποπεπτωκὼς M.

[d] περὶ στεφάνου] κατὰ στεφάνου A. Phot. κατὰ στέφ^ν V. Vid. Demosth. p. 1127, 2.

[e] διαπρεπεῖς] διαπρεπεῖ A.B.V.E.

A Παράπηγμα: Κανών. [f]Καὶ εἶδός τι ὀργάνου ἀστρονομικοῦ.

[g]Εἰ δὲ ἰδιωτικὸν παράπηγμα ἀψικάρδιον ἐθέλεις πρὸς [h]τὸν θάνατον, εἰπέ.

Παραπικρασμός: Ἡ ἐν ἐρήμῳ πολλάκις γενομένη ἀντιλογία τῶν Ἰσραηλιτῶν.

Παραπλαγιάσας: Πλασάμενος.

Παραπλῆγας πέτρας: Παραλίας, πλησσομένας ὑπὸ τῆς θαλάσσης.

B Παραπλῆκτοι: Τῇ μανικῇ. [i]Σοφοκλῆς.

> Παραπλῆκτῳ
> [k]χερὶ συγκατακτάς.

Καὶ Αἰλιανός·

[l]Ὁ δὲ οὐκ ἠνέσχετο παραληρεῖν αὐτὸν, ἀλλὰ τὴν τῶν λόγων παραπλῆγα λύτταν κατεσίγασεν· καὶ τῶν Διοσκούρων ἑνὸς τὸ ξίφος δισπερμένον τε καὶ [m]ἐπανεστὸς, καὶ πληγεὶς καιρίως ἐξέγρετο.

C Παραπλήξ: Μαινόμενος, παράφρων. [n]Ἀριστοφάνης Πλούτῳ·

> Ἦν δ' [o]εἰς παραπλῆγ' ἄνθρωπον εἰσελθὼν τύχῃ,
> τόρνοισι καὶ κύβοισι παραβεβλημένος.

Ὁ ἄφρων. Ἀπὸ τῶν κρουμάτων τῶν [p]διαπεπτωκότων τοῦ ἐναρμονίου λυρισμοῦ. Ἢ ὁ μωρός. Ἀληθῶς γὰρ ἡ ἀσωτία [q]πεπληγμένη ἐστὶ διάνοια. Καὶ αὖθις·

[r]Παραπλῆγι ἐοικότα ἐνθένδε ἀπαλλαγῆναι.

D Παραπληξία: Μανία.

Παραπόδας: Ἐπίρρημα. Εὐθέως· ἢ ἐγγύς· ἢ πλησίον.

[s]Μετὰ ταῦτα παραπόδας ἀκρατέστατον μὲν αὐτὸν δείκνυσι πρὸς γυναῖκας.

Καὶ αὖθις·

[t]Παραπόδας [u]οὐ συμμαχικῶς, ἀλλὰ δεσποτικῶς χρῶνται.

Παραποδίζειν: Ἐμποδὼν γίνεσθαι. [x]Πολύβιος·

Βατώδεις ὄντας τοὺς τόπους [y]ἐμπλέκεσθαι τοῖς ἐφάμμασι, καὶ παραποδίζειν τὴν τῶν ὅπλων χρείαν.

Παραπολύ: Παντελῶς. Θουκυδίδης ἐν α'.

Καὶ ἐνίκησαν οἱ Κερκυραῖοι παραπολύ.

Παραπολύ: Ἐπίρρημα. Ἀντὶ τοῦ, πάνυ, παντελῶς. Δέξιππος·

Παραπολὺ ἀπελείποντο [z]τοῦ πείθεσθαι τοῖς εἰσηγουμένοις ἡσυχίαν αἱρεῖσθαι.

[a]Ἀριστοφάνης Πλούτῳ·

> Δεινότατον ἔργον παραπολύ.

Ἀντὶ τοῦ, πάνυ πολύ.

Παραπρεσβεία: Τὸ ἔξω [b]τι τῶν προστεταγμένων διαπράξασθαι.

Ὁ δὲ βασιλεὺς ἐχαλέπαινεν οἷα εἰκὸς, καὶ παραπρεσβείας ἐκρίνετο Ἰωάννης, ὅτε οὐ πρὸς τὸ συνοῖσον τῇ πολιτείᾳ διαπραξάμενος.

Καὶ αὖθις·

Οὗτος τὸν ἐμὸν ἀδελφὸν ἀπειλεῖ παραπρεσβείας αἱρήσειν [c]καὶ διάξεσθαι.

Παραρρεῖ: Δοτικῇ.

Παρὰ προσδοκίαν: Τουτέστι, μετὰ μόχθου.

Παραρρητοῖς: Παρηγορικοῖς λόγοις, [d]παραμυθήμασιν, ὑποθήκαις· οἱ δὲ, συμβούλοις.

Παραρρύματα: Δέρρεις, σκεπάσματα.

Παραρρυῶμεν: Παραπέσωμεν.

Παρασάγγης: Εἶδος μέτρου Περσικοῦ, [e]ὅ ἐστι τριάκοντα στάδια. [f]Ξενοφῶν·

Ὁ δὲ Κῦρος, ἐρώτων, ἔφη, ἄπεστι τὸ στράτευμα; οἱ δὲ, ὡς δύο παρασάγγας εἶπον.

Παράσειρος: Ὁ ἀκόλουθος ἵππος.

Παρασημαίνει: [g]Δηλοῖ, χαράττει.

E [f] Καὶ εἶδός τι ὀργάνου ἀστρον.] Vide Turnebum Adversar. lib. XI. c. 3. KUST. Salmas. ad Diodor. Sic. p. 8. TOUP.

[g] Εἰ δὲ ἰδιωτικὸν παράπ.] Hæc sunt verba Marci Antonini lib. IX. c. 3. ut Pearsonius recte observaverat. Vide etiam Nostrum supra v. Ἀψικάρδιον, ubi idem fragmentum legitur. KUST.

[h] τὸν θάνατον] τὴν θάλατταν E. suprasc. tamen τὸν θάνατον.

F ΠΑΡΑΠΙΚΡΑΣΜΟΣ] Voce hac usus est auctor Epistolæ ad Hebræos III. 8. ad quem locum Suidas respexit. KUST. Non ad auctorem Epist. ad Hebræos III. 8. ut opinabatur temere Kusterus, sed ad Ps. XCIV. 9. respexit glossator. Nam explicatio ejus vocis est Theodoreti ad hunc locum. ERNEST.

ΠΑΡΑΠΛΑΓΙΑΣΑΣ: Πλάσας. Πλασ.] Hesychius: Παραπλαγιάσας: Πλαγιασάμενος. Sic etiam apud Suidam scripserim. KUST. Delevi πλάσας cum A.B.E.V. et Photio.

ΠΑΡΑΠΛΗΓΑΣ] Conf. Od. ε'. 418.

G ΠΑΡΑΠΛΗΚΤΟΙ] Sejunxi a præced. cum A.

[i] Σοφοκλῆς] Aj. 229.

[k] χερὶ] χειρὶ A.

[l] Ὁ δὲ οὐκ ἠνέσχετο παραλ.] Locus hic auctior legitur supra v. Ἐπίκαιρος. KUST.

[m] ἐπανεστὸς] ἐπανεστῶς A. ἐπανεστὼς V.

ΠΑΡΑΠΛΗΞ] Vid. Τυμβογέροντες. HEMST.

[n] Ἀριστοφάνης Πλούτῳ] Ver. 242.

[o] ὡς] εἰς A.V.

H [p] διαπεπτωκότων] τῶν διαπεπτωκότων A.B.V.E.

[q] πεπληγμένη] παραπεπληγμένη Schol. Aristoph.

[r] Παραπλῆγι ἐοικότα ἐνθ.] Fragmentum hoc legitur apud Procopium Histor. Arc. c. 12. KUST.

ΠΑΡΑΠΛΗΞΙΑ] Theodorit. Eccl. Hist. p. 168. TOUP.

[s] Μετὰ ταῦτα παραπόδας ἀκρ.] Hæc sunt verba Polybii apud Constantinum imperatorem in Collectaneis a Valesio editis, p. 21. unde sensus hujus loci supplendus est. KUST.

[t] Παραπόδας οὐ συμμ.] Et hæc sunt verba Polybii, ut discimus ex ipso Suida supra v. Καθικόμενοι, ubi fragmentum hoc auctius legitur. KUST.

[u] οὐ] οὐδὲ E.

[x] Πολύβιος] Lib. II. c. 28. Confer Nostrum supra v. Ἔφαμμα, ubi locus hic auctior legitur. KUST.

[y] ἐμπλέκεσθαι] ἐφέλκεσθαι A.

ΠΑΡΑΠΟΛΥ] Ἐπίρρημα addit A. Thucydidis locus est I. 29.

ΠΑΡΑΠΟΛΥ: Ἐπίρρημα] Hanc gl. om. A.

[z] τοῦ πείθεσθαι] τοῦ om. B.E. ἀπέλιπον τὸ π. V. ἐλείποντο E. pro ἀπελείποντο. Mox ἡγουμένοις V.

[a] Ἀριστοφάνης Πλούτῳ] Ver. 445.

[b] τι τῶν προστεταγμένων] τῶν προστεταγμένων τὶ V.

[c] καὶ διάξεσθαι] βαδίζεσθαι V.

ΠΑΡΑΡΡΗΤΟΙΣ] Voce hac usus est Homerus Il. ν'. 726. ad quem locum Suidas respexit. KUST.

[d] παραμυθήμασιν] παραμυθήσεσιν B.E.

ΠΑΡΑΡΡΥΜΑΤΑ] Confer Hesych. v. Παράρυμα. KUST. Xenoph. Hist. Gr. p. 445. [1. 6, 19.] qui et p. 456. παραβλήματα vocat. KUST. Conf. Exod. XXXV. 10. Schleusner. Lex. V. T. Ceterum Παραρύμματα A.V. Photius. Παραθρύμματα E.

ΠΑΡΑΡΡΥΩΜΕΝ: Παραπ.] Hebr. II. 1. Διὰ τοῦτο δεῖ περισσοτέρως ἡμᾶς προσέχειν τοῖς ἀκουσθεῖσι, μήποτε παραρρυῶμεν. Huc Suidas respexit. KUST. Παραρυῶμεν V. Photius.

ΠΑΡΑΣΑΓΓΗΣ] Παρασσάγγης V. et in exemp.

[e] ὅσπερ] ὃ A.V. Phot. ὃς B.E.

[f] Ξενοφῶν] Cyrop. VI. 3, 10. Mox ἔφην A.

ΠΑΡΑΣΕΙΡΟΣ] Vide nos supra ad v. Ζύγιοι. KUST.

[g] Δηλοῖ, χαρ.] Imo, παραδηλοῖ, παραχαράττει: ut recte habet Hesychius. KUST.

A Παράσημος: Ἀδόκιμος. [h]Καὶ παράσημον, τὸ σεσημασμένον, καὶ ὕποπτον.

Καὶ παράσημον ἦν τὸ λεγόμενον, καὶ φυγὴν ἐδόκει δηλοῦν.

Παράσημος ῥήτωρ: [i]Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Ἐκ μεταφορᾶς εἴρηται ἀπὸ τῶν νομισμάτων, ἃ καλοῦσι παράσημα· [k]ἤτοι ὅτι ὑποχαράττεται ὑπὸ τῶν ἀργυραμοιβῶν σημείῳ τινι, ὃ τὴν φαυλότητα δηλοῖ· ἐπειδὴ παρατετύπωται καὶ παρακεχάρακται.

Παρράσιος: Ὅτι μὲν ζωγράφος οὗτος δῆλον. Φασὶ δὲ αὐτὸν υἱὸν εἶναι καὶ μαθητὴν Εὐήνορος, [l]Ἐφέσιον δὲ τὸ γένος.

Παράσιτος: Κόλαξ, τραπεζολειχὸς, [m]κοσσοτράπεζος. [n]Βελονοπώλης.] Οὗτος δανειστὴς ἦν, παράσιτος Παμφίλου τοῦ δημαγωγοῦ.

C Παρασκετάζω: Αἰτιατικῇ.

Παρασκευή:

[o]Ὁ δὲ ἐπεκλήθη κριτικὸς γραμματικὸς, διὰ γραμματικὴν ἔχειν παρασκευήν.

Περὶ Ἑκαταίου φησί.

Παρασκήνια: Ἔοικε παρασκήνια καλεῖσθαι ὁ [p]παρὰ τὴν σκηνὴν ἀποδεδειγμένος τόπος ταῖς εἰς τὸν ἀγῶνα παρασκευαῖς. Ὁ δὲ Δίδυμος τὰς ἑκατέρωθεν τῆς ὀρχήστρας εἰσόδους οὕτως φησὶ καλεῖσθαι.

Παρασπιστής: Παρεστὼς ὁπλίτης.

Παρασπονδήσας: Παραβὰς τὰς σπονδάς.

Παρασπονδοῦμαι: Παραβαίνομαι.

Παρασταδόν: Παραστατικῶς, κατὰ τρόπον, κατὰ τὸ δέον.

Παράστασις: Στάσις [q]παρά τινος ἄτιμος. Γίνεται δὲ ἐπὶ τῶν χρεωφειλετῶν.

Παράστασις: Ὁρμὴ, προθυμία.

[r]Καὶ παράστασις ψυχῆς πρὸς ἐλευθερίαν ἐνέπεσε τοῖς πλήθεσι. Διὸ πρὸς ἀλλήλους ἐδειπνοσάβουν.

B Καὶ παράστημα ψυχῆς.

[s]Οἱ δὲ Ῥωμαῖοι [t]δι' ἀλκὴν σώματος, καὶ παράστημα ψυχῆς, ὀλίγου δεῖν τῆς οἰκουμένης ἐκράτησαν.

Παράστασις: Τοὔνομα πολὺ παρὰ τοῖς ῥήτορσιν. Ἔστι δὲ δραχμὴ [u]καταβαλλομένη ὑπὸ τῶν δικαζομένων τὰς ἰδίας δίκας. Μένανδρος Μισογύνῃ·

Ἕλκει δὲ [x]γραμματίδιον
ἐκεῖσε δίθυρον, καὶ παράστασις μία
C δραχμή.

Ἀριστοτέλης δὲ ἐν Ἀθηναίων Πολιτείᾳ περὶ τῶν θεσμοθετῶν λέγων, φησίν·

[y]Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς, ἂν παράστασις τίθεται, ξενίας καὶ δωροξενίας, (ἄν τις δῶρα δοὺς [z]ἀποφύγῃ τὴν ξενίαν,) καὶ [a]ψευδεγγραφῆς, καὶ ψευδοκλησίας, καὶ βουλεύσεως, καὶ [b]γραφίου, καὶ μοιχείας.

D Δημήτριος δὲ ὁ Φαληρεὺς ἐν τοῖς περὶ Νομοθεσίας, τοὺς διαιτητὰς φησὶ [c]λαχεῖν τὰς δραχμὰς, μίαν μὲν [d]ὑπὸ τῆς λήξεως, ἣν παράστασιν ἐκάλουν· ἑτέραν δὲ, καθ' ὑπωμοσίαν ἑκάστην.

[h] Καὶ ΠΑΡΑΣΗΜΟΝ] Theophylact. Simocatt. II. 15. ABRESCH.

ΠΑΡΑΣΗΜΟΣ ῬΗΤΩΡ: Δημ.] Ex Harpocratione. KUST.

[i] Δημοσθένης] P. 307, 26.

[k] Ἤτοι ὅτι] οἱ τοιοῦτοι χαράττεται Phot.

ΠΑΡΡΑΣΙΟΣ] Παράσιος A.B.V.E.M. Photius, Harpocr. ms. Pal.

[l] Ἐφέσιον δὲ] δὲ om. A.

ΠΑΡΑΣΙΤΟΣ] Apud Rom. ii dicebantur septemviri epulones. Vid. Petit. Comm. LL. Att. p. 87. παρασίτου ὄνομα πάλαι ἦν σεμνὸν καὶ ἱερόν. REINES.

[m] Κοσσοτράπεζος] Sic fortasse dictus est parasitus, quod ad mensam alapis se cædi patiatur. Κόσσος enim est *alapa*, teste Suida h. v. Sed de voce hac, ut obscura et insolita, nihil certi statuo. KUST. Emendabat Trillerus ad Hesychium, Κνισσοτράπεζος. Neuter recte. Scribendum sine dubio, Παράσιτος. ΚΥΣΟΤΡΑΠΕΖΟΣ. Idem τραπεζολοιχὸς et κυσοτράπεζος. Quæ vox elegans. Petronius Arbiter c. 64. *Miramur nos, et pariter credimus;* OSCULATIQUE MENSAM *rogamus nocturnas, ut suis se teneant, dum redimus a cœna.* Vide Albertum ad Hesych. v. Παράσιτος. Longus in Pastoral. lib. IV. p. 161. edit. Junger. Οἴχεταί σοι Γνάθων, ἔφη, δέσποτα, ὁ μέχρι νῦν ΜΟΝΗΣ ΤΡΑΠΕΖΗΣ ἘΡΩΝ. TOUP. Κοσσοτράπεζος Photius et Hesychius. Kusterianam interpretationem commendat Bastius Ep. Cr. p. 181. n.

[n] ΒΕΛΟΝΟΠΩΛΗΣ: Οὗτος δαν.] Ex Schol. Aristoph. Plut. 174. KUST.

[o] Ὁ δὲ ἐπεκλήθη κριτ.] Hæc leguntur etiam supra v. Ἑκαταῖος. KUST.

ΠΑΡΑΣΚΗΝΙΑ: Ἔοικε παρασκ.] Ex Harpocratione. KUST.

[p] παρὰ] περὶ V.

ΠΑΡΑΣΤΑΣΙΣ: Στάσις παρά τινος ἄτ.] Etymologus: Παρίστησαν. Ἐπειδὴ οἱ ἡττώμενοι παρίστανται τοῖς νενικηκόσιν, ὡς δοῦλοι δεσπόταις. Hæc Suidam illustrant. KUST. Ex Timæo, ubi mox παρά τινι cum Photio. Photius item γίνεται δὲ καί.

[q] Παρά τινος] Scribe, παρά τινι, i. e. *juxta aliquem.* KUST.

[r] Καὶ παράστασις] Ex Diodor. Sic. Exc. Legat. t. II. p. 629. Vid. supra p. 1482 B.

[s] Οἱ δὲ Ῥωμαῖοι] Hæc sunt verba Josephi Bell. Jud. II. 20. p. 209. TOUP. Οἱ δὲ Ῥωμ.—ψυχῆς om. A.

E [t] δι' ἀλκὴν σώματος καὶ παράστημα ψυχῆς] Eadem phrasi usus est Josephus lib. II. de Bello Jud. p. 815. ubi ait: Ἄξιος μὲν ἐλέους ὁ νεανίας δι' ἀλκὴν σώματος, καὶ ψυχῆς παράστημα. Hinc suspicor et fragmentum hoc eidem scriptori tribuendum esse, præsertim cum observaverim, eum voce παράστημα pro fortitudine vel audacia sæpe uti solere. KUST.

ΠΑΡΑΣΤΑΣΙΣ: Τοὔνομα πολὺ παρ.] Ex Harpocratione. Confer Etymologum v. Παρακατάστασις, et Petitum de Leg. Att. p. 175. KUST. Hanc gl. habent A.V. in F marg. τοὔνομα πολὺ et mox ἔστι δὲ om. A.

[u] καταβαλλομένη] καὶ παραβαλλομένη Harpocr. ms. Pal.

[x] γραμματίδιον] Id est libellus, in quo actor et nomen suum et causam, ob quam reo actionem intentaturus esset, scribebat: qui libellus reo postea tradebatur. Vide Suidam supra v. Ἀντωμοσία, et infra v. Παραστησόμεθα. Hic libellus a Menandro vocatur δίθυρος, i. e. ex duabus tabellis, vel duobus foliis constans; quem vocabulo notiori et magis communi δίπτυχον dicere possis. Hesychius: Διθύροις: Διπτύχοις. Δίθυρον: Γραμματίδιον δίπτυχον. G Idem alibi: Θυρίς: Ὀπὴ μικρά. Θυρίδας Ἀττικοὶ τὰς τῶν γραμμάτων πτυχάς. Καὶ δίθυρον λέγουσιν· οὐ τρίθυρον, ἀλλὰ τρίπτυχον. Egregie et docte. KUST.

[y] Εἰσὶ δὲ γραφαὶ πρὸς αὐτοὺς ἂν παρ.] Confer omnino cum hoc loco Suidam supra v. Ἡγεμονία δικαστηρίου. KUST.

[z] ἀποφύγῃ] ἀποφύγοι Photius.

[a] ψευδεγγραφῆς] Sic rectius ms. Paris. B. et Harpocratio, quam priores editt. in quibus legitur ψευδογραφεῖς. Vide Nostrum infra v. Ψευδεγγραφή. KUST. Ψευδεγγραφεῖς B.V. Tum ψευδοκλητείας B.E.M. H

[b] γραφίου] ἀγραφίου Harpocr. ed. . . . φίου ms. Pal. et Phot. ms.

[c] λαχεῖν] λαμβάνειν Photius, Harpocr.

[d] ὑπὸ τῆς λήξεως] Harpocratio habet ἀπὸ τῆς λήξεως. At ego scripserim potius, ὑπὲρ τῆς λήξεως. KUST. ἀπὸ Photius: ἐπὶ mallet Hemsterhusius. Mox κατὰ ὑπωμοσίαν M.

Παραστάται: Οἱ ὁμόζυγοι τῶν λόχων πρωτοστάται, καὶ ἐπιστάται· διὰ τὸ παρ' ἀλλήλοις ἵστασθαι. Παραστατεῖν, τὸ συμμαχεῖν. [e] Ἀριστοφάνης Πλούτῳ.

> Ὥσθ'
> ἡμῖν θεοὺς [f] παραστατεῖν
> καίπερ γυναιξὶν οὔσαις.

[g] Καὶ παραστάτης. [h] Ἀρριανός·

Πρόσταγμα σφίσιν ἦν, ὅπως τις ἐκπηδήσας σταίη, ἐν τῷ ὕδατι τρισμένειν τὸν παραστάτην εἰ ἐσόμενον.

[i] Καὶ Εὐνάπιος·

Πολὺ διεστῶτας ἀλλήλων χωρεῖν ἐκέλευεν, ὅπως μὴ δονοίη τὰ ὅπλα, μήτε τῷ παραστάτῃ θλιβόμενα, μήτε τῷ φέροντι διὰ τὸν [k] συνωθισμὸν περιπτυσσόμενα.

[l] Καὶ παραστατικώτερον τὸν κίνδυνον ὑπέμειναν.

Καὶ λαβόντες παράστασιν εἰς τοὺς εὐχομένους γενναίως ἀποθανεῖν.

Ἀντὶ τοῦ, ὁρμὴν, τόλμαν. Καὶ αὖθις·

[m] Διελέχθη παραστατικῶς ἅμα καὶ παρρησιαζόμενος.

[n] Καὶ ἐπίρρημα, παραστατικῶς.

Ὁ [illegible] ἔγραφε πικρῶς καὶ παραστατικῶς, ἀλάστορας ἀποκαλῶν καὶ παλαμναίους διὰ τῆς ἐπιστολῆς.

Παρασταυροῦντες: Ὀρθὰ ξύλα πηγνύντες.

[o] Οἱ [illegible] παρασταυροῦντες ξύλα τῇ καταβάσει, καὶ τὸ μέσον ἄλλοις ἐπικαρσίοις στεριφοποιοῦντες, καὶ φορμοὺς ἐπιβάλλοντες ὕλης, ἐμάλθαξαν τὸ πάνυ τραχὺ καὶ ὀλισθηρόν.

Παραστησάμενος: Παραλαβὼν, ἑλὼν, καταστρεψάμενος.

Παραστήσομαι ἐναντίον σου: Ἐνώπιόν σου στήσομαι.

[p] Τὸ πρωῒ παραστήσομαί σοι.

Τοῦτο δὲ ἁρμόδιον [q] λέγειν τοῖς κατ' Ἠλίαν βεβιωκόσι, καὶ παθῶν [r] ὑπερανεστηκόσι.

Παραστησόμεθα αὐτὸν εἰς κρίσιν: [s] Πολιτείας ὀγδόῳ. Ἀντὶ τοῦ, καταστήσωμεν αὐτὸν εἰς κρίσιν. Τὸ μὲν γὰρ ἔγκλημα ἀντωμοσία καλεῖται· ὁ δὲ ἐγκαλῶν, [t] γράψας εἰς πινακίδιον καὶ τὸ ὄνομα καὶ [u] τὸ ἐπίσημον, μεθ' ὑπηρέτου τῷ ἐγκαλουμένῳ ἐπιδίδωσι.

Παραστιχίς:

[x] Ἡρακλείδης ὁ Ποντικὸς [y] εἴς τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο [z] μαρτυρίοις, ὡς Σοφοκλέους. Αἰσθόμενος δὲ ὁ Διονύσιος, ἐμήνυσεν αὐτῷ τὸ γεγονός. Τοῦ [illegible] ἀρνουμένου καὶ ἀπιστοῦντος, ἐπέστειλεν ἰδεῖν τὴν [a] παραστιχίδα· καὶ εἶχε, Πάγκαλος.

Παραστορῶ: Ἐκτενῶ. Ἀπὸ τῶν θυρσῶν.

[b] Ἐγώ σε, νὴ τὸν Ἡρακλέα, παραστορῶ.

Παραστύρω: Αἰτιατικῇ.

Παρὰ σφᾶς [c] ὅσον οὐκ ἐσπλεῖν: Παρὰ Θουκυδίδῃ. Ἀντὶ τοῦ σχεδὸν, ὡς τὸ μονονουχί.

Παρὰ σφῆσι: Παρ' αὐταῖς. Παρὰ σφίσι δὲ, διὰ τοῦ ι, παρ' αὐτοῖς.

Παρασχεδόν: Παραυτίκα.

Παρασχηματίζειν:

ΠΑΡΑΣΤΑΤΑΙ] Procop. p. 348. TOUP. Παραστάται— ἵστασθαι leguntur in Tactico Montfauc. Bibl. Coisl. p. 506.

Καὶ ΠΑΡΑΣΤΑΤΕΙΝ] Delevi καὶ et sejunxi a præced. cum A.

[e] Ἀριστοφάνης Πλούτῳ] Imo Thesmoph. 376. KUST. Hæc verba om. E.

[f] συμπαραστατεῖν] παραστατεῖν A.B.V.

[g] Καὶ ΠΑΡΑΣΤΑΤΗΣ usque ad fin. gl. om. A.

[h] Ἀρριανός] De Rebus Indicis, p. 556. KUST.

[i] Καὶ Εὐνάπιος usque ad fin. om. V. Eunap. fr. 23.

[k] συνωθισμὸν] συνθισμὸν B.E.

[l] καὶ παραστ.] Verba sunt Diodori Sic. XX. c. 11. p. 738 C. HEMST. TOUP.

[m] Διελέχθη] Ex Diodori Exc. Leg. T. II. p. 627. monente Wesselingio. TOUP.

[n] Καὶ ἐπίρρημα] Seqq. habet A. in marg. Addit V. καὶ παράστασις, ὁρμὴ, τόλμα.

[o] Οἱ [illegible] παρασταυροῦντες] Fragmentum hoc legitur etiam supra v. Ἐμάλθαξαν. KUST. τῇ παρακαταβάσει M.

[p] Τὸ πρωῒ παραστήσομαί σοι] Hæc sunt verba Davidis Psalm. V. 5. secundum versionem τῶν LXX. Theodoretus ad illum locum: Οὐ παντὸς δέ ἐστι λέγειν τῷ τῶν ὅλων Θεῷ, Παραστήσομαί σοι, καὶ ἐπόψει με· ἀλλὰ τῶν κατὰ τὸν μέγαν Ἠλίαν διὰ τὴν ἀπὸ τῆς πολιτείας παρρησίαν λέγειν θαρρούντων, Ζῇ Κύριος, ᾧ παρέστην ἐνώπιον αὐτοῦ σήμερον. Hinc Suidas sua hausit, quamvis verba et sententiam nonnihil immutaverit. KUST.

[q] λέγειν] λέγει B.E.

[r] Ὑπερανεστηκόσι] Sic rectius mss. Paris. quam priores editt. in quibus legitur ὑπανεστηκόσι. KUST. Forte corrigendum ὑπεξανεστηκόσι, qui se subduxerunt πάθεσι. ERNEST.

ΠΑΡΑΣΤΗΣΟΜΕΘΑ] Παραστησώμεθα A.B.V. qui mox καταστήσωμεν.

[s] Πολιτείας] Plato Rep. p. 555 B.

[t] γράψας] γράψας τὸ ὄνομα A.V. γράψας τὸ ὄ Photius.

[u] τὸ ἐπίσημον] Vox hæc mihi suspecta est, cujus loco forte scribendum est, ἐπίτιμον, i. e. *pœna*, vel *mulcta*: vel quod magis usitatum est, ἐπιτίμιον. Actores enim olim non solum nomen suum, et crimen, cujus adversarium postulaturi erant, in tabella aliqua perscribere solebant, sed etiam pœnam vel mulctam, qua reus afficiendus erat. Id colligo ex loco hoc Aristoph. Vesp. 889. Ἀκούετ' ἤδη τῆς γραφῆς· ἐγράψατο Κύων Κυδαθηναιεὺς Λάβητ' Αἰξωνέα, Τὸν τυρὸν ἀδικεῖν ὅτι μόνος κατήσθιε Τὸν Σικελικόν. Τίμημα κλῳὸς σύκινος. Est quidem dica hæc ficta, et ridiculi tantum gratia a Comico excogitata, sed tamen ad imitationem veri expressa: adeo ut morem veterum tuto inde colligere liceat. Sed idem, quod dixi, clare etiam confirmat Laërtius in Socrate, segm. 40. ubi ex Phavorino refert dicam, Socrati ab adversariis scriptam, quæ his verbis concepta erat: Τάδε ἐγράψατο καὶ ἀντωμολογήσατο Μέλιτος Μελίτου Πιτθεὺς Σωκράτει Σωφρονίσκου Ἀλωπεκῆθεν. Ἀδικεῖ Σωκράτης, οὓς μὲν ἡ πόλις νομίζει θεοὺς οὐ νομίζων, ἕτερα [illegible] καινὰ δαιμόνια εἰσηγούμενος. Ἀδικεῖ δὲ καὶ τοὺς νέους διαφθείρων. ΤΙΜΗΜΑ θάνατος. En, expresse in formula hac accusationis pœnæ mentionem factam esse vides: quod conjecturam nostram egregie, ut diximus, confirmat, et tantum non veram esse demonstrat. KUST.

[x] Ἡρακλείδης ὁ Ποντικὸς εἴς τι τ.] Hæc sunt verba Laërtii in Heraclide Pontico, segm. 92, 93. unde sensus hujus loci supplendus est. KUST. Vid. ibi Menag.

[y] Εἴς τι τῶν ἰδίων συγγρ.—ὡς Σοφοκλέους] Locum hunc ex ms. Paris. A. et Laërtio emendavi, qui in prioribus editt. sic legitur: Εἴ τι τῶν ἰδίων συγγραμμάτων ἐχρῆτο μαρτυρίαν, ὡς Σοφοκλέα. Pessime. KUST.

[z] μαρτυρίοις] μαρτυρίαν B. μαρτυρία E.

[a] παραστιχίδα] περιστιχίδα A.

[b] Ἐγώ σε, νὴ τὸν Ἡρ.] Aristoph. Equit. 479.

[c] ὩΣ ΟΥΚ] Pro ὡς οὐκ lege ὅσον οὐκ, est enim locus Thucydidis II. 94. καὶ παρὰ σφᾶς ὅσον οὐκ ἐσπλεῖν αὐτούς. h. e. *et tantum non contra se venturos* (hostes) ubi Schol. eadem hæc verba quæ Suidas. BOS. ὡς οὐκ A.E. Deest gl. V.

ΠΑΡΑ ΣΦΗΙΣΙ: Παρ' αὐτ.] Locum hunc ex mss. Paris. supplevi, qui in prioribus editt. sic legitur: Παρὰ σφίσι δὲ, διὰ τοῦ ι, παρ' αὐτοῖς. Παρ' αὐταῖς. KUST. Παρὰ σφίσιν: παρ' αὐταῖς, nec plura Photius.

ΠΑΡΑΣΧΗΜΑΤΙΖΕΙΝ] Laërtius in Antisthene. Mox leg. δ' ἀληθινόν. TOUP. Diogen. Laërt. VI. 9. πρὸς τὸ

[d] Τοὺς τοῦ βασιλέως στρατιώτας διέβαλε, φάσκων, τούτους μὲν παρασχηματίζειν, οὐδεμίαν ἀληθινὴν χρείαν παρεχομένους τοῦ ἀληθοῦς παρατρέπεσθαι.

Παρασχόν: [e] Ἐπίρρημα.

Εἰ δέ γε παρασχὸν [f] οὕτω κατάδηλος γένηται δόξαι λέγειν, ὡς παραγέγονε λέξων περὶ τῶν πρέσβεων.

[Παράταξις: Πόλεμος ἐμπαράσκευος.]

Παραταχθείς: Παρ' αὐτὸν ταχθείς.

Παρατεθήγμαι: Ἠκόνημαι.

Παραπενθεῖς: Ἀπολεῖς, ἐπὶ πλέον παρελκύσεις.

Παρατέταμαι: Ἐξώγκωμαι. [g] Ἀριστοφάνης·

Ἄλις ἀφύης· παρατέταμαι γὰρ ἐσθίων.

Λέγεται καὶ ἑνικῶς ἡ ἀφύη.

Παρατετολμηκότες: Ἑαυτῶν ἀφειδήσαντες. [h] Πολύβιος·

Παρατετολμηκότες, καὶ τελέως ἀπελπίσαντες τὴν σωτηρίαν.

Παρατεῖναι: Τὸ [i] ἐπιτρίψαι, καὶ ἀπολέσαι. [k] Κωμικὸς ἐπὶ Εὐβοίας·

[l] Οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.

Παρὰ τὴν αὐτῶν φύσιν: Ἀντὶ τοῦ, παραδόξως.

Οἱ δὲ τύραννοι παρὰ τὴν αὐτῶν φύσιν ᾐδέσθησαν τὴν ἱέρειαν κακῷ τῳ περιβαλεῖν.

Παρατηρημάτων: Ἐπιτηρήσεων, κληδονισμῶν, καὶ ἀπαντήσεων, καὶ οἰωνοσκοπιῶν, καὶ μαντειῶν.

Παρατηρῶ: Αἰτιατικῇ.

Παρατίλλεται: Διασείεται, τὰς τρίχας τοῦ πρωκτοῦ [m] διατίλλεται. Αὕτη γὰρ ὥριστο δίκη τοῖς μοιχοῖς, ἀπορραφανιδώσεις καὶ παρατιλμοὶ τοῖς πένησιν· [n] οἱ γὰρ πλούσιοι χρήματα παρέχοντες, ἀπελύοντο· οἱ δὲ ἀποροῦντες, μὴ δυνάμενοι χρήμασι λυτροῦσθαι τὴν [o] πυγήν, δημοσίᾳ ταῦτα ἔπασχον. Ἀριστοφάνης Πλούτῳ·

Ὁ δ' αὖ λαιός γε μοιχὸς διὰ σέ που [p] παρατίλλεται.

A Καὶ αὖθις [q] Ἀριστοφάνης·

Παρατίλλω τρίχας.

Παρατίλλομαι δέ, ἐκ τῶν μυκτήρων τίλλω τρίχας, ἢ τῶν μασχαλῶν. Ταῦτα δὲ πάντα ποιοῦσιν οἱ [r] προσδεχόμενοι μέν τι, τὸν δὲ χρόνον δαπανῶντες εἰς ἀπορίαν καὶ ἀμηχανίαν, μὴ [s] τυγχάνοντες τοῦ [t] προκειμένου λογισμοῦ. [u] Ὅτε γὰρ αὐτοὶ ἐφ' ἑαυτῶν διατίθενται [x] ἀλύοντες, [y] καὶ ἐπιγράφουσι.

B Παρὰ τὸ καθεστηκός: Οἷον παρὰ τὸ νόμιμον, παρὰ τὸ πρέπον.

Παράτοπον: Εἰς κακὸν τόπον.

Παράτοπον [z] ὁρμίσαντες διὰ τὴν ἀπειρίαν, ἔστι δὲ ὅτε καὶ διὰ τὰς ἀμπώτεις τῆς θαλάττης.

[Παράτον: Ἡ παρασκευὴ παρὰ Ῥωμαίοις. Ἐξ οὗ καὶ ἀντιπαράτωρα, ἡ κόσμησις, ἢ ἄλλη εὐπρέπεια.]

C Παρὰ τοσόνδε ἧκον ἀπορίας ὑπὸ τῶν κακοπραγιῶν, ὥστε [a] ἀπὸ κυνηγεσίων ἐτρέφοντο:

Παρὰ τούτου: Ἀντὶ τοῦ, ἀπὸ τούτου. [b] Καὶ παρὰ τοῦτον, ἀντὶ τοῦ, πρὸς τοῦτον. Οὕτως πανταχοῦ Ἀρριανός.

Παρατρέπω: Αἰτιατικῇ.

Παρατρέχω: Αἰτιατικῇ.

Παρατριβή: Λογομαχία, ἔρις.

D Τὴν γενομένην πρὸς αὐτὸν παρατριβὴν καὶ ζηλοτυπίαν.

Παρατρύζει: [c] Παραφωνεῖ. Εἴληπται δὲ ἀπὸ τῶν ὀρνέων, ὅταν τοῖς οἰκείοις νεοττοῖς γοερὰ ἐπιφωνῶσι.

Παρατρυφῶ: Δοτικῇ.

Παρατυχόν: Ἀντὶ τοῦ, παρατυχόντος· ὡς καὶ ἐξόν, ἀντὶ τοῦ ἐξόντος.

E Παραυδήσας: Παραμυθησάμενος.

Παραυλος: [d] Ὁ ἐν ἀγροῖς. [e] Ἡ παραυλος,

---

παρασχηματίζω αὐτοῦ (αὐτὸ vel αὐτὸν) τῷ πλάστῃ μειράκιον. HEMST. Παραχρηματίζειν bis C.

d Τοὺς τοῦ βασιλέως] Hoc fragmentum an Polybio tribuendum sit, dubitat Casaubonus. KUST. τούτους μὴ π. M.

ΠΑΡΑΣΧΟΝ] Agathias pag. 66. Plutarch. in Cimon. Menand. p. 149. TOUP.

e Ἐπίρρημα] ἐπίγραφον V.

f οὕτω] τοῦτο A. qui mox om. περί. ὥσπερ γέγονε M.

ΠΑΡΑΤΑΞΙΣ] Deest gl. A.V.

ΠΑΡΑΤΑΧΘΕΙΣ] Ex Timæo p. 206.

ΠΑΡΑΠΕΝΘΕΙΣ] Scribe παρατενεῖς, ut habet Hesychius. Conf. etiam Nostrum paulo inferius v. Παρατεῖναι. KUST. Παρατοθεὶς item Photii ms. Emendate Timæus Παρατενεῖς, ubi vid. Ruhnken. Mox ἀπειλεῖς V.

ΠΑΡΑΤΕΤΑΜΑΙ] Παρατέταγμαι bis E.

g Ἀριστοφάνης] In Tagenistis, ut docet Schol. Aristoph. Acharn. 640.

h Πολύβιος] Fr. gr. 102.

i ἐπιτρίψαι] ἀποστρέψαι V. ἐπιστρέψαι Photius.

k Κωμικῶς] κωμικὸς A.B.V.E. ὁ κωμικὸς Photius. In versu ἡμῶν A. pro ἐμῶν cum Photii ms.

l Οἶδ'. Ὑπὸ γὰρ ἐμῶν παρ.] Aristoph. Nub. 213. ubi vide Scholiastam. KUST.

ΠΑΡΑΤΗΡΗΜΑΤΩΝ] Vid. Πάλλης. HEMST. Vid. not. ad Hesych.

ΠΑΡΑΤΙΛΛΕΤΑΙ: Διασείεται. Τὰς τρ.] Ex Schol. Aristoph. Plut. 168. KUST.

m Διασείεται] διατίλλεται A. παρατίλλεται V. τίλλεται Schol.

n οἱ δὲ] οἱ γὰρ V. Schol.

o πυγήν] Sic recte habet enarrator Comici loco laudato. At in prioribus editt. [et A.E.] male legitur, φυγήν. KUST. τὴν φ. om. V.

p παρατίλλεται] περιτίλλεται V. Qui seqq. om.

q Ἀριστοφάνης] Acharn. 31. Ἀπορῶ, γράφω, παρατίλλομαι, —Scholiasta: Παρατίλλομαι: Τὰς ἐκ τῶν μυκτήρων τίλλω τρίχας, &c. Sic etiam apud Suidam scribendum est. KUST.

r προσδεχόμενοι] πρὸς δακρύει E. marg.

s τυγχάνοντες] τυγχάνοντ' A.

t προκειμένου] προσδοκωμένου Schol.

u Ὅτε] ὅτι A.

x ἀλύουσι] ἀλύοντες A.B.E. Schol. τίθενται Schol.

y καὶ ἐπιγράφουσι] Schol. Aristoph. rectius habet, καὶ ἐπὶ τῆς γῆς διαγράφουσι. KUST. ἐπιγράφουσι E.

ΠΑΡΑ ΤΟ ΚΑΘΕΣΤΗΚΟΣ: Οἷον π.] Ex Schol. Thucyd. lib. I. c. 98. KUST.

z ὁρμήσαντες] ὁρμίσαντες A. Qui mox ἀπορίαν. Infra ἀμπώτας V.

ΠΑΡΑΤΟΝ: Ἡ παρασκ.] Hæc leguntur etiam supra v. Ἀντιπαράτωρα: sed ubi, uti et hic, scribendum est ἀντιπαράτωρα. KUST. Deest gl. A. Habet V. in marg. Et forte huc intrusa est ex p. 397 B. Ἀντιπαρατούρα Du Cangius.

a ἈΠΟ ΤΩΝ] τῶν om. A. Mox ἐστρέφοντο V.

b Καὶ ΠΑΡΑ Τ.] καὶ om. A. Sed cum vulg. consentit Photius.

ΠΑΡΑΤΡΕΧΩ] Παρατρέχω. Παρατρέπω: Αἰτιατικῇ. Παρατίκω. Παραφρονῶ: αἰτιατικῇ. Παρὰ φαῦλον. Sic A. in marg.

ΠΑΡΑΤΡΙΒΗ] Polyb. p. 172. 437. TOUP. Vid. Priceus ad 1 Ep. Tim. VI. 5.

c Παραφωνεῖ] παραφρονεῖ Photius, qui in fine ἐπιφωνοῦσιν.

ΠΑΡΑΥΔΗΣΑΣ: Παραμυθ.] Ex Schol. Homeri Odyss. ε'. 53. KUST.

ΠΑΡΑΥΛΟΣ: Ὁ ἐν ἀγροῖς] Sophocl. Œdip. Colon. 785.

παρατεταμένη. Ἡ ἐγγύς· παρὰ τὴν αὐλήν. Ἡ θρηνητική· παρὰ τοὺς αὐλούς. Σοφοκλῆς·

Τίνος βοὴ πάραυλος ἐξέβη νάπους.

Παραττόθεν: Αὐτίκα, [f]ἀπὸ τοῦ παρόντος χρόνου. Ἀρριανός·

Παραυτόθεν, ὡς ἔχομεν, ἐπεξελθόντες, ἐν χερσὶ στήσασθαι τὸ τέλος τῆς μάχης.

Παράφορος: Ὁ παρ' ἑαυτὸν καὶ ὑπὸ δαίμονος παραφερόμενος.

B [g]Συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ [h]τῇ κακίστῃ δαιμόνων ἐκριπισθέντες ἀπολώλασι.

Παραφρόνιμον: Παράφρονα, ἀνόητον, καὶ ἄπορον περὶ τὰ φρονήματα.

Ἴσθι δὲ,
παραφρόνιμον, ἄπορον
ἐπὶ [i]φρόνιμα πεφάνθαι
μ' ἄν, εἴ σε νοσφίζομαι.

C Παραφρονῶ: Αἰτιατικῇ.

Παραφρυκτωρευόμενος: Οἱ κακουργοῦντες [k]περὶ τας φυλακὰς, καὶ φρυκτοὺς ἀνατείνοντες ἐναντίους τοῖς πεπιστευκόσι τὴν φυλακὴν, καὶ ἐπὶ τῷ συμφέροντι τῶν ἀντικαθεζομένων, παραφρυκτωρεύεσθαι [l]λέγονται· ὥς φησι [m]Λυσίας·

D Τούτων εἷς ὁ πρεσβύτης ἐν Σικελίᾳ παραφρυκτωρευόμενος τοῖς πολεμίοις, ληφθεὶς ὑπὸ Λαμάχου, ἀπετυμπανίσθη.

Παραφρυκτωρεῖν: Τὸ τοῖς φρυκτοῖς παρὰ τὸ προσῆκον χρῆσθαι· τουτέστιν, ἐπὶ συμφέροντι μὲν τῶν πολεμίων, ἐπὶ βλάβῃ δὲ τῶν φιλίων· ὡς καὶ Δείναρχος [n]ἐν οἰκείῳ [o]λόγῳ ἐχρήσατο.

Παραφυλάσσω: Προσδοκῶ. Ἰώσηπος·

[p]Παραφυλάσσων γὰρ ἐν Χάλβῳ Πλάκιδον εἰς τὴν Γαλιλαίαν ἀναβῆναι δι' ἐννοίας ἔχοντα.

Παραχαράκτης: Διαστροφεύς.

[Παραχνατῶ: Δοτικῇ.]

Παραχορδιεῖς: [q]Παράσεμνον ποιήσεις, μηδὲν [r]προσφθέγξῃ, ἀλλ' ἃ δεῖ εἰπεῖν, εἴπῃς.

Σαυτῷ προσέχων, [s]ὅπως
μηδὲν παραχορδιεῖς
ὧν δεῖ σ' ἀποδεῖξαι.

Παραχορδίζειν: Διαφωνεῖν, ἁμαρτάνειν.

[Παραχωρῶ: Οἱ μὲν ἀπὸ γενικῆς εἰς δοτικήν· οἱ δὲ τοὐναντίον.

Παραχωρῆσαι τῶν θρόνων τοὺς βουλομένους.]

Παραχρᾶται: Πολὺ, σφοδρῶς συνουσιάζει, ἀκολάστως μίγνυται. Εἴρηται δὲ [t]καὶ περὶ ἑκάστου πράγματος ἐκ περιουσίας γενομένου. [u]Περὶ Ὠριγένους·

[x]Σοὶ δὲ [y]κακομηχανίᾳ εἰς αἰσχρότατον ἄνδρα ἐπενοήθη· [yy]Αἰθίοπα γὰρ αὐτῷ παρεσκεύασαν εἰς παράχρησιν τοῦ σώματος.

Παραχρῆμα: Παραυτίκα, εὐθέως.

Μηδὲν δὲ μηδὲ [z]ἐκ τοῦ παραχρῆμα ἀποκρινομένων.

[a]Ἢ ἀντὶ τοῦ, ἐκ τοῦ παρατυχόντος.

Καὶ ὡς ἐν τῷ παραχρῆμα ὥρμητό τε ἐξιέναι, καὶ ψηφίσματι τὴν [b]στρατείαν ἐκύρωσαν, ὥρμητό τε πᾶς ἐς τὴν ἐπιχείρησιν.

Δέξιππός φησι.

Παρδακόν:

Ἀλλ' ὡς πάραυλον οἰκίσῃς.—Scholiasta ad illum locum: Ὡς πάραυλον: Ἀντὶ τοῦ, ἐν ἀγροῖς. KUST. Ex Schol. Soph. Aj. 892.

E ib. ΠΑΡΑΥΛΟΣ] Eustath. παρὰ Σοφοκλεῖ μὲν βοὴ πάραυλος ἡ ἐξεστωμένη αὐλῷ τι κατὰ θρηνῳδίαν, ἢ διὰ τὸ τρανές· παρ' ἑτέρῳ δέ τινι μέλος πάραυλον τὸ ἀπῳδόν· κατὰ τὸ . . subjungitur testimonium ex Athen. IV. p. 83. ed. Gr. REINES.

[d] Ὁ ἐν ἀγροῖς. ἢ πάραυλος παρατεταμένη] παρατεταμένη, ἢ ὁ ἐν ἀγροῖς ἢ ἐγγὺς A.

[e] Ἡ ΠΑΡΑΥΛΟΣ. Παρατεταμένη. Ἡ ἐγγ.] Ex Schol. Aj. 892.

[f] ἀπὸ τοῦ παρόντος] Seqq. om. V.

F [g] Συνενθουσιῶντες αὐτοῖς, καὶ τῇ παραφ.] Fragmentum hoc esse Æliani discimus ex Suida infra v. Ῥιπίζεται. KUST.

[h] τῇ κακίστῃ δαιμόνων] Sic omnes mss. edd. præter Kusterum qui τῇ κακίστῃ [ὑπὸ] δαιμόνων. Videatur Porsonus ad Eurip. Phœn. 542.

ΠΑΡΑΦΡΟΝΙΜΟΝ: Παράφρ.] Ex Schol. Sophocl. Œd. Tyran. 691.

[i] φρόνιμα] φρόνημα A.B.

G [k] παρὰ τὰς φυλ.] Potius, περὶ τὰς φυλ. ut legitur infra v. Φρυκτός: ubi totus hic locus repetitur. KUST. περὶ A.

[l] λέγονται] λέγεται V. Supra ἐναντία M.

[m] Λυσίας] Orat. contra Agoratum, p. 136. ubi locum integrum vide. KUST.

ΠΑΡΑΦΡΥΚΤΩΡΕΙΝ: Τὸ τοῖς φρ.] Ex Harpocratione. KUST.

[n] ἐν οἰκείῳ] Si conferas Harpocrationem, scribendum videbitur ἐν τῷ κατὰ Δασίου λόγῳ. HEMST.

[o] λόγῳ] λόγων A.V. Photii ms. Harpocr. ms. Pal.

H [p] Παραφυλάσσων γὰρ] Hæc sunt verba Josephi in Vita sua p. 21. Scribendum autem ἐν Χαβωλῷ sive Χαβωλώ. Quomodo recte legitur apud Josephum. TOUP. Χαλαῷ B.E. edd. vett.

ΠΑΡΑΧΝΑΤΩ] Deest gl. A.V.

ΠΑΡΑΧΟΡΔΙΕΙΣ] Confer Nostrum supra v. Παρακεχόρδικε. KUST.

[q] Παράσεμνον] παρὰ ῥυθμὸν ποιήσῃς, μηδὲν παραφθέγξῃ, ἀλλὰ δεῖ εἰπεῖν ὅπως Schol. Aristoph.

[r] πρὸς φθέγξῃ] πρὶν φθέγξῃ A.B.V.E. Mox παραχορδιῆς A.

[s] ὅπως μηδὲν παραχορδ.] Aristoph. Eccles. 295.

ΠΑΡΑΧΩΡΩ] Restituend. Menandro hist. p. 99. Vid. et p. 120. et p. 100. Ἰβηρίας αὐτῆς ἑτοιμότατα εἶχε παραχωρῆσαι Πέρσαις. et p. 126. Himerius apud Photium p. 1112. TOUP. Παραχωρῶ γενικῇ A.B. omissis οἱ μὲν—τοὐναντίον. Tum Παραχωρῆσαι etc. A. in marg. ubi τὸν θρόνον. Deest gl. V.

ΠΑΡΑΧΡΗΤΑΙ] Παραχρῆσθαι τῇ σαρκὶ Clemens Alex. Strom. II. p. 491. 1. ubi Potter. Constit. Apostol. VI. 10. p. 342. ed. Cotel. HEMST. Παραχρᾶται A.B.V. Phot.

[t] καὶ περὶ] ἐπὶ V. Mox γινομένου B. et E. pro v. l. ὃ ἐκ περιουσίας γίνεται ed. Phot. sed ὃ om. ms.

[u] Περὶ Ὠριγένους] Hæ duæ voces in prioribus editt. [et B.E.] desunt, quas ex ms. Paris. A. revocavi. KUST.

[x] Σοὶ δὲ κακομηχανίᾳ εἰς αἰσχ.] Locus hic, sed paulo aliter conceptus, legitur etiam supra v. Ὠριγένης: quo lectorem remitto. KUST.

[y] κακομηχανίᾳ] κακομηχανίᾳ A.

[yy] Αἰθίοπα] Αἰθίοπες V. Mox παρεσκεύασαν A.B.V.E. pro παρεσκεύασας.

[z] ἐκ τοῦ] τοῦ om. B.

[a] Ἢ ἀντὶ τοῦ] Moneo hanc esse expositionem fragmenti quod præcedit. ABRESCH. Diluc. Thuc. p. 364.

[b] στρατείαν] στρατιὰν A.B.V.E.

ΠΑΡΔΑΚΟΝ] Respexit Suidas ad Aristoph. Pac. 1148. ἐπειδὴ ΠΑΡΔΑΚΟΝ τὸ χωρίον. Ubi Schol. Παρδακὸν δὲ, ΔΙΥΓΡΟΝ, οὕτω γὰρ καὶ Ἀρχίλοχος καὶ Σιμωνίδης. Simonidis locus exstat apud Strabon. lib. XIII. p. 920. Τί οὖν φέρομεν τὴν Πέρδαλιν, καὶ τὴν Σατίρδην, καὶ τὸν Περδίκκαν, καὶ τὸ Σιμωνίδου, Σὺν περδάκεισιν ἐκπεσόντες ἱμάσσω· Ἀντὶ τοῦ, διαβρόχοις. Καὶ ἐν τῇ ἀρχαίᾳ κωμῳδίᾳ, ΠΟΡΔΑΚΟΝ ΤΟ ΧΩΡΙΟΝ. Est locus egregius; sed de quo non convenit viris doctissimis Casaubono et Palmerio. Nimirum hic παρδακός, ille πορδακός unice amat. Sed uterque nugatur. Idem παρδακός et πορδακός, ut πάρδαλις et πόρδαλις. Ceterum Simonidis trimeter, qui non uno pede laborat, ita certo certius sub-

[r] Ἀπέδωκε τὸν χρυσὸν, ὡς παραιτησόμενος τοῦ θεοῦ δι' αὐτοῦ τὸν χόλον,

[s] Νήπιος, οὐδὲ τὸ ᾔδει, ὃ πείσεσθαι ἔμελλεν·
οὐ γάρ τ' αἶψα θεῶν τρέπεται νόος αἰὲν ἐόντων.

ΠΑΡΑΙΤΗΤΗΣ: Παρακλήτωρ, ἢ ἀπολογούμενος.

ΠΑΡΑΙΤΟΙΤΟ: Παρακαλοῖ, ἀπαγορεύοι.

[t] Ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀπογραψάμενος, παρελθὼν, ὅτε δέοι μάχεσθαι, παραιτοῖτο τοὺς θεωμένους συγγνώμην ἔχειν, [u] εἰ μὴ ἀγωνίζοιτο.

ΠΑΡΑΙΤΟΥΜΑΙ: Τὸ ἱκετεύω. Αἰτιατικῇ.

ΠΑΡΑΙΦΑΣΙΣ: Παραίνεσις, συμβουλή.

ΠΑΡΕΒΑΛΕΝ: Ἐχθροὺς καὶ ἀλλοτρίους εἰργάσατο.

[x] Ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλοις, ὥστε μετὰ πάσης [y] ὕβρεως συλληφθέντας ἀναδεχθῆναι δεδεμένους.

ΠΑΡΕΒΑΛΕΤΟ: Ὥρμησεν, εἰσήλασε.

Παρεβάλετο μάλα εὐκαρδίως ἐπ' αὐτὸν ὁρμήσας.

Ἢ, ἀπροβούλως ἔκρινε.

ΠΑΡΕΒΕΒΛΗΤΟ: Τροφὴ ἐδίδοτο.

[z] Ἄρτι γὰρ αὐτῇ παρεβέβλητο τροφή.

Τουτέστι, τῇ καμήλῳ.

ΠΑΡΕΓΓΕΓΡΑΜΜΕΝΟΣ: Ὁ μὴ ἀστός.

ΠΑΡΕΓΓΡΑΠΤΟΝ: Νόθον. Καὶ ΠΑΡΕΓΓΡΑΠΤΟΥΣ: Ξένους, νόθους.

ΠΑΡΕΓΓΥΑΙ: Δοτικῇ. Παραδίδωσι, [a] παραγγέλλει, παραινεῖ, παρακατατίθεται. [b] Ξενοφῶν·

Βοώντων τῶν στρατιωτῶν, καὶ παρεγγυώντων, ἔνθα δὴ ἔθεον ἅπαντες.

Καὶ αὖθις·

[c] Ὅτου δὴ [d] παρεγγυήσαντες, οἱ στρατιῶται φέρουσι λίθους, καὶ ποιοῦσι κολωνὸν μέγαν. Ἐνταῦθα ἀνετίθεσαν δερμάτων πλῆθος, καὶ βακτηρίας, καὶ γέρρα.

ΠΑΡΕΓΓΥΗΣΕ καὶ ΠΑΡΕΓΓΥΗΘΕΝΤΟΣ: ΠΑΡΕΓΓΥΗΣΕ μὲν, ἀντὶ τοῦ παρέδωκεν. Ἰσαῖος. ΠΑΡΕΓΓΥΗΘΕΝΤΟΣ δὲ, ἀντὶ τοῦ, παραλαβόντος. Ὁ αὐτός.

ΠΑΡΕΓΓΥΗΣΑΝΤΟΣ: Παρασχόντος. Καὶ ΠΑΡΕΝΕΓΓΥΑ, [e] παρήγγελλεν.

Ὁ δὲ παρενεγγύα αὐτῷ Πέρσαις μὴ συμπλέκεσθαι.

ΠΑΡΕΝΕΓΓΥΗΣΕ: Παρῄνεσε, συνεβούλευσε.

Ταύτῃ τι παρενεγγύησε δηλητηρίῳ φαρμάκῳ διαφθεῖραι αὐτούς.

ΠΑΡΕΔΩΚΕΝ: [f] Ὁ Ἀπόστολος λέγει·

Παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς ἀδόκιμον νοῦν.

Τουτέστι, συνεχώρησε.

ΠΑΡΕΔΡΟΣ: Ἀριστοτέλης ἐν τῇ ([g] Ἀθηναίων) πολιτείᾳ φησί·

Λαμβάνουσι δὲ καὶ παρέδρους ὅ τε ἄρχων, καὶ ὁ πολέμαρχος, δύο [h] ἑκάτερος, οὓς ἂν βούληται. Καὶ [i] οὗτοι δοκιμάζονται ἐν τῷ δικαστηρίῳ πρὶν παρεδρεύειν· [k] καὶ εὐθύνας διδόασιν ἐπὰν [l] παρεδρεύσωσιν.

Ἔστι δὲ ἡ λέξις συνήθης οὐ τοῖς ῥήτορσι μόνον, ἀλλὰ καὶ τοῖς κωμικοῖς.

ΠΑΡΕΘΕΝΤΟΣ: Ἐκλυθέντος. Καὶ ΠΑΡΕΘΕΙΣ, παραλυθείς. Καὶ ΠΑΡΕΙΘΗ, ἐξελύθη, ἐχαυνώθη.

Ὁ [illegible] κινδύνοις ὁμιλήσας παρείθη τὸ σῶμα πᾶς, [m] καὶ λυπηροῦ θανάτου τέλει παρεδόθη.

Καὶ ΠΑΡΕΙΘΗΣΑΝ, ἀντὶ τοῦ παρελύθησαν. [n] Ἰώσηπος·

Οἱ δὲ πλήθει τῶν πολεμίων παρείθησαν τὰς δεξιάς.

Καὶ αὖθις·

[o] Οἱ δὲ τοῦ μὲν ὁλοσχεροῦς φόβου παρείθησαν· περὶ [illegible] τῶν κατὰ μέρος ἐγκλημάτων πικρῶς ὠνειδίσθησαν.

---

[r] Ἀπέδωκε τὸν χρυσὸν, ὡς παραιτ.] Hæc sunt verba Dionysii Halicarnassensis de Pyrrho, ut patet ex Collectaneis Constantini imperatoris, a Valesio editis, p. 542. ubi locum integrum vide. KUST.

[s] Νήπιος, οὐδὲ τὸ ᾔδ.] Sunt duo versus Homerici Odyss. γ'. 146, 147. quorum prior sic apud poetam legitur, Νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν. Sic etiam apud Suidam scribendum est: quippe apud quem versus iste propter defectum particulæ οὐ claudicat. Ceterum, ut hoc obiter moneam, pro ὃ οὐ apud Homerum scripserim potius ὅτ' οὐ, quoniam sensum sic planiorem fore puto. KUST.

ΠΑΡΑΙΤΟΙΤΟ] Παραιτοῖτο V. Tum παρακαλεῖ, ἀπαγορεύει A.B.V.

[t] Ὥσπερ ἂν εἴ τις εἰς τοὺς γυμν.] Hæc sunt verba Polybii de Aulo Posthumio, quæ leguntur in Collectaneis Constantini a Valesio editis, p. 190. ut Pearsonius observaverat. Vide etiam Nostrum supra v. Αὖλος Ποστόμιος, ubi hic ipse locus auctior legitur. KUST. ὑπογραψάμενος M.

[u] εἰ μὴ ἀγωνίζοιτο] Polybius loco laudato habet, ἐὰν μὴ δύνηται μήτε τὸν πόνον ὑπομένειν, μήτε τὰς πληγάς. KUST. μὴ om. E.

ΠΑΡΑΙΤΟΥΜΑΙ] Deest gl. V.

ΠΑΡΑΙΦΑΣΙΣ] Il. λ'. 792.

[x] Ὁ δὲ παρέβαλε τοὺς ἀνθρώπους τοῖς ὄχλ.] Et hæc sunt verba Polybii, quæ leguntur in iisdem Collectaneis p. 185. ut itidem Pearsonius monuit. Ibi autem pro ἀναδεχθῆναι legitur ἀναχθῆναι, uti etiam hic apud Suidam scribendum est. KUST.

[y] ὕβρεως] ὕβρει V. Mox ἀναδειχθῆναι V. et δεδομένους B.E.M.

ΠΑΡΕΒΑΛΕΤΟ] σημαίνει δὲ καὶ παρεβάλετο B.E.M.

[z] Ἄρτι γὰρ αὐτῇ] αὕτη γὰρ ἄρτι V. qui mox καμήλῳ pro καμήλῳ.

ΠΑΡΕΓΓΕΓΡΑΜΜΕΝΟΣ] Παρεγγεγραμμένοι apud Athenienses dicebantur peregrini, vel inquilini, qui in civium album falso relati erant. Vide Nostrum supra v. Ἀπεψηφίσατο, et v. Ἀποψηφισθέντα. KUST.

[a] παραγγέλλει. Παραινεῖ. Παρακ.] Hæc, et quæ sequuntur, priores editt. a præcedentibus disjungunt; cum quibus eadem connectenda esse et sensus et literarum series satis ostendunt. KUST. Junxi cum A. et Photio. Παραδίδωσι caput glossæ est in A.

[b] Ξενοφῶν] De Expedit. Cyri lib. IV. p. 339. ut Pearsonius observaverat. KUST. IV. 7, 24.

[c] Ὅτου δὴ παρεγγ.] Et hoc fragmentum legitur apud Xenophontem eodem loco. KUST. IV. 7, 25.

[d] παρεγγυήσαντες] παρηγγυήσαντο A.B.E. παρεγγυήσαντο M. Mox πλῆθος om. V.

ΠΑΡΕΓΓΥΗΣΕ, καὶ ΠΑΡΕΓΓ.] Ex Harpocrat. KUST. ὁ αὐτὸς in A. post παρεγγυηθέντος δέ.

ΠΑΡΕΓΓΥΗΣΑΝΤΟΣ] Παρεγγυήσαντος B.V. Mox παρήνεγγύα A.

[e] παρήγγελλεν] παρήγγελλον A.B.E.

[f] Ὁ Ἀπόστολος] Ad Roman. I. 28. KUST. Explicationem forte hausit ex Theodoreti Quæst. 37. in Deut. XXIX. 4. p. 284. ubi eodem modo explicat locum Pauli. ERNEST.

ΠΑΡΕΔΡΟΣ: Ἀριστοτέλης ἐν τῇ Ἀθην.] Ex Harpocratione. KUST.

[g] Ἀθηναίων om. A.B.V.E. Phot. edd. ante Kuster.

[h] ἑκάτερος] ἑκατέρους A.V. Photii ms.

[i] οὗτοι] οὗτω A.

[k] καὶ εὐθύνας] Seqq. om. A.

[l] παρεδρεύσωσιν] παρεδρεύωσιν V.E. Phot. Harpocr.

ΠΑΡΕΘΕΝΤΟΣ] Eunap. Ædes. p. 37. ὑπὸ λιμοῦ παραθέντες. Ruhnken. ad Tim. p. 149=206 παραταθέντες. Sed leg. παρεθέντες. TOUP.

[m] καὶ λυπηροῦ—παρελύθησαν om. A.

[n] Ἰώσηπος] καὶ Ἰώσηπος A.

[o] Οἱ δὲ τοῦ μὲν ὁλοσχεροῦς] Hæc sunt verba Diodori Siculi Excerpt. Legat. T. II. p. 624. ed. Wessel. TOUP.

Παρέκαστα: Ἑκάστοτε.

Παρεκαττύετο: Ἐκ συλλογῆς ἠὐτρέπιζεν. Ἀπὸ τῶν καττυμάτων. Καττύματα δὲ λέγονται οἱ μικροὶ ἱμάντες, οἱ ἐρριμμένοι ἐπὶ τῆς κόπρου. [p]Λέγει οὖν, ἐκ μικρῶν καὶ πολλῶν τὴν στιβάδα ηὐτρεπίζομεν. Ἀριστοφάνης Πλούτῳ·

Ἡμῶν δ' ἕκαστος στιβάδα παρεκαττύετο.

Παρεκλέγω: Αἰτιατικῇ.

Παρεκβατικῶς: Συντόμως.

Παρεκνόον: Ἀντὶ τοῦ, παρ' ἐλπίδα.

Παρεκνόον εἰλήλουθας.

Παρεκότει: Ὠργίζετο.

Παρεκρότουν: [q]Παρώρμων, παρώτρυνον.

Ταύτους ἀθροίζοντες ἀλλήλους παρεκρότουν.

Παρεκρούσατο: Ἐπλάνησε.

Παρεκστῆναι: Παρεκτραπῆναι.

[r]Ὥστε καὶ τοὺς ἐν τῷ συνεδρίῳ ἀχανεῖς [s]γενέσθαι, καὶ παρεκστῆναι ταῖς διανοίαις, συμπάσχοντας τῇ τῶν ἀκληρούντων ὑπερφδενίᾳ.

Παρεκτός: Ἐπίρρημα.

Παρέλαβε τὴν πόλιν, οὐ τὴν ἐπὶ τῶν προγόνων, ἀλλὰ γραῦν σανδάλια [t]ὑποδεδεμένην, καὶ πτισάνην [r]ροφοῦσαν:

Παρελέξατο: Παρεκοιμήθη. Ἐχρήσατο δὲ [u]Ὅμηρος τούτῳ ἐπὶ ἵππου καταχρηστικῶς. Οὐ γὰρ παρακλίνεται ἵππος, ἀλλ' [x]ἐπαναβαίνει.

Παρελθεῖν: Τὸ αὐτίκα δηλοῖ παρὰ Θουκυδίδῃ. Τὸ δὲ ἐπελθεῖν, τὸ ἀναβαλλόμενον χρόνῳ δὲ τοῦτο διαπράξασθαι.

Παρελθεῖν: Ἀντὶ τοῦ νικῆσαι. [y]Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος.

Παρελθών: Ἀντὶ τοῦ, εἰσελθών.

Παρέλκον: Περιττὸν, ἢ παρατεῖνον.

Παρέλκυσις: Ὑπέρθεσις.



A Παρελογίσασθε: Ἠπατήσατε.

[Παρ' ἐλπίδα: Ἐπίρρημα.]

Παρέλυσαν: Ἀπήλλαξαν, μετέστησαν. [z]Θουκυδίδης ζ'.

Τὸν μὲν Νικίαν οὐ παρέλυσαν τῆς ἀρχῆς.

Παρεμβαλεῖ: Παρατάξεται.

Παρεμβαλόντων: Κυκλωσάντων.

Παρεμβολή: Σκηνὴ, κάστρον, στρατόπεδον. Ἐπὶ

B τοῦ [a]μεγάλου Ἀντωνίου κεῖται τὸ παρεμβολὴ ὄνομα.

Παρεμβολὴ παρεντάξεως διαφέρει: Παρεμβολὴ μὲν γάρ ἐστιν ἡ τῶν ὁμοίων παρένθεσις· οἷον ὁπλιτῶν πρὸς ὁπλίτας, [b]ἢ ψιλῶν πρὸς ψιλούς. Παρένταξις δὲ, ἡ τῶν ἀνομοίων· οἷον ὁπλιτῶν πρὸς ψιλούς· ἢ ψιλῶν, πρὸς ὁπλίτας. Πάλιν [c]παρεμβολὴ λέγεται, ὅταν προτεταγμένων τινῶν εἰς [d]τὰ μεταξὺ διαστήματα ἐκ τῶν ἐπιτεταγμένων καθιστῶνται αὐτοῖς

C ἐπ' εὐθείας.

Παρεμβολή: Παράταξις. Καὶ Παρεμβάλλειν: [e]Παρατάσσεσθαι.

Παρέμπτωσις: Προσθήκη φωνήεντος κατὰ μέσον, οὐ ποιοῦντος συλλαβήν· οἷον ξένος, ξεῖνος, ἔνατος, εἴνατος.

Παρεμφῆναι: Παραδεῖξαι, [f]παρασημᾶναι.

Παρενείρει: Παρεμβάλλει, ἤγουν λέγει.

D Παρένησαν: [g]Θουκυδίδης·

Ἐπιπαρένησαν καὶ τῆς ἄλλης ὕλης ὅσω [h]ἐδύναντο.

Παρενθέμενος: Παραλογισάμενος.

Ὁ δὲ Ἀκάκιος παρενθέμενος τὰ τοῖς κανόσι διηγορευμένα, καὶ τὸ θυσιαστήριον καταλαμβάνει, καὶ τὰ ἐξ ἔθους ἱερεῦσιν ἐπιτελεῖ.

Παρενθήκη: [i]Προσθήκη.

Παρέντες: Παραλυθέντες, ἀμελήσαντες.

E Τὼ χεῖρε καὶ τὰς πανοπλίας παρέντες.

Παρέξ: Παρεκτός.

Παρενοχλῶ: Δοτικῇ.

Παρεξαγωγή:

ΠΑΡΕΚΑΤΤΥΕΤΟ: Ἐκ συλλογῆς ηὐτρ.] Ex Schol. Aristoph. Plut. 663. KUST.

[p] Λέγει—ηὐτρεπίζομεν om. A.

[o] Ὁ πατὴρ—τῶν σαρκῶν] Et hæc leguntur apud Josephum Antiq. Jud. lib. XII. 4. p. 605. TOUP.

[p] ὡς αὐτοὺς—λέγων om. A.

[q] Ἀπορῶν ἐπιτρόπου, γυμν.] Aristoph. Pac. 685. Ἀπορῶν ὁ δῆμος ἐπιτρόπου, καὶ γυμνὸς ὤν, Τοῦτον τέως τὸν ἄνδρα περιεζώσατο. KUST.

ΠΕΡΙΕΚΕΧΥΤΟ] Gl. om. V.

[r] Ἐπειδὴ τῷ Τιβερίῳ] Hæc sunt verba Menandri in Excerptis Hœschelii, p. 132. ubi de Tiberio Justini successore sermo est. TOUP. Deest exemplum A.

[s] Ἀριστοφάνης] Equit. 694. Deest gl. A.

ΠΕΡΙΕΚΤΙΚΟΝ] Post h. gl. V. addit Περιεκτυσμένου: περιλεπτισμένου.

ΠΕΡΙΕΛΩ Σ'] Aristoph. Eq. 290. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST. Deest gl. A.

[t] ἀλαζονείας] Addunt B.V.E. περιελάσω σε, νικήσω. Tum περικεκτοῦμαι V. pro ὑποτεμοῦμαι. Deest gl. A.

[u] φαίνεσθαι] ἐσφαίνεσθαι V.

Ἐν δὲ τοῖς μάλιστα τὸν ἀδελφὸν αὐτοῦ Γάϊον οὐκ ἀνέξεσθαι περιεῖναι αὐτὸν δοῦλον τῶν πολεμίων γεγονότα.

Οὐδὲ περιεῖναι τῶν πολεμίων οἷός τε ὤν, τῷ μὴ τὰ δέοντα ὑπὸ σμικρολογίας ἐργάζεσθαι.

Περιεῖπον: Περί τινα [f]ἦσαν θεραπευτικῶς καὶ φυλακτικῶς.

Περιεῖχεν: [g]Ὑπερεῖχε.

Περιήγγελλεν: Ἐκέλευε.

Περιηγγέλθη τὸ ἄθεον πρόσταγμα: Ἀττικώτερον δὲ τὸ περιηγγέλη.

Περιηγεῖται: Ἀντὶ τοῦ διηγεῖται. Αἰλιανός·

Αὐτὸς δὲ διαπνισθείς, τῷ παιδὶ περιηγεῖται ἅ τε εἶδε, καὶ ὅσα ἤκουσε, καὶ ἅ τινα εἶπεν.

Περιηγεῖτο: Πανταχόσε περιήρχετο.

[h]Πῦρ δὲ αὐτοῖς ὑπέφαινεν ἡ Σινωνίς, καὶ περιηγεῖτο.

Περιημάκτεον: Ἐδυσφόρουν.

[i]Οἱ δὲ Φωκέες περιημάκτεον τῇ δουλοσύνῃ.

Περιῆν: Ἐνίκα.

Περιεγίνετο: Ὑπῆρχε.

Περιηχήθην: Περιεψιθυρίσθην.

Περιηχῶ: Αἰτιατικῇ.

Περιϊόντα: Περιερχόμενον.

Περιΐπταμαι: Αἰτιατικῇ.

Περιϊππεύων: Περιτρέχων.

Περιΐσταμαι: Αἰτιατικῇ.

[k]Τοξότας αὐτῶν πάντοθεν περιΐστησι.

Καί,

Περιΐστανται πάντοθεν τὸ πανδοχεῖον.

Περιϊστάμενος: Φεύγων. [l]Ἰώσηπος περὶ Μωϋσέως·

Περιΐστατο γάρ, μὴ πολλοὶ τῆς τῶν λόγων ἀσελγείας αὐτοῦ μιμηταὶ γένωνται.

Περιΐστασο: Ἀντιλαβοῦ, [m]περισκέπασον.

[Περιΐστατο:

Τὸν ὄχλον γὰρ ἐκεῖνος ἀεὶ καὶ τοὺς θορύβους περιΐστατο μάλιστα.]

Περίθετος: [n]προσωπεῖον. [o]Ἀριστοφάνης·

Ἥδειν μὲν οὖν
κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ.

Διαβάλλεται δὲ Ἀγάθων ἐπὶ μαλακίᾳ, ἵνα λανθάνῃ νυκτός, καὶ ὡς γυνὴ πάσχῃ.

Περίθου: Ὅπερ ἡμῖν σύνηθες ἐπίθου λέγειν. [p]Ἀριστοφάνης·

Περίθου νῦν τόνδε πρότερον, πρὶν λέγειν.

[q]Ἀντὶ τοῦ στέφανον. Ἔθος γὰρ ἦν τοῖς λέγουσι στεφανοῦσθαι πρῶτον.

Περίθριξ: Ὁ ἀπὸ γενετῆς πλόκαμος, ὁ μηδέπω καρείς.

[r]Ἔτι πλοκάμοιο περίθριξ.

Περιθοῖδαι: Δῆμος τῆς Οἰνηΐδος φυλῆς. Ἀπὸ Πειρίθου, τοῦ Ἰξίονος. Νόμος δ' ἦν Ἀθήνησι, [s]ξένους εἰσδέχεσθαι τοὺς βουλομένους τῶν Ἑλλήνων· Θεσσαλοὺς δ' ἐξαιρέτως ὑπεδέχοντο, διὰ τὴν Πειρίθου καὶ Θησέως φιλοξενίαν. Τούτοις δὲ καὶ χώραν ἐμέρισαν, ἣν ἐκάλεσαν [t]Περιθοίδας. Ἔφορος ἱστορεῖ ἐν τρίτῳ.

Περικαθαίρων: Ἀναλύων τὸν πεφαρμακευμένον, ἢ τὸν γεγοητευμένον.

Περικάθημαι: Αἰτιατικῇ.

Περικακῶ: Ἐκκακῶ.

Περικαλλές: Λίαν καλόν.

Περικαῶς: Ἐρωτικῶς.

Περικαῶς τῆς γυναικὸς ἔχων.

[Περίκειμαι: Τοῦ ἐπίκειμαι διαφέρει.]

Περικεκλασμένοις:

[u]Ἐνέδραν εἶχεν ἐν τόποις περικεκλασμένοις καὶ δυσθεωρήτοις.

Περικεφαλαία:

Περίκηλα:

Περικλῆς, Ἀθηναῖος. Ἐπὶ τούτου ἤρξατο ὁ

[f] ἦσαν] F. ἴσαν, nam Timæus addit καὶ φυλακτικῶς. TOUP. καὶ φυλακτικῶς addunt A.B.V.E. et Photius.

[g] Ὑπερεῖχε om. V.

ΠΕΡΙΗΓΓΕΛΛΕΝ] Περιήγγελεν A.

ΠΕΡΙΗΓΕΙΤΑΙ] Vid. Φιλήμων Συρακούσιος. HEMST. Quem vide ad Lucian. D. M. XX. 1. Contempl. c. 1.

[h] Πῦρ δὲ αὐτοῖς ὑπέφαινεν] Hæc deprompta sunt ex Jamblicho in Babylonicis. Vide nos infra ad v. Σίνων. TOUP. Vid. Rochetti Miscell. t. I. p. 87.

ΠΕΡΙΗΜΑΚΤΕΟΝ] Περιημάκτεον E. et in exemplo.

[i] Οἱ δὲ Φωκέες περιημ.] Locus hic apud Herodotum lib. I. c. 164. sic legitur: Οἱ δὲ Φωκαιέες περιημεκτέοντες τῇ δουλοσύνῃ, ἔφασαν, &c. KUST.

ΠΕΡΙΗΝ] Hanc et seq. gl. om. A. In unam conjungit Photius.

ΠΕΡΙΕΓΙΝΕΤΟ] Περιεγένετο V.

ΠΕΡΙΗΧΗΘΗΝ] Περιεχύθην B.E.

ΠΕΡΙΗΧΩ] Gl. om. A.

ΠΕΡΙΙΠΤΑΜΑΙ] Gl. om. V. habet A. in marg.

[k] Τοξότας—περιΐστησι om. A.

[l] Ἰώσηπος] Ant. Jud. IV. 6, 12. Vol. I. p. 221. TOUP. πολὺ E. pro πολλοί.

[m] περισκέπασον] περισκέπησον Photius, Lex. Seg. et sic legendum docet Alberti ad Hesych. v. Περιΐστασο.

ΠΕΡΙΙΣΤΑΤΟ] Socrat. Eccl. hist. p. 229. ubi v. Vales. TOUP. Deest hæc gl. A.V.

ΠΕΡΙΘΕΤΟΣ] Vid. Polluc. p. 170. Dio Exc. Vales. p. 670. καὶ τοῖς προσθέτοις τοῖς τε περιθέτοις ἀκριβῶς ἐποικίλλετο. Polyæn. p. 529. περιθέμενος περιθετήν. TOUP.

[n] Προσωπεῖον] πρόσωπον A. Schol. Aristoph. Thesm. 258. (Bekker.) λέγουσι δὲ περίθετον πρόσωπον, ὡς Ἀριστομένης ἐν Γόησιν· Παντευχίαν δὲ τοῦ θεοῦ ταύτην λαβεῖν Καὶ περίθετον πρόσωπον, ὃ λαβὼν ἔστασθι. Seqq. usque ad . . . om. A.

[o] Ἀριστοφάνης] Thesmoph. 264. Ἠδὺ μὲν οὖν Κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ. Sic etiam apud Suidam scribendum est. Huc pertinent illa Eustathii ad Il. χ'. p. 1280. Ἰστέον δέ, ὅτι φέρεται παρὰ τοῖς παλαιοῖς κόσμος γυναικεῖος, ὃν περίθετον κεφαλὴν ἐκάλουν. Ἀριστοφάνης Θεσμοφόροις· Κεφαλὴ περίθετος, ἣν ἐγὼ νύκτωρ φορῶ. Ἄδηλον δέ, εἴτε κρήδεμνον αὕτη, εἴτε ἄμπυξ, εἴτε κεκρύφαλον, εἴτε ὁμοῦ πάντα ταῦτα μετὰ τῆς ἀναδέσμης. KUST.

ΠΕΡΙΘΟΥ—λέγειν A. in marg.

[p] Ἀριστοφάνης] Thesm. 387.

[q] ἤγουν] ἀντὶ τοῦ A.B. Schol. Aristoph.

[r] Ἔτι πλ.] Ex Callimachi Berenices capillo. Huc respicit Tatian. p. 40. Βερενίκης πλόκαμος. TOUP.

[s] ξένους] νόμους B.E.

[t] Περιθοΐδα] Περιθοΐδας A.V. Photius. περιθοΐδα B.

ΠΕΡΙΚΑΘΗΜΑΙ] Deest gl. A.

ΠΕΡΙΚΑΚΩ] Polyb. p. 83. TOUP.

ΠΕΡΙΚΑΩΣ] Περικακῶς bis E. Exemplum fragmentis Eunapianis n. 72. inseruit Boissonadius, quem v. ad eundem scriptorem p. 437.

ΠΕΡΙΚΕΙΜΑΙ] Habet A. in marg. om. V. Tum Περικλαίω: αἰτιατικῇ A. marg.

[u] Ἐνέδραν εἶχεν] Hoc fragmentum Polybio adsignare haud dubitaverim, qui ita loquitur, lib. XII. p. 692. Καὶ συστῆσαι πρὸς μάχην ἐν τόποις ὑλώδεσι καὶ ΠΕΡΙΚΕΚΛΑΣΜΕΝΟΙΣ. *In locis silvosis et anfractis.* TOUP.

ΠΕΡΙΚΗΛΑ] Od. ε'. 240.

ΠΕΡΙΚΛΗΣ] Olympius dictus est. Vid. Plut. in ejus Vita. Athen. X. p. 436. Erat Anaxagoræ γνώριμος s. au-

Πελοποννησιακὸς πόλεμος. Ἐπὶ τούτου τὸ Κυλώνειον ἄγος ἠλαύνετο παρὰ Ἀθηναίων, [x]ᾧ ἐνείχετο Περικλῆς. Κύλωνα γὰρ ἄνδρα Ἀθηναῖον, Ὀλύμπια νενικηκότα, γαμβρὸν Θεαγένους, τοῦ Μεγαρέων τυράννου, ἐπιθέμενον τυραννίδι τῶν Ἀθηναίων, παραχρῆμα φυγόντα, καταφυγόντα δὲ ἐπὶ τὰς Σεμνὰς Θεὰς, ἀποσπάσαντες οἱ περὶ Περικλέα, ἀπέκτειναν. [y]Οἱ δὲ ἀντεπέταττον. Περικλῆς δὲ οὐκ εἴα πείθεσθαι. Ὃς ἦν Ξανθίππου παῖς, στρατηγοῦ Ἀθηναίων, Ἀναξαγόρου δ' ὁμιλητής. Φασὶ δὲ, ὅτι μέλλουσα τὸν Περικλέα τίκτειν ἡ μήτηρ, ὄναρ εἶδεν ὡς λέοντα τέκοι. Οὗτος κεραυνοῦ ποτε γενομένου, καὶ θορυβηθέντων Ἀθηναίων, [z]ὡς ἐξῄεσαν ἐς μάχην ὑπ' αὐτῷ στρατηγῷ, δύο λίθους συγκρούσας, καὶ πῦρ ἐξ αὐτῶν ἐκκόψας, [a]τοῦτο, εἶπεν, ἐστὶν ὁ κεραυνός. Ἔγημε δὲ [b]Ἀσπασίαν τὴν Μιλησίαν, ἐξ ἧς ἔσχε παῖδας, Ξάνθιππον καὶ Πάραλον· ὃν παρὰ τὰ πάτρια ὠνόμασεν, ἥρωος ἐπιθεὶς ὄνομα, οὐκ ἐξόν.

Περικλῆς, Ξανθίππου καὶ Ἀγαρίστης, Ἀθηναῖος, ῥήτωρ, καὶ δημαγωγὸς, [c]ὅστις πρῶτος γραπτὸν λόγον ἐν δικαστηρίῳ εἶπε, τῶν πρὸ αὐτοῦ σχεδιαζόντων. Ἦν δὲ μαθητὴς Ἀναξαγόρου τοῦ Κλαζομενίου· καὶ αὐτὸς ἐρύσατο αὐτὸν ἐκ θανάτου.

Περικλῆς: Οὗτος συμβουλεύεται Ἀθηναίοις,

> [d]Τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν πολεμίων
> εἶναι σφετέραν· τὴν δὲ σφετέραν, τῶν πολεμίων·
> πόρον δὲ τὰς ναῦς, ἀπορίαν δὲ τὸν πόρον.

[e]Οὗτος ἐκέλευσεν Ἀθηναίοις, ἐμβαλόντων μὲν Λακεδαιμονίων εἰς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν· αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. Τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι· τὸ δὲ διὰ θαλάττης, τοῦτο ἡγεῖσθαι πόρον. Ἄλλως. Τὴν Περικλέους λέγει γνώμην, τὴν Ἀττικὴν ὡς πολεμίαν ἡγεῖσθαι, καὶ ἐᾷν τέμνεσθαι· τὴν δὲ Λακωνικὴν [f]περιπλεῦσαι. Συνεβούλευσε δὲ περιπλεῖν τὴν πολεμίαν· μὴ μάχεσθαι δὲ, τεμνομένης τῆς Ἀττικῆς. Ἕνα πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς ὡς πλείστας ἔχειν· τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω τούτου γίνηται, τοῦτον ἄπορον νομίζειν· οἷον τὰ θεωρικὰ, καὶ δικαστικὰ, καὶ ἐκκλησιαστικά. Συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γινομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι. [g]Πρὸς ταύτην γὰρ τὴν ἔννοιαν καὶ τὸ ἐπιφερόμενον ἀκόλουθον. Φησὶ γὰρ ὁ Διόνυσος

> [h]Πλήν γ' ὁ δικαστὴς αὐτὰ καταπίνει μόνος.

Ὡς πολλῶν δαπανωμένων εἰς τὸν δικαστικὸν μισθόν.

Περικαττός:

Περικνημῖδας:

Περικόμματ' ἐκ σοῦ κατασκευάσω: Τὰ [i]ὑπὸ τῶν μαγείρων περιαιρούμενα τῶν κρεῶν. Ὁ δὲ λέγει, τοιοῦτόν ἐστι· κόψω σου τὸ σῶμα.

Περικόμψους: [k]Ἀριστοφάνης·

> Παῦσον [l]ἡμῶν τὰς ὑπονοίας
> τὰς [m]περικόμψους, αἷς [n]στωμυλλόμεθ'
> εἰς ἀλλήλους.
>
> καὶ συγγνώμῃ
> τοῦ πρεσβυτέρᾳ κέρασον τὸν νοῦν.

[o]Στωμυλλόμεθα, ἀντὶ τοῦ, φλυαροῦμεν.

Περικοπή: [p]Πολύβιος·

> Ταύτην τὴν περικοπὴν ἐδωρήσατο τῇ τῆς Αἰμιλίας μητρί.

Τουτέστι, τὴν ὕπαρξιν. Καὶ αὖθις·

> Ἅτε μηδεμίαν ἐχούσης πραγματικὴν ἔμφασιν τῆς περικοπῆς αὐτῶν.

Τουτέστι, τῆς ἐνεργείας.

Περικοπή: Μέρος τι τῆς ὑποθέσεως.

> [q]Ὁ δὲ προῆγε, ποιήσας εὐσταλῆ τὴν ἀκολουθίαν καὶ τὴν περικοπὴν τῆς ἐκδημίας.

Περικόπτω: Αἰτιατικῇ.

Περικρεμῶ:

Περικτίονος: Τοῦ πέριξ οἰκοῦντος.

Περιλακιζομένη: Ἀντὶ τοῦ διασχιζομένη, καὶ διακοπτομένη.

Περιλαλοῦσιν: Αἰτιατικῇ. Ἀντὶ τοῦ, [r]περιττολογοῦσι, φλυαροῦσι.

> [s]Τοῖς περιλαλοῦσι μὴ ταχέως συγκατατίθεσθαι.

Περιλαμβάνω: Αἰτιατικῇ.

Περιλάμπω: Αἰτιατικῇ.

Περίλαος: Ὄνομα κύριον.

---

ditor, Euseb. P. E. X. 24. Plutarch. Themist. c. 2. Ξανθίππου παῖς Pausan. Att. 25. Περικλῆς ὁ Ξανθίππου, καὶ αὐτὸς Ξάνθιππος, ὃς ἐναυμάχησεν ἐν Μυκάλῃ Μήδοις. REINES. Ceterum hunc articulum erroribus scatere recte monet Meierus Hist. Jur. Att. p. 4.

[x] ᾧ] ὡς A.

[y] Οἱ δὲ—ὁμιλητὴς om. V.

[z] ὡς ἐξῄεσαν] ὡς om. A.V.

[a] τοῦτο] τοῦτον A.

[b] Ἀσπασίαν] Vid. supr. h. verb. et Plato in Menone. REINES.

ΠΕΡΙΚΛΗΣ Ξανθίππου] Hunc et seq. articulum om. A. Qui præbet hæc in marg. Περικλῆς Ἀθηναίων στρα'. ζήτει ἐν τῷ Δέον.—Περικλῆς ξανθίππου καὶ ἀγαρίστης ἀθηναῖος ῥήτωρ καὶ δημαγωγός· καὶ ζήτει τὸν νόμον τούτου ἐν τῷ δημοποίητος.

[c] ὅστις] ὃς V.

[d] Τὴν γῆν ὅταν νομ.] Aristoph. Ran. 1511.

[e] Οὗτος ἐκέλευσεν Ἀθην.] Hæc, et quæ sequuntur, sunt verba Scholiastæ ad modo memoratum locum Aristophanis. KUST.

[f] περιπλεῦσαι] περιπλεύσωσι V.

[g] Πρὸς ταύτην—ἀκόλουθον om. V.

[h] Πλὴν] πλήν γε B.E. πλὴν καὶ V. Mox καταπίνειν νόμος B.E. νόμος etiam V.

ΠΕΡΙΚΑΤΤΟΣ et Περικνημῖδας om. V. habet A. in marg.

ΠΕΡΙΚΟΜΜΑΤ' ΕΚ ΣΟΥ ΚΑΤΑΣΚ.] Hæc sunt verba Aristoph. Equit. 371. KUST.

[i] ὑπὸ] ἀπὸ A.V. Mox τῶν ante κρεῶν om. V.

[k] Ἀριστοφάνης] Pac. 993.

[l] ἡμῶν] ὑμῶν V.

[m] περικόμψους] παρακόμψους V.

[n] στωμυλλόμεθ'] στωμύλλομεθ' V.E.

[o] ΣΤΩΜΥΛΛΟΜΕΘΑ] Στωμυλλόμεθα V. στωμυλλοίμεθα E.

ΠΕΡΙΚΟΠΗ] Diodor. Exc. t. II. p. 586, 87. et Wessel. HEMST.

[p] Πολύβιος] Integer locus Polybii, ex quo fragmentum hoc decerptum est, exstat in Collectaneis Constantini imperat. a Valesio editis, p. 154. itemque apud Suidam supra v. Αἰμιλία. KUST.

[q] Ὁ δὲ προῆγε] Deest exemplum A. Addit A. λέγεται περικοπὴ καὶ ἡ ὕπαρξις. Καὶ ζήτει ἐν τῷ Αἰμιλία. Idem mox Περιλάμπω αἰτιατικῇ in marg.

ΠΕΡΙΚΡΕΜΝΩ] Περικρεμῶ A.B.E. Deest V.

ΠΕΡΙΚΤΙΟΝΟΣ] Simonid. in Περιαγειρόμενοι. HEMST.

ΠΕΡΙΛΑΚΙΖΟΜΕΝΗ] Om. A.V. Mox καὶ om. B.

[r] περιττολογοῦσι] περιττολαλοῦσι A.

[s] Τοῖς περιλαλοῦσι μὴ ταχ.] Hæc sunt verba Marci Antonini lib. I. §. 7. ut Pearsonius monuit. KUST.

ΠΕΡΙΛΑΟΣ] Lucianus in Phalari Agrigentinum fuisse dicit, sed fallitur; fuit enim Atheniensis. Phalaris Ep.

A Περίλεξις: Περίφρασις. [t]Λεληθότως δὲ δείκνυσιν ἐκ πόσων συνέστηκε ῥητορεία. Δεῖ γὰρ πρῶτον νοῆσαι· εἶτα ἑρμηνεῦσαι τὸ νοηθέν· ὅπερ ἐστὶ λοιπὸν ἔργον τοῦ τῆς ἐξηγήσεως λόγου. Καὶ κατάληψιν, ἤγουν τὴν αἴσθησιν, καὶ τὴν τέχνην. Οὕτω γὰρ ὁριζόμεθα [u]τὴν τέχνην· Ῥητορική ἐστι τέχνη τοῦ εὖ λέγειν τὰ προβλήματα. [x]Διὰ τί τέχνη; σύστημα ἐγκαταλήψεων ἐγγεγυμνασμένων.

B Περιλέποντες: Τὸν φλοιὸν περιαιροῦντες. [y]Ἡρόδοτος·

[z]Τῶν δὲ δενδρέων τὸν φλοιὸν περιλέποντες καὶ ἐσθίοντες.

Περιλιχμώμενος: Κατασπαζόμενος.

Ὁ δὲ τὴν γυναῖκα [a]πολὺν χρόνον περιλιχμώμενος, καὶ τοὺς πόδας εἰλούμενος, συνέπεισεν ἄνδρα νομίσαι.

Περίλαος: Δημοσθένης ἐν τῷ ὑπὲρ Κτησιφῶντος. Ὄνομα κύριον.

C [Πέριλος: Τὸ αἰδοῖον. Δι' ἑνὸς λ'.]

Περὶ λύχνων ἀφάς: [b]Ὀψιαίτερον.

Μικρὸν δὲ μετὰ λύχνων ἀφὰς ἄρτι ἐς θοίνην ἵζοντων, ἐπεσπεσόντες ἀδόκητοι, τῶν πολεμίων πολλοὺς κτείνουσι.

Περιμένω: Αἰτιατικῇ.

Περίνεως: Τοὺς περιττοὺς [c]τῇ νηῒ ἐπιβάτας· οἷον, δούλους.

D Περίνεως: Τοὺς περιττούς, [d]καὶ ἔξω τῶν ὑπηρεσίων· ὡς λειπόνεως, τοὺς λειποτάκτας. Θουκυδίδης.

[e]Τοὺς δὲ περίνεως (πολλοὶ γὰρ φθειρομένων ἐν τῇ ναυαγίᾳ τῶν σκαφῶν ἀπεκολύμβησαν) εἰς ἐς τὸ ναυτικὸν ὀλιγανδροῦν κατέταξεν.

Οἱ δὲ ναῦται, καὶ ὅσοι περίνεῳ, οὐκ ἀνεξέμενοι δῆλοι ἦσαν.

Περήνη: Πόλις.

Περινήσαντες: Περισωρεύσαντες.

Οἱ δὲ βάρβαροι πολὺ περινήσαντες πῦρ, συνέφλεξαν ἅπαντας.

Περινθίοις: [f]Τούτοις ἁλωθὲν τὸ Βυζάντιον δῶρον ἐδόθη εἰς δουλείαν παρὰ Σεβήρου τοῦ Ῥωμαίων βασιλέως· ὥσπερ καὶ ἡ Ἀντιόχεια Λαοδικεῦσι.

Περινοεῖ: Νοεῖ περισσῶς.

Περινοστοῦντας: Περιερχομένους. [g]Νόστος κυρίως μὲν ἡ ἀπὸ ἀλλοδαπῆς οἴκαδε ἄφιξις· καταχρηστικῶς δὲ, καὶ ἡ [h]ἀπὸ τόπου εἰς τόπον. Ἀριστοφάνης Πλούτῳ·

Ὅστις σε [i]προσπταίοντα περινοστεῖν ἐᾷ.

Περίνοια: [k]Ὑπερηφανία, ἢ μηχανὴ, ἢ τέχνη.

Πέρις:

Περιοδεία: Ἡ περιόδευσις.

C Περίοδος: Περιέλευσις, κύκλος. [l]Ἡρόδοτος·

Οἱ δὲ Σπαρτιῆται μαθόντες ἐκ τῶν αὐτομόλων τῶν Περσέων τὴν περίοδον, ἐβουλεύοντο, καὶ ἐσχίζοντο αὐτῶν αἱ γνῶμαι.

Περίοδος: Δημοσθένης Φιλιππικοῖς. Περιοδικὰ νοσήματα καλοῦσιν οἱ ἰατροὶ τὰ τεταγμένως ἀνιέμενα καὶ αὖθις ἐπιγινόμενα· οἷον [m]τριταίους, τεταρταίους, καὶ τὰ ὅμοια. Καὶ γὰρ ἐπὶ τούτων οἱ D κάμνοντες δοκοῦσιν ἐν ταῖς τῶν ἀνέσεων ἡμέραις [n]μηδὲ νοσεῖν, ἀλλ' ὑγιεῖς εἶναι.

Περιόν: Ὑπερβάλλον.

Τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι [[o]προῖκας] πεπορισμένας ἔχοντες ἐκ τοῦ περιόντος καρπώσονται.

Περὶ ὄνου σκιᾶς: Παροιμιακόν. Περὶ τῶν ἐνδιατριβόντων τοῖς μηδενὸς ἀξίοις.

---

E 122. ad Athenienses, Περίλαος ὁ πλάστης ὑμῶν, ὦ Ἀθηναῖοι. REINES.

[t] Λεληθότως δὲ δείκνυσιν, ἐκ πόσων συνέστ.] Ex Schol. Aristoph. ad Nub. 317.

[u] τὴν τέχνην] κὰν τῇ τέχνῃ, οἷον A.V. et B.E. sine οἷον. cum edd. ante Kuster. Mutavit Portus e Schol. Aristoph.

[x] Διὰ τί—ἐγγεγυμνασμένων om. A.

[y] Ἡρόδοτος] Lib. VIII. 115.

[z] Τῶν δὲ] δὲ om. A.

[a] πολὺν χρόνον om. B.E.

F ΠΕΡΙΛΑΟΣ: Δημοσθένης ἐν τ.] Ex Harpocratione. KUST. Περίλαος Demosth. p. 242, 2. 325, 15.

ΠΕΡΙΛΟΣ] Deest gl. A.B.V.E.

[b] Ὀψιαίτερον] ὀψιαίτερα V. Post h. gl. delevi ΠΕΡΙΜΑΝΩΣ καὶ ΜΑΝΕΡΩΣ: Ὀνόματα ᾠδῆς. Εὔβουλος Καμπυλίωνι, cum V. quæ habet A. in marg. Vid. Ἀνακκάς. Pro Καμπυλίωνι A. dat Καμπυλίων.

ΠΕΡΙΜΕΝΩ om. A.V.

G ΠΕΡΙΝΕΩΣ: Τοὺς περιττοὺς ἐν τῇ ν.] Ex Schol. Thucyd. ad lib. I. c. 10. KUST.

[c] ἐν τῇ] ἐν om. A.B.E.M.

ΠΕΡΙΝΕΩΣ—λειποτάκτας A. in marg. ubi cett. om.

[d] καὶ ἔξω] καὶ τοὺς ἔξω V. qui mox ὑπηρεσίων. Usque ad Θουκυδίδης Photius.

[e] Τοὺς δὲ περιν.] Ex Dion. Cass. (XLIX. 1.) p. 570. notante Reimaro. Procop. Goth. p. 351. p. 106. TOUP.

ΠΕΡΗΝΗ] Περόνη V. et sic poscit literarum ordo. Vid. supra p. 2928 C.

H [f] Τούτοις ἁλωθὲν τὸ Βυζάντιον δῶρον ἐδ.] Hæc sunt verba Herodiani in Severo. KUST. III. 6. ἐαλωθὲν B.V.E. Deest gl. A. habet V. in marg.

ΠΕΡΙΝΟΕΙ] Synes. p. 117. TOUP.

[g] ΝΟΣΤΟΣ κυρίως μὲν ἡ ἀπὸ ἀλλ.] Ex Schol. Aristoph. ad Plutum, 121. KUST.

[h] ἀπὸ τόπου εἰς τόπον] Adde ex Scholiasta Aristoph. μετάβασις καὶ πορεία. KUST.

[i] προσπταίοντα] προσπίπτοντα B.

ΠΕΡΙΝΟΙΑ] Diod. Sic. p. 257. τοσαύτην ἔχειν περιουσίαν. Leg. περίνοιαν. Æschin. Dial. p. 108. ἴσχειν περίνοιαν. TOUP.

[k] Ὑπερηφάνεια] ὑπερηφανία A.E. Photius.

[l] Ἡρόδοτος] Vid. lib. VII. c. 219.

ΠΕΡΙΟΔΟΣ: Δημοσθένης Φιλιππ.] Ex Harpocratione. KUST.

[m] τριταῖα τεταρταῖα] τριταίους τεταρταίους A.B.V.E. Phot. Harpocr.

[n] μηδὲ] μηδὲν Harpocr.

ΠΕΡΙΟΝ: Ὑπερβάλλον. Τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι προῖκας πεπορισμένας ἔχοντες, ἐκ τοῦ περιόντος καρπώσονται] Ad hunc locum ne verbum quidem editores. Est autem manifesto corruptus. Repono, Τὰ δὲ καὶ προῖκα πολλαχῇ τοῖς ἑαυτοῦ τέλεσι πεπορισμένα ἔχοντες. Quomodo recte legitur infra, v. Προῖκα. Ubi τοῖς τέλεσι *magistratibus* reddunt nostri interpretes. In quo falluntur. Τοῖς ἑαυτοῦ τέλεσι πεπορισμένα ἔχειν, est, *Suo sumptu suppeditari.* Verba sunt de stipendio militum. Confer etiam Suidam, v. Χρῆσθαι. Ceterum hoc fragmentum Dioni Cassio adjudicandum esse censeo. Ita enim loquitur Dio, lib. LVIII. p. 876. ed. Reim. Ἡ μέντοι ψηφισθεῖσα αὐτῇ ἀψὶς οὐκ ᾠκοδομήθη, διὰ τὸ τὸν Τιβέριον ΤΟΙΣ ἙΑΥΤΟΥ ΤΕΛΕΣΙ κατασκευάζειν αὐτὴν ὑποσχέσθαι. Idem lib. LI. 23. Ὁ Ταῦρος ὁ Στατίλιος θέατρόν τι ἐξεποίησε ΤΟΙΣ ἙΑΥΤΟΥ ΤΕΛΕΣΙ. Atque hinc intelligendus Philostratus in Apollonio, lib. VIII. sub finem: Καὶ ἱερὰ Τύανα δὲ βασιλείοις ἘΚΠΕΠΟΙΗΜΕΝΑ ΤΕΛΕΣΙ. *Et sacra Tyanensis urbs regiis sumptibus exædificata.* Ita scribendus et vertendus iste locus. Interpres non intellexit. TOUP. Lege τοῖς ἑαυτοῦ τέλεσι πεπορισμένα. Sic enim recte scriptum in Προῖκα. HEMST.

[o] προῖκας] προῖκα A.B.V.

ΠΕΡΙ ὈΝΟΥ] Aristoph. Vesp. 191.

Περὶ τῆς ἐν Δελφοῖς σκιᾶς: Δημοσθένης Φιλιππικοῖς. Δίδυμός φησι, τὴν περὶ ὄνου σκιᾶς παροιμίαν παραπεποιῆσθαι ὑπὸ τοῦ ῥήτορος, λέγοντος περὶ τῆς ἐν Δελφοῖς σκιᾶς· λέγεσθαι δὲ αὐτὴν ἐπὶ τοῖς περὶ τῶν μηδενὸς ἀξίων μαχομένοις.

Περιόντας: Ζῶντας. [p] Ἀγαθίας·

Καὶ ἔλεγον παρέξειν αὐτῷ ἐς ὅ τι βούλοιτο χρῆσθαι, εἴγε τοὺς ὁμήρους ἴδοιεν περιόντας.

Περίοπτον: Περιθέατον, μέγα, ὑψηλὸν, [q] περίβλεπτον.

Περιορᾶσθαι: [r] Καραδοκεῖν, ἀποθεωρεῖν, περισκέπτεσθαι, φροντίζειν. [s] Θουκυδίδης,

Καὶ τοὺς Μεγαρέας [t] περιορωμένους τὸν πόλεμον,

λέγει. Καὶ,

Ὁ Βρασίδας τῆς [u] μάχης περιορώμενος.

Οἱ δὲ πρὸς τῷ [x] ποταμῷ κατέμειναν περιορώμενοι τὸ γενησόμενον.

Τουτέστι, καραδοκοῦντες, προσδοκῶντες.

Περιοργής: [y] Ὠργισμένος.

Ὁ δὲ Καῖσαρ περιοργὴς ἐπὶ τούτοις γενόμενος, ἐκίνει τὸ στράτευμα.

Περιορίσαι: Περινοῆσαι.

Περιορισθῆναι: Γνωρισθῆναι· ἢ ὑπὸ ὅρον γενέσθαι.

Περιορισμός: Ἐξορισμός.

Περιορῶ: Αἰτιατικῇ.

Περιουσία: Ἡ περιττὴ οὐσία· οὐσία δὲ, ἡ σύμμετρος. [z] Ἐκ περιουσίας [a] δὲ τοῦ ἀναγκαίου διαφέρει. Ἀναγκαῖα μὲν οὖν [b] εἰσιν, ὧν χωρὶς ἀδύνατον εἶναι· Ἐκ περιουσίας δὲ, ὧν ἡ παρουσία οὐκ οὖσα ἀναγκαία, καὶ, ὡς Ἀριστοτέλης λέγει, ὅταν ὑπαρχόντων τῶν ἀναγκαίων, ἄλλα τινὰ προσκατασκευάζηται τῶν καλῶν. Οἷον, τὸ μὲν ζῆν ἀναγκαῖον· ἐκ περιουσίας δὲ, τὸ εὖ ζῆν. Τῇ γὰρ τοῦ εὖ παρουσίᾳ, οὐκ οὔσῃ πρὸς τὸ εἶναι ἀναγκαίᾳ, ἐπικοσμεῖται τὸ ζῆν, [c] ἀναγκαῖον ὄν.



Περιουσίας: Πλήθους, πλούτου.

Περιουσιασμός: Πλῆθος, ὕπαρξις φυσική.

Περιούσιος λαός: Ὁ ἔγκτητος.

[d] Καὶ Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ.

Ἀντὶ τοῦ, εἰς κτῆμα, καὶ εἰς κτῆσιν. Οὐσίαν γὰρ, τὴν ὕπαρξιν.

Περιοχή: Περιπέτεια, καὶ ὑπόθεσις, θλῖψις, συνοχή. [e] Καὶ ὁ Δαβίδ·

Ἐν πόλει περιοχῆς.

Τουτέστι [f] περιβόλῳ.

Περιόψεται: [g] Περιίδῃ, καταφρονήσει.

Περιωδυνίαν: Ἀλγηδόνα, καὶ περιττὴν ὀδύνην.

Περιωπή: Ἀκρώρεια, ὑψηλὸς τόπος.

Περιωπὴ, καὶ [h] πίσυνοι, καὶ [i] πύστεις. Πάντα ταῦτα γλωττώδη παρὰ Θουκυδίδῃ. [j] Καλεῖ δὲ περιωπὴν, τὴν φροντίδα καὶ τὴν περίσκεψιν, οὐ τὸν τόπον, ὡς Ὅμηρος. Καὶ [k] Ἀγαθίας δὲ τὴν περίσκεψιν λέγει·

Ὁ δὲ Ναρσῆς ᾔσθετο ἐς ὑπερβολήν τι δαιμόνιον, ἐν περιωπῇ τοῦ πεδίου.

Τουτέστιν, ἐν περισκέψει. Καὶ [l] Σιμόκατος·

Καὶ οὖν ἄττουσι πρὸς τὰ ὑψηλὰ, καὶ περισκοποῦσιν ἔκ τινος μεγίστης περιωπῆς, καὶ τὸ πολέμιον ἀφανές.

Περιωρίσθαι:

Περιώσας: Ὠθήσας.

Περιώσιον:

Περιπαθῶς: Συμπαθῶς, λυπηρῶς. [m] Πολύβιος·

Μήθ' ἑαυτὸν ῥίψαι κατὰ κρημνοῦ περιπαθὴς γενόμενος.

Περὶ παντὸς ἐποιεῖτο: Ἀντὶ τοῦ, ἔσπευδεν.

[n] Ὁ δὲ Κῦρος τοὺς δικαίους περὶ παντὸς ἐποιεῖτο πλουσίους ποιεῖν.

Περιπαρῆναι: Περικεντηθῆναι.

Οἱ δὲ Ῥωμαῖοι κοντοὺς ἔπηξαν ὑποβρυχίους, ὥστε τὰ σκάφη τῶν βαρβάρων [o] ἐλθόντα περιπαρῆναι.

---

ΠΕΡΙ ΤΗΣ ἘΝ ΔΕΛΦΟΙΣ ΣΚΙΑΣ: Δημοσθ.] Ex Harpocratione. KUST.

ib. ΠΕΡΙ ΤΗΣ] Vel series monstrat literarum hæc omnia pertinere ad ista περὶ ὄνου σκιᾶς. VALCK.

[p] Ἀγαθίας] Lib. I. p. 24. KUST.

[q] περίβλεπτον om. Photius.

ΠΕΡΙΟΡΑΣΘΑΙ] Vide Phot. Bibl. p. 1069. TOUP.

[r] Καραδοκεῖν] περιβλέπειν addit V. qui mox ἐρισκέπτεσθαι.

[s] Θουκυδίδης] IV. 73. et IV. 124.

[t] περιορωμένους τὸν πόλεμον] περιορωμένους ποτέρων ἔσται ἡ νίκη· καὶ πάλιν (II. 43. ?) περιορωμένους τὸν πόλεμον λέγει. Photius.

[u] μάχης] Μένδης Photius.

[x] ποταμῷ] ποτῷ V.

[y] Ὀργισθεὶς V.

ΠΕΡΙΟΡΩ] Om. V. A. in marg.

[z] ἘΚ ΠΕΡΙΟΥΣΙΑΣ γὰρ ΤΟΥ ἈΝΑΓΚΑΙΟΥ διαφ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Alexandri Aphrod. in Topica Aristotelis p. 134. quæ etiam leguntur supra v. Ἐκ περιουσίας. KUST.

[a] γὰρ] δὲ A.V.E.

[b] εἰσιν] ἐστιν V.

[c] ἀναγκαῖον ὄν] ὂν om. A.V.

ΠΕΡΙΟΥΣΙΟΣ ΛΑΟΣ] Est phrasis τοῖς LXX familiaris: ut Exod. XIX. Deuteron. VII. et alibi. KUST.

[d] Καὶ Ἰσραὴλ εἰς περιουσιασμὸν ἑαυτῷ] Psalm. CXXXIV. 4. KUST.

[e] Καὶ ὁ Δαβὶδ ἐν πόλει περιοχῆς] 2 Reg. XXIII. 14. Καὶ Δαβὶδ ἦν τότε ἐν τῇ περιοχῇ. Hunc locum Suidas in animo habuisse videtur. KUST. Immo vero sunt verba Davidis ex Ps. XXX. 32. ubi et Theodoretus explicat ἐν περιβόλῳ. ERNEST.

[f] περιβόλῳ] περικόμῳ V.

[g] Περιίδῃ] περιίδῃ A.V. παρίδῃ Photius, Lex. Seg.

ΠΕΡΙΩΠΗ] Anthol. Agath. 50. REINES. Vid. Schol. Il. ξ. 8. Schol. Gregor. Naz. Stelit. p. 1. Hemsterhus. Lucian. Contempl. c. 2.

[h] ΠΙΣΥΝΟΙ Thucyd. II. 89. V. 14. πισύνη Photius, qui mox πύστις.

[i] ΠΥΣΤΑΙΣ] Portus recte monuit, legendum esse πύστεις; a recto singulari πύστις. Ea enim voce Thucydides aliquoties usus est: ut lib. I. c. 5. Καὶ οἱ παλαιοὶ τῶν ποιητῶν τὰς πύστεις τῶν καταπλεόντων πανταχοῦ ὁμοίως ἐρωτῶντες, &c. KUST. πύστεις A.V.

[j] Καλεῖ δὲ ΠΕΡΙΩΠΗΝ τὴν φροντίδα] Hoc sensu vox περιωπὴ apud Thucydidem accipitur lib. IV. c. 86. KUST. Vid. ibi Wass. et Duker. p. 646.

[k] Ἀγαθίας] Lib. I. p. 33. KUST.

[l] Σιμόκατος] Lib. II. c. 5. in fine. KUST. Σιμοκρα^τ V.

ΠΕΡΙΩΣΙΟΝ] Jamblich. Vit. Pythag. I. 15. de Pythagora, ἀνὴρ περιώσια εἰδώς.

[m] Πολύβιος] Libro VIII. c. 15. KUST.

[n] Ὁ δὲ Κῦρος] Vid. Xenoph. Anab. I. 9, 16.

[o] ἐλθόντα] ἐλθόντες V. Post h. gl. delevi ΠΕΡΙΠΕΖΙΑΣ: Περιπτῆς, ἐπιβατῆς, καταληπτῆς, cum A.B.V.E. Huc accessit ex Zonara.

[f]Περιπλακῆναι, καλὸν εἰς ὄναρ τόδε.
Εὔχρηστον ἀνδρὶ συμπλακῆναι φιλτάτῃ·
πᾶσαί τε μίξεις πρόξενοι μακρῶν [g]πόθων.

Περιπλεγνύμενος, καὶ φιλῶν. Ἀντὶ τοῦ, περιπλεκόμενος.]

Περίπλεων: Πλήρη. Καὶ [h]περίπλεως.

Περιπλεῖν καὶ διεκπλεῖν διαφέρει παρὰ Θουκυδίδῃ. [i]Τὸ μὲν γὰρ περιπλεῖν, ἐν τῇ εὐρυχωρίᾳ καθίστασθαι, οἷον χορευούσης καὶ ἀναστρεφομένης ἐφ' ὅπερ βούλεται τῆς νεώς. Καὶ ἡ περὶ πρόθεσις αὐτὸ τοῦτο δηλοῖ, τὸ ἐν κύκλῳ περιθέειν. Τὸ δὲ διεκπλεῖν, τὸ τεμόντα τὴν τάξιν τῶν ἐναντίων εἰς τοὐπίσω γενέσθαι.

Περιπλείονος: Ἐπίρρημα. Καὶ περιπλείστου.

[k]Περιπλείστου τὰς τρίχας ποιούμενος, [l]ὡς ἐναλείφειν τε αὐτὰς, καὶ διατιθέναι κατὰ βοστρύχους.

Περὶ πλήθουσαν ἀγοράν: Περὶ ὥραν τετάρτην, C ἢ πέμπτην, [m]καὶ ἕκτην. Τότε γὰρ μάλιστα [n]πλήθει ἡ ἀγορά.

Πεδίον ἦν ἀχανές· ἔνθα περὶ πλήθουσαν ἀγορὰν ἠγείραντο μέν τινες καὶ πρότερον θόρυβοι τῶν πολεμίων, ἐπιφερόμενοι ἄριστον αἱρουμένοις.

Περιπνευμονία: Πάθος τι.

[Περιπνέω:

Λεπτὴ δέ τις αὔρα περιέπνει τούτους.]

D

Περὶ πόδα: Οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσί. Πλάτων·

Ὡς ἐστί μοι τὸ χρῆμα τοῦτο περὶ πόδα.

Καὶ ἐν Σκευαῖς,

Καὶ τοὺς τρόπους ἁρμόττον ([o]ὥσπερ) περὶ πόδα.

Περίπολος: Ἀριστοτέλης ἐν τῇ [p]Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων [q]οὕτως φησί·

E

Τὸν δεύτερον ἐνιαυτὸν, ἐκκλησίας ἐν τῷ θεάτρῳ [r]γινομένης, λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου, περιπολοῦσι τὴν χώραν, καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις.

A Παρατηρητέον δὲ, ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους· ὁ δὲ Αἰσχίνης, δύο.

Περὶ πολλοῦ ποιοῦ: Τίμα, θεράπευε.

Περιπόλους: Τοὺς φύλακας, ἢ ζητητάς. Ἀπὸ τοῦ περιπολεῖν. [s]Ἀριστοφάνης Ὄρνισιν·

Οὐκοῦν δῆτα περιπόλους ἐχρῆν
πέμψαι;

B [t]Τὸ δὲ ἑξῆς, Οὐκ ἐχρῆν περιπόλους πέμψαι; [u]Θουκυδίδης·

Οἱ [illegible] καὶ οἱ περίπολοι ἐνήδρευσαν.

Περιπόλων: Φυλάκων, ζητητῶν.

Τῶν δὲ περιπόλων τις περιθέων ἀποβάλλει χαλκῆν ἀσπίδα ὕπερθεν τοῦ ὀρύγματος. Ἡ δὲ [x]οὖσα μὲν πλατεῖα, ἀλλὰ κυρτὴ, οὐ στερεὸν [y]ἐκτύπησεν, ἀλλὰ [z]κοῖλον καὶ διάσαυλον.

[a]Τάχα διάκενον.

C Περιπολῶν: Περιτρέχων.

[b]Ὁ [illegible] σταυρὸς προηγεῖτο τοῦ βασιλέως, καὶ τῆς περιπόλου δυνάμεως.

Φησὶ Σιμόκαττος.

Περίπτερα: [c]Ἀποσπινθηρισμοί.

Περίπτερον: Πανταχόθεν ἐξέχον.

Περιπτώσεις: Συμφοράς.

Περιπτύσσεται: Αἰτιατικῇ. Περιβάλλεται.

D [d]Εἶτα τὴν Θεοδοσίου πόλιν περιπτύσσεται, καὶ ἀναμίγνυται τοῖς περὶ Φιλιππικόν.

Περιπτυχής: Περικεκυλισμένος.

[e]Κεῖται κρυφαίῳ φασγάνῳ περιπτυχής.

Περὶ τοῦ Αἴαντός φησι.

Περιποιήσει: Κτήσεται. Καὶ, Περιποιουμένους τῆς σωτηρίας τῶν παίδων: [f]Περιποιουμένους, ἀντὶ τοῦ, φροντίζοντας, κηδομένους. Διονύσιος ὁ Ἁλικαρνασσεύς. E

Περιποίησιν: Κτῆσιν.

Περιποιοῦμαι: Αἰτιατικῇ.]

[f] Περιπλακῆναι, καλ.] Hic, et duo sequentes senarii ad somniorum interpretationem pertinent; quorum duo posteriores apud Astrampsychum quoque leguntur. KUST. Μητρὶ πλ. V. D. in Obs. Misc. IX. p. 155.

F [g] πόθων] Astrampsychus habet πόνων. Utrum melius, somniorum conjectores dicant. KUST.

ΠΕΡΙΠΛΕΩΝ] Περίπλεων Photius.

[h] ΠΕΡΙΠΛΕΩΝ] περίπλεως A.B.V.E.

ΠΕΡΙΠΛΕΙΝ καὶ ΔΙΕΚΠΛΕΙΝ διαφέρει παρὰ Θουκ.] Ex Schol. Thucyd. ad lib. VII. c. 36. KUST.

[i] Τὸ μὲν] μὲν om. V. qui mox καθίστασθαι.

ΠΕΡΙΠΛΕΙΟΝΟΣ—ΠΕΡΙΠΛΕΙΣΤΟΥ om. A.V. Tum Περὶ πλείστου A. divisim.

G [k] Περὶ πλείστου τὰς τρίχας ποιούμενος, ὡς ἐναλ.] Hæc sunt verba Synesii in Encom. Calvit. p. 85. unde sensus hujus loci supplendus est. Confer etiam Nostrum supra v. Βόστρυχοι. KUST.

[l] ὡς om. A.B.V.E.M. Tum ἀλείφειν E.

ΠΕΡΙ ΠΛΗΘΟΥΣΑΝ 'Α.] Vid. Duker. ad Thucyd. VIII. 92.

[m] καὶ ἕκτην] ἢ καὶ ἕ. Lex. Seg.

[n] πλήθει] πληθύει Photius, Lex. Seg.

ΠΕΡΙΠΝΕΩ] Deest gl. A.V.

H ΠΕΡΙ ΠΟΔΑ: Οἷον ἁρμόττ.] Vide Casaub. ad Charact. Theophr. p. 139. KUST.

[o] ὡς περὶ] Sic omnes Suidæ libri cum Photii ms. ὥσπερ περὶ Piersonus ad Mœrin p. 22.

ΠΕΡΙΠΟΛΟΣ: Ἀριστοτέλης ἐν τῇ 'Αθ.] Ex Harpocratione: ad quem vide Maussacum, qui locum hunc fuse explicat. Confer etiam Petitum ad Leges Attic. p. 547. et Nostrum infra v. Τερθρεία. KUST.

[p] τῶν Ἀθηναίων] τῶν om. A.V.E. Phot.

[q] οὕτω] λέγων οὕτω A.B.V.E. Phot.

[r] γενομένης] γινομένης Phot. A. Mox περὶ A. pro παρά.

[s] Ἀριστοφάνης Ὄρνισι] Ver. 1177.

[t] Τὸ] τὸ [illegible] A.

[u] Θουκυδίδης] IV. 67. οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς τε καὶ περίπολοι ἐσέδραμον. In exemp. post οἱ δὲ lacuna in E.M.

[x] οὖσα μὲν πλ.] Excidit hic particula negativa οὐ. Scribendum enim esse, οὐκ οὖσα μὲν πλατεῖα, &c. sensus clamat. KUST. Leg. οὖσα μὴ πλ. HEMST.

[y] ἐνεκτύπησεν] ἐκτύπησεν A.V.

[z] κοῖλον] Scribe, ἀλλὰ κοῖλον. KUST. Leg. κοῖλον δέ. HEMST. ἀλλὰ κοιλὸν A.B.V.E.

[a] Τάχα, διάκενον] Hæc emendatio certa est. Τὸ διάσαυλον enim post κοῖλον stare non potest. KUST.

[b] Ὁ [illegible] σταυρὸς προηγ.] Fragmentum hoc legitur apud Theophyl. Simoc. lib. V. c. 16. in fine. KUST.

[c] Οἱ ἀποσπινθηρισμοί] οἱ om. A.B.E. Photius. Lex. Seg. ἀποσπινθηρισμένοι B.

ΠΕΡΙΠΤΕΡΟΝ] Amos III. 15. οἶκον τὸν περίπτερον. Quo respexit forte Suidas. Vide Hesych. et Etymol. M. v. Γεῖσα: τὸ καλούμενον νῦν περίπτερον, τὸ ἄκρον τῆς ὀροφῆς. TOUP.

[d] Εἶτα τὴν Θεοδοσίου π.] Et hoc fragmentum legitur apud Simocattam lib. II. c. 10. KUST.

[e] Κεῖται κρυφαίῳ φασγ.] Senarius hic est Sophoclis in Aj. 899. p. 53. ut Portus monuit. KUST. κρυφαίῳ V.

[f] Περιποιουμένους addidi ex A.V.

[f] Περιπλακῆναι, καλὸν εἰς ὄναρ τόδε.
Εὔχρηστον ἀνδρὶ συμπλακῆναι φιλτάτῳ·
πᾶσαί τε μίξεις πρόξενοι μακρῶν [g] πόθων.

Περιπλεγνύμενος, καὶ φιλῶν. Ἀντὶ τοῦ, περιπλεκόμενος.]

Περίπλεων: Πλήρη. Καὶ [h] περίπλεως.

Περιπλεῖν καὶ διεκπλεῖν διαφέρει παρὰ Θουκυδίδῃ. [i] Τὸ μὲν γὰρ περιπλεῖν, ἐν τῇ εὐρυχωρίᾳ καθίστασθαι, οἷον χορευούσης καὶ ἀναστρεφομένης ἐφ' ὅπερ βούλεται τῆς νεώς. Καὶ ἡ περὶ πρόθεσις αὐτὸ τοῦτο δηλοῖ, τὸ ἐν κύκλῳ περιθέειν. Τὸ δὲ διεκπλεῖν, τὸ τεμόντα τὴν τάξιν τῶν ἐναντίων εἰς τοὐπίσω γενέσθαι.

Περιπλείονος: Ἐπίρρημα. Καὶ περιπλείστου.

[k] Περιπλείστου τὰς τρίχας ποιούμενος, [l] ὡς ἐναλείφειν τε αὐτὰς, καὶ διατιθέναι κατὰ βοστρύχους.

Περὶ πλήθουσαν ἀγοράν: Περὶ ὥραν τετάρτην, ἢ πέμπτην, [m] καὶ ἕκτην. Τότε γὰρ μάλιστα [n] πλήθει ἡ ἀγορά.

Πεδίον ἦν ἀχανές· ἔνθα περὶ πλήθουσαν ἀγορὰν ἠγείροντο μέν τινες καὶ πρότερον θόρυβοι τῶν πολεμίων, ἐκφερόμενοι ἄριστον αἱρουμένους.

Περιπνευμονία: Πάθος τι.

[Περιπνέω:

Λεπτὴ δέ τις αὔρα περιέπνει τούτους.]

Περὶ πόδα: Οἷον ἁρμόττον σφόδρα, ὡς τὰ ὑποδήματα τοῖς ποσί. Πλάτων·

Ὡς ἐστί μοι τὸ χρῆμα τοῦτο περὶ πόδα.

Καὶ ἐν Σκευαῖς,

Καὶ τοῖς τρόποις ἁρμόττον ([o] ὥσπερ) περὶ πόδα.

Περίπολος: Ἀριστοτέλης ἐν τῇ [p] Ἀθηναίων πολιτείᾳ περὶ τῶν ἐφήβων λέγων [q] οὕτως φησί·

Τὸν δεύτερον ἐνιαυτὸν, ἐκκλησίας ἐν τῷ θεάτρῳ [r] γινομένης, λαβόντες ἀσπίδα καὶ δόρυ παρὰ τοῦ δήμου, περιπολοῦσι τὴν χώραν, καὶ διατρίβουσιν ἐν τοῖς φυλακτηρίοις.

A Παρατηρητέον δὲ, ὅτι ὁ μὲν Ἀριστοτέλης ἕνα φησὶν ἐνιαυτὸν ἐν τοῖς περιπόλοις γίνεσθαι τοὺς ἐφήβους· ὁ δὲ Αἰσχίνης, δύο.

Περὶ πολλοῦ ποιοῦ: Τίμα, θεράπευε.

Περιπόλους: Τοὺς φύλακας, ἢ ζητητάς. Ἀπὸ τοῦ περιπολεῖν. [s] Ἀριστοφάνης Ὄρνισιν·

Οὔκουν δῆτα περιπόλους ἐχρῆν
πέμψαι;

B [t] Τὸ δὲ ἑξῆς, Οὐκ ἐχρῆν περιπόλους πέμψαι; [u] Θουκυδίδης·

Οἱ ■ καὶ οἱ περίπολοι ἐνέδρευσαν.

Περιπόλων: Φυλάκων, ζητητῶν.

Τῶν δὲ περιπόλων τις περμθίαν ἀποβάλλει χαλκῆν ἀσπίδα ὑπερθεν τοῦ ὀρύγματος. Ἡ δὲ [x] οὖσα μὲν πλατεῖα, ἀλλὰ κυρτὴ, οὐ στερεὸν [y] ἐκτύπησεν, ἀλλὰ [z] κοῖλον καὶ διάκοιλον.

[a] Τάχα διάκενον.

C Περιπολῶν: Περιτρέχων.

[b] Ὁ ■ σταυρὸς προηγεῖτο τοῦ βασιλέως, καὶ τῆς περιπόλου δυνάμεως.

Φησὶ Σιμόκατος.

Περίπτερα: [c] Ἀποσπινθηρισμοί.

Περίπτερον: Πανταχόθεν ἐξέχον.

Περιπτώσεις: Συμφοράς.

Περιπτύσσεται: Αἰτιατικῇ. Περιβάλλεται.

D [d] Εἶτα τὴν Θεοδοσίου πόλιν περιπτύσσεται, καὶ ἀναμίγνυται τοῖς περὶ Φιλιππικόν.

Περιπτυχής: Περικεκυλισμένος.

[e] Κεῖται κρυφαίῳ φασγάνῳ περιπτυχής.

Περὶ τοῦ Αἴαντός φησι.

Περιποιήσει: Κτήσεται. Καὶ, Περιποιουμένους τῆς σωτηρίας τῶν παίδων: [f] Περιποιουμένους, ἀντὶ τοῦ, φροντίζοντας, κηδομένους. Διονύσιος ὁ Ἁλικαρνασσεύς.

E Περιποίησιν: Κτῆσιν.

Περιποιοῦμαι: Αἰτιατικῇ.]

[f] Περιπλακῆναι, καλ.] Hic, et duo sequentes senarii ad somniorum interpretationem pertinent; quorum duo posteriores apud Astrampsychum quoque leguntur. KUST. Μητρὶ πλ. V. D. in Obs. Misc. IX. p. 155.

[g] πόθων] Astrampsychus habet πόνων. Utrum melius, somniorum conjectores dicant. KUST.

F ΠΕΡΙΠΛΕΩΝ] Περίπλεων Photius.

[h] ΠΕΡΙΠΛΕΩΝ] περίπλεως A.B.V.E.

ΠΕΡΙΠΛΕΙΝ καὶ ΔΙΕΚΠΛΕΙΝ διαφέρει παρὰ Θουκ.] Ex Schol. Thucyd. ad lib. VII. c. 36. KUST.

[i] Τὸ μὲν] μὲν om. V. qui mox καθίστασθαι.

ΠΕΡΙΠΛΕΙΟΝΟΣ—ΠΕΡΙΠΛΕΙΣΤΟΥ om. A.V. Tum Περὶ πλείστου A. divisim.

G [k] Περὶ πλείστου τὰς τρίχας ποιούμενος, ὡς ἐναλ.] Hæc sunt verba Synesii in Encom. Calvit. p. 85. unde sensus hujus loci supplendus est. Confer etiam Nostrum supra v. Βόστρυχος. KUST.

[l] ὡς om. A.B.V.E.M. Tum ἀλείφειν E.

ΠΕΡΙ ΠΛΗΘΟΥΣΑΝ Ἀ.] Vid. Duker. ad Thucyd. VIII. 92.

[m] καὶ ἕκτην] ἢ καὶ ἕ. Lex. Seg.

[n] πλήθει] πληθύει Photius, Lex. Seg.

ΠΕΡΙΠΝΕΩ] Deest gl. A.V.

H ΠΕΡΙ ΠΟΔΑ: Οἷον ἁρμόττ.] Vide Casaub. ad Charact. Theophr. p. 139. KUST.

[o] ὡς περὶ] Sic omnes Suidæ libri cum Photii ms. ὥσπερ περὶ Piersonus ad Mœrin p. 22.

ΠΕΡΙΠΟΛΟΣ: Ἀριστοτέλης ἐν τῇ Ἀθ.] Ex Harpocratione: ad quem vide Maussacum, qui locum hunc fuse explicat. Confer etiam Petitum ad Leges Attic. p. 547. et Nostrum infra v. Τερθρεία. KUST.

[p] τῶν Ἀθηναίων] τῶν om. A.V.E. Phot.

[q] οὕτω] λέγων οὕτω A.B.V.E. Phot.

[r] γενομένης] γινομένης Phot. A. Mox περὶ A. pro παρά.

[s] Ἀριστοφάνης Ὄρνισι] Ver. 1177.

[t] Τὸ] τὸ ■ A.

[u] Θουκυδίδης] IV. 67. οἱ περὶ τὸν Δημοσθένην Πλαταιῆς τε καὶ περίπολοι ἐνέδραμον. In exemp. post οἱ δὲ lacuna in E.M.

[x] οὖσα μὲν πλ.] Excidit hic particula negativa οὐ. Scribendum enim esse, οὐκ οὖσα μὲν πλατεῖα, &c. sensus clamat. KUST. Leg. οὖσα μὴ πλ. HEMST.

[y] ἐνεκτύπησεν] ἐκτύπησεν A.V.

[z] κοῖλον] Scribe, ἀλλὰ κοῖλον. KUST. Leg. κοῖλον δέ. HEMST. ἀλλὰ κοιλὸν A.B.V.E.

[a] Τάχα, διάκενον] Hæc emendatio certa est. Τὸ διάκοιλον enim post κοῖλον stare non potest. KUST.

[b] Ὁ ■ σταυρὸς προηγ.] Fragmentum hoc legitur apud Theophyl. Simoc. lib. V. c. 16. in fine. KUST.

[c] Οἱ ἀποσπινθηρισμοί] οἱ om. A.B.E. Photius. Lex. Seg. ἀποσπινθηρισμένοι B.

ΠΕΡΙΠΤΕΡΟΝ] Amos III. 15. οἶκον τὸν περίπτερον. Quo respexit forte Suidas. Vide Hesych. et Etymol. M. v. Γεῖσα: τὸ καλούμενον ὑπὸ περίπτερον, τὸ ἄκρον τῆς ὀροφῆς. TOUP.

[d] Εἶτα τὴν Θεοδοσίου π.] Et hoc fragmentum legitur apud Simocattam lib. II. c. 10. KUST.

[e] Κεῖται κρυφαίῳ φασγ.] Senarius hic est Sophoclis in Aj. 899. p. 53. ut Portus monuit. KUST. κορυφαίῳ V.

[f] Περιποιουμένους addidi ex A.V.

Θαυματοποιίαις ταῖς οὐδὲν ὠφελούσαις, ὑπὸ [illegible] τῶν ἀνοήτων [p]περιστάτοις γινομέναις.

Ἀντὶ τοῦ, περὶ ἃς κύκλῳ ἵστανται οἱ θεώμενοι.

Περιστέλλω: Αἰτιατικῇ.

Περιστένεται: [q]Περιτείνεται, στενοχωρεῖται.

Περίστενος: [r]Οὗτος δράκων καλεῖται.

[Περιστερὰς βλέπειν τε προξενεῖ βλάβην:]

Περιστεριδεῖς: Ὥσπερ ἀπὸ τοῦ Χαίριδος, Χαιριδεῖς· οὕτω καὶ ἀπὸ τῆς περιστερᾶς, περιστεριδεῖς.

Περιστεῖλαι: Περικαλύψαι.

Ὁ δὲ τὸ σῶμα τούτου περιστείλας πέπλοις σηρικοῖς, καὶ τεκτηνάμενος σῆμα, ἐν αὐτῷ κατέθετο.

Ὅσα ἡμαρτῆσθαι τοῖς γενομένοις ξυμβαίνει, περιστέλλειν τε, καὶ κρατύνεσθαι.

Ἀντὶ τοῦ, περικαλύπτειν.

Περιστείλας: Διαχειρισάμενος, περισφίγξας ἐν τῇ γῇ. Σοφοκλῆς·

Ἔπηξα δ' αὐτὸν εὖ περιστείλας ἐγώ.

Περιστεφανωσάντων: Κυκλωσάντων.

Περιστεφανωσάντων τοῖς [s]ὅπλοις τὸ τεῖχος.

Περιστίαρχος: Ὁ περικαθαίρων τὴν ἑστίαν, καὶ τὴν ἐκκλησίαν, καὶ τὴν πόλιν. Ἀπὸ τῆς ἑστίας· ἢ τοῦ περιστείχειν. [t]Ἴστρος δὲ ἐν τοῖς Ἀττικοῖς, περίστια, φησὶ, προσαγορεύεται τὰ καθάρσια· καὶ [illegible] τὰ ἱερὰ καθαίροντες, περιστίαρχοι· ἔξωθεν γὰρ [u]περιέρχονται, [x]μαχαιροφοροῦντος [y]ἑκάστου τῶν ἱερῶν, οἰκίαις

A [z]περιειλημμένοι δημοσίαις, καὶ περίδρομον ἔχοντες.

Περιστίαρχος: Ὁ τῶν καθαρσίων προηγούμενος ἐν ταῖς ἐκκλησίαις. Περίστια γὰρ, τὰ καθάρσια.

Περιστίξαι: Περικυκλῶσαι, περιελθεῖν, περιελάσαι. Ἀπὸ τοῦ [a]στίχου.

Περιστολή: Περιβολή, ἐπαγωγή.

Περίστωον: Περίστυλον, στοὰς ἔχον.

Περιστοιχίζεται: Δημοσθένης [b]ἐν Φιλιππι-

B κοῖς·

Μέλλοντας ἡμᾶς, φησὶ, καὶ καθημένους περιστοιχίζεται.

Ἐκ μεταφορᾶς τῶν κυνηγετῶν. [c]Κατὰ γὰρ τὰς ἐκδρομὰς τῶν θηρίων ὀρθὰ ξύλα ἱστᾶσιν, ἃ καλοῦσι [d]στοίχους, ἢ στίχους, καταπεταννύντες αὐτῶν δίκτυα, ἵνα [e]ἐὰν αὐτοὺς [f]ἐκφύγῃ τὰ θηρία, εἰς τὰ δίκτυα ἐμπέσῃ. Ἔνια μέντοι τῶν ἀντιγράφων, περιστοιχίζεται ἔχει· ἄλλα δὲ, [g]περισχοινίζεται.

C Περιστοιχίσαντος: Περιλαβόντος.

Περιστοίχων: [h]Δημοσθένης ἐν τῷ πρὸς Νικόστρατον·

Φυτευτήρια ἐλαῶν περιστοίχων κατέκλασε.

Δίδυμος δέ τι γένος ἐλαῶν περιστοίχους καλεῖ, ἃς Φιλόχορος στοιχάδας προσηγόρευσε. Μήποτε δὲ νῦν ὁ ῥήτωρ περιστοίχους κέκληκε, [i]τῶν κύκλῳ περὶ τὸ

D χωρίον ἐν στοίχῳ πεφυκότων.

Περισταλεῖ: Ἀφαιρεῖται.

[k]Ὁ [illegible] ἀποκτείνει αὐτοὺς, καὶ περιστελεῖ, ὅσα ἐπηγάγοντο. Ἦν

[p] περιστάτοις] περιστάταις A. Tum γενομέναις V.

ΠΕΡΙΣΤΕΝΕΤΑΙ] Homerus Il. π'. 163. Περιστένεται [illegible] τε γαστήρ. Scholiasta: Περιστένεται: Περιστενοχωρεῖται, περισσῶς στενοῦται. Confer etiam Etymologum v. Στένεται. KUST.

[q] Περιτείνεται] περιστείνεται A.

[r] Οὗτος] Οὕτω conj. Portus. Sic Hesychius, οὗτος Lex. Seg.

ΠΕΡΙΣΤΕΡΑΣ ΒΛΕΠΕΙΝ ΤΕ ΠΡΟΞ.] Sic etiam habet Astrampsychus. At contra Nicephorus: Περιστερὰν βλέπων τις μηνύει χαράν. KUST. Om. A. habet V. in marg.

ΠΕΡΙΣΤΕΡΙΔΕΙΣ: Ὥσπερ ἀπὸ τ.] Ex Schol. Aristoph. Acharn. 866.

ΠΕΡΙΣΤΕΙΛΑΙ] Menander hist. p. 91. Polyb. p. 203. 573. TOUP.

ΠΕΡΙΣΤΕΙΛΑΣ: Διαχειρισ.] Ex Schol. Sophocl. Aj. 832. KUST.

ib. Themist. p. 343. Hard. TOUP.

[s] ὅπλοις] ὄχλοις A.

ΠΕΡΙΣΤΙΑΡΧΟΣ] Potius περιεστίαρχος, ut habet Mich. Apostolius Centur. XVI. 1. Composita enim est hæc vox ex περὶ, et ἑστίαρχος: ut vel ex Polluce patet, qui ἑστιάρχους appellat, quos Suidas et alii Grammatici περιστιάρχους vocant. KUST. Jungerm. et Kuhn. ad Polluc. VIII. 104. HEMST. Nihil mutandum ex serie literarum et Aristophane monet Bos.

[t] Ἴστρος] Ister ἐν Ἀττικαῖς λέξεσι adducitur ab Eustathio ad Od. ί. p. 1627, 15. ἐν τῇ τεσσαρεσκαιδεκάτῃ τῶν Ἀττικῶν ab Athenæo XIII. p. 557. A. HEMST.

[u] περιέρχονται] περιέχονται B.E.M.

[x] μαχαιροφοροῦντος] Photius in Lexico ms. habet, χοιροφοροῦντες, quæ vera lectio est. Solebant enim olim conciones, fora, theatra, aliaque loca publica, porcellis, quos χοιρίδια Græci vocant, lustrari; ut Grammatici docent. Schol. Aristoph. Acharn. 44. Ὅτι καθαίρονται οἱ ἐν τῇ ἐκκλησίᾳ χοίρῳ σφαζομένῳ. Καὶ ὁ ῥήτωρ φησίν· Ἐπειδὰν τὸ καθάρσιον περιενεχθῇ, καὶ ὁ κῆρυξ τὰς πατρίους εὔξηται, τότε δὴ κελεύει δημηγορεῖν. Τὸ [illegible] θυόμενον χοιρίδιον ἐπὶ καθάρσει τῶν τόπων κάθαρμα ἐκαλεῖτο. Ὁ [illegible] περικαθαίρων, καθαρτής. Hesychius: Κάθαρμα, τὸ χοιρίδιον, ᾧ τὴν ἑστίαν ἐκάθαιρον ἐν ταῖς ἐκκλησίαις. Ὁ [illegible] ἐπιτελῶν δημοσίως, περιστίαρχος ἐλέγετο. Confer eundem v. Ἀφροδισία. Pollux lib. VIII. c. 9. Οἱ ἑστίαρχοι ἐκάθαιρον χοιριδίοις μικροῖς τὴν ἐκκλησίαν, καὶ τὸ θέατρον. Καθάρσιον δὲ τοῦτο καὶ χοιρίδιον ἐκαλεῖτο. Apud Pollucem hodie male legitur, χειριδίοις, et χειρίδιον. Confer

E Nostrum supra v. Καθάρσιον, ubi idem clare traditur. KUST.

[y] ἑκάστου τῶν ἱερῶν] Lege ἐκ. τῶν ἱερῶν στοαῖς, vel αἱμασίαις, περιειλημμένου δ. καὶ π. ἔχοντες. vel pro οἰκίαις, ὁρίοις. HEMST.

[z] περιειλημμένοι] περιειλημμένοι Photius.

ΠΕΡΙΣΤΙΑΡΧΟΣ: Ὁ τῶν καθαρσίων πρ.] Eadem habet Schol. Aristoph. Eccles. 128. KUST.

ΠΕΡΙΣΤΙΞΑΙ] Malim, περιστεῖξαι, a περιστείχω. KUST.

[a] στίχου] στίχους Photius, Lex. Seg.

F ΠΕΡΙΣΤΟΛΗ] Dionys. Hal. p. 152. TOUP.

ΠΕΡΙΣΤΟΙΧΙΖΕΤΑΙ: Δημοσθένης Φιλιππ.] Ex Harpocratione. Etymologus: Περιστοιχίζεται. Δημοσθένης ἐν δευτέρῳ Φιλιππικῶν. Ἔστι δὲ οἷον αἱρεῖ, λαμβάνει. Ἀπὸ μεταφορᾶς τῶν κυνηγῶν, οἵτινες στοίχους περιβάλλουσι τοῖς ὄρεσι. Στοῖχοι δέ εἰσιν αἱ λεγόμεναι στάλικες, ἀφ' ὧν τὰ δίκτυα καθίεται. Ταύτας οὖν περιβάλλοντες, αἱροῦσι τὰ θηρία. KUST. Photius Ep. p. 350. συμφοραῖς ἀφύκτοις περιστοιχηθέντες. Lege, περιστοιχισθέντες. Appian. p. 571. TOUP. Conf. notata ad

G Aristænetum p. 348. ed. Boissonad.

[b] ἐν Φιλιππικοῖς] ἐ Φιλιππικῶν E. Demosth. p. 43, 1.

[c] Κατὰ γὰρ] καὶ γὰρ B.E.M.

[d] στίχους ἤγουν στοίχους] στοίχους ἢ στίχους A.V. Photii ms. Harpocr. ms. Pal. στ. ἤγουν στίχους B.M.

[e] εἰ αὐτοὺς] ἐὰν αὐτοὺς A. Phot. Harpocr. ms. Pal. ἑαυτοὺς B.V.E.

[f] ἐκφύγῃ] ἐκφυγόντα E.

[g] ΠΕΡΙΣΧΟΙΝΙΖΕΤΑΙ] περιστοιχίζεται A.

ΠΕΡΙΣΤΟΙΧΩΝ: Δημοσθ.] Ex Harpocratione. KUST.

H Περιστοίχων A.V. Phot. Harpocr. ms. Pal. et in exemplo.

[h] Δημοσθένης ἐν τῷ πρὸς Νικόστρ.] Pag. 725. KUST. P. 1251, 23.

[i] τῶν κύκλῳ π.] Potius, τοὺς κύκλῳ περὶ τὸ χωρίον ἐν στοίχῳ πεφυκότας. KUST.

[k] Ὁ δὲ ἀποκτείνει αὐτοὺς] Hæc sunt verba Æliani, ut nos docet Suidas supra, v. Οὐδαμῇ. TOUP.

ὁ κόσμος, καὶ σκευὴ περὶ τὴν τέχνην τὴν ἑκατέρου, οὐδαμῇ εἰκαταφρόνητα.

[Περισφίγγω: Αἰτιατικῇ.]

Περισφύριον:

> [l] Καὶ τὸ [m] δίθυρσον
> τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον.

Περισχέσθαι: Ἀγαπῆσαι.

Περισχών: Κατασχὼν, [n] περιβαλών.

Περιτελλομένων: Περιερχομένων.

Περιτέμνω: Αἰτιατικῇ.

Περιτετεύξεται: [o] Συντύχῃ, περιπεσεῖται.

Περιτεχνᾶσθαι: Δολιεύεσθαι, κακὰ μηχανᾶσθαι.

Τὴν γὰρ διάνοιαν αὐτοῦ σαφῶς εἰδότες, καὶ περιτεχνᾶσθαί τι [p] τοιοῦτον νομίσαντες, οὐχ οἷς ἐκεῖνος εἶπε προσέσχον, ἀλλ' οἷς αὐτοὶ ὑπώπτευον.

Περίτιος μήν: Ὁ Φεβρουάριος κατὰ Μακεδόνας.

Περιτιθῶ: Αἰτιατικῇ.

Περιτομή: [q] Ἡ περιτομὴ τοῖς Ἰουδαίοις διὰ τρεῖς αἰτίας ἐδόθη· ὥστε σημεῖον εἶναι πίστεως, καὶ τοῦ Ἀβραμιαίου γένους δηλωτικὸν, καὶ σύμβολον, καὶ αἴνιγμα πολιτείας καθαρᾶς καὶ σώφρονος. Ὥστε οὐχ ὡς δικαιοσύνης ποιητικὴ ἐδόθη, ἀλλὰ σφραγὶς καὶ σημεῖον τῆς ἐκ πίστεως δικαιοσύνης τοῦ Ἀβραάμ.

Περιττός: Ἀντὶ τοῦ, πολύς.

[r] Σαλούστιος, ὁ τῆς αὐλῆς ἔπαρχος, ἀνὴρ ἦν διαφερόντως [s] περιττὸς εἰς φιλανθρωπίαν.

Περιττότερα: Μείζονα.

Τὰ δὲ λεγόμενα χρυσᾶ μῆλα τῶν Ἑσπερίδων, οὐ χρυσᾶ ἦσαν, ἀλλὰ περιττότερα τῶν ἄλλων.

Περιτράγῃ: [t] Περικόψῃ, περιφάγῃ. Ἀντὶ τοῦ, A κλέψῃ. [u] Ἀριστοφάνης·

> [x] κἂν τὤχλῳ φυλάττεσθαι σφόδρα,
> μή τις [y] λαθών σου περιτράγῃ τὰ χρυσία.

Περιτρέπω: Αἰτιατικῇ.

Περιτροπῇ: Ἐν περιόδῳ.

[z] Τῆς νυκτὸς τὸν καιρὸν, εἰς ὃν τοῖς Ἰσαύροις ἡ φυλακὴ τοῦ τείχους, ἔπεσεν [a] ἐκ περιτροπῆς τῶν ἄλλων αἱρουμένων, [b] ἐπέβαλε.

[Περιτροπέων: Ἀπερίτροπος λέγεται, ὁ ἀνεπί- B στροφος.

Οὔτε γὰρ Ἀγαμεμνονίδης παῖς [c] ἀνεπίστροφος, οὔθ' ὁ παρὰ τὸν Ἀχέροντα θεὸς ἀνάσσων.

Ἀπὸ κοινοῦ, [d] ἀνεπίστροφος τοῦ τοὺς ἐχθροὺς μετελθεῖν, ἀλλ' ἔχει ἐπιστροφὴν, καὶ [e] ἐπιμέλειαν ποιεῖται. Ἢ [f] ἀνεπέλευστος· ἔνθεν καὶ τὸ

[g] Περιτροπέων ἐνιαυτός.]

Περιοίκιον: Ἰσαῖος ἐν τῷ πρὸς Μενεκράτην·

C Καὶ τὸ περιοίκιον καὶ τὴν οἰκίαν.

Μήποτε ὃ ἡμεῖς λέγομεν ἐποίκιον.

[Περίοικοι καὶ Ἀμφικτύονες: Ζήτει ἐν τῷ Ἀμφικτύονες.]

Περίοικος: Ὁ περὶ τὴν οἰκίαν, ἢ τὴν ἔπαυλιν τόπος.

Περιοίσειν: Τὸ περιέσεσθαι, καὶ ἀνθέξειν. [h] Θουκυδίδης ζ΄. [i] Σημαίνει καὶ τὸ ἀνοίσειν ἐκ τῆς νόσου.

D Περιοιστικός: Φορητός.

Περιφάνεια: [Οἷον λαμπρότης.]

Περίφασις: [k] Πολύβιος·

Ἐκέλευσε διασαφεῖν αὐτῷ πάντα τὰ γινόμενα διὰ τῶν πυρσῶν ἐπὶ τὸ Τίσαιον. Ἔστι δὲ τῆς Θετταλίας ὄρος, εὐφυῶς κείμενον πρὸς τὰς τῶν προειρημένων τόπων [kk] περιφάσεις.

Περιφερές: Κύκλῳ στρογγύλον.

E Περιφορά: [l] Κίνησις.

ΠΕΡΙΣΦΙΓΓΩ] Plutarch. de Fluv. p. 8. TOUP. Deest gl. A.V.

[l] Καὶ τὸ διθύριον τοῦτο τὸ λογχ.] Anthol. Καὶ τὸ δίθυρσον Τοῦτο τὸ λογχωτὸν, καὶ τὸ περισφύριον. Sic etiam apud Suidam scribendum est. KUST. περισφύριον M.

[m] διθύριον] διθύριον A.V.E. i. e. δίθυρσον. Anthol. Pal. VI. 172.

[n] περιβαλὼν] καταβαλὼν E.

[o] Συντύχοι] συντύχῃ A.V. Photius, Hesych.

F ΠΕΡΙΤΕΧΝΑΣΘΑΙ] Hinc περιτέχνησις Dion. Exc. Vales. p. 630. TOUP.

[p] τοῦτον] τοιοῦτον A.

ΠΕΡΙΤΙΟΣ] Vid. Sturz. de Dial. Maced. p. 49.

[q] Ἡ περιτομὴ τοῖς Ἰουδαίοις διὰ τρ.] Hæc sunt verba Œcumenii in c. IV. ad Romanos, p. 275. KUST.

[r] Σαλούστιος, ὁ τῆς αὐλ.] Vide infra v. Σαλούστιος, ubi locus hic auctior legitur. KUST.

G [s] περιττὸς] περισσὸς V. Plura v. Περιττὸς hoc sensu usurpatæ exempla congessit Rittersh. ad Porphyr. V. P. s. 18.

[t] Περικόψῃ] περικόψει A.V. et mox κλέψει.

[u] Ἀριστοφάνης] Ach. 256.

[x] Ἐν τ' ὄχλῳ] κἂν τὤχλῳ A.V.

[y] λαθὼν] Sic rectius ms. Paris. A. quam priores editt. [et V.E.] quæ habent, μαθών. KUST.

ΠΕΡΙΤΡΕΠΩ] A. in marg.

[z] Τῆς νυκτὸς τὸν καιρὸν, εἰς ὃν τοῖς Ἰσ.] Fragmentum hoc legitur apud Procopium lib. III. de Bello Goth. c. 20. KUST.

H [a] ἐκ περιτροπῆς] Joseph. c. Apion. p. 488. Aristid. I. p. 456. TOUP.

[b] ἐπέβαλε] Sic rescripsi ex Procopio. Ante enim minus recte legebatur, ἐνέβαλε. KUST. ἐνέβαλε E. ἐνέβαλλεν A.V.

ΠΕΡΙΤΡΟΠΕΩΝ: ἈΠΕΡΙΤΡΟΠΟΣ λέγ.] Tota hæc nota non solum confuse et negligenter descripta est ex Schol. Sophocl. Electr. 182. ut Portus etiam monuit: sed etiam male huc translata est, utpote quæ pertinet ad v. Ἀπερίτροπος. Vide supra h. v. ubi eadem leguntur. KUST. Gl. habet A. in marg. ἀπερίτρεπτος A.V.

[c] ἀνεπίστροφος] ἀπερίτροπος A.V.E.

[d] ἀνεπίστροφος] τὸ ἀνεπ. A.E.

[e] ἐπιμέλειαν] μεταμέλειαν V.

[f] ἀνεπέλευστον] ἀνεπέλευστος A.V.E.

[g] περιτροπέων] τὸ περιτροπέων A.V.E.

ΠΕΡΙΟΙΚΙΟΝ: Ἰσαῖος ἐν τῷ πρ.] Ex Harpocratione. KUST.

ΠΕΡΙΟΙΚΟΙ] A. in marg. ζήτει etc. om. V.

ΠΕΡΙΟΙΣΕΙΝ] Vid. Ψῶν. HEMST.

[h] Θουκυδίδης] VII. 28.

[i] Σημαίνει δὲ καὶ τὸ ἀνοίσειν ἐκ τ.] Hinc emenda Hesychium, apud quem mendose hodie legitur, Περιοίσει, ἀνήσει ἐκ τῆς νήσου. Scribe, Περιοίσει, ἀνοίσει ἐκ τῆς νόσου. KUST. σημαίνει δὲ om. A. δὲ om. V. Photius.

ΠΕΡΙΦΑΝΕΙΑ] Demosth. c. Onetor. p. 571. TOUP. οἷον λαμπρότης om. A.V. Hesychius: Περιφάνεια, λαμπρότης, δόξα.

[k] Πολύβιος· Ἐκέλευσε] Fragmentum hoc legitur apud Polybium, lib. X. p. 855. TOUP.

[kk] περιφάσεις] Sic habet ms. Paris. A. At priores editt. minus recte, ἐπιφάσεις. KUST. περιφάσεις E.

ΠΕΡΙΦΕΡΕΣ] An ita, Περιφερεία: κύκλῳ. Περιφερές: στρογγύλον? Hesychius suadet. ALBERT. Cum Suida concordat Photius.

[l] Κίνησις] Supple ex Hesychio, ἡ κατὰ κύκλον κίνησις. KUST.

Περιφόρητα: [l]Ἀκτά. [m]Ἡρόδοτος.

Περιφοριῶσθαι: Λυσίας·

Ἡ [n]τῶν ὀφθαλμῶν τὸν ἕτερον γλαυκότερον εἶναι, ἢ περιφορινῶσθαι.

Ἐπὶ τοῦ ἀποκεκλιμένου Εὐφορίων κέχρηται τῷ ὀνόματι. Εἰσὶ δέ τινες ὀφθαλμοὶ κεχαλασμένα τὰ βλέφαρα ἔχοντες, καὶ οἱονεὶ μύοντες. Ἐὰν δὲ γράφηται πεφορινῶσθαι, εἴη ἂν πεπαχύνθαι· ἀπὸ τῆς [o]φορίνης. Τάττουσι γὰρ ἐπὶ ἀνθρώπων τὴν φορίνην.

Περιφώσαντες: Σκεπάσαντες, πωμάσαντες.

Πλῆθος δὲ θηρίων ἀθροίσαντες ἱκανὸν, ἐς χύτρας καινὰς [p]ἐνέβαλον, καὶ περιφώσαντες αὐτὰς, εἶχον ἐν ἑτοίμῳ πρὸς τὴν χρείαν.

Περιφρονεῖν: Ὑπερφρονεῖν. [q]Ἀριστοφάνης δέ·

Περιφρόνει τὰ πράγματα·

Ἀντὶ τοῦ ἐρεύνα, ἀναζήτει. [r]Καὶ Σωκράτης ἔφη·

[s]Ἀεροβατῶ, καὶ περιφρονῶ τὸν ἥλιον.

Περίφρων: Περισσόφρων.

Περιφοιτῶντα: Περιερχόμενον.

Περιφύς: Περιπλακείς.

Περιχυθέντες: Δοτικῇ.

Περιχαίνω: Αἰτιατικῇ.

A [t]Οἷόν τι ποιοῦσιν αἱ κύνες, τοὺς λίθους, οἷς βάλλονται, περιχαίνοντες.

Περιχάρεια: Ἡ χαρά.

Περιχαρίαν: [tt]Περιττὴν χαράν.

[Περιχαίρω: Δοτικῇ.

Περιχάρηθι τῷ ἀγαθῷ.]

Περιχλαινίζεται: Περιβάλλεται.

Περιψεῖν: Ἐκμάσσειν, σπογγίζειν. [u]Ἀριστο-
B φάνης·

Ἰδού, δέχου κέρκον λαγὼ, ὥστε τὰς λήμας περιψεῖν.

Περίψημα: Κάταγμα· [x]ἢ ὑπὸ τὰ ἴχνη· ἢ [y]ἀπολύτρωσις. Οὕτως ἐπέλεγον [z]τῷ κατ' ἐνιαυτὸν .... συνέχοντι τῶν κακῶν·

Περίψημα ἡμῶν γενοῦ·

Ἤτοι σωτηρία καὶ ἀπολύτρωσις· καὶ [a]οὕτως ἐνέβαλλον τῇ θαλάσσῃ, ὡσανεὶ τῷ Ποσειδῶνι θυσίαν [b]ἀποτιν-
C νύντες.

Περκάζει: [c]Πεπαίνει, μελανίζει.

Περκνός: [d]Μέλας.

Περκώσιον: Τόπος. Καὶ Περκώτη, ὄνομα τόπου.

Περνᾶται: Πιπράσκεται. [e]Ἔνθεν καὶ πόρνη,

[l] Ἀκτά] Lege, περίακτα. KUST.

[m] Ἡρόδοτος] Lib. IV. c. 190. ubi Nomadum domos vocat οἰκήματα περιφορητά: ut Portus observavit. KUST. Vid. gl. ad Herodoti locum.

ΠΕΡΙΦΟΡΙΩΣΘΑΙ: Λυσ.] Ex Harpocratione. KUST.

[n] τῶν ὀφθαλμῶν] τὸν ὀφθαλμὸν E.M. Phot.

[o] φορίνης—φορίνην] Sic recte Harpocratio. At priores editt. [et A.V.E.] male φορένης et φορίνην. Vide Nostrum infra v. Φορίνη. KUST.

ΠΕΡΙΦΩΣΑΝΤΕΣ] Scribendum puto περιχώσαντες. Lectio enim vulgata procul dubio est spuria, quam Suidas ex corrupto aliquo codice excerpsisse videtur. Mendum enim hoc ipsi Suidæ imputandum esse, non vero librariis, series literarum arguit. KUST. Ad Annibalis strategema videtur pertinere, quo ad superandam Eumenis classem est usus. Vid. Nepot. Ann. 10. HEMST.

[p] ἐνέβαλον] ἐνέβαλλον A.V.

ΠΕΡΙΦΡΟΝΕΙΝ] Ælian. V. H. XII. 52. Plutarch. Alcib. p. 200 C. Agathias p. 55. περιφρόνουν τὰ πρότερον δοκηθέντα, et p. 141. Menand. Hist. p. 121. TOUP.

[q] Ἀριστοφάνης] Nub. 739.

[r] Καὶ Σωκράτης] Hæc et seqq. habet A. in marg. ubi add. ἵνα μὴ ἕλκῃ τὴν ἰκμάδ' ἐς τὰ κάρδαμα. et sic V.

[s] Ἀεροβατῶ, καὶ περιφρ.] Aristoph. Nub. 225.

ΠΕΡΙΧΥΘΕΝΤΕΣ] Hanc et seq. gl. habet A. in marg.

[t] Οἷόν τι ποιοῦσιν αἱ κύνες] Plato de Republ. lib. V. p. 469. edit. Serran. Ἢ οἴει τι διάφορον δρᾷν τοὺς τοῦτο ποιοῦντας τῶν κυνῶν, αἳ τοῖς λίθοις, οἷς ἂν βληθῶσι, χαλεπαίνουσι, τοῦ βάλλοντος οὐχ ἁπτόμεναι; *Num censes eos, qui hoc agunt, aliud facere quam canes facere solent, qui adversus jactos lapides excandescunt, cum vero qui jecerit ne attingunt quidem?* Quæ et totidem verbis leguntur apud Joan. Stobæum, p. 900. edit. Wechel. Ad hunc locum sine dubio referendus Suidas. Notanda autem locutio, τοὺς λίθους περιχαίνειν. Quod elegantissimum verbum Platoni restituendum esse puto. Est autem Περιχαίνειν, *hianti ore appetere, admordere, deglutire.* Quod ex Luciano et Aristotele notum. Phile de Animal. p. 208. Μάτην ΠΕΡΙΧΑΙΝΟΝΤΑΣ αὐτοὺς δεικνύει. Huc respexit Philosophus in Rhetoricis III. 4. Καὶ τὸ ἐν τῇ Πολιτείᾳ τῇ Πλάτωνος, ὅτι οἱ τοὺς τεθνεῶτας σκυλεύοντες, ἐοίκασι τοῖς κυνιδίοις, ἃ τοὺς λίθους ΔΑΚΝΕΙ, τῶν βαλλόντων οὐχ ἁπτόμενα. Pacuvius in Armor. Judicio apud Nonium: *Nam canis, quando est percussa lapide, non tam illum* APPETIT *Qui sese icit, quam illum eumpse lapidem quo icta est,*
D *petit.* TOUP.

[tt] Περιττὴν] περὶ τὴν A.

ΠΕΡΙΧΑΙΡΩ] A. in marg. om. V.

[u] Ἀριστοφάνης] Equit. 905. Ἰδού, δέχου κέρκον λαγὼ, τὼ 'φθαλμιδίω περιψῆν. KUST.

ΠΕΡΙΨΗΜΑ] Vocabulo hoc usus est Apostolus Paulus 1 Cor. IV. 13. ubi vide interpretes Græcos. Pro voce sequenti κάταγμα, quæ mendosa est, legendum est, κάθαρμα, vel κατάμαγμα, vel, ut habet Hesychius, περικατάμαγμα. KUST. Pearson. ad Ignat. p. 36. legit
E κατάμαγμα. TOUP. Steph. le Moyne ad Barnab. Ep. p. 579. 580. HEMST. Leg. κατάμαγμα ἢ ὑπὸ τὰ ἴχνη καταπάτημα ἢ ἀπολύτρ. N. Abram. not. ad Ciceron. Pison. n. 16. leg. κάθαρμα ἢ ὑπ. τ. ἴχνη ἀπόλουσις vel ἀπολούθρωσις, *sordes* vel *sanies ex imis pedibus detersa.* Id. οὕτ' ἐπ. τῷ καθάρματι συνεχόντων κακῶν, cum calamitas aliqua incidisset. Vid. Hesych. et Heins. ad 1 Corinth. IV. 13. et Tob. V. 24. et infra de pharmacis. Dillh. II. Elect. c. ult. vocabuli περίψημα hanc adfert e Suida explicationem, *homo jugibus obnoxius malis.* REINES.
F Plura Alberti Gl. Gr. p. 122. et ad Hesych.

[x] ἢ ὑπὸ τὰ ἴχνη] Michael Apostolius Centur. XVI. 3. Λέγεται καὶ περίψημα τὸ καταπάτημα πάντων ὑπὸ τὰ ἴχνη. KUST.

[y] ἀπολύτρωσις] ἢ ἀπολ. A.B.V.E. Photius, Lex. Seg.

[z] τῷ κατ' ἐνιαυτὸν συνέχοντι] Locus hic corruptus est. KUST. Leg. οὕτως ἐπέλεγον τῷ κατ' ἐνιαυτὸν θνήσκοντι ἀντὶ τῶν ἀνδρῶν καὶ τῶν γυναικῶν. Vid. Zenob. Prov. p. 5. Meurs. Hellad. p. 19. TOUP. Quomodo supplendum sit docet
G Photius: κατ' ἐνιαυτὸν ἐμβαλλομένῳ τῇ θαλάσσῃ νεανίᾳ ἐπὶ ἀπαλλαγῇ τῶν συνεχόντων κακῶν. et sic Lex. Seg.

[a] οὕτως ἐνέβαλον] Vid. Meurs. de Fest. p. 144. REINES. ἐνέβαλλον A.B.V.E. Lex. Seg.

[b] ἀποτιννύντες] τελοῦντες E. (ἀποτινόντες)

ΠΕΡΚΑΖΕΙ] v. n. ad Hesych.

[c] Πεπαίνει] Hesychius rectius, πεπαίνεται. KUST.

[d] Μέλας κατάστικτος] In antiquissimo ms. Paris. legitur, Περκνός, μέλας. Manu vero recentiori additum est,
H κατάστικτος. KUST. Photius et Lex. Seg. μέλας absque κατάστικτος.

ΠΕΡΚΩΣΙΟΝ] Hesychius: Πέρκωσος, καὶ Περκώτη, πόλις. KUST.

ΠΕΡΝΑΤΑΙ] Περᾶται A.V. Hesych.

[e] Ἔνθεν καὶ ΠΟΡΝΗ, ἡ παλ.] Confer Nostrum infra v. Παλεῦσαι. KUST.

ἡ πωλοῦσα τὴν μίξιν· ἢ παρὰ τὸ πεπωρωμένον ἔχειν τὸν νοῦν.

Περόζης: Ὁ Περσῶν βασιλεύς.

Περόνη: Πόρπη.

[f] Καὶ δίβολον περόνην, καὶ στεγίδα, τανυσθὲν τόξον.

Περόνη: Κόσμος τις.

[g] Καὶ περόναις χρυσαῖς [h] διαπεπερονημένοι, καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι.

Περῶ, περαιέω, περαιῶ. Ὡς μῶ, μαίω, μαιῶ.

Περώνης:

Περπερεία: Ἡ κολακεία.

[i] Ἡ ἀγάπη οὐ περπερεύεται.

Ὁ Ἀπόστολός φησι. Τουτέστιν, [k] οὐ προπετεῖ.

Πέρπερος: Ὁ μετὰ βλακείας ἐπηρμένος· οἷον λάλος, προπετὴς, μηδὲν λογισμῷ ποιῶν.

[Πέρσαι: [l] Ὅτι ἡ μαγεία καὶ ἡ ἀστρολογία ἀπὸ Μαγουσαίων ἤρξατο. Οἱ [m] γάρ τοι Πέρσαι Μαγοὺς ὑπὸ τῶν ἐγχωρίων ὀνομάζονται. Καὶ Μαγουσαῖοι, οἱ αὐτοί.]

Περσαῖος, Κιτιεὺς, φιλόσοφος Στωϊκός. Ἐπεκλήθη δὲ καὶ Δωρόθεος. Ἦν δὲ ἐπὶ τῶν χρόνων Ἀντιγόνου τοῦ Γονατᾶ [n] υἱοῦ Δημητρίου, μαθητὴς καὶ θρεπτὸς Ζήνωνος τοῦ φιλοσόφου. [o] Ἱστορίαν.

Περσέα: Ῥοδακινέα.

"σθήσει ἀλόγῳ δοξαστὸν, γινόμενον μὲν, καὶ [b]ἀπογινόμενον, ὄντως δὲ οὐδέποτε ὄν. Ταῦτα δὲ πάντα μέρος χρόνου, τὸ ἦν, καὶ ἔσται· ἃ δὴ φέροντες λανθάνομεν ἐπὶ τὴν ἀΐδιον [c]οὐσίαν. Οὐκ ὀρθῶς· [d]λέγομεν γὰρ δὴ, ὡς ἦν, ἐστί τε, καὶ ἔσται. Τὸ δὲ [e]Ἔστι μόνον κατὰ τὸν ἀληθινὸν λόγον προσήκει τῷ Θεῷ. Τὸ δὲ Ἦν, καὶ Ἔσται, περὶ τὴν ἐν χρόνῳ γένεσιν οὖσαν πρέπει λέγεσθαι. [f]Τὸ δὲ ἀεὶ κατὰ [g]ταυτὸ ὂν ἀκινήτως, οὔτε νεώτερον, οὔτε πρεσβύτερον χρὴ λέγεσθαι. Καὶ γὰρ τὸ ἀεὶ ὂν, [h]καὶ προὸν, γενέσεώς ἐστιν ἁπάσης ὑπέρτερον. Τὸ δὲ γινόμενον, καὶ ἀλλοιώσεις πολλὰς ὑποδεχόμενον, εἰκότως [i]ἔφησεν οὐδέποτε εἶναι." [k]Καὶ πάλιν ὁ αὐτὸς Πλάτων φησίν· "Ἀγαθὸς μὲν ὁ Θεὸς τῷ ὄντι, καί γε [l]λεκτέον αἴτιος τῶν ἀγαθῶν· τῶν δὲ κακῶν πάντων ἀναίτιος." Ὁ αὐτὸς [m]ἐν τοῖς Νόμοις [n]δεικνὺς ἡμῖν τὸν τῶν ὅλων πρύτανιν, τῶν τοῦ παντὸς οἰάκων [o]ἐπειλημμένον, [p]φησίν· "[q]Ὁ μὲν δὴ Θεὸς ἀρχὴν, καὶ τελευτὴν, καὶ μέσα [r]τῶν πάντων ἔχων, [s]εὐθέα περαίνει, κατὰ φύσιν περιπορευόμενος. [t]Τῷ δὲ ἀεὶ ξυνέπεται δίκη, τῶν ἀπολειπομένων τοῦ θείου νόμου τιμωρὸς, [u]ἧς ὁ μὲν εὐδαιμονήσειν μέλλων ἐχόμενος, ξυνέπεται ταπεινὸς, καὶ κεκοσμημένος. [x]Εἰ δέ τις ἐξαρθεὶς ὑπὸ μεγαλαυχίας, ἢ χρήμασιν ἐπαιρόμενος, ἢ τιμαῖς, ἢ [y]καὶ σωμάτων εὐμορφίᾳ, ἅμα νεότητι καὶ ἀνοίᾳ, φλέγεται μεθ' ὕβρεως, ὡς δὴ οὔτ' ἄρχοντος, οὔτ' αὖ ἡγεμόνος δεόμενος, ἀλλὰ καὶ ἄλλοις ἱκανὸς ὢν ἡγεῖσθαι, καταλείπεται ἔρημος Θεοῦ. Καταλειφθεὶς δὲ, καὶ ἔτι τοιούτους ἄλλους λαβὼν, σκιρτᾷ ταράττων πάντα, [z]ἅμα καὶ πολλοῖς τισιν ἔδοξεν εἶναί τις. Μετὰ δὲ χρόνον ὑποσχὼν τιμωρίαν οὐ μεμπτὴν τῇ δίκῃ, ἑαυτόν τε, καὶ οἶκον, καὶ πόλιν ἄρδην ἀνάστατον ἐποίησε." Διὰ τούτων ὁ φιλόσοφος καὶ τὸν τοῦ παντὸς ἔδειξε κηδεμόνα, καὶ τὴν ἐπί τινων μακροθυμίαν, καὶ τὴν ἐντεῦθεν τοῖς ἀνοήτοις προσγινομένην λώβην, καὶ τὴν ἐς ὕστερον [a]ἐπιφερομένην αὐτοῖς πανωλεθρίαν. Ὁ αὐτὸς [b]ἐν τῷ Γοργίᾳ καὶ [c]τῆς τιμωρίας δηλοῖ τὰς αἰτίας, λέγων ὧδε· "Προσήκει δὲ παντὶ [d]τῷ ἐν τιμωρίᾳ ὄντι, ὑπ' ἄλλου ὀρθῶς [e]τιμωρουμένῳ, ἢ βελτίονι γενέσθαι, καί [f]τι τῷ ὄντι ὀνίνασθαι, ἢ παράδειγμα ἄλλοις γίγνεσθαι· ἵν' [g]ἐκεῖνοι ὁρῶντες πάσχοντα, ἃ πάσχει, φοβούμενοι, βελτίους γίγνωνται. Εἰσὶ δὲ [h]οἱ ὠφελούμενοι μὲν, καὶ δίκην διδόντες ὑπὸ Θεοῦ καὶ ἀνθρώπων, οὗτοι, οἳ ἂν ἰάσιμα ἁμαρτήματα ἁμαρτάνωσιν. [i]Ὅμως δὲ δι' ἀλγηδόνων καὶ ὀδυνῶν γίνεται αὐτοῖς ἡ [k]ὠφέλεια, κἀνθάδε, καὶ ἐν ᾅδου. Οὐ γὰρ οἷόν τε ἄλλως ἀδικίας ἀπαλλάττεσθαι. Οἳ δ' ἂν τὰ ἔσχατα ἀδικήσωσι, καὶ διὰ τὰ τοιαῦτα ἀδικήματα ἀνίατοι πάμπαν [l]γίγνονται, ἐκ τούτων τὰ παραδείγματα γίνονται. Καὶ οὗτοι μὲν οὐκέτι ὀνίνανται οὐδὲν, ἅτε ἀνίατοι ὄντες· ἄλλοι δὲ ὀνίνανται, οἱ τούτους ὁρῶντες διὰ τὰς τοιαύτας ἁμαρτίας ὀδυνηρότατα καὶ φοβερώτατα πάθη πάσχοντας, καὶ τὸν ἀεὶ χρόνον ἀτεχνῶς παραδείγματα ἀνηρτημένους." [m]Ταῦτα ἔοικε σεσυληκέναι ἐκ τῶν θείων γραφῶν, διὰ Μωσέως ὑπὸ τοῦ Θεοῦ πρὸς τὸν Φαραὼ λεχθέντα· "Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε, ὅπως [n]ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου· ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ τῇ γῇ." Παμπονήρῳ γὰρ [o]γεγενημένῳ ἐκείνῳ παντοδαπὰς κολάσεις ἐπήνεγκεν ὁ Θεός· οὐχ ὥστε ἀποφῆναι βελτίονα, ([p]ᾔδει γὰρ αὐτοῦ καὶ τὸν νοῦν ἀντίτυπον, καὶ τὸ πάθος ἀνήκεστον,) ἀλλ' ὅπως τὰ περὶ ἐκείνου διηγήματα πᾶσιν ὠφελείας γένωνται παραδείγματα. Καθάπερ αἱ πόλεις τρέφουσι τοὺς δημίους, οὐκ ἐπαινοῦσαι μὲν [q]αὐτῶν τὴν προαίρεσιν, ἀνεχόμεναι δὲ τῆς τούτων ὑπηρεσίας [r]διὰ τὴν χρείαν· καὶ τὰ λοιπὰ δῆλα. Ὁ αὐτὸς [s]περὶ τῶν λήξεων καὶ ἀποκληρώσεων τῶν ψυχῶν ἐν τῷ [t]Φαίδωνί [u]φησιν· "[x]Ὁ μὲν ἀτέλεστος καὶ ἀκάθαρτος, εἰς [y]ᾅδου ἀφικόμενος, ἐν βορβόρῳ κείσεται· ὁ δὲ τετελεσμένος, καὶ κεκαθαρμένος, ἐκεῖ μεταχωρήσας, μετὰ Θεῶν οἰκήσει." Καὶ αὖθις·

[b] ἀπογινόμενον] ἀπολλύμενον Plato.
[c] οὐσίαν] φύσιν V.
[d] γὰρ λέγομεν] λέγομεν γὰρ A.B.E. Tum ἔστι δὲ A. τὸ δὲ—καὶ ἔσται om.
[e] ἔστι] ἦν B.E. Tum τῷ θεῷ om.
[f] Τὸ δὲ ἀεὶ—λέγεσθαι om. A.
[g] ταυτὸ ὂν] ταυτὸν B.E.M. κατ' αὐτὸν V.
[h] καὶ προὸν] Has duas voces, ut supervacaneas, delendas puto. Non enim eas agnoscit Theodoretus loco laudato. KUST.
[i] ἔφησε μηδέποτε] ἔφησεν οὐδέποτε A.B.V.
[k] Καὶ πάλιν—Πλάτων φησιν] καὶ ἄλλως καὶ πᾶσιν—ἔλεγε Πλάτων V.
[l] λεκτέος] λεκτέον A.B.V.E. Mox ἁπάντων V.E.
[m] ἐν τοῖς] καὶ τοῖς V.
[n] δείκνυσιν] δεικνὺς A.V.
[o] ἐπειλημμένον] ἐπιλημμένον V.
[p] καί φησιν] καὶ om. A.B.V.E.
[q] Ὁ μὲν δὴ Θεὸς ἀρχ.——ἄρδην ἀνάστατον ἐποίησε] Hæc leguntur apud Platonem lib. IV. de Leg. p. 600. quæ ex parte etiam ex eo repetit Cedrenus, p. 159. KUST.
[r] τῶν πάντων] τὴν πάντων V.
[s] εὐθείᾳ] εὐθέα A.V.E. εὐθέᾳ B.
[t] Τῷ δὲ] τῶν δὲ B.E.
[u] ἧς] οἷς V.
[x] Εἰ δὲ] ὁ δὲ V.
[y] καὶ σ. εὐμορφίαις] ἢ καὶ σ. εὐμορφίᾳ A.B.V.E.
[z] ἅμα] ἄτιμα A.
[a] ἐπιφερομένην αὐτοῖς] αὐτοῖς ἐπιφερομένην A.
[b] ἐν τῷ Γοργίᾳ] P. 313. KUST.
[c] τῆς τ.] καὶ τῆς τ. A.B.V.E.
[d] τῷ ἐν τιμωρίᾳ] ὑπὸ τιμωρίας V.
[e] τιμωρουμένῳ] τιμωρουμένου V. qui mox βελτίων. Tum γίνεσθαι A.V.
[f] τι τῷ ὄντι] τούτῳ V.
[g] ἐκεῖνοι] ἐκεῖνον E. Mox φοβούμενοι om. V.E.
[h] οἱ ὠφ.] οἱ om. V. qui mox δόντες.
[i] Ὅμως] ὁμοίως A.
[k] ὠφέλεια] ἡ ὠφ. A. Mox κἀνθάδε pro ἐνθένδε A.V.
[l] γίγνονται] γίνονται A. γίνονται ἐντεῦθεν V. qui mox om. οὐδὲν ἅτε—ὀνίνανται.
[m] Ταῦτα] ταῦτα δὲ V.
[n] ἐνδείξωμαι] ἐνδείξομαι A.B.V.E. Tum ἐν om. E.
[o] γεγενημένῳ] γινομένῳ V.
[p] ᾔδει] ἤδη V.
[q] αὐτῶν] αὐτοῦ E.
[r] διὰ τὴν—δῆλα om. V. et E. qui mox λέξεων.
[s] Περὶ τῶν λήξεων καὶ ἀποκληρώσεων τῶν ψυχῶν] *De statu et conditione animarum post hanc vitam.* KUST.
[t] Φαίδωνι] P. 69.
[u] φησιν] λέγει V.
[x] Ὁ μὲν ἀτέλεστος καὶ ἀκάθαρτος ἐν βορβόρῳ κ.] Vide Meurs. Eleusin. c. 18. KUST.
[y] ᾅδου] ᾅδην A.B.V. Mox ἐν om. V.

A “Τὸν [z]μὲν γὰρ δικαίως τὸν βίον διεληλυθότα καὶ “ὁσίως, ἐπειδὰν τελευτήσῃ, εἰς μακάρων νήσους οἰ-“κεῖν, ἐν πάσῃ εὐδαιμονίᾳ, [a]κακῶν ἐκτός· τὸν δὲ ἀδί-“κως καὶ ἀθέως, εἰς τὸ κρίσεώς τε καὶ δίκης δεσμω-“τήριον, ὃ δὴ Τάρταρον καλοῦσιν, ἰέναι.” Ταῦτα ἐκ τῶν [b]Αἰγυπτίων μεμάθηκε.

Πλάτωνος: Καὶ Πλατώνειος λόγος: Ὁ τοῦ Πλάτωνος.

B Πλατυγίζει: Τοῖς πτεροῖς κρούει.

[d]Πλατυγίζῃ καὶ θαλαττοκοπεῖς.

Ἄμφω μεγαλορρημοσύνης ῥήματα. Ἀντὶ τοῦ, πλατύνῃ, καὶ ἀλαζονεύῃ. Ἀπὸ τοῦ πλατυτέρου μέρους τῆς κώπης, ὃ τῇ θαλάττῃ μᾶλλον προσερείδει, καὶ τύπτων τὸ ὕδωρ τῇ εἰρεσίᾳ κτύπον ἀπεργάζεται, ἡ μεταφορά. Κυρίως δὲ πλατυγίζειν ἐστὶ, τὸ ἐπιτιθέναι τὸ [e]πλαταγώνιον τῇ ἀριστερᾷ χειρὶ, καὶ παίειν τῇ δεξιᾷ, καὶ ἦχον ἀποτελεῖν.

Πλατύνω: Αἰτιατικῇ.

Πλάτυνον τὸ στόμα σου.

Δοτικῇ δέ·

[f]Πλατύναι ὁ Θεὸς τῷ Ἰάφεθ.

Πλατύπιλος: [g]Κυνῆ Θεσσαλίς. Περὶ πίλου λέγει.

Πλαίσιον: Τετράγωνος [h]τάξις στρατεύματος. Καὶ τὸ ἐκ ξύλων τετραγώνων πῆγμα· ὅ τινες πλινθίον καλοῦσιν, ὁπόταν πρὸς πάσας τὰς πλευρὰς παρατάξηταί τις ἑτερομήκει σχήματι.

Πλαίσια [i]συμπηκτα: Τὰ τῶν ξύλων τετράγωνα, [k]ὥσπερ πλινθία, ἐν οἷς πλινθεύουσι σύμμικτα πρὸς οὐδὲν, ἀλλ᾽ οἷον περιττὰ, καὶ σοφά.

Πλέα: [l]Πλήρης, πεπληρωμένη.

Ταύτην μὲν ἄν τις [m]εὐθὺς ἡσθείη λαβών.

[n]Περὶ κύλικός φησιν· [o]ἐπειδὴ μεγάλη ἦν, καὶ πλέα.

Πλέας: Πλείους, [[p]πεπληρωμένας.]

Πλέθρα: Μέτρα γῆς, ἤγουν [q]ἄρουραι. Ἢ τοὺς διύγρους τόπους καὶ βοτανώδεις. [r]Ἔχει δὲ τὸ πλέθρον [s]πήχεις [t]ξς΄ δίμοιρον.

C Πλέθρον: Τὸ τοῦ σταδίου ἕκτον μέρος, [u]ὅπερ ἐστὶ πηχῶν [x]ξη΄· ὅλον γὰρ τὸ στάδιόν ἐστι τετρακοσίων. Ἡ πανταχόθεν ἔχον πόδας λη΄. Καὶ πλεθριαῖον διάστημα.

Ὅτι τὸ πλέθρον [y]ἔχει πόδας ρ΄. [z]Ξενοφῶν φησι, πλεθριαίους φοίνικας φύεσθαι ἐν Βαβυλῶνι, ἢ καὶ μείζονας σταδίου· [a]πηχῶν υ΄.

ΟΤΙ ἐξέδωκεν ἡ πόλις Ἀθηναίων τὰς θυγατέρας [b]Ἀριστείδου· καὶ Λυσιμάχῳ τῷ παιδὶ δύο δραχμὰς τῆς ἡμέρας ἐδίδου, καὶ γῆς

D

[z] μὲν γὰρ] γὰρ om. V.

[a] κακῶν] καὶ κακῶν E. Mox τε καὶ δίκης om. V.

[b] Αἰγυπτίων] Αἰγύπτου A.V.

[c] ΠΛΑΤΩΝΟΣ] Πλάτωνος φιλο A. Πλάτωνος φασὶ E.M. Πλάτων Πλάτωνος φασὶ καὶ B.

[d] Πλατυγίζῃ καὶ θαλαττοκοπ.] Aristoph. Equit. 827. Τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις; Sic etiam apud Suidam scribendum est. Consule Scholia ad illum locum, in quibus pro ῥήματα legitur δείγματα, et προσερείδεται pro προσερείδει. Confer etiam Nostrum supra v. Μετεωροκοπεῖς. KUST.

[e] πλαταγώνιον] πλατυγώνιον B.E.

ΠΛΑΤΥΝΩ] Hanc gl. A. in marg. om. V.

[f] Πλατύναι ὁ Θεὸς τῷ Ἰάφ.] Genes. IX. 27. KUST.

ΠΛΑΤΥΠΙΛΟΣ: Κυνῆ Θεσσ.] Nota hæc inversa est. Nam vox πλατύπιλος, quæ hic glossæ locum obtinet, interpretatio est τοῦ κυνῆ Θεσσαλίς, apud Scholiastam Sophoclis ad Œdip. Colon. 313. unde hæc Suidas sumpsit. Confer nos supra ad v. Περιβάδην, ubi similem compilatoris ἀκρισίαν redarguimus. KUST.

[g] Κυνῆ] περικεφαλαία addit V.

ΠΛΑΙΣΙΟΝ: Τετράγωνος τ.] Locus hic turbatus est, qui sic in ordinem redigi debet: Πλαίσιον. Τετράγωνος τάξις στρατεύματος, ὃ τινες πλινθίον καλοῦσιν· ὁπόταν πρὸς πάσας &c. Et deinde post cætera, καὶ τὸ ἐκ ξύλων πῆγμα. Hunc ordinem in versione secutus sum. KUST. Πλαίσιον ὀνομάζεται ὁπόταν πρὸς π. omissis mediis Montfaucon. Bibl. Coisl. p. 512.

[h] τάξις] στάσις B.V.E.

ΠΛΑΙΣΙΑ ΣΥΜΠΗΚΤΑ] Aristoph. Ran. 812. Καὶ πλαίσια ξύμπηκτα πλινθεύσουσί γε. Ad hunc locum Comici Suidas respexit. Vide ibi Scholiastam. KUST.

[i] ΣΥΜΠΗΚΤΑ] σύμπηκτα A.B.V.

[k] ὥσπερ] ὥσ ο ο ο περ sic A.

[l] Πλήρης] πλήρη A.E. Phot. Lex. Seg.

[m] εὐθὺς om. V.

[n] Περὶ κύλικος] Hæc sunt verba Scholiastæ ad Aristoph. Lysist. 201. Confer nos ad Suidam v. Ἡσθείη. TOUP.

[o] ἐπεὶ] ἐπειδὴ A.B.V.

[p] πεπληρωμένας om. A.B.V. Phot.

[q] αἱ ἄρουραι] In prioribus editt. [et E.] legitur, αἱ τοῦ σταδίου ἄρουραι: sed male. Duæ enim istæ voces, τοῦ σταδίου, sunt omnino supervacaneæ, et ab imprudente librario in locum hunc intrusæ, quæ proinde a codicibus nostis recte absunt. KUST. αἱ om. A.B.V.

[r] φασίν. Ἔχει] φασιν om. A.B. Phot.

E [s] πήχεις ξη΄] Aliter Eustathius ad Il. ε΄. et φ΄. quippe qui plethro cubitos LXVI. tribuit. Ait enim: Ἔστι δὲ πέλεθρον, τὸ καὶ πλέθρον, μέτρον γῆς, πηχέων ξς΄. διμοίρου. Secundum Eustathium ergo stadium, cujus sexta pars est plethrum, fuerit cubitorum CD. Cubiti enim LXVI. cum duobus trientibus, sunt sexta pars cubitorum CD. Vide etiam notam nostram sequentem. KUST.

[t] ξη΄] ξς΄ Photius, Lex. Seg. Vid. Reitz. ad Schol. Luciani Ver. Hist. I. 16. Idque in re manifesta reposui.

F [u] ὅπερ ἐστὶ πηχῶν ξη΄. Ὅλον γὰρ τὸ στάδιόν ἐστι τετρακοσίων. Ἡ πανт.] Locum hunc et corruptum et male interpunctum esse existimo, quem sic legerim et distinxerim: Ὅπερ ἐστὶ πηχῶν ξη΄. (Ὅλον γὰρ τὸ στάδιόν ἐστι τετρακοσίων η΄.) πανταχόθεν &c. Hæc lectio plana omnia reddit. Si enim mensura plethri continet cubitos LXVIII. ut Suidas expresse hic affirmat; stadium integrum, cujus sexta pars est plethrum, cubitos CDVIII. continere oportet. Sexies enim LXVIII. modo dictam summam exacte implent. Addit porro Suidas, πανταχόθεν ἔχον πόδας λη΄: quæ manifesto falsa sunt. Scribi enim debet, πανт. ἔχ. πόδας ρ΄: i. e. *ab omni latere habens pedes centum.* Nam G plethrum continuisse pedes centum, tum ipse Suidas hoc ipso loco, tum alii auctores expresse tradunt. Confer eruditiss. Perizonium ad Ælian. lib. III. c. 1. KUST. Schol. Platon. p. 79. Πλέθρον δέ ἐστι μέρος ἕκτον σταδίου· τοῦτο δὲ πήχεις ἔχει τετρακοσίας, ὧν τὸ ἕκτον πήχεις ἑξήκοντα ἕξ, δίμοιρον, ὅ ἐστι πλέθρον. Usque ad τετρακοσίων ut Suidas habet Photius.

[x] ξη΄] Sic etiam Photius. Corrigendum ut in gl. superiore.

H [y] ἔχει δὲ—πόδας] ὅτι—ἔχει πόδας A.V.

[z] Ξενοφῶν φησι] Lib. VII. de Instit. Cyri, p. 190. sed ubi historicus ille tantum dicit, palmas plethri, non etiam stadii longitudinem excedentes, Babylone nasci. KUST. Vid. supra v. Καυθήλιος.

[a] πηχῶν] πηχεῖς V.

[b] Ἀριστείδου] Ἀριστείδει V.

[c]πεφυτευμένης ἐδωρήσαντο [d]ὀκτὼ πλέθρα, καὶ [e]ἀροσίμης ἑκατόν.

**Πλέκος**: Τὸ πλέγμα, τὸ πεπλεγμένον σπυρίδιον. Ὡς ἀπὸ τοῦ βλέπω, βλέπος, οὐδετέρως, καὶ ἀπὸ τοῦ ῥέω, ῥέος· [f]Αἰσχύλος·

Ὀδοιπόρῳ διψῶντι πηγαῖον ῥέος.

Οὕτω καὶ πλέκος. [g]Ἀριστοφάνης·

Ἀπέπτυσ' ἐχθροῦ φωτὸς ἔχθιστον πλέκος.

Καὶ αὖθις·

[h]Τί δ', [i]ὦ τάλας γε, τοῦδ' ἔχεις πλέκους χρέος;

**Πλεκοῦν**: Τὸ συνουσιάζειν. Παρὰ τὸ πλέκεσθαι.

[k]Στύοιντ' ἂν ἄνδρες, [l]κἀπιθυμοῖεν πλεκοῦν.

[**Πλεονεκτῶ**: Τὸ πλέον ἔχω. Γενικῇ·

Καὶ τῶν Θουκυδίδου λόγων πλεονεκτεῖ.

[m]**Πλεονεκτῶ** δὲ, τὸ ἀδικῶ, αἰτιατικῇ. Ὡς τὸ,

Πλεονεκτεῖ ἡμᾶς ὁ Διάβολος.]

**Πλεονεξία**: Ἡ ὑπὲρ τῆς ἐπιθυμίας τοῦ πλείονος βλάβη, παρὰ [n]τῷ Ἀποστόλῳ· παρὰ δὲ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ, πλεονεξία, ἡ νίκη.

Οὐδ' ὅσα λάθρα τῶν ἀντιπολεμίων χωρία εἰς πλεονεξίαν [o]εὔθετα σφετερίσασθαι ἤθελον οἱ στρατιῶται.

**Πλεονεξία**: Παρὰ τοῖς ῥήτορσιν οὐ μόνον ἐπὶ τῶν παρὰ τὸ δίκαιον ἀξιούντων πλέον ἔχειν, καὶ τὸ πλεονεκτεῖν· ἀλλὰ καὶ ἐπὶ τοῦ βελτίονος ἑκάτερον αὐτῶν ἔταξαν, ὅταν τοῦ ἀγαθοῦ πλέον ἔχῃ τις ἑτέρων. [p]Σοφοκλῆς·

Ὦ πλοῦτε, καὶ τυραννὶ, καὶ τέχνη τέχνης
[q]ὑπερφέρουσα τῷ πολυζήλῳ βίῳ·
ὅσος παρ' ὑμῖν ὁ φθόνος φυλάσσεται.

**Πλεῦνος**: Ἀντὶ τοῦ, πλείονος. [r]Ἡρόδοτος·

Ὡς δὲ τοῦ πλεῦνός τε ἐδέετο ἡ [s]πολιορκίη, ἀπηλλάσσοντο.

**Πλευρῖτις**: Νόσος.

**Πλειάς**: Τὸ [t]ἑξάστερον.

**Πλεῖαι**: Αἱ πεπληρωμέναι.

**Πλεῖν**: Πλέον. [u]Ἀριστοφάνης·

Καὶ τοῦτο πλεῖν ἢ μυρίων ἔστ' ἄξιον στατήρων.

[x]Καὶ αὖθις·

Ἀπεκατηρτισμένοι γε πλεῖν ἢ μύριοι.

[y]Καὶ αὖθις·

Πολὺ γὰρ ἐμμελέστερον,
[[z]πρότερον] χέσαι πλεῖν ἢ τριάκονθ' ἡμέρας.

Καὶ αὖθις·

[a]Πλεῖν ἢ σταδίῳ λαλίστερα Εὐριπίδης.

Ἀντὶ τοῦ, πλέον φλυαρώτερα. Ὡς ἐπὶ δρόμου. Ἀριστοφάνης·

Ἔτ' ἔστ' ἐνθάδε μειρακύλλια
τραγῳδίας ποιοῦντα πλεῖν ἢ μύρια.

[b]Καὶ αὖθις·

Πλεῖν ἑξακοσίους τὸν ἀριθμόν.

**Πλεῖν ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι**: [c]Παρὰ τὸ Ὁμηρικόν·

Αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.
Καὶ [d]ἐν ὠμῷ γήραϊ θῆκε.

Διὰ τὴν [e]ἀηδίαν οὖν γηράσκω [f]φησὶν Ἀριστοφάνης·

Ὅταν τι τούτων τῶν σοφισμάτων ἴδω,
πλεῖν ἢ ἐνιαυτῷ πρεσβύτερος ἀπέρχομαι.

**Πλειόνος**: Πλειοτέρου.

**Πλειόνων**: Τῶν νεκρῶν.

Ἡ [g]γραῦς ἀνεστηκυῖα παρὰ τῶν πλειόνων.

[c] πεφυτευμένης] πεφυτευσαμένης A.

[d] ὀκτὼ πλέθρα] Ms. A. habet ν΄ πλέθρα, i. e. *quinquaginta plethra*. At Plutarchus in Aristide sub finem, *centum plethra* γῆς πεφυτευμένης Aristidis filio ab Atheniensibus donata fuisse scribit. KUST. Literæ η et ν, ν et ρ, sæpe invicem permutantur.

[e] ἀροσίμης] καὶ ἀροσίμης A. καὶ ἀροῦσι V. ἀροσίμης ἑκατὸν om. E.

[f] Αἰσχύλος] Agamemn. 910.

[g] Ἀριστοφάνης] Pac. 527.

[h] Τί δ', ὦ τάλας γ.] Aristoph. Acharn. 435.

[i] ὦ] αὖ B.E.M. Ald. Mox τοῦδ' ἔχῃ τοῦ A.B.E.M. Ald. Tum χρέους A.

[k] Στύοιντ' ἂν ἄνδρ.] Aristoph. Lysistr. 152.

[l] κἀπιθυμοῖεν] κἀπιθυμοῖεν ἐν A. Post h. v. delevi cum A.V. Κατὰ δὲ μετάθεσιν, πεκλοῦν, καὶ σπεκλοῦν, τὸ αὐτό. Τάττεται δὲ τὸ πλεκοῦν ἐπὶ τοῦ συνουσιάζειν, οὐχ ὡς προηγουμένως τούτου σημαινομένου τάττουσιν, ἀλλ' ὁμοίως πολλοῖς συμβολικοῖς σχηματοποιοῦντες, καὶ μάλιστα ἐν οἷς τὸ εὐθυρρημονεῖν ἐνίσταται. Ἀριστοφάνης Πλούτῳ· Οὐκ ἂν διαλεχθείην διεσπεκλωμένη ὑπὸ μυρίων ἐτῶν γε καὶ τρισχιλίων, quæ male repetita sunt ex v. Διεσπλεκωμένη p. 982 D. κατὰ δὲ μ.—τὸ αὐτὸ om. B. Ceterum A. habet in marg. Πλέκω αἰτιατικῇ· τὸ πλέκειν ἐπὶ τοῦ συνουσιάζειν τάττουσιν.

ΠΛΕΟΝΕΚΤΩ] Hanc gl. habet A. in marg. om. V.

[m] ΠΛΕΟΝΕΚΤΩ] 2 Cor. II. 10. HEMST.

ΠΛΕΟΝΕΞΙΑ] Deest gl. V.

[n] τῷ Ἀποστόλῳ] Rom. I. 29. et in aliis locis. Ibi Theodoretus explicat, τὴν τοῦ πλείονος ἔφεσιν, καὶ τῶν οὐ προσηκόντων ἁρπαγήν. ERNEST. τοῦ ἀποστόλου A.

[o] εὔθετα] εὐμεθέτα E.

ΠΛΕΟΝΕΞΙΑ: Παρὰ] Vid. Lex. Seg. Bekker. p. 298, 11. Mox ἔταξεν M.

[p] Σοφοκλῆς] Œdip. Tyran. 380. ut Portus monuit. Ceterum exemplum hoc nihilf acit ad v. Πλεονεξία. KUST.

[q] ὑπερφέρουσα] Deest vs. A.V.

ΠΛΕΥΝΟΣ] Homer. Odyss. σ΄. 296. Πλείονες κεν. leg. f. Πλεῦνες κεν. Herodot. p. 50. Ubi leg. for. τὸ δέον. TOUP.

[r] Ἡρόδοτος] Locus a Schweighæusero non inventus Lex. Herod. v. Πολλός. n. 7.

[s] πολιορκίη ἀπηλλάσσοντο A.

[t] ἑξάστερον] ἑπτάστερον Eratosthenes Catast. c. 23. qui addit οὐχ ὁρῶνται δὲ αἱ ἑπτά, ἀλλὰ αἱ ἕξ. Eustath. Il. σ΄. p. 1155, 50. ἑπτὰ δὲ οὐσῶν, ἀμαυρός ἐστιν ὁ ἕβδομος ἀστήρ. Aratus Phæn. 257. Ἑπτάπποροι δὴ ταίγε μετ' ἀνθρώπους ὑδέονται, Ἓξ οἶαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν.

[u] Ἀριστοφάνης] Nub. 1037.

[x] Καὶ αὖθις] Aristoph. Plut. 1185.

[y] Καὶ αὖθις] Aristoph. Eccles. 802.

[z] πρότερον om. A.B.V.E.

[a] Πλεῖν ἢ σταδίῳ λαλίστερα Εὐρ.] Aristoph. Ran. 89. Οὔκουν ἕτερ' ἔστ' ἐνταῦθα μειρακύλλια, Τραγῳδίας ποιοῦντα, πλεῖν ἢ μύρια, Εὐριπίδου πλεῖν ἢ σταδίῳ λαλίστερα. KUST.

[b] Καὶ αὖθις] Aristoph. Av. 1251.

ΠΛΕΙΝ Ἢ ἘΝΙΑΥΤΩΙ] Hæc A. et V. habent infra post θρανίου in v. Πνιγηρά.

[c] Παρὰ τὸ Ὁμηρικόν] Imo Ἡσιόδειον. Versus enim hic legitur apud Hesiodum in Ἔργοις. KUST. Est Odyss. τ΄. 360. nec in Hesiod. Opp. 93. inseri debuerat. Sequentia exstant Od. ο΄. 356. Conf. Hesiodi Opp. 703.

[d] ἐν Ἡσιόδῳ] Ἡσιόδῳ om. A.B.E. Schol. Aristoph.

[e] ἀηδίαν] αἰδίαν A.

[f] φησὶν Ἀριστοφάνης] Ran. 17.

[g] γραῦς ἀνεστηκυῖα παρὰ τῶν πλ.] Aristoph. Eccles. 1065. Ἡ γραῦς ἀνεστηκυῖα παρὰ τῶν νεκρῶν. Sed metri gratia scribendum est, παρὰ τῶν πλειόνων: ut hic apud Suidam recte legitur. Nam τῶν νεκρῶν est interpretatio vocis πλειόνων, quæ hodie locum glossæ apud Comicum male occupat. KUST. ἡ addidi cum A.B.V.E.M.

Πλειὼν, πλειῶνος. Ὁ ἐνιαυτός. Ἀπὸ τοῦ ἐν αὐτῷ πληροῦσθαι [h]τοὺς καιρούς.

[i]Ἐκ πολλοῦ πλειῶνος.

Ἤγουν, ἐκ πολλοῦ χρόνου.

Πλεισθένης:

Πλειστηριάσας: Πλείονος πωλήσας, οὗ ὠνήσατο.

Ἐπειδὴ δὲ τοῦτο, καὶ μετάμελος [k]προσεποιεῖτο γεγονέναι, πλειστηριάζων αὐτούς.

Καὶ [l]πλειστηριάσαντες, ἀντὶ τοῦ, ὑπερβαλόντες ἐν τῇ τιμῇ τῶν πιπρασκομένων. Οὕτως Λυσίας, καὶ Πλάτων ὁ κωμικός.

Πλειστοβολεῖν λέγουσιν, ὡς ἡμεῖς, Ἀττικοί.

Πλειστοδόκεια: Ἡ πλείστη δόκησις.

Πλεῖστον ὅσον: Πολύ.

Πλειστώναξ: Ὄνομα κύριον.

Πλείτω:

[m]Οὐ γὰρ ἡμῶν γε στρατηγῶν ἐγχανεῖται τῇ πόλει,
ἀλλὰ πλείτω χωρὶς αὐτὸς ἐς κόρακας, [εἰ βούλεται.]

Πληγαί: Ὅτι ἐν μ' ἡμέραις γεγόνασιν αἱ κατ' Αἴγυπτον πληγαί.

Πλῆθος: Παρὰ Θουκυδίδῃ καὶ ἐπ' [n]ὀλίγων λέγεται.

Πλήθουσα ἀγορά: Ὥρα τρίτη.

Ἠκροβολίζοντο περὶ πλήθουσαν ἀγοράν.

Λέγεται καὶ [[o]πληθούσης ἀγορᾶς.]

Πληθούσης ἀγορᾶς, ἐν μέσῳ στὰς, εἶπε.

Πληθώρα: Ἡ πλησμονή. Καὶ, Πληθωρεῖται ([p]πληθύεται) ὁ Νεῖλος.

Πληθύουσιν: Αὐξάνουσι, πλεονάζουσι.

Χρόνῳ δὲ ὕστερον πληθύουσι [q]τοῖς Μινύαις εἰς ὕβριν ἐχώρουν, βασιλείας τε ἀντεποιοῦντο.

[r]Καί σ' ὁ πληθύων χρόνος
γέρονθ' ὁμοῦ τίθησι, καὶ τοῦ νοῦ κενόν.



Πληϊάς: Τὸ ἄστρον.

Πλῆκται: Πολεμικοί.

Εἰσὶ δὲ πλῆκται [s]ἀγαθοὶ καὶ παρὰ Βακχαίοις.

Πληκτηρίζω:

Πλῆκτρον: Ὅπερ περιετίθεσαν τοῖς ἀλεκτρυόσι χαλκοῦν ἐν τῷ μάχεσθαι. Καὶ παροιμία·

[t]Αἶρε πλῆκτρον ἀμυντήριον.

Κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, οἷς μάχονται. [u]Πλῆκτρα οὖν, τὰ ἐμβαλλόμενα χαλκᾶ τοῖς ἀλεκτρυόσι.

Πλημμέλεια:

Πλημμελεῖν: Τὸ ἀτακτεῖν, καὶ ὑβρίζειν, καὶ ῥᾳθυμεῖν. Καὶ πλημμελὲς, τὸ ἐκμελὲς, [x]καὶ ῥάθυμον, καὶ ἀπαίδευτον. [y]Λύσις·

Τὸ δὲ ἄχρηστον φίλον ὁμολογεῖν, πλημμελές.
[z]Πλημμελῶς ἂν δόξειε λέγειν.

Ὁ δὲ διὰ τὸ οἰκεῖον πλημμέλημα ὑπ' ἐμοῦ παυθήσεται τῆς ἀρχῆς.

Τουτέστι, πταῖσμα.

Τὸν δὲ κεκτημένον τὸ νωτοφόρον ζῶον ὀπίσω τραπέσθαι ἐκέλευον, καὶ ἐπανορθοῦσθαι τοῦ πλημμελήματος.

Πλήμη: Ἡ πλημμύρα τῆς θαλάσσης. Καὶ πλημμυρὶς, ἡ ταραχή.

Πλῆμναι: Αἱ χοινικίδες τοῦ ἅρματος.

Πλήν: Ἐπίρρημα.

Πλῆντο: Ἐπληροῦντο.

[a]Πλήρεσιν ἱστίοις εἰς τὴν αὐτοῦ φιλοσοφίαν ἀφῆκεν.

Ἀντὶ τοῦ, παντὶ σθένει, πάσῃ δυνάμει, ὅλῃ ψυχῇ.

Πλήρης: Ὁ πεπληρωμένος. Καὶ οἱ πλήρεις, πληθυντικόν. Καὶ πλήρης, ἐπίρρημα.

[Πληρῶ: Αἰτιατικῇ. Ὡς τὸ,

[b]Ἐπλήρωσε τὸν οἶκον, οὗ ἦσαν καθήμενοι.

Πληροῦμαι δὲ, γενικῇ.

Σκότου καὶ δίνης πληροῦται τὰς ὄψεις.]

---

[h] τοὺς καιρούς] Hesychius, τοὺς καρπούς. KUST.

[i] Ἐκ πολλοῦ] Anthol. Pal. VI. 93. Mox ἤγουν om. A.

ΠΛΕΙΣΘΕΝΗΣ] Thyestis filius, Hygin. fab. 88. Plisthenidem de eloquentia commendat Auson. in Præf. n. 22. REINES.

[k] προσεποιεῖτο γεγονέναι] γεγονέναι προσεποιεῖτο V. qui mox πληριάσαντες—ὑπερβάλλοντες—ὁ Λυσίας.

[l] ΠΛΕΙΣΤΗΡΙΑΣΑΝΤΕΣ, ἀντὶ τοῦ, ὑπερβ.] Ex Harpocratione. KUST.

ΠΛΕΙΣΤΟΔΟΚΕΙΑ] Aliter vocem hanc interpretatur Etymologus: quem vide. KUST.

ΠΛΕΙΤΩ] A. in marg. In fine εἰ βούλεται om. A.B.E.

[m] Οὐ γὰρ ἡμῶν γε στρατ.] Aristoph. Equit. 1310.

ΠΛΗΓΑΙ] Hæc A. in marg. Post Πλῆκται V.

[n] ὀλίγων] ὀλίγον A.V. Tum λ' A. Pertinet ad Thucyd. IV. 10. ubi vid. schol. et Wass.

ΠΛΗΘΟΥΣΑ ἈΓΟΡΑ] Vide supra v. Περὶ πλήθουσαν ἀγοράν. KUST.

[o] ΠΛΗΘΟΥΣΗΣ ἈΓΟΡΑΣ] Has voces semel tantum dant A.V.E.M.

[p] πληθύεται] Hic collocavi cum A.V. Vulgo in fine ἤγουν πληθύνεται.

[q] τοῖς] ταῖς B.E.

[r] Καί σ' ὁ πληθύων χρ.] Sophocl. Œdip. Colon. 930.

ΠΛΗΙΑΣ] Vide paulo ante v. Πλειάς. KUST.

ΠΛΗΚΤΑΙ] Plutarch. Dion. p. 971. TOUP. Plura exempla vid. ap. Wyttenbach. Plut. II. p. 132 D.

[s] ἀγαθοὶ] ἀγαθαὶ A.

[t] Αἶρε πλῆκτρον ἀμυντ.] Aristoph. Av. 760. Αἶρε πλῆκτρον, εἰ μάχει. Scholiasta ad illum locum: Πλῆκτρον, ὅπλον ἀμυντήριον. Ἡ μεταφορὰ ἀπὸ τῶν ἀλεκτρυόνων, κἀκεῖνοι γὰρ ἔχουσι πλῆκτρα, ἐν οἷς μάχονται. Ἃ ἡμεῖς κέντρα λέγομεν τῶν ὀρνίθων, ἐκεῖνοι πλῆκτρα. Πλῆκτρα δέ εἰσι ἔμβολα χαλκᾶ, τὰ ἐμβαλλόμενα τοῖς πλήκτροις τῶν ἀλεκτρυόνων. Hinc Suidas supplendus est. KUST.

[u] ΠΛΗΚΤΡΑ οὖν] Hæc et seqq. om. A.

ΠΛΗΜΜΕΛΕΙΑ] Addunt πολλὴ ἀμέλεια Timæus et Photius.

ΠΛΗΜΜΕΛΕΙΝ] Vid. Ἀνεστεστραμμένῳ. HEMST.

[x] καὶ ῥάθυμον om. Photius.

[y] Λύσις· Τὸ δὲ ἄχρ.——δόξειε λέγειν] Hæc corrupta sunt, et mutila. KUST. Malim Λυσίας· τὸν δὲ ἄχρ. Ceterum defectus est hic locus: nam πλημμελῶς ἂν δόξειε λέγειν sumta sunt ex Platone de Legg. IX. p. 926. C. HEMST. Τὸ δὲ ἄχρ.—πλημμελὲς ex Platonis Lyside p. 222 B.C. deprompta esse monuit Ruhnkenius ad Timæum.

[z] πλημμελῶς] Adde ex Photio, Νόμων θ'. σχεδὸν οὐδεὶς ἂν λέγων οὕτω πλ.

ΠΛΗΜΗ] An potius, πλήσμη? Scholiasta Apollonii Rhodii ad lib. I. 757. Διαφέρει πλήμνη καὶ πλήσμη. Ἡ μὲν γὰρ τὴν χοινικίδα σημαίνει τοῦ τροχοῦ. Ἡ δὲ πλήσμη, τὴν πλημμύραν τοῦ ποταμοῦ. Διόπερ παρ' Ἡσιόδῳ οὕτως ἀναγνωστέον, Αὐτὰς δ' ἐν πλήσμησι διιπετέος ποταμοῖο· καὶ οὐχ, ὥς τινες, ἐν πλήμνῃσι. KUST. Vide Wesseling. ad Diodor. Sic. T. I. p. 208. (III. 40.) TOUP. Photius: Πλημμύρα οὐ πλήμη λεκτέον.

[a] Πλήρεσιν ἱστ.] Exemplum hoc pertinet ad vocem sequentem πλήρης. KUST. Vid. v. Ἱστίοις. TOUP.

ΠΛΗΡΩ] Habet h. gl. A. in marg. om. V.

[b] Ἐπλήρωσε τὸν οἶκ.] Actor. c. II. 2. KUST.

A Πληρώματα: [c]Ὁ τῶν νηῶν φόρτος.

Ὁ δὲ ἀναλαβὼν τὰ πληρώματα καὶ τοὺς αἰχμαλώτους, ἧκεν εἰς τὴν Ῥώμην.

Πλήρωμα καὶ οἱ ἐπιβάται.

[d]Τὴν δὲ ναῦν καταρτίσαντες πληρώματι ἐκλέκτῳ.

Καὶ αὖθις·

Παρεκόμιζον χρείας τοῖς πληρώμασι.

Καὶ [e]Ἀριστοφάνης·

Τούτων πλήρωμα τάλαντ' ἐγγὺς [f]δισχίλια.

B Πληρωτής: [g]Δημοσθένης κατὰ Ἀριστογείτονος. Πληρωτὰς ἐκάλουν τοὺς ἀποδιδόντας τὸν ἔρανον τοῖς ἤτοι λαχοῦσιν, ἢ ἐωνημένοις. Εἶεν δ' ἂν οὗτοι οἱ παρ' [h]ἡμῖν καλούμενοι ἐρανάρχαι.

Πλήσσεται:

Πλήσσω: Αἰτιατικῇ.

Πλησιάζω: Δοτικῇ.

C Πλησιαίτερος: Ὁ πλησίον ὤν.

Πλησίον: Ἐγγύς.

Πλήσιος: Τὰ παρὰ μέλλοντα γινόμενα, [i]προπαροξύνεται· τὸ ἀνεψιὸς, καὶ δεξιὸς, ὀξύνονται. [k]Τὸ δὲ πλήσιος, ἀπὸ τοῦ πλῆτος, πλήτιος· ὡς ἄμβροτος, ἀμβρόσιος· τροπῇ τοῦ τέλους· οὐ γέγονε δὲ τὸ πλήσιος [l]παρὰ μέλλοντα. Οἱ γὰρ Λάκωνες τὰ παρὰ μέλλοντα εἰς τ οὐ τρέπουσιν, [m]ἀλλ' ἀπὸ τῶν εἰς τὸ σ· ἐνιαυτὸς, ἐνιαύσιος, ἐνιαύτιος λέγουσιν, [n]ὑπόμνημα διδόντες τοῦ πρώτου τ· πλοῦτος, πλούσιος, πλούτιος· τὸ δὲ πλήσιος, πλήτιος, λέγουσιν. Ὥστε οὐ παρὰ μέλλοντα.

A Πλησίστιος: Ὁ φορὸς ἄνεμος, [o]καὶ πλησίστιον οὐδετέρως. Ἄνεμος ὁ πλησίον τοῦ ἀρμένου, ὁ πληρῶν τὸ ἄρμενον.

Πλησιφαής: Ἡ [p]πληροσέληνος ἡμέρα.

Πλίγματα: Τὰ πατήματα. Καὶ πλὶξ, τὸ βῆμα. [q]Παρὰ Ἀριστοφάνει.

Πλινθεύεται: Ἐξαπατᾶται. Ἀπὸ τῆς ἀναισθησίας τοῦ πηλοῦ.

B Πλινθεία: Ἐκ τοῦ πλινθεύω. [[r]Ἡ πλίνθευσις.]

Πλινθεῖον: Ὁ τόπος, ἐν ᾧ αἱ πλίνθοι πλάττονται. Οὕτως Λυσίας.

Πλινθίον: Παρατάξεως εἶδος.

[s]Αὐτὸς δὲ ἐν πλινθίῳ ἄγων τὴν στρατιὰν, βάδην ἐπορεύετο.

Πλίνθος: [t]Παροιμίαι· Πλίνθους πλύνεις· Χαμαὶ ἀντλεῖς· Φακὸν κόπτεις. Ἐπὶ τῶν ἀδυνάτων.

C Πλινθωτὸν, ἢ πλινθεία λέγεται, ὅταν ἐν τετραγώνῳ σχήματι ταυτὸ τοῦτο πράξῃ, ὅπερ Ξενοφῶν, ὁ τοῦ Γρύλλου, [u]πλαίσιον ἰσόπλευρον καλεῖ.

Πλίξ: Τὸ βῆμα. Παρὰ Ἀριστοφάνει. Καὶ πλίγματα, [x]τὰ πατήματα.

Πλίξ: Ἔνθεν καὶ τὸ περιβάδην, ἀμφιπλὶξ, παρὰ Σοφοκλεῖ ἐν Τριπτολέμῳ. Καὶ [y]Ὅμηρος·

Αἱ δ' εὖ μὲν τρώχων, εὖ δὲ πλίσσοντο πόδεσσιν.

D Ἔλεγον δὲ πλίξιν καὶ τὸ ἀπὸ τοῦ ἀντίχειρος εἰς τὸν λιχανὸν δάκτυλον διάστημα· καὶ τὸ μεταξὺ τῶν μηρῶν ὀστοῦν.

Πλοΐζει: Πορεύεται. Πλοῦς γὰρ, καὶ ἡ [z]ὁδός.

[c] Ὁ τῶν νηῶν φόρτος] Ad hanc interpretationem probandam nihil facit exemplum sequens, quippe in quo vox πλήρωμα potius significare videtur, ut communiter significare solet, militem classiarium, vel remiges. KUST. Vid. Wessel. Diod. Sic. XI. 3.

[d] Τὴν δὲ ναῦν καταρτ.] Fragmentum hoc legitur apud Polybium lib. I. c. 47. KUST.

ib. δ' αὖ τῇ ἀπαρτῇ. E.

E [e] Ἀριστοφάνης] Vesp. 658. Τούτων πλήρωμα τάλαντ' ἐγγὺς δισχίλια γίγνεται ἡμῖν.

[f] δισχίλια] β' E. δύο B.V.

ΠΛΗΡΩΤΗΣ: Δημοσθένης κατ' Ἀριστογ.] Ex Harpocratione. Confer Salmasium de Usuris, p. 678. 679. KUST. Herald. adv. Salmas. VI. 5.

[g] Δημοσθένης] P. 776, 7.

[h] ἡμῖν] ὑμῖν V. et E. pro v. l.

ΠΛΗΣΙΟΣ: Τὰ παρὰ μέλλ.] Hæc omnia leguntur etiam apud Etymologum v. Ἀστάσιος: ubi nonnulla rectius. KUST.

ib. παρὰ τὸν μέλλοντα A. παρὰ τοῦ μέλλοντος V.

[i] προπαροξύνεται] προπαροξύνεται A.

[k] Τὸ δὲ πλήσιος, ἀπὸ τοῦ πλῆτος, πλ.] Etymologus loco laudato: Τὸ δὲ πλήσιος ἀπὸ τοῦ πλητὸς ἔχει μὲν τὸν χρόνον. Ὁ γὰρ ἄπλητος, ὁ ἀπροσπέλαστος. Πλητὸς, πλήσιος, ὡς ἄμβροτος, ἀμβρόσιος, &c. KUST.

[l] παρὰ] παρὰ τὸν A. bis, qui οἷον pro οἱ γάρ. οὐ γὰρ E.

[m] ἀλλ' ἀπὸ τῶν εἰς τὸ σ.] Scribe, ut apud Etymologum, ἀλλ' ἀπὸ τοῦ τ. εἰς τὸ σ. KUST. Seqq. om. V.

[n] ὑπόμνημα διδόντες τοῦ πρώτου τ.] Etymologus: ὑπόμνησιν διδόντες τοῦ προτέρου τ. KUST.

[o] καὶ ΠΛΗΣΙΣΤΙΟΝ—ἀρμένου ex A.V. ὁ πλησίον τ. ἀ. habet item B.

[p] πληροσέληνος] προσέληνος V. vid. ad Hesych.

ΠΛΙΓΜΑΤΑ: Τὰ πατ.] Ex Schol. Aristoph. Acharn. 217. ubi pro πατήματα, quod corruptum est, recte legitur πηδήματα. Vide etiam Nostrum supra v. Περιβάδην. KUST.

[q] Παρὰ Ἀριστοφάνει] Falsum est vocem πλίγματα apud ipsum Aristophanem legi: quippe quæ tantum legitur apud Scholiastam ejus loco laudato. KUST.

[r] ἡ πλίνθευσις om. A.B.V. Habet E.

ΠΛΙΝΘΕΙΟΝ: Ὁ τόπος, ἐν ᾧ αἱ πλ.] Ex Harpocratione. KUST.

ib. Πλινθεῖον A.V.B. suprasc. Πλινθεῖον Photius. Delevi αἱ ante πλίνθοι cum A. et Phot.

ΠΛΙΝΘΙΟΝ] Sic recte mss. Paris. At priores editt. male, πλινθεῖον, per diphthongum ει. KUST.

[s] Αὐτὸς δὲ] Vid. p. 701 B.

F [t] Παροιμίαι τρεῖς] Delevi τρεῖς cum A.V.E. Item καὶ ἀνηνύτων, καὶ μὴ ὄντων λέγεται, cum A.V. Et ΠΛΙΝΘΟΣ: ΟΤΙ Ἆγις ὁ Παυσανίου, ἐμβαλὼν ποτε ἐς τὴν Μαντινικὴν, αὐτοὺς μὲν κατέκλεισε, τὸν δὲ παραρρέοντα ποταμὸν εἰς τὸ τεῖχος παρατρέψας, παρέλυσεν. Ἦν γὰρ ἐξ ὠμῆς πλίνθου, ἥτις πρὸς μὲν τὰς ἑλεπόλεις ἀσφαλεστέρα ἐστὶ τῆς ὀπτῆς, καὶ τῶν λίθων. Οἱ μὲν γὰρ κατάγνυνται, καὶ ἐκπηδῶσι τῶν ἁρμονιῶν· ἡ δὲ ὠμὴ πλίνθος οὐχ ὁμοίως πονεῖ. Διαλύεται δὲ ὑπὸ ὕδατος οὐχ ἧσσον ἢ ὑπὸ ἡλίου κηρός, cum V. Quæ habet A. in marg. Male repetita sunt ex v. Ἆγις.

ΠΛΙΝΘΩΤΟΝ ἢ ΠΛΙΝΘΕΙΑ] Πλινθία δὲ ἡ πλίνθιον Tacticus Montfaucon. Bibl. Coisl. p. 512. Πλινθωτ δὲ ἢ A.

G [u] ΠΛΑΙΣΙΟΝ ἸΣΟΠΛΕΥΡΟΝ καλεῖ] Xenophon lib. III. Ἀναβ. p. 310. [III. 4, 19.] Ἔνθα δὴ οἱ Ἕλληνες ἔγνωσαν, ὅτι πλαίσιον ἰσόπλευρον πονηρὰ τάξις εἴη, πολεμίων ἑπομένων. Ad hunc locum Suidas respexit. Huc spectat nota illa Thomæ Magistri: Πλινθίον, οὐδεὶς Ἀττικίζων εἶπεν, ἀλλὰ πλαίσιον. KUST. διπλάσιον ἰσ. A.B.V. Coislin.

ΠΛΙΞ: Τὸ βῆμα. Παρὰ Ἀριστ.] Vide paulo ante v. Πλίγματα, et quæ ibi notavimus. KUST.

[x] τὰ πατήματα] Lege, τὰ πηδήματα. KUST.

H ΠΛΙΞ: Ἔνθεν καὶ τὸ περιβ.] Ex Schol. Aristoph. Acharn. 217.

[y] Ὅμηρος] Od. ζ. 318.

ΠΛΟΙΖΕΙ] Alias, πλωΐζει, per ω. Ceterum sensus hujus loci, quem Portus non fuerat assecutus, est [*Interdum significat,*] *proficiscitur, vel iter facit.* Πλοῦς *enim de itinere terrestri etiam dicitur.* Πλοῦς enim interdum

Πλοϊκὴ καὶ πλόϊμος θάλασσα:

Πλόϊμα: Πλευστικά. Ἢ τὰ πλῷ πεμπόμενα.

Ἦρος δὲ ἀρχομένου, ἐπεὶ πλόϊμα εἶναι ἐδόκει, πρῶτον μὲν ἐκπέμπουσι Μαυρουσίων τινάς.

Πλοκαμίς:

[a]Ἀντὶ δέ σοι πλοκαμῖδος, Ἔκβαλε, κάλλος [b]ἐπείη.

Πλόκαμοι:

Πλόκιον Γοργάδος: Τὸν δοθέντα πλόκαμον τῆς Γοργόνης Ἀστερόπῃ τῇ Κηφέως· καθ᾽ ὃν χρόνον Κηφεὺς Ἡρακλεῖ συνεστράτευσεν εἰς [c]Λακεδαιμονίαν, ἵνα τούτου ἀποδημοῦντος ἡ πόλις ἀπόρθητος μείνῃ.

Πλόκον: Πλέγμα ἐκ τριχῶν.

[d]Ἄρτεμι,
σοὶ πλόκον οἰκείας τόνδ᾽ [e]ἀνέθηκε [f]κόμης
παρθένος, ἱμερτοῦ κειραμένη πλοκάμου.

Πλόκον: Πλόκαμον.

[g]Οὕτως ὅπως περ τόνδ᾽ ἐγὼ τέμνω πλόκον.

Πλόος: Ὁ πλοῦς.

Πλουθυγίειαν: Ἔμιξε τὰ δύο Ἀριστοφάνης, δι᾽ ὧν μάλιστα οἱ ἄνθρωποι χαίρουσι, καὶ δοκοῦσι τὸν βίον ἐπανορθοῦσθαι· ἐκ τούτου ἔμφασιν εὐδαμονίας ἐμφαίνων.

Εὐδαιμονίαν, βίον, εἰρήνην, νεότητα, γέλωτα.

Τουτέστι, καὶ τὰς ἄλλας ἡδονάς, δι᾽ ὧν γέλως ἔσται, καὶ χορεῖαι, καὶ εὐωχίαι.

Πλουθυγίειαν: [h]Ἀριστοφάνης.

[i]Δώσομεν ὑμῖν
ὑμεῖς αὐτοῖς τε, παισί, παίδων τε παισί,
πλουθυγίειαν, εὐδαιμονίαν,
βίον, εἰρήνην, νεότητα, γέλω-

A τα, χορείαν, [k]θαλίας, γάλα ὀρνίθων·
ὥστε παρέσται κοπιᾶν ὑμῖν
ὑπὸ τῶν ἀγαθῶν.
Οὕτω πλουτήσετε πάντες.

Πλουμβάτοις: [l]Μολίβδοις, κατὰ γλῶτταν.

Πλούταρχος, Χαιρωνεύς, τῆς Βοιωτίας, γεγονὼς ἐπὶ τῶν Τραϊανοῦ τοῦ Καίσαρος χρόνων, καὶ [m]ἔτι πρόσθεν. Μεταδοὺς δὲ αὐτῷ Τραϊανὸς τῆς τῶν ὑπά-
B των ἀξίας, προσέταξε μηδένα τῶν κατὰ τὴν Ἰλλυρίδα ἀρχόντων παρὲξ τῆς αὐτοῦ γνώμης τι διαπράττεσθαι. Ἔγραψε δὲ πολλά.

Πλούταρχος, Νεστορίου, Ἀθηναῖος, φιλόσοφος, διδάσκαλος Συριανοῦ, τοῦ [n]γενομένου ἐξηγητοῦ Πρόκλου τοῦ Λυκίου, τοῦ προστάντος τῆς ἐν Ἀθήναις φιλοσόφου σχολῆς· οὗ [o]Μαρῖνος διάδοχος. [p]Ἔγραψε πολλά.

C Πλουτεῖν, ἢ πεινῆν βέλτιον, ἀπὸ τῆς Ἑκάτης ἔσται μαθεῖν.

Πλουτοδότειρα:

Πλοῦτος: Κτήσασθαι μὲν [q]αὐτόν, ἐστὶν εὐμαρές· φυλάξασθαι δὲ χαλεπόν. Ζήτει ἐν τῷ Ἄτταλος.

Πλούτων: Ὁ ᾅδης. [r]Ἀριστοφάνης· Ὁ Πλού-
D των δίδωσι σχοινίον Αἰσχύλῳ ἐπανιόντι·

Δὸς τοῦτο Κλεοφῶντι φέρων, καὶ τοῦτο τοῖσι πορισταῖς.

Σύμβολον θανάτου. Ἴσως σχοινίον πρὸς ἀγχόνην, ἢ τι τοιοῦτον.

Πλόχανον: Πλέγμα, ᾧ ὁ σῖτος καθαίρεται.

Πλοχμός: [s]Ὁ πλόκαμος.

Πλῳάς: Εἶδος ὄρνιθος.

E

de itinere terrestri etiam dicitur, ut Græci magistri inculcant. Hesychius v. Πλοῦς: Ἀλλὰ καὶ τὴν πεζὴν ὁδὸν πλοῦν ἔλεγον. Plenius Scholiasta Nicandri ad Theriaca p. 17. Βαιὸν δὲ πλόον. Νῦν τὴν ὁδὸν τὴν πεζήν, τὴν πορείαν. Οὕτω γὰρ καὶ Ἀντίμαχος εἶπε· Τοῖσι δ᾽ ἂν ἐλθόντα διὰ πλόον ἐρχομένοισιν. Ὡς δὲ καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ, γυναῖκα ποιήσας ἐπὶ ζεύγους ὄνων ὀχουμένην, παράγει τινὰ ἐρῶντα αὐτῆς, ἢ καὶ ἐρεθίζουσά φησι πρὸς αὐτόν· Ἀπόπλευς τοῦν ἐπὶ τὸν νυμφίον, ᾧ γαμοῦμαι σήμερον. KUST. Verba Aristophanis cum metro tum sensu destituta sunt. Repone, ἈΠΟΠΛΕΥΣΤΕΟΝ Ἐπὶ νυμφίον ἐστίν, ᾧ γαμοῦμαι σήμερον. TOUP. πλοΐζει V. Phot.

[z] ὁδὸς om. B.E.

[a] Ἀντὶ δὲ] Anthol. Pal. VI. 279.

[b] ἐπείη] ἔπ V.

ΠΛΟΚΙΟΝ Γ.] Apollodor. II. p. 141, 30. [II. 7, 4.] χαλκεῶν βόστρυχα vocat. HEMST.

ΓΟΡΓΟΝΟΣ] Γοργάδος A.B.V.E. Photius. Infra Γοργόνης A.V. Phot. Γοργόνης E.

[c] Λακεδαιμονίαν] Λακεδαίμονα Photius.

[d] Ἄρτεμι] Anthol. Pal. VI. 277.

[e] ἀνέθηκε] Sic rectius ms. Paris. A. quam editt. præcedentes [et B.V.E.] quæ exhibent, ἀνέθηκα. Refertur enim hoc verbum ad sequens παρθένος: pro quo priores editt. [et B.E.] itidem minus recte habent, παρθένον. Quæ vero sequuntur, sic lego, ἱμερτοῖς κειραμένη πλοκάμοις. KUST.

[f] κόμας] κόρης A.

[g] Οὕτως ὅπως περ τ.] Sophocl. Aj. 1179.

οὕτως] αὕτως B.E.M. Tum περὶ A. pro περ.

ΠΛΟΥΘΥΓΙΕΙΑΝ: Ἔμιξε τὰ δύο Ἀριστ.] Ex Schol. Aristoph. Av. 732. Confer etiam Nostrum supra v. Ἀρχίας. KUST.

ἔμιξε] ἔμιξαν A.V.

[h] Ἀριστοφάνης] Av. 732. Ἀλλὰ παρόντες δώσομεν ὑμῖν Αὐτοῖς, παισί, παίδων παισίν, Πλουθυγίειαν, εὐδαιμονίαν, Βίον, εἰρήνην, νεότητα, γέλωτα, χορούς, θαλίας, γάλα τ᾽ ὀρνίθων. Ὥστε παρέσται κοπιᾶν ὑμῖν Ὑπὸ τῶν ἀγαθῶν. Οὕτω πλουτήσετε πάντες.

[i] Δώσομεν] καὶ δ. V. Tum ὑμῖν A.B.E. pro ἡμῖν. Deinde ὑμῶν A.E. ὑμῖν ἡμεῖς M.

[k] θαλίαν] θαλίας A.V. Mox σκοπιᾶν B.E.M.

[l] Μολίβδοις] μολίβοις A. μολύβδοις E.

[m] ἔτι πρόσθεν] Imo et Neronis. Vid. Plutarch. in Anton. sub finem. TOUP. ἐπίπροσθεν A.V.E.

F ΠΛΟΥΤΑΡΧΟΣ] Hujus Plutarchi aliquoties meminit Marinus in Vita Procli. KUST. Vid. supra Νικόλαος ῥήτωρ. REINES. Suid. in Ὀδαίναθος. HEMST.

[n] γενομένου ἐξηγητοῦ] ἐξηγητοῦ γενομένου A.

[o] Μαρῖνος] Μαριανὸς A.B.V. Tum A. in marg. Περὶ τούτου ἐν τῷ Δομνῖνος.

[p] Ἔγραψε πολλά] Ex ejus scriptis hodie, quod sciam, nihil exstat. KUST.

ΠΛΟΥΤΕΙΝ, Ἢ ΠΕΙΝΗΝ ΒΕΛΤ.] Aristoph. Plut. 594. G Παρὰ τῆς Ἑκάτης ἔξεστιν τοῦτο πυθέσθαι, Εἴτε τὸ πλουτεῖν, εἴτε τὸ πεινῆν βέλτιον. KUST.

ΠΛΟΥΤΟΔΟΤΕΙΡΑ] Vid. Hemsterhus. Lucian. Tim. c. 21.

[q] αὐτὸν ἐστὶν] ἐστιν αὐτὸν A. Infra ζήτει etc. om. V.

ΠΛΟΥΤΩΝ] Πλοῦτος A.

[r] Ἀριστοφάνης] Ranis, sub finem; ubi sic legitur: Καὶ δὸς τουτὶ Κλεοφῶντι φέρων, Καὶ τουτουσὶ τοῖσι πορισταῖς. Scholiasta ad eum locum: Ἴσως τι σχοινίον δίδωσιν αὐτῷ ὁ Πλούτων πρὸς ἀγχόνην, ἤ τι τοιοῦτο σύμβολον θανάτου. Sic etiam H apud Suidam scribendum est. KUST.

ΠΛΟΧΑΝΟΝ] Πλόκαμον Clem. Alex. Strom. IV. p. 342. Alii πλόκανον ut Theophr. Hist. Pl. IV. 12. REINES. Sumpta Gl. ex Schol. Platon. p. 209.

[s] Ὁ πλόκαμος] ὁ om. A.

ΠΛΩΑΣ] Vid. Etymol. M. p. 731, 40. Brunck. ad Apoll. Rhod. II. 1054. Soph. Philoct. 1093.

Πλωθεύς: [t]Πλωθεία δῆμος τῆς Αἰγηΐδος. Καὶ ὁ δημότης, Πλωθεύς. A

Πλωΐζω: Πλέω. Καὶ πλώιζω, ὁμοίως.

Πλώϊμος ἀνήρ:

Πλώοντες: Πλέοντες.

Πλώω: Πλέω.

Πλώσιμον: Διαβατόν. [u]Σοφοκλῆς·

> Μακρὸν τὸ δεῦρο πέλαγος, [x]οὐδὲ πλώσιμον.

Ἀντὶ τοῦ, ἀδιάβατον.

Πλωτὴ νῆσος: Ἡ πλεομένη.

Πλωτῆρες:

Πλωτῖνος, Λυκοπολίτης, ἀπὸ φιλοσόφων, μαθητὴς μὲν Ἀμμωνίου, τοῦ [y]πρώην γενομένου σακκοφόρου, διδάσκαλος δὲ Ἀμελίου· [z]οὗ Πορφύριος διήκουσε, [a]τοῦ δὲ Ἰάμβλιχος, τοῦ δὲ Σώπατρος. Ἐπὶ [b]Γαλλιηνοῦ γηραιὸς ὢν διέμεινεν ἄχρι χρόνων [c]ζʹ, καὶ συνέταξε βιβλία [d]νδʹ, ἅτινα κατὰ θʹ βίβλους διῄρηται, καὶ λέγονται [e]Ἐννεάδες ϛʹ. Γέγονε [f]δὲ καὶ τὸ σῶμα ἀσθενὴς ὑπὸ τῆς ἱερᾶς νόσου. Ἔγραψε καὶ ἄλλα. C

Πλωτόν: [g]Πλεόμενον.

Πλῷ χρησάμενος, τριταῖος ἐκ τῶν [h]Ἀθηνῶν ἐς Μιτυλήνην ἀφῖκται.

Πλοῖα κατάφρακτα: Σεσανιδωμένα πλοῖα, ὥστε κάτω μὲν τιθέναι τὰ ὅπλα, αὐτοὺς δὲ ἄνω διάγειν.

Πλοῖον, ἢ κυνῆ: Ἐπὶ τῶν ἀμφιβόλων πραγμάτων. Ἀριστοφάνης Ὄρνισι. Καθὸ ἐπτέρωτο ἡ Ἶρις, καὶ τὰ πτερὰ [i]διαπέταται ὥσπερ κῶπαι. Ὅτι εἶχε περικεφαλαίαν τὸν πέτασον.

Πλύνεται: Λοιδορεῖται, αἰσχρῶς ὑβρίζεται. [k]Πλύνειν γὰρ παρὰ τοῖς παλαιοῖς [l]τὸ ἐλέγχειν· B [m]ὥς που καὶ Μένανδρος·

> Ἐὰν [n]κακῶς μου τὴν γυναῖχ' οὕτως λέγῃς,
> τὸν πατέρα, καὶ σέ, [o]τούς τε σοὺς ἐγὼ πλυνῶ.

Ἀντὶ τοῦ, ἐλέγξω.

Πλυνός: Ὀξυτόνως, τὸ ἀγγεῖον αὐτό· παροξυτόνως δέ, τὸ πλυνόμενον. Ἀριστοφάνης Πλούτῳ·

> [p]Οὐχ ὑγιαίνειν μοι δοκεῖς,
> πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.

C Ἀντὶ τοῦ, ἐφύβριστον πλῦμα.

Πλυντήρια: Ἑορτὴ Ἀθηναίων.

Πλυνοί: Πύελοι, ἐν οἷς πλύνουσι.

Πνεῦμα: Ἡ ψυχὴ τοῦ ἀνθρώπου.

Πνεῦμα δώσω αὐτοῖς, πνεῦμα καινόν: Οὐ τὸ πανάγιον λέγει, ἀλλὰ τοῦ λογικοῦ τὴν ὁρμήν.

Πνευματικὸν σῶμα: [q]Φασὶ μετὰ τὴν ἔξοδον τῆς

D

[t] ΠΛΩΘΕΙΑ: Δῆμος τῆς Αἰγ.] Ex Harpocratione. KUST.

ib. Πλωθία A.E.B.

[u] Σοφοκλῆς] Œdip. Colon. 663.

[x] οὐδὲ] οὐδὲν A.

ΠΛΩΤΗ ΝΗΣΟΣ] Homerus Odyss. κʹ. 3. insulam Æoliam πλωτῇ νήσῳ vocat: ad quem locum Suidas respexit. Confer Hesychium, Etymologum, et Eustathium, qui pluribus, quid sit πλωτὴ νῆσος, exponunt. KUST. E

ΠΛΩΤΙΝΟΣ] Plotini vitam scripsit Porphyrius, quæ hodie adhuc exstat. Vide etiam de eo Eunapium. KUST. Vid. Πορφύριος. HEMST.

ib. Natus est an. 13. Severi imp. an. ætatis 40. imper. Phil. Romam venit. Mortuus est an. 2. Claudii ætatis 66. in Campania. Porphyrius in ejus vita. Ejus apophthegm. lege supra in Κόσμος. REINES.

[y] πρώην γενομένου om. E.

[z] οὗ Πορφύριος διήκουσε] Hæc minus recte tradit Suidas. Porphyrius enim Plotini, non vero Amelii discipulus fuit, ut vel ex Eunapio in vita Porphyrii constat. Præterea, ipse Porphyrius in vita Plotini diserte testatur, se Amelium Romæ condiscipulum habuisse per sexennium integrum. Accesserat nimirum Amelius Plotinum tertio anno Philippi, i. e. anno post Christum natum CCXLVI. vixitque cum eo ad primum annum Claudii, qui fuit Christi CCLXX. annos integros XXIV. ut testatur Porphyrius. At ipse Plotinum audire cœpit anno X. Gallieni: qui fuit a Christo nato CCLXIV. unde ad prædictum annum imperatoris Claudii sexennium est integrum. Quo ipso anno uterque relicto Plotino, Amelius quidem Apameam, Porphyrius autem in Siciliam discesserunt: ubi triennio post vixere, cum Plotinus in Campania e vivis excederet. Nec crediderim Porphyrium expleto jam anno ætatis XXXVIII. Amelio in disciplinam se tradidisse, quem jam Romæ doctrinæ et sapientiæ laude superabat: adeo quidem ut Amelius sua scripta cum venia ab eo legi petat atque emendari. Hæc Lucas Holstenius in eruditissima dissertatione de vita et scriptis Porphyrii, c. VI. contra Suidam recte observavit. KUST.

[a] τοῦ δὲ Ἰάμβλιχος] Hæc verba non sine dispendio sensus in prioribus editt. omissa sunt, quæ ex mss. Paris. revocavi. KUST.

[b] Γαλλιηνοῦ] Γαλλιηνοῦ A. Γαλλιηνοῦ V. Γαλιηνοῦ B.E.

[c] ζ] ζήτει E. χρόνων ζ om. A.V.

[d] νδ] ζ V.

[e] Ἐννεάδες] Opus hoc Enneadum hodie adhuc exstare nemini non notum est. KUST.

[f] δὲ τὸ] δὲ καὶ τὸ A.B.V.

[g] Πλεόμενον] πλεόμενος A.

ΠΛΩΙ ΧΡΗΣΑΜΕΝΟΣ, ΤΡΙΤ.] Hæc sunt verba Thucydidis libro III. c. 3. KUST.

E [h] ΑΘΗΝΩΝ] Ἀθηναίων A.V.

ΠΛΟΙΑ ΚΑΤΑΦΡΑΚΤΑ: Σεσανιδ.] Ex Scholiasta Thucydidis ad lib. I. c. 10. KUST.

ΠΛΟΙΟΝ, Ἢ ΚΥΝΗ] Aristoph. Av. 1203. Ὄνομα δέ σοι τί ἐστι; πλοῖον, ἢ κυνῆ; Scholiasta: Πλοῖον μέν, καθὸ ἐπτέρωται, καὶ τὰ πτερὰ διαπέταται, ὡς κώπη. Κυνῆ δέ, ὅτι ἔχει περικεφαλαίαν τὸν πέτασον. KUST.

[i] διεπέτατο] διαπέταται A.V. Tum κῶπαι A.B.V.E. pro κώπαις. Διαπέταται ὡς κώπη Schol.

ΠΛΥΝΕΤΑΙ] Vid. v. Κακὰ κακῶν. Aristoph. Achar. 380. F ubi vid. Schol. TOUP.

[k] ΠΛΥΝΕΙΝ γὰρ παρὰ τοῖς παλαιοῖς τὸ ἐλ.] Hæc, et quæ sequuntur, sunt verba Artemidori lib. II. c. 4. ut Pearsonius etiam observaverat. KUST.

[l] τὸ ἐλέγχειν] ἀντὶ τοῦ ἐλέγχειν A.V.

[m] ὥς που] Seqq. om. A. πλύνειν καταχρηστικῶς τὸ ἐλέγχειν V.

[n] κακῶς μου] κακῶς μὲν V.

[o] τούς τε σοὺς] τούτους σοὺς B. τοὺς σοὺς τούτους ἐγὼ E.M.

G ΠΛΥΝΟΣ: Ὀξυτόνως τὸ ἀγγ.] Ex Schol. Aristoph. Plut. 1062.

[p] οὐχ ὑγιαίνειν μ. δ. addunt A.B.V.

ΠΛΥΝΤΗΡΙΑ] Cf. Meurs. de Festis Gr. REINES.

ΠΛΥΝΟΙ] Il. χʹ. 193. Od. ζʹ. 40. 86.

ΠΝΕΥΜΑ ΔΩΣΩ ΑΥΤΟΙΣ, ΠΝΕΥΜΑ ΚΑΙΝΟΝ] Ezech. XI. 19. KUST. Ibi Theodoretus πνεῦμα καινὸν ἐκάλεσε τὴν εἰς τὰ καλὰ τῆς ψυχῆς ὁρμήν. ERNEST.

ΠΝΕΥΜΑΤΙΚΟΝ ΣΩΜΑ] Hæc sunt ex interprete ignoto ad 1 Cor. XV. 44. Certe Theophylactus ad eum locum similia habet, et quidem ex Origene descripta, quem nominat. Itaque in h. l. carpi videntur Origenes et alii, qui hanc corporis πνευματικοῦ notionem ex dæmonologiis Græcorum in religionem transtulerant. Quod vero ad Aristotelem attinet, sunt et alia loca, in quibus ille de immortalitate idem sentit. Sic Ethic. Nicom. III. 2. τὴν ἀθανασίαν refert ad τὰ ἀδύνατα. et c. 6. ita ait: H

ψυχῆς ἐκ τοῦ σώματος ἐξῆφθαι ταύτης σῶμα λεπτομερὲς, ἀεροειδέστερον, καὶ αὐγοειδέστερον· [r]ὃ πάντως αἰσθήσεται ἀλγηδόνος. Καὶ αὕτη ἡ φλυαρία Ἑλληνική. Τούτου δὲ τοῦ σώματος ἀχώριστον εἶναι λέγουσι θυμὸν καὶ ἐπιθυμίαν.

Ὅτι ἐν τοῖς Τόποις Ἀριστοτέλης πᾶν πνεῦμα φθαρτὸν εἶναι λέγει.

Πνευμονία: [s]Περὶ τὸν πνεύμονα.

Πνεύμονος: Τοῦ ἰχθύος.

Πνεύμων: [t]Λέγεται καὶ διὰ τοῦ λ'.

Ὅτι οὐ πάντα τὰ ζῶα ἔχει φωνήν· μόνα δὲ τὰ ἔχοντα πνεύμονα, καὶ ἀναπνέοντα. Ὕλη γάρ ἐστι τῆς φωνῆς ὁ ἀναπνεόμενος ἀήρ. Οὔτε δὲ τὰ ἔντομα ἀναπνεῖ, οὔτε τὰ ἄναιμα, οὔτε πάντα τὰ ἀμφίβια φωνοῦσιν, οὔτε τὰ ὀστρακόδερμα, οἷον οἱ κοχλίαι· οὔτε τὰ μαλακόστρακα, οἷον καρκίνοι, σκυτάλαι. Φωνοῦσι δὲ τῶν ἀμφιβίων, ποτάμιος ἵππος, καὶ κροκόδειλος· φωνεῖ γὰρ οὗτος κατὰ βραχύ. Οἱ δὲ περὶ τὸν Ἀχελῷον ἰχθύες δοκοῦντες φωνεῖν, οὐ φωνοῦσιν· οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν, ἀλλὰ κατά τινα τῶν [u]βραγχίων κίνησιν. Νηχόμενοι γὰρ κατὰ τὴν τοῦ ὕδατος ἐπιφάνειαν, ἐναπολαμβάνοντες πολὺ ὕδωρ ἐν τοῖς βραγχίοις, εἶτα συστέλλοντες τὰ βραγχία, ἐκπέμπουσι τὸ ὕδωρ, καὶ ταράττουσι τῇ ἐκπομπῇ· τὸ δὲ ταραττόμενον [x]ἐναπολαμβάνει τινὰ ἀέρα, ὃς ἐκθλιβόμενος [y]τῇ πληγῇ ἠχεῖ, καὶ ταύτῃ δοκοῦσι φωνεῖν. [z]Οἱ δὲ τέττιγες δι' ὑμένος τινὸς ὑπὸ τὸ στῆθος, [a]κατὰ τὴν ἐπιφάνειαν ἐμπεφυκότος ἀέρος, ὃν θλίβοντες ταῖς πτέρυξι τὸν [b]ἐναπειλημμένον ἀέρα, φωνοῦσιν· οὐ γὰρ διὰ τῶν φωνητικῶν ὀργάνων φωνοῦσιν. Αἱ δὲ μυῖαι τοῖς πτεροῖς τραχέσιν οὖσι πλήττουσι τὸν ἀέρα, καὶ ἠχοῦσιν· ἀμέλει σταθεῖσαι, οὐκέτι βομβοῦσι. Καὶ οἱ σκάροι, τῷ στόματι τὸ [c]ὕδωρ ἐξωθοῦντες μετὰ ῥοίζου, τὸν ἦχον ἀποτελοῦσιν· ἀμέλει ἐν τῷ βάθει ὄντες οὐ φωνοῦσι.

B [Πνέω: Γενικῇ.

Στεναγμῶν [d]πνέων, καὶ κλαυθμῶν.]

Πνεύσας: Σφοδρῶς ὀργισθείς.

Ὁ δὲ νέος ὤν, καὶ φιλόνεικος, πολὺς [e]ἐπέκτει.

[f]Ἔτι δὲ τῷ προσπνεύματι συμπλακέντων, καὶ μαχομένων [g]ἐκ διαιρέσεως ταῖς μαχαίραις (τουτέστιν, ὀργίλως) [h]παρὰ τὰς ἐκ τῶν ὄπισθεν ὑπὸ τὴν [i]μάλην παρέσφαξε.

Πνευστιῶν: Φυσῶν, ἐμπνέων.

C Ὁ δὲ ἔκειτο πνευστιῶν ἡμίπνους ὑπὸ τοῦ βρόχου.

Πνιγεύς: Ὁ φοῦρνος, ὁ κρίβανος. Κυρίως, ὅπου οἱ ἄνθρακες συμπνίγονται. Διὸ ἐπιλέγει·

Ἡμεῖς δ' ἄνθρακες.

[k]Ἀριστοφάνης.

Πνίγει μετρίῳ: Συμμέτρῳ καύματι. Τουτέστιν, ἔαρι. Καὶ τὸ πληθυντικὸν, τὰ πνίγη.

D Πνιγηρά: Ἡ καυματώδης, καὶ θερμή. Πνιγεὺς γὰρ, ἡ κάμινος. Ἅμα δὲ ὅτι πνίγει τῷ χρόνῳ τὸ σχοινίον καὶ τὸ θράνιον. [l]Ἀριστοφάνης·

Μία [m]μὲν γάρ ἐστιν ἀπὸ κάλω καὶ θρανίου.

φοβερώτατον δὲ ὁ θάνατος· πέρας γὰρ, καὶ οὐδὲν ἔτι τῷ τεθνεῶτι δοκεῖ, οὔτε ἀγαθὸν οὔτε κακὸν εἶναι. ERNEST.

[q] Φασὶ μετὰ τὴν ἔξοδον τῆς ψυχῆς ἐκ τοῦ σ.] Cum hoc loco conferenda sunt ea, quæ habet Suidas supra v. Αὐγοειδές. KUST.

[r] ὃ πάντως αἰσθήσεται] Procul dubio addita negatione legendum est, ὃ πάντως οὐκ αἰσθήσεται, &c. KUST.

ΠΝΕΥΜΟΝΙΑ] Vid. Suid. in Βλάκα, Etymol. M. in Βλάξ. Tum lego ἡ περὶ τὸν πν. scil. νόσος. TOUP.

[s] Περὶ τὸν πνεύμονα] Scribo, περιπνευμονία. Nam πνευμονία et περιπνευμονία idem significant: scilicet morbum pulmonis. KUST.

ΠΝΕΥΜΟΝΟΣ] Synes. de Regno p. 14. βίον ζῶντας θαλαττίου πνεύμονος. TOUP.

[t] Λέγεται καὶ] καὶ om. A.

ΟΤΙ οὐ πάντα τὰ ζῶα ἔχει φ.] Totum hunc locum descripsit Suidas ex Philopono in librum II. Aristot. de Anima, ut Pearsonius recte monuit. KUST.

[u] βραγχίων] βραχίων V. et similiter infra. Mox τοῦ ante ὕδατος om. A.

[x] ἀπολαμβάνει] ἐναπολαμβάνει A.B.V.

[y] τῇ πληγῇ] Philoponus addit, τοῦ ὕδατος. KUST. τῇ γῇ M.

[z] Οἱ δὲ τέττιγες, δι' ὑμένος τινὸς ὑπὸ τὸ στ.] Locus hic turbatus est et mutilus, qui ex Philopono sic rescribendus est: Οἱ δὲ τέττιγες ὑμένα τινὰ ἔχουσι περὶ τὴν ἐπιφάνειαν ὑπὸ τὸ στῆθος, ὃν τύπτοντες ταῖς πτέρυξι, καὶ ἐκθλίβοντες τὸν ἐναπειλημμένον ἀέρα, ψοφοῦσιν. KUST.

[a] καὶ τὴν] κατὰ τὴν A.B.V.E. Mox ἐμπεφυκότος V. Tum ἀέρος om. A.V.

[b] ἐναπειλημμένον] ἐναπολειμμένον V. Deinde οὐ γὰρ—φωνοῦσιν om. A.V.

[c] ὕδωρ] τὸ ὕδωρ A.

ΠΝΕΩ] Deest gl. V. Habet A. in marg.

[d] πνέων] Al. plenus. ἔμπνοος enim πεπληρωμένος. Hesych. REINES.

[e] ἐπέκτει] ἐπέκτει A.V.

[f] Ἔτι δὲ τῷ προσπν.] Fragmentum hoc adeo lacerum est et corruptum, ut vix sensum aliquem ex eo elicere queas. KUST. Locus nonnihil corruptus est, sed ita ut facile restitui possit. Rescribo, Ἔτι δὲ τῷ προσπνεύματι συμπλακέντων καὶ μαχομένων ἘΚ ΔΙΑΡΣΕΩΣ ταῖς μαχαίραις, ΠΑΡΑΣΤΑΣ ΤΙΣ ἐκ τῶν ὄπισθεν ὑπὸ τὴν μάλην παρέσφαξε. *Dum vero acriter concurrerent, et cæsim rem gererent, pone quidem adstans sub maxilla eum percussit.* Ita scribendus et interpretandus iste locus. Ἐκ διάρσεως μάχεσθαι, est, *cæsim rem gerere. To use their broad swords.* Quomodo locutus est Polybius, lib. II. p. 68. Οἱ δὲ Ῥωμαῖοι συνδραμόντες εἰς τὰς χεῖρας, τοὺς μὲν Κελτοὺς ἀπράκτους ἐποίησαν, ἀφελόμενοι τὴν ἘΚ ΔΙΑΡΣΕΩΣ αὐτῶν μάχην, ὅπερ ἴδιόν ἐστι Γαλατικῆς χρείας, διὰ τὸ μηδαμῶς κέντημα τὸ ξίφος ἔχειν. Qui locus notandus. Romani punctim, Galli cæsim pugnabant. Quod alibi ἐκ καταφορᾶς vocat Polybius. Recte autem scripsimus; Παραστάς τις ἐκ τῶν ὄπισθεν παρέσφαξε. Plut. in Numa: Αὐτὸς δὲ ΠΑΡΑΣΤΑΣ ΕΞΟΠΙΣΘΕΝ κατηρύξατο καὶ περιεσκέπει. Agathias, lib. III. p. 71. Ἰλυσπώμενον δὲ αὐτὸν ἔτι καὶ ἐπανιστησείοντα, ΠΑΡΑΣΤΑΣ ὁ τοῦ Ῥουστίκου δορυφόρος, καὶ ξίφει πατάξας τὴν κεφαλὴν, τελεώτατα ΚΑΤΑΚΤΕΙΝΕΙ· Sophocles, Œdip. Col. 985. Εἴ ΤΙΣ σε τὸν δίκαιον αὐτίκ' ἐνθάδε ΚΤΕΙΝΟΙ ΠΑΡΑΣΤΑΣ. Ceterum hoc fragmentum Polybio proculdubio est adsignandum. Quod ex stilo manifestum est. TOUP. Vid. Schweighæuser. ad Polyb. fr. gr. 107.

[g] ἐκ διαιρέσεως] Portus legendum censet, ἐκ διάρσεως: quæ emendatio vera mihi videtur. Quid sit autem ἐκ διάρσεως μάχεσθαι, ex Lexicis vulgatis notum est. KUST.

[h] παρὰ τὰς] παραστὰς, nisi verius sit πατάξας. HEMST.

[i] μάλην] μεγάλην V.

ΠΝΕΥΣΤΙΩΝ] Vid. Καματηρούς. HEMST.

ΠΝΙΓΕΥΣ: Ὁ φοῦρνος. Ὁ κρ.] Ex Schol. Aristoph. Nub. 96.

[k] Ἀριστοφάνης om. A.B.V.

ΠΝΙΓΕΙ ΜΕΤΡΙΩΙ] Aristoph. Av. 727. TOUP.

[l] Ἀριστοφάνης] Ran. 121.

[m] μὲν γὰρ] γὰρ om. A.E.M. Mox κάλων E.M. Post θρανίου addunt A.V. πλεῖν ἢ ἑαυτῷ etc. vid. supra p. 3008 B.

Καὶ [n]Ἀρριανός· A

Τὰ δὲ βράχη [o]πρὸς τῷ αἰγιαλῷ ἐπῴκεον ἄνθρωποι ἐν καλύβαις πνιγηραῖς.

Πνῖγος: Καῦμα.

[Πνοή:

[p]Δυσωδίαν νόμιζε τὴν ἀηδίαν.]

Πνύξ, [q]Πυκνὸς ἔδει· ἀλλὰ μεταθέσει στοιχείου [r]Ἀριστοφάνης [s]Πυκνὸς λέγει τὴν γενικήν.

Καὶ τῆς ἀγορᾶς, καὶ τῶν λιμένων, καὶ τῆς Πυκνός. B

Πνύξ: Ἐκκλησία. Παρὰ τὴν τῶν λίθων πυκνότητα. Ἡ ἀπὸ τοῦ πυκνοῦσθαι τοὺς ἄνδρας ἐν τῇ ἐκκλησίᾳ.

Πνυκός: [t]Ἀριστοφάνης·

Ὁπότερος [u]ἂν σφῷν εὖ με μᾶλλον ἂν ποιῇ,
τούτῳ παραδώσω τῆς Πυκνὸς τὰς ἡνίας.

Τουτέστι, τὴν ἐξουσίαν. Τροπικῶς ἀπὸ τῶν ἁρμάτων. Ταῖς γὰρ ἡνίαις ἡνιοχοῦνται οἱ ἵπποι· καὶ οἱ δῆμοι διὰ τῶν πολιτευομένων. C

Πνύξ, Πυκνός, Πυκνί· καὶ καθ' ὑπερβιβασμόν, Πυκνί.

Πόα: Ἑκάστη βοτάνη οὕτω λέγεται. Ἡ δὲ σμήχουσα, πόα λέγεται παρὰ Δημοσθένει καὶ Λυσίᾳ.

[[x]Ὡς ἐν πόᾳ πλυνάντων οὕτω μαλαχίαν ἔδοξασε.]

Ποδάγρα:

Τάφρους ὤρυξε, καὶ ποδάγρας [y]ὑφῆκεν ὡς θηρίοις τοῖς πολεμίοις. D

Ποδαλείριος: Ὄνομα κύριον.

Ποδαπός: Ποίου ἔθνους, ποίας χώρας. Φησὶ [z]Ξενοφῶν·

Ἐρωτώμενος δὲ, ποδαπὸς εἴη, Πέρσης ἔφη εἶναι.

Καὶ αὖθις·

Ποδαπός; Ἀντιοχεύς.



A [Πόδας:

[a]Πόδας καθαίρειν, φροντίδων δηλοῖ λύσιν.
Πόδας πλατεῖς ἔχοντα, σημαίνει λύπας.
Ποδῶν κοπέντων, μηδόλως ἄρχου [b]τρίβου.]

Ποδεῶνες: [c]Εἶδος γεωργικόν.

[d]Καὶ τρητοὺς ποδεῶνας ὁ γατόμος ἄνθετο Δηοῖ
Πάρμις, ἀνιηρῶν παυσάμενος καμάτων.

Ποδηγέστερον: [e]Ὀδηγητικώτερον.

B Ποδηγός: Παιδαγωγός.

Ποδήνεμος: Ἡ ταχεῖα.

[f]Αἰθυίης, ξένε, τόνδε ποδηνέμου εἵνεκε τύμβον.

Ποδήρης: Ἕως τῶν ποδῶν χιτών. Οἱ δὲ τὸ συρραπτόμενον εἰς τὸ κατώτερον τῆς στολῆς ἐκ πορφύρας ἢ βύσσου [g]ῥάκιον.

Ποδοκάκη: Ξύλον, εἰς ὃ ἐν εἱρκτῇ τοὺς πόδας ἐμβάλλοντες [h]συνέχουσιν· ὃ παρὰ Ῥωμαίοις [i]κοῦ- C ππος καλεῖται.

Ἐν εἱρκτῇ τε καὶ ποδοκάκῃ στρεβλούμενοι καὶ ταλαιπωρούμενοι ἔμενον.

Λέγεται καὶ ποδοστράβη.

Ὡς ἐν ποδοστράβαις τισὶ τοῖς βόθροις [k]ἐνειργόμενοι ἐκτείνοντο.

Ποδοκάκκη: Δημοσθένης κατὰ Τιμοκράτους. Τὸ ξύλον τὸ ἐν τῷ δεσμωτηρίῳ οὕτως ἐκαλεῖτο· ἤτοι D παρεμβεβλημένου τοῦ ἑτέρου κ, ποδῶν τις κάκωσις οὖσα· ἢ κατὰ συγκοπήν, ὡς Δίδυμος· οἷον, ποδοκατοχή.

Ποδοστράβη: Ποδοστράβας ἔλεγον μηχανήματά τινα ὑπὸ τῶν κυνηγετῶν κατασκευαζόμενα, εἰς ἃ τὰ θηρία ἐμβαίνοντα ἡλίσκετο. Οὕτως Ὑπερίδης καὶ [l]Ξενοφῶν.

E

[n] Ἀρριανός] De Reb. Ind. p. 556. KUST.

[o] παρὰ τῷ] πρὸς τῷ A.V.

ΠΝΙΓΟΣ] Vid. Schol. Platon. 64.

[p] Δυσωδίαν νόμιζε τὴν ἀηδ.] Senarius hic oneirocriticus, qui legitur apud Astrampsychum et Nicephorum, occurrit etiam supra v. Δυσωδία, ubi suus ei locus est. KUST. Om. V. Habet A. in marg.

[q] Πυκνός] Vid. infra Πυκνός. De Pnyce Athenis vid. Meurs. Athen. Att. II. 9. REINES. Vide Ruhnkenium ad Tim. p. 219. Steph. Byz. ab Hemsterhusio F correctum apud Porsoni Aristophanica ad Equit. 1105. p. 100. Duker. Thucyd. VIII. 97.

[r] Ἀριστοφάνης] Equit. 165.

[s] Πυκνός] Bis Πυκνός A.V.

ΠΝΥΞ: Ἐκκλησία. Παρὰ τὴν τῶν π.] Ex Schol. Aristoph. Acharn. 20. Vid. Schol. Platon. p. 310.

[t] Ἀριστοφάνης] Equit. 1105.

[u] ἂν σφῷν] ἂν om. A.B.V.E.M. Mox ποῇ A.

ΠΟΑ: Ἑκάστη βοτ.—καὶ Λυσίᾳ] Ex Schol. Aristoph. G Equit. 603.

[x] Ὡς ἐν πόᾳ] Hæc om. A.V. Kusterus interpretari neglexit, positis tamen stellulis corruptum locum esse aut intellectu difficilem indicare volens.

[y] ὑφῆκεν] Vid. v. Πάγας. TOUP.

ΠΟΔΑΛΕΙΡΙΟΣ] Vide Schol. Aristoph. Plut. 639.

[z] Ξενοφῶν] Anab. IV. 4, 17.

[a] Πόδας καθαίρειν, φρ.] Hic et duo sequentes senarii ad somniorum interpretationem pertinent, qui leguntur apud Astrampsychum. KUST. A. marg. om. V. H

[b] τρίβου] τρίβων B.E.

[c] Εἶδος γεωργικόν] Lego, εἶδος ὑποδήματος γεωργικοῦ. KUST.

[d] Καὶ τρητοὺς ποδεῶνας ὁ γ.] Anthol. Pal. VI. 95.

[e] Ὀδηγητικώτερον] Sic habent 2 mss. Paris. et omnes editt. præcedentes [et Phot.]: itemque Eustathius ad Odyss. β'. p. 1441, 12. ubi hunc ipsum locum Suidæ citat. At in ms. Paris. A. legitur, ὁδηγικώτερον. KUST.

[f] Αἰθυίης] Anthol. Pal. VII. 212.

[g] ῥάκιον] Sic habet ms. Paris. A. [et Photius.] At reliqui mss. et editt. præcedentes minus recte, ῥακίον. KUST.

ΠΟΔΟΚΑΚΚΗ] Vid. Κυφόν, quod idem. REINES. Ποδοκάκη A.V. Phot. qui mox om. εἰς. ὃ ἐν εἱρκτῇ Phot. Simeon Metaphrastes ms. Nov. Coll. in Martyrio Luciani, εἰς τὴν ποδοκάκην, ξύλον δὲ τρύπημά ἐστι στρεβλωτήριον, ἀμφοτέρους αὐτοῦ τοὺς πόδας ἐνεβίβαζον.

[h] συνέχουσιν] κατέχουσιν E.

[i] κῦππος] Id est, cippus. Sic enim Latini recentiores vocant id, quod Græcis est Ποδοκάκη. Glossæ veteres: Cippus, ποδοκάκη. Salmasius de Modo Usur. p. 814. 815. pro κῦππος hic legendum censet κοῦσπος. Certe κοῦσπος apud Græcos recentiores nervum vel ποδοκάκην significat, ut vel ex Dufrenii Glossario constat. At nihil tamen ideo hic mutandum est, cum κῦππος sit ipsa vox Latina cippus, Græcis tantum literis scripta. KUST. Κῦππος, κοῦσπος, κυφὸς, et κυφῶνες. Latinum inde κοῦσπος e κυφὸς, inserta suo more litera s. Ultima Latinitas cippos vocavit, unde cipparipedes, vel incippare. Galli ceppos vocant. Gl. Basilic. Ποδοκάκη: ξύλον τὸ ἐν εἱρκτῇ, ἐν ᾧ τοὺς πόδας ἐμβάλλοντες ἔχουσιν, ὃ παρὰ Ῥωμαίοις καλεῖται κοῦσπος. Vid. Meurs. Gloss. ad Κοῦσπος et Κῦππος. REINES. Dedi κοῦσπος cum A.B.V.E.M. et Photio.

[k] ἐνειργόμενοι] Wakefieldus ad Lucret. III. 1030. corrigit ἐνειρόμενοι.

ΠΟΔΟΚΑΚΚΗ: Δημοσθ.] Ex Harpocratione. KUST. Δημοσθένης] P. 733, 6. ubi nonnulli libri Ποδοκάκη, nonnulli ποδοκάκη cum Harpocr. ms. Pal. et Photio.

ΠΟΔΟΣΤΡΑΒΗ] Vide Petitum de Leg. Attic. p. 370. KUST.

[l] Ξενοφῶν] Plura loca collegit Sturzius in Lex. Xenoph.

Ποδώκεια: Ἡ ταχεῖα.

Πόδωκος: Ὄνομα κύριον.

Ποδορρώνη: Ὄνομα κύριον.

Ποδοῖϊν: Ποδῶν.

Ποηφάγον θηρίον: [[m]Τὰς βοτάνας ἐσθίον.]

Πόηχος: Ὄνομα κύριον.

Πόθεν: Ἀρνητικόν. Ἴσον τῷ οὐδαμῶς.

Πόθεν. Ποῖ. Ἐπὶ πάσης μεταβολῆς τοῦτο ληπτέον· ὥς φησιν Ἀριστοτέλης.

Ποθέεσκεν: Ἐπόθει, ἐπεζήτει.

Ποθή: Ἡ ἐπιζήτησις.

Ποθεινός: [[n]Πεποθημένος.]

Ποθεῖς:

> [o]Ποθεῖς τὸν οὐ παρόντα, καὶ μάτην καλεῖς.

Πόθι: Ποῦ.

Ποθῶ: Αἰτιατικῇ.

Πόκος: [[p]Ποκάριον.

Ποκάδες: Αἱ διεκτενισμέναι τρίχες.

Πόκα: Ἀντὶ τοῦ, ποτὲ, Δωρικῶς. Ἀφ' οὗ καὶ οὐδέποκα.]

Πολλά: [q]Ἀντὶ τοῦ πάντα εἴωθεν ὁ Θουκυδίδης χρῆσθαι.

Πολλά γ' ἡμᾶς λανθάνει: Ἀντὶ τοῦ, οὐ πάντα γινώσκομεν τὰ πράγματα.

Πολλὰ [r]κενὰ τοῦ πολέμου: [s]Πολύβιος·

> Ὅτι τῆς σελήνης ἐκλειπούσης ἐπὶ Περσέως τοῦ Μακεδόνος, ἐκράτησεν ἡ φήμη παρὰ τοῖς πολλοῖς, ὅτι [t]βασιλέως ἔκλειψιν σημαίνει. Καὶ τοῦτο [u]τοὺς μὲν Ῥωμαίους εὐθαρσεστέρους ἐποίησε, τοὺς δὲ [x]Μακεδόνας ἐταπείνωσεν ταῖς ψυχαῖς. Οὕτως ἀληθές ἐστι τὸ περιφερόμενον, ὅτι πολλὰ κενὰ τοῦ πολέμου.

Καὶ ἅμα τῇ κόρῃ παρεσκεύασε πομπὴν ἐπιφανῆ, ἁρμάμαξάν τε λαμπρὰν, καὶ ἐσθῆτα [k]σοβαρὰν, καὶ θεραπείαν συχνήν.

**Πομπίλιος**: Ὄνομα κύριον. Καὶ **πομπίλος**, ἰχθύς.

**Πομπόν**: Συνοδοιπόρον, καὶ προπέμποντα.

**Πομποστολεῖ**: Ἐκπέμπει τῇ νηῒ τὸν στόλον.

**Πομπώνιος**: Ὄνομα κύριον.

**Πομφόλυγες**: Αἱ ἐκ τῶν ὄμβρων, ἢ ἄλλως καταφερόμεναι.

Ὁ δὲ δίκην πομφολύγων ἐκ φύσεως διαλύει τὸ ἔπαυλον.

**Πομφόλυξ**: Ἐκβρασμὸς ὕδατος.

**Πομφολυγοπαφλάσμασιν**: Ἐν ταῖς δίναις τῶν ὑδάτων. Πομφόλυγες γὰρ, αἱ φλυκταινώδεις δῖναι. Ἀπὸ τοῦ παφλάζειν.

Ὥσπερ πομφόλυξ ῥαγεῖσα ἀφανίζεται, οὕτω μνήμη ὑπερηφάνου ὄλλυται μετὰ θάνατον.

**Πονεύμενον**: Ἐνεργοῦντα.

**Πονεῖν**: Ἐνεργεῖν.

**Πονεῖσθαι**: Ἐνεργεῖν.

[l]Τραϊανὸς ὁ βασιλεὺς δίκαιος ἦν, καὶ τῷ σώματι ἐρρωμένος τεσσαρακοστὸν ἄγων ἔτος [m]ἦρξε, καὶ ἐβούλετο ἐξίσου πάντα τοῖς ἄλλοις τρόπον τινὰ πονεῖσθαι.

**Πονηρὰ κατὰ τρυγόνα ψάλλεις**: Ἐπὶ τῶν μοχθηρῶς καὶ ἐπιπόνως ζώντων. Καὶ γὰρ ἡ τρυγὼν, ἐπειδὰν πεινᾷ, τότε μάλιστα ψάλλει.

**Πονηρία**: Ὁ ἐκ [n]παρασκευῆς εἴς τινα παρά του πόνος γινόμενος, παρὰ τῷ [o]Ἀποστόλῳ.

**Πόνηρος**: Ἐπίπονος. Ἡ πρώτη ὀξεῖα. Ἐπὶ σώματος προπαροξύνεται· καὶ **ἕλκει πονήρῳ**. Ἐπὶ δὲ ψυχῆς, [p]ὀξυτόνως. Λέγεται δὲ καὶ **πονηρὸν ὕδωρ**.

**Πονηροῖς, κἀκ πονηρῶν, εἰς [q]ἅπαντα χρώμεθα, οἷσιν ἡ πόλις προτοῦ οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν**: Τουτέστι, τοῖς λεγομένοις καθάρμασι πόλεως.

[a] Δηϊοτάρῳ] Δηϊοταύρῳ V.

[t] ἱεροῦ] τοῦ ἱεροῦ A.V. ἱεροῦ B. Mox ἀνήρπασεν E.

[u] περὶ οὗ φασι, μετὰ τὰς σπονδὰς δειπνεῖν τὸν K.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Joannis Antiocheni, quæ leguntur in Excerptis a Valesio editis, p. 801. KUST. Deest hic articulus A.

[x] μετὰ] ὅτι μέτα V. qui mox Ἀντωνία.

[y] τοῦ Πομπηΐου] τοῦ om. V.E.

[z] τὸ δεῖπνον] τὸν δεῖπνον E.M. qui mox τοῦτο.

[a] ὄντων ἔνδον] ἔνδον ὄντων V.

[b] τὰ πλείστου] τοῦ πλοίου E. Mox βούλει E. Tum νηὸς V. Infra Σαρδόνος M.

[c] τὸν δὲ] δὲ om. V. Mox ἀποκρίνασθαι B.E.

[d] προειπόντα] προσειπόντα V.

[e] Νῦν δὲ οὐ πρὸς ἡμ.] Hæc repetuntur infra v. Στέρξαι. KUST. Mox ἀποκρίνασθαι M.

[f] ἡμῶν γὰρ] γὰρ om. V.

[g] πέμψιν] τὴν πέμψιν A.V. Photius.

[h] Θουκυδίδης] IV. 108.

[i] θείας πομπῆς] Ælian. V. H. VIII. 1. ubi θείᾳ πομπῇ legend. v. Suid. in Ἀναλέθησαν. Plutarch. Rom. p. 23. TOUP.

[k] σοβαρὰν] σοβαρὴν A. Mox καὶ om. B.E.

ΠΟΜΠΗΛΙΟΣ] Erat cognomen Numæ Regis. KUST. ib. Πομπίλιος A.B.V. Mox Πομπίλιος A.V. pro πομπίλος.

ΠΟΜΠΟΝ] Vid. Sophocl. Œd. Col. 1019.

ΠΟΜΠΟΝΙΟΣ] Potius, Πομπώνιος, per ω, in syllaba secunda. KUST. Sic A.B.V. et E. pro v. l.

ΠΟΜΦΟΛΥΓΕΣ: Αἱ ἐκ τῶν] Locus mutilus et corruptus. Scribe, Πομφόλυγες. Αἱ ἐκ τῶν ὄμβρων ἢ ἄλλων καταφερομένων ὑδάτων ἐπὶ ὕδασι εὐδιάλυτοι κυρτώσεις. Quomodo recte legitur apud Etymologum. Confer Schol. ad Aristoph. Ran. 251. Schol. ad Arat. p. 126. et Hemsterhus. ad Luciani Contempl. p. 515. Quæ sequuntur deprompta sunt ex Theophylacto Simocatta, lib. IV. c. 15. Vox autem Ἔκφυσις eodem sensu legitur apud Etymolog. v. Ἀναπλήσας. Οἱ γὰρ κανεῖς τισὶ συνεχόμενοι, πνεύματος τὰς γνάθους πληροῦντες, ΤΑΣ ΕΚΦΥΣΕΙΣ ἀποτελοῦσιν. Ubi tamen ἐκφυσήσεις malit Sylburgius. TOUP.

ΠΟΜΦΟΛΥΓΟΠΑΦΛΑΣΜΑΣΙΝ: Ἐν ταῖς δ.] Ex Schol. Aristoph. Ran. 251. KUST.

[l] Τραϊανὸς] Ex Dion. Cass. LXVIII. 6. ubi tamen paulo aliter leguntur.

[m] ἦρξε om. A. καὶ om. V. Tum ἠβούλετο A.V.

ΠΟΝΗΡΑ] Πονηράν. HEMST. Mox μοχθηρῶς A.

ΠΟΝΗΡΙΑ: Ὁ ἐκ παρασκ.] Vide paulo post v. Πόνηρος. KUST.

[n] παρασκευῆς] κατασκευῆς A.

[o] Ἀποστόλῳ] Vid. Paulus ad Rom. I. 29. 1 Cor. V. 8. Chrysost. in Ps. CXL. πονηρία εἴρηται ἐκ τοῦ πόνον ἐπάγειν καὶ μόχθον αὐτῷ τῷ κεκτημένῳ. ERNEST. Statim delevi ΠΟΝΗΡΟΠΟΛΙΣ: Ἔστι δέ τις καὶ περὶ Θρᾴκην Πονηρόπολις, ἣν Φίλιππόν φασι συνοικίσαι, τοὺς ἐπὶ πονηρίᾳ διαβαλλομένους αὐτόθι συναγαγόντα, συκοφάντας, ψευδομάρτυρας, καὶ τοὺς συνηγόρους. Καὶ τοὺς ἄλλους πονηροὺς ὡς δισχιλίους· ὡς Θεόπομπος ἐν ιγ'. τῶν Φιλιππικῶν, cum A.V. quæ male repetita sunt ex v. Δούλων πόλις.

[p] ὀξυτόνως] ὀξύνεται V.

ΠΟΝΗΡΟΙΣ, ΚΑΚ ΠΟΝΗΡΩΝ ΕΙΣ ἍΠ.] Aristoph. Ran. 742. Καὶ πονηροῖς, κἀκ πονηρῶν, εἰς ἅπαντα χρώμεθα, Ὑστάτοις ἀφιγμένοισιν, οἷσιν ἡ πόλις προτοῦ Οὐδὲ φαρμακοῖσιν εἰκῇ ῥᾳδίως ἐχρήσατ' ἄν. Hinc Suidas supplendus est. KUST.

[q] ἍΠΑΝΤΑ] πάντα A.

[f] Οὐδὲν πονηρὸν, ἀλλ' ὅπερ καὶ [g] Καλλικῶν.

Ὁ Καλλικῶν οὗτος προὔδωκε Σάμον, οἱ δὲ, Μίλητον. Ὡσεὶ εἶπεν, οὐδὲν κακὸν ποιῶ, ἀλλ' ἱεροσυλῶ. Ἐπὶ πονηρίᾳ γὰρ τεθρύλληται ὁ Καλλικῶν οὗτος, ὃς προὔδωκε Μίλητον Πριηνεῦσι. Πυνθανομένων δὲ πολλάκις αὐτοῦ τινων, τί μέλλει ποιεῖν, ἔλεγε, πάντα ἀγαθά. [t] Πάντα οὖν ἀγαθὰ, φησὶ, ποιῶ, ὡς ἔλεγε Καλλικῶν. Ὕστερον [u] μέντοι παρὰ Θεαγένους τινὸς εἰσῆλθεν ὠνησόμενος [x] κρέας. Κἀκεῖνος ὑποδεῖξαι ἐκέλευσε, B πόθεν κόψαι θέλει. Προτείναντος δὲ τὴν χεῖρα, ἀπέκοψε, καὶ εἶπε· Ταύτῃ τῇ χειρὶ οὐ προδώσεις [y] πόλιν ἑτέραν. Μέμνηται δὲ καὶ [yy] Καλλίμαχος·

Μὴ σύ γε, [z] Θειάγενες, κόψαις χέρα [a] Καλλικόωντος.

Προδοὺς δὲ Μίλητον τοῖς πολεμίοις, πυνθανομένου τινὸς, ὅτι τοῦτο ἐποίησεν, ἀποκρίνασθαι, "ἀγαθὰ Καλλικῶν." [b] Καὶ Ἀριστοφάνης φησὶ, τοῦ ΠΟΝΗΡΟΥ ΚΟΜΜΑΤΟΣ. Ἀπὸ τοῦ παρακεκομμένου ἀργυρίου. C

Πόνηρος: [c] Ἔστι [d] παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ·

Πονήρους γ' εἶπας ἡμῖν ξυμμάχους.

Ἀντὶ τοῦ μοχθηροὺς, καὶ ἐπιπόνους, ἀσθενεῖς, ἀπράκτους. Ὡς φαμὲν,

[e] Πονήρως ἔχει ἡμῖν τὰ πράγματα.

Ἡ ἀτυχὴς, ἄθλιος.

Ἐπὶ ἴνου πονήρας [f] ὀχούμενος.

D [g] Λέγεται δὲ καὶ ΠΟΝΗΡΟΝ ὝΔΩΡ, τὸ νοσοποιόν. Πονηροὶ λέγονται καὶ ἐπίπονοι. Καὶ [h] παροιμία· [i] Πόνοι πονηρός. Μοχθηρὸς, σφόδρα πονηρός. Διὰ τὸν πόνον κατ' ἐνέργειαν ὁ ἐπίπονος.

Πονήσαντα: Ἀντὶ τοῦ, παλαιωθέντα. [k] Ἀρριανός·

Τὰ δὲ πονήσαντα αὐταῖς οὐ χαλεπῶς [l] ἐπεσκευάσθη.

Καὶ αὖθις·

E Πονουμένῳ αὐτῷ περὶ τῆς [m] βασιλείας τῶν Πάρθων ξυμβάλλουσι δύο τινές.

A Πόνον: [n] Ὅμηρος ἐπὶ τῆς ἐνεργείας τίθησι. Καὶ πονεῖν, τὸ ἐνεργεῖν.

Πόνον σπείρειν: Παροιμία ἐπὶ τῶν μάτην πονούντων.

Πόνος: Σπουδὴ, ἐπίτασις.

Καὶ ἦν πόνος μυρίος ἑκάστοις ἐπειγομένοις δρᾶσαι τὸ προσταχθέν. Καὶ ἀγώνισμα [o] ἐτίθετο ἕκαστος ἑαυτοῦ τῆς Περσῶν προθυμίας τε καὶ σπουδῆς.

B Πόνος πόνῳ πόνον φέρει: [p] Λείπει ἡ πρὸς ἵν' ᾖ, ὁ πόνος πρὸς τῷ πόνῳ πόνον φέρει. Καὶ ἔστι τὸ μὲν πόνος πόνῳ ἀρχαϊκὸν, ὡς ἔργον ἐπ' ἔργῳ· τὸ δὲ δεύτερον πόνον, κοινῶς· οἷον κάματον. Καὶ [q] Ὅμηρος·

Πάντῃ δὲ κακὸν κακῷ ἐστήρικται.

[r] Σοφοκλῆς ἐν Τραχινίαις·

Νὺξ γὰρ εἰσάγει,
καὶ νὺξ ἀπωθεῖται [s] διαδεγμένη πόνον.

C Ποντίφιξ: Ὁ μέγας παρὰ Ῥωμαίοις ἱερεὺς, ὃν Νουμᾶς ὁ Ῥωμαίων νομοθέτης κατέστησεν, ἡνίκα βιαίῳ ῥεύματι φερόμενος ὁ Θύβρις τὸ πρεσβύτατον [t] ζεῦγμα ἐλάμβανεν. [u] Εὐχὰς γὰρ οὗτος μειλικτηρίους πρὸς τῷ ποταμῷ ποιησάμενος, μὴ [x] διαξῆναι τὴν γέφυραν, ἔπεισε τὸν ποταμὸν ἡσυχῇ καὶ εὐτάκτως ἀνασχέσθαι τοῦ [y] ζεύγματος. [z] Καὶ τοὺς λεγομένους Ποντίφικας καὶ Φλαμινίους τοῖς ἱερεῦσιν [a] ἐπέστησε.

D Ποντοβρόχους: Ὑπὸ θαλάσσης βρεχομένους.

Πόντος: Κυρίως μὲν ὁ ἔνδον τῆς Χερρονήσου καὶ [b] τοῦ Εὐξείνου καλούμενος· καταχρηστικῶς δὲ, πᾶσα [c] ἡ θάλασσα. [d] Καὶ παροιμία· Πόντος ἀγαθῶν. Ἐπὶ τῶν πολλῶν ἀγαθῶν, καὶ μεγάλων· ὥσπερ, Ἀγαθῶν θάλασσα. Ἀριστοφάνης·

Ὦ Ποντοπόσειδον.

E Ἀντὶ τοῦ, μέγιστε Πόσειδον. Ἀπὸ τοῦ Πόντου μεταφορικῶς.

[f] Οὐδὲν πονηρὸν, ἀλλ' ὅπ.] Aristoph. Pac. 362.

[g] Καλλιφῶν] Aristophanes loco laudato habet, Καλλικῶν: et sic ipse Suidas supra v. Καλλικῶν. KUST. Καλλιφῶν A. et in seqq. Καλλικῶν V. bis.

[t] Πάντα—ποιῶ om. V.

[u] μέντοι παρὰ] ... περὶ V.

[x] κρέας] κρέα A.V.

[y] πόλιν] χώραν E.

[yy] Καλλίμαχος] Fr. 227.

[z] Θειάγενες] Θεάγενες B.V.E. Θεογενὲς A. Mox κόψας A.B.V.

[a] Καλλιφῶντος] Metri gratia scribendum est, Καλλιφόωντος. KUST. Καλλιφόωντος A.V.

[b] Καὶ Ἀριστοφάνης φ.] Plut. 863.

[c] Ἔστι] ἔστι προπαροξύτονον V. qui infra om. ἀσθενεῖς, ἀπράκτους.

[d] παρὰ Ἀριστοφάνει ἐν Πλούτῳ] Ver. 220.

[e] πονήρως ἔχει] Philostrat. Heroic. p. 664, 15. HEMST.

[f] ὀχούμενος] Delevi post h. v. ΠΟΝΗΡΟΝ ... λέγει ὁ Ἀπόστολος, τὸν ἐκ κατασκευῆς εἴς τινα παρά τι πόνον γινόμενον, cum A., quæ paulo supra leguntur.

[g] Λέγεται δὲ καὶ πονηρὸν ὕδωρ] Arrian. Exped. IV. 4. Καὶ, ἦν γὰρ ΠΟΝΗΡΟΝ ΤΟ ὝΔΩΡ, ῥεῦμα ἄθρουν κατασκήπτει αὐτῷ ἐς τὴν γαστέρα. Ad hunc locum respexit Suidas. TOUP.

[h] Παροιμία. ΠΟΝΟΙ ΠΟΝΗΡΟΣ] Confer Vatic. Append. III. 56. KUST. H

[i] ΠΟΝΟΙ ΠΟΝΗΡΟΣ] Aristoph. Vesp. 464. quæque ibi notavi. HEMST. et Lysist. 350. διὰ τὸν πόνον κ. ἐ. ὁ. ἐ. om. V.

[k] Ἀρριανός om. E.

[l] ἐπεσκευάσθη] ἐπεσκευάσθαι V.

[m] βασιλείας] τῆς βασιλείας A.B.V.E. Mox Πάρθων A.

[n] Ὅμηρος ἐπὶ τῆς ἐνεργείας] Apollonii Lex. Πόνος: τὸ ἐνέργημα. Schol. Ven. Il. κ'. 164. ὅτι πόνον τὴν ἐργασίαν. Nunquam Homerum πόνον usurpasse pro dolore notat idem schol. ad Il. β'. 291. Mox καὶ πονεῖν τὸ ἐ. om. A.

[o] ἐτίθετο] ἐτίθεντο A.

F ΠΟΝΟΣ ΠΟΝΩΙ] Ex Sophocl. Aj. 866. et Schol.

[p] Λείπει—φέρει om. V.

[q] Ὅμηρος] Il. π'. 111. KUST.

[r] Σοφοκλῆς ἐν Τραχινίαις] Ver. 29.

ib. ὁ αὐτὸς Ἀριστοφάνης A.V. ὁ αὐτὸς Σοφοκλῆς E.

[s] διαδεγμένη] δεδειγμένη A.

[t] ζεῦγμα ἔλαβεν] Nugæ. Pons ab Anco primum structus est, et Numa, hujus avus, instituerit ob eum pontifices? REINES.

G [u] Εὐχὰς γὰρ] γὰρ om. A.V.E. Mox πρὸς τῷ π. μειλικτηρίους A.

[x] διαξῆναι] διαπαῖξαι V.

[y] ζεύγματος] πράγματος A.B.V.E.

[z] Καὶ τοὺς λεγομένους] Vid. supr. in Νουμᾶς. REINES.

[a] ἐπέστησε] ἐπέστησαν A.V.

ΠΟΝΤΟΒΡΟΧΟΥΣ] Ποντοβρόχους A. Ποντόβροχος: θαλασσόβροχος Photii ms. Specturi 3 Maccab. VI. 4. monet Albert. ad Hesych.

[b] τοῦ Εὐξείνου] τοῦ om. A.B.V.

H [c] ἡ θάλασσα] ἡ om. V. Mox ὁ ante Ποντοπόσ. om. A.

[d] Καὶ παροιμία· ΠΟΝΤΟΣ ἈΓΑΘΩΝ] Hæc magnam partem leguntur apud Schol. ad Aristoph. Plut. 1051. qui et proverbium illud, Πόντος ἀγαθῶν, Sophronis esse docet. Phœnix Coloph. apud Athenæum, lib. XII. p. 530. Ἀνὴρ Νίνος τις ἐγένεθ', ὡς ἐγὼ κλύω, Ἀσσύριος, ὃς τις εἶχε ΧΡΥΣΙΟΥ ΠΟΝΤΟΝ. TOUP.

[[f]Ὅτι πρώτῳ Ποπλίῳ ἐλλογίμῳ, ἀμοιβῆς δεξιῶς γενομένης, ὑπὸ Ῥωμαίων ἐδόθη στέφανος ἀγρώστεως χλωρᾶς.]

[g]Ὅτι ποτὲ νεανίσκοι τινὲς τῶν Ῥωμαίων ἐπιτυχόντες παρθένῳ κατὰ τὴν ἀκμὴν καὶ τὸ κάλλος διαφερούσῃ τῶν ἄλλων γυναικῶν, καὶ συνιδόντες [h]φιλογύνην ὄντα τὸν Πόπλιον, ἧκον αὐτὴν ἄγοντες, καὶ παραστήσαντες ἔφασκον αὐτῷ δωρεῖσθαι τὴν κόρην. Ὁ [illegible] καταπλαγεὶς, καὶ θαυμάσας τὸ κάλλος, ἰδιώτης μὲν ὢν οὐδεμίαν ἂν ἥδιον ἔφη δέξασθαι ταύτης τῆς [i]δωρεᾶς, στρατηγὸς δ᾽ ὑπάρχων, οὐδ᾽ [k]ὁποίαν ἧττον· τοῦτ᾽ αἰνιττόμενος διὰ τῆς ἀποφάσεως, διότι κατὰ μὲν τὰς ἀναπαύσεις ἐνίοτε καὶ ῥαθυμίας ἐν τῷ ζῆν ἡδίστας τοῖς νέοις ἀπολαύσεις τὰ τοιαῦτα παρέχεται καὶ διατριβὰς, ἐν [illegible] τοῖς τοῦ πράττειν καιροῖς μέγιστα γίνεται [l]καὶ κατὰ ψυχὴν καὶ κατὰ σῶμα ἐμπόδια τοῖς χρωμένοις. Τοῖς μὲν οὖν νεανίσκοις ἔφη χάριν ἔχειν, τὸν δὲ τῆς παρθένου πατέρα καλέσας, καὶ δοὺς [m]αὐτὴν ἐκ χειρὸς, ἐκέλευε συνοικίζειν ᾧ ποτ᾽ ἂν προαιρῆται τῶν πολιτῶν. Δι᾽ ὧν καὶ τὰ τῆς ἐγκρατείας καὶ τὰ τῆς μετριότητος ἐμφαίνων, μεγάλην [n]ἀποδοχὴν εἰργάζετο τοῖς [o]ὑποταττομένοις.

Πόπλιος [oo]Σκιπίων, Λευκίου κατὰ φύσιν υἱὸς, Ποπλίου δὲ τοῦ μεγάλου κληθέντος κατὰ θέσιν υἱωνὸς, κύριος γενόμενος τῆς Καρχηδόνος, ἥτις ἐδόκει [p]πολυχρημονεστάτη τῶν κατὰ τὴν οἰκουμένην εἶναι πόλεων, ἁπλῶς τῶν ἐξ ἐκείνης οὐδὲν εἰς τὸν ἴδιον βίον μετήγαγεν, οὔτ᾽ ὠνησάμενος, οὔτ᾽ ἄλλῳ τρόπῳ κτησάμενος οὐδὲν, καίπερ οὐχ ὅλως εὐπορούμενος κατὰ τὸν βίον· ἀλλὰ μέτριος ὢν κατὰ τὴν ὕπαρξιν ὡς Ῥωμαῖος, οὐχ οἷον δὲ τῶν ἐξ αὐτῆς τῆς [q]Καρχηδόνος ἀπέσχετο μόνον, ἀλλὰ καὶ καθόλου τῶν ἐκ τῆς Λιβύης οὐδὲν ἐπιμιχθῆναι πρὸς τὸν ἴδιον εἴασε βίον. Τοῦτο ἀναμφισβήτητον παρὰ Ῥωμαίοις.

Πόπλιος Σκιπίων Ἀφρικανὸς, τὴν στρατιὰν εὑρὼν διεφθαρμένην, ἐπανώρθωσεν. Ὃς καὶ τὴν Καρ- A χηδόνα εἰς ἔδαφος καθεῖλε. Προσημᾶναι δὲ αὐτῷ τοῦ [r]πολέμου τὸ πέρας τὴν τοῦ ξίφους λαβὴν, αἵματι πολλῷ ῥεομένην, καὶ πολλάκις μὲν ἀποματτομένην, πλέον δὲ ἀνιεῖσαν ἀεὶ τοῦ αἵματος. Τοὺς γὰρ μάντεις πολὺν [s]φόνον τῶν ἐναντίων σημαίνειν τὸ τέρας ὑποκρίνασθαι.

Πόπλιος Οὐαλέριος, ὁ συνύπατος Βρούτου, [t]ἄξιος μὲν πολλῶν καὶ ἄλλων ἐπιτηδευμάτων χάριν B ἐπαινεῖσθαί τε καὶ θαυμάζεσθαι, μάλιστα δὲ τῆς αὐταρκείας τοῦ βίου. Ἡ φιλοσοφία τις αὐτοδίδακτος ἐγένετο περὶ αὐτὸν, ἣν ἐν πολλοῖς ἐπεδείξατο πράγμασι.

Πόππυζε: [u]Ἐν Ἐπιγράμμασι·

Παῖζε μόνη τὸ φίλημα· μάτην πόππυζε σεαυτῇ.

Ἀντὶ τοῦ, κολάκευε, κήλει.

Ποππύσματα: [x]Κολακεῖαι εἰς τοὺς ἀδαμάστους C ἵππους.

Πόρδαλις: Τὸ ζῶον.

Πορεῖα: Τὰ εἰς πορείαν χρήσιμα.

Πόριες: Νέοι βόες, μόσχοι.

[Πορίζω: Δοτικῇ.]

Πορίμοι: Ἄνυσιν καὶ ἐπίνοιαν ἔχοντι.

[y]Ἐγχειρεῖν χρὴ ἔργῳ πορίμῳ.

Πορισώτατος:

D Ταύτην ἔδοξεν εἶναι πορισωτάτην ἐπιβολήν.

Ἀντὶ τοῦ, ἐπικερδῆ. Καὶ πορίζονται, ἀντὶ τοῦ, κερδήσουσι.

Πορισταί: Οἱ τοὺς πόρους εἰσηγούμενοι δημαγωγοὶ ἐπὶ τῷ ἑαυτῶν λυσιτελεῖ.

Πορθήσειας: Ἕλοις, λάβοις.

Πόρθησις: Ἐρήμωσις.

E Πορθμεύει:

Εὑρίσκει Νέσσον πορθμεύοντα μισθοῦ, καὶ πείθει αὐτὸν, ὡς πορθμεύσειεν Ἀλκμήνην καὶ Δηϊάνειραν.

Πορθμεῖον: Τὸ πλοῖον. Πορθμίον δὲ, τὸ ναῦλον.

[f] Ὅτι πρώτῳ—χλωρᾶς om. V. Habet A. in marg. Πολλίῳ ἐλλο .... E.M. Mox ἀγρώστεω M.

[g] Ὅτι ποτε] Polybius X. 19.

[h] φιλογύναιον] φιλογύνην A.B.V. Polyb.

[i] δωρεάν] τῆς δωρεᾶς A. Polyb.

[k] ὁποιανοῦν] ὁποίαν A.B.V. ὁποίαν ἂν Polyb. οὐδ᾽ om. E. Mox τοῦτ᾽ αἰνιττόμενος—τοῖς χρωμένοις om. V.

[l] καὶ κατὰ] καὶ om. A.E.

[m] αὐτῷ ταύτην] αὐτὴν A.V. Polyb. αὐτῷ om. B. Tum τῆς pro ἐκ V. Mox ἐκέλευε A. cum Polyb. pro ἐκέλευσε.

[n] ἀποδοχὴν] ὑποδοχὴν E.M.

[o] ὑποτεταγμένοις] ὑποταττομένοις A. Polyb. Supra ἐνειργάζετο Polyb.

ΠΟΠΛΙΟΣ ΣΚΙΠΙΩΝ, Λευκίου κατ.] Et hæc sunt verba Polybii, quæ exstant in Collectaneis Constantini a Valesio editis, p. 101. KUST.

[oo] Σκηπίων A. et sic in artic. seq. Mox Λευκίου cum edd. M. Ald. restituendum pro Λουκίου docuit Schweighæuser.

[p] πολυχρημονεστάτη] πολυχρημονέστατος V. qui mox om. βίον.

[q] Καρχηδόνος] Κα^χηδό^ρνος A. Statim delevi νομισμάτων cum A.V. et Excerpt.

[r] πολέμου] πολεμίου V. qui mox τέρας et λαβεῖν.

[s] φόνον πολὺν] πολὺν φόνον A.

[t] ἄξιος μὲν πολλῶν καὶ ἄλλων ἐπιτ.] Hæc excerpta sunt ex Dionysii Halic. Antiq. Rom. lib. V. p. 287. ut Pearsonius monuit. Vide etiam supra v. Αὐτάρκεια. KUST.

[u] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. V. 245.

F [x] Κολακεῖαι—ἵππους] Schol. Platon. p. 252. Ποππυσθείς: κολακευθείς, ἐκ μεταφορᾶς τῶν ἐπὶ τοῖς ἵπποις ποππυσμάτων ἐν τῷ δαμάζεσθαι.

ΠΟΡΔΑΛΙΣ: Τὸ ζῶον ἄρσεν. ΠΑΡΔΑΛΙΣ, τὸ θηλ.] Discrimen, quod Suidas hic inter πόρδαλις et πάρδαλις statuit, est tantum imaginarium, ut monuit etiam Stephanus in Thesauro: quem vide. KUST. Delevi ἄρσεν. ΠΑΡΔΑΛΙΣ, τὸ θηλυκὸν, cum A.B.V. ἢ καὶ πάρδαλις habet E. Photius: Πόρδαλιν οἱ ἄλλοι Ἕλληνες· Ἀττικοὶ Πάρδαλιν. Ὅμηρος τὸ μὲν ζῶον διὰ τοῦ ο, τὴν δορὰν δὲ διὰ τοῦ α. Conf. Apol- G lon. Lex. v. Πόρδαλις.

ΠΟΡΕΙΑ] Aristid. I. p. 267. ὀχήματα καὶ πορείας. Lego, πορεῖα. Genesis XLV. 17. πόρια. Polyb. p. 750. πορεῖον ὑποτρέχειν. TOUP. Sumpsit Suidas ex Schol. Platon. p. 225.

ΠΟΡΙΖΩ om. A.V.

[y] Ἐγχειρεῖν χρὴ ἔργ.] Aristoph. Thesmoph. 784. Schol. ed. Bekker. 777.

ΠΟΡΙΣΤΑΙ] Aristoph. Ran. 1553. ubi Scholiasta: Ποριστ- H αῖς: Τοῖς φορολόγοις. Τούτους λέγει τοὺς περὶ πόρον χρημάτων εἰσηγουμένους. Huc Suidas respexit. KUST. Aristot. Rhet. III. 2. καὶ οἱ μὲν λῃσταὶ πορισταὶ αὐτοὺς καλοῦσι νῦν. REINES. Conf. Thucyd. VIII. 48.

ΠΟΡΘΜΕΥΕΙ] Πορθμεύειν A. qui mox αὐτήν.

ΠΟΡΘΜΕΙΟΝ: Τὸ πλ.] Imo contra potius, πορθμεῖον, τὸ ναῦλον. Πορθμίον δὲ, τὸ πλοῖον. Vide Stephanum in The-

ὑδάτων, ἢ μηχανὴ, ἢ τεχνάσματα, ἢ διάβασις. [u]Ἀριστοφάνης·

Τίς πόρος σοι τῆς ὁδοῦ γενήσεται.

Ἀντὶ τοῦ, διάβασις. Καὶ, Πόροι [x]ἀλίρροθοι: Ποταμοὶ εἰς τὴν θάλασσαν ῥέοντες.

Πόρος: [y]Δημοσθένης ἐν τῇ πρὸς Εὐβουλίδην ἐφέσει. Δῆμός ἐστι τῆς Ἀκαμαντίδος ὁ Πόρος. Καὶ ὁ δημότης, Πόριος.

Πόρρω: Ἐπὶ χρόνου τάσσεται.

Ὡς δὲ πόρρω ἦσαν τοῦ πίνειν, τότε δὴ μύρον μέν τις περιήνεγκεν· οἱ δὲ ἐχρίοντο.

Πόρρω Διός τε καὶ κεραυνοῦ: [z]Διὰ τὸ τοὺς ἐπιβούλως τοῖς συνοῦσι χρωμένους, ἀδεέστερον εἶναι λέγουσα τὴν μετ' ἀπραγμοσύνης ἀσφάλειαν τῶν ἐν ἐπιφανεῖ βίῳ κινδυνευόντων.

Πορρωτέρω:

Πόρρω τῶν νυκτῶν: Περὶ τὸ μεσονύκτιον.

[a]Τινὲς δὲ τῶν αὐτῷ παρόντων πόρρω που τῶν νυκτῶν δηλονότι οἵσπερ ἐν καθαρῷ ἦν ἡ ψυχὴ, φάσμα θεάσασθαι δαιμόνιον.

Πόρπαξ: [b]Σοφοκλῆς·

Ἀλλ' [c]αὐτό μοι σὺ, παῖ, λαβὼν ἐπώνυμον,
Εὐρύσακες, ἴσχε διὰ πολυῤῥάφου στρέφων
πόρπακος [d]ἑπτάβοιον ἄῤῥηκτον σάκος.

Καὶ [e]Ἀριστοφάνης·

Ἀλλ' ἐμός [f]γα, κἂν ἐκ τῆς ταγᾶς ἔλθη πόκα,
[g]πορπακισάμενος.

Ὁ ἐμὸς, φησὶν, ἀνὴρ, οἷον περονησάμενος, ἀντὶ τοῦ [h]ἀπολαβὼν τὴν ἀσπίδα, ἅμα τῷ παρεῖναι ἄπεισιν εἰς τὸν πόλεμον.

Πόρπαξ: Ὡι τὴν ἀσπίδα κατέχουσιν ὁ λεγόμενος ὄχανος. [i]Ἀνετίθεσαν γὰρ τὰ ἐκ τῶν πολέμων ὅπλα ἄνευ ὀχάνων, ἵνα μὴ ἑτοίμως [k]αὐτοῖς ἔχωσι χρῆσθαι.

[l]Οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν δῆμον, ἐκ προνοίας ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.

Πόρπαξ: Κατὰ [m]μέν τινας ὁ ἀναφορεὺς τῆς ἀσπίδος· ὡς δέ τινες, τὸ διῆκον μέσον τῆς ἀσπίδος σιδήριον, ᾧ κρατεῖ τὴν ἀσπίδα ὁ στρατιώτης.

Πόρπη: Ἡ παρὰ Ῥωμαίοις φίβλα.

[n]Ὁ δὲ τὴν πόρπην αὐτοῦ σπάσας, ἀεὶ, φησὶν, ὑμεῖς οἱ παρὰ τῶν Ἀχαιῶν ἐστὲ τοιοῦτοι [o]κήρυκες.

Καὶ πορποῦσθαι, φιβλοῦσθαι.

Πορπηδόν:

Πόρπημα: Εἶδος ὅπλου.

Πορσύνω: Ἑτοιμάζω.

Πορφυρεος: Ὁ πορφυροῦς. Καὶ πορφύρεον κῦμα.

Πορφύρειος κόπης:

Πορφύρει: Ταράσσεται. Καὶ ἐν [p]Μυθικοῖς·

Καὶ οἱ πορφύροντι διακριδὸν ἀμφὶς ἕκαστα.

Πορφύριος, ὁ κατὰ Χριστιανῶν γράψας· [q]ὅς κυ-

[u] Ἀριστοφάνης] Pac. 123. Hinc usque ad διάβασις om. V.

[x] ἈΛΙΡΡΟΘΟΙ] ἀλιρρόθιοι A.V. Statim omisi cum A.B.V. Παρὰ Σοφοκλεῖ· ἤγουν. Locus est Soph. Aj. 412. Seqq. ὍΤΙ ΠΟΡΟΣ δὲ κυρίως ἐπὶ ὑγρῶν λέγεται. Καὶ εὔπορος, ὁ ἔχων ἀεὶ ἐπιῤῥέοντα πλοῦτον. Ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου. om. V. Habet A. in marg. Repetita sunt ex v. Εὔπορος p. 1226 C.

ΠΟΡΟΣ: Δημοσθ.] Ex Harpocratione. KUST.

[y] Δημοσθένης] Vid. Taylor. ap. Reisk. T. X. p. 965.

ΠΟΡΡΩ ΔΙΟΣ ΤΕ ΚΑΙ ΚΕΡΑΥΝΟΥ: Διὰ τοὺς ἐπιβ.] Synesius in elegantissima oratione de Regno, p. 11. Ὧν τἀναντία τοῖς τυράννοις ὑπάρχει, δι' οὓς ἡ κομψὴ παροιμία, Πόῤῥω Διός τε καὶ κεραυνοῦ. Διὰ τοὺς ἐπιβούλως τοῖς συνοῦσι χρωμένους ἀδεέστερον εἶναι λέγουσα τὴν μετ' ἀπραγμοσύνης ἀσφάλειαν τῶν ἐν ἐπιφανεῖ βίῳ κινδύνων. KUST.

[z] Διὰ] διὰ τὸ A.B.V.E.M. Mox ἐπιβούλους A.M.

ΠΟΡΡΩΤΕΡΩ: Delevi ΚΑΙ ΠΟΡΡΩΤΑΤΩ: Ἐπὶ συγκρίσεως, καὶ ὑπερθέσεως. Ἀντὶ τοῦ πάνυ μακράν. Καὶ ἁπλῶς, ἀντὶ τοῦ πάνυ, cum A.B.V.

[a] Τινὲς δὲ τῶν αὐτῷ παρόντων π.] Hæc sunt verba Procopii Hist. Arc. 12. KUST.

[b] Σοφοκλῆς] Aj. 574. Vide etiam supra v. Εὐρυσάκης, ubi eadem leguntur. KUST.

[c] αὐτὸ] αὐτὸς A.B.E.M. Mox παῖ om. V.E.

[d] ἑπταβόειον] ἑπτάβοιον A.B.V.E. Mox ἄρρητον A.V.

[e] Ἀριστοφάνης] Lysistr. 105. Ὁ δ' ἐμός γε, κἂν ἐκ τᾶς ταγᾶς ἔλσῃ πόκα, Πορπακισάμενος φρούδος ἀμπτάμενος ἔβα. Vide etiam supra v. Ἀλλ' ἐμός. KUST.

[f] γε] γα A.V.

[g] πορπακισάμενος] πορπακησάμενος A.E.

[h] ἀπολαβὼν] Sic recte habet Schol. in Lysistr. ex quo Suidam emendavi. Ante enim male legebatur, ἀποβαλών. KUST. ἀποβαλὼν A.B.V.E. qui mox παρὸν εἶναι.

ΠΟΡΠΑΞ: Ὡι τὴν ἀσπ.] Ex Schol. Aristoph. Equit. 845.

[i] Ἀνετίθεσαν γὰρ τὰ ἐκ τ.] Confer Nos supra ad v. Κατασχίσαι. KUST.

[k] αὐτοῖς] αὐταῖς A.V.E.M.

[l] Οὐ γάρ σ' ἐχρῆν, εἴτ.] Aristoph. loco laudato. KUST.

ΠΟΡΠΑΞ: Κατὰ μέν τ.] Ex Enarratore Comici ad Pac. 661. Vide etiam supra v. Μισοπορπακιστάτη, ubi eadem leguntur. KUST.

[m] μέν τινας] τινας μὲν A.V.

[n] Ὁ δὲ τὴν πόρπην] Ex quo fonte hoc fragmentum deprompserit Suidas, quærant otiosi. Sed Græca laborant: quod miror Kusterum fugisse. Repono, ΟΙ ΠΑΡΑ τῶν Ἀχαιῶν κήρυκες. *Ab Achæis legati*. Polybius, in Excerpt. Legat. p. 1269. Μετά τινα χρόνον εἰσῆλθον οἱ παρὰ τῶν Ἀχαιῶν πρέσβεις. Sic sæpius loquitur Polybius. TOUP. π° A. i. e. παρά.

[o] κήρυκες τοιοῦτοι] τοιοῦτοι κήρυκες A.

ΠΟΡΠΗΜΑ] Πόρπωμα A.V. Paulo infra delevi ΠΟΡΤΙΣ: Ἡ μικρὰ βοῦς. Ἡ δάμαλις, ἡ ἀρξαμένη ὑπὸ τῆς κατὰ νομὴν πορείας, cum A.B.V.E. His similia habent Zonaras et Etymol. M.

ΠΟΡΦΥΡΕΙΟΣ] Πορφύριος V.

ΠΟΡΦΥΡΕΙ] Πορφύρῃ A. et ταράσσηται.

ib. Apoll. Rhod. II. 548. ἶξεν πορφύρων. ibi Schol. Πορφύρειν λέγεται τὸ μὴ ἐξ ἐκπολῆς, ἀλλὰ κατὰ βάθους τι μεριμνᾶν, ἀπὸ τῆς πορφύρας τῆς ἐν βάθει τῆς θαλάσσης εὑρισκομένης. REINES.

[p] Μυθικοῖς] Vid. Tyrwhitt. Diss. de Babrio p. 43.

ΠΟΡΦΥΡΙΟΣ] De Porphyrio ejusque scriptis nihil habeo quod addam post accuratissimam diligentiam Lucæ Holstenii, cujus dissertatio de eo argumento scripta in omnium eruditorum manibus versatur. KUST.

ib. Gregor. Abul-pharagius in Hist. Dynast. p. 84. Porphyrium nominat Syrum, et inter alia ejus scripta librum historiæ philosophorum laudat, cujus tractatus quartus extet Syriace. Theodor. Therap. XII. p. 174. καὶ ὁ Πορφύριος τὴν φιλοσόφων ἱστορίαν συγγράψας Ἀριστοξένῳ μάρτυρι κεχρημένος τοῦ Σωκράτους βίον συγγεγραφότι. cf. infra Σωκράτης. Selden. Syntagm. II. c. 1. p. 120. et Hœschel. not. ad Phot. Bibl. p. 98. Erat autem historia philos. nil aliud quam Chronolog. philosophorum, et eorum decretorum. Citat hanc hist. Suid. in Ὅμηρος: primum ejus librum laudat Cyrill. l. I. c. Julian. tertium Stephanus in Γάδαρα, Cyrill. VI. c. Julian. quartum Cyrill. l. c. Julian. Theodorit. Therap. X. ἐν τοῖς περὶ τῆς ἐκλογίων φιλοσοφίας, leg. ἐκ λογίων, de philosophia ex oraculis. Male Firmicus de Error. profan. c. 14. εὐλογίων.

**Κύτταρος** δὲ, τὸ πῶμα τῆς βαλάνου, ὅπου ἐγκάθηται ἡ βάλανος. [d] Ἀριστοφάνης·

> Νὴ τὴν Ἀφροδίτην, [e] ἡδύ γ' ὄζει ποσθίου.

**Πόσθων**, πόσθωνος.

**Ποσόν**: Τοῦτο κατὰ μέγεθος θεωρεῖται· οἷον, μέγα, ἢ μικρόν. **Ποιὸν** δὲ, κατὰ τὴν ὕλην θεωρεῖται.

**Πόσου**:

> [f] Πόσου πρίωμαί σοι τὰ χοιρίδια· λέγε.
> Τὸ μὲν ἕτερον τούτων, σκορόδων [g] τροφαλλίδος·
> τὸ δ' ἅτερον, [ἂν λῇς,] χοίνικος μόνας ἁλῶν.

**Ποστόμιος Ὕπατος**: Οὗτος μέγα φρονῶν [h] ἐφ' ἑαυτῷ [i] τῆς τάξεως τοῦ γένους ἕνεκα, καὶ ὅτι διτταῖς [k] ὑπατείαις ἤδη κεκοσμημένος ἦν. Ἐφ' οἷς ὁ συνύπατος αὐτοῦ καταρχὰς [l] μὲν ὡς ἀπελαυνόμενος τῶν ἴσων ἠγανάκτει, καὶ πολλάκις ἐπὶ τῆς βουλῆς [m] τὰ δίκαια πρὸς αὐτὸν ἔλεγεν· ὕστερον δὲ συγγνοὺς ἑαυτῷ κατά τε προγόνων ὄγκον, καὶ [n] φίλων πλῆθος, καὶ κατὰ τὰς ἄλλας δυνάμεις ἐλάττονα ἰσχὺν ἔχοντι, ([o] δημοτικὸς γὰρ ἦν, καὶ τῶν νεωστὶ παρελθόντων ἐς γνῶσιν,) εἶξέ τε τῷ συνυπάτῳ, καὶ παρεχώρησε τοῦ πολέμου τὴν ἡγεμονίαν. Καὶ τοῦτο ἤνεγκε διαβολὴν τῷ Ποστομίῳ, κατὰ πολλὴν αὐθάδειαν [p] γενόμενον· ἕτερον δὲ βαρύτερον, ἢ ὡς κατὰ Ῥωμαίων ἡγεμόνα [γενόμενον.] Ἐπιλεξάμενος γὰρ ἐκ τῆς ἑαυτοῦ στρατιᾶς περὶ τοὺς β΄. ἄνδρας, ἐς τοὺς ἰδίους ἀγροὺς ἀπήγαγεν· οἷς ἄνευ σιδήρου δρυμὸν ἐκέλευσε κείρειν. Καὶ κατέσχε τοὺς ἄνδρας ἐν τοῖς ἀγροῖς, θητῶν ἔργα καὶ θεραπόντων ὑπηρετοῦντας. Καὶ ἄλλα πλεῖστα ὅσα βαρύτατα διαπραξάμενος, παρέσχε τῷ δήμῳ μίσους [q] ἀφορμὰς δικαίου.

**Πόστος**: Ἀπὸ τοῦ [r] πόσατος, κατὰ συγκοπήν. Τάττεται δὲ ἐπὶ ποσότητος. Οἷον, "πόστον ἄγει ἔτος;" καὶ, "πόστη ὥρα τῆς ἡμέρας;"

**Ποστοῦμος**: Ῥωμαῖος, ἀπὸ [s] Καπύης, τά τε Ἑλλήνων ἐπαιδεύθη, ἐρασθεὶς αὐτῶν μετὰ ἔτη λ΄. Τὰ δὲ πρῶτα χρυσοχόος ἦν. Ἐπεὶ δὲ ἅπαξ αὐτὸν εἰσῆλθεν [t] ὁ φιλολόγος ὅδε ἔρως, [u] εἰς τὰς Ἀθήνας ὥρμησε, καὶ ἐξεμουσώθη τὰ Ἑλλήνων ἐκεῖθι. Καὶ [x] ἐς γῆρας βαθὺ ἤλασε, πολλὰ καὶ καλὰ εἰδώς. Οὔκουν ἀπεικὸς ἦν καὶ τόνδε τὸν Ποστοῦμον λέγειν λόγον ἐκεῖνον, ὅνπερ οὖν [y] Ἡράκλειτος [z] εἶπεν ἐφ' ἑαυτοῦ· "Ἐμαυτὸν ἐδιζησάμην."

**Ποταμηδόν**: Δίκην ποταμοῦ.

**Ποταμοδάρτης**: Ὁ περῶν ἀεὶ τὸν ποταμόν.

**Ποταμὸς θαλάττῃ ἐρίζεις**: Ἐπὶ τῶν διατεινομένων πρὸς κρείττονας. Καὶ Ποταμοὶ, δῆμος τῆς Λεοντίδος, οὗ ὁ δημότης, Ποτάμιος. Ἐκωμῳδοῦντο δὲ ὡς ῥᾳδίως δεχόμενοι τοὺς παρεγγράφους.

> [[a] Χύσις ποταμοῦ δυσμενῶν δηλοῖ χαράν.]

**Ποταμῷ μεγάλῳ ὀχετὸν ἐπάγεις**: Ἐπὶ τῶν τοῖς οὖσι προσφερόντων.

**Ποτάμων Ἀλεξανδρεὺς**, φιλόσοφος, γεγονὼς [b] πρὸ [c] Αὐγούστου, καὶ μετ' αὐτόν. Εἰς τὰς Πλάτωνος Πολιτείας ὑπόμνημα.

**Ποτάμων Μιτυληναῖος**, υἱὸς Λεσβώνακτος, ῥήτωρ. Ἐσοφίστευσεν ἐν Ῥώμῃ ἐπὶ Καίσαρος Τιβερίου. [d] Καί ποτε αὐτοῦ εἰς τὴν πατρίδα ἐπανιόντος, ὁ βασιλεὺς ἐφοδιάζει τοιοῖσδε γράμμασι· "Ποτάμωνα Λεσβώνακτος εἴ τις [e] ἀδικεῖν τολμήσοι, σκεψάσθω, εἰ

---

hendum est ἔκμαγμα: ut ostendimus supra v. Λέων, ubi idem hic locus Comici legitur. KUST. λέων bis A.

[c] ἔκμαγμα σὺν] ἔκμασσω A. ἐκμάσσοντα τἄλλα σπαράξαντα V. In fine ὥσπερ κύτταρον στρεβλὸν A.E.

[d] Ἀριστοφάνης] Thesmoph. 261.

[e] ἡδύ γ'] ἡδύ τ' A.V.

ΠΟΣΘΩΝ om. E. Πόσθωνος A. pr. Ποσθίου m. rec. suprasc. et πόσθωνος additum.

ΠΟΣΟΥ om. A.E.

[f] Πόσου πρίωμαί σοι τὰ χοιρ.] Aristoph. Acharn. 812. πρίωμαι A.

[g] τροπαλλίδος] τροφαλλίδος A.B.V.E. Ver. seq. ἂν λῇς om. A.B.V.E. Tum μόνης A.E.M.

ΠΟΣΤΟΜΙΟΣ ὙΠΑΤΟΣ: Οὗτος μέγα φρονῶν ἐφ' ἑαυτ.] Hæc, et quæ sequuntur usque ad finem articuli, Dionysio Halicarnassensi tribuuntur in Excerptis a Valesio editis p. 533. unde ea Noster descripsit. KUST.

[h] ἐφ' ἑαυτῷ] ἐφ' om. V.

[i] τῆς τάξεως] Cum Valesio rescribere malim, τῆς τ' ἀξιώσεως. KUST.

[k] ὑπατείαις] ὑπατίαις V.

[l] μὲν ὡς] ὡς om. A. Mox ἠγανάκτει E.

[m] τὰ δικ. π. α. ἔ.] Vid. v. Δυφασία. TOUP.

[n] φίλων πλῆθος] πλῆθος om. A.B.V.E. Mox κατὰ om. V.

[o] δημοτικὸς] δημοτικῶς A.

[p] γενομένην] γενόμενον A.B.V.E. Excerpt. In Excerptis statim, καὶ ἕτερον αὖθις ἐπὶ τούτῳ βαρ. &c. omisso γενόμενον.

[q] ἀφορμὴν] ἀφορμὰς A. Excerpt.

[r] πόσατος] ποσότατος B. ποσώτατος E. Tum καὶ κατὰ B.E.

ΠΟΣΤΟΥΜΟΣ] Æliani videtur. HEMST.

[s] Καπύης] καπύης A. καπύης B. καπύης V.E. καπύης M. Ald.

[t] ὁ φιλόλογος] ὅδε ὁ φιλ. A.

[u] εἰς τὰς Ἀθήνας] Huic, opinor, suum περὶ ὕψους libellum inscripsit Longinus, quocum Athenis forsan amicitiam contraxit. TOUP.

[x] ἐς γῆρας] καὶ ἐς γῆρας A.B.V.E.

[y] Ἡράκλειτος] Ἡρακλείδης E.

[z] εἶπε περὶ αὐτοῦ] εἶπεν ἐφ' ἑαυτοῦ ἐμὲ αὐτὸν ἐδ. A.B.V.E. De dicto Heracliti vide Casaubon. et Menag. ad Diog. Laërt. IX. 5. Ceterum paulo infra delevi, ΠΟΤΑΜΙΟΙ: Οἱ Ἀχαρνεῖς. Καὶ ζήτει ἐν τῷ ΔΡΑΧΑΡΝΕΥ., cum A.V.

ΠΟΤΑΜΟΔΑΡΤΗΣ] At apud Artemidorum p. 241. (i. e. lib. IV. c. 68.) ποταμοδιάρτης scribitur. Non enim est, ὁ τὸν ποταμὸν δαίρων, sive, *fluvium tundens*, ut voluit Portus; sed διαίρων, *trajiciens*: ut apud Polybium, διάραντες τὸν πόρον. PEARSON.

[a] Χύσις] H. v. om. V. Habet A. in marg. ubi ῥύσις ποταμοῦ. Kusterus dedit ποταμῶν ex Porti em. Mox δυσμενῆ B.E.

ΠΟΤΑΜΩΝ ἈΛΕΞ.] De eo vide Laërtium in Proœmio, sub finem. KUST. Adde Suid. v. Αἵρεσις. REINES.

[b] πρὸ Αὐγούστου καὶ μετ' αὐτὸν] Difficultas, quam his verbis inesse haud immerito monuerunt viri docti, (vid. Bruckeri Hist. Crit. Philos. t. II. p. 194.) facillimo negotio ita levari posse videtur, si pro μετ' αὐτὸν legendum μετ' αὐτοῦ statuas, ut hoc dixerit Suidas, *vixisse Potamonem ante Augustum et cum eo*: id est, *floruisse quidem jam ante Augusti ætatem, verum etiam per sat longum adhuc tempus sub Augusti imperio.* SCHWEIGH. Si quid mutandum malim legere ἐπὶ Αὐγούστου. Sed præstat fortasse a conjecturis abstinere.

[c] Αὐγούστου] Αὐγουστου B. Mox delevi ἔστιν αὐτοῦ post μετ' αὐτὸν cum A.V.E. De hoc Potamone nonnulla Menagius ad Diog. Laërt. I. 21.

ΠΟΤΑΜΩΝ ΜΙΤ.] Vid. Λεσβῶναξ. Θεόδωρος Γαδαρεύς. HEMST.

[d] Καί ποτε αὐτοῦ εἰς τὴν πατρίδα ἐπαν.] Hesychius Milesius: Ποτάμωνα τὸν Μιτυληναῖον ῥήτορα εἰς τὴν πατρίδα ἐπανιόντα ποτὲ ὁ Καῖσαρ Τιβέριος τοιούτοις ἐφωδίαζε γράμμασι· Ποτάμωνα τὸν Λεσβώνακτος εἴ τις ἀδικεῖν τολμήσοι, σκεψάσθω, εἰ μοι δυνήσεται πολεμεῖν. Hinc Suidas sua descripsit. KUST.

[e] ἀδικεῖν] ἀδικῆσαι V.

"μοι δυνήσεται πολεμεῖν." Ἔγραψε περὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος, Ὅρους Σαμίων, Βρούτου ἐγκώμιον, Καίσαρος ἐγκώμιον, Περὶ τελείου ῥήτορος.

Ποταμῶνος:

Ποταίνιον: [f]Τὸ ξένιον, [ἢ νέον.]

Πότε: Λέγεται πρὸς νῦν κατ' ἄμφω, καὶ κατὰ τὸ παρεληλυθὸς, καὶ κατὰ τὸ μέλλον. Κατὰ μὲν τὸ παρεληλυθὸς, [οἷον,] "Πότε ἐγένετο;" κατὰ δὲ τὸ μέλλον, [[g]οἷον,] "Πότε ἔσται;"

Πότερον: Ἆρα, [h]ποῖον, ποταπόν.

Ποτή: Ἡ πτῆσις.

Πότης λύχνος: [i]Ἀριστοφάνης Νεφέλαις·

[[k]Οἴμοι,] τί γάρ μοι τὸν πότην ἧπτες λύχνον;

Παρὰ Ἀττικοῖς ὁ πολὺ ἔλαιον ἀναλίσκων.

Ποτίδαια: Ὄνομα πόλεως. Καὶ Ποτιδαιάτης.

Ποτινίσσεται: Ἐπέρχεται.

Πότμον: Μόρον, θάνατον. Καὶ εὔποτμος, ὁ καλῶς τὸν βίον καταστρέφων.

Ὃς οἰκτρῶς καὶ ἐλεεινῶς ἐς γῆρας ἦλθεν οὐδαμῇ εὔποτμον.

Πότνα: Δέσποινα.

Πότνια: Σέμνη, ἔντιμος.

Ποτνιᾶσθαι: Παρακαλεῖν. Καὶ ποτνιᾶται, [l]παρακαλεῖ, ἐπικαλεῖται θεούς. Καὶ ποτνιώμενος, δυσφορῶν, μετ' οἰμωγῆς παρακαλῶν.

[Ποτόν: Ζήτει ἐν τῷ Ἄγευστος θοίνης.]

Ποτός: Τὸ πινόμενον. Πότος δὲ, τὸ συμπόσιον.

[m]Σφοδροῦ δὲ πότου γενομένου, ἐνεδρεύων ὁ ἑστιάτωρ, αὐτὸς μὲν ὀλίγον ἔπινεν, [n]αὐτοῖς δὲ πολὺ ἐγχεῖν τοῖς [o]θεράπουσιν ἐκέλευε.

Ποτώμεναι: Διατρίβουσαι. Ποτῶνται δὲ, ἤγουν πέτονται.

[Ποτώνη: Ἀδελφὴ Πλάτωνος τοῦ φιλοσόφου.]

Ποῦ γῆς:

[p]Ποῦ γῆς πέφευγεν;

Ἀντὶ τοῦ, εἰς ποίαν γῆν, Ἀττικῶς.

Πουλχερία, Ἀρκαδίου θυγάτηρ, [q]βασιλὶς, ιέ ἐτῶν οὔπω τυγχάνουσα, ἄριστα τὴν βασιλείαν διῴκει. Ἐπαίδευσε δὲ καὶ τὸν ἀδελφὸν Θεοδόσιον. Σοφωτάτη γὰρ οὖσα, καὶ θεῖον νοῦν κεκτημένη, τήν τε ἰδίαν παρθενίαν [r]τῷ Θεῷ προσανέθηκε, καὶ τὰς ἀδελφὰς τὸ ὅμοιον πρᾶξαι ἐδίδαξεν. Εἰς πάντα δὲ τὸν ἀδελφὸν ἐκανόνιζεν, ἦθός τε, καὶ λόγον, βάδισμα, καὶ γέλωτα, καὶ ἐνδυμάτων περιβολὴν, καὶ σχῆμα καθέδρας καὶ στάσεως [s]βασιλικῆς ἐξεπαίδευσε· πρὸ δέ γε ἁπάντων, τὴν εἰς τὸ θεῖον [t]εὐσέβειαν αὐτὸν ἐπιμελῶς ἐδίδασκεν. Ὡσαύτως δὲ καὶ περὶ τὰς ἀδελφὰς διεγένετο. Πολλὰς δὲ ἐκκλησίας, καὶ πτωχεῖα, καὶ ξενῶνας, καὶ μοναστήρια αὐτὴ κτίσασα, καὶ προσόδους ἀφώρισεν· καὶ πρὸς ἄλλοις μυρίοις κατορθώμασι, πολλάκις αὐτῇ καὶ τὸ θεῖον ἐφαίνετο. Αἱ δὲ ἀδελφαὶ, Ἀρκαδία καὶ Μαρίνα. Ὁ δὲ φύσει νωθρός τε καὶ ἀπερίσκεπτος ἐς πάντα μὲν ὑπῆρχε, μάλιστα δὲ ἐς τοὺς ὑποβάλλοντας αὐτῷ [u]χάρτας, [[x]οὓς] ἀπαραγνώστως ὑπέγραφεν. Ὅπερ ἡ σοφωτάτη γνοῦσά ποτε Πουλχερία, σοφῶς ὑπῆλθεν αὐτὸν, δωρεὰν [y]ὑποβαλοῦσα δῆθεν πρὸς δουλείαν τὴν ἑαυτοῦ γαμετὴν Εὐδοκίαν. Ἣν καὶ καθυπογράψας μὴ πρότερον ἀναγνοὺς, ὕστερον δεινῶς ὠνειδίζετο παρὰ τῆς Πουλχερίας.

Ὅτι Πουλχερία [z]τοσοῦτον ἐμίσει τὸν Νεστόριον, ὡς τοὺς φιλοῦντας ἐκεῖνον [a]διαθρυλεῖν, ὅτι [b]πορνείαν πρὸς τὸν ἀδελφὸν αὐτῆς Θεοδόσιον τὸν βασιλέα διέβαλε Πουλχερίας Νεστόριος· καὶ διὰ τοῦτο οὕτως ὑπ' αὐτῆς ἐμισεῖτο· ἐλοιδόρει γὰρ αὐτὴν εἰς [c]τὸν τότε [d]Μάγιστρον Παυλῖνον λεγόμενον.

Πουλχερία: Πουλχερίας τῆς ἀοιδίμου στήλη ἵστατο ἐν τῇ Χαλκῇ, πλησίον τοῦ [e]Παλατίου, ὡς πρὸς τὸν Περίπατον.

[f] Τὸ ξένιον] Legendum est, τὸ ξένον: ut Portus etiam monuit. Confer Schol. Sophocl. ad Antig. 849. et Schol. Æsch. ad Prometh. 102. KUST. ἢ νέον om. A. B.V. sed habet E.

[g] οἷον bis om. A.V. Phot. Supra πρὸς τὸ νῦν Phot.

[h] ποῖον] ὁποῖον Photius.

[i] Ἀριστοφάνης Νεφέλαις] Ver. 57. Confer etiam Nostrum supra v. Ἀδδηφαγία. KUST.

[k] Οἴμοι om. A.B.V.E.

ΠΟΤΙΔΑΙΑ] Vide Schol. Aristoph. Equit. 436. KUST. Adde Schol. Platon. p. 52.

ΠΟΤΙΝΙΣΣΕΤΑΙ] Ποτινίσσεται A.B. Vid. Il. ι'. 381.

ΠΟΤΝΙΑ] Πότνια edd. vett.

ΠΟΤΝΙΑΣΘΑΙ] Helladius apud Photium p. 1589. Ὅτι τὸ ποτνιᾶσθαι κυριώτερον ἐπὶ γυναικὸς τάττεται, φησὶν, ὅταν κακόν τι πάσχῃ, καὶ θήλειαν ἱκετεύῃ Θεόν. Ποτνιώμενον δὲ ἄνδρα ἄν τις εἴπῃ, ἁμαρτάνει. KUST. Vid. Ruhnken. ad Tim. p. 221. Boissonad. Eunap. p. 264.

[l] παρακαλεῖ addidi cum A.B.V.E. et Photio.

ΠΟΤΟΝ] Hæc A. in marg. om. V.

[m] Σφοδροῦ] Vid. v. Σφοδρεῖ, et Kuster. ibid. TOUP.

[n] αὐτοῖς] Leg. ἄλλως. HEMST. Retineo αὐτοῖς, ἐκείνοις leg. v. Σφοδροῦ.

[o] θεραπεύουσιν] θεράπουσιν A.

ΠΟΤΩΜΕΝΑΙ] Deest gl. A.

ΠΟΤΩΝΗ: Ἀδελφ.] Vide infra v. Σπεύσιππος. KUST. Supra ad Πλάτων dicitur mater Platonis. REINES. Deest articulus A.V.

[p] Ποῦ γῆς] Sic habent mss. Paris. At priores editt. ποῦ γῆς. KUST.

ΠΟΥΛΧΕΡΙΑ] Cum hoc loco Suidæ conferendus est Sozom. Hist. Eccles. lib. IX. c. 1. et Cedrenus p. 342. KUST.

[q] βασιλὶς] καὶ βασιλὶς V. Mox οὔτε B.E. pro οὔπω.

[r] τῷ Θεῷ] τῷ om. A.

[s] βασιλικῆς] Sic em. Portus. βασιλικοῖς A.B.V.E. edd. vett. Mox γε pro τε A.V.

[t] εὐσέβειαν] ἐπιμέλειαν A.

[u] χάρτας] Sic mss. Paris. At priores editt. male, χάριτας. KUST.

[x] οὓς om. A.B.V.E. edd. ante Kuster.

[y] ὑποβαλοῦσα] Et hanc lectionem ex mss. Paris. revocavi, cujus loco in prioribus editt. male excusum est, ὑπολαβοῦσα. KUST.

[z] τοσοῦτον] ἐπὶ τοσοῦτον V.

[a] διαθρυλλεῖν, ὅτι πορνείαν πρὸς τὸν ἀδ.] Nec sensus, nec constructio loco huic constat, quem proinde sic supplendum et scribendum esse censuerim: διαθρυλλεῖν, ὅτι πορνεύει ἡ Πουλχερία. Καὶ πρὸς τὸν ἀδελφὸν αὐτῆς Θεοδόσιον τὸν βασιλέα διέβαλε Πουλχερίαν ὁ Νεστόριος, &c. Sed conjecturam hanc pro certa veritate nemini obtrudere velim. KUST. Suspicor duo loca confusa esse. Legerim, ὅτι πορνεύει vel πορνεύοι. Deinde, ὍΤΙ πρὸς τὸν ἀδελφὸν etc.

[b] πορνείαν] πορνεία A. Mox τὸν βασιλέα om. V.

[c] τὸν τότε] τόν τε V.

[d] Μάγιστρον Παυλῖνον] Vid. Chron. Alex. sub Ol. 300 et 306. REINES.

[e] Παλατίου] Παλλα' A.V. Vid. Codinus de Orig. Constant. p. 19. ed. Paris.

Ποῦ μήν: Ποῦ δὴ οὖν;

Ποῦς: Ὁ ποῦς ἔχει δακτύλους ιϛ'.

Ποῦ σχήσειν δοκεῖς: Ἀντὶ τοῦ, ποῦ ἀπάξαι τὴν ναῦν;

Πώγων, Πώγωνος. [f]Τροιζήνιος λιμὴν, οὕτω καλούμενος· ὅθεν καὶ παροιμία ἐπὶ τῶν κακογενείων·

> Ἐς [g]Τροιζῆνα δεῖ βαδίζειν.

Καὶ [h]Ἀριστοφάνης·

> Κἀγώ γ' Ἐπικράτους οὐκ ἐλάττω καλλίονα
> πώγων' ἔχω.

Οὗτος γὰρ μέγαν πώγωνα ἔχων, ἐκαλεῖτο Σακεσφόρος, καὶ ἐκωμῳδεῖτο εἰς δασύτητα. [i]Ἦν δὲ ῥήτωρ, καὶ δημαγωγός. [k]Καὶ Ἀριστοφάνης φησίν·

> Ἄναξ ὑπήνης Ἐπίκρατες σακεσφόρε.

Πωγωνίας: Ὁ μέγας πώγων.

Πωγωνιήτης: Ὁ Ζεύς. Καὶ Πωγωνίτης.

Πῶυ: Ποίμνια.

Πωλᾶς: Ἀντὶ τοῦ πράσεις. Ὑπερίδης. Ἔστι τὸ ὄνομα καὶ ἐν τοῖς Σώφρονος Ἀνδρείοις.

Πωλέσκετο: Ἀνεστρέφετο. Καὶ [l]Ὅμηρος·

> Πωλεῖταί τις γέρων.

Πωλευτικός:

Πωλεία χαίτη:

Πώλης: Ὁ Ἀριστοφάνης τὸ τέλος τοῦ ὀνόματος παίζων λέγει, παρὰ τὸ ἀποδίδοσθαι καὶ πωλεῖν τοὺς πολιτευομένους τὰ τῆς πόλεως πράγματα· οἷον, προβατοπώλης, στυππειοπώλης, ἀλλαντοπώλης.

Πωλητής: Ὁ πιπράσκων.

> Ἦν γὰρ ἐνταφίων πωλητής.

Καὶ Πωληταί· οὗτοι τῶν ὀφειλόντων τῷ δημοσίῳ

A κατὰ προθεσμίαν, καὶ μὴ ἀποδιδόντων, ἐπίπρασκον τὰς οὐσίας. [m]Ὑπέκειντο δὲ τοῖς Πωληταῖς καὶ ὅσοι τὸ διαγραφὲν ἀργύριον ἐν πολέμῳ μὴ εἰσέφερον· [n]ἔτι καὶ οἱ ξενίας ἁλόντες, καὶ ὁ μέτοικος [o]καὶ προστάτην οὐκ ἔχων, καὶ ὁ ἀποστασίου γραφείς. Τούτων γὰρ τὰς οὐσίας πωλοῦντες, [p]παρακατέβαλον εἰς τὸ δημόσιον.

Πωληταὶ καὶ [q]Πωλητήριον: Οἱ μὲν Πωληταὶ,

B ἀρχή τις ἐστὶν Ἀθήνησι, δέκα τὸν ἀριθμὸν ἄνδρες, εἷς ἐκ τῆς φυλῆς ἑκάστης. [r]Διοικοῦσι δὲ τὰ πιπρασκόμενα ὑπὸ τῆς πόλεως πάντα, τὰ τέλη, καὶ μέταλλα, καὶ μισθώσεις, καὶ τὰ δημευόμενα. [s]Πωλητήριον δὲ καλεῖται ὁ τόπος, ἔνθα συνεδρεύουσιν οἱ Πωληταί.

Πωλητήριον: Τὸ πρατήριον. Οὕτως Ὑπερίδης.

Πωλικῆς ἀπήνης: Ὑπὸ πώλων ἐζευγμένης.

C
> [t]Κἀπὶ πωλικῆς
> ἀνὴρ ἀπήνης ἐμβεβὼς . . .
> . . . [u]ξυνηντίαζε.

Καὶ, πωλικὸν, τὸν τοῦ πώλου. [x]Ἐν Ἐπιγράμμασι·

> Παῖς δ' ἴσον ἀστέρι λάμπει,
> πωλικὸν ὡς ἵππος χνοῦν ἀποσεισάμενος.

Πωλικός: Ὁ γενναῖος. Καὶ [y]πωλικὸν δῆγμα,

D καὶ τὸ φρύαγμα.

Πωλίον:

Πῶλοι: Κυρίως τὰ γεννήματα τῶν ἵππων, καὶ τῶν ἄλλων κτηνῶν, ἅπερ ἔθος ἔχομεν καταψᾶν καὶ κολακεύειν.

Πωλίων, ὁ Ἀσίνιος χρηματίσας, Τραλλιανὸς, σοφιστὴς, καὶ φιλόσοφος· σοφιστεύσας ἐν Ῥώμῃ ἐπὶ

E

ΠΟΥ ΣΧΗΣΕΙΝ ΔΟΚΕΙΣ] Aristoph. Ran. 190. Ταχέως ἔμβαινε. Ποῦ σχήσειν δοκεῖς; KUST. Vid. Duker. ad Thucyd. I. 110.

ΠΩΓΩΝ] Vid. Voss. ad Mel. II. p. 204. HEMST.

[f] Τροιζήνιος] Τροιζήνιος A.

[g] Τροιζῆνα] Τροιζῆνα δὲ A.V. Lege δεῖ ut p. 1628 A.

[h] Ἀριστοφάνης] Eccles. 71. Vide etiam Nostrum supra v. Ἐπικράτης, ubi eadem leguntur. KUST.

[i] Ἦν δὲ] δὲ om. V.

F [k] Καὶ Ἀριστοφάνης φησίν] Imo, Plato Comicus, teste Scholiasta Aristophanis ad locum Comici in nota præcedente adductum. KUST.

ΠΩΓΩΝΙΑΣ: Ὁ μέγας πώγων] An potius, ὁ μέγαν πώγωνα ἔχων? KUST. Scribendum, ὁ μέγας πώγων. *Qui barbam habet promissam.* Vox occurrit apud Dion. Cass. in Excerptis Valesii, p. 670. Λειογένειος αὖ καὶ μετὰ τοῦτο ΠΩΓΩΝΙΑΣ ἐφαντάζετο. *Nunc imberbis, mox barbatus videbatur.* Æschyl. Agamemn. 314. Φλογὸς μέγαν πώγωνα. Ubi Schol. Σημείωσαι δὲ, ὅτι ἐκ τούτου ὀνομάσθη παρὰ

G τοῖς μετεωρολόγοις ΠΩΓΩΝΙΑΣ ἈΣΤΗΡ. TOUP.

ΠΩΛΑΣ] Sine acc. A. et Harpocr. ms. Pal. Πῶλας Harpocr. ed. Mox πρᾶσις A. πρᾶσ V. πράσεις Harpocr. ms. Pal.

ΠΩΛΕΣΚΕΤΟ] Il. α'. 490.

[l] Ὅμηρος] Odyss. δ'. 384. Πωλεῖταί τις δεῦρο γέρων. KUST.

ΠΩΛΗΣ, Ἀριστοφάνης τὸ τέλος τοῦ ὀ.] Aristoph. Equit.

H 129. Ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται, Ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα. Εἷς οὑτοσὶ πώλης. Vide ibi Scholiastam. KUST.

[m] Ὑπέκειντο] ἐπέκειντο V.

[n] Ἔτι καὶ οἱ ξενίας] Vid. ad Hesych. v. Ἐπὶ ξένῳ. Vid. omnino Plutarchus in Pericl. p. 381. [172 E.] ἐπράθησαν, ubi fallitur Xylander. TOUP.

[o] καὶ] Particula hæc, ut supervacanea, et sensum turbans, delenda est. Jungenda enim sunt ista, ὁ μέτοικος προστάτην οὐκ ἔχων. Confer Nostrum supra v. Νέμειν προστάτην. KUST. καὶ om. Photius. καὶ ὁ πρ. V.

[p] παρακατέβαλον] παρεκατέβαλον B.V. Photius. παρεκατέβαλλον A.

ΠΩΛΗΤΑΙ καὶ ΠΩΛΗΤΗΡΙΟΝ: Οἱ μὲν ΠΩΛ.] Ex Harpocratione. KUST.

[q] ΠΩΛΗΤΗΡΙΟΝ] Πωλητήριον A.E.M. Phot. ms.

[r] Διοικοῦσι] Harpocratio recte, διοικοῦσι; et deinde, δημόσια, absque verbo κατέχειν. KUST. διοικοῦσι item Photius. Delevi κατέχειν cum A.B.V.E. et Photio.

[s] ΠΩΛΗΤΗΡ] Scribe, πωλητήριον, ut recte legitur apud Harpocrationem. KUST. Πωλητηρὸν A. Photii ms. Harpocr. ms. Pal.

[t] Κἀπὶ πωλικῆς ἀνὴρ ἀπ.] Sophocl. Œdip. Tyr. 802. Κἀπὶ πωλικῆς Ἀνὴρ ἀπήνης ἐμβεβὼς, οἷον σὺ φῂς, Συνηντίαζε. KUST.

[u] συνηντίαζε] ξυνηντίαζε A.E.

[x] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 156.

[y] ΠΩΛΙΚΟΝ ΔΗΓΜΑ] An, πωλικὸν δίωγμα? Hesychius: Πωλικοῖς διώγμασι: Τοῖς διὰ τῶν ἁρμάτων διώγμασι. Videtur uterque ad eundem auctoris locum respexisse. KUST. Vid. Valcken. ad Theocrit. p. 346. Persius Casaub. p. 455. TOUP.

ib. An δεῖγμα, vel παράδειγμα? Nam in Etymol. p. 698, 15. legitur Πωλικὸν παράδειγμα: quamquam quod additur explicandi causa valde sit obscurum. HEMST.

ΠΩΛΙΩΝ] Nicander Alexiph. p. 68. Dio Chrys. p. 607. TOUP.

ΠΩΛΟΙ: Κυρίως τὰ γεννήματα τῶν ἵππ.] Ex Schol. Aristoph. Pac. 74. KUST.

ΠΩΛΙΩΝ] Potius, Πωλλίων. De hoc vide Vossium lib. I. de Hist. Gr. KUST. Adde Clintoni F. A. III. p. 550. Ἀσσύριος A. pro Ἀσίνιος.

Πομπηΐου τοῦ μεγάλου, καὶ διαδεξάμενος τὴν σχολὴν A [z]τοῦ Τιμαγένους. Ἔγραψεν ἐπιτομὴν τῆς [a]Φιλοχόρου Ἀτθίδος, [b]Ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσόφου, Ἐπιτομὴν τῶν Διοφάνους Γεωργικῶν ἐν βιβλίοις β΄, Πρὸς Ἀριστοτέλην περὶ ζώων βιβλία ι΄, Περὶ τοῦ ἐμφυλίου τῆς Ῥώμης πολέμου, ὃν ἐπολέμησαν Καῖσάρ τε καὶ Πομπήϊος.

Πωλίων Ἀλεξανδρεύς, ὁ [c]Οὐαλέριος χρηματίσας, φιλόσοφος, γεγονὼς ἐπὶ Ἀδριανοῦ· οὗ παῖς [d]Διό- B δωρος φιλόσοφος, ὁ γράψας ἐξήγησιν τῶν ζητουμένων παρὰ τοῖς ι΄ ῥήτορσιν. Ἔγραψε συναγωγὴν Ἀττικῶν λέξεων κατὰ στοιχεῖον, καὶ ἄλλα τινὰ φιλόσοφα.

Πωλίων, [e]ἢ Πολίων, γραμματικός. Περὶ τῶν παρὰ γράμμα ἁμαρτανομένων.

Πωλοδάμνης: Πωλοδαμαστής, γυμναστής.

Πωλοδαμνῶ: Τοὺς πώλους δαμάζω.

Πῶλος, Ἀκραγαντῖνος, ῥήτωρ, μᾶλλον δὲ σοφιστὴς τῶν πάλαι, διδάσκαλος [f]Λικυμνίου. Ἔγραψε Γενεαλογίαν τῶν ἐπὶ Ἴλιον [g]στρατευσάντων Ἑλλήνων καὶ βαρβάρων, καὶ [h]πῶς ἕκαστος ἀπήλλαξε· [i]τινὲς [illegible] αὐτὸ [k]Δαμάστου ἐπιγράφουσι· Νεῶν κατάλογον, Περὶ [l]λέξεως.

Πῶλος: Τὸ ζῶον.

Πωλῶ: Τὸ πιπράσκω.

[Πωλῶ: Γενικῇ.

Τὰ τῆς πόλεως καὶ τὰ σφῶν αὐτῶν μικροῦ λήμματος πωλοῦνται.]

Πωλοῦσι: Δίδυμος φησὶν ἀντὶ τοῦ, πορνεύουσι φανερῶς. [m]Πωλεῖν γὰρ, τὸ παρέχειν [n]ἑαυτὸν τοῖς βουλομένοις. Ὅθεν καὶ τὸ πορνεύειν, ὅπερ ἐστὶ [o]περνᾶν. Ἐγὼ δέ φημι, ὅτι κυρίως ἔταξε νῦν ὁ ῥήτωρ τὸ πωλεῖν. Φησὶ γὰρ, [p]τὸν νόμον οὐκ ἐᾶν ἐπὶ [q]ταύτης μοιχὸν λαβεῖν, ὁπόσαι ἂν ἐπ' ἐργαστηρίου [r]κάθωνται, [s]ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφασμένως. Δημοσθένης ἐν τῷ κατὰ Νεαίρας.

Πῶμα: Σκέπασμα.

Πώμαλα: Ἀντὶ τοῦ, πόθεν. Οἷον οὐδαμῶς. [t]Ἔστι δὲ τὸ μὲν πω Δώριον, τιθέμενον ἀντὶ τοῦ πόθεν. Τὸ δὲ μαλα ἢ παρέλκει, ἢ [u]ἐν συνηθείᾳ λεγόμενον ἐν τῷ [x]πώμαλα· οἷον, οὐ μάλα, ἀντὶ τοῦ οὔ, ἢ ἀντὶ τοῦ, C οὐδόλως. Ἔστι δὲ Ἀττικόν. Λυσίας ἐν τῇ πρὸς Ἀσύβαρον ἐπιστολῇ·

Γενναίως γὰρ αἱ γυναῖκες πώμαλα ἔφασαν [y]ὀρχεῖσθαι αὐτὰς, δέον οὐδὲ [z]πιούσας ἀπηλλάχθαι τοῦ συμποσίου.

Πώμαλα: Κεῖται καὶ [a]παρὰ Δημοσθένει ἡ λέξις·

Οὐχ ὅσα ἐξελθητε. Πώμαλα.

[b]Καὶ παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ. Δεῖ δὲ [c]ἀναγινώσκειν ὑφ' ἕν, πώμαλα.

D

[z] τοῦ Τιμαγ.] τοῦ om. A.

[a] Φιλοχόρου] Φιλοχρόνου V. Φιλοχόρου E.

[b] Ἀπομνημονεύματα Μουσωνίου τοῦ φιλοσ.] Sed temporis ratio obstat, quo minus Grammatico nostro fidem hic adhibeamus. Vixit enim Musonius philosophus ille celebris sub Nerone. Quare hæc ad Pollionem juniorem pertinere recte monuit Jonsius de Script. Hist. Philos. lib. III. c. 7. KUST. E

ΠΩΛΙΩΝ 'ΑΛΕΞ.] Consule de eo Jonsium loco laudato. Videndum autem quis sit Pollio, quem de furtis Ctesiæ et Herodoti scripsisse memorat Porphyrius apud Euseb. de Præp. Evang. lib. X. c. 3. p. 467. KUST.

[c] Οὐαλέριος] ὁ Οὐαλλέριος A. qui om. ὁ ante γράψας.

[d] Διόδωρος φιλ.] Vide supra v. Διόδωρος, ὁ Οὐαλ. KUST.

ΠΩΛΙΩΝ] Πωλίων V. Tum Πωλίων A.V.E.M.

[e] ἢ ΠΟΛΙΩΝ] Scribe, ἢ Πολλίων per duplex λλ. KUST. F

ΠΩΛΟΔΑΜΝΩ] Soph. Aj. 549.

ΠΩΛΟΣ] Philost. v. Sophist. TOUP. Ἡ μὲν γὰρ ἐμπειρία τέχνην ἐποίησεν, ὥς φησι Πῶλος, ὀρθῶς λέγων· ἡ δ' ἀπειρία τύχην. Aristot. Metaph. Maj. I. 1. cf. Voss. de Hist. Gr. p. 369. Polus discipulus Gorgiæ Leontini v. supra Γοργίας. REINES. Poli vitam a Geelio conscriptam vide in Nov. Act. Societat. Traject. II. p. 164 seqq.

[f] Λικυμνίου] Atqui Λικύμνια ὀνόματα Polo tribuit Plato in Phædro. Vid. Olear. ad Philostrat. p. 497. TOUP. G

[g] στρατευσάντων] στρατευμάτων V.

[h] πῶς ἕκαστος ἀπηλ.] Quid post captam Trojam factum cuique enarrat Cointus Calaber Παραλ. Ὁμήρου XIV. REINES.

[i] τινὲς [illegible] αὐτὸ Δαμάστου ἐπιγρ.] Vide Nostrum supra v. Δαμάστης. KUST.

[k] Δαμάστου] Leg. Δαμάστῃ. REINES. Equidem vulg. retineo.

[l] λέξεων] λέξεως A.V.E.

ΠΩΛΩ] Hanc gl. om. V. Habet A. in marg. ubi in fin. πωλεῖται. Ibi πωλοῦντες reponit Abresch. Dilucid. Thucyd. Auct. p. 283. ex Demosth. ad Philippi Epist. p. 157, 9. Et sic Lex. Seg. Bekkeri p. 162, 3. H

ΠΩΛΟΥΣΙ: Δίδυμος φησὶν ἀντὶ τοῦ, πορ.] Ex Harpocratione. KUST. Vid. Meurs. in Solone c. 18. p. 65. et 66. Herald. Animadv. V. 5, 8. Petit. LL. Att. p. 475. REINES.

ib. Πωλῶσι A. Harpocr.

[m] ΠΩΛΕΙΝ γὰρ, τὸ παρέχειν ἑαυτὴν τοῖς βουλ.] Hoc sensu vox ista accipitur apud Plutarchum in Solone. Is enim, postquam egit de mulcta, quam Solon irrogaverat ei, qui fœminam liberam rapuisset, vel vi stuprasset, addit deinde de iis, qui lenocinium faciunt: Ἐάν τις προαγωγεύῃ, ζημίαν εἴκοσι δραχμὰς ἔταξε, πλὴν ὅσαι πεφασμένως ΠΩΛΟΥΝΤΑΙ. Λέγω δὴ τὰς ἑταίρας. KUST.

[n] ἑαυτὴν] ἑαυτὸν A.E. Phot. edd. ante Kuster.

[o] περνᾶν] περνάναι Harpocr. πέρᾶναι Phot. ms.

[p] τὸν νόμον οὐκ ἐᾶν ἐπὶ ταύταις μοιχ.] Ad hanc legem Atticam alludit Terentius in Eunucho: *Quis homo pro mœcho unquam vidit in domo meretricia Prehendi quenquam?* KUST.

[q] ταύταις] ταύτης A.B.V.E. Harpocr. Phot. ms. et nonnulli codd. Demosthenis p. 1367, 26.

[r] κάθωνται] κάθηνται B.E. Mox πωλοῦσι E. Tum ἀποπεφασμένα B.E. Post Νεαίρας addunt A.B.V.E. ἢ ἐν τῇ ἀγορᾷ.

[s] ἢ ἐν τῇ ἀγορᾷ πωλῶσί τι ἀποπεφ.] Verte ex mente Harpocrationis, *Vel in foro palam aliquid vendant.* Harpocratio enim, ex quo Suidas hæc sumpsit, exstimat, τὸ πωλεῖν in loco hoc Demosthenis positum esse pro *vendere*: quamvis ipse aliter sentiam, nullumque mihi dubium sit, quin verbum hoc apud Oratorem significet, pudicitiam venalem habere, vel, copiam sui omnibus facere. KUST. οἱ ἐν M.

ΠΩΜΑΛΑ] Confer de hac voce Etymologum. KUST.

[t] Ἔστι] ἔστι [illegible] A.V.

[u] ἐν συνηθείᾳ λεγόμενον] ἐν πώ τοις ἐστὶ λεγόμενον Photius, ubi desunt reliqua.

[x] πώμαλα] πῶμα A.

[y] ὀρχεῖσθαι] ὀρχῆσθαι A.V.

[z] πιούσας] πινούσας E. edd. vett. Post συμποσίου A.B. V.E. edd. ante Kuster addunt ἐγένετο.

ΠΩΜΑΛΑ: Κεῖται καὶ π.] Ex Harpocratione: qui plura habet. KUST.

[a] παρὰ Δημοσθένει] In oratione contra Æschinem. KUST. P. 357, 2.

[b] Καὶ παρ' Ἀριστοφάνει ἐν Κωκάλῳ] Locus Comici, ad

A Πωμήριον: [d]Τὸ τοῦ τείχους εἰκόνισμα.

Πώποτε:

Πῶρος, *βασιλεὺς Ἰνδῶν· [e]ὃς ἐγένετο κάλλιστος Ἰνδῶν, καὶ μῆκος ὅσον οὔπω τις [f]ἀνθρώπων τῶν μετὰ τοὺς Τρωϊκοὺς ἄνδρας. Ἦν δὲ κομιδῇ πάνυ νέος, [g]ὅτε συνῆν Ἀλεξάνδρῳ, καὶ τούτῳ ἐπολέμει.*

[h]*Τοῦτον ἤρετο περὶ διαίτης ὁ Ἀπολλώνιος. Ὁ δὲ, Οἴνου μὲν, ἔφη, πίνω τοσοῦτον, ὅσον τῷ ἡλίῳ σπένδω· ἃ δ' ἂν ἐν θήρᾳ λάβω, ταῦτα σιτοῦνται ἕτεροι, ἐμοὶ* B *δὲ ἀπόχρη τὸ γεγυμνάσθαι. Τὰ δὲ ἐμὰ σιτία λάχανα, καὶ φοινίκων ἐγκέφαλοι, καὶ καρπὸς τῶν φοινίκων, καὶ ὁπόσα μοι ὁ ποταμὸς κηπεύει· πολλὰ δέ μοι καὶ ἀπὸ δένδρων φύεται, ὧν γεωργοὶ αἵδε αἱ χεῖρες. Ταῦτα ἀκούων ὁ Ἀπολλώνιος, ὑπερήδετό τε, καὶ ἐς [i]τὸν Δᾶμιν θαμὰ ἑώρα.*

C Πῶρος: Ἀπολίθωσις ὑγροῦ. Καὶ πωρῶ, ῥῆμα, τὸ σκληρύνω, καὶ λιθοποιῶ. [k]Πισίδης·

> Καὶ τὰς ἰκμάδας
> πωροῦντα καὶ σφίγγοντα λιθώδει τρόπῳ.

Καὶ πώρινος λίθος.

[Πῶρος: Πάθος τι ἐστὶν, ὥς φησιν Ἀντίμαχος.

> Πῶρόν τοι' ἀλόχοισι, καὶ οἷς τεκέεσσιν ἔθεντο.

Καὶ πωρεῖν Ἠλεῖοι τὸ πενθεῖν φασι. Παρὰ τοῦτο οὖν καὶ τὸ ταλαίπωρος ἐτυμολογεῖται.]

D Πορός: Ὁ τυφλός. Καὶ πώρωσις, ἡ τύφλωσις.

Πωρύτης:

Πῶς δοκεῖς: Θαυμαστικῶς τοῦτο [l]λέλεκται, [m]παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις·

> Κἀκ τῶν σιδίων βατράχους [n]ἐποίει, πῶς δοκεῖς;
> [o]Καὶ πῶς ἔγωγε, χ' οὑτοσὶ
> ξυνοισόμεθ' ὑμῖν πεπτερωμένοις, οὐ πετομένω;
> Καλῶς; ὅρα νῦν, ὡς ἐν Αἰσώπου λόγοις
> ἔστιν λεγόμενον δή τι, τὴν ἀλώπεχ' ὡς
> φλαύρως ἐκοινώνησεν αἰετῷ ποτε.
> [p]Μηδὲν φοβηθῇς· ἔστι γάρ τι ῥίζιον,
> ὃ [q]διατράγοντες ἔστον ἐπτερωμένω.

Πῶϋ: Τὸ ποίμνιον. Καὶ πώεα.

Πώϋγξ Πώϋγγος.

B Πράγματα: Ἐπὶ κακῷ χρῶνται τῇ λέξει οἱ παλαιοί. Καὶ Μένανδρος·

> Ἐν πράγμασιν, ἐν μάχαις.

Καὶ Ἀριστοφάνης ἐν Πλούτῳ·

> Ἄκουε τοίνυν, ὡς ἐγὼ τὰ πράγματα
> ἐκ τῶν ποδῶν ἐς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.

Καὶ αὖθις·

> [r]Καὶ δή ποτε
> C εἰς πορφυρίων αὐτῷ παρέσχε πράγματα.

Καὶ αὖθις·

> [s]Ἀλλά σοι παρέξω πράγματα.

Ἀντὶ τοῦ, ἐνοχλήσω. Καὶ παροιμία·

> [t]Ἀνδρὶ Λυδῷ πράγματα οὐκ ἦν· ὁ δὲ ἐξελθὼν ἐπρίατο.

Πράγματα: Κακοπάθειαι.

> Ὀρεία τε ἦν καὶ στενὴ ἡ ὁδὸς, καὶ πολλὰ πράγματα εἶχον ἀμφὶ τοῖς ζεύγεσιν οἱ στρατιῶται.

D Ἀντὶ τοῦ, κόπους.

Πράγματ' ἐξ [u]ἀπραξίας: Ἐπὶ τῶν παρὰ δόξαν καὶ παρ' ἐλπίδα συμβαινόντων.

Πραγματεία: Οὐχ ὡς ἐν τῇ συνηθείᾳ ἐπὶ τῆς πραγματείας, οὕτω καὶ ὑπὸ τῶν ῥητόρων τέτακται ἐπὶ τῶν ἐργασίας [x]τινὰς μεταχειριζομένων, ἀλλ' ἐπὶ τῶν

E quem respexit Suidas, exstat apud Harpocrat. v. Πόμαλα. Πόμαλα: Ἀντὶ τοῦ οὐδαμῶς.——Ἀριστοφάνης ἐν Κωκάλῳ· Λοιδορία τις ἐγένεθ' ὑμῖν πόμαλα, Οὐδὲν εἶπον οὐδενί. Quæ ita legenda et in pristinum statum revocanda sunt: A. Ἡ λοιδορία τις ἐγένεθ' ὑμῖν; B. Πόμαλα. Οὐκ εἶπον οὐδὲν οὐδενί. A. *An altercatio aliqua inter vos fuit?* B. *Minime. Nihil dixi cuiquam.* Aristoph. in Pluto, 66. A. Ὦ τᾶν ἀπαλλάχθητον ἀπ' ἐμοῦ. B. Πόμαλα. TOUP. Qui postea addidit, "In primo versiculo forsan legendum est, Διαλοιδορία, quæ proba vox; ut Διαμαρτυρία."

[c] ἀναγινώσκειν] γινώσκειν A.

F [d] Τὸ τοῦ τείχους εἰκόνισμα] Est interpretatio obscura, vel potius inepta: in qua proinde illustranda operam sumere nolui, cum vel absque ea satis constet, τὸ πωμήριον esse id, quod Latini dicunt, *pomœrium*. KUST. Zonaras καλλώπισμα.

ΠΩΡΟΣ, *βασιλεὺς Ἰνδῶν——τούτῳ ἐπολέμει*] Hæc sunt verba Philostrati lib II. de Vit. Apoll. c. 10. p. 82. ut Pearsonius etiam monuit. KUST.

G ib. Tonsoris filius. Hellad. Chrestom. ap. Phot. p. 1579. REINES.

[e] ὃς—Ἰνδῶν om. B.E.M. Dedit Aldus.

[f] ἀνδρῶν] ἀνων A. ἀνθρώπων B. om. V.

[g] ὅτε συνῆν Ἀλεξάνδρῳ, καὶ τούτῳ ἐπολ.] Philostratus rectius, ὅτε τῷ Ἀλεξάνδρῳ ἐπολέμει. KUST.

[h] Τοῦτον ἤρετο περὶ διαίτης ὁ Ἀπολλ.] Qui Philostratum lib. II. de Vit. Apoll. c. 11. unde hæc descripta sunt, inspicere voluerit, plane videbit, Suidam non sine insigni ἀβλεψίᾳ ad Porum hic referre ea, quæ ibi de Phraorte Indorum rege dicuntur. Omnino enim absurdum H et ἀπίστατον est, Apollonium cum Poro colloquentem facere, qui quadringentis fere ante Apollonium annis vixit. Confer Cœl. Rhodig. Antiq. Lect. lib. V. c. 6. a quo Suidas merito ob hanc ἀβλεψίαν vapulat. KUST.

[i] τὸν Δᾶμιν] Hæc pertinent ad Phraothan regem Indum, ap. Philostr. II. 26. REINES.

E [k] Πισίδης] Fr. Foggin. v. 138.

ΠΩΡΟΣ: Πάθος τι ἐστὶν, ὥς φησιν Ἀντ.] Ex Schol. Sophocl. Œdip. Colon. 14. ut Portus observavit. Ibi autem versus Antimachi sic legitur: Πῶρος τοί γ' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος. Et sic fragmentum hoc citatur a Scholiasta Aristophanis ad Plut. 33. At ego cum Sopingio legere malim, Πωρητὺν δ' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο. Πωρητὺς enim, teste Hesychio, significat *miseriam, ærumnam, luctum.* Confer Nostrum infra v. Ταλαίπωρος. KUST. Hunc art. habet A. in marg. Et forte huc irrepsit ex Ταλαίπωρος.

F ΠΩΡΥΤΗΣ] Transpositis literis scribendum est, πωρητύς. Vide Hesychium h. v. KUST.

[l] λέγεται] λέλεκται A.V.

[m] παρὰ Ἀριστοφάνει ἐν Νεφέλαις] Ver. 879.

[n] ἐποίει] ποίει A.V.

[o] Καὶ πῶς ἔγωγ.] Aristoph. Av. 650. Ubi versus ultimus rectius sic legitur: Ὃ διατραγόντ', ἔσεσθον ἐπτερωμένω. KUST.

G [p] Μηδὲν] μηδενὶ E.

[q] διατράγοντες] διατρώγοντες A.B.V.E.

ΠΩΥΓΞ] Vide Etymologum h. v. KUST.

ΠΡΑΓΜΑΤΑ: Ἐπὶ κακῷ χρ.] Ex Enarratore Comici ad Plut. 653. KUST.

[r] Καὶ δή ποτε εἰς πορφ.] Aristoph. Av. 1252.

[s] Ἀλλά σοι παρ.] Aristoph. Plut. 20.

[t] Ἀνδρὶ Λυδῷ πρ.] Vide supra v. Ἀνδρὶ Λυδ. KUST.

ΠΡΑΓΜΑΤ' ΕΞ ἈΠΡ.] Vide Causabonum ad Athen. p. 100. KUST. Adde Bergler. ad Alciphr. III. 29.

H [u] ἈΠΡΑΞΙΑΣ] ἀπροσεξίας B.E. qui mox παραδόξων. Statim delevi ΠΡΑΓΜΑΤΕΥΤΙΚΟΣ ἌΝΘΡΩΠΟΣ: Λέγεται ὁ ἔμπορος. Καὶ ἘΜΠΟΛΑΙΟΣ, ἐμπολεύς, cum V. quæ habet A. in marg. præfixo ὍΤΙ. Repetita sunt ex p. 1225 C. 1226 B.

[x] τινάς] τινὰς A. Tum μεταχειρομένων B.E.

[y] πράγματα συνίστασθαι ἐπιχειρούντων. Ὡς Δείναρχος ἐν τῷ κατὰ Μεναίχμου· A

Αἱ γὰρ ἀπὸ τῶν κοινῶν ἔχθραι καὶ πραγματεῖαι αἰτίαι τῶν ἰδίων διαφορῶν καθεστήκασι.

Πραγματεία: Πολυπραγμοσύνη, κακοπάθεια.

Πόλιν πολυάνθρωπον καὶ [z] στρατῷ μεγάλῳ πεφραγμένην εἷλεν ἄνευ πραγματείας ὁ βασιλεύς.

Πραγματικώτατον: Ἐνεργητικώτατον.

B [a] Ὃ δὴ καὶ πραγματικώτατον γεγονέναι τὸ διαβούλιον.

Καὶ αὖθις·

Τοῦτο δὲ ἐποίει συνεχῶς ἅμα καὶ πραγματικῶς.

Πραγματοδίφης: Ὁ δικολόγος.

[b] Καὶ πραγματοδίφης. Ὦ μακάριε τῆς τέχνης.

Πραγματομαθής:

Ὁ δὲ ὢν ἀγχίνους, καὶ τριβῇ κινδύνων πραγματομαθής.

Καὶ πραγματομαθεῖς, οἱ τῶν πραγμάτων εἰδήμονες.

C Διὸ καὶ οἱ Ῥωμαῖοι πραγματομαθεῖς ὑπάρχοντες, ὑφεωρῶντο τὰ τῆς τύχης ἄδηλα.

Πραγματωδεστέρα τάξις: Ἡ [c] δυστυχεστέρα.

Πραγμάτων:

[d] Πραγμάτων τε καὶ μαχῶν
καὶ Λαμάχων ἀπαλλαγείς.

Λάμαχος, στρατηγὸς Ἀθηναίων ῥιψοκίνδυνος.

Πρᾶγος: Ἡ πρᾶξις.

D [e] Πρᾶγος [redacted] ἀτίζειν οὐδὲν ἀνθρώπων χρεών.

Ἄνθρωπον ὄντα, φησὶν, οὐ δεῖ πρᾶγμα κακίζειν.

Πραέον [f] γῆ:

Πραεῖα:

Πρακτέα:

Καὶ τὰ πρακτέα ὀρθῶς διατάττειν.

Πρακτέον: Δεῖ πράττειν.

Πρακτικαί: Ὅτι οὔτε αἱ πρακτικαὶ νοήσεις ἄπειροι, οὔτε αἱ θεωρητικαὶ, ἐπεὶ μηδὲ οἱ [g] τούτων λόγοι ἄπειροι. Ἄγγελοι δέ εἰσι τῶν νοημάτων οἱ λόγοι· οἵτινες κἂν [h] ὕστεροί εἰσι τῶν πρακτικῶν νοήσεων καὶ θεωρητικῶν, ἀλλ' ἡμῖν γε ἐμφανέστεροι καὶ γνωριμώτεροί εἰσιν. [[i] Ὡς οὖν ἔχουσιν οἱ περιττοὶ, λείπει.]

Πρακτικόν: Ἀνυστικόν.

Πράκτορα: Ἔκδικον.

[k] Φόνου ποτ' αὐτὸν πράκτορ' ἥξεσθαι πατρός.

Πράκτωρ: Ὁ τὸν ἐπικείμενον εἰσπραττόμενος φόρον.

ΠΡΟΠΟΛΕΩΣ] Forte apud scriptorem, unde sequens fragmentum excerptum est, duabus vocibus scriptum erat, πρὸ πόλεως: quibus in unum conflatis, Suidas vocem προπόλεως effinxisse videtur. Nusquam enim alibi, quod sciam, vox ista occurrit. KUST. Gruter. Inscr. p. 1097. n. 3. τῆς μεγάλης θεᾶς προπόλεως. In Basilio t. II. p. 141. D. quum ante legeretur τὸν προπύλαιον, Garnerius edidit τὸν προπόλεω κόσμον e mss. Πόλεις et προπόλεις Celsus apud Origen. IV. p. 217, 15. 54. Pollux IX. 15. Περιπόλιον, vel ut mss. παραπόλιον, Strabo XIV. p. 973 B. VII. p. 501 B. HEMST. Schol. ined. Philostrati Icon. præf. Προάστεια, τὰ πρὸ τῶν τειχῶν τοῦ ἄστεος, ἃ καὶ προπόλεια λέγονται. Hinc firmatur lectio προπόλεως apud Suidam, de qua dubitabat Kusterus. BOISSONAD. ad Marin. p. 140. Προπολέως V. In exemp. προκείραντες edd. ante Kuster.

[e] πρόσφυξ] Cum h. v. novæ gl. initium factum in A.V. πρόσφυξ om. h. l. E. add. post νεώκορος.

[f] Ἀριστοφάνης Νεφέλαις] Ver. 435.

[g] παράδος θάρρων] θάρρων πάραδος A.E.M.

[h] Ἡροδότῳ] Gl. Herodot. II. 64.

ΠΡΟ ΠΟΛΛΟΥ A. marg. om. V.

[i] καὶ ΠΡΟΣΠΟΛΩ om. A.B.V. Photius. Post θεράποντι A. addit δου. i. e. δούλῳ.

[k] Μέλλων Εὐρυμέδων ποτ' Ἀριστ.] Fragmentum hoc corruptum est et mutilum, quod apud Laërtium in vita Aristotelis, segm. 8. unde id Suidas deprompsit, recte sic legitur: Εὐρυμέδων ποτ' ἔμελλεν Ἀριστοτέλην ἀσεβείας Γράψασθαι, Δηοῦς μύστιδος ὢν πρόπολος· Ἀλλὰ πιὼν ἀκόνιτον, &c. KUST.

[l] Ἀριστοτέλει] Ἀριστοτέλη A. Ἀριστοτ^λ V. Tum γράψασθαι A.B.V.E. pro γράψαι.

[m] διὰ διφθόγγου om. A. pr.

ΠΡΟΠΟΝΤΙΣ] Statim delevi Ἡ πρὸ τοῦ Πόντου θάλασσα, ἡ τῷ Βυζαντίῳ ἐπικειμένη, cum A.B.V. Neque agnoscunt seqq. ΠΡΟΠΤΩΣΙΣ ἐστὶν, ὅταν ὀφθαλμὸς κινηθεὶς προπέσῃ, A. V.E. Ad eam gl. sic Kusterus: "Πρόπτωσις] Consule de "hac voce Stephanum in Thesauro, qui docet, id, quod "Græci πρόπτωσιν ὀφθαλμῶν vocant, Ciceronem *prolapsio-* "*nem*, et Plinium, *procidentiam oculorum* dixisse."

ΠΡΟΠΥΛΑΙΑ ΤΑΥΤΑ: Δημοσθ.] Ex Harpocratione: qui plura habet. KUST.

[n] Πνυκὸς] πυκνὸς Harpocr. ms. Pal. πυκνῆς Photii ms.

[o] Ἐν γὰρ] ἐν γοῦν A. Photius. Harpocr. Mox εἴρετο V. Harpocr. ms. Pal.

Ἐν γὰρ—ὑποκριτὴν] ἐν γοῦν—ὑπ. Harpocr. Non video, quomodo ista huc pertineant, nisi ad explicationem voculæ ταῦτα intellectæ ἀναφορικῶς. REINES.

[p] Ἡλιόδωρος δὲ περὶ τῆς Ἀθήνησιν ἀκροπ.] Supple ex Harpocratione: Ἡλιόδωρος δ' ἐν πρώτῳ περὶ τῆς Ἀθήνησιν ἀκροπόλεως, μεθ' ἕτερα καὶ ταῦτά φησιν. KUST.

[q] ἔτεσι μὲν] ἔτεσι μὲν γὰρ A.V. Photius, Harpocr.

[r] εἰσίασι] εἰσιᾶσι B. Harpocr. ms. Pal. εἰᾶσι V.

[s] Ἐξ αὐτῶν τῶν] ἐκ A.B.V. Photius.

[t] Σοφοκλῆς] Elect. 512.

[u] Μυρτίλος] Μύρτιλος A.V. Mox πρὸ ῥιζῶν etc. om. A.

ΠΡΟΣ] Lucian. in Hermotimo [c. 61.]: μετὰ ταῦτα κύαμοι, εἶτα κριθαὶ, καὶ ὑπὸ ταύταις φακοὶ, εἶτα ἐρέβινθοι, καὶ ἄλλα ποικίλα πρός. REINES.

Εἰς μῆκος δὲ, ἴσον [x] πόδας ξ', καὶ πρός.

Ἀντὶ τοῦ, πλεῖον, περισσότερον. Καὶ ὁ Θεολόγος·

Καὶ μικρόν τι πρός.

Προσαγγελία: [y] Πολύβιος·

Ἧκον ὑπὸ νύκτα πρὸς τὸν Φίλιππον, φάσκοντες συνωρμηκέναι τινὰς αὐτοῖς· τούτους δ' ἀπαγγέλλειν, ὅτι [z] καταλίποιεν ἐν Ῥηγίῳ πεντήρεις Ῥωμαϊκάς. Ὁ δὲ διαταραχθεὶς ἐκ τῆς προσαγγελίας, [a] ἔφυγε.

B Καὶ αὖθις·

[b] Τῷ δὲ Πτολεμαίῳ γενομένης προσαγγελίας, παρεῖναι τὸν Ἀρχίαν.

Προσαγγέλλει:

Ὁ δὲ ἑαυτὸν προσαγγέλλει (ἀντὶ τοῦ μηνύει) ἑαυτὸν ἄξιον θανάτου.

Προσάγειν καὶ Παράγειν διαφέρει.

C Προσάγουσι μὲν γὰρ πάντες οἱ παραταξάμενοι, ᾗ ἂν [c] ἄριστοι εἶεν μάχεσθαι· παράγουσι δὲ οἱ σώφρονες [d] ᾗ ἂν ἀσφαλέστατα, οὐχ ᾗ ἂν τάχιστα [e] ἀπέλθοιεν. Παριέναι δὲ ἀνάγκη ἐκτεταμέναις μὲν ταῖς ἁμάξαις, [f] ἀνειργομένοις δὲ καὶ τοῖς ἄλλοις σκευοφόροις ἐπιπολύ.

Οὕτω φησὶ Ξενοφῶν. Καὶ προσάγειν, ἀντὶ τοῦ οἰκειοῦσθαι, ἰδιοποιεῖσθαι.

Ὁ δὲ [g] ἐμήνυε διὰ τῶν πρέσβεων, ὡς προσάγοιτο μὲν τὰ ἔθνη χρήμασι καὶ δώροις, [h] καταγγέλλει δὲ κοινὰ τὰ κερδαλέα τὰ ἀπὸ τοῦ πολέμου.

D Προσάγομαι: Δοτικῇ.

Προσαγορεύω: Αἰτιατικῇ.

Προσαγώγιον: Τὸ τῶν τεκτόνων ὄργανον, ὃ προσάγοντες εὐθύνουσι τὰ στρεβλὰ ξύλα.

Προσᾴδω: Δοτικῇ.

Πρὸς ἀκτῖνα: [[i] Πρὸς] ἀνατολήν.

E Προσαλισκόμεθα: Ἀντὶ τοῦ, πρὸς τούτοις καταδικαζόμεθα [k] καὶ ζημιούμεθα.

A Κᾆτα προσαλισκόμεθα.

Προσαμφιῶ: [l] Πρὸς οἷς ἔχεις ἐνδύσω.

Προσανανεωσάμενος: Ἀνακαινίσας, καὶ ἀνεγείρας.

[m] Ὁ δὲ Μάρκος προσανανεωσάμενος τὴν τοῦ τείχους ταπεινότητα, ἐπεβάλλετο καταπειράζειν τῆς ἐλπίδος.

B Προσανατεθείς: Ὀργισθείς, ἐπαρθείς.

[n] Ὁ δὲ βραχέα προσανατεθεὶς, κατένευσε ποιήσειν.

Ἀντὶ τοῦ, κατεπαρθείς.

Προσανατεινόμενος: Ἀπειλῶν.

Τὰ μὲν παρακαλῶν, τὰ δὲ προσανατεινόμενος.

Προσαναφωνῶ: Δοτικῇ.

Προσανέχων: Προσέχων, προσκεκολλημένος. [o] Πολύβιος·

C Ὁ δὲ τῶν ὑπομένειν ἐδόκει, προσανέχων ταῖς τῶν Αἰγυπτίων ἐπαρχίαις.

Καὶ αὖθις·

[p] Ὁ δὲ Δημήτριος προσανέχων τῇ παρουσίᾳ τοῦ [q] διαπεσταλησαμένου πρὸς αὐτόν.

Καὶ προσανέχοντι, ἐξέχοντι.

[Πρὸς ἀνίσχοντα ἥλιον: Ἀνατέλλοντα.]

D Πρόσαντες: Δυσχερὲς, καὶ ἐναντίον. [[r] Καὶ ζήτει ἐν τῷ Ἄναντες.]

Προσάντης: Καὶ ἡ δοτικὴ, προσάντει.

Προσάντως: Ἐπίρρημα.

[s] Μήτε ἀκαίρως παρακαλεῖν, μήτε προσάντως.

Πρὸς ἀπαλέξησιν: Πρὸς βοήθειαν.

Προσάπτομαι: Γενικῇ. Προσάπτω δὲ, δοτικῇ.

Προσαρασσόμενα: Προσρηγνύμενα, προσκρουόμενα.

E Προσαστειασάμενος: Ἀστεῖόν τι προσειπών.

---

[x] πόδας om. V.

[y] Πολύβιος] Lib. V. c. 110. KUST.

[z] καταλίποιεν] καταλείποιεν A.V.

[a] ἔφυγε—προσαγγελίας om. A.

[b] Τῷ δὲ Πτολεμαίῳ] Vid. Polyb. XXXIII. 3.

ΠΡΟΣΑΓΓΕΛΛΕΙ] A. in marg.

F ΠΡΟΣΑΓΕΙΝ καὶ ΠΑΡΑΓΕΙΝ διαφ. Προσάγουσι μὲν γ.—— ἐπιπολύ] Hæc omnia sunt verba Xenophontis lib. V. De Exped. Cyri, [Cyrop. V. 4, 44.] p. 140. ut Portus monuit. Ibi autem prior hujus fragmenti pars sic legitur: Οὐ γὰρ τὸ αὐτό ἐστι προσάγειν τε καὶ παράγειν. Προσάγουσι μὲν γὰρ ἅπαντες, οὕτω ταξάμενοι, ὡς ἂν οἴωνται ἄριστα μάχεσθαι. Ἀπάγουσι μέντοι οἱ σώφρονες, &c. KUST.

[c] ἄριστοι] ἄριστα A.

[d] ᾗ ἂν ἀσφαλέστατα] Hæc verba ex prioribus editt. [et B.E.] exciderunt, quæ ex ms. A. et Xenophonte revocavi. KUST.

G [e] ἀπέλθοιεν· παριέναι δὲ ἀνάγκη] ἀπέλθοιεν παριέναι· ἀνάγκη δὲ A.B.V.E.M.

[f] ἀνειργομέναις] ἀνειργμένοις V.

[g] ἐμήνυε] ἐμήνυσε V.

[h] καταγγέλλει] καταγγέλλοι A.B.E. Mox κοινὰ καὶ κ. A.

ΠΡΟΣΑΓΩΓΙΟΝ] Schol. Platon. p. 42.

ΠΡΟΣΑΙΔΩ] A. marg.

[i] [Πρὸς] ἀνατολήν] πρὸς om. A.B.E.M. ἀνατολὴ Photius.

H ΠΡΟΣΑΛΙΣΚΟΜΕΘΑ: Ἀντὶ τοῦ, πρὸς τ.] Ex Schol. Aristoph. Acharn. 701. προσαλισκόμεσθα bis A.

[k] καὶ ζημιούμεθα om. V.

[l] Πρὸς οἷς ἔχεις] Scribendum, ἔχει. Quomodo recte legitur apud Schol. ad Aristoph. Eq. 887. unde hunc locum decerpsit Suidas. TOUP.

[m] Ὁ δὲ Μάρκος] Hic locus auctior legitur v. Ἀνανεωσάμενος, ubi tamen male scribitur, ἀναγείρας. In utroque autem vertendo Interpres gravissime hallucinatus est. Græca, quæ proculdubio Polybii sunt, ita vertenda sunt: *Marcus autem humilitatem muri recordatus, rem periclitari aggressus est.* Verbum usurpat Dionysius Halicarn. Antiq. Rom. lib. VII. p. 462. Ἔμαθεν ἡ βουλὴ παρὰ τοῦ τὸ πραχθὲν ἈΝΑΝΕΩΣΑΜΕΝΟΥ. *Senatus ab illo, qui rem ipsi in memoriam revocarat, cognovit.* TOUP.

ΠΡΟΣΑΝΑΤΑΘΕΙΣ] Sic recte ms. A. At mss. B. et C. itemque priores editt. omnes male habent, προσανατιθείς. Confer Nostrum supra v. Ἀνατεθείς. KUST.

[n] Ὁ δὲ βραχέα] Hoc fragmentum Polybio adjudicandum esse censeo. Ita enim locutus est Polybius, lib. V. p. 591. Πτολεμαῖος δὲ ΒΡΑΧΕΑ ΠΡΟΣΑΝΑΤΑΘΕΙΣ καὶ καταμεμψάμενος ἐπὶ τοῖς πεπραγμένοις τὸν Ἀντίοχον, συνεχώρησε σπονδὰς ἐνιαυσίους. *Ptolemæus pauca comminatus, et de Antiochi questus injuriis, inducias in annum concessit.* TOUP. Fr. gr. 108.

ΠΡΟΣΑΝΑΦΩΝΩ] Om. V. Habet A. in marg.

[o] Πολύβιος] Fr. Hist. 3.

[p] Ὁ δὲ Δημήτριος] Polyb. XXXI. 23, 13.

[q] διαπεσταλησαμένου] διαπεσταλησμένου B.E.

ΠΡΟΣ ἈΝΙΣΧΟΝΤΑ] Προσανισχόντα junctim legendum monet Tan. Faber ad Luciani Pereg. p. 586. HEMST. Hanc gl. habet A. in marg. om. V. ἥλιον ἀ. om. A.B.

[r] Καὶ ζήτει etc. om. V. Habet A. a m. rec.

ΠΡΟΣΑΝΤΩΣ] Utitur Diodor. Sic. t. I. p. 639. [XIV. 1. ubi v. Wessel.] TOUP.

[s] Μήτε] E Nicol. Damasc. de Vit. Aug. dicit excerpta esse Grotius Ep. 110. ad Gallos p. 254. 292. REINES. Vid. Excerpt. Vales. p. 481. Mox πρὸς ἐπάλεξησιν M.

ΠΡΟΣΑΠΤΟΜΑΙ] Pausan. 149. προσῆπτετο τῶν στεφ. TOUP. Hanc gl. habet A. in marg. om. V.

A [s]Ὁ δὲ παρακαλέσας αὐτὸν, καί τι προσαστεισάμενος τοιοῦτον,

[t]Αἰεὶ δ' ὁπλοτέρων ἀνδρῶν φρένες ἠερέθονται.

[Προσατδῶ: Δοτικῇ.]

Πρὸς αὐτοῦ: Ἀντὶ τοῦ, ὑπὲρ αὐτοῦ.

[u]Ὁ δὲ οὐ κατ' αὐτοῦ, ἀλλὰ πρὸς αὐτοῦ εἶναι νομίσας τὰ συμβαίνοντα περὶ τοὺς ἐναντίους, [x]ἐγίνετο περὶ τὸν Μάρκον, σπουδάζων τὴν τόλμαν ἀφελέσθαι, καὶ προκαταλαβεῖν αὐτοῦ τὴν ὁρμήν.

B [Προσβάλλει: Δοτικῇ. Προσέρχεται.

Προσέβαλε δὲ ταῖς ἀκοαῖς αὐτῶν ἦχος ἐμμελὴς θείων ὕμνων.

Δι' ἑνὸς λ', δεύτερος ἀόριστος. Προσέβαλλε δὲ, ἀεὶ διὰ δύο λλ', παρατατικός.]

[Προσβαίνω: Δοτικῇ.]

Πρὸς βίαν: Βιαίως, [y]ἀναγκαστικῶς.

C Ὁ δὲ οὐκ ἐφείσατο αὐτῆς, (ὁ ἐραστὴς, ὁ ἐναγής,) ἀλλ' ἐξαγαγὼν αὐτὴν τοῦ νεὼ πρὸς βίαν διέφθειρε μάλα ἀνοίκτως.

[Προσβλέπω: Δοτικῇ.

Οὐδὲ προσβλέπειν ἂν ἔτι δυναίμην αὐτῇ.]

Προσβολή: Ζημία, δαίμονος ὀργὴ, παρὰ Ἀριστοφάνει. Ἀντὶ γὰρ τοῦ εἰπεῖν, ζῶον, ζημίαν εἶπε, καταρώμενος αὐτῷ.

Χοὔτου ποτ' ἐστὶ δαιμόνων ἡ προσβολὴ,
οὐκ οἶδα.

D Περὶ τοῦ κανθάρου.

Προσεγεγόνει: Συνεμίχθη, συνηριθμήθη.

Ὁ δὲ τοῦ βασιλέως Ἀρμενίας παῖς προσεγεγόνει αὐτῷ ξὺν δυνάμει ἱππικῇ οὐκ ὀλίγῃ.

Πρόσγειον: Τὸ πρὸς γῆν.

Προσγράφει: Προσκρίνει.

Προσδέδεμαι: Δοτικῇ.

E Προσδέξασθαι:

[z]Προσδέξασθαι δὲ, τὸ δὴ λεγόμενον, [a]πρὸς τὰς πλευρὰς τοὺς πολεμίους.

Ἀντὶ τοῦ, σύνεγγυς.

A [Προσδέχομαι: Αἰτιατικῇ.] Προσδεχόμενοι, προσδοκῶντες.

Προσδεῖσθαι καὶ ἐνδεῖσθαι [b]διαφέρει. Τὸ μὲν γὰρ δηλοῖ ὀλίγων τινῶν κτῆσιν· τὸ δὲ, [c]παντελῆ ἀπορίαν τοῦ ὅλου δηλοῖ.

[Προσδιαλέγομαι: Δοτικῇ.

[Προσδίδωμι: Αἰτιατικῇ.]

[Προσδοκία: Ὅτι διαφέρει προσδοκία ἐλπίδος. [d]Ἐλπὶς μὲν γάρ ἐστι προσδοκία ἀγαθῶν. Καὶ ὁ φοβούμενος προσδοκᾷ, ἀλλ' [e]οὐκ ἀγαθά. Κακῶν γὰρ προσδοκία ἐστὶν ὁ φόβος· ἀγαθῶν δὲ, ἡ ἐλπίς. Ἐπεὶ οὖν οὐχ ὑφεστώτων πραγμάτων οἱ ἀσεβεῖς [f]προσδοκῶσιν, ἀπόλλυται αὐτῶν ἡ ἐλπὶς, ὡς μένουσι τοῖς ἤθεσι χρῶνται.]

[Πρὸς δύο δ' οὐδ' Ἡρακλῆς: Παροιμία. Ζήτει ἐν τῷ, Οὐδ' Ἡρακλῆς πρὸς δύο.]

C Πρὸς αἵματος: Τοὺς συγγενεῖς. [g]Σοφοκλῆς·

Ἆρ' ὧδ' ἄριστος ἐξ ἀριστέοιν δυοῖν
βλαστὼν ἂν αἰσχύνοιμι τοὺς πρὸς αἵματος;

Προσαίτης: Ὁ ἐπαίτης. Προσαῖτις δὲ, θηλυκὸν, διὰ τοῦ ι'.

Προσαιτῶν: Πολλὰ αἰτῶν.

Προσεδρεία: [h]Προεδρία δέ.

D Προσεδρεύω σοι:

Πρόσεδρος:

[i]Τότ' ἐκ προσέδρου λιγνύος διάστροφον
ὀφθαλμὸν ἄρας, [k]εἶδέ μ' ἐν πολλῷ στρατῷ.

Προσέκειτο: Ἀντὶ τοῦ, προσεῖχε. [l]Θουκυδίδης α'.

Προσέκοψεν: Ἀντὶ τοῦ, [m]προσέπταισεν. Ἄλεξις.

E Προσέκοψε τῷ ἀνθρώπῳ: Ἀντὶ τοῦ, ἠλλοτριώσατο. Οὕτως Ποσείδιππος.

Προσεκτικώτατα:

---

[s] Ὁ δὲ παρακαλέσας αὐτὸν, καί τι πρ.] Valesius fragmentum hoc Polybio tribuit. KUST. Fr. gr. 109.

[t] Αἰεὶ δ' ὁπλοτ.] Est versus Homericus Il. γ'. 108. KUST.

F ΠΡΟΣΑΤΔΩ] A. marg. om. V.

ΠΡΟΣ ΑΥΤΟΥ] Sophocl. Œd. Tyr. 1433. ubi vid. Schol. Xenoph. Mem. p. 747. Agathias p. 16. TOUP.

[u] Ὁ δὲ οὐ κατ' αὐτοῦ, ἀλλὰ πρ.] Hæc sunt verba Polybii, lib. III. c. 104. KUST.

[x] ἐγένετο] ἐγίνετο A.B.E.

ΠΡΟΣΒΑΛΛΕΙ Δοτικῇ V. in marg. Προσέρχεται idem in textu ceteris omissis. Habet tamen in marg. Προσέβαλεν ἅπαξ δι' ἑνὸς λ. προσέβαλλε δὲ ἀεὶ διὰ δύο λλ. Προσέβαλε etc. A. in marg. Hoc exemplum Æliano tribuit Valckenaerius.

G ΠΡΟΣΒΑΙΝΩ] om. A.V.

[y] ἀναγκαστικῶς] ἀναγκαστῶς A. Seq. exemplum Æliano tribuit Valckenaerius. αὐτὸν V. pro αὐτῆς.

ΠΡΟΣΒΛΕΠΩ] Gl. om. A.V. Exemplum deest B.E. M. Sed habet Ald. Luciani est Dial. Meretr. XI.

ΠΡΟΣΒΟΛΗ: Ζημία. Δαίμ.] Ex Schol. Aristoph. Pac. 39.

H ΠΡΟΣΕΓΕΓΟΝΕΙ] Προσγεγόνει B.

ΠΡΟΣΔΕΔΕΜΑΙ] A. marg.

[z] Προσδέξασθαι δὲ, τὸ δὴ λεγ.] F. Ursinus et Casaubonus fragmentum hoc Polybii esse volunt. KUST. Fr. gr. 110.

[a] πρὸς] εἰς A.B.V.E.

ΠΡΟΣΔΕΧΟΜΑΙ: Αἰτ.] A. marg. om. V. Uterque om. ὁμοίως post προσδεχόμενος.

[b] διαφέρει] διαφέρουσι Photius.

[c] παντελῆ] παντελῶς A.V. Photius, Lex. Seg.

F ΠΡΟΣΔΙΑΛΕΓΟΜΑΙ] A. marg. om. V. qui om. Προσδίδωμι.

ΠΡΟΣΔΟΚΙΑ] Hunc art. habent A. et V. in marg.

[d] ἘΛΠΙΣ μὲν γάρ ἐστι προσδ.——ἀγαθῶν δὲ ἡ ἐλπίς] Hæc αὐτολεξεὶ etiam legas apud Didymum in Catena in c. 6. Job. p. 199. ut monuit Suicerus in Thesauro Ecclesiastico, v. Ἐλπίς. Confer etiam Nostrum supra v. Ἐλπὶς, ubi eadem leguntur. KUST.

[e] οὐ προσδοκᾷ] οὐκ A.V.

G [f] προσδοκῶσιν] Legerim potius, προσδοκίαν ἔχουσιν, propter præcedentem genitivum, ὑφεστώτων πραγμάτων. Verbum enim προσδοκᾶν cum genitivo construi non solet. KUST.

ΠΡΟΣ ΔΥΟ Δ'] Deest art. A.V. δ' om. B.E.

[g] Σοφοκλῆς] Aj. 1305.

[h] ΠΡΟΕΔΡΙΑ] Longin. p. 6. Suidas v. Παράδειγμα. TOUP.

ΠΡΟΣΕΔΡΕΥΩ] Om. V. A. a m. s.

[i] Τότ' ἐκ προσέδρου λιγν.] Sophocl. Trach. 796.

H [k] εἶδέ μ'] εἶδεν A.V.E.M. Mox στρατοῦ B.E.

[l] Θουκυδίδης] I. c. 93.

[m] προσέπαισεν] Lege προσέπταισεν. Est nota una de optimis ex Atticista veteri. VALCK. Diserte προσέπταισεν A. cum Lex. Seg. Bekker. p. 112, 9. qui habet Ἄλεξις Ἐπιστολῇ. Conf. Aristoph. Vesp. 275. Προσέπαισεν retinet Photius.

Ἐδόκει γὰρ Ῥωμαίων [n]προσεκτικώτατα καὶ ἐπιμελέστατα A
κατὰ τοὺς πατρίους θεσμοὺς ἐπιτελεῖν τὰς θυσίας.

Ἀντὶ τοῦ, πολυτελῶς, νουνεχῶς.

Προσέληνοι: Ἡρόδοτος τοὺς Ἀρκάδας οὕτω λέγει· τουτέστιν, ἀρχαίους, πρὸ τῆς σελήνης.

Προσελοῦμεν: Ἀντὶ τοῦ, προπηλακίζομεν, ἐλαύνομεν, εἰσβάλλομεν.

Προσέμαξε: Προσπαρέθηκε, προσεκόλλησε. Μάττειν γὰρ λέγεται τὸ ἀναμιγνύναι, καὶ φυρᾶν, καὶ εἰς B
ἓν συνάγειν τὰ ἄλευρα. Ἀριστοφάνης·

Τὸν Πειραιᾶ προσέμαξε.

Πρὸς ἐμοῦ εἶ: Οἰκεῖός μοι, ἐγγύς μου, φίλος μου, παρ' ἐμοί.

Προσένεγκε: Προσενέγκαι δέ.

Προσέπαισε: Προσέπαιξε. Πλάτων τῷ σ' ἀντὶ τοῦ ξ' κέχρηται.

Προσέξονται: Ἀντὶ τοῦ προσκολλῶνται. C

Προσέξονται ταῖς κοτύλαις αἱ πέτραι.

Προσεπιμετρῶν: Πλείω τοῦ μεμετρημένου διδούς.

[o]Προσεπιμετρῶν ἀεὶ τῷ δεομένῳ, πρὸς τὸ παρὰ πάντων ὁμολογουμένως γίνεσθαι τὴν ἐπὶ τούτοις χάριν.

Προσεπιτραγῳδήσουσι: Δεινολογήσουσι.

Δεδιὼς μὴ πολλαπλασιάσαντες τὸ προτίμημα, καὶ προσεπιτραγῳδήσαντες, καταπλήξωνται [p]τοὺς ἐν τοῖς Τυάνοις. D

Προσεποιήθη:

Ὁ δὲ [q]ὠργίζετο μὲν ἀθετηθείς, οὐ μὴν [r]προσεποιήθη κατὰ τὸ παρόν.

Ἀντὶ τοῦ, ἐφανέρωσεν, ἐνεδείξατο. Δαμάσκιος·

Ἠισθάνετο μὲν οὖν ἡμῶν [s]ταύτῃ τῃ διακειμένων, οὐ μέντοι προσεποιήθη τὸν νοῦν προσέχειν.

Καὶ αὖθις·

Ὁ [t]δὲ καὶ πολλάκις ἀκούων, οὐ προσεποιεῖτο. E

Προσεποιήσαντο: Ἰσαῖος. Ἀντὶ τοῦ, [u]ἀντεποιήσαντο. A

Προσεποίσω: Προσεπάξω.

Προσερήσομαι: Ἐρωτήσω.

Πρὸς ἐρρωγυῖαν [x]ἀΐδεις: Ἐπὶ τοῦ μάτην πονοῦντος.

Προσερρύη: Προσεφοίτησε, προσῆλθε, οὐ [y]προσέρρευσεν.

Προσέσθαι: [z]Ἀριστοφάνης· B

Ἀλλ' ἔτι σιγᾷ, κοὐδὲν γρύζει, τοῦτ' οὐ δύναταί με προσέσθαι.

Ἐφελκύσασθαι. Καὶ [a]αὖθις Αἰλιανός·

[b]Ἡ δὲ οὐ προσεῖτο τὴν δόσιν, ἑταιρικὸν φάσκουσα εἶναι μίσθωμα τὸ ἑαυτὴν παραβάλλειν ἀνδρὶ ἀγνῶτι, καὶ ὥσπερ ὤνιον τὸ κάλλος ἀποδέσθαι.

Καὶ αὖθις·

Ὥστε μηκέτι αὐτὸν προσέσθαι εἰς ὁμιλίαν.

C Προσέσχεν: Ἐξώκειλε. [c]Σοφοκλῆς·

Τίς σ', ὦ τέκνον, προσέσχε; τίς προσήγαγε
χρεία; τίς ὁρμή; [d]τίς ἀνέμων ὁ φίλτατος;

Καὶ αὖθις·

[e]Τίνι
στόλῳ προσέσχες τήνδε γῆν; πόθεν πλέων;

Λέγεται καὶ κατέσχεν. Ὁ αὐτὸς [f]Σοφοκλῆς·

Ἡνίκ' ἐκ τῆς ποντίας
D Χρύσης κατέσχον δεῦρο [g]ναυβάτῃ στόλῳ.

Προσέσχε: Κατῆρεν, ἐπλησίασεν. Αἰλιανός·

Εἶτα τῆς ὑστεραίας προσέσχε τῇ Χίῳ, καὶ [h]ἀποβάντες ἐντυγχάνουσι τῇ κόρῃ πιπρασκομένῃ.

Προσεταιρισάμενος: Ἑταίρους προσλαβόμενος.

Προσέτι: Ἐπίρρημα.

Προσετρίψατο: Ἐπέβαλε, κατέχεε.

[i]Τῷ βίῳ τῶν ἀνθρώπων κηλῖδα προσετρίψατο.

E Προσεύχηι τὸν θεόν: Οὕτως Ἀριστοφάνης [k]ἐν Πλούτῳ.

[n] προσεκτικώτατα καὶ ἐπιμελέστατα] ἐπιμελέστατα καὶ προσεκτικώτατα A. Mox τελεῖν A.B.V. pro ἐπιτελεῖν.

ΠΡΟΣΕΛΗΝΟΙ] Confer Nostrum supra v. Βεκκεσέληνε. KUST. Vid. Wesseling. Diss. Herodot. p. 41. TOUP.

ΠΡΟΣΕΛΟΥΜΕΝ: Ἀντὶ τοῦ, προπηλακίζ.] Ex Schol. Aristoph. Ran. 742. ubi tamen pro προσελαύνομεν rectius F
legitur, ἐλαύνομεν. KUST. ἐλαύνομεν A.V.

ΠΡΟΣΕΜΑΞΕ: Προσπαρέθηκε. Προσεκ.] Ex Enarratore Comici ad Equit. 812. sed ubi legitur, προσέθηκε. KUST.

ΠΡΟΣ 'ΕΜΟΥ ΕΙ] Euripid. Iph. Aul. 646. πρὸς ἐμοῦ γενοῦ νῦν. TOUP. εἰ om. E. Mox μοι pro μου A.B.E. Photius.

ΠΡΟΣΕΝΕΓΚΕ] A. in marg. om. V.

ΠΡΟΣΕΠΑΙΣΕ] Ex Timæo.

ΠΡΟΣΕΞΟΝΤΑΙ] Deest gl. B.V.E. Nescio an irrepserit ex Zonara. G

[o] Προσεπιμετρῶν ἀεὶ τῷ δ.] Valesius fragmentum hoc ad Polybium refert. KUST. Fr. gr. 111.

[p] τοὺς ἐν τοῖς Τυάνοις] Sic habet optimus ms. A. [et V.] At mss. B. et C. [et E.] itemque præcedentes editt. omnes, τοὺς ἐπὶ τοῖς τυράννοις: quod corruptum esse non dubito. KUST. Τυάνοις citat H. Steph. Ind. Thesaur. p. 1723 D.

[q] ὀργίζετο] ὠργίζετο μὲν A.V. H

[r] προσεποιήθη] Vide Diodor. Excerpt. p. 577. Philemo Ἐπιδικαζομένῳ, Theophrast. Char. c. 1. TOUP.

[s] ταύτῃ τοι] ἡμῶν ταύτῃ τῃ A. τῃ pro τοι B.V.

[t] δὲ καὶ] καὶ om. B.V.E.

ΠΡΟΣΕΠΟΙΗΣΑΤΟ: Ἰσ.] Ex Harpocratione. KUST.

[u] ἀντεποιήσαντο] ἀντετάξαντο V.

ΠΡΟΣΕΠΟΙΣΩ] Προσεποιήσω A.V. Vulg. habet Photius.

ΠΡΟΣ 'ΕΡΡΩΓΥΙΑΝ 'ΑΙΔΕΙΣ] Confer Nostrum infra v. Πρὸς κενὴν ᾄδεις. KUST.

[x] 'ΑΙΔΕΙΣ] ἄγεις V. Mox πονοῦντος A.

[y] προσέρρευσεν] οὐ προσέρρευσεν A.V. Phot. Est præceptum ni fallor Atticistæ monentis in usu esse Προσερρύη, non Προσέρρευσεν.

ΠΡΟΣΕΣΘΑΙ] Josephus p. 75. Pausanias p. 140. verbum restitue Euripid. Med. 1052. TOUP.

[z] Ἀριστοφάνης] Vesp. 739. Mox γρύξει V. et μοι A. pro με.

[a] αὖθις addunt A.V. Mox προσεδεῖτο A.

[b] Ἡ δὲ οὐ προσεῖτο τὴν δ.] Idem fragmentum Æliani legitur etiam supra v. Μίσθωμα. KUST.

[c] Σοφοκλῆς] Philoct. 236.

[d] τίς δ' ἀνέμων] δ' om. A.

[e] Τίνι] Ib. 243.

[f] Σοφοκλῆς] Ib. 269.

[g] ναυβάτῃ] ναβάτῃ V.

[h] ἀποβάντες] καὶ ἀποβάντες B.E. καὶ ἀποβαν' V. καὶ ἀποβάντι M. καὶ addit A. Mox πιπρασκομένοις E.

ΠΡΟΣΕΤΙ] Om. V. Habet A. in marg.

[i] Τῷ βίῳ] Æliano tribuit Valckenærius.

[k] ἐν Πλούτῳ] Ver. 959. Statim delevi cum A.B.V.E. sequentia: ΠΡΟΣΕΥΧΗ: Συνουσία καὶ ἕνωσις Θεοῦ καὶ ἀνθρώπου. Ἡ, Αἴτησις ἀγαθῶν μεθ' ἱκετηρίας προσαγομένη τῷ Θεῷ. Ἡ τῆς πρὸς τὰ ῥηθέντα καλὰ τοῦ τετηρηκότος μεταποιήσεως αἴτησις. Ἡ ἀρετῆς ἔπαθλον, ὃ μάλιστα χαίρων Θεὸς ἀντιδίδωσι. Ἡ, Προσευχὴ ἐστὶν ὁμιλία νοῦ πρὸς Θεόν. Ἡ, κατάστασις νοῦ φθαρτικὴ παντὸς ἐπιγείου νοήματος. Ἡ, αἴτησις ἀγαθοῦ παρὰ

Προσευσχολεῖν: Ἐπιμελῶς βλέπειν.

Ἀφιέναι δὲ τὸ σπουδαζόμενον, καὶ τῇ θεωρίᾳ προσευσχολεῖν αὐτοῦ.

[Προσεφθέγξατο: Αἰτιατικῇ.]

Προσεχές: Ἐγγύς.

Ἐπὶ τάδε τῆς πόλεως ὁρμεῖν οὐκ [l]ἐδύνατο, διὰ τὸ προσεχεῖς εἶναι ἀκτὰς τοῖς ἐτησίαις.

[m]Ἀλίμενος γάρ ἐστι καὶ προσεχὴς ὁ τῇδε αἰγιαλός.

Προσέχεια: Ἡ προσοχή.

Προσέχοιεν: Ἐπιμελῶς [n]τηροῖεν.

Ὅπως οἱ πολέμιοι ταύτῃ προσέχοιεν τὸν νοῦν.

Καὶ αὖθις·

Οὐδὲ [o]πάνυ τοι προσεῖχε τοῖς βιβλίοις.

Πρὸς ζόφον: Πρὸς δυσμάς.

Πρόσει: Προσέρχῃ.

Προσειλήφεσαν: Ὑπέλαβον, [p]ἐπενόησαν. [q]Ἰώσηπος·

Προσειλήφεσαν γὰρ ἐκ τοῦ σχήματος μηδὲν [r]αὐτὸν ἀρνήσασθαι τῶν ἐπινοηθέντων, ἀλλ' ἐπὶ συγγνώμης πορισμῷ πάντα πεποιηκέναι.

Πρόσειλος: Πρὸς τὴν εἵλην, ἤτοι [s]θερμασίαν.

Προσείλου: Προσελάβου, συνηρίθμησας. Αἰλιανός·

Εἶτα, ἀσελγέστατε, τοσοῦτοι ἐχθροὶ [t]γεγενημένοι οὐκ ἤρκεσαν, ἀλλ' ἄρα καὶ ἐμὲ εἰς τὴν τῶν ἐχθρῶν προσείλου τάξιν;

[Προσειπών:

Καὶ τοὺς ἀδελφοὺς τὰ ἔσχατα προσειπών.

Καὶ,

Προσειπὼν οὖν τὸν Δανιήλ.]

Προσείρων: Προσάπτων.

[Πρόσεισι: Δοτικῇ.]

Προσεῖχε:

Προσηγάγου: Ἀντὶ τοῦ, [u]περιεπλέξω, παρὰ [x]σεαυτὸν ἔλαβες. [y]Ἀριστοφάνης Ὄρνισιν·

Οὐκ ἔκυσας, οὐ προσεῖπας, οὐ προσηγάγου.

Ἀντὶ τοῦ, πρὸς σεαυτὸν ἔλαβες εἰς συνουσίαν.

Προσηγάσθησαν: Ὑπερεθαύμασαν.

[z]Τοῦτον ἀπεδέξαντο τὸν λόγον τοῦ νεανίσκου, καὶ προσηγάσθησαν, πῶς οἴει, σφόδρα τὸν Πρόκλον.

Προσηγγελμένοις: Τοῖς ἤδη ἀγγελθεῖσι.

[a]Τοῖς προσηγγελμένοις [b]ἐπαρκέσας, οὐδὲν πραγματικώτερον ποιήσεται μετὰ ταῦτα τοῦ βοηθεῖν σφίσι κατὰ δύναμιν.

Προσηγλάϊστο: Ἐλαμπρύνετο.

Προσηγορία: Προσφώνησις.

Προσήγορος:

[c]Ὅπου

θνητῶν φανοῦμαι μηδενὸς προσήγορος.

Προσήκαντο: [d]Αἰτιατικῇ. Κατεδέξαντο, ἠθέλησαν.

Οἱ πλεῖστοι μὲν οὖν προσήκαντο τὴν πρεσβείαν· ὀλίγοι δέ τινες διεχρήσαντο τοὺς [e]ἐλθόντας.

Καὶ αὖθις·

[f]Μωϋσῆς μὲν προσήκατο τὴν συμβουλίαν.

Προσήκει: Πρέπει.

Προσήκει γε μὴν Ῥωμαίοις μετ' ἀσφαλείας τὸ νικᾶν, ὡς ἂν οὐκ ἐξ ἀνάγκης πολεμοῦσιν, ἀλλὰ προσκτωμένοις.

Προσήκων: Δοτικῇ. Κατὰ γένος ἀγχιστεύων.

Ἦν δὲ ὁ παῖς προσήκων κατὰ γένος.

---

τῶν εὐσεβῶν εἰς Θεὸν γινομένη. Ἤ, αἴτησις ὧν πέφυκεν ὁ Θεὸς ἀνθρώποις δωρεῖσθαι πρὸς σωτηρίαν. Ὅτε τὸ ἀξίωμα τοῦ Θεοῦ νοήσας, αἰτῶ τι παρὰ τοῦ Θεοῦ, τότε προσεύχομαι. Eadem habet Zonaras. Ad αἴτησις ἀγαθῶν hæc Kusterus: "Eandem definitionem τῆς προσευχῆς legas apud Gregor. Nyssenum Orat. II. in Orat. Dominic. p. 724." qui ἡ τῆς πρὸς—αἴτησις pro corruptis habet.

ΠΡΟΣΕΥΣΧΟΛΕΙΝ] Προσασχολεῖν E.

ΠΡΟΣΕΦΘΕΓΞΑΤΟ] Προσεφθέγγετο A. (ubi gl. in marg.) E. Gl. om. V. Delevi καὶ δοτικῇ δὲ σπανίως cum A.B. Mox habet A. in marg. Προσέχω: δοτικῇ.

[l] ἐδύνατο] ἠδύναντο A. Mox τὰς ἀκτὰς E.

[m] Ἀλίμενος γάρ ἐστι καὶ προσεχὴς] Interpres, *scopulis vicinum littus*. Non intellexit vocem προσεχής. Est autem προσεχὴς αἰγιαλὸς, *littus apertum et ventis expositum*. Græci πρὸς ἄρκτον, πρὸς μεσημβρίαν. Hinc προσέχειν et προσεχὴς, de eo quod *patet* et *obversum* est. Verbo utitur Strabo, lib. V. p. 373. Ῥαχιώδης γὰρ καὶ ΠΡΟΣΕΧΗΣ ὁ πλησίον αἰγιαλός. *Est enim vicinum littus scopulosum et importuosum*. Quem locum frustra suspectum habuerunt viri doctissimi. Auctor nescio quis apud Suidam: Ἐπὶ τάδε τῆς πόλεως ὁρμεῖν οὐκ ἐδύνατο, διὰ τὸ ΠΡΟΣΕΧΕΙΣ εἶναι ἀκτὰς ταῖς ἐτησίαις. *Ad citeriores urbis partes appellere non potuit, quod littora Etesiis obversa essent*. Quod plenum et planum est. Dionys. Halicarn. III. 44. p. 175. edit. Hudson. Τοῦ γὰρ Τιβέριος ποταμοῦ καταβαίνοντος μὲν ἐκ τῶν Ἀπεννίνων ὀρῶν, παρ' αὐτὴν δὲ τὴν Ῥώμην ῥέοντος, ἐμβάλλοντος δ' ΕΙΣ ΑΙΓΙΑΛΟΥΣ ΑΛΙΜΕΝΟΥΣ ΚΑΙ ΠΡΟΣΕΧΕΙΣ, οὓς τὸ Τυρρηνικὸν ποιεῖ πέλαγος. Ad quem locum consulendus omnino Casaubonus. Plutarchus in Alexandro p. 25. edit. Bryan.—Ὡς θείᾳ τινὶ τύχῃ παραχωρήσασαν Ἀλεξάνδρῳ τὴν θάλασσαν,——σπανίως δὲ ΛΕΠΤΟΥΣ ΚΑΙ ΠΡΟΣΗΧΕΙΣ ὑπὸ τὰ κρημνώδη καὶ παρερρωγότα τῆς ὀρεινῆς ΠΑΓΟΥΣ διακαλύπτουσαν. Legendum: ΛΕΠΡΟΥΣ ΚΑΙ ΠΡΟΣΕΧΕΙΣ—ΠΑΓΟΥΣ. Athenæus I. 8. p. 9. Ἐλλήσποντον δὲ Ὅμηρος ἰχθυόεντα προσαγορεύων, καὶ τοὺς Φαίακας πλωτικωτάτους ποιῶν, καὶ ἐν τῇ Ἰθάκῃ εἰδὼς λιμένας πλείους καὶ ΝΗΣΟΥΣ ΠΡΟΣΕΧΕΙΣ πολλὰς, ἐν αἷς ἰχθύων ἐγίνετο πλῆθος καὶ θηρίων ὀρνίθων. TOUP.

[n] τηροῖεν] τηρεῖν A.B.V.E. τηρεῖεν M.

[o] πάνυ τοι] πάνυ τι A.B.V.

ΠΡΟΣ ΖΟΦΟΝ] Homerus Odyss. ι'. 26. Πρὸς ζόφον· αἱ δέ τ' ἄνευθε πρὸς ἠῶ τ' ἠέλιόν τε. Scholiasta: Ζόφον: Νῦν δύσιν. Huc Suidas respexit. KUST.

ΠΡΟΣΕΙ] Spectat forte Aristoph. Ach. 165.

[p] ἐνόησαν] ἐπενόησαν A.V.

[q] Ἰώσηπος] Lib. III. de Bell. Jud. c. 43. p. 825. sed ubi pro ἀρνήσασθαι legitur ἀρνήσεσθαι. KUST. II. 21, 3.

[r] αὐτὸν] αὐτῶν B.E.M. Mox γνώμης V.

[s] τὴν θερμασίαν] τὴν om. A.V.

[t] γενόμενοι] γεγενημένοι A.V.

ΠΡΟΣΕΙΠΩΝ] Gl. om. V. Habet A. in marg.

ΠΡΟΣΕΙΣΙ] A. in marg. om. V.

ΠΡΟΣΕΙΧΕ] Hic addit V. καὶ τοὺς ἀδελφοὺς τ. ἔ. π.

[u] περιεπλέξω] περιέπλεξας A.

[x] ἑαυτὸν] σεαυτὸν A.B.V.

[y] Ἀριστοφάνης Ὄρνισι] Ver. 141.

[z] Τοῦτον ἀπεδέξαντο τὸν λόγον] Hæc sunt verba Damascii in vita Isidori apud Photium in Excerptis, p. 1073. Scribendum autem, πῶς οἴει; Quomodo locutus est Synesius, Epist. 22. Ἥσθην, ἀλλὰ ΠΩΣ ΟΙΕΙ; πάνυ μὲν οὖν ἀπὸ βαθείας τῆς γνώμης ἥσθην. Damascius apud Photium supra, p. 1064. Ὁρῶν δὲ ἐμαυτὸν τῷ θείῳ φωτὶ περιρρεόμενον, ΠΩΣ ΟΙΕΙ; σφόδρα τὴν ψυχὴν ἐπανεσκόμην. Ita scribendus iste locus. Sed in his sæpius peccatum. TOUP.

[a] Τοῖς προσηγγελμένοις ἐπαρκ.] Hæc sunt verba Polybii lib. IV. c. 66. KUST.

[b] ἐπαρκέσαντες] ἐπαρκέσας A.V. Mox ποιήσεται A. pro ποιήσετε.

[c] Ὅπου θνητῶν φαν.] Sophocl. Œdip. Tyran. 1437.

[d] Αἰτιατικῇ] om. A.

[e] ἐθέλοντας] ἐλθόντας A.B.V.E.M.

[f] Μωϋσῆς μὲν] Ex Josepho A. J. III. 4, 2.

Καὶ αὖθις·

A Καὶ οἱ τούτοις προσήκοντες τοὺς εὐνούχους ᵍτούσδε ἡγησάμενοι ʰφαρμακεῖς ἀπέκτειναν.

Προσήλαιος:

Προσηλᾶ: Αἰτιατικῇ.

Προσήλυτοι: Οἱ ἐξ ἐθνῶν προσεληλυθότες, ⁱκαὶ κατὰ νόμον ποθήσαντες πολιτεύεσθαι. Δαβίδ·

Καὶ προσήλυτον ἐφόνευσαν.

B Πρὸς σῆμα μητρυιᾶς κλαίεις: ᵏἘπὶ τοῦ ἀφροντίστου, ἢ προσποιουμένου, ἢ ἐπὶ τῶν ἀδυνάτων.

Προσημπόλησα: Προσέλαβον.

Πρὸς ἠῶ: Πρὸς ἀνατολήν.

Προσηρεικότος: Προσαρμόσαντος.

ˡὉ δὲ κατεσκεύασε στοὰς, καὶ διὰ τούτων προσηρεικότες τῷ τείχει τὰς κριοφόρους μηχανάς.

Προσηρτημένος: Προσκεκολλημένος.

C Προσηρτῆσθαι: ᵐἈπηωρεῖσθαι.

Προσήσεσθαι: Ἀρεσθῆναι, δέξασθαι. Ἀππιανός·

Οἱ ὕπατοι τὰ ὅρκια ⁿπροὔτεινον, καὶ ἐς πάντας ἔφασαν, ἐνδώσειν μᾶλλον, ἢ Ταρκύνιον προσήσεσθαι.

[Προσήσεται: Αἰτιατικῇ.]

Προσηταιρίσατο: Φιλικὰ ἐποίησεν.

Οὐκ ὀλίγους τε ἀπὸ τούτων προσηταιρίσατο.

D Προσῆχεν: Ἀντὶ τοῦ, ᵒπροσῆγεν.

Προσίασι: Προσέρχονται.

Προσίενται: Προσάγονται.

Προσίεται: Αἰτιατικῇ. Ἀρέσκεται, προσδέχεται. ᵖἈριστοφάνης·

Τὰ μὲν ἄλλα μ' ἤρεσε τῶν πραγμάτων, ἓν δ' οὐ προσίεταί με,

(Ἀντὶ τοῦ, οὐ πείθει με,)

Ὅτι ὡς μόνος τὸν ζωμὸν ἐκροφήσεις.

E Προσιζήσαντες: Προσκαθίσαντες.

A [Προσίημι: Δοτικῇ.]

Πρόσιμεν: Προσερχόμεθα.

Προσιών: Προσερχόμενος.

Προσίστατο: Ἐνεπόδιζε.

Πρόσισχε: Τὸ πρόσεχε. Κρατῖνος·

Καὶ μὴ πρόσισχε βαρβάροισι βουκόλοις.

Καὶ Εὔπολις·

Πρόσισχε τὸν νοῦν τῇδε.

B Καὶ ᑫΘουκυδίδης γ'·

Παρασίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως.

Οὕτω δὲ καὶ ὑπίσχομαι, τὸ ὑπισχνοῦμαι, οἵ τε τραγικοὶ, καὶ ʳἈριστοφάνης·

Τὸ πρᾶγμα τοῦτο συλλαβεῖν ὑπίσχομαι.

Προσιτόν: Προσδεχόμενον.

Πρόσθεμα: Ἡ προσθήκη.

Προσθέσθαι: Συμπολεμῆσαι.

C Καὶ Πομπηΐῳ τῷ μεγάλῳ προσθέσθαι, οὐ κατὰ δέος ˢτῶν Ῥωμαίων, ἀλλὰ κατ' εὔνοιαν τὴν ἐς βασιλέα τε καὶ αὐτοὺς Ῥωμαίους.

Προσθεῖναι τὰς θύρας: Ἀντὶ τοῦ ἐπικλεῖσαι. ᵗἩρόδοτος γ'.

[Προσθίγω: Δοτικῇ.]

Πρὸς θυμοῦ: Ἐπιμελέστερον.

D Εἶναι δὲ Ῥωμαίοις ἐκ παλαιοῦ πάτριον, καὶ μάλιστα δὴ πρὸς θυμοῦ Ἀντωνίῳ.

Ἀντὶ τοῦ, ἠγαπᾶτο.

Πρὸς θυμοῦ αὐτοῖς ᵘἐγένετο: Ἀντὶ τοῦ, ἀρεστὸν καὶ θυμῆρες. Καὶ αὖθις·

Τοῖς δὲ οὐ ˣπρὸς θυμοῦ ὁ πόλεμος ἐγίγνετο.

Προσκαθεδοῦμαι: Δοτικῇ.

Προσκαθῆσθαι: Ἐνυπάρχειν.

E Τῷ γὰρ μηδεμίαν ἔννοιαν μηδενὶ προσκαθῆσθαι τοῦ μέλλοντος, πάντας εἰς ἔκπληξιν ἤγαγε τοὺς ʸφοινικούς.

---

ᵍ τούσδε] τούσδε A.V.E.

ʰ Φαρμακεῖς] Vid. v. Φαρμακεῖς. TOUP.

ΠΡΟΣΗΛΑΙΟΣ A. in marg.

ΠΡΟΣΗΛΥΤΟΙ: Οἱ ἐξ ἐθνῶν προσελ.] Ex Theodoreto ad Psalm. XCIII. 6. p. 775. KUST.

ⁱ καὶ κατὰ τοὺς θείους πολιτευόμενοι νόμους] καὶ κατὰ νόμον ποθήσαντες πολιτεύεσθαι A. fere cum Theodoreto. Addit A. καὶ οἱ ξένοι. Deinde ut in edd.

ᵏ Ἐπὶ τοῦ] ἢ ἐπὶ τοῦ ἀφ. A. m. s.

ΠΡΟΣ 'ΗΩ] Homerus Odyss. ι'. 26. KUST.

ΠΡΟΣΗΡΕΙΚΟΤΟΣ] Προσηρεικότος B.V. προσηρεικότες E.

ˡ Ὁ δὲ κατεσκεύασε στοὰς, καὶ δ.] Casaubonus in Commentario ad Polyb. p. 146. fragmentum hoc Polybio tribuit. KUST. Fr. gr. 112. ubi Schweighæuser. reponit προσηρεικότες.

ᵐ Ἀπηωρεῖσθαι] ἀπηωρῆσθαι V.

ΠΡΟΣΗΣΕΣΘΑΙ] Προσήσεσθαι V. bis.

ⁿ προὔτεινον] προὔτεινον A.B.V.E.

ΠΡΟΣΗΣΕΤΑΙ om. A.V.

ΠΡΟΣΗΤΑΙΡΙΣΑΤΟ] Sic rectius ms. A. quam priores editt. quæ habent προσηταιρήσατο, per η in syllaba antepenultima. KUST. Dio in Excerpt. Ursini p. 421. προσηταιρίσατο αὐτοὺς διὰ τῶν ἐπιτηδείων. TOUP.

ib. Προσηταιρήσατο B.E. et E. in exemplo, ubi ὀλίγους δὲ V.

ᵒ προσῆγεν] προῆγεν A.V.

ΠΡΟΣΙΟΝΤΑΙ] Προσίενται A. Photius.

ᵖ Ἀριστοφάνης] Equit. 358. Τὰ μὲν ἄλλα μ' ἤρεσας λέγων, ἓν δ' οὐ προσίεταί με Τῶν πραγμάτων, ὁτιὴ μόνος τὸν ζωμὸν ἐκροφήσεις. KUST.

ΠΡΟΣΙΗΜΙ om. A.V.

ΠΡΟΣΙΣΤΑΤΟ] Plutarch. II. p. 633. TOUP.

ᑫ Θουκυδίδης γ'] Cap. 22. ubi sic legitur: Παρασίσχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλοὺς, &c. KUST.

ʳ Ἀριστοφάνης] Fr. inc. Dindorf. n. 30.

ΠΡΟΣΘΕΜΑ: Ἡ προσθήκη] Glossæ: Πρόσθεμα. Penis, Appendix. Etymol. Magn. Πρόσθεμα καὶ Προσθέματα ἐπὶ τῶν αἰδοίων. Παρὰ τὸ ἀλλήλοις ἐν ταῖς συνουσίαις προστίθεσθαι· ἢ διὰ τὸ ἐπὶ τὰ ἔμπροσθεν μέρη εἶναι. Quo sensu intelligendus Strato in Anthologia inedita. TOUP. Levit. XIX. 25. ἐν τῷ ἔτει τῷ πέμπτῳ φάγεσθε τὸν καρπὸν, πρόσθεμα ὑμῖν τὰ γεννήματα αὐτοῦ. Hebr. להוסיף quam eandem vocem alius interpres Prov. I. 9. προσθήκη vertit. ERNEST.

ΠΡΟΣΘΕΣΘΑΙ] Προσθέσαι E.

ˢ τῶν Ῥωμαίων] τὸ Ῥωμαίων A. Mox τοὺς ante Ῥωμαίους om. A.B.V.E.

ΠΡΟΣΘΕΙΝΑΙ Τ. Θ.] Laërt. in Phædon. v. Kuhn. (II. 105.) TOUP.

ᵗ Ἡρόδοτος γ'] Cap. 78. ἐπικλεῖσαι A. pro ἀποκλεῖσαι cum Photio et Lex. Seg. Bekker. p. 111, 23.

ΠΡΟΣΘΙΓΩ] A. in marg. om. V.

ᵘ ΈΓΕΝΕΤΟ] ἐγένετο V.

ˣ πρὸς θυμοῦ] Joan. Antioch. Exc. Vales. p. 838. οὐ πρὸς θυμοῦ τοῖς στρατιώταις ἦν. Arrian. Exp. p. 162. TOUP.

ΠΡΟΣΚΑΘΕΔΟΥΜΑΙ A. in marg. om. V. Tum Προσκάθημαι: δοτικῇ A. in marg.

ʸ φοινικούς] φοινικὰς B.E. edd. ante Kuster. Portus vertit Pœnos, quomodo reddendum voluit Schweighæuserus. Atqui gentilitium nomen est Φοίνιξ, non Φοινικός. Si igitur scriptor anonymus Pœnos in animo habuit, corrigendum est Φοίνικας. Sed præstat manum abstinere.

Προσκαθίστη:

Ὅση ὑπεστι ἦσαν ἐπελεύσεσθαι [g]οἱ πολέμιοι, προσκαθίστη.

Ἀντὶ τοῦ, ἐπολυπλασίαζε.

Προσκαλέσαι: Ἀντὶ τοῦ προσκαλέσασθαι.

Προσκακοπαθῶ: Δοτικῇ.

Προσκαλοῦμαι: Αἰτιατικῇ.

Πρὸς καλοῦ ἐγένετο αὐτῷ:

Πρὸς Κᾶρα καρίζεις: Ἐπὶ τοῦ ὁμοίου. Ὡς καὶ τὸ, Πρὸς Κρῆτα κρητίζεις.

Προσκαρτερῶ: Δοτικῇ.

Προσκαταθείην: Ἀντὶ τοῦ, [a]ζημιωθείην. [b]Ἀριστοφάνης·

[c]Κἂν προσκαταθείην γ', ὥστ' ὀμόσαι, τριώβολον.

Τουτέστι, ζημιωθείην ἂν τρεῖς ὀβολοὺς, ἵνα ἐπιτρέψῃς μοι ὀμόσαι τοὺς θεούς· οὕτω καταφρονῶ τῶν ὅρκων.

Προσκαύσασα: Ἐπὶ τῆς χύτρας.

[d]Προσκαύσασα ἡ Θρᾷττα πρώην τὴν χύτραν.

Πρὸς καιρὸν ποιῶ: Ἀντὶ τοῦ, ἀληθῶς.

Προσκεκλήσεσθαι: Τουτέστιν, εἰς δικαστήριον κληθήσεσθαι.

[e]Σὺ δὲ, νὴ τὸν Ἑρμῆν, προσκεκλήσεσθαί γέ μοι,
εἰ μὴ ἀποδώσεις τἀργύριον.

Ἀριστοφάνης Νεφέλαις.

Προσκεκρουκώς: Ἐχθρὸς γεγονώς.

[f]Ὁ δὲ Σεβαστιανὸς προσκεκρουκὼς διὰ γνώμης ὀρθότητα τοῖς A κατακοιμισταῖς εὐνούχοις τοῦ βασιλέως, εὔκολος ὢν διὰ πενίαν καὶ κοῦφος ἐς μετανάστασιν, διεδέχθη [g]τῆς στρατηγίας.

Πρὸς κενὴν ᾄδεις. Πρὸς ἐρρωγυῖαν ᾄδεις: Ἐπὶ τοῦ μάτην πονοῦντος.

Πρὸς κέντρα λακτίζεις:

Προσκεφάλαιον: Οὕτω φησὶν [h]Ἀριστοφάνης.

[Προσκέχηνα: Δοτικῇ.]

Προσκέψομαι: Περισκοπήσω, περιεργάσομαι, B εἰσελθὼν καὶ κατανοήσας.

Προσκείμενοι: Οἷον, [i]κολλώμενοι, προσεγγίζοντες. Καὶ, Προσκειμένων τῶν θυρῶν: Τουτέστιν, ἠσφαλισμένων.

[k]Ὁ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θύραις,

([l]Ἀντὶ τοῦ, κεκλεισμέναις,)

καὶ τῶν ἐπισπαστήρων λαβόμενος, ἀπρὶξ εἴχετο, καρτερικῶς καὶ μάλα ἐγκρατῶς. [m]Ἐπεὶ δὲ ἀποσπώντων βίᾳ ἀπέκοψαν τὸ τοῦ C σῶμα τῶν χειρῶν.

Προσκήνιον: Τὸ πρὸ τῆς σκηνῆς παραπέτασμα.

[n]Ἡ δὲ τύχη παρελκομένη τὴν πρόφασιν καθάπερ ἐπὶ προσκήνιον, παρεγύμνωσε τὰς ἀληθεῖς ἐπινοίας.

Προσκυνήσομαι: [o]Ἀριστοφάνης·

Κακῶς παρέξω, κοὐχὶ προσκυνήσομαι.

Συνουσιάσαι αὐτῷ δηλονότι.

Προσκληιδονιζόμενος: Ἐπ' ἀγαθῷ ὀττευό- D μενος. [p]Ἰώσηπος·

---

[g] οἱ πολέμιοι] οἱ om. A.

ΠΡΟΣΚΑΚΟΠΑΘΩ, ΠΡΟΣΚΑΛΟΥΜΑΙ, ΠΡΟΣΚΑΡΤΕΡΩ A. in marg.

[a] ζημιωθείην] καὶ προκαταθείην addit E.

[b] Ἀριστοφάνης] Nub. 1237.

[c] Κἂν] καὶ B. προκαταθείην M. Mox ὥς om. B.E.

[d] Προσκαύσασα ἡ Θρᾷττα πρ.] Aristoph. Vesp. 824. Ἡ Θρᾷττα προσκαύσασα πρώην τὴν χύτραν. Sic etiam metri gratia apud Suidam scribendum est. KUST.

ΠΡΟΣ ΚΑΙΡΟΝ] Forsan Soph. Aj. 38. PORSON.

ΠΡΟΣΚΕΚΛΗΣΕΣΘΑΙ: Τουτέστιν ——— προσκεκλήσεσθαί γέ μοι] Hæc ex mss. Paris. revocavi. In prioribus enim editt. ea omnia desunt, et quæ sequuntur, cum præcedenti articulo male cohærent. KUST.

[e] Σὺ δὲ, νὴ τὸν Ἑρμ.] Aristoph. Nub. 1280.

[f] Ὁ δὲ Σεβαστ.] Confer Nostrum infra v. Σεβαστιανὸς, ubi locus hic auctior legitur. KUST. Eunap. Fr. 22.

[g] τὴν στρατηγίαν] τῆς στρατηγίας A.B.V.E. Suidas infra v. Σεβαστ.

ΠΡΟΣ ΚΕΝΤΡΑ ΛΑΚΤ.] Zenobius Cent. V. Adag. 70. Πρὸς κέντρα λακτίζειν: Παροιμία, ἧς μέμνηται Εὐριπίδης. Πρὸς κέντρα λακτίζοι (lege λακτίζοιμι) θνητὸς ὢν Θεῷ. Καὶ Αἰσχύλος δὲ ταύτης μέμνηται. Locus Euripidis, quem Zenobius hic adducit, exstat in Bacchis, 794. Idem Euripides Pelia, apud Stobæum: Πρὸς κέντρα μὴ λάκτιζε τοῖς κρατοῦσί σου. Æschylus Prom. Vinct. 323. Πρὸς κέντρα κῶλον ἐκτενεῖς. Scholiasta ad eum locum: Πρὸς κέντρα κῶλον ἐκτενεῖς: Πρὸς ἀκάνθας τὸν πόδα ἐξάξεις. Ἔστι δὲ παροιμία εἰρημένη ἐκ τῶν βοῶν τῶν κεντουμένων ὄπισθεν, καὶ ἐν τῷ λακτίζειν τοὺς ἰδίους πόδας αἱμασσόντων τῷ κέντρῳ. KUST.

ΠΡΟΣΚΕΦΑΛΑΙΟΝ] In prioribus editt. non solum male legitur, πρὸς κεφάλαιον, duabus vocibus; sed etiam nota hæc cum præcedenti articulo cohæret, quam inde separandam esse, et series literarum et sensus satis arguit. Vox προσκεφάλαιον enim nihil commune habet cum proverbio illo, Πρὸς κέντρα λακτίζειν, sed est novæ notæ initium, ut et ante nos recte monuit Stanleius ad Æschyli Prometh. Vinct. 323. KUST.

[h] Ἀριστοφάνης] Plut. 542. Καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρὸν, ἀντὶ δὲ προσκεφαλαίου, &c. Vid. Lysist. 925.

ΠΡΟΣΚΕΧΗΝΑ] Polyb. p. 432. TOUP. Hanc gl. habet A. in marg. om. V.

ΠΡΟΣΚΕΨΟΜΑΙ: Περισκ.] Aristoph. Equit. 154. Ἐγὼ δ' ἰδὼν προσκέψομαι τὸν Παφλαγόνα. Scholiasta: Προσκέψομαι: Περιεργάσομαι, φησὶν, εἰσελθὼν καὶ κατανοήσω, τί ποιεῖ ὁ Παφλαγών. KUST.

[i] κολλώμενοι] προσκολλώμενοι V.

[k] Ὁ δὲ ἐντυχὼν προσκειμέναις ταῖς θ.] Fragmentum hoc E legitur etiam supra v. Ἐπισπαστήρων. KUST. Historia, quam tradidit Herodotus VI. 91. ab alio, fortasse Æliano, cujus stylum hæc satis referunt, amplioribus verbis enarrata. HEMST.

ib. Hæc partim leguntur supra v. Ἐπισπαστήρων. Descripsit autem Suidas, quod nemo vidit, ex Herodoto, cujus verba hic apponam. Leguntur autem in Erato, c. 91. Εἷς δέ τις τουτέων ἐκφυγὼν τὰ δεσμὰ, καταφεύγει πρὸς πρόθυρα Δήμητρος θεσμοφόρου· ἐπιλαμβανόμενος δὲ τῶν ἐπισπαστήρων, εἴχετο· οἱ δὲ, ἐπεί τέ μιν ἀποσπάσαι οὐκ οἷοί τε ἀπέλκοντες ἐγίνοντο, ἀποκόψαντες αὐτοῦ τὰς χεῖρας, ἦγον οὕτω· χεῖρες δὲ κεῖναι ἐμπεφυκυῖαι ἔσαν τοῖσι ἐπισπαστῆρσι. Negari non potest quin ad hunc Herodoti locum respexerit Suidas. Hinc alter ex altero facile instaurandus. Ceterum verba illa, καρτερικῶς καὶ μάλα ἐγκρατῶς, sunt non nisi interpretamenta τοῦ ἀπρὶξ, a Suida pro more adjecta. Quod Hemsterhusio ad Pollucem notatum. Illud autem ἀπρὶξ εἴχετο quantivis pretii est, et Herodoto proculdubio restituendum. Vide Bosium ad Lucian. p. 59. TOUP.

[l] Ἀντὶ τοῦ κεκλεισμέναις] τουτέστιν ἠσφαλισμέναις E.

[m] Ἐπεὶ δὲ ἀποσπώντων βίᾳ ἀπέκ.] Hæc corrupta videntur, vel saltem mutila. KUST. καὶ ἐπεὶ V.

ΠΡΟΣΚΗΝΙΟΝ] Male Suidas vocem hanc interpretatur. Aliud enim est τὸ πρὸ τῆς σκηνῆς παραπέτασμα, sive *siparium*; aliud vero *proscenium*, ut vel vulgus eruditorum ignorare non potest. KUST.

ib. Vid. supra in Κύλιξ. Isid. Pelus. Ep. II. 92. usurpat προσκυνεῖσθαι de coitu: ὁ δὲ sc. Mars, nuptias Agraulæ ambiens προσκυνεῖσθαι ἀξιῶν. al. προσκυν. dicitur. H REINES.

[n] Ἡ δὲ τύχη παρελκ.] Casaubonus fragmentum hoc Polybio tribuit. KUST.

[o] Ἀριστοφάνης] Lysistr. 227.

[p] Ἰώσηπος] Lib. III. de Bello Jud. sub initium: ut Pearsonius monuit. Ibi autem pro προσκληδονιζόμενος rectius legitur προκληδονιζόμενος. KUST.

Ταῦτά τε δὲ προσπληθυνιζόμενος, καὶ [q] σταθερὰν μετ' ἐμπειρίας τὴν ἡλικίαν ὁρῶν. A

Προσκλήσεις: Πρὸς ἃς καλεῖ τις [r] εἰς δικαστήριον, ἢ βουλὴν, κλητῆρας ἔχων. [s] Πρόκλησις δὲ, χωρὶς τοῦ σ', καὶ [t] προκαλεῖσθαι [u] ἐπὶ διαιτητὴν, καὶ οἷον ἐπὶ βάσανόν τινος ἀνδραπόδου, [v] ἢ μαρτυρίαν τοῦδέ τινος βαλέσθαι.

Πρόσκλησις: Ἡ εἰς δικαστήριον κλῆσις. Καὶ [x] προσκαλέσαι, τὸ παραγγέλλειν εἰς δίκην. Δημοσθένης ἐν τῷ περὶ τοῦ [y] Ἁγνίου κλήρου. B

Πρόσκλισις: Ἑτερομέρεια.

Μὴ διαπράξασθαί τι κατ' ἔχθραν, ἢ κατὰ πρόσκλισιν.

Προσκλιτόν: Ἐν ᾧ ἀκουμβίζομεν.

Πρόσκομμα: Ζημία, βλάβη, σκάνδαλον.

Προσκομιστέον: Προσενεκτέον.

Προσκοπήν: Πρόσκρουσιν.

C Ὁ δὲ τῶν τοῦ βασιλέως φίλων ἐπὶ τοσοῦτον ἐς διαφορὰν [z] ἧκεν καὶ προσκοπὴν, ὥστε σπεύδειν αὐτοὺς περιβαλεῖν αὐτὸν ἀνηκέστῳ τινὶ κακῷ.

Προσκόπων: Προφυλάκων.

[a] Ὁ δὲ Τραϊανός τινας ἀγγελίας ψευδεῖς διὰ τῶν προσκόπων ἀεὶ καθιεὶς, εἴθιζεν ἅμα μὲν ἐν κόσμῳ πορεύεσθαι, ἅμα δὲ πρὸς τὰ φοβερὰ μὴ ταράττεσθαι.

Πρὸς κωρύκον γυμνάζεσθαι: Ἐπὶ τῶν διακενῆς μοχθούντων. D

Προσκόψῃς πρὸς λίθον τὸν πόδα σου: Ἀντὶ τοῦ, προσπταίσῃς. Τὸ σμικρότατον δὲ διὰ τοῦ προσκόψαι τῷ λίθῳ δεδήλωκε.

Προσκώπους: Τοὺς πρὸς ταῖς κώπαις ναύτας, τοὺς κωπηλάτας.

Πρὸς Κρῆτα κρητίζων: Παροιμία, ἐπὶ τῶν μάτην ποιούντων. [b] Πολύβιος·

Ὁ δὲ ἠγνόει, τὸ δὴ λεγόμενον, πρὸς Κρῆτα κρητίζων.

Προσκρούειν: Δοτικῇ. Ἐναντιοῦσθαι, ἐκμηχανᾶσθαι.

Οἱ Συνελῶται τὸν στόλον ἰδόντες, οὐκ ἐν τοῖς ὀχυρώμασι καθεῖρξαν αὐτοὺς, [c] οὐκ ἄλλο προσκρούειν τοῖς ἐναντίοις οὐδὲν ἔγνωσαν.

Προσκυνεῖ: Προσεγγίζει.

Προσκυνεῖ: Δοτικῇ, καὶ αἰτιατικῇ δέ.

Καὶ σὲ προσκυνεῖν τὸν ἥλιον τῆς δικαιοσύνης.

Πρόσκυσον: Προσκύνησον.

Προσλαλῶ: Δοτικῇ.

Πρὸς λέοντα δορκάδες [d] ἅπτουσι μάχην: Ἐπὶ τῶν πρὸς κρείττονας ἐριζόντων.

Πρὸς λύραν ᾄδειν:

[e] Τὰ [f] κατὰ τὸν ἑταῖρον ἡμῶν μετρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι Θεοῦ τε καὶ ἀνθρώπων νέμεσιν. Αὕτη μέντοι σαφῶς ἐστι, περὶ ἧς πρὸς λύραν ᾄδομεν.

[Προσμαρτυρῶ: Αἰτιατικῇ, καὶ δοτικῇ.

Προσμαρτυρῶ σοι τόδε,

Καὶ,

Προσμαρτυρῶ σε τόδε.

Προσμειδιῶ: Δοτικῇ.]

Πρὸς νῦν σε μητρὸς, πρός τε πατρὸς, ὦ τέκνον,

---

[q] σταθηρὰν] σταθερὰν A.

ΠΡΟΣΚΛΗΣΕΙΣ] Vid. Taylor. ad Demosth. c. Theocrin. p. 987. T. X. ed. Reisk.

[r] εἰς δικαστήριον] εἰς om. A.B.E. Photius.

[s] ΠΡΟΚΛΗΣΙΣ] Vide supra h. v. KUST.

[t] προσκεῖσθαι V.

[u] ἐπὶ διαιτητὴν] ἐπὶ om. V.

[v] ἢ μαρτυρίαν τοῦδέ τινος βαλ.] Hæc obscura sunt, vel corrupta. KUST. Rescribendum omnino: ἢ μαρτυρίαν τοῦδε τινὸς ἘΜΒΑΛΕΣΘΑΙ. Est autem Πρόκλησις provocatio vel ad *arbitrum*, vel ad *quæstionem* servi habendam, vel ad *testimonium* cujuspiam proferendum denique. Quod μαρτυρίαν ἐμβαλέσθαι vocat Suidas. Ita locutus est Demosthenes adversus Timoth. p. 700. Τοῦ μὲν γὰρ ΜΑΡΤΥΡΙΑΝ μὴ ἘΜΒΑΛΕΣΘΑΙ με πρὸς τὸν διαιτητὴν παρεκρούσατο. Idem, p. 704. ΜΑΡΤΥΡΙΑΝ δὲ αὐτὸν ἠξίουν ἘΜΒΑΛΕΣΘΑΙ Αἰσχρίωνος ὡς ἐλευθέρου ὄντος. Ceterum aliud est Πρόκλησις, aliud Πρόσκλησις. De quo viri docti ad Demosthenem et Harpocrationem. Illud, ut dixi, *provocatio;* hoc *citatio* est, idque per Κλητῆρας. Nam Κλητῆρες tum *ministri*, tum *testes* citationis. Utramque vocem conjungit Plato apud Timæum in Lexico, loco insigni, sed nonnihil corrupto, quem hic emendatum adscribam: Λήξεις. Τῆς ΤΡΙΑΔΟΣ καλουμένης. Λήξεών τε περὶ δικῶν, καὶ προσκλήσεων, καὶ κλητήρων. Ita scribendus iste locus. Vulgo legitur, τῆς τριακάδος καλουμένης. Quod viros eruditissimos admodum cruciavit. Sed nostra emendatio proculdubio verissima est. Nimirum hæc ex formulis juris Attici petita sunt. Primum, Λῆξις δίκης. Deinde, Πρόσκλησις. Postremo, Κλητῆρες. Hæc ΤΡΙΑΔΑ vocat Timæus, et alii scilicet vocabant. TOUP.

ΠΡΟΣΚΛΗΣΙΣ: Ἡ εἰς δικαστ.] Ex Harpocratione. KUST. Vid. Schol. Platon. p. 234.

[x] ΠΡΟΣΚΑΛΕΣΑΙ] προσκαλέσασθαι Photius, Harpocrat.

[y] Ἁγνίου] ἀγρίου A.

ΠΡΟΣΚΛΙΣΙΣ] Hac voce usus est Apost. Paulus 1 Timoth. V. 21. Μηδὲν ποιῶν κατὰ πρόσκλισιν. Theophylactus ibi κατὰ πρόσκλισιν exponit, κατὰ προσπάθειαν προσκλινόμενος τῷ ἑνὶ μέρει. Id est, *Ex affectu in alteram partem inclinans.* Plura de hac voce vide apud Suicerum in Thesauro Ecclesiastico. KUST.

ΠΡΟΣΚΛΙΤΟΝ] Confer Etymologum v. Πρόσκλιντρον. KUST.

[z] ἧκεν] ἧκε A.B.V.M.

[a] Ὁ δὲ Τραϊανὸς τ.] Pars fragmenti hujus legitur etiam supra v. Καθιείς. KUST. Vid. Dion. Cass. LXVIII. 23.

ΠΡΟΣ ΚΟΡΙΚΟΝ] Scribendum est πρὸς κώρυκον, ut Portus etiam monuit. KUST. κώρυκον A.B.E. κόρυκον V.

ΠΡΟΣΚΟΨΗΙΣ ΠΡΟΣ ΛΙΘΟΝ ΤΟΝ ΠΟΔΑ σου] Psalm. XCII. 12. ubi vide Theodoretum. KUST. Προσκόψεις A. Mox προσπταίσεις A.E.

ΠΡΟΣΚΩΠΟΥΣ: Τοὺς πρὸς ταῖς κώπ.] Ex Scholiasta Thucyd. ad lib. I. c. 10. KUST.

[b] Πολύβιος] Lib. VIII. c. 16. KUST.

ΠΡΟΣΚΡΟΥΕΙΝ] V. in marg.

[c] οὐκ ἄλλο et seqq.] Vertit Hemsterhusius, *neque aliud quicquam, quod adversariis opponerent, comparare instituerunt.*

ΠΡΟΣΚΥΝΕΙ] Scribe, προσκυρεῖ. Hesychius: Προσκυρεῖ: Προσεγγίζει. Sic etiam habet Photius in Lexico ms. KUST. προσκυρεῖ Phot.

ΠΡΟΣΚΥΝΕΙ: Δοτικῇ] A. in marg.

ΠΡΟΣΛΑΛΩ] A. in marg.

ΠΡΟΣ ΛΕΟΝΤΑ ΔΟΡΚ.] Confer Suidam supra v. Μὴ πρὸς λέοντα δορκ. KUST.

[d] ἍΠΤΟΥΣΙ ΜΑΧΗΝ] Potius, συνάπτουσι μάχην. KUST. Si quid mutandum, ob p. 2493 B. leg. ἅπτονται μάχης.

[e] κατὰ τὸν ἑταῖρον ἡμῶν, μετρίως ἐπρ.] Synesius Epist. XCIV. p. 235. Εὖ τὰ κατὰ τὸν ἑταῖρον Διοσκουρίδην, ὅτι μετρίως ἐπράχθη, καὶ οὐχ ὡς ἂν κινῆσαι, &c. Hinc Suidas supplendus est. KUST.

[f] κατὰ] τὰ κατὰ A.B.V.

ΠΡΟΣΜΑΡΤΥΡΩ] A. in marg. om. V. Seq. gl. A. in marg.

ΠΡΟΣ ΝΥΝ ΣΕ ΜΗΤΡΟΣ, ΠΡΟΣ ΤΕ ΠΑΤΡ.] Sophocl Philoct. 468.

Πρός τ', εἴ [g]τι σοι κατ' οἶκόν ἐστι προσφιλές, A
Ἱκέτης ἱκνοῦμαι, μὴ [h]λίπῃς μ' οὕτω μόνον,
Ἔρημον ἐν κακοῖσι τοῖσδε γ', [i]οἷς ὁρᾷς,
Ὅσοισί τ' [k]ἐξήκουσας ἐνναίοντά με.

Προσόδια: Ἀπὸ τῶν προσόδων. Οὕτω δὲ ἔλεγον τὰς προσαγομένας τοῖς θεοῖς [l]πομπάς. Καὶ προσόδια, τὰ εἰς πανηγύρεις θεῶν ποιήματα [m]παρὰ τῶν B λυρικῶν λεγόμενα.

Προσόδια: Ὕμνοι. Ἀρχὴ προσοδίου·

[n]Τί κάλλιον ἀρχομένοισιν, ἢ καταπαυομένοισιν,
ἢ [o]θοᾶν ἵππων ἐλατῆρας ἀείδειν;

Πρόσοδος: Εἰσφορὰ, εἴσοδος, [p]ἡ παρουσία, ὡς [q]Θουκυδίδης, καὶ ἕτεροι.

Ὁ δὲ Καῖσαρ ἐκ τῆς προσόδου μόνης τούτους κατέπληξε.

C Τουτέστι, παρουσίας.

Προσωδώδασι: Προσώζεσαν. Ταυτόν.

Προσοκέλλω: [r]Τὸ αἰγιαλῷ προσεγγίζω. Καὶ προσοκείλαντες, προσορμίσαντες.

Προσομιλῶ: Δοτικῇ.

Πρὸς ὄνομα: Κατὰ [s]ὄνομα δηλονότι.

Προσουδίζει: Τῷ ἐδάφει προσκρούει.

[t]Ἐκ τοῦ ἵππου ῥίψας, προσουδίζει χαμαί.

Προσουδίζει: Πρὸς τὸ ἔδαφος ῥιπτεῖ.

Ὁ δὲ [u]ἄρας μετέωρον, προσουδίζει τε καὶ ἀποκτείνει.

Προσουρίου: Ἐπιτηδείου.

Προσοχή: Ἀκριβὴς ἐπιμέλεια διαίτης.

[x]Τοῦ ἰδίου σώματος ἐπιμελητικῶς δεῖ ἔχειν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως· ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς [y]ὀλίγιστα ἰατρικῆς χρήζειν φαρμάκων καὶ ἐπιθεμάτων ἐντὸς καὶ ἐκτός.

Προσοχθίζω: Δοτικῇ.

Προσοχθίσματα: Ἡ Γραφὴ καλεῖ τὰ Εἴδωλα. Καὶ, Προσώχθισα: Δυσηρεστήθην, ἐβδελυξάμην.

Πρὸς ὄψιν: Πρὸς θεωρίαν. [z]Σοφοκλῆς·

[a]Τὸ δ' εὐχλόου Δήμητρος εἰς προσόψιον
πάγον μολούσα, τάσδ' ἐπιστολὰς πατρὶ
ταχεῖ [b]πόρευσαν ξὺν χρόνῳ.

Πρόσω: Ἔμπροσθεν.

[c]Ἰωτόμην δὲ καίπερ οὐ πρόσω τοῦ τεθνάναι ὄντα ἀποτμηθῆναι [d]τὴν κεφαλὴν κελεύει, ὡς μὴ [e]ἐκφύγῃ τὸν τῶν κακούργων θάνατον.

Πρόσω: Ἀντὶ τοῦ, ἀπωτέρω.

Εὐθεῖαν ἐδόκει ἐλαύνειν [f]ὡς ἐπὶ Σελεύκειαν. Εἶναι γὰρ οὐ πρόσω σφῶν τὴν Σελεύκειαν, ἅτε [g]εἴκοσιν ἡμερῶν ὁδὸν τῶν πλείστων ἀπέχουσαν.

Καὶ αὖθις·

C Εἶχε δὲ καὶ πεζοὺς οὐ πρόσω τῶν δισμυρίων.

Ἀντὶ τοῦ, οὐ πλείους.

Προσῳδία καὶ προσῴδιον: Ὁ ὕμνος.

Προσώκειλαν: Προσώρμισαν.

Προσωπεῖον: Πρόσχημα.

Πρόσωπον: Ἐπὶ Θεοῦ, ἡ ἐπιφάνεια αὐτοῦ. Δαβίδ·

Πρόσωπον δὲ Κυρίου ἐπὶ ποιοῦντας κακά.

D Καὶ, ἡ λύσις τῶν πονηρῶν, καὶ τῶν ἀγαθῶν ἡ χορηγία.

Προσωτέρω: Περαιτέρω.

Προσώχθικε: Προσκέκρουκε, προσκέκοφεν. Ἀπὸ τοῦ τὰ ἐπινηχόμενα ταῖς ὄχθαις προσκρούεσθαι.

Προσώχθισα: Ἐβδελυξάμην, δυσηρεστήθην. Καὶ [h]Πισίδης·

E [i]Εἰ δ' αὖ σχολάζει, καὶ προσοχθεῖ τῇ μέθῃ.

---

[g] ΤΙ ΣΟΙ—ΠΡΟΣΦΙΛΕΣ] τίς σου—προσφιλὴς A. προσφιλὴς E.
[h] ΛΙΠΗΙΣ] λίποις A.
[i] ΟΙΣ 'ΟΡΑΙΣ] εἰσορᾷς A.V.
[k] 'ΕΞΗΚΟΥΣΑΣ] ἐξήκουσεν A.
ΠΡΟΣΟΔΙΑ: Ἀπὸ τῶν προσόδ.] Ex Schol. Aristoph. Av. 854.
[l] πομπὰς] θυσίας Schol.
[m] παρὰ τῶν] περὶ τῶν A. τῶν om. V.
[n] Τί κάλλιον ἀρχ.] Aristoph. Equit. 1262.
[o] θοᾶν] θοῶν A.B.E. θεῶν M. Tum ἵππων om. V. Post ἀείδειν addunt A.V. γρ. καὶ ἀεῖσαι.
[p] ἡ παρουσία] ἢ παρουσία Photius.
[q] Θουκυδίδης] IV. 110.
ΠΡΟΣΟΔΩΔΕΣΑΝ] Ms. A. προσωδώδασι. KUST. Et B.V.E. Tum ταυτὸν om. B.V.
[r] Τὸ αἰγιάλῳ] τῷ αἰγ. A.
ΠΡΟΣΟΜΙΛΩ om. A.
[s] ὄνομα] τὸ ὄνομα V.E. Gl. A. in marg.
[t] Ἐκ τοῦ ἵππου ῥίψας, προσουδ.] Fragmentum hoc legitur apud Procopium de Bello Goth. lib. IV. c. 8. KUST.
ΠΡΟΣΟΥΔΙΖΕΙ] Plutarch. Galba p. 1065. Synes. p. 104. Suid. v. Σφῆλαι. TOUP.
[u] ἄρα V.
ΠΡΟΣΟΥΡΙΟΥ] Hesychius divisim, πρὸς οὐρίου: sed male. Photius in Lexico ms. habet, προσουρίου. KUST.
[x] Τοῦ ἰδίου σώματος ἐπιμελητικῶς δ.] Locus hic apud Marc. Anton. lib. I. c. 16. unde eum Suidas descripsit sic legitur: Τὸ τοῦ ἰδίου σώματος ἐπιμελητικὸν ἐμμέτρως, οὔτε ὡς ἄν τις φιλόζωος, οὔτε πρὸς καλλωπισμὸν, οὔτε μὴν ὀλιγώρως· ἀλλ' ὥστε διὰ τὴν ἰδίαν προσοχὴν εἰς ὀλίγιστα ἰατρικῆς χρήζειν ἢ φαρμάκων καὶ ἐπιθημάτων ἐκτός. Locum hunc Marci Antonini observaverat etiam Pearsonius. KUST.
[y] ὀλίγα πάνυ] ὀλίγιστα A.B.V. εἰς om. E.
ΠΡΟΣΟΧΘΙΖΩ] Levit. XVIII. 28. TOUP. Deest v. A.
ΠΡΟΣΟΧΘΙΣΜΑΤΑ] Vid. Ἰωσίας. TOUP. v. Μελχόμ, p. 2451 D.
[z] Σοφοκλῆς] Œdip. Colon. 1600. ut Portus monuit. Sed ibi pro προσόψιον legitur ἐπόψιον. KUST.
F [a] Τὸν δ'] τὸ δ' A.
[b] πόρευσαν] πόρευσαν A.B.M. ταχὺ V. pro τάχει.
[c] Ἰωτόμην] Ἰωτόμαν V.
[d] τὴν] αὐτὴν B.E.
[e] ἐκφύγῃ] ἐκφύγοι A.
[f] ὡς ἐπὶ] ὡς om. V.
[g] εἴκοσιν ἡμερῶν ὁδὸν τῶν πλείστων] ἐκ τῶν πλείστων ἡ. ὁ. A. εἴκοσι τῶν πλείστων ἡ. ὁ. V.B.
ΠΡΟΣΩΠΟΝ] Prior explicatio vocis est Theodoreti ad G Ps. XXX. 21. ubi ait, ἀρκεῖ σου, φησὶν ἡ ἐπιφάνεια· τοῦτο γὰρ καλεῖ πρόσωπον. Verba autem Davidis, quæ adferuntur, extant Ps. XXXIII. 16. Ultima explicatio est iterum Theodoreti ad Ps. CXVIII. 135. ubi ille sic: τοῦ θείου προσώπου τὴν ἐπιφάνειαν νοητέον τὴν λύσιν τῶν λυπηρῶν, καὶ τὴν τῶν ἀγαθῶν χορηγίαν. Sed ideo non necesse est, ut in Suida corrigamus τὸ πονηρῶν, quia constat hos lexicographos verba eorum, quos exscriberent, sponte mutasse, ne forte in oculos incurrerent compilationis vestigia. ERNEST. In ex. χριστοῦ M. pro κυρίου.
H ΠΡΟΣΩΧΘΙΣΑ] Psalm. XXII. 24. TOUP. Ex Ps. XCIV. 10. Prius glossema est Theodoreti, posterius Symmachi et Aquilæ ad illum Psalmum. Vid. Hesych. Gloss. sacr. ERNEST.
[h] Πισίδης] Fr. Foggin. v. 140.
[i] Εἰ δ' αὖ σχολ.] Exemplum hoc pertinet ad vocem προσοχθεῖν, non vero προσοχθίζειν. KUST.

**Προσπαθῶ σε:** Αἰτιατικῇ.

**Προσπαλαίω:** Δοτικῇ.

[**Προσπελάζει:** Προσεγγίζει.]

**Προσπάλτιοι:** [k]Πρόσπαλτα, δῆμος τῆς Ἀκαμαντίδος. [Ζήτει ἐν τῷ Δραχαρνεῦ.]

**Προσπατταλεύσω:** Προσπήξω. [l]Ἀριστοφάνης Πλούτῳ·

> Ὥσπερ κοτίνῳ προσπατταλεύσω [[m]τουτονί.]

[n]Εἰώθασι γὰρ κοτίνῳ καὶ ἄλλοις δένδροις προσπατταλεύειν [o]ἀναθήματα, καὶ [p]κωλὰς, καὶ κρανία, πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοὶ, [q]πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά.

**Προσπελάζει:** Προσεγγίζει.

**Προσπέσῃ:** Συμβῇ. Αὐθυπότακτον.

**Προσπεσόντων:** Ἀγγελθέντων. Πολύβιος·

> Προσπεσόντων [illegible] τούτων εἰς Τάραντα καὶ τοὺς Θουρίους, ἠγανάκτει τὰ πλήθη.

**Προσπίπτουσαι:** Συναντῶσαι.

> [[r]Αἱ δὲ γυναῖκες] κατὰ τὰς διόδους
> προσπίπτουσαι τοῖς ἀπὸ τοῦ δείπνου.

**Προσπιπτούσης:** Ἀντὶ τοῦ, ἀγγελλομένης.

[**Προσπεφυκότως:** Ἀπρὶξ οὖν, ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς. Καὶ ἀπρὶξ προσπεφυκότως, ὃ οὐχ οἷόν τε πρίσαι διὰ τὴν σύγχυσιν.]

**Προσπορευομένων:** Προσερχομένων μεθ' ἱκετηρίας.

> [s]Προσπορευομένων δ' αὐτῷ τῶν ἠδικημένων, τοὺς μὲν διέσυρε χλευάζων, τῶν δὲ καταγέλαστα, τοὺς [illegible] ἐξέπληττε λοιδορῶν.

**Προσπταίω:** Δοτικῇ.

**Προσποριζθέν:** Ἐπινοηθὲν, προσοδευθέν.

**Προσπτύξομαι:** [t]Προσκυνήσω, [περιπλακήσομαι.]

**Προσποιεῖται:** Αἰτιατικῇ. Οἰκειοποιεῖται, ἢ πλάττεται, καὶ ὑποκρίνεται.

> Γνόντες οἱ Φράγγοι ὡς Βελισάριος εὐτυχεῖ, καὶ [u]προσποιεῖσθαι τὴν Ἰταλίαν ἐθέλοντες, περὶ συμμαχίας βουλεύονται.

Καὶ, **προσποιούμενος.**

> Καὶ οὐδ' ὁτιοῦν ἐν ἑαυτῷ ἔχειν προσποιούμενος.
> Οἱ δὲ οὐ προσποιοῦνται κακουμένους Ῥωμαίους, καίπερ αὐτῶν φίλοι ἐκ παλαιοῦ ἐς τὰ μάλιστα ὄντες.

**Προσρῆξαν:** [x]Προσαράξαν.

**Προσρήσεσι:** Προσηγορίαις. Καὶ **πρόσρησις,** προσηγορία, [y]λόγος κατ' ἐπαγγελίαν λεγόμενος.

> Ἐστέρησε Σιλζίβουλος, ὁ Τούρκων ἡγεμὼν, ὡς [z]ὁ Ῥωμαίων φίλος οὐχ ἧττον καὶ αὐτῷ ἐπιτήδειος, καὶ ὁ δυσμενὴς ὁμοίως· ἐπειδὴ τηνικαῦτα Ῥωμαῖοι Πέρσαις ἐπολέμουν ἐπὶ τῇ [a]προσρήσει, δεῖν εἶναι ἐν καιρῷ καὶ αὐτὸν ἐπιθέσθαι Πέρσαις.

**Πρόσριζα:** Σὺν ταῖς ῥίζαις. Ἀππιανός·

> Τὰ δένδρα [b]ἔκοπτε [c]πρόσριζα, τοῦ μὴ πάλιν φῦναι.

**Πρόσταξις:** [d]Πρόσταξίς ἐστιν, ὅταν ἐξ ἑκατέρων τῶν μερῶν τῆς τάξεως, ἢ ἐκ θατέρου, κατὰ τὸ κέρας αὐτὸ προστεθῇ τι στίφος [e]τῇ πάσῃ φάλαγγι, κατευθὺ τοῦ μετώπου τῆς τάξεως.

**Προστασία:** Βοήθεια.

> [f]Ὁ δὲ ἐξέπεμπε τὸν Πόπλιον μετὰ μεγάλης προστασίας.

[g]Τουτέστι, δυνάμεως, ἐξουσίας. Καὶ αὖθις·

> [h]Καὶ τὸν ἴδιον οἶκον ἐσφαλκέναι, διὰ τὴν πρὸς τοῦτο τὸ μέρος ὁρμὴν καὶ προστασίαν.

---

ΠΡΟΣΠΑΘΩ] A. marg. Προσπαθῶ V. Seq. gl. A. in marg.

ΠΡΟΣΠΕΛΑΖΕΙ om. A.B.E.

ΠΡΟΣΠΑΛΤΙΟΣ] Προσπάλτιοι A. ζήτει etc. A. in marg. om. V.

[k] Πρόσπαλτα] Populus Atticæ Acamanthidis tribus. Vid. Meurs. p. 110. et de Προσπαλτίοις supra v. Δραχαρνεῦ. Athen. VII. p. 326. REINES.

[l] Ἀριστοφάνης Πλούτῳ] Ver. 944.

[m] τουτονί om. A.B.V.E.M.

[n] Εἰώθασι γὰρ κοτίνῳ καὶ ἄλλ.] Hæc, et quæ sequuntur, sunt verba Scholiastæ ad modo indicatum locum Aristophanis. KUST.

[o] ἀναθήματα] τὰ ἀναθήματα A.

[p] κωλὰς] Scribe, κῶλα, ut habet Enarrator Comici. KUST.

[q] καὶ πρὸς] καὶ om. A.B.E. et ni fallor V. Mox iidem αὐτὰ pro τὰ ἑαυτῶν γεωργήματα. Et sic Schol.

ΠΡΟΣΠΕΣΟΝΤΩΝ] Polyb. p. 1088. προσπεσόντες [illegible] ζῶν τὸν πάππον. Vid. Suid. v. Ὀρθῆς. TOUP. In fine τὰ πλήθη om. V.

[r] Αἱ [illegible] γυναῖκες κατὰ τὰς διόδ.] Aristoph. Eccles. 689. Αἱ [illegible] γυναῖκες om. A.V.E.M. καὶ A. pro κατά. τὰ τὰς E.

ΠΡΟΣΠΕΦΥΚΟΤΟΣ: Ἀπρὶξ οὖν, ὅλ.] Notam hanc confuse admodum et turbato ordine excerpsit Suidas ex Scholiasta Sophoclis ad Aj. 310. apud quem rectius sic legitur: Ἀπρίξ: Ὅλῃ δυνάμει, ἰσχυρῶς, ἀσφαλῶς, προσπεφυκότως, ὃ οὐκ ἐᾶστε πρίσαι διὰ τὴν σύμφυσιν. Hinc vero patet, notam hanc nihil omnino facere ad vocem προσπεφυκότος, vel, ut potius scribi debebat, προσπεφυκότως, sed in ea exponi vocem ἀπρίξ: quam proinde articuli hujus, suo loco collocandi, caput esse oportebat. Confer Nostrum supra v. Ἀπρίξ, ubi eadem leguntur. KUST.

ib. Προσπεφυκότως A. bis, ubi gl. in marg.

[s] Προσπορευομένων δ' αὐτῷ τῶν ἠδικ.] Hæc sunt verba Polybii lib. IV. c. 3. KUST.

ΠΡΟΣΠΤΥΞΟΜΑΙ] Photius: Προσπτύξομαι: προσκυνήσω.

[t] Προσκυνήσομαι] προσκυνήσω A.B.V.E. Tum περιπλακήσομαι om. A.B. Καὶ προσπτύσσω: δοτικῇ V.E. Tum Προσπαίζω: δοτικῇ. Προσπαίω: δοτικῇ.—Προσπηδῶ: δοτικῇ.—Προσπίπτω: δοτικῇ. Προσπτύσσεις καὶ προσπτύσσω δοτικῇ A. marg.

[u] προσποιεῖσθαι] προσποιεῖσθαί τε A.B.V.

[x] Προσαράξαν] Sic recte habet ms. A. At mss. B. et C. [et E.] et priores editt. male, προτράξαν. KUST. Diodor. Exc. p. 589. ed. Wessel. ταῖς πρὸς τῇ γῇ πέτραις προσραχθέντες, ubi leg. προσαραχθέντες. Synes. Ep. p. 551. προσαράξας πέτρῳ τινὶ κέραμον. Sed Agathias p. 10. βιαιότερον προσραχθέντα. Arrian. Exped. p. 414. αἱ πρὸς τῇ γῇ ἀραχθεῖσαι. TOUP.

ΠΡΟΣΡΗΣΕΣΙ] Vid. Σιλζίβουλος. HEMST.

[y] λόγος κατ' ἐπαγγελίαν λεγόμενος] Hæc interpretatio potius convenit voci πρόρρησις, quam πρόσρησις. KUST.

[z] ὁ Ῥωμαίων] ὁρωμένων A. ὁ om. V. qui om. καὶ post ἧττον.

[a] προσρήσει] Potius, προρρήσει. KUST.

ΠΡΟΣΡΙΖΑ] Sic habet ms. A. et ita scribendum hic esse, vel series literarum arguit. Priores vero editt. minus recte habent πρόριζα, absque σ. KUST. Πρόρριζα B.E.

[b] ἔκοπτε] ἔκοπτον B.E.V.

[c] πρόσριζα] Et hic priores editt. male habent πρόριζα. KUST.

[d] Πρόσταξίς ἐστιν, ὅταν ἐξ ἑκατ.] Confer Ælianum in Tact. c. 31. KUST. Bibl. Coislin. Montfauc. p. 511.

[e] τῇ πάσῃ] τῇ om. V.

[f] Ὁ δὲ ἐξέπεμπε τὸν Πόπλιον μετὰ μεγ.] Fulv. Ursinus fragmentum hoc ad Polybium refert. KUST. Fr. hist. 52.

[g] Τουτέστι om. A.E.

[h] Καὶ τὸν ἴδιον οἶκον ἐσφ.] Hæc sunt verba Polybii, quæ leguntur in Excerptis a Valesio editis, p. 21. ubi locum integrum vide. Confer etiam Nostrum supra v. Ἐσφαλκέναι, ubi idem fragmentum legitur. KUST.

**Προστασία**: [i]Δημοσθένης ἐν τῷ κατὰ Ὀνήτορος· A

Ταῦτα οὐχ ὁμολογουμένη προστασία.

ῬΕΓΧΟΥΣΙ] Dicitur etiam ῥέγκουσι, per κ, quod Atticorum est. Aristophanes initio Nubium: Οἱ δ' οἰκέται ῥέγκουσι. Scholiasta: Ῥέγκουσι: Οὕτως οἱ Ἀττικοὶ διὰ τοῦ κ. καθεύδουσιν οὖν πάντες, ὡς τῶν ἄλλων μὲν ἀμεριμνούντων, αὐτοῦ δὲ φροντίζοντος. Διὰ τοῦτο καὶ τὸ ῥέγκουσιν ἐπήγαγεν, ἵνα μᾶλλον αὐτοὺς δείξῃ πάντας ὄντας ἔξω φροντίδος. Τῶν γὰρ βαθέως καθευδόντων ἴδιον τὸ ῥέγκειν. Huc Suidas respexit. Thomas Magister: Ῥέγχω οὐδεὶς τῶν Ἀττικῶν, ἀλλὰ ῥέγκω. Ἀριστοφάνης ἐν Νεφέλαις· Οἱ δ' οἰκέται ῥέγκουσιν. KUST. ῥέγκουσι A.B.

[t] μὴ] μηδὲν A.B.V.E.G.H.

ῬΕΔΙΩΝ] Sic A. cum Photio. Vulgo om.

'Ρέζεσκον: Ἔπραττον. A

'Ρέζει: Θυσιάζει, ποιεῖ, [u]ἱερατεύει, παρασκευάζει.

'Ρέθος: Πρόσωπον, ἐρύθημα, μέλος, σπλάγχνον.

> [x]Ἐνθάδε τῆς τρυφερᾶς μαλακὸν ῥέθος, ἐνθάδε κεῖται [y]τρυγόνιον.

[z]Ὅμηρος·

> Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδόσδε βεβήκει.

Καὶ [a]'ρεθομαλίδαι, οἱ τρυφεροὶ τὴν σάρκα. Λέγεται γὰρ καὶ ὅλον τὸ σῶμα ῥέθος. Καὶ [b]κλίνεται B ῥέθους.

'Ρέκαττον: Παρὰ 'Ρωμαίοις, [c]ἀποχῆς εἶδος.

'Ρέκος: Ζῶμα, ζώνη.

'Ρέκτηι ἀνδρί: Τῷ πράκτῃ.

'Ρελατορία: Ἀναφορά.

'Ρεμβώδους: [d]Ἠμελημένης.

> [dd]Τῆς δὲ πολιορκίας ῥεμβώδους γενομένης, ὁ μὲν Σκόπας ἠδόξει καὶ διεβέβλητο πανικῶς. C

Καὶ αὖθις·

> Εὑρὼν δὲ αὐτοὺς [e]διαρεμβομένους κατὰ τὸ τέμενος ἀόπλους, τούτους ἀπέκτεινε.

'Ρέμει: Πειρᾷ, ὀδυνᾷ, σήπει.



A 'Ρέμος: Ὄνομα κύριον.

'Ρέμφις: Ὄνομα κύριον.

'Ρέξαι: Ποιῆσαι, πρᾶξαι· Ἀθηναῖοι δὲ [f]θῦσαι· παρὰ Ἐπιχάρμῳ, τὸ [g]βλάψαι.

'Ρέπει: Κλίνει.

'Ρερυθμῶσθαι: Ἐσχηματίσθαι, συγκεκρίσθαι.

'Ρερυπωμένα (ποιητικῶς) κεῖται.

'Ρεῦμον: Βρέφος νεογνόν.

B 'Ρετξωρία: Παρὰ 'Ρωμαίοις ἡ μετὰ ἀνδρὸς καὶ γυναικὸς [h]ἀλληλοκληρονομία.

'Ρεχθὲν δέ τε νήπιος ἔγνω: Εἴρηται [i]παρ' Ὁμήρῳ, ὅτι ὁ μωρὸς μετὰ τὸ γενέσθαι τὸ πρᾶγμα ἐπιγινώσκει.

'Ρεῖ: 'Ρέει.

'Ρεῖα: 'Ραδίως, εὐκόλως, εὐμαρῶς, ἰσχυρῶς, C [[k]ὁμαλῶς. [l]Ὅμηρος·

> 'Ρεῖ' ἔγνων ἀπιόντος.]

Καὶ 'ρεῖον: Εὐχερές, εὔκολον.

'Ρεῖα ζώοντες: Ἀπόνως, καὶ ἀμόχθως.

'Ρειαμενῇ: Ἐν [m]καθύδρῳ τόπῳ.

'Ρεῖθρον: Τὸ κῦμα.

'ΡΕΖΕΣΚΟΝ] Vid. Od. χ'. 46. 209.

'ΡΕΖΕΙΝ] 'Ρέζει etc. A.V.

[u] ἱερατεύειν] Scribe, meo periculo, ἱερεύειν, i. e. *hostias mactare*. Sic enim vox ista accipitur apud Homerum Il. α'. 444. et alibi. Recte Hesychius: 'Ρέζει: Πράττει, θύει, ἱερεύει. Photius in Lexico inedito: 'Ρέζει: Θυσιάζει, ποιεῖ, ἱερεύει. KUST.

'ΡΕΘΟΣ: Πρόσωπον, Ἐρύθημα] Ad hunc locum silent interpretes. Nec mirum id quidem. Respexit autem Suidas, quod nemo vidit, ad Sophocl. Antig. 538. Νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν 'ΡΕΘΟΣ αἰσχύνει, Τέγγουσ' εὐῶπα παρειάν. Ubi Schol. Αἱματόεν ῥέθος: Τὸ ἐπὶ τῷ προσώπῳ 'ΕΡΥΘΗΜΑ. Quare legendum videtur: 'Ρέθος: Πρόσωπον, προσώπου ἐρύθημα. Huc referendus etiam Hesychius: 'Ρέθος, πρόσωπον, ΠΑΡΕΙΑ. Schol. in Hom. Il. χ'. 68. a Valckenaer. edit. 'Ρέθεα λέγουσι τὰ τοῦ σώματος μέλη, ἐπειδὴ κατὰ παντὸς μέλους τὸ ζωτικὸν καὶ ψυχικόν ἐστι. 'Ρέθη δὲ, τὰ ζῶντα μέλη, δι' ὧν ῥέζομέν τι. Αἰολεῖς δὲ, τὸ πρόσωπον· καὶ 'Ρεθομαλίδας, τοὺς εὐπροσώπους. TOUP.

[x] Ἐνθάδε τῆς τρυφ.] Anthol. Pal. VII. 222. Ἐνθάδε— βεβήκει om. H.

[y] τρυγόνιον] τρυγόνιο A. τριγόνιον E. τρυγόνιον B.G.

[z] Ὅμηρος] Il. χ'. 362. KUST.

[a] 'ΡΕΘΟΜΑΛΙΔΑΙ] Henr. Stephanus in Thesauro vocis hujus solum Suidam auctorem laudat. Sed reperitur ea etiam apud Scholiastam Homeri ad Il. χ'. 68. qui docet, Æoles τοὺς εὐπροσώπους vocare ῥεθομαλίδας. KUST. Vid. nos Addend. Theocrit. XXIX. 16. TOUP. 'Ρεθυμαλίδαι A.B.V.G.H.

[b] πληθυντικῶς τὰ ῥέθη] κλίνεται ῥέθους A.

'ΡΕΚΑΤΤΟΝ] Scribendum est 'Ρέκαυτον, ut recte monuerunt Meursius in Glossario, et Portus ad hunc locum. Vide etiam Dufrenium in Glossario Græco, v. 'Ρέκαυτον; et in Glossario Latin. v. *Recautum*. KUST. Mox ἀποδοχῆς H.

[c] ἀποχῆς] ἀποδοχῆς B.E.G.

'ΡΕΚΟΣ] Vid. supr. in 'Ραῖκος. HEMST.

'ΡΕΚΤΗΙ] Vid. Synesii Ep. p. 205. ed. Cujac. TOUP.

'ΡΕΛΑΤΟΡΙΑ] Sic recte optimus ms. A. At in mss. B. et C. [E.] itemque prioribus editt. corrupte legitur, ῥεκτολία: quam vocem, licet spuriam, Dufrenius, mendosis codicibus Suidæ deceptus, in Glossarium suum retulit. KUST.

[d] Ἠμελημένης] ἠμελημένους A.

[dd] Τῆς γὰρ πολιορκ.] Valesius fragmentum hoc ad Polybium refert. KUST. XVI. 39. 2. Τῆς δὲ A.V.E. Deest exemplum H.

[e] διαρεμβομένους] Sic recte, ms. A. Sed mss. B. et C. [E.] et priores editt. male, διαβεβλημένους. KUST.

[f] θῦσαι] Pariter et apud Latinos *facere* pro *sacrificare* interdum poni constat. KUST.

[g] βλάψαι] Sic habent libri tam mss. quam editi; sed male. Scribendum enim est βάψαι, i. e. *tingere*. Clare Scholiasta Homeri ad Odyss. γ'. 349. 'Ρήγεα: Βαπτὰ ἱμάτια καὶ περιβόλαια. 'Ρέξαι γὰρ οἱ Ἀχαιοὶ ἔλεγον τὸ βάψαι. Etymologus v. 'Ρῆγος: 'Ρέξαι, τὸ βάψαι, καὶ οἷον μεταποιῆσαι. Sic et apud Latinos *inficere* significat *tingere*; et *infectores* iidem sunt, qui *tinctores*. Ceterum, miror, Stephanum in Thesauro suo de hac significatione vocis ῥέζειν prorsus tacere. KUST. βλάψαι tenet Photius. βλά πρᾶξαι E.

'ΡΕΡΥΘΜΩΣΘΑΙ] Pro ἐρρυθμῶσθαι. KUST.

'ΡΕΡΥΠΩΜΕΝΟΥΣ] 'Ρερυπωμένα A.V.G.H. 'Ρερυπωμένα κεῖται Homeri verba sunt Od. ζ'. 59., ποιητικῶς glossatoris, monentis ῥερυπωμένα poëtice dictum esse pro ἐρρυπωμένα. Vid. Schol. ad eum locum et Eustath. p. 1551=247. Anecdota Bekkeri p. 1287.

F 'ΡΕΥΜΟΝ] 'Ρεύμων V. Vid. ad Hesych. v. 'Ρεῦμον.

'ΡΕΤΞΩΡΙΑ] Potius, 'Ρεταξωρία, vel 'Ρὲς οὐξωρία, ut legitur in Glossis Nomicis, unde hæc sumpsit Suidas. KUST. Errasse videtur in hoc loco emendando Cujac. Obs. XVI. 39. idque recte ostendit Steph. le Moyne ad Hippolyt. p. 963. HEMST.

[h] ἀλληλοκληρονομία] Sic etiam legitur in Glossis Nomicis. At ms. A. tantum habet κληρονομία. KUST.

[i] παρ' Ὁμήρῳ] Il. ρ'. 32. KUST. Vid. Schol. Platon. G p. 53.

[k] ὁμαλῶς om. B.V.G.H. cum ἰσχυρῶς item desinit Photius.

[l] Ὅμηρος] Il. ν'. 72. unde sensum hujus fragmenti supplebis. Genitivus enim ἀπιόντος non pendet a verbo ἔγνων, sed a voce ἴχνια, quæ apud Homerum præcedit. KUST. Ὅμηρος etc. om. A.V.

'ΡΕΙΑ ΖΩΟΝΤΕΣ] Sic Homerus Deos vocat, Il. ζ'. 138. et alibi. Confer Heinsium in Introductione in Hesiodum, c. 13. KUST.

H 'ΡΕΙΑΜΕΝΗΙ] Imo, εἱαμενῇ. Vide Nostrum supra v. Εἱαμενή. KUST.

[m] καθύδρῳ] Sic rectius mss. Paris. quam priores editt. quæ habent καθύγρῳ. Lectionem mstorum confirmat Scholiasta Homeri ad Il. δ'. 483. qui εἱαμενῇ interpretatur, καθύδρῳ καὶ βοτανώδει τόπῳ. KUST. καθύδρῳ (γ) E.

'Ρειώνην: Τὴν Ἥραν.

'Ρείτης: Ὁ ῥέων.

'Ρειτός: [n]Ὄνομα τόπου, καὶ [o]ἔθνους.

'Ρήβας: Ὄνομα ποταμοῦ.

'Ρηγεῖς: Οἱ βαφεῖς. Καὶ [p]'ρῆγος, τὸ βαπτὸν ἱμάτιον.

'Ρηγίλλος: Ὄνομα κύριον.

'Ρηγῖνος, γραμματικός. Ἔγραψε [q]τὸν λεγόμενον Πολυμνήμονα.

'Ρηγῖνος: Ὁ ἀπὸ τοῦ 'Ρηγίου.

'Ρηγίνους: Τοὺς δειλούς. [r]Ξέναρχος γὰρ, ὁ Σώφρονος τοῦ [s]μιμογράφου υἱὸς, ἐκωμῴδει τοὺς 'Ρηγίνους ὡς δειλοὺς, ὑπὸ Διονυσίου τοῦ τυράννου πεισθείς. Καὶ παροιμία· 'Ρηγίνου δειλότερος: Ἐπὶ τῶν καθ' ὑπερβολὴν δειλῶν. Καὶ, [t]Δειλότερος τοῦ παρακύπτοντος.

'Ρήγιον: Τόπος.

'Ρηγμῖνι: Αἰγιαλῷ.

'Ρήγνυται: Διαιρεῖται, καὶ διακόπτεται. Καὶ 'ρήγνυσιν, ἀντὶ τοῦ προΐησιν, ἐκπέμπει. [u]Αἰλιανός·

Καὶ ῥήγνυσι φωνὴν ἱκέτιν ἐξ αὐτῆς ἐκβιασθεὶς τῆς ὀδύνης.

Καὶ 'ρηγνύμενον, [x]διαρρησσόμενον. Καὶ 'ρήγνυσκε, διέρρησσε.

'Ρῆγος: Τὸ βεβαμμένον ἱμάτιον.

'Ρήγουλος: Ὄνομα κύριον.

Ὅτι οἱ Καρχηδόνιοι [y]πολλοῖς ἀτυχήμασι δουλωθέντες τὸ φρόνημα, 'Ρήγουλον τὸν στρατηγὸν 'Ρωμαίων, ὃν [z]μικρῷ πρόσθεν ὑπὸ χεῖρα πεσόντα σφίσι πικρῶς τε καὶ βαρβαρικῶς ἐκόλαζον, τότε τῶν δεσμῶν ἀνέντες, τά τε ἄλλα θεραπεύσαντες, πρὸς τοὺς οἰκείους ἐξέπεμπον, εὕρασθαί τινα μετρίαν τοῦ πολέμου κατάθεσιν καὶ τῶν αἰχμαλώτων ἀντίδοσιν τῇ συντάξει τοῦ



A ἀνδρὸς οἰόμενοι. Ὁ δὲ πρὸς τὴν 'Ρώμην ἅμα πρεσβείαις Καρχηδονίων ἀφικόμενος, ἔς τε τὸ συνέδριον παρελθὼν, τὰς μὲν συνήθεις τοῖς ὑπατικοῖς τιμὰς διωθήσατο· οὐ μετεῖναι τῆς πολιτείας αὐτῷ λέγων, ἀφ' οὗπερ ἡ τύχη δεσπότας αὐτῷ Καρχηδονίους ἐπέστησε. Παρῄνει γε μὴν [a]τοῖς ἐν τέλει τῆς βουλῆς ἀπείπασθαι παντελῶς τὰς διαλλαγὰς, καὶ μὴ ἀνεῖναι τοὺς ἐναντίους ἐς τὸ ἀνέλπιστον ἤδη ἀφιγμένους. Οὐ γὰρ

B εἶναί πως ἄξιον, ἀνδρὸς ἑνὸς μόνου, καὶ ἤδη γηραιοῦ, ὀλίγων τε [b]ἄλλων τῶν ὑπολελειμμένων ἐς τὴν [c]Καρχηδονίαν, πολλὰς χιλιάδας ἀλλαξαμένους αὐξῆσαι τὴν τῶν ἐναντίων δύναμιν. Ἐφ' οἷς ἀγασθέντες αὐτὸν οἱ 'Ρωμαῖοι, τὴν μὲν πρεσβείαν ἄπρακτον τῶν Καρχηδονίων [d]ἀποπέμπουσιν· αὐτὸν δὲ πρὸς βίαν ἀφαιρεῖσθαι τῶν ἀγόντων ἐπεχείρουν. Ὁ δὲ οὐ μετατέον αὐτῷ φήσας ἐν πόλει, ἐν ᾗ τῆς ἴσης οὐ μεθέξει κατὰ τοὺς

C πατρίους θεσμοὺς πολιτείας, πολέμου νόμῳ δουλεύειν ἑτέροις ἠναγκασμένος, εἵπετο τοῖς Καρχηδονίοις ἑκούσιος, [e]τά τε δάκρυα τῶν οἰκείων καὶ τοὺς ὀλοφυρμοὺς ἀκλινῶς διαθησάμενος. Ἐπανελθὼν δὴ οὖν [f]ἐς τὴν Καρχηδόνα, παντὶ [g]κολάσεων εἴδει καταναλίσκεται. Πρὸς γὰρ δὴ τοῖς πολλοῖς αἰκισμοῖς, οἴκου, φασὶ, [h]περιτεθέντος αὐτῷ [i]στενοῦ, καὶ [k]ἰσομέτρου τῷ σώ-

D ματι, αἰχμαῖς σιδηραῖς κατὰ τὸ ἐντὸς πεπυκνωμένου, διαφθαρῆναι αὐτὸν, ἀπαγορεύοντα μὲν πρὸς τὴν ἀκλινῆ στάσιν, περιπίπτοντα δὲ ταῖς αἰχμαῖς, [l]ἔν τε ταῖς ἐπὶ τῶν τοίχων ἀναπαύσεσι, καὶ [m]ὅλως ἐν ταῖς ἐξαλλαγαῖς τοῦ σχήματος. Καὶ τὸ μὲν οὕτως ἐπεπράγει.

'Ρηΐδιον: Εὔκολον. Καὶ 'ρηϊδίως.

'Ρηϊνός: Ὁ ῥυπαρός.

'Ρηΐστη: Ἀρεστή.

E 'Ρήλαιμος: Ὄνομα τόπου.

'Ρῆμα: 'Ρῆμα λέγεται ἡ ἁπλῶς ῥηματικὴ φωνὴ,

'ΡΕΙΩΝΗΝ: Τὴν Ἥραν.] Etymologus: 'Ρειώνη. Τὴν Ἥραν φησὶν Εὐφορίων. KUST.

'ΡΕΙΤΟΣ] Confer Hesychium v. 'Ρειτοί: et Etymologum v. 'Ρείτης. KUST. Wass. Addend. Thucyd. p. 667.

[n] Ὄνομα τόπου] Scribendum potius esse ὄνομα ποταμοῦ, colligo ex Etymologo v. 'Ρείτης; quem vide. Obiter F autem hic moneo, vocem ποταμὸς in mss. sæpe per compendium exarari solere; eamque causam esse, quare eam librarii non raro in τόπος mutare soleant. KUST. τοῦ A.

[o] ἔθνους] ὀνόματος ἐθνικοῦ E.

'ΡΗΓΕΙΣ: Οἱ βαφεῖς. Καὶ ῥῆγ.] Ex Schol. Homeri ad Il. ί. 657. KUST.

[p] 'ΡΗΓΟΣ] Vid. Schol. Homer. Od. γ'. 349. TOUP.

G [q] Τὸν λεγόμενον Πολυμνήμονα] Laudatur hoc opus a Socrate lib. III. Hist. Eccles. c. 23. KUST. Laudatur in Niceph. Callist. Hist. Eccl. X. 36. REINES. τὸ λεγ. G.H.

'ΡΗΓΙΝΟΥΣ: Τοὺς δειλ.] Confer Zenobium, et alios Parœmiographos. KUST.

[r] Ξέναρχος—καὶ παροιμία om. H. qui habet tamen infra pro καὶ δειλότερος τ. π.

[s] Μιμογράφου] Antea male legebatur Μυθογράφου; cujus loco Μιμογράφου, vel absque mstorum auctoritate, repo- H nere non dubitavi. Sophronem enim *Mimos* scripsisse, tum ex aliis auctoribus constat, tum etiam ex ipso Suida infra v. Σώφρων. KUST. Leg. μιμογράφου. Νυμφόδωρος ὁ θαυματοποιὸς, ὃς προσκρούσας τοῖς 'Ρηγίνοις, ὥς φησι Δοῦρις, εἰς δειλίαν αὐτοὺς ἔσκωψε πρῶτος. Athen. I. p. 19. REINES. Μυθογράφου mss. omnes. Μιμογράφου correxit Schottus ad Zenob. V. 83. et Suidæ prov. XII. 52. Mox υἱὸς om. V.

[t] ΔΕΙΛΟΤΕΡΟΣ ΤΟΥ ΠΑΡΑΚ.] Vide Nostrum supra h. v. KUST.

'ΡΗΓΜΙΝΙ] ἐπὶ ῥηγμῖνος ἁλὸς Hom. Il. ά. 299. et aliis locis. REINES.

[u] Αἰλιανὸς—ὀδύνης om. H.

[x] διαρρησσόμενον] διαρησσόμενον A. et sic mox A.V. 'Ρήγνυσκε Il. ή. 141. ῥήγνυσκεν διέρησσεν V.

'ΡΗΓΟΣ deest gl. E.G.

[y] πολλοῖς] τοῖς πολλοῖς A.B.V.E.G.H.

[z] μικρῷ] μικρὸν V. qui mox om. τε καὶ βαρβαρικῶς. Infra idem ἐξέπεμψαν.

[a] τοῖς ἐν τέλει τῆς Βουλ.] Sic rescripsi auctoritate optimi ms. A. Ante enim male legebatur, [cum B.E.G.H.] τὴν ἐντέλειαν τῆς Βουλῆς. KUST.

[b] ἄλλων τῶν] τῶν om. A.

[c] Καρχηδονίαν] Καρχηδονίων B.V.E.G.H.

[d] πέμπουσιν] ἀποπέμπουσιν A.V.

[e] τά τε] τὰ [illegible] V.

[f] ἐς τὴν] πρὸς τὴν A.V.H.

[g] κολάσεων] κολάσεως V.

[h] περιτεθέντος] περιτιθέντος G.

[i] στενοῦ] στενῷ H.

[k] ἰσομέτρου] Sic rectius mss. Paris. quam priores editt. [et E.] quæ habent ἰσομετρήτου. KUST.

[l] ἔν τε ταῖς] Seqq. om. V.

[m] ὅλως] ὅλῳ A.

'ΡΗΙΣΤΗ: Ἀρεστή] Ex Scholiasta Homeri ad Odyss. δ'. 565. sed ubi rectius legitur ῥηΐστη, cum accentu in penultima: quod Ionice dictum est pro ῥᾴστη. KUST.

οἷον, τύπτω, γράφω, ἁπλῶς μόνον λεγόμενον· [n]τὸ δ' ἐκ τῆς ἁπλῶς ῥηματικῆς φωνῆς σημαινόμενον, ΚΑΤΗΓΟΡΊΑ καλεῖται.

'ΡΉΜΑΤΑ ἈΝΤ' ἈΛΦΊΤΩΝ: Ἐπὶ τῶν μὴ ὧν τις δεῖται διδόντων, ἀλλὰ φωνὰς μόνας προϊεμένων.

['ΡῆΜΟΣ ΚΑῚ 'ΡΩΜΎΛΟΣ, ἀδελφοὶ Ῥωμαῖοι, ἐκ πορνείας γενόμενοι, καὶ ῥιφέντες, καὶ παρὰ γυναικὸς ἀνατραφέντες. Καὶ ζήτει ἐν τῷ ΒΡΟΥΜΆΛΙΑ.]

B 'ΡΉΝΑΙΑ: Νῆσος πλησίον Δήλου. Καὶ 'ΡΗΝΊΑ.

'ΡῆΝΕΣ: Πρόβατα. Ἡ εὐθεῖα, ὁ ῥήν.

'ΡῆΞ, 'Ρηγός. [o]Ὁ τῶν [p]Φράγγων ἀρχηγός.

'ΡΉΞΑΣ: Κόψας.

> [q]Ὁ δὲ ῥήξας τὰ κλήματα, ἐβοήθει.

Καὶ 'ΡῆΞΑΙ, ὁμοίως.

'ΡΗΞΉΝΟΡΕΣ: Ἀνδρεῖοι.

> [r]Τύμβος Ἀχιλλῆος ῥηξήνορος, ὅν ποτ' Ἀχαιοὶ
> δώμησαν, Τρώων δεῖμα καὶ ἐσσομένων.

C 'ΡΗΞΊΦΛΟΙΑ: Ῥήξαντα τὸν φλοῦν· οἷον, [s]κάρυα.

'ΡῆΞΟΝ ΦΩΝΉΝ: [t]Διάτορον εἰπέ.

> [u]Ἀλλ' ὦ πολλοῖς τοὺς πρεσβυτέρους ἤθεσι χρηστοῖς στεφανώσας, ῥῆξον φωνὴν [x]ᾗτινι χαίρεις, καὶ τὴν σαυτοῦ φύσιν εἰπέ.

'ΡΗΞΕΊΔΙΟΝ: Λεξείδιον.

'ΡΉΣΕΙΣ: Λόγοι.

'ΡΗΣΊΑΡΧΟΣ: Ὃς ἐρέει τὰ θέσφατα. Παρ' Ἐπιχάρμῳ. [y]Ἤτοι παρὰ τὴν ῥῆσιν εἴρηκεν· ἤ, ὡς Ἀσκληπιάδης ἐν ς' Τραγῳδουμένων, ἄριστον αὐτὸν γεγονέναι ἀλήθειαν εἰπεῖν. Ἐγένετο δὲ καὶ ἕτερος.

D 'ΡΗΣΙΚΟΠΕῖΝ: Δημηγορεῖν.

'ΡῆΣΙΣ ΜΑΚΡΆ: Διεξοδικὸς λόγος [z]μακρός.

'ΡῆΣΟΣ: Ὄνομα κύριον. Στρατηγὸς τῶν Βυζαντίων, [a]τὰς οἰκήσεις ἔχων πρὸ τῆς πόλεως, ἐν τόπῳ [b]λεγομένῳ Ῥησίῳ, ἔνθα νῦν [c]οἶκος τοῦ μεγάλου [d]μάρτυρος Θεοδώρου γνωρίζεται. [e]Ὃς ἦλθεν εἰς συμμαχίαν τῶν Τρώων, καὶ καταλύσας ἐν [f]τῷ πεδίῳ τῷ πρὸ τῆς πόλεως κειμένῳ, ἀτυχῶς ἀπήλλαξε. Διὰ νυκτὸς γὰρ Διομήδης καὶ Ὀδυσσεὺς τοῦτον [g]κατασφάζουσι.

'ΡΉΣΣΩ: Αἰτιατική.

'ΡΗΤΊΝΗ: [[h]Τὸ ἐκ τῆς πεύκης ὑγρόν.]

'ΡΗΤΌΝ: Ὡρισμένον, φανερόν. [i]Θουκυδίδης·

> [k]Ξυνέβησαν τοῖς Ἀθηναίοις ῥητοῦ μὲν [l]ἑκάστου ἀργυρίου ἀπολυθῆναι, ὅπλα παραδόντας.

Καὶ αὖθις·

> Ἐν οὐδενὶ [m]πώποτε χρόνῳ ῥητόν τι χρυσίον ἐκομίσαντο ἐκ Ῥωμαίων οἱ καθ' [n]ἡμᾶς Σαρακηνοί.

'ΡΗΤΟΡΕΎΩ:

'ΡΗΤΟΡΚΊΑ:

'ΡΗΤΟΡΙΚῊ ΓΡΑΦΉ: Ἣν ἠγωνίζοντο οἱ ῥήτορες. [o]Οὐ γὰρ πάσας ἠγωνίζοντο τὰς δίκας τῶν παλαιῶν οἱ ῥήτορες, ἀλλ' ἐνίας. Ἄλλοι δὲ 'ΡΗΤΟΡΙΚῊΝ ΓΡΑΦῊΝ εἶναι [p]λέγουσι τὴν κατὰ [q]ῥήτορος γινομένην, γράψαντός τι, ἢ εἰπόντος, ἢ πράξαντος [r]παράνομον· ὥσπερ λέγεται πρυτανικὴ γραφή, ἡ κατὰ πρυτάνεως· καὶ ἐπιστατική, ἡ κατὰ ἐπιστάτου.

'ΡΗΤΟΡΙΚῊ δέ ἐστιν ἐπιστήμη δικαίων. Ἴδιον δὲ Ῥητορικῆς τόλμης, τὸ μὴ ἀρνεῖσθαι μέν, πιθανὴν δὲ τῶν πραγμάτων [s]ἐπεισφέρειν αἰτίαν. Δαμάσκιός φησι περὶ Ἰσιδώρου·

> Οὐδὲ τῇ ῥητορικῇ προσέσχε τὸν νοῦν, ὅ τι καὶ λόγου ἄξιον, τὸ σοβαρὸν αὐτῆς [t]καὶ ἀλαζονικὸν εὐλαβηθεὶς καὶ μισήσας.

'ΡΗΤΟΡΙΚῊ ΓΡΑΦῊ ἔοικε καλεῖσθαι, ἡ κατὰ ῥήτορος

---

[n] τὸ] ὁ A.B.E.G.H.

'ΡΗΜΟΣ] Deest articulus A.B.V. 'Ρῶμος G.H.M. pro 'Ρωμύλος.

'ΡΗΝΑΙΑ] Vid. Wass. et Duker. ad Thucyd. III. 104.

[o] Ὁ τῶν Φράγγων ἀρχηγός] Non solum Francorum, sed etiam ceterorum barbarorum reges Græci recentiores appellabant 'Ρῆγες, quod nomen βασιλεὺς solis imperatoribus Romanis convenire existimarent. Asterius Homil. in Psalm. VII. T. II. Monum. Eccl. Græc. a Cotelerio edit. p. 75. Ὥσπερ ἐν τοῖς πολέμοις πλῆθος βαρβάρων ὀκλάζεται, εἰ πάντες ἐπὶ τοῦ ἑνὸς νεύματι τοῦ Ῥηγός, ἢ τοῦ τυράννου ἕπονται. Vide quæ ad eum locum notavit Cotelerius. Confer etiam Dufrenium in Glossario Græco. KUST.

[p] Φράγγων] Φράγκων A.

[q] Ὁ δὲ ῥήξας τὰ κλ.] Hæc sunt verba Josephi de Samsone, lib. V. Ant. Judaic. c. 10. p. 162. KUST. V. 8, 11.

[r] Τύμβος Ἀχιλλ.] Anthol. Pal. VII. 142.

'ΡΗΞΙΦΛΟΙΑ] Vide Casaub. ad Athen. lib. II. c. 20. KUST.

[s] κάρυα] δάκρυα V.

[t] Διάτορον καὶ ἰσχυρὸν] καὶ ἰσχυρὸν om. A.B.V.G.H. Post εἰπὲ B.G. addunt Ἀριστοφάνης.

[u] Ἀλλ' ὦ πολλ.] Aristoph. Nub. 956. Deest exemplum H.

[x] ᾗ τινι] ἧν τινα A.V. τινα ᾗ B.G.M.

'ΡΗΣΙΑΡΧΟΣ: Ὃς ἐρέει τὰ θέσφ.] Eadem habet Hesychius. Sed tota hæc nota obscura est, quod locus scriptoris, ad quem Hesychius respexit, hodie, quod quidem sciam, nuspiam exstet. KUST. 'Ρητός: ἀρχός· ὃς αἱρέσει Photii ms.

[y] Ἤτοι] τοῖς A.B.V.E.G.M. Photii ms. Sequitur lacuna in E.G. λείπει addit B. m. s. Mox εἴρηται Photii ed. ἤτοι—ἕτερος om. H.

'ΡΗΣΙΚΟΠΕΙΝ] Polybius in Maii Excerptis p. 396. τὸ δὲ ῥησικοπεῖν ἐν τοῖς βιβλίοις ῥᾴδιον.

[z] καὶ μακρὸς] καὶ om. A.B.V. Photius et Timæus p. 228. ubi vid. Ruhnkenius.

[a] τὰς οἰκήσεις—γνωρίζεται om. B.E.G.H.

[b] λεγομένῳ] ἐπιλεγομένῳ A.

[c] οἶκος] ὁ οἶκος A.V.

[d] μάρτυρος] Hæc vox in prioribus editt. [et V.] deest, quam ex ms. A. revocavi. KUST. Mox Θεοδοσίου V.

[e] Ὃς ἦλθεν] Ὃς om. A.B.V.

[f] τῷ πεδίῳ] τῷ om. A.

[g] κατασφάζουσι] κατασφάττουσι E.G.

[h] Τὸ—ὑγρὸν om. A.B.V.G.H. Habet Zonaras.

[i] Θουκυδίδης] IV. 69. Exemplum om. H.

[k] Συνέβησαν] ξυνέβησαν A.V. ξέβησαν E.

[l] ἑκάστου] ἑκάστου G.

[m] πώποτε χρόνῳ] χρόνῳ πώποτε A.

[n] ἡμᾶς] ὑμᾶς A.

'ΡΗΤΟΡΙΚΗ ΓΡΑΦΗ] Non omnes recitabant orationes, quas composuerant, sed vel aliis recitandas præbebant, vel mandabant scriptis. Lysias ἐν τῷ κατ' Ἐρατοσθένους, ὃν αὐτὸς εἶπε. Cf. Harpocr. in Δαρεικός, ibique Maussac. REINES.

[o] Οὐ γὰρ—ῥήτορες om. A.

[p] λέγουσι] εἶναι λέγουσι A.B.V.G. Photius. λέγουσιν εἶναι H.

[q] ῥήτορος] ῥήτορας A.B.V.E.G.H. Photii ms.

[r] παράνομον] Statim delevi ἴσως δὲ κατὰ τοῦτο ῥητορικαί τινες γραφαὶ καλοῦνται, ὅτι κατὰ διαφόρους νόμους αἱ τῶν ῥητόρων γραφαὶ εἰσάγονται, cum A.V. et Photio. Vide paullo infra.

[s] ἐπιφέρειν] ἐπεισφέρειν A.B.V.E.G.

[t] καὶ τὸ] τὸ om. A.B.V.E.G.

Υἱὸς δὲ ἦν κεραμέως, καὶ γέγονεν ἐπὶ τοῦ πρώτου A
Πτολεμαίου. [r]Δράματα δὲ αὐτοῦ κωμικὰ [s]τραγικὰ λη'.

Ῥινοκοπῶ: Αἰτιατικῇ.

Ῥινολαβίς: [t]Ἡ [u]ῥινηλασία, ἡ ὄσφρησις. [[x]Παρὰ Συνεσίῳ, τιμωρία, ἢ ὄργανον, ᾧ τὴν ῥῖνα διέστρεφον.]

Ῥινόν: Βύρσαν, δέρμα.

> [y]Ῥινοῦ χερμαστῆρος ἐΰστροφα κῶλα τιταίνων,
> Ἀλκιμένης, [z]πτανῶν εἶργεν ἄπωθε νέφος.

B Καὶ ῥινοτόμος, ὁ τὰ δέρματα τέμνων. [a]Ῥινὸς γὰρ, τὸ δέρμα.

Ῥινῶ, ῥινήσω. Καὶ ῥινώμενος, μυκτηριζόμενος.

Ῥίνων: Ὄνομα κύριον.

Ῥίον: Τὸ ἀκρωτήριον.

Ῥιπάς [[b]καὶ] ῥιπή: Ἀνέμου συστροφή. Περὶ Ἀγαμέμνονός φησιν Ἠλέκτρα·

> [c]Ἀλλ' οὐ μὲν δὴ λήξω θρήνων
> στυγερῶν τε γόων, ἔς τ' ἂν
> λεύσσω παμφεγγεῖς [d]ἄστρων
> ῥιπάς· λεύσσω δὲ τόδ' ἦμαρ, μὴ
> οὐ τεκνολέτειρ' ὥς τις ἀηδὼν
> ἐπὶ [e]κωκυτῷ τῶνδε πατρῴων
> πρὸ θυρῶν ἠχὼ πᾶσι προφωνεῖν.

Ὁ δὲ νοῦς· [f]Ἀλλ' οὐ λήξω θρήνων οὔτε ἡμέρας, οὔτε νυκτὸς, ὀδυρομένη, ἕως ἂν νύκτα καὶ φῶς [g]βλέπω, ὥστε μὴ ἀηδόνος τρόπῳ ἠχώ τινα προπέμπειν τῶν θρήνων πρὸ τῶν πατρῴων θυρῶν.



Ῥίπαια ὄρη.

Ῥιπῆς: Ὁρμῆς, φορᾶς, [h]βολῆς. Ῥιπὶς δὲ, πλέγμα [i]παρ' Ἡροδότῳ. Ἐν Ἐπιγράμμασι·

> [k]Ῥιπίδα τὴν μαλακοῖσιν ἀεὶ πρηεῖαν ἀήταις.

Ῥιπίζεται: Ὀπτᾶται. Τὸ γὰρ πῦρ οἱ ἄνθρωποι ταῖς ῥιπίσιν ἐρρίπιζον. [l]Ἀριστοφάνης·

> Τὰ τεμάχη ῥιπίζεται.

Καὶ ἐκριπισθέντες, ἀντὶ τοῦ ἐξαφθέντες.

> [m]Οἱ δὲ συνενθουσιῶντες αὐτοῖς, τῇ παραφόρῳ τῇδε φιλοτιμίᾳ ἐκριπισθέντες, ἀπολώλασιν.

Οὕτω φησὶν Αἰλιανός. Καὶ [n]ἐν Ἐπιγράμμασι·

> [o]Περιτρόφους τε ῥιπίδας, πυρπνόμους.

Ῥιπὶς ῥιπίδος. Καὶ Ῥιπίδιον.

Ῥιπίζω: Αἰτιατικῇ.

Ῥιπός: Φρυγάνου, ψιάθου.

> [p]Κέρδους δ' ἕκητι κἂν ἐπὶ ῥιπὸς [q]πλέοι.

C [Λέγοιτο δ' ἂν καὶ ἐπὶ φιλοκερδεῖ. Λέγεται δὲ καὶ ἄλλως·

> [r]Θεοῦ πλέων,

Ἢ [s]μᾶλλον,

> Σὺν θεῷ πλέων, κἂν ἐπὶ ῥιπὸς πλέοι.]

Καὶ ῥίπεσι, τοῖς τῆς ἰτέας κλάδοις.

Ῥίπτω: Αἰτιατικῇ.

[Ῥίς: [t]Ὅτι οὐκ ἔστιν ἡ ῥὶς τὸ αἰσθητήριον τῶν
D ὀσφραντῶν, ἀλλ' ἡ μαστοειδὴς τοῦ ἐγκεφάλου [u]ἀπόθεσις. [x]Παρὰ Θεοφράστῳ. Καὶ ζήτει ἐν τῷ Δίοσμον. Καὶ τὸ πληθυντικὸν, ῥῖνας.]

Ῥισμός: Ὄνομα κύριον.

---

quod ineptum est. Φλύακες, sive φλοίακες, (ut observat Casaub. ad Athen. lib. III. c. 9.) in Magna Græcia dicebantur histriones et mimi: a φλυάζειν, sive φλυάσσειν,
E quod Hesychius exponit, φλυαρεῖν, ληρεῖν. Hinc mimorum poëtæ, et jocorum ridiculorum scriptores vocabantur φλυακογράφοι; et ipsa poësis, φλυακογραφία. Hujusmodi poëseos scriptor non solum fuit Rhinthon, sed etiam Sopater, quem Athenæus diversis in locis Φλυακογράφον vocat. Pro φλυακογράφος vero simpliciter etiam dicebatur φλύαξ. Sic enim Rhinthonem appellat Stephanus Byzantius v. Τάρας; cujus verba hæc sunt: Ῥίνθων Ταραντῖνος, φλύαξ, τὰ τραγικὰ μεταρρυθμίζων εἰς τὸ γελοῖον.
F Eadem ex Stephano repetit Eustathius ad Dionys. Perieg. 376. Confer etiam Nostrum infra v. Σωτάδης, et v. Φλύακες. KUST. φυλακογραφία E.

r Δράματα δὲ αὐτ.] Nonnullæ ex ejus fabulis laudantur ab Athenæo et Polluce. KUST.

s τραγικὰ καὶ κωμικὰ] κωμικὰ τραγικὰ A.V. Tum λζ' V.

ῬΙΝΟΚΟΠΩ om. A.

t Ἡ ῥινηλασία. Ἡ ὄσφρησις] Hæc interpretatio a voce ῥινολαβὶς prorsus aliena esse videtur. KUST. Leg. Ῥινηλασία, ἡ ὄσφρησις. Ῥινολαβὶς, παρὰ etc. HEMST.

u ῥινηλασία] ῥινολασία A.

x Παρὰ Συνεσίῳ] Epist. LVIII. p. 201. ubi hæc tormentorum genera recenset, δακτυλήθραν, ποδοστράβην, ποεστήριον, ῥινολαβίδα, ὠτάγραν, χειλοστρόφιον. KUST. Seqq. om. A.V.

y Ῥινοῦ χερμ.] Anthol. Pal. VII. 172. Deest locus H.

z πτανῶν] πτηνῶν A. πᾶν G. Mox ἄπωθεν V.

a ῬΙΝΟΣ γὰρ τὸ δ. om. H.

ῬΙΝΩ] Vid. Salmas. ad Ælian. Spartiani Antonin.
H p. 168=739.

ῬΙΝΩΝ] Harpocrat. ex Isocrat. adv. Callim. p. 372 B.

ῬΙΟΝ] Gl. om. E.H.

b καὶ ῬΙΠΗ om. A.V. Photius. Mox στροφὴ H. ubi om. cett.

c Ἀλλ' οὐ μὲν δὴ λ.] Sophocl. Electr. 103.

d ἄστρων] ἀστέρων A.E.

e κωκυτῷ] κωκυτοῖς B.E.G. κωκυτῶν δὲ π. A.

f Ἀλλ' οὐ λήξω θρ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Scholiastæ ad modo indicatum locum Sophoclis. KUST.

g προβλέπω] βλέπω A.B.V.G. καὶ φῶς om. E.

h βολῆς] βουλῆς A.B.V.H.

i Παρ' Ἡροδότῳ] Lib. II. c. 96. sed ubi legitur ῥῖπες, non ῥιπὶς, ut Portus monuit. KUST. Vid. gl. ad eum locum.

k Ῥιπίδα τὴν μαλακ.] Anthol. Pal. VI. 290. Deest exemplum H.

ῬΙΠΙΖΕΤΑΙ——ἐρρίπιζον] Ex Schol. Aristoph. Eccles. 837. Confer etiam Nostrum supra v. Ἐκριπισθέντες. KUST.

l Ἀριστοφάνης—ῥιπίζεται om. H.

m Οἱ δὲ—πυρπνόμους om. H.

n Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 101.

o Περιτρόφους] πυριτρόφους G.

p Κέρδους ἕκ.] Aristoph. Pac. 698. κέρα pro κέρδους A.

q πλέοι] πλέοιν V. πλέῃ E. Tum λέγοιτο δ'—πλέοι om.
G A.V. καὶ post ἂν om. H.

r Θεοῦ πλέων] Lege, Θεοῦ θέλοντος. KUST. Sic Schol. Aristoph. Pac. 698. ubi et πλέως.

s μᾶλλον] μάλιστα B.E.G.H.M. Tum σὺν om. E.G.M.

ῬΙΣ] Deest hic articulus A.V. et sine causa repetitus videtur ex Δίοσμος p. 1023 B.

t ὍΤΙ οὐκ ἔστιν ἡ ῥὶς τὸ αἰσθητ.] Hæc sunt verba Philoponi in lib. II. Aristot. de Anima, M. 4. a. KUST.

u ἀπόθεσις] Apud Philoponum loco laudato legitur
H ἀπόφασις. Sed neutrum mendo caret. Scribendum enim est ἀπόφυσις. KUST.

x Παρὰ Θεοφράστῳ] Confer Nostrum supra v. Δίοσμος, et videbis duas has voces inepte hic repetitas esse, nec locum hic habere posse. KUST.

ῬΙΣΜΟΣ om. V.

Ῥιψααγείρων:

Ῥίψασπις: Δειλός. Καὶ θρασπις, ὁ πολεμικός.

Ῥιψοκινδύνου: Ἑκουσίως πρὸς κίνδυνον ἐρχομένου.

[y]Ὁ δὲ ἔρρωτο βοηθεῖν τοῖς κινδυνεύουσι, καὶ χρῄζουσι [z]συμμαχίας ῥιψοκινδύνου τινός. Ἑαυτοῦ γὰρ ἴδιον ἐνόμιζε τὸν τοιοῦτον καιρόν.

Ῥοάς: Ῥεύματα. [a]Καὶ ῥοὰ, εἶδος δένδρου.

Ῥοβοάμ: Ὄνομα κύριον.

Ῥόγα: Ἡ τῶν βασιλέων εὐσέβεια καὶ ἡ φιλοτιμία.

Ῥοδακινέα: Τὸ δένδρον.

Ῥοδανός: Ποταμός.

Ῥόδια μῆλα: Καὶ Ῥόδος, ἡ νῆσος. Καὶ Ῥόδιος, ὁ ἀπὸ τῆς Ῥόδου. Καὶ Ῥόδιον φυτόν. [b]Ῥόδειος ἢ στέφανος.

Ῥοδίων, Ῥοδίωνος. Ὄνομα κύριον.

Ῥοδίων χρησμός: Ῥόδιοι τῇ Λινδίᾳ Ἀθηνᾷ θύοντες καθεκάστην ἡμέραν [c]ἐνδιετέλουν τῷ ναῷ εὐωχούμενοι· οὐκ ἦν δὲ αὐτοῖς ἔθος [d]ἀμίδα εἰσφέρειν. Συγκαταινέσαντος [e]δὲ, πάλιν ἀνεπυνθάνοντο, χαλκῆν, ἢ ὀστρακίνην; ὁ δὲ ὀργισθεὶς ἀπεφήνατο, μηδετέραν. Διὸ τὴν παροιμίαν τάσσεσθαι ἐπὶ τῶν περιεργότερον πυνθανομένων.

Ῥοδογούνη: Γυνὴ μὲν Ὑστάσπου, Ξέρξου δὲ καὶ Δαρείου μήτηρ.

Ῥοδοδάκτυλος: Ῥοδόχρους.

Ῥοδοειδής: Ὁ [f]χαροποιός.

Ῥόδον ἀνεμώνῃ συγκρίνεις: Ἐπὶ τῶν ἀνόμοια συμβαλλόντων. Καὶ ἑτέρα παροιμία· [g]Ῥόδα μ' εἴρηκας. Ἀντὶ τοῦ, ἐμοὶ τὰ παρὰ σοῦ εἰρημένα ῥόδα ἐστίν. [h]Ἀριστοφάνης. Καὶ ἑτέρα παροιμία·

[i]Ῥόδον [j]παρελθὼν μηκέτι ζήτει πάλιν.

[k]Ἐπὶ τῶν κυδαινόντων τινάς.

Ῥοδόπη: Ὄνομα κύριον. Καὶ [l]ὄνομα ὄρους ἐν Θράκῃ, ὅθεν ἔχει τὰ ῥεύματα Ἕβρος ὁ ποταμὸς Θράκης.

Ῥόδος: Ἡ νῆσος· ἥτις καὶ Λίνδος καλεῖται. Καὶ [m]Κολοσσαεῖς, οἱ οἰκήτορες· διὰ τὸν Κολοσσόν.

Ῥοδοχάρης: Ὄνομα κύριον. Καὶ κλίνεται Ῥοδοχάρους.

Ῥοδωνιά: Ἡ τῶν ῥόδων φυτεία. Ὥσπερ ἰωνιὰ, ἡ τῶν ἴων.

Ῥοδωνιά: Ἔστι μὲν ὁ τῶν ῥόδων λειμών· ἄλλοι δὲ καὶ τὴν ῥοδοδάφνην οὕτω φασὶ καλεῖσθαι. Ἕτεροι δὲ, εἶδος ἀμπέλου φερούσης σταφυλὴν παραπλησίαν τῷ ῥόδῳ κατὰ τὸ χρῶμα.

Ῥόδωνος: Ὄνομα κύριον.

Ῥοδῶπις: Ὄνομα κύριον. Καὶ Ῥοδώπιος τάφος. [[n]Ῥοδόπη δὲ, ὄνομα κύριον. Καὶ Θρακικὸν ὄρος. Καὶ παροιμία·

ῬΙΨΑΔΑΓΕΙΡΩΝ] ῥιψάδ' ἀγείρων Photii ed. ῥιψαλαγείρων ms. ῥιψαγαλείρων Lex. Seg. ῥιψαδαγείρω G.

ῬΙΨΑΣΠΙΣ: Ὁ δειλ.] Confer Nostrum supra v. Κλεώνυμος. KUST. ὁ om. A.E. Photius.

ῬΙΨΟΚΙΝΔΥΝΟΥ] Toupius citat Aristid. I. p. 66. Philostorg. p. 518.

[y] Ὁ δὲ ἔρρωτο—καιρὸν om. H.

[z] συμμαχίας om. E. Mox ἴδιον om. A. Tum τὸν om. E.

[a] Καὶ ῬΟΑ etc. om. A. Mox ῬΟΒΟΑΜ om. A.V.

ῬΟΓΑ] Vide de hac voce Dufrenium in Glossario Græco. KUST.

[b] ῬΟΔΕΙΟΣ] Ῥόδιος A.V.

[c] διετέλουν ἐν] ἐνδιετέλουν A.V. ἐδιετέλουν Photii ms. ἐν om. E.G. Proverb. Vatic. App. III. 76.

[d] ἀμίδα εἰσφέρειν. Συγκαταιν.] Suidæ codices hic mutili esse videntur. Nam Mich. Apostolius, qui sua ex Suida describere solet, locum hunc pleniorem sic exhibet: Οὐκ ἦν δὲ αὐτοῖς ἔθος ἀμίδας εἰσφέρειν. Ἠρώτησαν οὖν, εἰ τοῦτο δέοι ποιῆσαι. Συγκαταινέσαντος οὖν, &c. Sic scribendum esse sensus suadet. KUST. ἀμίδα εἰσφέρειν ἀμίδα Photius, ubi post εἰσφέρειν lacunæ signa posuit editor. Supple ex Append. Vatic. δόξαν οὖν αὐτοῖς, ἠρώτησαν τὸν Ἀπόλλωνα, εἰ τοῦτο δέοι ποιῆσαι.

[e] τοῦ χρησμοῦ] ἢ A. Photius. ἢ τοῦ χρησμοῦ B.V.E.G.H.

ῬΟΔΟΓΟΥΝΗ: Γυνὴ μὲν Ὑστ.] Alia Rhodogune fuerit, de qua loquitur Ctesias apud Photium, p. 116. qui eam Xerxis filiam fuisse scribit. KUST. Gl. Harpocrationis est.

[f] χαροποιός] Lege χαρωπός. KUST.

[g] ῬΟΔΑ Μ' ΕΙΡΗΚΑΣ] Aristoph. Nub. 907. et ibi Schol. KUST.

[h] Ἀριστοφάνης om. H.

[i] Ῥόδον παρελθὸν] Diogenianus explicat, ἐπὶ τῶν μεταμελουμένων περί τι, καὶ μὴ δυναμένων τι ἀνύσαι, quem secutus est Erasmus. Suidas editus παρελθὼν, scriptus vero codex ut et Diogenianus παρελθὸν, item Apostolius, suspecta tamen vox κυδαινόντων: et, si membranæ faverent, ταχυνόντων vel quid simile mallem, ut celerem rosæ marcescentis fugam significet. SCHOTT. In Diogeniano unus saltem ms. παρελθόν.

[j] παρελθὼν] Sic etiam legitur apud Mich. Apostolium: sed male. Sensus enim suadet, ut scribatur παρελθὸν, genere neutro; quemadmodum habet Diogenianus. Confer Gatakerum in Marc. Anton. lib. XI. 33. KUST.

[k] Ἐπὶ τῶν κυδαινόντων τινάς] Interpretatio hæc mutila est, quam Gatakerus loco laudato sic supplendam esse existimat, ἐπὶ τῶν κυδαινόντων τινὰ ἀπελθόντα, ἢ ἀποθανόντα. Id est, *De iis, qui celebrant aliquem, qui jam abiit vel obiit.* Certe, tale quid deesse videtur. Aliter vero proverbium hoc interpretatur Diogenianus, quem vide. KUST. Toupius pro κυδαινόντων reposuerat primo κλαιόντων, deinde κηδευόντων. Postea sic scripsit: "Recte tamen κυδαινόντων. Est enim verbum *in re funebri* usurpatum. Consulendus omnino Synesius de Regno p. 14. edit. Lutet. 1612. qui de verbo Κυδαίνειν agit. Vide et ad istum locum Synesii Kuhnium in Ælian. Var. Hist. VI. 2. Huc facit Apollon. Rhod. in Argonaut. I. 587. Καί μιν ΚΥΔΑΙΝΟΝΤΕΣ ὑπὸ κνέφας ἔντομα μήλων Κείαν ἀρνυμένης ἄλλῃς οἴδματι. Lycophron. 929. αἰανῆ Λιβαῖσι ΚΥΔΑΝΟΥΣΙ, καὶ θύσθλοις βοῶν."

ῬΟΔΟΠΗ] Deest gl. A.

[l] ὄνομα ὄρους ἐν Θράκῃ] ὄρος Θράκης V. omisso Θράκης in fine gl. ὄρους ἐν om. G.H. ubi Θρᾴκης.

[m] Κολοσσαεῖς] Scribe Κολοσσαεῖς: et mox, Κολοσσόν. Eustathius ad Dionys. Perieg. 505. Διὰ ἢ τὸν μέγαν Κολοσσὸν καὶ Κολοσσαεῖς ὡς ἐκ μεγάλου παρασήμου ἐκαλοῦντο οἱ Ῥόδιοι. KUST. Κολοσσαεῖς B.E.G. Mox Κολοσσὸν A.B.V.E.G.H. non Κολασσόν.

ῬΟΔΩΝΙΑ] Ex Harpocrat. Pertinet ad Demosth. c. Nicostrat. p. 1251, 26.

ῬΟΔΩΝΟΣ] Rhodonis mentio in Ἀντισθένης. HEMST. Rhodoni quidam adscribebant librum de Zoroastre et Magia, quem alii Antisthenis, alii Aristotelis esse dicebant. Cf. supra Ἀντισθένης. REINES. Deest art. A.

ῬΟΔΩΠΙΣ] Ῥόδωπις A.

[n] ῬΟΔΟΠΗ δὲ] Desunt seqq. A.V. Ῥοδόπη—κύριον om. H. Mox καὶ παροιμία om. H.

Ἅπανθ' ἵμεια, καὶ Ῥοδῶπις ἡ καλή.

[o]Σημαίνει, [p]ὅτι καὶ ταῖς τύχαις ὁμοίως ὑποπεπτώκασιν οἱ θνητοί.]

Ῥοδώπιδος ἀνάθημα: Ὀβελίσκοι ἐν Δελφοῖς πολλοί. Ἀπελλᾶς δὲ ὁ Ποντικὸς οἴεται καὶ ἐν Αἰγύπτῳ πυραμίδα, [q]Ἡροδότου ἐλέγχοντος τὴν δόξαν. [r]Ἦν δὲ Θρᾷσσα τὸ γένος· [s]ἐδούλευσε δὲ σὺν [t]Αἰσώπῳ [u]Ἰάδμονι Μιτυληναίῳ, ἐλυτρώσατο δὲ [x]αὐτὴν [y]Χάραξος, ὁ Σαπφοῦς ἀδελφός. Ἡ δὲ Σαπφὼ [z]Δωρίχαν αὐτὴν καλεῖ.

Ῥόζειν: [a]Ῥέγχειν, ὑλακτεῖν. Κυρίως μὲν ἐπὶ τῶν κυνῶν· μεταφορικῶς [b]δὲ καὶ ἐπὶ ἀνθρώπων.

Ῥοή: [c]Φθορὰ, ῥεῦσις.

Ῥοΐσκοι: [d]Κόμποι [e]χρυσοΰφαντοι, ὅμοιοι ῥοιαῖς, [f]εἰς κόσμον δὲ ὄντες τῆς τοῦ ἱερέως στολῆς.

Ῥοθεῖ: [g]Ὁρμᾷ.

C Ῥοθιάζουσιν: Ἀθρόως καὶ μετὰ κτύπου φωνῆς ὁρμῶσι καὶ ἐσθίουσιν. [h]Ἀριστοφάνης·

> Οἷον ῥοθιάζουσιν, ὦ πολυτίμηθ' Ἡράκλεις,
> ὡς [i]τραγασαῖα τὰ χοίρια.

Ἀπὸ τοῦ τρώγειν. Ἢ ἀπὸ πόλεως. Ῥοθιάζειν δὲ, τὸ ἐρέσσειν εὐτόνως. Ἀριστοφάνης Βαβυλωνίοις,

> Κατάγου ῥοθιάζων,

φησί. Καὶ πάλιν·

D

> Ναῦς ὅταν ἐκ πιτύλων [k]ῥοθιάζῃ σώφρονι κόσμῳ.

Ῥόθιον: Τὸ μετὰ ψόφου κῦμα· ἢ ῥεῦμα. Παρὰ τὸ ταχέως ῥεῖν. Σημαίνει καὶ τὴν εἰρεσίαν. [l]Καὶ ῥοθιάζειν, τὸ ἐρέσσειν εὐτόνως.



A

> Οἱ δὲ εἰς τὴν θάλατταν ἐμπίπτοντες, τοῦ ῥοθίου [m]ἐνεφεροῦντο.

[n]Καὶ αὖθις·

> [o]Αἴρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον.

Ὑπερίδης τῷ ῥοθίῳ [p]ἐπὶ εἰρεσίας κέχρηται συντονωτάτης. Φησὶν οὖν·

> Τὸ μὲν οὖν τῶν ἐλαυνόντων πλῆθος, καὶ τὸν τοῦ ῥοθίου ψόφον, καὶ τὸ μέγεθος τοῦ σκάφους ἐκπεπληγμένοι δεινῶς ἦσαν.

B

> [q]Κτύπος τε ῥοθίου καὶ χρεμετισμὸς ἵππων ἀλλήλοις ἀντεπατάγει·

φησὶν Ἀρριανός. [r]Καὶ αὖθις ὁ αὐτός·

> Στοῖχον ἕνα ὁπλιτῶν προβεβλημένων τὰς ἀσπίδας, πολλῷ τῷ ῥοθίῳ, [s]καὶ ἅμα ξυγκελευομένῳ παντοίῳ ἐν χρῷ τοῦ ἀεὶ ἐμπεπορευμένου ζεύγματος [t]παραπλέουσι.

Καὶ αὖθις·

> Τῆς εἰρεσίας τὸ ῥόθιον.

Ῥόθιον: Σὺν ὁρμῇ [u]τινι καὶ ῥύμῃ. [x]Ἰώσηπος·

C

> Ῥόθιον ἐκ [y]πλαγίου παρελαύνων ἵππον, ἁρπάζει τινὰ φεύγοντα τῶν πολεμίων.

[z]Καὶ αὖθις·

> [a]Ἔνσειει αὐτοῖς τὴν ἵππον ἀθρόαν· οἱ δὲ διεσφηνώθησαν ὑπ' αὐτῆς, οὐκ ἐνεγκόντες τὸ ῥόθιον.

Τουτέστι, τὸ ὁρμητικὸν καὶ ὀξύρροπον μετὰ ἤχου.

[b]Ῥόθιον καλεῖται [c]παρὰ τὸν ῥόθον, τὸν ἐκ τῶν κωπῶν [d]ἀκουόμενον, ὅταν σφοδρῶς ἐλαύνωσι.

D Ῥοθοπυγίζων: Λάθρα τύπτων κατὰ τῆς [e]πυγῆς πλατείᾳ τῇ χειρὶ, ἢ πλατεῖ τῷ [f]ποδὶ, τῇ πυγῇ ῥόθον ποιῶν.

Ῥόθῳ: Ὁρμῇ.

---

o Σημαίνει, ὅτι καὶ ταῖς τ.] Proverbium hoc aliter exponitur supra v. Πάνθ' ἵμεια: ubi vide quæ notavimus. KUST.

p ὅτι καὶ] καὶ om. G.H.

q Ἡροδότου ἐλέγχοντος τὴν δ.] Herodot. II. 134. Τὴν δὲ (πυραμίδα Μυκερίνου) μετεξέτεροι φασὶν Ἕλληνες Ῥοδώπιος ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες. Οὐδὲ ὦν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν οὗτοι, ἥτις ἦν ἡ Ῥοδῶπις. Οὐ γὰρ ἄν οἱ πυραμίδα ἀνέθεσαν ποιήσασθαι τοιαύτην, ἐς τὴν ταλάντων χιλιάδες ἀναρίθμητοι, ὡς λόγῳ εἰπεῖν, ἀναισίμωνται. Πρὸς δὲ, ὅτι κατὰ Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις. Ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον τουτέων τῶν βασιλήων, τῶν τὰς πυραμίδας ταύτας ἀπολιπόντων, ἦν Ῥοδῶπις. KUST.

r Ἦν δὲ Θρᾷσσα τὸ γένος. Ἐδούλ.] Eadem narrat Herodotus loco laudato: unde ea Suidas sumpsit. KUST.

s ἐδούλευσε] ἐδούλευσε A.

t Αἰσώπῳ Ἰάδμονι] Αἰσώπου ἄδμονι A. et fere B.V.E. cum Photii ms. ἄδμονι G.H. Vide supra p. 93 C.

u Ἰάδμονι] Scribe, Ἰάδμονι, ut habet Herodotus. Confer etiam Nostrum supra v. Ἰάδμων. KUST.

x αὐτὴν] αὐτὸν A. Photii ms.

y Χάραξος] Χάραξις H.

z Δωρίχαν] Δωριχὰν A.

ῬΟΖΕΙΝ] Vide supra v. Ῥαζεῖν. KUST.

a Ῥέγχειν] ῥέγκειν A. qui statim om. ὑλακτεῖν. Photius, Ῥόζειν: ὑλακτεῖν. qui hic om. ῥέγχειν, ὑλακτεῖν.

b δὲ ἐπὶ] δὲ καὶ ἐπὶ A.B.V.G.H. Photius.

c φθορὰ] Scribe φορά. Damasc. de Princ. p. 214. TOUP.

d Κόμποι] Henr. Stephanus et Portus legunt κόρυμβοι: sed male. Τὸ κόμποι enim recte se habet, et est vox recentiorum Græcorum, significans *nodos*. Vide Dufrenium in Glossario. KUST.

e χρυσοΰφαντοι] χρυσοΰφαντες V.

f εἰς κόσμον δὲ ὄντες τῆς τοῦ ἱερ.] Vide Exod. XXVIII. et XXXIX. KUST.

g Ὁρμᾷ] ὁρμεῖ A.V. Photius, Lex. Seg. Vulg. habet Hesychius.

ῬΟΘΙΑΖΟΥΣΙΝ: Ἀθρόως καὶ μετὰ κτ.] Ex Schol. Aristoph. Acharn. 807. KUST.

h Ἀριστοφάνης] Acharn. 80. Οἷον ῥοθιάζουσ', ὦ πολυτίμηθ' Ἡράκλεις, Ποδαπὰ τὰ χοίρι'; Ὡς Τραγασαῖα φαίνεται. Sic etiam apud Suidam scribendum est. KUST. Usque ad πόλεως om. H. ubi mox om. Ἀριστοφάνης—κόσμῳ.

i τραγασέα] τραγασαῖα A.B.G. Mox τὸ τρώγειν V.

k ῥοθιάζει] ῥοθιάζῃ A.B.G. Photius.

l Καὶ ῬΟΘΙΑΖΕΙΝ—εὐτόνως om. V.G. usque ad δεινῶς ἦσαν om. H.

m ἐνεφεροῦντο] ἐνεμφοροῦντο B.V. ἐνεφυροῦντο A.

n Καὶ αὖθις—δεινῶς ἦσαν om. V.

o Αἴρεσθ'] Aristoph. Eq. 543.

p ἐπὶ τῆς εἰρεσίας χρῆται τῆς] ἐπ' εἰρεσίας κέχρηται A.B. κέχρηται item G.

q Κτύπος] Ὅτι δεινῶς μὲν κτύπος V. qui mox ἀντεπαττάγει. ἀντεπάγει G. et infra στῖχον.

r Καὶ αὖθις—ῥόθιον om. H.

s καὶ ἅμα ξυγκελευομένῳ] ἅμα ξυγκελευομένων E. ἅμα ξυμπορευομένῳ G.

t παραπλέουσι] παραπλέουσαι A. Seqq. om. V.

u καὶ ῥύμῃ τινι] τινι καὶ ῥύμῃ A.V.E. ῥύμῃ τινι καὶ ῥύμῃ M.

x Ἰώσηπος] Lib. VII. de Bello Jud. c. 15. p. 952. KUST. VI. 2, 8.

y πλαγίου] πελαγίου E.

z Καὶ αὖθις—ἤχου om. H.

a Ἐνσείει] Vid. v. Ἐνσείει. TOUP.

b ῬΟΘΙΟΝ καλεῖται παρὰ τὸν ῥόθ.] Ex Harpocratione. KUST.

c παρὰ] περὶ A. Photius.

d ἀκουόμενον] ἀκροώμενον G.

ῬΟΘΟΠΥΓΙΖΩΝ: Λάθρα τύπτων κατὰ πυγ.] Ex Schol. Aristoph. Equit. 793. sed apud quem, uti et apud ipsum Comicum, minus recte hodie legitur ῥαθαπυγίζων. KUST.

e πυγῆς] τῆς πυγῆς A.V.

f ποδὶ] ποδὶ τῇ πυγῇ A.

'Ρομβεῖν: Σφενδονᾶν. Καὶ ῥόμβος, ἡ κίνησις.

[g]Πλήξας [h]ῥομβωτῷ δούρατος εὐμάχῳ.

'Ρόμβον: Κίνησιν, ἢ κύλινδρον. [i]Ἐν Ἐπιγράμμασι·

Θῦνον [k]εὐκλώστοιο λίνου βυσσώμασι ῥόμβον
φράξαντες, γλαυκαῖς ἐν παρθένοις πελάγεσι.

[[l]Καὶ ῥομβώδης παράταξις λέγεται. Καὶ τῆς πρὸς τὸ πολεμικὸν σιδήριον.]

'Ρόμβος:

[m]Στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσοιο μύωπα.

Κύλινδρον.

'Ρομβοστωμυλήθρα: [n]Εὐβουλίδης φησίν·

Ἐριστικὸς κερατίνας ἐρωτῶν,
καὶ ψευδαλαζόσιν λόγοις τοὺς ῥήτορας κυλίων,
[o]ἀπῆλθ', ἔχων Δημοσθένους τὴν ῥομβοστωμυλήθραν.

'Ρομελίας: Ὄνομα κύριον.

'Ρομφαία: Τὸ μακρὸν [p]ἀκόντιον, ἢ μάχαιρα.

'Ροώδης: 'Ρεύματα ἔχων.

'Ρόπαλα: Τὰ ξύλα· παρὰ τὸ ῥαπίζειν ἢ τῇ ῥοπῇ ἀλοιᾶν.

[q]Τίς νοῦς; κόθορνος καὶ ῥόπαλον [ξυνελθέτην.]

Τουτέστιν, εἰς ταυτὸ ξυνῆλθον. Ἐπὶ τῶν [r]ἀσυμφώνων πραγμάτων. [s]Τοῦτο δέ φησιν Ἡρακλῆς πρὸς τὸν Διόνυσον. [t]Ὁ γὰρ κόθορνος γυναιξὶν ἁρμόζει.

'Ροπαλίζει: Κινεῖ καὶ στρέφει [u]ὡς ῥόπαλον. Καὶ [x]ῥοπαλισμὸς, ἡ τάσις τοῦ αἰδοίου, ὁ τέτανος.

'Ροπή: Ψυχῆς μὲν ἴδιον ὁρμή· σώματος δὲ, ῥοπή. Εἴη [y]ἂν οὖν ὁρμὴ ῥοπῆς βελτίων, ἐπεὶ καὶ ψυχὴ σώματος. Τὸ γὰρ βέλτιον καὶ χεῖρον συγκρινόμενα κατὰ τὰ ἴδια αὐτῶν ἔχει τὴν διαφορὰν, καὶ κατὰ τοῦτο τὸ βέλτιον ὑπερέχει τοῦ χείρονος. Οἷον, εἰ ζῶα ὁ Θεὸς καὶ ὁ ἄνθρωπος καὶ ὁ [z]ἵππος, κατὰ μὲν τὸ γένος τὸ κοινὸν οὐδὲν ἀλλήλων διαφέρει. [a]Ἐπεὶ δὲ βελτίων μὲν ὁ Θεὸς τοῦ ἀνθρώπου, ὁ δὲ ἄνθρωπος τοῦ ἵππου· λείπεται, τὴν διαφορὰν [b]αὐτοῦ εἶναι κατὰ τὰ ἴδια. Εἰ οὖν Θεοῦ μὲν ἴδιον ἀθανασία, ἀνθρώπου δὲ, τὸ [c]ἐπιστήμης δεκτικὸν, ἵππου δὲ, τὸ χρεμετιστικόν· ἡ ἀθανασία βελτίων τοῦ ἐπιστήμης δεκτικοῦ· τὸ δὲ ἐπιστήμης δεκτικὸν, τοῦ χρεμετιστικοῦ. [d]Οὕτως ἡ ῥοπὴ καὶ ἡ ὁρμή. Δοκεῖ δὲ τὸ βέλτιον καὶ τὸ χεῖρον ἐν τοῖς ὁμογενέσιν εἶναι, ἐπειδὴ καὶ ἡ σύγκρισις ἐν τοῖς κοινωνίαν ἔχουσι πρὸς ἄλληλα.

Καὶ ὑπὸ μίαν ῥοπὴν ἥ τε διάνοια τοῦ στρατηγοῦ, [e]καὶ τὰ διατεταγμένα προηγόρευον ταῖς τάξεσι.

'Ροπή: Κλίσις.

Ὁ δὲ νομίσας ἐπὶ ῥοπῆς κεῖσθαι τὴν τῆς πατρίδος ἡγεμονίαν, ἐπετελέσατο πρᾶξιν μνήμης ἀξίαν.

'Ρόπτρον: 'Ρόπαλον, ἢ παγὶς, ἢ τιμωρία. Ἐν Ἐπιγράμμασι·

[f]Θῆκα δέ σοι τάδε ῥόπτρα, [g]παραρρίψασα δὲ κισσὸν,
χεῖρα περισφίγξω χρυσοδέτῳ σπατάλῃ.

'Ρόπτρον: [h]Λυσίας κατὰ Ἀνδοκίδου ἀσεβείας·

Ἕλκετε τὸν ἵππον ἐκ τοῦ ῥόπτρου τοῦ ἱεροῦ.

Νῦν τὸν τῆς θύρας κρίκον λέγει.

'Ρόχθαι: Καὶ ῥόχθεον, ἐστέναζον.

'Ρόχθει: Ἦχον [i]ἀπετέλει.

'Ρουβαίουβος: Παρὰ 'Ρωμαίοις ὁ τοῦ βοηθοῦ βοηθός.

'Ρουβίμ: Ὄνομα κύριον.

'Ρουτίλιος 'Ροῦφος: Ἐπὶ [k]Σκιπίωνος ἦν, ὃς αὐτῷ [l]συνεστράτευεν, συγγράψας τὰ τότε φθάσαντα γενέσθαι· ὃς τηνικαῦτα χιλίαρχος ἐγεγόνει, ὥς φησιν [m]Ἀππιανὸς ἐν τῇ 'Ρωμαϊκῇ ἱστορίᾳ.

---

[g] Πλήξας ῥομβωτῷ δούρ.] Anthol. Pal. VI. 111. Deest exemplum H.

[h] ῥομβωτῷ] ῥόμβῳ τῷ A. ῥόμβῳ τοῦ V.G. Mox εὐρίσχῳ A.

[i] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 33. Deest exemplum H. Supra κυλινδρος M.

[k] εὐκλώστοιο λίνου] εὐπλεύστοιο λίνου A.—εὐκλώστοιος—ῥόμβῳ G.

[l] Καὶ 'ΡΟΜΒΩΔΗΣ etc. om. A.V.

[m] Στρεπτὸν Βασσ.] Anthol. Pal. VI. 165.

[n] Εὐβουλίδης φησιν. Ἐριστικὸς κερ.] Fragmentum hoc non est Eubulidis, ut compilator ait; sed Comici cujusdam de Eubulide, ut discimus ex Laërtio in Euclide, lib. II. segm. 108. ubi sic legitur: Περὶ τούτου (Εὐβουλίδου) φησί τις τῶν Κωμικῶν· Ὁ ὑβριστικὸς δ' Εὐβουλίδης κερατίνας ἐρωτῶν, &c. Hinc Suidas sua descripsit: sed apud quem pro ὑβριστικὸς rectius legitur ἐριστικός. KUST. Vide Viger. ad Euseb. Præp. Ev. XIV. p. 735 C. HEMST. Vide Menagium ad Laërt. II. 108. p. 124. Εὐβουλ. V. Ceterum unus saltim ms. Diogenis habet οὑριστικὸς, ἐριστικὴ B.E.G.H. Vid. Lobeck. ad Soph. Aj. p. 222.

[o] ἀπῆλθ'] ἐλπίδ' G. ἐπῆλθ' H.

'ΡΟΜΕΛΙΑΣ] Ejus mentio fit 4 Reg. XV. 25. KUST.

[p] ἀκόντιον] ἀκροτήριον V.

'ΡΟΩΔΗΣ] Agathias p. 91. TOUP.

'ΡΟΠΑΛΑ] Ex Schol. Homer. Il. λ'. 558. TOUP.

[q] Τίς νοῦς; κόθορν.] Aristoph. Ran. 47. Τίς ὁ νοῦς; τί κόθορνος καὶ ῥόπαλον ξυνελθέτην; Sic etiam apud Suidam scribendum est. KUST. Usque ad ἁρμόζει om. H.

[r] ἀσυμφώνων] ἀξυμφώνων A.

[s] Τοῦτο] οὕτω E. τοῦτο γάρ φ. G.

[t] Ὁ γὰρ] καὶ γὰρ A.

[u] ὡς ῥόπαλον] τὸ ῥόπαλον A. Sed vulg. habent Hesychius et Photius.

[x] 'ΡΟΠΑΛΙΣΜΟΣ, ἡ τ.] Confer Nostrum infra v. Τέτανος. KUST.

[y] ἂν οὖν] οὖν om. A.V.

[z] ἵππος] ὁ ἵππος A.B.V. Tum τὸ γένος om. A.

[a] Ἐπεὶ] ἐπεὶ δὲ A.V. Tum βέλτιον V.

[b] αὐτοῦ] αὐτοῖς B.E.G.H.

[c] ἐπιστήμης] τὸ ἐπιστήμης A.

[d] οὕτω καὶ] οὕτως ἡ A. οὕτω καὶ ἡ B.E.G.

[e] καὶ τὰ] τὰ om. G.

'ΡΟΠΗ] Post h. gl. addunt A.V. 'Ρωπικὸν ('Ρωπικὸν V.) ὤνιον: ἐπὶ τῶν εὐτελῶν μὲν πολλοῖς δὲ πεποικιλμένων· ῥῶπος γὰρ ὁ εὐτελὴς καὶ παντοδαπὸς φόρτος. Vid. infra in 'Ρωπικός.

'ΡΟΠΤΡΟΝ] 'Ρόπτρω A. et ῥόπτρα in exemplo.

[f] Θῆκα δέ σοι τάδε ῥόπτ.] Anthol. Pal. VI. 74. Deest exemplum H.

[g] παραρρίψασα] ἀναρρίψασα A.B.V.E.G.M. supra οἱ V. pro σοι.

'ΡΟΠΤΡΟΝ: Λυσ.] Ex Harpocratione. KUST.

[h] Λυσίας] Orat. 7. p. 103, 15.

'ΡΟΧΘΕΙ] 'Ρόχθαι A.B.V.E.G.H.M.

'ΡΟΧΘΕΙ] Sequens interpretatio suadet, scribendum esse ῥοχθεῖ, ut sit præsens indicativi. KUST. ῥοχθεῖ Od. μ'. 60.

[i] ἀποτελεῖ] ἀπετέλει A.B.G.H. ἐπετέλει E.

'ΡΟΥΒΑΙΟΥΒΟΣ] Scribe Συβαδίουβος. i. e. subadjuva, et suo loco pone. Vide Casaubonum ad Athen. lib. I. c. 7. in fine, et Dufrenium in Glossario Græco v. Σουβαδίουβος. KUST. Meurs. Gl. in 'Ρουβ. Panciroll. ad N. T. O. c. 16. HEMST.

'ΡΟΥΒΙΜ] 'Ρουβείμ B.V.E.H. suprasc. G.

[k] Σκιπίωνος] Σκηπίωνος A.

[l] συνεστράτευσεν] συνεστράτευε A.V.

[m] Ἀππιανὸς] In Ibericis, p. 522. ubi verba ejus hæc sunt: Ὁ δὲ (Σκιπίων) 'Ρουτίλιον 'Ροῦφον, συγγραφέα τῶνδε τῶν

Ῥουφῖνος: Οὗτος ἐπὶ Θεοδοσίου ἦν, [n]βαθυγνώμων ἄνθρωπος, καὶ κρυψίνους. Ἦσαν δὲ οὗτός τε καὶ Στελίχων ἐπίτροποι τῶν Θεοδοσίου παίδων. Ἄμφω τὰ πάντα [o]συνήρπαζον, ἐν τῷ πλούτῳ τὸ κράτος τιθέμενοι, καὶ οὐδεὶς εἶχεν ἴδιον οὐδὲν, εἰ μὴ τούτοις ἔδοξε. [p]Δίκαι τε ἅπασαι [q]πρὸς τούτων ἐδικάζοντο· καὶ πολὺς ἦν ὄχλος τῶν περιθεόντων, [r]εἴ που τινὶ [s]χωρίον [t]ὑπάρχοι παντομιγές τε καὶ εὔκαρπον· καὶ ὁ δεσπότης εὐθὺς συνήρπαστο, κατηγορίας πεπλασμένης εὐλόγου διά τινων ὑφειμένων [u]ἐνηδρευμένος. Καὶ ὁ ἀδικούμενος ἠδικεῖτο, τοῦ ἀδικοῦντος κρίνοντος. Ἐς τοῦτο δὲ ὁ Ῥουφῖνος [x]ἐχώρησεν ἀμετροκάκου πλεονεξίας, ὥστε καὶ ἀνδράποδα δημόσια ἀπημπόλει, καὶ ὅσα δημόσια δικαστήρια Ῥουφίνῳ πάντες ἐδίκαζον. Καὶ [y]ὁ τῶν κολάκων περὶ αὐτὸν ὄχλος ἦν πολύς. [z]Οἱ δὲ κόλακες χθὲς μὲν καὶ πρώην δεδρακότες τοῦ καπηλείου, καὶ τοῦ τὰ βάθρα καλλύνειν, καὶ τοὔδαφος [a]κορεῖν· ἄρτι δὲ [b]χλαμύδας τάς τε εὐπαρύφους ἐνδεδυκότες, [c]καὶ περόναις χρυσαῖς διαπεπερονημένοι, καὶ σφραγῖσι χρυσοδέτοις διεσφιγμένοι. Τὰ δὲ πολλὰ κατὰ [d]Ῥουφίνου εὕροις ἐν τῇ τοῦ Σαρδιανοῦ Εὐναπίου Χρονογραφίᾳ.

[e]Ὅτι ἐπὶ Ἀρκαδίου καὶ Ὁνωρίου, [f]τούτων ἄχρι ὀνομάτων ἐχόντων τὸ κράτος, ἡ πᾶσα ἀρχὴ καὶ δύναμις ἦν, κατὰ μὲν τὴν ἑῴαν, παρὰ Ῥουφίνῳ· κατὰ δὲ τὴν ἑσπέραν, ἐπὶ Στελίχωνος γνώμῃ. Δίκαι τε πᾶσαι παρ᾽ αὐτοῖς [g]κατ᾽ ἐξουσίαν ἐκρίνοντο, καὶ [h]ἀπῄει κεκρατηκὼς, ὁ χρημάτων τὴν ψῆφον ὠνούμενος πολλῶν, [i]ἢ οἰκειότητι τὴν τοῦ δικάζοντος ἐπισπώμενος εὔνοιαν. Κτήματα δὲ, ὅσα τοὺς κυρίους ἐν τοῖς ἁπάντων ἐποίει στόμασιν εὐδαίμονας ὀνομάζεσθαι, μετῄει πρὸς τούτους· τῶν μὲν δωρεαῖς θεραπευόντων, καὶ τούτῳ τὸ συκοφαντεῖσθαι [k]διαφευγόντων· ἑτέρων δὲ τὰ οἰκεῖα προϊεμένων, ὑπὲρ τοῦ τυχεῖν ἀρχῆς, ἢ ἄλλον τινα πρίασθαι τῶν [l]πόλεων ὄλεθρον. Παντὸς δὲ εἴδους πονηρίας ταῖς [m]πόλεσιν ἐπιπολάζοντος, ὁ μὲν ἁπανταχόθεν πλοῦτος ἐς τὴν Ῥουφίνου καὶ Στελίχωνος οἰκίαν [n]εἰσέρρει, ἡ δὲ πενία κατὰ πάντα τόπον [o]ἐπενέμετο τὰς τῶν πάλαι πλουτούντων οἰκίας. [p]Ἠισθάνοντο δὲ τῶν γινομένων οἱ βασιλεῖς οὐδενὸς, ἀλλ᾽ ἔγραφον μόνον, ὅσα [q]Ῥουφῖνος ἐπέταττε καὶ Στελίχων. Ἐπεὶ δὲ [r]ἄσπετος ἦν αὐτοῖς πλοῦτος [s]συνειλεγμένος, ἤδη καὶ τὴν βασιλείαν [t]ἑαυτῷ μνᾶσθαι ὁ Ῥουφῖνος ὠνειροπόλει.

Ῥοῦφος Ἐφέσιος, ἰατρὸς, γεγονὼς ἐπὶ Τραϊανοῦ σὺν Κρίτωνι. [u]Φέρεται αὐτοῦ βιβλία πλεῖστα· ἐξ ὧν καὶ ταῦτα· [x]Περὶ διαίτης ε΄, Περὶ διαίτης πλεόντων α΄, [y]Περὶ τραυματικῶν φαρμάκων α΄, Περὶ τραυματισμοῦ ἄρθρων α΄, Περὶ [z]σύκων α΄, Περὶ τῆς [a]ἀρχαίας ἰατρικῆς βιβλίον α΄, Περὶ γάλακτος βιβλίον α΄, Περὶ οἴνου βιβλίον α΄, Περὶ μέλιτος.

Ῥωγαλέον: Διερρωγὸς, διεσχισμένον. Καὶ ῥωγὰς, ἡ διερρωγυῖα.

> [b]Ἐν τῇ δ᾽ ἔκειτο ῥωγὰς αἰπόλων πήρα,
> ἄρτων ἑώλων πᾶσα καὶ κρεῶν πλήρης.

Κανών· [c]Τὰ διὰ τοῦ ΛΕΟΣ ἀπὸ τριῶν παράγονται μερῶν· ἀπὸ ὀνόματος, [d]ὡς δεῖμα, δειμαλέος· ἀπὸ ῥή-

ἔργων, τότε χιλιαρχοῦντα, ἐκέλευσε τέσσαρας ἱππέων ἴλας λαβόντα, ἀναστεῖλαι τοὺς ἐνοχλοῦντας. KUST.

ΡΟΥΦΙΝΟΣ: Οὗτος ἐπὶ Θεοδοσ.] Locus hic de Rufino pauci oribus verbis descriptus exstat in Excerpt. Joan. Antioch. a Valesio editis, p. 849. KUST. Vid. Claudian. Rufin. I. 187. TOUP. Vid. Eunapium Boissonadii fr. 30.

ΡΟΥΦΙΝΟΣ] Ex Aquitania Elusanus. Vid. Socr. Sozom. Zosim. l. V. Chron. Alex. Ol. 203. REINES.

[n] βαθυγνώμων] Vide supra h. v. KUST. Ex Eunapio ista habere Suidam dicit Vales. Excerpt. Peiresc. p. 23. REINES.

[o] συνήρπαζον] διήρπαζον H. ubi om. ἐν τῷ πλούτῳ—ἔδοξε.

[p] Δίκαι τε] δίκαι δὲ G.

[q] πρὸς τούτων] πρὸς τούτοις A.B.V.E.H.M.

[r] εἴ που τινὶ χωρίον ὑπ.——ἐνηδρευμένος] Fragmentum hoc legitur etiam supra v. Παντομιγές. KUST.

[s] χωρίον] χωρίῳ G. et mox παμμιγές.

[t] ὑπάρχοι] ὑπάρχει E.

[u] ἐνηδρευμένος] ἐνεδρευμένης B.E.G.H. ἐνεδρευμένου A.V.

[x] ἐχώρησεν] Vid. Ἀμετροκάκου. HEMST.

[y] ὁ τῶν] ὁ om. V.

[z] Οἱ δὲ κόλακες χθὲς μὲν——διεσφιγμένοι] Fragmentum hoc legitur etiam supra v. Βάθρα. Confer etiam v. Καλλύνειν. KUST. ὁ δὲ κόλακες V. qui mox om. τά.

[a] κορεῖν] κορεῖν H.

[b] χλαμύδας τε εὐπ.] χλαμύδας τάς τε εὐπ. A.E.G.M. ib. Vid. Fr. Juret. ad Symmachi VI. Ep. 14. HEMST.

[c] καὶ περόναις] Vid. Περόνη. HEMST.

[d] Ῥουφίνου] Ῥουφίνους G.

[e] ὍΤΙ ἐπὶ Ἀρκαδίου καὶ Ὁνωρίου, τούτων ἄχρι ὀνομ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Zosimi, initio libri V., unde ea Suidas descripsit. Zosimus vero eadem ab Eunapio mutuatus est. KUST.

[f] τούτων] τοῦ τῶν A.

[g] κατ᾽ ἐξουσίαν om. G.

[h] ἀπῄει] ἀπίοι H.

[i] ἢ οἰκειότητι] ἢ om. A.B.V.E.H.M. ὠνούμενος ἢ ἄλλως οἰκ. Zosimus.

[k] διαφευγόντων] διαφευγόντων A. Zosimus. Supra τούτων M.

[l] πόλεων] πολλῶν G.H.

[m] πόλεσιν] πολυτελέσιν A.

[n] εἰσέρρει] ἐσέρρει A.V.

[o] ἐνέμετο] ἐπενέμετο A.V. Zosimus.

[p] ᾐσθάνοντο] εἰς θάνατον V. Mox γεγονότων V.

[q] Ῥουφῖνος] Ῥοῦφος A.E.

[r] ἄσπετος] ἄπιστος A. ἄπληστος Zosimus.

[s] συνειλεγμένος] συνηλεγμένος G.

[t] ἑαυτῷ] ἐπ᾽ αὐτῷ A. ἐπ᾽ αὐτὸν V.

[u] Φέρεται αὐτοῦ βιβλία πλεῖστα] Præter opera a Suida hic memorata, et alia Rufus Ephesius scripserat: veluti de Herbis libros IV. carmine hexametro. Galenus lib. VI. *De simplic. medicam. viribus*, Part. II. p. 68. Καὶ Ῥούφῳ τῷ Ἐφεσίῳ περὶ βοτανῶν δι᾽ ἑξαμέτρων ἐπῶν σύγκειται τέτταρα. Ex hoc opere depromptum puto fragmentum, octo versibus hexametris constans, quod ex Rufo Ephesio, absque nomine operis, adducit idem Galenus lib. I. περὶ συνθέσεως φαρμ. τῶν κατὰ τόπους, Part. II. p. 160. Item, de Melancholia. Galenus ἐν τῷ περὶ μελαίνης χολῆς. Part. III. p. 357. Τῶν δὲ νεωτέρων ἄριστα γέγραπται περὶ Μελαγχολίας τῷ Ἐφεσίῳ Ῥούφῳ. Exstant et alia quædam Rufi hujus opera, edita ab Henr. Stephano in volumine, quod *Artis Medicæ principes* inscribitur. KUST. αὐτοῦ φιλόσοφα βιβλία H. et βιβλία ἰατρικὰ πλεῖστα.

[x] Περὶ διαίτης πλεόντων ᾱ om. V.

[y] Περὶ τραυματισμοῦ—ἰατρικῆς βιβλίον α΄ om. G. ubi mox in marg. περὶ τραυματισμοῦ ἄρθρων· περὶ σύκων· περὶ ἀρχαίας ἰατρικῆς.

[z] σύκων] συκᾶς λέγει τὰ συκάμινα πάθη περὶ τὴν ἕδραν γινόμενα V.

[a] ἀρχαίας] τῆς ἀρχαίας A.V.

[b] Ἐν τῇ δ᾽ ἔκειτο ῥ.] Ex Babrio. KUST. Tyrwhitt. p. 36. Deest exemplum H.

[c] Τὰ διά] τὰ om. A. Vid. Etymol. M. p. 135, 22. 261, 50.

[d] ὡς δεῖμα] ὡς om. A.V.

ματος, οἰδῶ, οἰδαλέος· ἀπὸ ἐπιρρήματος, ῥιμφὰ, ῥιμφαλέος· καὶ παροξύνονται. Σεσημείωται τὸ δαιδάλεος, ὁ ποικίλος· καὶ [e]κονισάλεος.

Ῥωγμός: Ῥῆξις γῆς.

Ῥόθωνος:

Ῥωμαλέος: [f]Ἰσχυρός. Καὶ ῥωμαλέως, ἰσχυρῶς, ἐπιρρηματικῶς.

Ῥωμαίων ἀρχή: Αὕτη τῆς Ἀσσυρίων [g]καὶ Περσῶν καὶ Μακεδόνων τῶν πρὶν μακρῷ [h]ὑπερῆρεν, ὁρισαμένη πέρατα ἑαυτῆς πρὸς μὲν ἕω, Ἰνδοὺς καὶ ἐρυθρὰν [i]θάλασσαν καὶ Νεῖλον καὶ καταρράκτας καὶ λίμνην Μαιῶτιν· ὅσα δὲ πρὸς [k]δυσμὰς, ὠκεανόν τε αὐτὸν, ὃν δὴ μῦθον εἶναι τοῖς ἔργοις ἐδηλώθη, μηδὲ ἄλλως [l]ἢ πρὸς ψυχαγωγίαν τοὔνομα αὐτοῦ [m]παρὰ τοῖς ποιηταῖς ᾄδεσθαι· εἴγε καὶ ἡ Βρεττανῶν χώρα, ἣν περιρρέων νῆσον ἐργάζεται, νῦν εὑρεθεῖσα ἐν πέρασι τῆς Ῥωμαίων ἀρχῆς ἀριθμεῖται. Λεγέτω μὲν οὖν, ὅτῳ δοκεῖ, ὡς [n]ἀναμφίλογοι τῶνδε πρὸς τὰ παλαιὰ αἱ [o]ὑπερβολαὶ, πλήθει τε [p]χειρὸς τῶν ἐπελθόντων εἰκάζοντι, καὶ τόλμαις ἑκατέρων, καὶ στρατηγήσεσι, καὶ μηχανήσεων ἐπινοίαις, καὶ τῶν ἀντιπολεμησάντων ἀρετῇ. [q]Δέξιππος.

Ὅτι τὴν Ῥωμαίων ἀρχὴν αἴτιον αὐξηθῆναι τὸ φιλόμαχον ἐθνῶν, καὶ τὸ [r]εὐσύντακτον τῆς δυνάμεως. Πάντες γὰρ οἱ πρὸς ἑσπέραν θυμικώτεροι εἰσὶ τῶν ἐπὶ θάτερα κατοικούντων. Περιττεύει δὲ Ῥωμαίοις τὸ τεταγμένον ἐν τῷ ἔργῳ [s]καὶ τεχνικόν· ᾧ καὶ Γαλατῶν ἐκράτουν, καὶ ἐν τοῖς πρὸς τοὺς ὁμόρους πολέμοις τριβέντες, καὶ περιόντες τῶν βαρβάρων τῇ συντάξει, τῶν δὲ Ἑλλήνων φύσει καὶ [t]ἀνδρείᾳ.

Ῥωμαίων πόλις: Ὅτι ἡ Ῥωμαίων πόλις ἀπείρατος ὑπερορίων [u]ἐκστρατειῶν τυγχάνουσα, ἐξέτασιν τοῦ πλήθους ποιησαμένη, [x]κατέμαθε τὸν ἀριθμὸν τῶν πολιτῶν οὐ πολὺ τριάκοντα μυριάδων ἀπολειπόμενον· καὶ ταῦτα συνεχέσι [y]πολέμοις τριβομένη, οὐδεπώποτε



A δὲ μακρᾶς καὶ βεβαίας εἰρήνης [z]ἀπολελαυκυῖα.

Ῥώμη: Ἰσχύς. Καὶ Ῥώμη, ἡ πόλις· ἥτις ἀπὸ τοῦ πρώτου [a]συνοικισμοῦ διαγεγονότων [b]ἑπτὰ καὶ ἑβδομήκοντα καὶ [c]τετρακοσίων ἐτῶν, ἀπείρατοι ἦσαν ὑπερορίων πολέμων. Τὸν δὲ πρὸς Καρχηδονίους ὅσον οὔπω παρέσεσθαι πόλεμον [d]προσδεχομένη, ἐξέτασιν ἐποιεῖτο τοῦ πλήθους, καὶ εὗρεν ἀριθμὸν τῶν πολιτῶν οὐ πολὺ ἀπολειπόμενον [e]τῶν λ' μυριάδων.

B Ὅτι τὴν Ῥώμην ἐπιτομὴν τῆς οἰκουμένης εἶπεν [f]Ἀθήναιος. [[g]Καὶ ζήτει ἐν τῷ Χιλίαρχος.]

Ῥῶμις: Ὄνομα κύριον.

Ῥῶμος καὶ [h]Ῥωμύλος: Ὀνόματα κύρια.

[Ῥωμύλος, Τερτύλος, Αἰμύλος, Αἰσχύλος, προπαροξυτόνως.]

Ῥωννύω: Δύναμιν παρέχω.

Ῥὼξ, ῥωγός. Εἶδος φαλαγγίου.

C Ῥώξ: Κόκκος. Καὶ εἶδος πέτρας.

Ῥωξάνη: Ὄνομα κύριον. [[i]Καὶ ζήτει περὶ αὐτῆς ἐν τῷ Ἀλέξανδρος ὁ Μακεδών.]

Ῥῶπαξ, ῥώπακος. Τὰ [k]ῥωπάκια παρ' ἡμῖν.

Ῥῶπες: Δασεῖα ὕλη. Ἡ κατάκομος καὶ σύμφυτος τόπος. Καὶ ῥωπεύειν, ξυλεύεσθαι.

[l]Τοῦτό τοι [m]ῥωπεύσιν ἀλιγόξυλον.

D Ῥωπήϊα: Τοὺς συνδένδρους τόπους.

Ῥωπικά:

> [n]Ἁ μήτηρ ζωὸν τὸν Μίκυθον, οἷα πενιχρὰ,
> Βάκχῳ δωρεῖται, ῥωπικὰ γραψαμένα.

Ῥωπικός:

[o]Τὸν δὲ πρακτικὸν τρόπον [p]ὑπέφαινε τέλειον. Ἦν δὲ ψευδεπίγραφος, καὶ ῥωπικός.

E Ἀντὶ τοῦ, κεχρυσμένος. Καὶ ῥωπικὸν, ὤνιον, τὸ [q]εὐτελὲς μὲν, πολλοῦ δὲ πιπρασκόμενον. [[r]Ῥῶπος γὰρ, ὁ εὐτελὴς καὶ παντοδαπὸς φόρτος.]

Ῥῶπος: [s]Μίγμα [t]χρωμάτων, ὅσα βαφεῦσι, ζω-

[e] κονισσάλεος] κονισάλεος A.V.G.

[f] Ἰσχυρὸς] ὁ ἰσχυρὸς A.V.

[g] καὶ Περσῶν om. A. qui mox τῶν πρὶν μακρ' καὶ περσῶν ὑπερῆρ' A.

[h] ὑπερῆεν] ὑπερῆρεν B.V.E.G.H.

[i] θάλασσαν] θάλατταν A.

[k] δυσμὰς] δυσμαῖς B.G. τε post ὠκεανὸν addunt A.V.E.G.H.M. Lacuna post ὠκεανὸν in M.

[l] ἢ πρὸς] ἢ om. A.B.G.

[m] ποιηταῖς] παρὰ τοῖς ποιηταῖς A.V. ποιηταῖς om. E. Tum ᾄγεσθαι V.

[n] ἀναμφίλογοι] ἀναμφίλογον V.

[o] ὑπερβολαὶ] αἱ ὑπερβολαὶ A.V.H.

[p] καιροῦ] χειρὸς A.B.V.E.G.

[q] Δέξιππος δὲ] δὲ om. A.V.

[r] εὐσύντακτον] ἀσύντακτον B.E.G.H.

[s] καὶ τεχνικὸν] καὶ om. A.B.V.E.G.H.M.

[t] ἀνδρείᾳ] ἀνδρίᾳ A.

[u] ἐκστρατειῶν] ἐκστρατιῶν A.V. Mox ἐξέτασ' V.

[x] κατέμαθε] κατέμαθεν V.

[y] πολέμοις τριβομένη] τριβομένη πολέμοις A.V.

[z] ἀπολελαυκυῖα] ἀπολελαυκυίας E.

[a] συνοικισμοῦ] συνῳκισμοῦ G.

[b] ἑπτὰ καὶ ἑβδομήκοντα] ζ V.

[c] τριακοσίων] Casaubonus in Comment. ad Polyb. p. 93. monet reponendum hic esse, τετρακοσίων. Eum vide. KUST. υ A.V.

[d] προσδεχομένη] προσδεχόμενος B.V.

[e] τῶν λ'] τῶν om. A.G.

[f] Ἀθηναῖος] Lib. I. p. 20 B.

[g] Καὶ ζήτει etc. om. A.V.

ΡΩΜΙΣ] Ῥώμη V.E. Mox delevi Ζήτει ἐν τῷ Βρουμάλια cum A.B.V.E.

[h] ΡΩΜΥΛΟΣ] Deest hic articulus A.V. Repetitus vi-

F detur ex p. 1104. A.

ΡΩΞ, ῥωγός. Εἶδος φαλ.] Confer Nostrum supra v. Ῥάξ. KUST.

ΡΩΞ.] Imo, ῥάξ. Vide Lexica. KUST. Vulg. defendit Lobeck. ad Phryn. p. 76.

[i] Καὶ ζήτει etc. om. A.V.

[k] ῥωπάκια] ῥοπάκια G.

[l] Τοῦτό τοι ῥωπεύσιν ἀλιγ.] Anthol. Pal. VI. 226.

[m] ῥωπεύσιν] ῥωπεῖον A.V.E.G.H. τοῦτό τε ῥωπεῖον Anthol. ms.

G ΡΩΠΗΙΑ] Vid. Il. ν. 199. Ante gl. seq. A. addit Ῥωπεῖα.

[n] Ἁ μήτηρ ζωὸν τὸν Μίκ.] Anthol. Pal. VI. 355. μάτηρ et mox Μίκυθον. Deest exemplum H.

[o] Τὸν δὲ πρακτικὸν τρ.] Locum integrum Polybii, ex quo fragmentum hoc decerptum est, vide in Excerptis a Valesio editis p. 114. ubi de Dinocrate Messenio verba fiunt. Vide etiam Suidam supra v. Δεινοκράτης. KUST.

H [p] ὑπέφηνε] ὑπέφαινε A.B.E.G.H.

[q] εὐτελὲς μὲν] μὲν om. A.V.

[r] ΡΩΠΟΣ γὰρ, ὁ εὐτ.] Confer Hesychium v. Αἰγίνεια, post v. Αἴγαν. KUST. Desunt hæc A.V.

[s] Μίγμα] μίγματα Lex. Seg. Hesych.

[t] χρωμάτων] χρώματος A.V. χρώματα Photius, Lex. Seg. Hesychius, ubi vid. not.

γράφοις, [u]μυρεψοῖς χρησιμεύει. Ὅθεν καὶ [x]ῬΩΠΟ- A
ΠΏΛΗΣ. Τινὲς δὲ καὶ τὸν παντεδαπὸν φόρτον [y]ῬΩ͂ΠΟΝ
εἰρήκασι.

Ῥωσάκης: Ὄνομα κύριον.

Ῥώσαντες: Δυναμώσαντες.

[z]Οἱ δὲ βάρβαροι ῥώσαντες ἑαυτοὺς ἐπὶ τὸ στεγανώτερον, ὡς οὐκέτι Ῥωμαίοις καὶ διαπεπλασμένοις ὑποπεσούμενοι στρατηγήμασι.

Ῥωσαφῶν: [a]Φρούριόν τι.

Ῥῶσθαι: Σπουδάζειν.

Ῥωσθείς: Δυναμωθείς.

Ῥῶσις: Ὑγεία.

Ῥωστήριον: Παρορμητήριον.

Ῥωτακίζειν: Τῷ ρ' στοιχείῳ συνεχῶς χρῆσθαι.

Ῥωχμός: Ῥῆγμα γῆς. [b]Προκόπιος·

[c]Ἀβίγας δὲ ὁ ποταμὸς ἐκ τοῦ Αὐρασίου κατιὼν ἐν τῷ πεδίῳ, ἐν C
ᾧ ἀπορρῶγες συχναὶ τυγχάνουσιν οὖσαι, ἐς ἃς δὴ ὁ Ἀβίγας σχιζόμενος [d]ὑπὸ γῆν φέρεται, καὶ αὖθις ὑπὲρ γῆν φαίνεται. Τοῦτο ἐπὶ πλεῖστον τοῦ πεδίου ξυμβαῖνον, ἐν ἐξουσίᾳ τοῖς ταύτῃ ᾠκημένοις τίθεται εἶναι, [e]ἐπιβύσασι χώματι τοὺς ῥωχμοὺς, ἢ αὖθις [f]αὐτοὺς ἀποκαλύψασι, τοῖς ὕδασι τοῦ ποταμοῦ τοῦδε ὅ τι [g]βούλοιντο χρῆσθαι.

Ῥώψ: Τὸ φυτὸν, καὶ [h]ῬΩ͂ΨΑ, βοτάνη ἁπαλή.



Ῥοιά: Τὸ ῥοΐδιον. [[i]Λέγεται καὶ ῥοά.]

Ῥοίακες:

[k]Δίδωμι δὲ τῷ [l]Καλλινίκου παιδίῳ ῥοιάκων ζεῦγος, φιλοτάπιδα, ἀμφίταπον, περίστρωμα, προσκεφάλαια [m]δύο τῶν καλλίστων.

Ῥοιβδεῖν: [n]Ἀναρροφεῖν. [o]Λέγεται καὶ ῥοῖβδος παρὰ Ἀριστοφάνει ἐν [p]Νεφέλαις.

Ῥοιζηδόν: Σφοδρῶς, μετ' ἤχου, ἀπειλητι-
B κῶς.

H [y] μέτρα] Leg. μέτρια. TOUP. τὰ om. M.

ΣΚΟΠΙΑΖΩΝ] Il. ξ'. 58. σκοπιαζέμεν Il. κ'. 40.

[z] Σοὶ τάδε, Πὰν Σκοπ.] Anthol. Pal. VI. 16. Σοὶ [illegible] A.

ΣΚΟΠΙΜΩΤΑΤΟΝ] A. marg. om. V.

ΣΚΟΠΙΩΡΟΥΝΤΑ——σκοποῦντα] Σκοπιωροῦνται—σκοποῦσιν V. Photius. Aristoph. Vesp. 360.

**Σκοπῶν**: Ἀντὶ τοῦ ἀκριβῶς καὶ ἐπιμελῶς καταμερίζων, περὶ οὗ ἂν τὴν σκέψιν ποιῇ. Καὶ **Ἄσκοπος**, [a]οὗ μὴ ἔστι σκοπός.

> [b]Ἄσκοπον, ἀγγελίαρχον, ἀσώματον, εἴδεϊ μορφῆς
> ἆ μέγα τολμήεις κηρὸς [c]ἀπεπλάσατο.

**Σκοπῶ**: Τὸ βλέπω. Αἰτιατικῇ.

**Σκορακίζειν**: Οἷον ἐς κόρακας ἀποπέμπειν. Ἀπὸ τούτου γὰρ εἴρηται· [d]ὡς καὶ τὸ οἰμώζειν, ἀπὸ τοῦ οἴμοι. Καὶ **Σκορακισμός**.

**Σκορδινᾶσθαι**: Τὸ παρὰ φύσιν [e]ἀποτείνειν τὰ μέλη μετὰ τοῦ χασμᾶσθαι διακλώμενον. [f]Ἀριστοφάνης Ἀχαρνεῦσι·

> Στένω, κέχηνα, σκορδινῶμαι, πέρδομαι.

[g]Γίνεται δὲ περὶ τοὺς [h]ἐγειρομένους ἐξ ὕπνου, ὅταν χασμώδεις ὄντες ἐκτείνωσι τὰ μέλη· ὅπερ συμβαίνει καὶ περὶ τοὺς ἄλλως [i]πως βασανιζομένους καὶ διαστρεφομένους τὰ μέλη.

**Σκορδινῶμαι**: Ἀντὶ τοῦ κλῶμαι, σπασμῷ συνέχομαι. Οἱ γὰρ ἀπὸ πληθωρίας σκορόδων ἐμοῦντες, διὰ τὴν δριμύτητα μᾶλλον σπῶνται. Τὸ δὲ ἐμεῖν καὶ τὸ ὁπωσοῦν κενοῦσθαι, σκορδινᾶσθαι ἐστίν. Οἱ δὲ κυρίως τὸ **σκορδινᾶσθαι** φασὶν ἐπὶ τῶν κυνῶν, τῶν ἐξ ὕπνου ἀνισταμένων, [k]ὅταν τὰ μέλη καὶ ὅλους αὐτοὺς διατείνωσιν. Ἔστιν οὖν **σκορδινᾶσθαι**, τὸ ἀνακλᾶσθαι μετὰ χάσμης. Γίνεται δὲ [l]ἀπὸ ἀλογίας τὸ τοιοῦτον.

**Σκοροδίοις**: Τοῖς τῶν σκορόδων φύλλοις. Ἀριστοφάνης [m]Πλούτῳ·

> Ἀπεψώμεσθα δ' οὐ λίθοις ἔτι,
> ἀλλὰ σκοροδίοις [ὑπὸ τρυφῆς ἑκάστοτε.]

[n]Γελοίως ἀντὶ τοῦ, [o]σαβάνοις. [p]Ἐπειδὴ δὲ ἤσθιον ἑκάστοτε σκόροδα, τοῦτό φησιν, ὅτι ὡς πλουτήσαντες κατεφρόνησαν τῆς παλαιᾶς διαίτης. Εἴρηται δὲ **σκόροδον** ἴσως, σκαιόν [q]τι ῥόδον ὂν παρὰ τὸ σκαιὸν [r]ὄζειν. Τινὲς δὲ **σκοροδίοις**, τοῖς τῶν σκορόδων [s]καυλοῖς. Λιμῷ δὲ περιπεσόντες οἱ Ἀθηναῖοι τούτοις ἐχρήσαντο. Οὐχ ἁπλῶς δὲ τοῦτο, ἀλλ' ἵνα δείξῃ, ὅτι τοσαύτῃ μεταβολῇ κεχρήμεθα, ὥστε, ἃ πρότερον ἠσθίομεν ἀγαπητῶς, τούτοις νῦν ἀφεδεύοντες ἀποματτόμεθα. Μήποτε δέ [t]τοῦ σκορόδου λέγει τὸν καυλόν. Ἔστι γὰρ ἀσφοδέλῳ ὅμοιος, [u]ὡς κἀκεῖνος, ἐπιτήδειος εἰς τοῦτο. Εἰ δ' ἄρα δηκτικόν τι ἔχει, τάχα ἂν εἴη παρὰ τὴν ὑπόνοιαν εἰρηκώς. [v]Καὶ αὖθις·

> [x]Ἀπόλλυμαι τὰ σκόροδα πορθούμενος.

Ἐκ τῶν ἀγρῶν ἔρχεται ἔχων φορτίον σκόροδα, καὶ ἐπηρεάζεται ὑπὸ τῶν ξένων λιμωττόντων, καὶ διαρπαζόντων αὐτά· παρ' ὅσον οἱ πορθούμενοι ἀπόλλυνται. Ἀρέσκονται δὲ τοῖς σκορόδοις οἱ Θρᾷκες [y]οὐκ ἀπεικότως· θερμὰ γάρ εἰσιν, οἱ δὲ Θρᾷκες ψυχρὰν χώραν νέμονται. Καὶ παροιμία· [z]**Σκόροδον ἐν δικτύοις**. Οἱ Ἀθηναῖοι μέλλοντες πλεῖν [a]καὶ ἐξιέναι, ταῦτα ὠνοῦντο, καὶ ἐν λίνοις ἔβαλλον.

**Σκορπίδια**: Μηχανικὸν ἀλέξημα.

> [b]Ὁ δὲ Ἀρχιμήδης πάλιν ἑτέραν ἡτοιμάκει παρασκευὴν πρὸς τοὺς [c]ἀπομαχομένους ἐκ τῶν πλοίων. Ὡς ἀνδρομήκεος ὕψους κατετετρήκει τρήμασι τὸ τεῖχος, ὡς παλαιστιαίοις τὸ μέγεθος κατὰ τὴν ἐκτὸς ἐπιφάνειαν· οἷς τοξότας καὶ σκορπίδια παραστήσας ἐντὸς τοῦ τείχους, διὰ τούτων ἀχρήστους ἐποίει τοὺς ἐπιβάτας.

**Σκορπιαίνεσθαι**: Ἀποθηριοῦσθαι, τραχύνεσθαι, ἀπαυθαδίζεσθαι.

> [d]Ἐς μέντοι τὰς συνθεατρίας εἰώθει ἐσαεὶ σκορπιαίνεσθαι· βασκανίᾳ γὰρ πολλῇ εἴχετο.

Προκόπιος·

> [e]Ἦν δὲ ἄρα ἡ Θεοδώρα σκορπιώδης (τουτέστι, πληκτική) καὶ ὀργῇ σκοτεινή.

**Σκορπίζω**: Αἰτιατικῇ.

---

[a] Ὧι μὴ ἔστι τύπος] In ms. A. rectius legitur, οὗ μὴ ἔστι σκοπός. KUST. Idem σκοπὸς et τύπος. Suidas supra: Σκοπόν: τύπον, ᾧ στοιχοῦσι καὶ ἀκολουθοῦσι. Hinc ἄσκοπος, cujus nullus τύπος, quem exprimeret vel fictor vel pictor. TOUP. οὗ μὴ ἔστι σκόπος (τύπος) A. οὗ item B.V.E. Tum μὴ iterat V.

[b] Ἄσκοπον] Anthol. Pal. I. 34.

[c] ἀπεπλάσατο] Malim, ἀνεπλάσατο ut legitur supra t. I. p. 1. KUST. ἀνεπλάσατο V.

ΣΚΟΠΩ] Gl. om. A.

ΣΚΟΡΑΚΙΖΕΙΝ] Plutarch. Artox. p. 1025. TOUP.

[d] ὡς καὶ] ὡς om. V. Mox ὡς V. pro καί.

[e] ἀποτείνεσθαι] Melius διατείνεσθαι, ut infra: et sic Mœris in v. TOUP. ἀποτείνειν A.B.V.E. Photius.

[f] Ἀριστοφάνης] Acharn. 30.

[g] Τινὲς δὲ] γίνεται δὲ Piersonus ad Mœrin p. 343. ex Etymol. p. 719, 11. Seqq. sunt ex Schol. ad Ran. 953.

[h] ἐγειρομένους] ἐξεγειρομένους E. Mox ἐκτείνωσι V.

[i] πως] πῇ V. Mox διατριβομένους τὰ σκέλη (μέλη) E.

ΣΚΟΡΔΙΝΩΜΑΙ: Ἀντὶ τοῦ κλῶμαι, σπασμῷ σ.] Ex Scholiasta Aristophanis ad locum citatum. KUST.

[k] ὅταν] ὅταν δὲ V.

[l] ἀπὸ ἀναλογίας] Apud Enarratorem Comici legitur, ἀπὸ ἀλογίας. Sed neutra lectio sensum habet sanum. KUST. Hæc non intellexit Kusterus. Recte Scholiastes, ἀπὸ ἀλογίας. Quod ex scholis philosophorum petitum est. Porphyrius de Abstinent. lib. I. 34. Ἐκβακχευομένη ἡ ψυχὴ ὙΠΟ ΤΗΣ ἈΛΟΓΙΑΣ ἀνασκιρτᾶν τε ποιεῖ, καὶ ἐκβοᾶν, καὶ κεκραγέναι. *Anima ab irrationalitate in furorem acta, hominem subsilire, et oscitare, et exclamare cogit.* Quod ad instar commentarii est. TOUP. ἀλογίας A.B.V.E. Mox τοιοῦτο V. τοιοῦτο vulg.

[m] Πλούτῳ] Ver. 819. ὑπὸ τρυφῆς ἑκάστοτε om. A.V.

[n] Γελοίως ἀντὶ τοῦ, σαβ.——παρὰ τὴν ὑπόνοιαν εἰρηκώς] Ex Schol. Aristoph. Plut. 819. ἢ γελοίως V. pro γελοίως.

[o] σαβάνοις] Est vox Græco-barbara, de qua vide Dufrenium in Glossario Græco. KUST. βασάνοις V. deest E. cum lacuna.

[p] Ἐπειδὴ δὲ] δὲ om. V. qui mox om. τοῦτό φησιν—διαίτης.

[q] τι ῥόδον] ῥόδον τι A.V. Tum τινὲς δὲ—χώραν νέμονται om. V.

[r] ὄζειν] ὄζειν E.

[s] καυλοῖς] αὐλοῖς A.

[t] φησι τοῦ σκορόδου] τοῦ σκορόδου λ' A. Schol.

[u] ὡς κἀκεῖνος] ὡς om. A.

[v] Καὶ αὖθις—σκόροδα καὶ om. A.

[x] Ἀπόλλυμαι τὰ σκόρ.] Aristoph. Acharn. 162. Οἴμοι τάλας, ἀπόλλυμαι Ὑπὸ τῶν Ὀδομάντων τὰ σκόροδα πορθούμενος. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[y] οὐκ ἀπεικότως—Θρᾷκες om. A.

[z] ΣΚΟΡΟΔΟΝ ἘΝ ΔΙΚΤΥΟΙΣ] Aristoph. Ach. 549. σκορόδων, ἐλαῶν, κρομμύων ἐν δικτύοις. Schol. ad eum locum excerpsit Suidas.

[a] καὶ ἐξιέναι om. V. qui post ἔβαλλον adjicit ex superioribus ἀρέσκονται—νέμονται.

[b] Ὁ δὲ Ἀρχιμήδης πάλ.] Fragmentum hoc legitur apud Polybium lib. VIII. c. 6. KUST.

[c] μαχομένους] ἀπομαχομένους B.V.E.

[d] Ἐς μέντοι τὰς συνθεατρ.] Hæc sunt verba Procopii Histor. Arc. c. 9. KUST.

[e] Ἦν δὲ ἄρα ἡ Θεοδ.] Hæc apud Procopium Hist. Arc.

Σκορπίος:

Σκοταῖος ([f]ἔτι σκοτίας οὔσης) ἐλθών.

[g]Οἱ ■ στρατιῶται ἐλθόντες σκοταῖοι, εἶδον τὰ σώματα, καὶ νόμῳ τῶν Βαβυλωνίων ἐπέρριψαν [h]αὐτοῖς, ὁ μὲν, κάνδυν, ὁ δὲ, χλαμύδα, ὁ δὲ, ψωμούς, ὁ δὲ, ἀκρόδρυα· καὶ μέγα κεφάλαιον ἠθροίσθη [i]μικρῶν κερματίων.

[k]Οἱ ■ ὕστεροι [l]σκοταῖοι προσιόντες ηὐλίζοντο.

Σκοτεινόν: Ἀφεγγές.

Σκοτίζω: Αἰτιατικῇ.

Σκότιος:

[m]Ἦν ■ Ἰουστινιανὸς δολερὸς, κατάπλαστος, σκότιος ὀργήν.

Καὶ σκότιος, ὁ τοῦ σκότους.

[n]Φεύγεθ' ὑπ' ἐκ καλύβης σκότιοι μύες. Οὔτι πενιχρὴ μῦς σιπύη βόσκειν οἶδε Λεωνίδεω.

[o]Σκότιον [p]δέ ἑ γείνατο μήτηρ.

Τουτέστιν, ἐκ λαθραίας μίξεως. [Σκότιος οὖν, ὅπερ ἐστὶ λαθραῖος. Παρθένιος δὲ, ὁ ἀπὸ παρθένου δοκούσης γεγονώς.]

Σκοτοδινιᾷ: Σκοτοῦται, μετὰ σκότους ὀφθαλμῶν [q]συστρέφεται· ὅ ἐστιν, ἰλιγγιᾷ.

Σκοτόμαινα: Σκότωσις. [r]Σκοτομήνη δὲ, νὺξ ἀσέληνος. Καὶ σκοταῖος, ὁ ἔτι σκότους ὄντος παραγενόμενος.

Σκότος: Ἀρσενικόν. Αἰλιανός·

Καὶ διὰ πάσης ἡμέρας σκότος ἦν βαθύτατος, καίτοι τὰ τῆς ὥρας οὐδαμῇ χειμέρια ἦν.

[Σκότος: Ζήτει ἐν τῷ Ἀόρατον.]

Σκότος: Αἱ θλίψεις· φῶς δὲ, ἡ τούτων ἀπαλλαγή· [s]Δαβίδ·

Φωτιεῖς τὸ σκότος μου.

Σκότος: [ss]Παρὰ τῇ θείᾳ γραφῇ, ποτὲ μὲν, ἡ ἄγνοια· ποτὲ δὲ, αἱ συμφοραί. Καὶ φῶς ὡσαύτως ἡ γνῶσις, καὶ ἡ τῶν κακῶν ἀπαλλαγή.

Σκύλης: Εἶδος [t]ζωϋφίου.

Σκῶλος: Εἶδος ἀκάνθης, ἢ [u]σκάνδαλον.

Τοῦ μὲν ἐγὼ ζώοντος [x]ἀναιδέσιν ἐμπήξαιμι
[y]σκώλους ὀφθαλμοῖσι, καὶ, εἰ θέμις, ὠμὰ πασαίμην.

Καὶ αὖθις·

Ἔκ μοι σκῶλον [z]ἔρυσσον, ὅ μοι κακὸν ἔμπεσεν ὁπλῇ.

Ὁ ὄνος φησὶ πρὸς τὸν λύκον.

Σκωμμάτιον: Σκάτιον. [a]Ἀριστοφάνης·

Οὐδεὶς ἄρ' ἐμοῦ μᾶλλον οἶδα ■ μόνον εἰδέναι,
σκωμμάτιον εἴ ποτέ τι θλιβόμενος ἐκβαλῶ.
Ταυτὶ κατιδὼν ὑπό τι μικρὸν [b]ἐπιθήκισα.

Σκώπτης: Ὁ λοίδορος. Καὶ σκωπτόλης, ὁ Λυσίστρατος.

[Σκωπτόλαι: Φιλοσκώμμονες.

[c]Σκωπτόλαι τε καὶ ὑβρισταὶ πάντες, καὶ δεδώκασι τῇ ἐθάδῃ μᾶλλον ἢ σοφίᾳ Ἀθηναῖοι.]

Σκῶρ: Κόπρος, ἀποπάτημα. Καὶ κλίνεται [d]σκατός.

Σκῶρ ἀείνων: Τινές φασι τῷ σκῶρ πρῶτον κεχρῆσθαι Στράττιν ἐν [e]Ἀταλάντης δράματι· ψεῦδος δέ· πολλῷ γὰρ ὕστερον τῶν Βατράχων. Σκῶρ δὲ

c. 1. (inde enim ea Suidas mutuatus est) de Antonina, Belisarii uxore, non vero de Theodora, dicuntur. KUST.

ΣΚΟΤΙΑΙΟΣ] Σκοταῖος A.V. Et sic scripsisse Suidam monstrat literarum series.

[f] ἦλθεν. Ἀντὶ τοῦ ἔτι σκοτίας οὔσης] ἔτι σκοτίας οὔσης ἐλθὼν A.V.

[g] Οἱ ■ στρατιῶται] Hunc locum Jamblicho in Babylonicis tribuit Rochettus Misc. t. I. p. 77.

[h] αὐτοῖς] αὐτοῖς V. Tum κάνδυν V.

[i] μικρῶν] διὰ μικρῶν in Κεφαλαῖον. HEMST.

[k] Οἱ ■ ὕστεροι] Xenoph. Anab. II. 2, 17.

[l] σκοτιαῖοι] σκοταῖοι A.V. et mox etiam E.

[m] Ἦν δὲ Ἰουστινιανὸς δολ.] Et hæc sunt verba Procopii Histor. Arc. c. 8. KUST.

[n] Φεύγεθ' ὑπ' ἐκ καλ.] Anthol. Pal. VI. 302.

[o] Σκότιον ■ ἑ γείνατο μήτηρ.] Hæc sunt verba Homeri Il. ζ. 24. ubi Scholiastes: Σκότιον: Ἐκ λαθραίας μίξεως τὸν λάθρα γεγεννημένον, καὶ οὐκ ἐκ τῆς κατὰ νόμον γαμηθείσης τὸν ἐξ ἀθροδειχήτου γάμου. KUST. Vid. Schol. Eurip. Alcest. v. 989. TOUP.

[p] ■ ἑ γείνατο] ὅ ἐγείνατο A.V. qui mox om. ΣΚΟΤΙΟΣ—γεγονώς. Vid. supra p. 2883 B.

ΣΚΟΤΟΔΙΝΙΑ] Σκότου καὶ δίνης, etc. in Πλημμῦ. HEMST. Aristoph. Ach. 1216. Ἰλιγγιῶ κάρα λίθῳ πεπληγμένος, καὶ σκοτοδινιῶ. Plato Legg. X. p. 892. extr. σκοτοδινιῶν ἰλιγγιῶν τε.

[q] συστρέφεται] συστροφ. A. συστρέφειν V. συστρέφει Photius, συστροφὴ Leg. Seg. Si συστροφὴ verum, refer ad nominativum σκοτοδινία. Mox ἰλιγγιᾶν A.V.

ΣΚΟΤΟΜΑΙΝΑ] Aristid. I. p. 259. TOUP.

[r] ΣΚΟΤΟΜΗΝΗ] Psalm. X. 2. Simocatta pag. 103. TOUP.

ΣΚΟΤΟΜΗΝΗ δὲ] ■ om. A.

ΣΚΟΤΟΣ om. A.V.

ΣΚΟΤΟΣ: Αἱ θλίψεις. Φῶς δ.] Ex Theodoreto ad Psalm. XVII. 29. KUST. Deest gl. V.

[s] Δαβίδ] Psalmo laudato. KUST.

[ss] Παρὰ τῇ θείᾳ] Hæc sunt integra verba Theodoreti ad Ps. CXI. 4. ERNEST.

[t] ζωϋφίου] Statim delevi ΣΚΩΛΙΑ: Τὰ Σκώλια ἦγον ἑορτὴν οἱ Ἀθηναῖοι· ἐν ᾗ ἥλλοντο ταῖς ἀσκοῖς εἰς τιμὴν τοῦ Διονύσου. Καὶ ζήτει ἐν τῷ ἈΣΚΟΙ ΜΟΡΜΟΛΥΤΤΕΣΘΑΙ cum A.V. Hemsterhusius citat Casaubon. ad Athen. I. p. 23, 51. Vid. etiam ad Aristoph. Plut. p. 429.

[u] σκάνδαλον] Sic Aquila Ps. LXVIII. 22. εἰς σκῶλον, ubi οἱ ὁ εἰς σκάνδαλον. ERNEST.

[x] ἀναιδέσιν] Sic recte ms. A. At in prioribus editt. vitiose legitur ἀναιδέσιως. KUST.

[y] σκώλους ὀφθαλμοῖς] Scribe Σκώλους ὀφθαλμοῖσι. Huc facit Judic. XI. 35. Εἰς ΣΚΩΛΟΝ ἐγένου ἐν ΟΦΘΑΛΜΟΙΣ μου. TOUP. ὀφθαλμοῖσι A.V.E.

[z] ἔρυσον] ἔρυσσον Toupius et Tyrwhittus Babr. p. 39.

ΣΚΩΜΜΑΤΙΟΝ καὶ ΣΚΩΜΜΑΤΑ] Σκωμμάτιον: σκάτιον A.B.V. σκώμματα A.B. marg. Post σκώμματα inserit E. σκωμμάτιον: σκάτιον cum edd. vett.

[a] Ἀριστοφάνης] In Vesp. 1280.

[b] ἐπιθήκισα] ἐπιθήκασα A.B.E. edd. vett.

ΣΚΩΠΤΗΣ] Meminit Aristoph. Eq. 1264. ubi Schol. ὁ μὲν Λυσίστρατος ὡς κόλαξ διεβάλλετο. In istius ingenii hominem recte convenit σκωπτόλης, quo nomine a comicorum aliquo fuerit vocatus: imo ab ipso Aristophane Vesp. 784. ad quem locum hæc pertinent. Dio Cass. LXXVII. p. 875 B. XLVI. p. 303 D. Suid. in Ἰάλλος. Εὐθύδημος. Philostrat. Vit. Apoll. Tyan. I. p. 8, 10. HEMST. Aristoph. Vesp. 783. notavit Toupius, Portus ante utrumque. Statim delevi Ἡ κωμῳδία τὸν σκωπτικὸν ἐπίχαριν καλεῖ. Καὶ ζήτει ἐν τῷ ἈΝΑΣΕΣΥΡΜΕΝΗΝ cum V. quæ habet tamen A. in marg.

[c] Σκωπτόλαι τε καὶ ὑβρ.] Hæc sunt verba Philostrati lib. I. de Vita Apoll. c. 5. p. 8. quæ etiam leguntur supra v. Εὐθύδημος. KUST. Deest articulus A.

[d] σκατός] σκωρὸς (σκατὸς) E.

ΣΚΩΡ ἈΕΙΝΩΝ: Τινές φ.] Ex Schol. Aristoph. Ran. 146. Confer Nos supra ad v. Ἀείνων. KUST. ἀείνων V. ἀεὶ A. et sic infra. ἀεὶ νῶν hic E.

[e] Ἀταλάντης] Ἀτάλαντ' A. ἀποτάλαντος V. Ἀταλάντῃ Schol. Ἀταλάντη Meinekius Quæst. Sc. Sp. 2. p. 65.

ἀεί́νων, τὸ ἀεὶ ῥέον. Νάον, νῦν. Σκῶρ δὲ, ἀποπάτημα, κόπρος. Καὶ ἔστιν ἑτερόκλιτον. Ἡ γὰρ γενικὴ, σκατός. Ἀριστοφάνης Βατράχοις·

> Εἶτα βόρβορον πολὺν
> καὶ σκῶρ ἀείνων.

Σκωραμίς: Ἀμὶς μὲν, ἐν ᾧ οὐροῦσι· Σκωραμὶς δὲ, [f]ἐν ᾧ ἀποπατοῦσιν.

> [g]Ἵνα μὴ γένωμαι σκωραμὶς κωμῳδική.

Καὶ σκωροποιῶ, ἐξ αὐτοῦ.

Σκωρεία: [h]Οὕτως ἡ παράδοσις.

Σκώψ: Εἶδος ὀρνέου νυκτερινοῦ.

Σκρίβας: [i]Σκρίβων κατὰ Λατίνους, ὁ τῶν σωματοφυλάκων ὑπερφερόμενος.

Σκρινιάριος: Ὁ χαρτουλάριος τοῦ ἐπάρχου· ὁ αἴρων τὸ [k]σκρινίον, ἤτοι τὸ κιβώτιον.

Σκυβαλίζεται: Ἀποδοκιμάζεται, ἀτιμάζεται ὡς σκύβαλον. Κυρίως δὲ [l]σκύβαλον, κυσίβαλόν τι ὄν, τὸ τοῖς κυσὶ βαλλόμενον. [m]Ἐν Ἐπιγράμμασι·

> Οὐδ' ἀπὸ δειπνιδίου γενόμενος σκυβάλου.
> σπεῖσαν εἰς ἄλλους οἴκους ἴθι.

Σκυδμαίνω: Ὀργίζομαι.

Σκυζᾶν: Ἐπὶ [n]συνουσίαν ὁρμᾶν.

> Ἡ κάμηλος κύει μῆνας δέκα· τῷ δὲ ἑνδεκάτῳ τίκτει· καὶ πάλιν διαλιποῦσα ἐνιαυτὸν, σκυζᾷ.

Σκύζομαι: Ὀργίζομαι.

Σκύθαινα: Ἡ ὑπηρέτις. [o]Ἀριστοφάνης·

> Ποῦ σθ' ἡ Σκύθαινα.

Σκύθαι: [p]Ὅτι ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων Σκυθῶν οἱ περιλειφθέντες ἐκ τῶν προλαβουσῶν ἐπαρθέντες ἐφόδων ἐπὶ [q]Γαλλιηνοῦ τοῦ μικροῦ, Ἐρούλους καὶ Πευκέστας καὶ Γότθους παραλαβόντες, καὶ περὶ τὸν [r]Τύραν ποταμὸν ἀθροισθέντες, [s]εἰσέβαλον εἰς τὸν Πόντον. Ναυπηγησάμενοι δὲ [t]πλοῖα [u]ἐννακόσια, καὶ τούτοις ἐμβιβάσαντες δύο καὶ τριάκοντα μυριάδας, ἄραντες διὰ τοῦ Πόντου, πόλει [x]Τόμει προσβαλόντες ἀπεκρούσθησαν. Ὡσαύτως καὶ Μαρκιανουπόλει. Ἐπεὶ δὲ τὰ στενὰ τῆς Προποντίδος κατέλαβον, ἐκ τοῦ ῥεύματος τὰ πλοῖα ἀλλήλοις προσήραττε, καὶ [y]ἐφέρετο τὰ σκάφη σὺν οὐδενὶ κόσμῳ, τῶν κυβερνητῶν μεθιέντων τοὺς οἴακας· ὥστε τὰς μὲν καταδῦναι αὐτάνδρους, τινὰς δὲ καὶ ἀνδρῶν ἐρήμους ὀκεῖλαι· καὶ πλεῖστοι ἀπώλοντο. Οἱ δὲ περιλειφθέντες τὴν ἐπὶ Κύζικον ἔπλεον, καὶ ἄχρι τοῦ [z]Ἄθω παρανεχθέντες, καὶ τῶν πλοίων ἐπιμέλειαν ποιησάμενοι, Κασσάνδρειαν καὶ Θεσσαλονίκην ἐπολιόρκουν. Ἀποκρουσθέντες δὲ, ἐς τὴν μεσόγειον ἀναβάντες, πᾶσαν χώραν ἐληΐζοντο, καὶ κατὰ διαφόρους [a]χώρας διεφθείροντο. Ὅσοι δὲ διεσώθησαν, Ῥωμαίοις συνηριθμήθησαν, καὶ πρὸς γεωργίαν ἐτράποντο.

Σκύθης: Ὁ Ῥῶς. Καὶ παροιμία· [b]Σκύθης τὸν ὄνον. Ἐπὶ τῶν ἀκκιζομένων τῷ λόγῳ, ἔργῳ δὲ ἐφιεμένων. Ἰδὼν γάρ τις νεκρὸν ὄνον, ἔφη· "Δεῖπνόν [c]τοι, ὦ Σκύθα." Ὁ δὲ ἐμυσάξατο μὲν πρῶτα, αὖθις πολυπραγμονήσας περὶ αὐτὸν ἐπονεῖτο.

Σκυθικαί: Εἶδός τι ὑποδήματός εἰσιν, ὡς Ἀλκαῖος ἐν η'.

> Σκυθικὰς [d]ὑποδησάμενος.

Σκυθρωπάζω: Τὸ στυγνάζω. Μεταφορικὴ ἡ λέξις. Ἀπὸ [e]τοῦ Σκύθης, καὶ τοῦ ὤψ, ὠπός· ὃ σημαίνει τὸ πρόσωπον. Ὢψ γὰρ, ἡ φωνὴ, διὰ τοῦ ο μικροῦ.

> [f]Ὦ Πλάτων,
> Ὡς οὐδὲν [g]οἶσθα πλὴν σκυθρωπάζειν μόνον,
> ὥσπερ κοχλίας [h]σεμνῶς ἐπηρκὼς τὰς ὀφρῦς.

---

[f] ἐν ᾧ] ἐν ᾧ bis A. cum Schol. Aristoph.

[g] Ἵνα μὴ γέν.] Aristoph. Eccl. 371. notante Porto.

[h] Οὕτως ἡ παράδοσις] Sic traditio grammatica vocem istam scribit. Alii vero per ι scribunt σκωρία. PORTUS.

ΣΚΡΙΒΩΝ] Rover. ad Gloss. Nom. p. 133. TOUP.

[i] Σκρίβων κατὰ Λατ.] Hæc sumpta sunt ex Theophylacti Simoc. lib. I. c. 4. ut et ante nos monuit Dufrenius in Glossario Græco, v. Σκρίβων. KUST.

ΣΚΡΙΝΙΑΡΙΟΣ: Ὁ χαρτ.] Vide de hac voce Dufrenium in utroque Glossario. KUST. Hanc gl. habet A. in marg. Σκρινάριος M.

[k] ΣΚΡΙΝΙΟΝ] Julian. p. 397. ἐν τοῖς ἐμοῖς σκρηνίοις ἀποκείμενα. Ubi scrib. σκρινίοις. TOUP.

[l] ΣΚΥΒΑΛΟΝ] Vid. Gataker. Adv. Misc. Posth. pag. 871.

[m] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 302.

ΣΚΥΔΜΑΙΝΩ] Vid. Il. ω'. 592.

[n] συνουσίᾳ] συνουσίαν A.V.

ΣΚΥΖΟΜΑΙ] Vid. Il. δ'. 23. Deest hæc gl. cum parte sequenti A.

[o] Ἀριστοφάνης] Lysistr. 184.

[p] ὍΤΙ ἐπὶ Κλαυδίου βασιλέως Ῥωμ.] Locus hic sumptus est ex Zosimi Histor. lib. I. [c. 42.] ut dudum ante monuit Henr. Valesius ad Amm. Marcell. lib. XXXI. p. 423. KUST. Zosimus in nonnullis auctior est.

[q] Γαλ. οῦ] Γαλλιηνοῦ A.V. Mox Πευκέτας V. Πεύκας Zosim.

[r] Τύραν] Τύραννον A.B.V.E.M. Ald. Mox εἰσέβαλλον A. E.

[s] εἰσέβαλον εἰς τὸν Πόντον] ὃς εἰς τὸν Πόντον εἰσβάλλει Zosim.

[t] πλοῖα ἐννακόσια] Zosimus habet, πλοῖα ἑξακισχίλια: quæ immanis est differentia. Ammianus Marcellinus vero lib. XXXI. p. 445. eandem historiam narrans, Scythas duo millia navium habuisse refert. KUST.

[u] ἐννακόσια] ,ϛ A.

[x] Τόμῃ] Zosimus rectius, Τόμοις. Sic enim plurali numero nomen urbis illius a scriptoribus efferri solet. KUST. Τόμει A. Τόμοι V. Τόμει Holsten. ad Steph. Byz. p. 325.

[y] ἐπεφέρετο] ἐφέρετο A.V.B.E. Zosim.

[z] Ἄθω] Ἄθων V. παρενεχθέντες A.B.V.E. Zosim. pro περιενεχθέντες.

[a] χώρας] χρόνους B.E.

ΣΚΥΘΗΣ: Ὁ ῥῶς] Mss. Paris. Σκύθης ὁ ῥῶς. Sed quid hoc? An, Σκύθης ὀρῶς. KUST. ὁ ῥῶς vera lectio. ὁ Ῥῶς est *Russus*. Sæpius in Constantino reperias de Adm. imp. HEMST. ὁ ῥῶς A.B.V.E.

[b] ΣΚΥΘΗΣ ΤΟΝ ὌΝΟΝ. Ἐπὶ τῶν ἀκκ.] Hæc totidem pene verbis leguntur etiam in Vaticana Proverbiorum Appendice. Confer Nostrum supra v. Ἀκκιζόμενος, et v. Ὁ Σκύθης. KUST. Vid. ad Hesych. in Σκύθης ὄνων δαῖτα.

[c] τοι] τι B.V.E. Mox delevi ὍΤΙ Ἀνάχαρσις Σκύθης ἦν, μητρὸς δὲ Ἑλληνίδος· διὸ καὶ δίγλωσσος ἦν· ὃς ἔθηκε νόμους Σκύθαις, cum A. (qui habet tamen in marg.) quæ huc immigrarunt ex v. Δίγλωσσος.

ΣΚΥΘΙΚΑΙ: Εἶδός τι ὑποδ.] Ex Harpocratione. Apud Hesychium vero male legitur, Σκυδικαί. KUST.

ΣΚΥΘΙΚΑΙ] Σκυθικὰς A.

[d] ὑποδυσάμενοι] ὑποδησάμενος A. Photius.

[e] τοῦ Σκύθης καὶ τοῦ] τῶν σκυθῶν καὶ τὸ A.V. τοῦ σκυθῶν E. M.

[f] Ὦ Πλάτων, ὡς οὐδ.] Est fragmentum Amphidis Comici, quod legitur etiam apud Laërtium in Platone, segm. 28. unde id Suidas mutuatus est. KUST.

[g] οἶσθα] ᾔσθα A.V.E. Laërt. ed. Bas.

[h] σεμνῶς ἐ. τ. ὀ.] Vid. Ἄβρα. TOUP.

Σκῦλα: Τὰ ἀπὸ τῶν πολεμίων ἀνῃρημένα, τὰ ἐκ τῶν νεκρῶν· λάφυρα δὲ, τὰ ἐκ τῶν ζώντων. Καὶ [i]ἐν Ἐπιγράμμασι σκυλοφόρος.

> Ἑσπερίου Μάρκελλος ἀνερχόμενος πολέμοιο
> σκυλοφόρος [k]κραναῆς τέρμα παρ' Ἰταλίης.

Καὶ σκυλοδεψῶν. [l]Ἀριστοφάνης·

> Ὅσοις δὲ κλίνη [m]μὴ ἐστὶ, μηδὲ στρώματα,
> ἰέναι καθευδήσοντας . . . . .
> ἐς τῶν σκυλοδεψῶν.

Ἐπὶ τῶν [n]λαθεῖν μὴ δυναμένων.

Σκύλλα: Ἐν τῷ Τυρρηνικῷ πελάγει θηρίον ἐμυθεύετο εἶναι, [o]μέχρι μὲν ὀμφαλῶν γυναικὸς περικαλλοῦς [p]σχῆμα ἔχον· ἑκατέρωθεν δὲ κυνῶν κεφαλὰς ϛ'· τὸ δὲ ἄλλο σῶμα ὀφιῶδες.

Σκύλαξ Καρυανδεὺς, ([q]πόλις δέ ἐστι τῆς Καρίας πλησίον Ἁλικαρνασσοῦ τὰ Καρύανδα,) μαθηματικὸς, καὶ μουσικός. Περίπλουν τῶν ἐκτὸς [r]τῶν Ἡρακλέους στηλῶν, Τὰ κατὰ τὸν Ἡρακλείδην τὸν Μυλασσῶν βασιλέα, Γῆς περίοδον, Ἀντιγραφὴν πρὸς τὴν Πολυβίου ἱστορίαν.

[Σκυλεύω: Αἰτιατικῇ.]

Σκυμνεία γονή: Ἡ τῶν σκύμνων.

Σκύμνος: Σκύλαξ λέοντος.

> [s]Οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν.
> Μάλιστα μὲν λέοντα μὴ 'ν πόλει τρέφειν·
> ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.

Αἰσχύλος λέγει περὶ Ἀλκιβιάδου, [t]μὴ ἀνατρέφειν A φρόνημα (ἔχοντα), ἐὰν δὲ ἀνατραφῇ, μὴ ἐρεθίζειν, ἀλλὰ [u]τιθασεῦσαι. Καὶ ὁ μὲν Εὐριπίδης συμβεβούλευκε μὴ δέξασθαι· ὁ δὲ Αἰσχύλος τοιαύτην τινὰ διάνοιαν, μὴ καταδέξασθαι, ἢ καταδεξάμενον τροποφορεῖν. Καὶ ὁ μὲν Αἰσχύλος σοφῶς εἶπεν· ὁ δὲ Εὐριπίδης σαφῶς.

Σκυρίαν δίκην: Οἱ σκηπτόμενοι ἐν ταῖς δίκαις ἔφασκον εἰς Σκῦρον ἀποδημεῖν. Σκῦρος [x]δὲ, νῆσός B ἐστι.

Σκυρίττω: [y]Κερατίζω.

Σκυτάλαι: Στρογγύλα καὶ λεῖα ξύλα. Παρὰ δὲ [z]Ἡροδότῳ, ῥάβδος.

Σκυτάλη: Βακτηρία ἀκροπαχής· ἢ [a]φραγέλλιον.

Σκυτάλη: Ἐπιστολὴ Λακωνική. Ἦν δὲ ἡ σκυτάλη ξύλον ἐξεσμένον ἐπίμηκες. Δύο δὲ παρὰ Λακεδαιμονίοις ὑπῆρχον [b]σκυτάλαι. Καὶ τὴν μὲν μίαν C κατεῖχον οἱ ἔφοροι τῶν Λακεδαιμονίων, τὴν δὲ [c]ἑτέραν τῷ ἐκπεμπομένῳ παρ' αὐτῶν στρατηγῷ παρεῖχον. Καὶ ὁπότε ἐβούλοντό τι ἐπιστεῖλαι αὐτῷ, φέροντες ἱμάντα λευκὸν [d]περιείλουν τὴν σκυτάλην, καὶ ἐπὶ τοῦ ἱμάντος ἔγραφον. Καὶ ἀνελίττοντες παρεῖχον τὸν ἱμάντα τῷ ἀποφέροντι. Τοῦτο δὲ ἐποίουν, ἵνα μὴ μανθάνωσιν οἱ ἀποφέροντες τὸ δηλούμενον ἐν αὐτῷ. Ὁ δὲ στρατηγὸς D δεχόμενος τὸν ἱμάντα, τῇ ἑαυτοῦ σκυτάλῃ [e]περιείλιττε, καὶ ἐγίνωσκεν οὕτω τὰ γεγραμμένα. Λέγεται οὖν καὶ ἡ ἐπιστολὴ, καὶ αὐτὸ τὸ ξύλον, [f]ἀφ' οὗ καὶ ἡ [g]ἐπιστολή. [h]Διοσκορίδης δ' ἐν τοῖς Περὶ νομίμων, τοὺς

---

ΣΚΥΛΑ: Τὰ ἀπὸ τ.] Eandem differentiam vocum σκύλων et λάφυρων docet etiam Etymologus; sed apud quem pro θεατῶν scribendum est, τεθνεώτων. KUST.

[i] ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 161.

[k] ταναῆς] κραναῆς A.B.V.E. Anthol.

[l] Ἀριστοφάνης] Eccles. 418. Ὅσοις δὲ κλίνη μή 'στι, μηδὲ στρώματα, Ἰέναι καθευδήσοντας ἀπονενιμμένους Ἐς τῶν σκυτοδεψῶν. Hinc Suidam supplebis. At apud Aristophanem pro σκυτοδεψῶν ex Suida reponendum est σκυλοδεψῶν. Syllaba enim prima in σκυτοδεψῶν longa est; at in σκυλοδεψῶν, anceps: quæ proinde metro versus non adversatur. Σκυλοδέψης autem et σκυτοδέψης idem significant. Photius in Lexico ms. Σκυλόδεψος. Ὁ τὰ κώδια ἐργαζόμενος. Vide etiam Hesych. v. Σκυλοδέψης, et v. Σκύλου; et Enarratorem Comici ad Ran. 842. KUST.

[m] μηδ' ἐστὶ] μὴ ἔστι A. μὴ 'στι B.E. μὴ ἔτι V.

[n] λαθεῖν μὴ] μὴ λαθεῖν V.

ΣΚΥΛΛΑ: Ἐν τῷ Τυρρηνικῷ πελ.] Hæc totidem pene verbis leguntur etiam apud Nonnum in Gregorii Nazianzeni Steliteut. p. 144. ut Pearsonius observaverat. KUST.

[o] μέχρι τῶν ὀφθαλμῶν] Scribendum est, μέχρι τοῦ ὀμφάλου, i. e. *usque ad umbilicum*: ut habet Nonnus loco laudato. KUST. Ὀμφαλῶν Pierson. ad Mœr. p. 178.

[p] σχῆμα] σχῆμα τ' A.

ΣΚΥΛΑΞ Καρυανδ.] De hoc vide omnino Vossium in opere de Hist. Gr. lib. I. c. 19. ubi Suidam diversos Scylaces confundere contendit. KUST. Confundit Suidas duos ὁμωνύμους. Is. Vossius, qui Scylacem cum nott. et versione edidit, tres facit Scylaces Caryandenses: 1. sub Dario Hystasp. qui eum ad explorandam Asiam miserat. 2. sub Dario Notho, de quo Ælius Dionysius. Vid. etiam veterem ejus Vitæ auctorem. 3. de quo Suidas ætate Polybii. Ger. Jo. Vossius de Hist. Gr. p. 100. l. 19. dicit Scylacem sua dicasse Dario Codomanno. Herodot. IV. 44. agens de fluvio Indo, qui crocodilos etiam exhibet et alit, nominat Scylacem ἄνδρα Καρυανδέα, qui ea de re tradiderit. Non igitur Dario Codomanno sua dedicare potuit: clarum. [cf. Schweigh. ad h. l. t. IV. p. 207. MULLER.] Ex Athenæo II. p. 70. colligitur, fuisse dubitatum de quodam Scylacis opere, in quo regionem et fluvium Indum descripserat, aliosque id Polemoni tribuisse: dicit enim, Scylax sive Polemon. Σκύλαξ ὁ Καρυανδεὺς meminit fluvii Κίου τὴν Μυσίαν καὶ τὴν πόλιν Κίον περιρρέοντος. Schol. Apoll. Rhod. I. 1177. Σκυλακὸς συγγραφὰς adpellat Philost. de Vit. Apollon. III. p. 142. Scylax Halicarn. familiaris Panætii, excellens in astrologia, Cic. Div. II. 42. REINES.

[q] πόλις δὲ] δὲ om. A.

[r] τοῦ Ἡρακλέους] τῶν Ἡρακλέους A. Mox τὸν post Ἡρακλείδην om. V.

ΣΚΥΛΕΥΩ] A. in marg. om. V.

[s] Οὐ χρὴ λέοντος σκ.] Aristoph. Ran. 1478.

[t] μὴ ἀνατρέφειν φρ.] Hæc sunt verba Scholiastæ ad modo indicatum locum Aristophanis: sed apud quem pro φρόνιμον rectius legitur, φρόνημα ἔχοντα. KUST. φρόνημα A.V.

[u] τιθασσεῦσαι] τιθασσεῦσαι A. qui infra καταδεξάμενος.

ΣΚΥΡΙΑΝ ΔΙΚΗΝ: Οἱ σκ.] Aliter proverbium hoc interpretatur Hesychius: quem vide. KUST. Vid. Polluc. VIII. 81.

[x] δὲ] γὰρ A.V.

[y] Κερατίζω] Statim delevi καὶ κυρίττω cum A.B.V.

[z] Ἡροδότῳ] Gl. Herodot. III. 136.

[a] φραγγέλιον] φραγέλλιον A. Photius. Vid. Pierson. ad Mœrin p. 346.

ΣΚΥΤΑΛΗ: Ἐπιστολὴ Λακων.] Ex Schol. Aristoph. Av. 1283. KUST. Adde Schol. Thucyd. I. 131.

[b] σκυτάλαι] ὑπῆρχον σκυτάλαι A.B.V. Photius.

[c] ἑτέραν—παρεῖχον] ἑτέραν παρεῖχον τῷ ἐκπεμπομένῳ στρατηγῷ παρ' αὐτῶν V.

[d] περιείλουν] περιεῖλλον Photii ed. περιεῖλον ms.

[e] περιείλιττε] περιέλιττε A.V. Photii ms.

[f] ἐφ' ᾧ] ἀφ' οὗ καὶ A.V. Photius.

[g] ἐπιστολὴ] σκυτάλη addit Photius.

[h] Διοσκορίδης] σκυτάλη. Διοσκουρίδης E. Διοσκουρίδης Photius.

A δανείζοντας ἐν Σπάρτῃ διαιρεῖν σκυτάλην, δύο παρόντων μαρτύρων, καὶ γράφειν τὸ συμβόλαιον ἐν ἑκατέρῳ τμήματι· καὶ τὸ μὲν ἑνὶ τῶν μαρτύρων διδόναι, τὸ δὲ δι' ἑαυτοῦ ἔχειν. Ἐχρῶντο δ' αὐτῷ καὶ [i] ἀλλείως, ὡς Ἀριστοτέλης ἐν τῇ Ἰθακησίων πολιτείᾳ [k] μβ΄.

Σκυταλίδες: Πυροβόλα ἐργαλεῖα. Ἦσαν δὲ τοιαῦτα σκυτάλια ξύλινα, τὰ μὲν, ποδιαῖα, τὰ δὲ, πηχυαῖα· πάντα δὲ ταῖς κατασκευαῖς ἦσαν [l] ἀκροθιγῆ.
B Ταῦτα κέντροις σιδηροῖς διείληπτο τὰς κεφαλάς. Διὰ δὲ τῶν κέντρων διεπέπλεκτο [m] στυππεῖον, καὶ δᾷδες· κατὰ δὲ [n] τῶν αὐτῶν πίττα [o] κατεκέχυτο. Καὶ οἱ μὲν ἀνεδίδοσαν ἐνάπτοντες· οἱ δὲ ἔβαλλον ἀπὸ τόνου ταῦτα πρὸς τὰς πρώτας οἰκίας· ὧν προσπιπτόντων μετὰ βίας, καὶ τῶν κέντρων ταῖς σανίσι [p] πηγνυμένων, προσέμενε τὸ πῦρ, καὶ ταχέως ἧθε.

Σκυτάλι' ἐφόρουν: Ἀντὶ τοῦ, ἐλακώνιζον.

C Σκύταλον: Τὸ ῥόπαλον.

Ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην.

[pp] Ἡρόδοτος·

Ἐν τοῖς σκυτάλοισι ἔπαιον τοὺς Πέρσας.

Ὅ ἐστι, βακτηρία [q] ἀκροπαχής. [r] Ἀριστοφάνης·

Τὸ σκύταλον ἐξήνεγκα τὸ τοῦ Λαμίου.

Ἦν δὲ πένης, ἀπὸ ξυλοφορίας ζῶν· διὸ καὶ βακτηρίαν ἐξενέγκασ(α) αὐτοῦ φησιν εἶναι. Κωμῳδεῖται γὰρ ὡς
D [s] δεσμοφύλαξ.

Τουτέστιν [t] ἐκείνην τῶν σκυταλῶν, ὃν πέρδεται.

Ἀντὶ τοῦ, ὧν φέρει. Ἢ ἴσως ὑπὸ τοῦ βάρους ἐπέρδετο.

A Σκύτινος: Κοίτη ἢ δέρμα. [u] Ἀριστοφάνης Νεφέλαις·

Ἀμαξίδας τε σκυτίνας εἰργάζετο.

Τουτέστι, δερματίνας ἁμάξας ἐποίει.

[x] Ἐπὶ τῇ κεφαλῇ [y] κράνη σκύτινα, οἷά περ [z] τὰ Παφλαγονικά, κρώβυλον ἔχοντα κατὰ μέσον ἐγγυτάτω τιαροειδῆ.

Σκυτὶς, σκυτίδος.

B Σκυτοδέψης: Δερματομαλάκτης. Καὶ βυρσοδέψης. Ὅτι Κλέων ὁ Ἀθηναῖος, ὁ Κλεαινέτου, στρατηγὸς, μανιώδης ἀνὴρ, βυρσοδέψου παῖς.

Σκῦτος: Πᾶν δέρμα. Ἀφ' οὗ καὶ σκυτεύς.

Ὁ δὲ εἰς τὸ κράνος φέρει τὸ δόρυ, οὐ μέντοι διεῖλέ γε, [b] περιολισθείσης τῆς αἰχμῆς περὶ τὸ σκῦτος.

Σκυτοτόμος: Σκυτεὺς, λωροτόμος. [c] Ἀριστοφάνης·

C Καὶ δῆτα [d] πάντας σκυτοτόμοις ᾐκάζομεν.
. . . . . . . ἀλλ' ὑπερφυῶς
ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ ἐκκλησία.

Περὶ τῶν γυναικῶν λέγει, ὅτι ἦσαν λευκαί. Ἐπειδὴ [e] οἱ σκυτοτόμοι ἐν σκιᾷ καθεζόμενοι ἐργάζονται, καὶ εἰσὶν ἐσκιατραφημένοι, τοῦτο εἴρηκε.

Σκύφος: Ποτήριον.

Καὶ [f] σκύφον Ἡρακλέους προπιόντος, ἀπνευστὶ πιὼν ἔσχε κακῶς.

D Προπιόντος ἀντὶ τοῦ [g] προτιμῶντος.

Σμάραγδος: Θηλυκῶς λέγει. Ἔστι δὲ εἶδος λίθου πολυτίμου.

Ἔλεγχος δὲ βεβαιότητος τῆς [h] θεοσεβείας Πολυκράτους τοῦ

[i] ἀλλείως] ἄλλως Photius.

[k] μβ΄.] Notæ hæ numerorum desunt in Lexico Photii ms. et recte quidem, ut puto. KUST. Exstant, ni fallor, in ms. Galeano. Certe nihil hujusmodi deesse significavit Dobræus. Agnoscit etiam Schol. Aristoph.

ΣΚΥΤΑΛΙΔΕΣ: Πυροβ.] Miror, unde hæc Suidas sumpserit. Forsan ex Titulo Collectaneorum Constantini Porphyrogenneti, qui περὶ Ἐκφράσεως inscribebatur, et variarum rerum descriptiones, ex veteribus scriptoribus excerptas, continebat. Tituli autem hujus meminit Suidas supra v. Σάμβυκες. KUST.

[l] ἀκροθιγῆ] ἀκροκριβῆ A. Reddunt lectionem vulgatam, *adeo acuta, ut ea vix summo digito quis auderet attingere.* Agnosco sane ἀκροθιγῶς ἅπτεσθαι valere *summis digitis tangere*; non concesserim tamen ἀκροθιγῆ recte *acuta* verti. Equidem in scriptura codicis A. latere arbitror ἀκροβριθῆ, h. e. *gravia, ponderosa in extrema parte.* Simile genus instrumenti describit Herodianus VIII. 4. Ἀλλὰ μὴν καὶ ταῖς μηχαναῖς προσαγομέναις δᾷδας ἐπέβαλλον, ὁμοίως πίσσῃ καὶ ῥητίνῃ δεδευμένας ἐπί τε τῷ ἄκρῳ βελῶν ἀκίδας ἐχούσας· αἳ ἀναφθεῖσαι φερόμεναι, ἐμπαγεῖσαι ταῖς μηχαναῖς καὶ προσπεφυκυῖαι, ῥᾳδίως αὐτὰς κατέφλεγον.

[m] στυππεῖον] στύππιον A.V. Supra διείληπτο A.V. pro διείληπται.

[n] αὐτῶν] τῶν αὐτῶν A.E.M. τὸν αὐτὸν B.V.

[o] κατακέχυτο] κατεκέχυτο A.V. Tum ἡ μὲν ἀ. ἀνάπτοντες V.

[p] ἐμπηγνυμένων] πηγνυμένων A.V.E.

ΣΚΥΤΑΛΙ' ἘΦΟΡΟΥΝ] Aristoph. Av. 1283.

[pp] Ἡρόδοτος—Πέρσας delevit Kusterus. Mox ταῖς σκυτάλῃσιν E. edd. vett. sed τοῖς σκυτάλοισιν A.B.V. Herodoti locus est III. 137. Vid. Gataker. A. M. P. p. 910 B.

[q] ἀκροπαχὴς] ἀκροπαχὺς Reinesius.

[r] Ἀριστοφάνης] Eccles. 76. Ἔγωγέ τοι τὸ σκύταλον ἐξηνεγκάμην, Τὸ τοῦ Λαμίου τουτὶ καθεύδοντος λάθρᾳ. Τοῦτ' ἔστ' ἐκείνων τῶν σκυτάλων, ὧν πέρδεται. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[s] δεσμοφύλαξ] θεσμοφύλαξ V.

[t] ἐκεῖνο] ἐκείνων A.B.V.E.M.

ΣΚΥΤΙΝΟΣ: Δερμάτινος. Σκῦτος, τὸ δέρμα] Σκύτινος (σκύτιος V.) κοίτη ἢ δέρμα A.B.V. σκῦτος τὸ δέρμα om. E. Addidi mox Νεφέλαις cum A.B. In versu δὲ V. pro τε.
E
[u] Ἀριστοφάνης] Nub. 878.

[x] Ἐπὶ τῇ κεφ.] Hæc sunt verba Xenophontis. lib. V. Ἀναβ. p. 352. Vide etiam supra v. Κρώβυλος, ubi idem fragmentum legitur. KUST. V. 4, 13.

[y] κράνη σκύτινα] Plut. in Artax. c. 10. scribit Cares ἀλεκτρύονας a Persis appellatos fuisse διὰ τοὺς λόφους, οἷς κοσμοῦσι τὰ κράνη. REINES.

[z] τὰ Παφλαγονικὰ] τὰ om. A.V. Sed cum vulg. consentiunt in v. Κρώβυλος.
F
ΣΚΥΤΙΣ] Statim delevi ΣΚΥΤΟΔΕΨΗΣ: Ἀττικοί· ΒΥΡΣΟΔΕΨΗΣ δὲ, Ἀσιανοί cum A.V. quæ invecta sunt ex p. 786 A.

[a] Δερματομαλάκτης] δερματολάκτης A. Post βυρσοδέψης V. inserit Ἀσιανοί.

[b] περιολισθείσης οἱ τῆς αἰχμῆς ἐπὶ τὸ ξίφος] Hæc ἀπροσδιόνυσα sunt, et nihil huc faciunt. Neque enim vox primaria comparet. Interpres autem, homo fidissimus, nihil mali suspicatus est. Ita enim vertit, *Quod cuspis ejus in gladium incidisset.* Atqui gladio nullus hic locus. Rescribendum omnino: περιολισθείσης οἱ τῆς αἰχμῆς ἐπὶ τὸ ΣΚΥΤΟΣ. *Ille vero hasta galeam ferit; non tamen eam trajecit, quia cuspis corium superlapsus est,* i. e. corium galeæ. Hæc mens scriptoris est. Quod ex Suida manifestum. TOUP. περὶ τὸ σκῦτος A.V. οἱ om. A.B.V.
G
[c] Ἀριστοφάνης] Eccles. 385. Καὶ δῆτα πάντες σκυτοτόμοις ᾐκάζομεν, Ὁρῶντες αὐτούς. Οὐ γὰρ ἀλλ' ὑπερφυῶς Ὡς λευκοπληθὴς ἦν ἰδεῖν ἡ ἐκκλησία. KUST.
H
[d] πάντα] πάντας A.

[e] γὰρ οἱ] γὰρ om. A.V.E. Mox ἐνεσκιατραφημένοι V.

[f] σκύφον] σκύφ' V. γε post προπιόντος om. A.V.E.

[g] προτιμῶντος] Vid. v. Προπίνει. TOUP.

[h] θεοσεβείας] εὐτυχίας conj. Chevræus Opp. Miscell. p. 420. Vid. Act. Eruditor. a. 1697. p. 238.

A Σαμίου [i] ἡ τῆς σμαράγδου τῆς ἐμβληθείσης εἰς τὸ πέλαγος εὕρεσις, καὶ [k] θηραθεὶς ὁ ἰχθὺς ὁ ταύτην καταπιών.

Καὶ [l] ΣΜΑΡΑΓΔΙΟΝ, μέταλλον γῆς.

ΣΜΕΡΔΑΛΕΟΝ: Καταπληκτικόν.

ΣΜΕΡΔΙΣ: Ὄνομα κύριον.

ΣΜΗΓΜΑ: Καθαρτικὸν, τὸ ἀποσμῆχον.

ΣΜΗΚΙΘΗΣ: Ὄνομα κύριον. Διεβέβλητο δὲ ὡς γυναικώδης τὸν τρόπον. Τὸ δὲ πλῆρες, [m] ΣΜΗΚΙΘΗΣ ΚΥΡΙΟΣ· [n] ὥσπερ ἐν ταῖς εἰσαγωγαῖς τῶν ἐγκλημάτων B κηρύττειν εἰώθασιν, ἐπειδὰν γυναικὶ ἐπιφέρηται ἔγκλημα. Οὕτω γὰρ [o] προσκαλεῖσθαι εἰώθασιν ἐν τῷ δικαστηρίῳ· [oo] Ἡ δεῖνα, καὶ ὁ κύριος· τουτέστιν, ὁ ἀνήρ. Ἅμα [p] οὖν ὡς γυναικώδη τὸν Σμήκυθον κωμῳδεῖ, καὶ ἔχοντα κύριον, ὡς αἱ θήλειαι. Εἴρηται οὖν ἐπὶ τῶν [q] γυναικωδῶν. Ἦν δὲ Θρακῶν βασιλεὺς [[r] ὁ Σμήκυθος,] κίναιδος. Κύριον δὲ, ὡς εἴρηται, τὸν ἄνδρα λέγει. Οὕτω γὰρ [s] ἀπεγράφοντο ἐν τοῖς δικαστηρίοις· C Ἀσπασία καὶ κύριος.

ΣΜΗΝΗ: Τὰ τῶν μελισσῶν πλήθη.

[t] Ἐς Κόλχους ἐμβαλόντες, οὐδὲν ὅ τι καὶ ἐθαύμασαν. Τὰ δὲ σμήνη πολλὰ ἦν αὐτόθι, καὶ τῶν κηρίων ὅσοι ἔφαγον τῶν στρατιωτῶν, πάντες ἄφρονές τε ἐγένοντο, καὶ ἤμουν, καὶ ἔκειντο πολλοὶ, καὶ τῇ ὑστεραίᾳ ἀνίσταντο ὥσπερ ἐκ [u] φαρμακοποσίας.

[x] Σμήνεος [y] ἔκ με ταμὼν γλυκερὸν θέρος [z] ἀντινομαίων
γηραιὸς [a] Κλειτῶν σπεῖσε μελισσοπόνος.

ΣΜΗΝΟΣ: Πλῆθος [b] μελισσῶν· οἱονεὶ, ἐσμός. Ἰδίως δὲ [c] σμῆνος καλεῖται τὸ σύστημα τῶν μελισσῶν. Ὁμηρικῶς οὖν κέχρηται τῇ τροπῇ. [d] Φησὶ γὰρ περὶ τοῦ Νέστορος,

Τοῦ καὶ ἀπὸ γλώσσης μέλιτος γλυκίων ῥέεν αὐδή.

Καὶ ἡ δοτικὴ, τῷ σμήνει. Καὶ ΣΜΗΝΟΥΡΓΕΙΝ, ῥῆμα.

ΣΜΗΞΙΣ: Τρίψις. Ἐκ τοῦ σμήχω. Καὶ ΣΜΗΞΑΙ, καθᾶραι.

ΣΜΗΡΙΝΘΟΙ: Σπάρτα, σχοινία [dd] λεπτά.

ΣΜΙΚΡΟΛΟΓΟΣ: [e] Ὁ φειδωλός.

Πολλάκις κατ' οἶκον [f] ἑστιῶντα ἡμᾶς ἀπολλύειν ἔτι πεινῶντας.

ΣΜΙΚΥΘΙΩΝ: Ὄνομα κύριον.

ΣΜΙΛΑΞ: [g] Βοτάνη.

ΣΜΙΛΕΥΜΑΤΑ: [h] Τὰ ἐκβαλλόμενα ὑπὸ σμίλης. Ἀντὶ τοῦ διαγλύμματα, ἐρεθίσματα.

C

Σμιλεύματά τ' ἔργων
φωτὸς ἀμυνομένου.

ΣΜΙΛΗ: Ἐργαλεῖον. [i] Ἐν Ἐπιγράμμασι·

[k] Καὶ σμίλαν δονάκων ἀκραβελῶν γλυφίδα.

Μακρὸν τὸ ι. Καὶ ΣΜΙΛΗΣ ὈΛΚΟΙ. Ἀντὶ τοῦ γραφείου. Τὰ σημεῖα τῶν γραμμάτων.

[l] Ἄγε δὴ πινάκων ξεστῶν [m] δέλτοι,
δέξασθε σμίλης ὁλκούς.

D Καὶ [n] ΣΜΙΛΙΟΝ.

[i] ἡ τῆς σμαράγδου τ.] Historiam prolixe narrat Herodotus lib. III. c. 41. 42. KUST.

[k] θηρευθεὶς] θηραθεὶς A.V.E.

[l] ΣΜΑΡΑΓΔΙΟΝ] Σμαράγδειον A.

ΣΜΕΡΔΑΛΕΟΝ] Il. β. 309.

ΣΜΕΡΔΗΣ] Σμερδίης Θρᾷξ ὑπὸ Ἑλλήνων—Σαμίῳ. Max. Tyr. XXVI. cf. Ælian. V. H. IX. 4. REINES. Σμέρδ' A. i. e. Σμέρδις. E

ΣΜΗΓΜΑ] Plutarch. Demetr. p. 901. TOUP. Deest gl. A.

ΣΜΗΚΙΘΗΣ: Ὄνομα κ.] Aristoph. Equit. 965. Χρυσοῦ διάξεις Σμικύθην καὶ κύριον. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

ib. ΣΜΗΚΙΘΗΣ—κύριον om. A. Σμηκύθης V. Σμηκήθης E.

[m] ΣΜΗΚΙΘΟΥ ΚΥΡΙΟΣ] Scribe, Σμηκίθης καὶ κύριος. KUST. Σμηκίθης B. Σμηκύθης A.V. F

[n] ὅπερ] ὥσπερ A.B.V.E. Schol.

[o] προσκαλεῖσθαι] προκαλεῖσθαι Schol.

[oo] Ἡ δεῖνα] ἢ ὁ δεῖνα A.E. εἰ ὁ δ. V.

[p] οὖν] γοῦν V. Tum Σμήκυθον A.V. Σμικύθην Schol. Dein κωμῳδῶν V.

[q] γυναικωδῶν] γυναικῶν E.M.

[r] ὁ Σμήκιθος om. A.B.V. Tum κίναιδος om. E.

[s] ἀπεγράφοντο] Scholiasta Aristophanis rectius, ἐπεγράφοντο. KUST.

[t] Ἐς Κόλχους ἐμβαλόντες, κτλ.] Fragmentum hoc legitur apud Xenophontem lib. IV. Ἀναβ. sub finem: ut Pearsonius etiam observaverat. KUST. IV. 8, 20. G

[u] φαρμακοποσίας] φαρμ͂κ͂σίας A.

[x] Σμήνεος ἔκ με τ.] Distichum hoc decerptum est ex Epigrammate Apollonidæ, [Anthol. Pal. VI. 239.] Pro ἀντινομαίων autem in codice ms. Epigrammatum legitur ἀμφινομαίων. At neutra lectio sana est. Scribendum enim puto, Ἀντινομαίου, vel Ἀμφινομαίου: ut sit nomen H viri, cujus erant apum alvearia, et cujus jussu Cliton favos Deo libabat. Vel dicendum est, Ἀμφινόμαιος esse epithetum Dei alicujus (Panis forsan) cui favos Cliton libabat. Sed tunc scribendum foret casu tertio, Ἀμφινομαίῳ. Posterius autem timide affirmo, quoniam tale epithetum nusquam mihi lectum memini: quamvis non ignorem Panem vocari Νόμιον, ejusque mentionem fieri apud Pausaniam in Arcadicis. Deinde pro Κλειτὸς in Anthologia ms. legitur Κλείτων, quod magis placet. Ceterum, hexameter distichi hujus in prioribus editt. corruptissime sic legitur, Σμήνεος ἦμες γλυκερὸν ταμὼν θέρος, &c. cujus veram lectionem nunc primum ex ms. A. et codice ms. Epigrammatum revocavimus. KUST. Rescribendum sine dubio, Σμήνεος ἔκ με ταμὼν γλυκερὸν θέρος, ἀντὶ νομαίων Γηραιὸς Κλείτων σπεῖσε μελισσοπόνος. Ἀντὶ νομαίων loco victimarum. Nempe Clito nec hœdum, nec hinnulum, sed quod habuit, deo offerebat. Suidas: Νομαία. Ἡ ἐκ τῆς νομῆς. Ἐν Ἐπιγράμματι· Καὶ σοὶ ἐπιρρέξει Γόργος χιμάρου νομαίης Αἷμα. TOUP.

[y] ἔκ με] ἔμε B.E. ἔκ τε V. pro ἔκ με.

[z] ἀντινομαίων] ἀντινομίων V. ἀμφινομίων ms. Pal. pr. ἀμφινομαίων corr.

F [a] Κλειτὸς] Κλειτῶν A.V.

ΣΜΗΝΟΣ] Deest gl. A.

[b] μελισσῶν] τῶν μελισσῶν B.V.E. Schol.

[c] σμῆνος καλεῖται τὸ σ.] Ex Enarratore Comici ad Nub. 296. KUST.

[d] Φησὶ καὶ] φησὶ γὰρ B.V.E.

ΣΜΗΡΙΝΘΟΣ: Σπάρτον, σχοινίον λεπτόν] Σμήρινθοι: σπάρτα, σχοινία λεπτὰ A.V.

ΣΜΙΚΡΟΛΟΓΟΣ] Huc pertinet quod legitur in Τραγήματα. HEMST. G

[e] Οἷον] ὁ A.V.

[f] ἑστιῶντα] ἔστιν ἰστας E. Mox πεινῶν V.

ΣΜΗΚΥΘΙΩΝ] Σμικυθίων A.V.E. Photius.

[g] Βοτάνη] μι' A.

ΣΜΙΛΕΥΜΑΤΑ: Τὰ ἐκβ.] Ex Schol. Aristoph. Ran. 835. KUST.

[h] Τὰ ἐκβαλλόμενα] τὰ om. A.V.E. Tum ἐμβ. A. ἀπὸ V. pro ὑπό.

[k] Καὶ σμίλαν] Anthol. Pal. VI. 62.

H [l] Ἄγε δὴ πινάκων ξεστ.] Aristoph. Thesmoph. 785. (Schol. 779. ed. Bekker.)

[m] δέλτοι om. A.

[n] ΣΜΙΛΙΟΝ] Leg. σμιλίον, Scalpellus. Epigr. Callimachi p. 358. οὔπω σμιλίου ἔργον ἰδὼν. Ita leg. Vid. et Wessel. Probabil. Clemens in Protrept. σμίλη Εὐκλείδου apud Bentleium. Lucian. in Gallo. Vide et Ernest. et

Σμινθην: Σκαφεῖον, ἢ δίκελλαν, ἢ ἀξίνην.

'Ο δ' ὀρύττειν ἐκέλευε [nn] σμινύαις ὑπὸ λαμπρᾷ τῇ σελήνῃ.

Καὶ αὖθις·

[o] Τοῦτ' αὐτὸ [p] γὰρ καὶ βούλομαι
ἵν' ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας.

Ἀντὶ τοῦ, [q] εἰ μὴ κλασθῇ.

Σμώδιγγες: Μώλωπες. Καὶ [r] σμῶδιξ, μώλωψ, τὸ ἐκ πληγῶν οἴδημα.

Σμώχετε: Ἀντὶ τοῦ [s] μασᾶσθε. [t] Ἀριστοφάνης· B

Ἀνδρικῶς [u] ἐμβάλλετον,
καὶ σμώχετ' ἀμφοῖν ταῖν γνάθοιν.
Οὐδὲν γάρ, ὦ πόνηροι,
λευκῶν ὀδόντων ἔργον ἐστίν,
ἢν μή τι καὶ μασῶνται.

Σμώχειν: Τὸ λοιδορεῖν. Ἀπὸ τοῦ καθάπτεσθαι τῶν σμωμένων.

Σμοιός: Ὄνομα κύριον. Αἰσχροποιὸς εἰς γυναῖκας. C

[x] Σμοιὸς δ' ἐν αὐταῖς ἱππικὴν στολὴν ἔχων,
τὰ τῶν γυναικῶν διακαθαίρει τρύβλια.

Σμυγεράν:

Σμύξαι: Καῦσαι.

Σμύραινα: [y] Ἰχθύς.

Σμύρνα: [z] Ὁ τάφος τοῦ Χριστοῦ, [a] ἡ ἐνταφίασις· νεκροῖς γὰρ αὕτη διαφερόντως προσφέρεται.

Σμυχόμενος: Καιόμενος, ἀναλισκόμενος.

Σοβάδες: Διάκουσαι πόρναι.

Σοβαρὰ αὔρα: Σεσοβημένη, [b] εὔκρατος.

[c] Ἐν ὅσῳ θεόθεν σοβαρὰ
κατέχει πολέμου μετάτροπος αὔρα.

A Καὶ σοβαρὸν ἄγαλμα, τῇ πλάσει καὶ τῇ τέχνῃ σοβαρόν.

Σοβαρός: [d] Ὁ ὑπερήφανος. Τοὺς γὰρ Συβαρίτας φασὶ πλούτῳ καὶ τρυφῇ ὑπερέχειν. Ἐκ [e] τοῦ Συβαρίτου οὖν, ὁ σοβαρός.

Σοβαρός: Λαμπρὸς, ἐπαιρόμενος, τολμηρὸς, αὐθάδης, ἔξω τοῦ δέοντος φερόμενος. [f] Αἰλιανός·

Ἐθαύμαζόν τε αὐτοὺς σεμνῶς τε καὶ σοβαρῶς.

[g] Καὶ αὖθις·

Καὶ ἐτιμᾶτο τιμαῖς [h] τῆς ἐς ἀνθρώπους αἰδοῦς τε σοβαρωτέραις.

Σοβαρός: Ἀπὸ τῆς τῶν Συβαριτῶν ἀρχῆς μετήχθη τὸ ὄνομα· οἱ δέ φασιν παρὰ τὸ σέβας· ἄλλοι δὲ ἀπὸ τοῦ σοβεῖν, ὅπερ ἐστὶ μετὰ σεμνότητος προϊέναι. Αἰλιανός·

Ἀναθήμασι σοβαροῖς ἐκόσμησε τὸν νεών.

Σοβαρός:

Τοιοῦτον ἀναζωγραφῶ, ὡς εἰκὸς, κοὐκ ἄπο τρόπου, τὸν παραβλῶπα, καὶ φιλοκερδῆ, καὶ κερδαλέον, [i] βραδίστατον πρὸς τὰ κρείττονα· λιχνοδέστατον δὲ, πρὸς πανωλεθρίαν τῶν ἐντυγχανόντων ἐκβεβακχευμένον ὅτι μάλιστα. Ἀλλ' ἐξώλης καὶ προώλης προπηλακισθεὶς ἐς κόρακας ᾤχετο, κατάλληλα τἀπίχειρα τῆς βδελυρίας ὁ ἀποτρόπαιος καὶ οἷον ἀπεφρὰς [k] ἀπωσάμενος, ὃς ἀνάρσια δικάζων ἀδίκους πολλοὺς κατεδίκαζεν, οὔτε θεοὺς δεδοικὼς, οὔτ' ἀλέγων D Ἀδράστειαν, οὐδὲ Νέμεσιν ἐμπαζόμενος. Ἀλλὰ ταῦτα τεκμήρια ἐναργῆ τῆς [l] Ταρταρώδους καὶ Ταντάλειου αὐτοῦ τιμωρίας· ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὃς κακὰ πόλλ' ἀποτίσεται.

Σοβαρῶς: [m] Ἐκθύμως, σπουδαίως.

Σοβεῖ: Διώκει, κομπάζει. Ἐν Ἐπιγράμματι·

[n] Καὶ [o] πολὺ κιχλίζουσα σοβεῖς ἐς βόστρυχον αἴγλην.

---

E Kuhn. ad Pausan. p. 531. 532. σμιλίδες. Euagrius τὰ σμίχοντα. Ita leg. p. 364. TOUP. Σμιλίον A.B.V.E.

ΣΜΙΝΘΗΝ] Timæus p. 233. ubi vid. Ruhnkenius. Schol. Platon. p. 150.

[nn] σμινύαις] δικέλλαις addunt A.B.V.E. edd. ante Kusterum.

[o] Τοῦτ' αὐτὸ γὰρ κ.] Aristoph. Nub. 1501. KUST.

[p] γὰρ καὶ] γὰρ om. A.V.

[q] εἰ μὴ] εἰ om. A.

[r] ΣΜΩΔΙΞ] Il. β'. 267. Mox ἐκ πληγῶν V.

[s] μασσᾶσθε] μασᾶσθε A.V. et μασῶνται infra.

[t] Ἀριστοφάνης] In Pac. 1306. sed ubi pro σμώχετε legitur σμήχετε. Confer etiam Nostrum supra v. Ἀνδρικῶς. KUST.

[u] ἐμβάλλεσθε] ἐμβάλλετον A.B.V.E.

[x] Σμοιὸς δ' ἐν αὐτ.] Aristoph. Eccles. 841.

ΣΜΥΞΑΙ] Il. ι'. 649. Vid. Hemsterhus. Lucian. D. M. VI. 3.

[y] Ὄνομα ἰχθύος] ἰχθὺς A. εἶδος ἰχθύος V.

[z] Ἡ ἐνταφίασις. Ὁ τάφος τοῦ Χρ.] Inepta interpretatio. Etiamsi enim myrrha ad ἐνταφίασιν adhibeatur, non tamen ideo myrrham recte ἐνταφίασιν voces. KUST. Bene quidem Kusterus. Sed nunc quæritur quo in contextu veteres σμύρναν ita dixerint. Nimirum ad Cantic. IV. 6. πορεύσομαι ἐμαυτῷ πρὸς ὄρος τῆς σμύρνης, καὶ πρὸς βουνὸν τοῦ Λιβάνου. Ibi Theodoretus eam phrasin de morte oppetenda explicat, et addit, διὰ τῆς σμύρνης θάνατον παραδηλοῖ, διὰ δὲ τοῦ Λιβάνου τὴν θείαν φύσιν. Hæc deinde mystice ad Christum transferuntur. Cap. IV. 14. σμύρναν explicat τὴν νέκρωσιν τῶν παθῶν· νεκρῶν γὰρ ἴδιον ἡ σμύρνα. Ceterum pro ὁ τάφος τοῦ Χριστοῦ fortasse leg. apud Suidam est τὸ πάθος τοῦ Χριστοῦ. Nam manifeste Suidas descripsit Theodoretum ad Ps. XLIV. 10. ubi postquam alia verba ad Christum adplicavit, etiam myrrham mystice sic exponit: σμύρναν καλεῖ τὸ πάθος (sc. τοῦ Ἰησοῦ quod præcesserat) νεκροῖς γὰρ αὕτη διαφερόντως προσφέρεται. Nisi forte quis contendat in Theodoreto potius τάφος legendum pro πάθος. ERNEST.

ΣΜΥΡΝΑ] Sequentia habet A. in marg.: Σμύρνα εἶδός ἐστιν ἀρώματος, ὡς ἡ στακτή· ἀποθλιβέντος γὰρ τοῦ ἀρώματος, ὅσον μὲν αὐτοῦ ῥυτὸν ἀπομερίζεται εἰς τὴν στακτὴν, τὸ δὲ παχύτερον σμύρνα προσαγορεύεται. Et mox ibid. Σμύρνα καὶ στακτὴ καὶ κασσία. Σμύρνα διὰ τὴν ταφὴν, στακτὴ διὰ τὴν εἰς ᾅδου κάθοδον, ἐπειδὴ πᾶσα σταγὼν ἐπὶ τὰ κάτω φέρεται, κασσία δὲ διὰ τὴν τῆς σαρκὸς περὶ τὸ ξύλον οἰκονομίαν.

[a] Ἡ ἐνταφίασις ὁ τάφος τοῦ Χριστοῦ] ὁ τάφος τοῦ Χριστοῦ, F ἡ ἐνταφίασις A.V.

ΣΟΒΑΔΕΣ] Vid. Schol. Aristoph. Pac. 812. cf. notata ad Hesych. Statim delevi αἱ cum A.V.E.M. et Photio.

[b] εὔκρατος] ἄκρατος B.E.M.

[c] Ἐν ὅσῳ θεόθεν σοβαρὰ κατ.] Aristoph. Pac. 942. ὅσον B.E.M. pro ἐν ὅσῳ. Et mox κατεπολέμει pro κατέχει πολέμου. Tum ἄβρα M. In extr. addidi σοβαρὸν cum A.V.E.

[d] Ὁ ὑπερήφανος] ὁ om. E. ubi reliqua desunt. Vid. G Dorvill. ad Charit. p. 655=601.

[e] Ἐκ τοῦ Συβαρίτου οὖν, ὁ σοβ.] Est etymologia inepta et manifesto falsa. KUST.

ΣΟΒΑΡΟΣ] Vid. Διεῖρει. TOUP.

[f] Αἰλιανὸς—σοβαρῶς accedunt ex A.V.C.

[g] Καὶ αὖθις—σεμνότητος προϊέναι addita sunt ex V.C.

[h] τῆς ἐς ἀνθρώπους] ταῖς ἐξ ἀνθρώπων Valcken. ad Callim. p. 182. Mox Αἰλιανὸς—νεών om. A.

[i] βραδίστατον] βραδύτατον V.

H [k] ἀπωσάμενος] ἀπωσόμενος E.M.

[l] Ταρταρώδους] Ταραχώδους V. Tum Ταντάλου A.V.

ΣΟΒΑΡΩΣ] Schol. Aristoph. Pac. 82. Notavit Abreschius.

[m] Ἐκθύμως] Sic rectius mss. Paris. quam priores editt. quæ habent ἐκτίμως. KUST.

[n] Καὶ πολὺ κιχ.] Lego et distinguo, Καὶ πολὺ κιχλίζουσα

Σοβεῖν: Μετὰ σεμνότητος προϊέναι.

Σόβη: Ὄνομα θηλυκόν. Ἡ ἐξ ἱππείων τριχῶν περικεφαλαία.

Σόδομα καὶ Γόμορρα: Ὀνόματα πόλεων αἰσχρῶν [p]καὶ βεβήλων. Καὶ Σοδομηνὸς, ὁ πολίτης. Καὶ Σοδομίτης, ὁμοίως.

Σόεμος: Ὄνομα κύριον.

Σοκέλλιος: Ὄνομα ἀνδρὸς Ῥωμαίου.

Σολέα: Ὄνομα κύριον. [q]Τὸν Σολέα αἰτιατικῇ.

Σολέμνιον: Ἡ παρὰ βασιλέως ἀναφαίρετος δωρεὰ διδομένη ταῖς ἐκκλησίαις.

Σολὴν, Σολῆνος. Ποταμός.

Σολία: [r]Ὄνομα πόλεως.

Σολίεις: Ποταμός.

Σολομῶν, βασιλεὺς Ἱερουσαλὴμ, υἱὸς Δαβὶδ, ἐκ C τῆς Οὐρίου γυναικὸς Βηρσαβέε· ὅστις γυναῖκας ἐξ ἐθνῶν ἠγάγετο παρὰ τὴν ἐντολὴν τοῦ Θεοῦ. Αἱ δὲ ἦσαν αὐτῷ αἱ σύμπασαι, γαμεταὶ μὲν ἅμα ταῖς Ἰσραηλίτισιν, [s]ψ', παλλακαὶ δὲ τ'. Ἤδη δὲ προβεβηκὼς τὴν ἡλικίαν, ὑπὸ τῶν ἐθνικῶν γυναικῶν διεστρέφετο τὸν νοῦν πρὸς [t]εἰδωλολατρείαν. Ἐλάτρευσε γὰρ τῇ Ἀστάρτῃ, θεῷ [u]Σιδονίῳ, καὶ τῷ Χαμὼς, θεῷ Ἀμμανιτῶν. [x]Καὶ ἐκ τῶν χιλίων αὐτῷ γυναικῶν μόνος ἄρ- D σην ἐγένετο Ῥοβοὰμ [y]ὁ υἱὸς, καὶ αὐτὸς ἐξ ἀλλοφύλου Νααμᾶς τῆς Ἀμμανίτιδος, ἀνάξιος τῆς ἀρχῆς. [z]Οὐ γὰρ ἡ πολυγαμία τὴν εὐτεκνίαν ποιεῖ.

Σολομῶν, υἱὸς Δαβὶδ, βασιλεὺς Ἰουδαίων, φρονήσει καὶ δυνάμει καὶ πλούτῳ δυνατὸς καὶ περιφανὴς, δικάζων τε [a]τὸν λαὸν ἐν φρονήσει καὶ σοφίᾳ τοῦ κρείττονος οὐ [b]διέλειπεν, ἤσκει τε πᾶσαν σοφίαν θείας χάριτος γέμουσαν, καὶ τῆς διδασκαλίας ἀκροα- E τὰς [c]πλείστους ἐποιεῖτο. Ταῦτά τε καὶ τὰ τοιαῦτα A διαπραττόμενος, τῷ τῆς φύσεως εὐαλώτῳ [d]περὶ τὰς τοῦ σώματος ἡδονὰς ὑπαγόμενος, ἄγεται μὲν γυναῖκας χιλίας τὸν ἀριθμὸν, πείθεται δὲ ὑπ' αὐτῶν εἰδωλολάτρης γενέσθαι. Διὸ προσέταξεν ὁ Θεὸς μερισθῆναι τὴν αὐτοῦ βασιλείαν, οὐκ ἐπὶ τῶν χρόνων αὐτοῦ, διὰ μνήμην Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, ἀλλὰ μετὰ τὴν [e]ἑαυτοῦ τελευτήν.

Ὅτι "τοῖς κραταιοῖς," [f]ὥς φησι Σολομῶν, "ἰσχυρὰ B "ἐφίσταται ἔρευνα." [g]Τουτέστι, τοὺς ἐν ἀρετῇ [h]τελείους τὴν ἀκρίβειαν ἀπαιτεῖ· καὶ τοῖς ἄλλοις ἀνθρώποις μεγάλα παρανομοῦσι μακροθυμεῖ· τοῖς δὲ ἁγίοις ταύτης οὐ μεταδίδωσι τῆς [i]συγγνώμης. [k]Καὶ αὖθις ὁ Σολομῶν· "[l]Ὁ μὲν γὰρ ἐλάχιστος συγγνω- "στός ἐστιν ἐλέους· δυνατοὶ δὲ δυνατῶς ἐτασθή- "σονται."

[m]Κλίνεται δὲ Σολομῶν, Σολομῶντος, καὶ Σολο- C μῶντος· καὶ προπαροξυτόνως, Σολόμωνος, παρ' ἡμῖν. Ἡ δὲ παλαιὰ Σαλομῶντα καλεῖ, ὡς ἀπὸ τῆς Σαλὴμ πόλεως, ὅ ἐστιν εἰρήνη· ἐν γὰρ τοῖς χρόνοις αὐτοῦ εἰρήνη ἦν.

Σολομώντειος λόγος:

Σόλον: Δίσκον.

Σόλων, Ἐξηκεστίδου, Ἀθηναῖος, φιλόσοφος, νο- D μοθέτης, καὶ δημαγωγός. Γέγονε δὲ ἐπὶ τῆς μζ' Ὀλυμπιάδος, οἱ δὲ, νς'. Ἐπιβουλευθεὶς δ' ὑπὸ Πεισιστράτου τοῦ τυράννου, ἀπεδήμησεν ἐν Κιλικίᾳ, καὶ ἔκτισε πόλιν, ἣν Σόλους ἐκάλεσεν ἐξ αὐτοῦ. Οἱ δὲ καὶ τοὺς ἐν Κύπρῳ Σόλους ἐξ αὐτοῦ φασι, καὶ τελευτῆσαι αὐτὸν ἐν Κύπρῳ. Ἔγραψε νόμους Ἀθηναίοις, οἵτινες Ἄξονες ὠνομάσθησαν, διὰ τὸ γραφῆναι αὐτοὺς ἐν ξυλίνοις ἄξοσιν Ἀθήνησι· Ποίημα δι' ἐλεγείων, ὃ E Σαλαμὶς ἐπιγράφεται· [n]Ὑποθήκας δι' ἐλεγείων· καὶ ἄλλα. Ἔστι δὲ καὶ οὗτος εἷς τῶν ἑπτὰ ὀνομαζομένων

---

σοβεῖ. Ἐς βόστρυχον αἴγλην. Ultima autem verba videntur pertinere ad ea, quæ in Epigrammate sequebantur; hic vero a Suida prætermissa sunt: quæ ratio est, quare sensus eorum prorsus sit mutilus. KUST. Fallitur vir doctissimus. Scribendum, Καὶ πολὺ αἰχλίζουσα σοβεῖς εὐβόστρυχον αἴγλην. Ita enim legitur Anthol. VII. p. 606. F TOUP. Anthol. Pal. V. 251.

[o] πολὺ] πολλὰ V.E. Mox σοβεῖς A.V. pro σοβεῖ.

ΣΟΒΕΙΝ] Demosth. c. Mid. p. 565. extr. τρεῖς ἀκολούθους ἢ τέτταρας αὐτὸς ἔχων διὰ τῆς ἀγορᾶς σοβεῖ.

[p] καὶ βεβήλων] καὶ om. A.

ΣΟΕΜΟΣ] Σόαιμος ni fallor. Vid. Jamblich. ap. Phot. Bibl. p. 241.

ΣΟΚΕΛΛΙΟΣ] Σοκέλιος A.

[q] Ἡ εὐθεῖα ὁ Σολεύς] τὸν Σολέα αἰτιατικῇ A.V.

ΣΟΛΕΜΝΙΟΣ] Vide de hac voce Dufrenium in utro- G que Glossario. KUST.

ib. Σολέμνιον A.B.V. Σολήμνιον E. Mox βασιλεῖ V.

ΣΟΛΗΝ, Σολῆνος. Ὄνομα ποτ.] Sic in ms. A. locus hic legitur. At mss. B. et C. [et E.] itemque priores editt. sic habent: Σωλὴν, σωλῆνος. Τὸ σωληνάριον. Σωλῖνος δὲ, ὄνομα ποταμοῦ. Sed major est apud me auctoritas msti A. cujus lectioni etiam literarum series favet. KUST.

[r] Ὄνομα ποταμοῦ] πο A. Σολλὴν Σαλῖνος ποταμὸς V.

ΣΟΛΙΕΙΣ] Σολέεις B. Σολέεις V.

H [s] ψ'] τ' V.

[t] εἰδωλολατρείαν] εἰδωλολατρίαν V.

[u] Σιδονίῳ] Σαδωνίῳ B. σιδ V. Mox Ἀμμανιτῶν θεῷ Χαμώς. V. Vide supra p. 617 B.C.

[x] Καὶ ἐκ] ἐκ om. B.V.E. Mox ἄρσεν A.V.

[y] ὁ υἱὸς] ὁ om. A. Tum ἀλλοφύλων V. Mox Νααμμᾶς A.V.

[z] ἡ γὰρ πολυγαμία τὴν ἀτεκνίαν] οὐ γὰρ ἡ π. τὴν εὐτεκνίαν A.B.V.E. Et sic supra p. 617 C.

ΣΟΛΟΜΩΝ, υἱὸς Δαβὶδ, βασ.——ἀλλὰ μετὰ τὴν ἑαυτοῦ τελευτήν] Hæc omnia sunt verba Joannis Antiocheni, quæ leguntur in Collectaneis Constantini a Valesio editis, p. 781. KUST.

[a] τὸν λαὸν] τῷ λαῷ Excerpt. qui mox om. φρονήσει καί.

[b] διέλιπεν] διέλειπεν A.V. Excerpt.

[c] πλείστους] πλείστους τῆς ἰδίας Excerpt.

[d] περὶ] παρὰ V.

[e] ἑαυτοῦ] αὐτοῦ V.

[f] ὥς φησι Σολομῶν] Sapient. VI. 8. KUST.

[g] Τουτέστι——συγγνώμης om. V.

[h] τελείους] τελεία E.

[i] συγγνώμης] γνώμης A.B.E.

[k] Καὶ αὖθις ὁ Σολομῶν] Sap. VI. 6. KUST. ὁ Σολομῶν om. V.

[l] Ὁ μὲν γὰρ] γὰρ om. A.B.E. Mox ἐλέους om. V. qui sic pergit; δυνατῶς δὲ δυνατῶς αἰτασθήσονται, τουτέστιν οἱ ἐνάρετοι, ceteris omissis. Idem codex post Σόλων, Σολομῶν Σολομῶντος· Σολόμων δὲ Σολόμωνος παρ' ἡμῖν. Ὅτι ἡ παλαιὰ τὸν Σολομῶντα Σαλαμῶντα καλεῖ, ἀπὸ τῆς Σαλὴμ π. ὅπερ ε. ε. ε. γ. τ. χ. α. ε. η.

[m] Κλίνεται δὲ Σολομῶν Σολομῶντος] Σολομῶν οὖν Σολομῶντος κλίνεται A. Qui habet ἡ δὲ παλαιὰ—εἰρήνη ἦν in marg.

H ΣΟΛΟΝ: Δίσκον] Ex Scholiasta Homeri ad Il. ψ'. 826. KUST. Καὶ Σόλος ἑ. β. om. A. Vide infra.

ΣΟΛΩΝ] Plura de hoc Laërtius: quem vide. KUST. Vide Schol. Platon. p. 193.

[n] Ὑποθήκας δὲ ἐλεγείας] Scribe, ὑποθήκας δι' ἐλεγείων. KUST. Sic V. δι' ἐλεγείας Schol. Platon.

Σοφῶν. Καὶ φέρεται αὐτοῦ ἀπόφθεγμα τόδε, "Μηδὲν ἄγαν," ἢ τὸ "Γνῶθι σαυτόν." A

Σόλων: [o]Τοῦτον εἵλοντο οἱ [p]Κιρραίοις πολεμεῖν ᾑρημένοι σύμβουλον. Χρωμένοις δὲ σφίσι περὶ νίκης, ἀνεῖπεν ἡ Πυθὼ,

> [q]Οὐ πρὶν τῆσδε [r]πόληος ἐρείψετε πύργον ἑλόντες,
> πρὶν κεν ἐμῷ τεμένει [s]κυανώπιδος Ἀμφιτρίτης
> κῦμα ποτικλύζῃ, κελαδοῦν ἐπὶ οἴνοπα πόντον.

Ἔπεισεν οὖν ὁ Σόλων καθιερῶσαι τῷ θεῷ τὴν Κιρραίαν, B ἵνα δὴ τῷ τεμένει τοῦ Ἀπόλλωνος γένηται γείτων ἡ θάλασσα. Εὑρέθη δὲ καὶ ἕτερον τῷ Σόλωνι σόφισμα [t]εἰς τοὺς Κιρραίους· τοῦ γὰρ [u]ποταμοῦ τὸ ὕδωρ ῥέον δι' ὀχετοῦ εἰς τὴν πόλιν ἀπέστρεψεν ἀλλαχόσε. Καὶ οἱ μὲν πρὸς τοὺς πολιορκοῦντας ἔτι ἀντεῖχον, ἔκ τε φρεάτων, καὶ τὸ ὕδωρ τὸ ἐκ θεοῦ πίνοντες. Ὁ δὲ τοῦ ἑλλεβόρου τὰς ῥίζας ἐμβαλὼν εἰς τὸν ποταμὸν, ἐπειδὴ ἱκανῶς τοῦ φαρμάκου τὸ ὕδωρ ᾔσθετο ἔχον, [x]ἀντέστρεψεν αὖθις εἰς τὸν ὀχετὸν, καὶ [y]ἐνεφορήσαντο ἀνέδην οἱ Κιρραῖοι τοῦ ὕδατος. [z]Καὶ οἱ μὲν ὑπὸ τῆς διαρροίας ἐξέλιπον· οἱ δὲ ἐπὶ τοῦ τείχους τῆς φρουρᾶς Ἀμφικτύονες εἷλον τὴν φρουρὰν, καὶ τὴν πόλιν. C

Σόλος: Ὄνομα βουνοῦ.

Σόλων: Ὅτι Σόλων ὁ νομοθέτης Ἀθηναίων, φίλων ἡττώμενος ὀφειλόντων, χρεῶν εἰσηγήσατο ἀποκοπάς.

Σολπίκιος, Ὕπατος, Ῥοῦφος ἐπίκλησιν, ἀνὴρ ἦν ἔν τε ταῖς πολεμικαῖς πράξεσιν ἐπιφανὴς, καὶ πολιτείας προαίρεσιν ἐζηλωκὼς τὴν διὰ μέσου. D

Σόλοι, [a]Σικελίας πόλις, καὶ Κύπρου· ἀφ' ὧν ὁ σολοικισμός· [b]βαρβαρίζοντες κατὰ τὴν ἰδίαν γλῶσσαν. Σόλων δὲ ταύτην κτίζει· ἀφ' οὗ τὴν ἐπωνυμίαν [c]ἴσχει. Ἢ σολοικισμὸς, ὁ τοῦ [d]σόου λόγου αἰκισμός. Σόος γὰρ καὶ διὰ τοῦ ο μικροῦ. Ἔνθεν καὶ [e]λαοσσόος, ἡ τὸν λαὸν σώζουσα.

Σόλοικος: Ὄνομα κύριον.

[Σολοικοφανές: [f]Χωρίον τὸ δοκοῦν μὲν μετέχειν σολοικισμοῦ, μὴ μετέχον δέ.]

Σόλυμα: Πόλις.

Σολυμᾶς: Ὄνομα κύριον.

Σόλυμοι: Ὄνομα ἔθνους.

[Σομφώδες: Τὸ χαῦνον.]

Σόραιχος:

> [g]Ἄρτι [h]δὲ ἀπηρκότος τοῦ Σοραίχου, ἡ Σινωνὶς ἐφίσταται.

Σορός: Μνῆμα, θήκη.

> [i]Ὦ οὗτος, τυφεδανὲ καὶ χοιρόθλιψ,
> [k]ποθεῖς ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.

Καὶ σοροπηγός. [l]Ἀριστοφάνης·

> [m]Ἢ τοῖς σοροπηγοῖς τὴν μανίαν αὐτοῦ φράσω;

Τοῖς τὰς σοροὺς τῶν ἀποθνησκόντων ποιοῦσι. Τοῦτ' ἔστιν, ἄλλην ἴασιν οὐχ ἕξει ἢ τὸν θάνατον· καὶ δέον αὐτῷ πρὸς τὴν ταφὴν τὰ ἐπιτήδεια [n]κατασκευάζειν.

Σοσσιανὸς καὶ Σόσσιος: Ὀνόματα κύρια.

Σοῦ: Ἀριστοφάνης [o]Σφηξί·

> Ποῦ, ποῦ 'στι μοῦ τὸ δίκτυον;
> σοῦ, σοῦ, πάλιν σοῦ.

Ἐπὶ ὀρνέων. Καὶ αὖθις [p]Ἀριστοφάνης·

> [[q]Ἀγάθων,] σοφοῦ πρὸς ἀνδρὸς, ὅς τις ἐν βραχεῖ
> πολλοὺς καλῶς οἷός τε συντεμεῖν λόγους.
> Ἐγὼ δὲ καινῇ ξυμφορᾷ πεπληγμένος,
> ἱκέτης ἀφῖγμαι πρὸς σέ.

[o] Τοῦτον εἵλοντο οἱ Κιρραίοις πολ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Pausaniæ in Phocicis, p. 684. ut Pearsonius etiam observaverat. KUST. X. 37. E

[p] Κιρραίοις] Κίρροις A. κιρραίρεις V. Mox ἡρημένοις V.

[r] πόλεος ἐρρίψετε] πόληος ἐρείψετε A.V. Pausan.

[s] κυανώπιδος] κυανοπέδου V. Mox ποτικλύζῃ Pausan.

[t] εἰς τοὺς Κιρραίους] Clistheni Sicyonio hoc factum tribuit Polyæn. III. 5. Frontin. Strateg. III. 7. non facta mentione Solonis consilii. Vid. Meurs. de Solone c. 8. REINES. F

[u] ποταμοῦ] Πλείστου Pausan. (et sic mox) qui addit σφισιν post ὀχετοῦ.

[x] ἀντέστρεψεν] ἀπέστρεψεν Pausan.

[y] ἐνεφορήθησαν] ἐνεφορήσαντο B. Pausan. ἐνεφορήσαντο V. γὰρ addit Pausan.

[z] Καὶ οἱ μὲν ὑπὸ τῆς διαρρ.] Apud Pausaniam locus hic rectius ita legitur, καὶ οἱ μὲν ὑπὸ ἀπαύστου τῆς διαρροίας ἐξέλιπον οἱ ἐπὶ τοῦ τείχους τὴν φρουράν. KUST.

[a] Σικελίας] Κιλικίας. v. Meursii Cypr. p. 68. HEMST. Κιλικίας item Reinesius, citans Laërt. in Solon. 1, 2. Adde Albert. Obs. Misc. IX. p. 155. Menag. Diog. Laërt. I. 51. Photius vitiosum tenet Σικελίας, qui præterea πόλεις—βαρβαρίζοντες. Et sic Lex. Seg. G

[b] βαρβαρίζονται] βαρβαρίζοντες A.V.

[c] ἴσχε] ἴσχει A.B. ἔχει V.

[d] σόου] σόου B.V. Mox γὰρ om. A. γὰρ καὶ om. V. Σόος etc. iterat A. post Σόλυμοι, et B. post Σομφώδες.

[e] ΛΑΟΣΟΟΣ] Λαοσσόος A. Il. ν'. 128. et al. Post hunc art. delevi ΣΟΛΟΙΚΙΣΜΟΣ: Ὅτι βαρβαρισμός ἐστιν ἡ τῶν κακιῶν λέξις, παρὰ τὸ ἔθος τῶν εὐδαιμονούντων Ἑλλήνων. ΣΟΛΟΙΚΙΣΜΟΣ δέ ἐστι λόγος ἀκαταλλήλως συντεταγμένος· ὡς τὸ, Ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσε, cum A.V. Habet tamen A. in marg. Leguntur supra p. 712 B. Ad postrema Kusterus: "Ἐγὼ περιπατῶν ὁ τοῖχος ἔπεσε] Non recte Suidas "exemplum hoc tanquam σόλοικον affert. Haud raro H "enim apud scriptores Atticos, et præcipue eos, qui "κακοστομίαν in stilo affectant, nominativus pro genitivo "absoluto, ut vocant, positus reperitur. Sophocles "Œdip. Tyran. 101. Ὡς τόδ' αἷμα χειμάζον πόλιν. Ubi "Triclinius: Τὸ χειμάζον Ἀττικῶς τέθειται, ἀντὶ τοῦ χειμάζοντος. Agathias lib. I. p. 27. Ὡς ῥᾴδιον ἓν μεταβολῇ "γίνεσθαι τῶν παρόντων. Pro, ῥᾳδίου ὄντος. Plura exempla "occurrunt apud Ælianum, Philostratum, et alios Atticistas."

ΣΟΛΟΙΚΟΦΑΝΕΣ] Deest gl. A.B.V.E.

[f] Χωρίον] Sc. auctoris, qua significatione utitur v. χωρίον Theodor. Serm. IX. REINES. Adde Herodot. II. 117. ubi multa Valckenærius.

ΣΟΛΥΜΑΣ] Σολυμᾶς A.E.B. suprasc.

ΣΟΜΦΩΔΕΣ] Confer Hesychium v. Σομφώδεις, et v. Σομφόν. KUST. Michael Psell. apud Fabric. Bibl. Gr. V. p. 162. χώρα σομφὴ καὶ ὕπαντρος. Hippocr. Ep. p. 193. TOUP. Σομφάδες A. ubi gl. in marg. om. V.

[g] Ἄρτι δὲ ἀπηρκότος τοῦ Σορ.] Fragmentum hoc legitur etiam supra v. Σίνωνις: ubi monuimus id ex Jamblicho depromptum esse. KUST.

[h] δὲ ἀπηρκότος] οὖν ἀπειρηκότος V. Mox Σινωνὶς A. Σινωρρὶς B. Σινωρὶς V.E.

[i] Ὦ οὗτος, τυφ.] Aristoph. Vesp. 1355. sed ubi rectius legitur χοιρόθλιψ [sic A.B.V.E.]: uti etiam apud ipsum Suidam infra v. Χοιρόθλιψ. KUST.

[k] ποθεῖν] ποθεῖς A.B.V.E.

[l] Ἀριστοφάνης] Nub. 844.

[m] Ἢ τοῖς] τοῖς om. A.

[n] παρασκευάζειν] κατασκευάζειν A.B.V. Schol.

[o] Σφηξὶ] Ver. 208.

[p] Ἀριστοφάνης] Thesmoph. 184. Ceterum exemplum hoc nihil ad rem facit. KUST.

[q] Ἀγάθων om. A.V.E.M. Mox συντεμεῖν pro συντέμνειν A.B.V.E.M.

Σουβαρμάχιος: Οὗτος τῶν δορυφόρων ἦν ἡγεμὼν, [r]πιστότατος τῷ εὐνούχῳ Εὐτροπίῳ, εἴπερ τις ἄλλος. Ἔπινε δὲ [s]πλείονα οἶνον ἢ ὅσον ἠδύνατο χωρεῖν· ἀλλ' ὅμως τὰ περὶ γαστέρα διὰ [t]συνήθειαν οὕτω καὶ γυμνασίαν ἰσχυρὰν καὶ νεανικὴν πάντα [u]φέρειν ἐπὶ τὴν φυσικὴν τῶν ὑγρῶν ἔκκρισιν. Ἀεὶ γοῦν ἦν, πεπωκώς τε καὶ οὐ [x]πεπωκὼς, μεθύων· τὴν δὲ μέθην παρεκάλυπτε [y]σφαλερὸν διαβαίνων τοῖς ποσὶ, καὶ πρὸς τὴν πτῶσιν πολεμῶν ὑφ' ἡλικίας διὰ νεότητα καὶ συνιστάμενος. Ἦν δὲ βασιλικοῦ μὲν γένους, Κόλχος ἀκριβὴς τῶν ὑπὲρ Φάσιν καὶ Θερμώδοντα, τοξότης ἄριστος, εἴγε μὴ κατετόξευεν αὐτὸν τὸ περιττὸν τῆς [z]τρυφῆς.

Σούκινοι καὶ ἐλεφάντινοι [a]δάκτυλοι ταῖς γυναιξὶν εἰσὶ σύμφοροι.

Σοῦ γ' οὕνεκα: Τοῦτο λέγειν εἰώθασιν οἱ ναῦται τῷ ἐπιβάτῃ. Ἀριστοφάνης [b]Βατράχοις.

Σουναμῖτις γυνή:

[Σούνιον:
Καὶ ἐν ἰδῷ τῇ ἐκ Πειραιῶς εἰς Σούνιον [c]φυγούσῃ.]

Σούπερβος: Παρὰ Ῥωμαίοις ὁ ὑπερήφανος. [d]Οὕτως ἐκλήθη Ταρκύνιος Σούπερβος, ἕβδομος καὶ ἔσχατος [e]Ῥωμαίων βασιλεύς· ὃς πᾶσαν [f]μετεκίνησε τὴν ἀρχὴν ἐπὶ τὸ αὐθαδέστερον, καὶ βαρυτέραν τὴν πολιτείαν [g]ἀπέφηνεν, οἷα δὴ ἐκ τοιούτων παρελθὼν [h]ἐπὶ τὴν ἡγεμονίαν δραμάτων· τούς τε νόμους μεταθεὶς, καὶ ἄρχοντας παρὰ τὸ σύνηθες προβαλλόμενος, καὶ δι' αὐτῶν τὸν δῆμον αἰκιζόμενος, δεσμά τε καὶ μάστιγας, [i]κλειοὺς ξυλίνους καὶ σιδηροῦς, πέδας, ἀλύσεις, μέταλλα, ἐξορίας ἐφευρών· ὑπερόπτης τε, καὶ [j]ἀλαζών. Ὅθεν καὶ τὴν ἐπωνυμίαν ἔσχε.—Λέγεται οὖν ὁ ἀλαζὼν, [k]ὡς σοῦπερ εἶναι τῶν ἄλλων θέλων· σοῦπερ γὰρ, τὸ ἐπάνω δηλοῖ.

Σουπηριανὸς, σοφιστὴς, τὸ γένος Ἴσαυρος, τῆς [l]Λαχάρου διατριβῆς. Ἐγένετο δὲ οὗτος ὁ Σουπηριανὸς ὀψιμαθὴς μὲν ἱκανῶς, καὶ τὴν φύσιν ὑπονωθέστερος, οὕτω δὲ ἐπίπονος καὶ σπουδαῖος, ὥστε πλειόνων ἢ λ' ἐτῶν ἀρξάμενον ἀναγινώσκειν τὰ τῶν ῥητόρων βιβλία, καὶ ἁπλῶς φάναι, λόγοις ἐλευθέροις προσέχειν τὴν διάνοιαν, ἑαυτὸν ἀπαιτεῖν πρὸς ἀνάγκης, οὐδὲ ἐπιτιμήσεων [m]οὐδὲ μαστίγων φειδόμενον, ἐκμανθάνειν ἐν τῷ τηλικούτῳ τῆς ἡλικίας, ἅπερ οἱ ἄλλοι πάντες ἐν τῇ νεότητι ἀπαιτοῦνται παῖδες ἔτι ὄντες ὑπὸ παιδαγωγῶν τε καὶ διδασκάλων. Ἀλλ' ὅγε Σουπηριανὸς αὐτὸς ὑφ' ἑαυτοῦ μεμαστιγωμένος ἑωρᾶτο πολλάκις ἐν τοῖς βαλανείοις. Οὔκουν οὐδὲ διήμαρτεν [n]ἐλπίδος· ἀλλὰ μικρὸν ὕστερον ἐν ταῖς λιπαραῖς καὶ ἀοιδίμοις Ἀθήναις ἀνηγορεύετο σοφιστὴς, οὐ πάνυ τῆς [o]Λαχάρου δόξης ἀπολειπόμενος. Οἶδα γὰρ καὶ Λαχάρην γεγονότα σοφιστὴν ἐξ ἐπιμελείας τὸ πλέον ἢ φύσεως· [p]ἐνέτυχον γὰρ αὐτοῦ λόγοις· καί μοι ἔδοξεν ἀπὸ τοῦ λόγου εἰκάζοντί μοι τὴν πρώτην, ἐπιμελὴς μὲν εἶναι σφόδρα, τὴν δὲ φύσιν [q]ἀγεννέστερος. Εἶδον δὲ καὶ εἰκόνα τοῦ ἀνδρὸς, ἄντικρυς [r]ἀπαγγέλλουσαν οἷος ἦν Λαχάρης τὴν φύσιν· ὅτι βραδύτερος μὲν πρὸς τοὺς λόγους, καλὸς δὲ καὶ ἀγαθὸς τὴν ὄψιν πρὸς ἀρετὴν, φιλόσοφος ἄξιος καλεῖσθαι μᾶλλον, ἢ σοφιστής. [s]Ἐπεὶ καὶ ἄλλως θεοφιλὴς [t]ἀνὴρ ἦν ὁ Λαχάρης, ὅσγε τὰς ὄψεις ἀποβαλὼν, πάλιν ἀνεκτήσατο.

Σουρήνας:

Σουσιανή: [u]Τόπος. Καὶ [x]σούσινον, τὸ μύρον. Ἢ [y]τὸ κρίνον.

ΣΟΥΒΑΡΜΑΧΙΟΣ: Οὗτος τῶν δορυφ.] Hæc ex Eunapio sumpta esse puto. KUST. Fr. 41. ed. Boissonad.

[r] πιστότατος om. V. qui mox om. ἔπινε—συνιστάμενος.

[s] οἶνον πλείονα] πλείονα οἶνον A.E.

[t] τὴν συνήθειαν] τὴν om. A.B.E.

[u] φέρειν] Locus non integer. BOISSONAD.

[x] πεπωκὼς bis A. pro πεπωκώς. Idem om. μεθύων.

[y] σφαλερὸν διαβαίνων] Potius addita negatione scribendum est, οὐ σφαλερὸν διαβαίνων: ut Portus etiam conjiciebat. KUST. Non probo. HEMST. Nihil verius Porti emendatione. Athenæus lib. IV. p. 179. Τότε γὰρ ὀρθός ἐστι τῷ ὄντι Διόνυσος καὶ ΟΥ ΣΦΑΛΕΡΟΣ, ὅταν συμμέτρως καὶ κεκραμένως πίνεται. Confer etiam Suidam v. Ἀπηνέστερον. Supra autem scribe, ἀεὶ γοῦν πεπωκώς τε καὶ οὐ πεπωκὼς, μεθύων. *Drink or not drink, always drunk.* Quod rarum et pervenustum est. TOUP. Negativam addidit Boissonad. qui διὰ νεότητα mox deleverit tanquam glossema.

[z] τρυφῆς] μέθης· ἦν γὰρ τρυφητὴς καὶ πίνων πλείονα ἢ φέρειν ἠδύνατο V.

ΣΟΥΚΙΝΟΙ καὶ ἐλεφάντινοι δάκτ.] Hæc sunt verba Artemidori lib. II. c. 5. ut Pearsonius recte observaverat. KUST.

[a] δάκτυλοι ταῖς] δακτύλιοι V. Hunc art. habet A. in marg.

[b] Βατράχοις] Ver. 191. εἰώθασιν V. Schol. pro εἰώθεσαν.

ΣΟΥΝΑΜΙΤΙΣ] Gl. A. in marg. ubi Σουναμῆτις. Σουμανῖτις B.

[c] φυγούσῃ] Leg. ἀγούσῃ. Recte hæc absunt a ms. Leid. descripta ex Schol. in Lys. Aristoph. 809. ubi sic legitur. Recte em. Toup. VALCK. φερούσῃ Albert. Observ. Misc. t. IX. p. 155. Sed deest hic art. A. et fortasse deleri debet, utpote ex p. 507 C. interpolatus.

[d] Οὕτως ἐκλήθη Ταρκύνιος Σουπ.] Hæc sunt verba Joannis Antiocheni, quæ leguntur in Collectaneis Constantini a Valesio editis, p. 786. KUST.

[e] βασιλεὺς Ῥωμαίων] Ῥωμαίων βασιλεὺς A.

[f] μετεκίνησε] In Collectaneis Constantini modo laudatis legitur, μετεκαίνισε. KUST.

[g] ἀπέφηνεν] ἀναπέφηνεν A. ἐναπέφηνε E. Mox τῶν τοιούτων V.

[h] ἐπὶ] εἰς Excerpt.

[i] ξυλινοὺς κλειούς] κλειοὺς ξυλινοὺς A.V.

[j] ἀλαζών] ἀλαζὼν V. qui mox om. Καί.

[k] ὡς σοῦπερ] καὶ σοῦπερ A.E. Ambigua est lectio cod. V.

ΣΟΥΠΗΡΙΑΝΟΣ, σοφιστὴς, τὸ γ.] Totum hunc articulum deprompsit Suidas ex Damascio, ut discimus ex Photio, apud quem in Excerptis ex Damascio, p. 1045. nonnulla eorum, quæ Suidas hic habet, αὐτολεξεὶ quoque leguntur. Sic enim ibi de Superiano: Ὅτι Σουπηριανὸς, τριάκοντα ἐτῶν τῶν ῥητορικῶν ἀρξάμενος, καίτοι τὴν φύσιν ὑπονωθέστερος ὢν, ὅμως δι' ὑπερβολὴν φιλοπονίας ὕστερον ἐν ταῖς λιπαραῖς καὶ ἀοιδίμοις Ἀθήναις ἀνηγορεύετο σοφιστὴς, οὐ πάνυ τῆς Λαχάρου δόξης ἀπολειπόμενος. KUST. Scriptum ejus in Μητροφάνη ἔκγονον Λαχάρους meminit Suidas. HEMST.

[l] Λαχάρους] Λαχάρου V.

[m] οὐ] οὐδὲ A.V. Mox καὶ ante ἐκμανθάνειν om. A.B.V.E.

[n] ἐλπίδος] τῆς ἐλπίδος V.

[o] Λαχάρους] Λαχάρου V.E.

[p] ἐνέτυχον] ἐνέτυχε V.

[q] ἀγεννέστερος] ἀγενέστερος A.

[r] ἀπαγγέλλουσαν] ἀπαγγέλουσαν A. ἀπαγγέλλουσαν V. Mox Λαχάρους A.

[s] Ἐπεὶ καὶ] ἐπεὶ om. V. qui mox διὸ καὶ pro ὅς γε.

[t] ἀνὴρ ἦν] ἦν ἀνὴρ V.

[u] ὄνομα τόπου] τόπος A.

[x] ΣΟΥΣΙΝΟΝ, τὸ μύρον] Athenæus lib. XV. p. 689. inter varia unguentorum genera etiam σούσινον recenset, idque

Σούσιοι: Ὄνομα ἔθνους.

Τὸν νεκρὸν καύσαντες οἱ Σούσιοι, τὰ ὀστᾶ κομίζουσι τῷ πατρὶ Τιθωνῷ.

Σουφείρ: Χώρα ἐν Ἰνδίᾳ.

Σοφάκλας: Ὄνομα κύριον.

Σοφία: [z]Ὅτι ἀπὸ τοῦ πλευροῦ τῆς ἁγίας Σοφίας στῆλαι ἀφῃρέθησαν Ἑλληνικαὶ υκζ' θεῶν Ἑλληνικῶν, καὶ Κάρου πατρῴου Διοκλητιανοῦ, καὶ τῶν ιβ' ζῳδίων· βασιλέων δὲ Χριστιανῶν στῆλαι π', ἃς Ἰουστινιανὸς μερίσας τῇ πόλει, τὸν μέγαν ναὸν ᾠκοδόμησε.

Σοφία μωροῦ: Ἀδιεξόδευτοι λόγοι.

Σοφίαν: [a]Κοινῶς ἁπάντων μάθησιν, καὶ τὴν τέχνην, [b]καὶ τὴν φρόνησιν, καὶ ἐπιστήμην, ἢ τὸν νοῦν. Ἅπαξ ἐχρήσατο [c]Ὅμηρος σοφίᾳ, οὐ, καθάπερ νῦν, τὴν διὰ λόγου καὶ πραγμάτων ἐπισκευὴν [d]λέγων τοῦ ἤθους, ἀλλὰ τὴν [e]τεκτονικὴν τέχνην.

Εὖ εἰδῇ σοφίης.

Σοφία: Καὶ [f]σοφὸς, ὁ ταύτην ἐπαγγελλόμενος, ὃς ἂν εἴη κατὰ ἀκρότητα ψυχῆς ἀπηκριβωμένος, φιλόσοφος δὲ, ὁ σοφίαν ἀσπαζόμενος.

Σοφία, καὶ ἡ εὐγλωττία, καὶ ἡ τῶν θείων ἐπίγνωσις.

[g]Σοφίαν Πλάτων ἡγεῖται, [h]ἰδιαίτατα μὲν, τὴν τῶν νοητῶν καὶ ὄντως ὄντων ἐπιστήμην· ἥν [i]φησι περὶ Θεὸν, καὶ ψυχὴν [k]σώματος κεχωρισμένην. Ἰδίᾳ δὲ σοφίαν καὶ τὴν φιλοσοφίαν καλεῖ, ὄρεξιν οὖσαν τῆς θείας φιλοσοφίας. Κοινῶς δὲ λέγεται παρ' αὐτῷ σοφία καὶ ἡ πᾶσα ἐμπειρία· οἷον, ὅταν σοφὸν λέγῃ τὸν δημιουργόν.

Σοφιστεία:

Σοφιστής: Ἀπατεών. Παρὰ τὸ σοφίζεσθαι, ὅ ἐστι λόγοις ἀπατᾶν. [l]Λέγεται δὲ σοφιστὴς καὶ ὁ διδάσκαλος, ὡς σοφίζων. Τὸ δὲ παλαιὸν σοφιστὴς ὁ σοφὸς ἐκαλεῖτο.

[m]Ὀδύναις τε καὶ νόσοις γενέσθαι σοφιστὴν ἄκρον.

Καὶ [n]Ἀριστοφάνης λέγει, σοφίζῃ, ἀντὶ τοῦ τεχνάζῃ. [o]Σοφίας γὰρ καὶ σοφίσματα τὰς τέχνας ἔλεγον.

Σοφιστής: [p]Πᾶς τεχνίτης. Καὶ ὁ τὸ λεκτικὸν ἠσκηκώς· καὶ ὁ ἐπηρεάζων ἑκὼν ἐν τοῖς λόγοις.

Σοφιστής:

[q]Κομιεῖ τοῦτον σοφιστὴν δεξιόν.

Οὕτως ἔλεγον πάντας τοὺς πεπαιδευμένους. [r]Οἱ δὲ παλαιοὶ σοφίαν ἔλεγον καὶ σοφιστὰς, τοὺς περὶ μουσικήν· καὶ Φιλόστρατος ὁ Λήμνιος·

Σοφοὶ μὲν [s]ἡμεῖς, ἀλλ' οὐ [t]πάντα σοφισταί.

Ἀριστοφάνης Νεφέλαις·

[u]Πλείστους ὀτιὴ βόσκουσι σοφιστάς.

[x]Τοὺς [y]μετεωρολέσχας νῦν λέγει, καταχρηστικῶς δὲ καὶ πάντας τοὺς ἀπὸ τῶν μαθημάτων ὁρμωμένους. Καὶ θαυμαστὸν οὐδὲν, ὅπου μηδὲ τοὺς [z]αὐλητὰς προσαγορεύειν ὤκνησεν οὕτω. Πλάτων γοῦν ὁ [a]κωμῳδιοποιὸς ἐν δράματι Σοφισταῖς καὶ τὸν Ὀπούντιον [b]ποιητὴν Βακχυλίδην εἰς τοὔνομα κατέταξε τῶν σοφιστῶν. Σοφισταὶ δὲ πάντες, ὅσοι πεπαιδευμένοι. Καταχρηστικῶς δὲ Ἀριστοφάνης ἐπὶ πάσης τέχνης ἔλαβε τὸ [c]τῶν σοφιστῶν ὄνομα.

Σοφοκλῆς, [d]Σοφίλου, Κολωνῆθεν, Ἀθηναῖος, τρα-

ἐκ κρίνων, i. e. ex *liliis* confectum esse ait. Σούσινον autem deductum est a nomine Hebraico שושנה, *Susanah*, quod *lilium* significat. Hesychius: Σούσινον, τὸ ἐκ κρίνου μύρον. KUST. σουσῖν A.

[y] τὸ κρίνον] Athenæus lib. XII. p. 513. Κληθῆναι δὲ τὰ Σοῦσα φησὶν Ἀριστόβουλος, διὰ τὴν ὡραιότητα τοῦ τόπου. Σοῦσον γὰρ εἶναι τῇ Ἑλλήνων φωνῇ τὸ κρίνον. KUST.

ΣΟΥΦΕΙΣ] Intelligit eam regionem, quæ in Veteri Testam. Ophir appellatur. Quare scribendum potius erat, Ὀφείρ, vel Ὠφείρ, idque suo loco ponendum. Hesychius eandem regionem Σουφείρ vocat. KUST. Σουφείρ A.B.V.E. Conf. Jablonski Voc. Ægypt. Opusc. t. I. p. 337.

[z] ὍΤΙ ἀπὸ τοῦ πλευροῦ τῆς ἁγ.] Idem narrat Anonymus de Antiq. CPolit. a Lambecio editus, num. 175. his verbis: Ἐν τῇ μεγάλῃ Ἐκκλησίᾳ, τῇ νῦν ὀνομαζομένῃ Ἁγίᾳ Σοφίᾳ, στῆλαι ἀφῃρέθησαν υκζ'. αἱ πλεῖαι μὲν Ἑλλήνων ὑπάρχουσαι· αἵ τινες ἐκ τῶν παλλῶν ὑπῆρχον, τοῦ τε Ζεῦ καὶ τοῦ Διὸς, καὶ Κάρου τοῦ πατρικοῦ Διοκλητιανοῦ, καὶ τὰ δωδεκαζώδια, &c. Et paulo post: Ἐκ δὲ τῶν Χριστιανῶν εἰκ ὀλίγαι μὲν, ὡσεὶ ὀγδοήκοντα, &c. Confer etiam Codinum de Orig. CPolit. num. XV. KUST.

[a] Κοινῶς—φρόνησιν om. V. κοινὸν ἅπαν τὴν Lex. Seg.

[b] καὶ τὴν] καὶ om. A.E. Mox ἢ ante τὸν νοῦν om. A. V.

[c] Ὅμηρος] Il. ό. 412. KUST.

[d] λέγων om. A.V.

[e] τεκτονικὴν τέχνην] Pausan. Eliac. II. p. 181. τὰ ἀγάλματα τοῦ Φειδίου σοφίᾳ. REINES.

[f] ΣΟΦΟΣ, ὁ ταύτην ἐπαγγ.——ἀσπαζόμενος] Hæc sunt verba Laërtii in Proœmio, num. XII. KUST.

[g] ΣΟΦΙΑΝ Πλάτων ἡγεῖται κ.] Et hæc leguntur apud modo laudatum Laërtium in Platone, num. LXIII. KUST.

[h] ἰδιαίτατα] ἰδιώτατα V.

[i] φησι περὶ θεὸν] περὶ θεὸν φησιν A.

[k] σώματος] σώματι A. Post hunc artic. delevi ΣΟΦΙΖΩ: λόγοις ἀπατῶ. Αἰτιατικῇ cum A.V. Verbis λόγοις ἀπατῶ carent B.E.

ΣΟΦΙΣΤΕΙΑ] Extat apud Synesium. REINES.

ΣΟΦΙΣΤΗΣ] Sophistæ appellati sunt οἱ τὴν καλουμένην σοφίαν καὶ δραστήριον σύνεσιν—δικανικαῖς μίξαντες τέχναις, καὶ μεταγαγόντες ἀπὸ τῶν πράξεων τὴν ἄσκησιν ἐπὶ τοὺς λόγους. Plut. in Themist. c. 2. Etiam Herodotus sophistam vocavit Solonem I. 29. Pythagoram, septem sapientes sophistas vocat Androtion, et Socratem illum summum sophistam. cf. Aristid. Or. 2. Platon. t. III. p. 513. REINES.

[l] Λέγεται δὲ] δὲ om. V.

[m] Ὀδύναις τε καὶ νόσοις] Hoc fragmentum auctius legitur v. Ἰάχην. Ad quem locum consulendus Kusterus. TOUP.

[n] Ἀριστοφάνης] Equit. 299.

[o] ΣΟΦΙΑΣ] σοφία A.

[p] Πᾶς τεχνίτης] Vid. Menag. Diog. Laërt. Proœm. 12. p. 9.

[q] Κομιεῖ τοῦτον σοφ.] Aristoph. Nub. 1109. Ἀμέλει, κομιεῖ τοῦτον σοφιστὴν δεξιόν. KUST.

[r] Οἱ δὲ παλαιοὶ—σοφισταὶ om. B.E.

[s] ἡμεῖς] ὑμεῖς A.

[t] πάντα] πάντες V.

[u] ὀτιὴ πλείστους αὗται] πλείστους ὀτιὴ vel ὅτι ἡ A.V.E.M.

[x] Τοὺς μετεωρολέσχους λέγει ν.] Schol. Aristoph. Nub. 330.

[y] μετεωρολέσχους] μετεωρολέσχας A.E. Schol. Tum νῦν λέγει A. pro λέγει νῦν.

[z] αὐλητὰς] ἀθλητὰς V.

[a] κωμῳδοποιὸς] κωμῳδιοποιὸς A.

[b] ποιητὴν] αὐλητὴν Schol.

[c] τῶν σοφιστῶν] τὸν σοφιστὴν A. Mox delevi ΣΟΦΙΣΤΗΣ ἐστιν, ὁ δυνάμενος ἀπὸ φαινομένης σοφίας χρηματίζεσθαι. Καὶ ζήτει ἐν τῷ ΔΥΝΑΜΙΣ cum A.V. Habet tamen A. in marg.

[d] ΣΟΦΙΛΟΥ] Σοφίλου A.

Ὅτι [x] Ἀπολλώνιος ἐς σωφροσύνην [y] ὑπερβάλλετο τοῦ Σοφοκλέους. Ὁ μὲν γὰρ λυττῶντα ἔφη καὶ ἄγριον δεσπότην ἀποφυγεῖν, ἐλθόντα ἐς γῆρας· ὁ δὲ Ἀπολλώνιος ὁ Τυανεὺς ὑπ' ἀρετῆς τε καὶ σωφροσύνης οὐδ' ἐν μειρακίῳ ἡττήθη τούτου, ἀλλὰ καὶ νέος ὢν, [z] καὶ τὸ σῶμα ἐρρωμένος, ἐκράτει τε καὶ λυττῶντος [a] ἐδέσποζεν. Ἀλλ' ὅμως συκοφαντοῦσί τινες ἐπ' ἀφροδισίοις αὐτὸν, ὡς διαμαρτίᾳ ἐρωτικῇ χρησάμενον, καὶ διὰ τοῦτο ἀπενιαυτίσαντα ἐς τὸ Σκυθῶν ἔθνος· οὔκουν οὐδὲ Εὐφράτης ποτὲ ἐσυκοφάντησεν ἐπ' ἀφροδισίοις τὸν ἄνδρα, καίτοι ψευδῆ [b] γράμματα κατ' αὐτοῦ ξυνθείς. Διεφέρετο γὰρ πρὸς τὸν Ἀπολλώνιον, ἐπειδὴ πάνθ' ὑπὲρ χρημάτων αὐτὸν πράττοντα ἔσκωπτεν οὗτος, καὶ ἀπῆγε τοῦ χρηματίζεσθαι καὶ τὴν σοφίαν καπηλεύειν.

**Σοφοκλῆς**, Ἀθηναῖος, τραγικὸς, καὶ λυρικὸς, [c] ἀπόγονος τοῦ παλαιοῦ. Γέγονε δὲ μετὰ τὴν Πλειάδα, [d] ἤτοι μετὰ τοὺς ζ' τραγικοὺς, οἵτινες ὠνομάσθησαν [e] Πλειάς. Δράματα αὐτοῦ ιε'.

**Σοφονίας**: Ὄνομα κύριον.

**Σοφός**: Ὁ θηρεπῳδός. Δαβίδ·

> Φαρμακοῦται φαρμακευομένη [f] παρὰ σοφοῦ.

Ὡς τὸ,

> Σοφοί εἰσι τοῦ κακοποιῆσαι.

Καὶ,

> Ποῦ σοφός; ποῦ γραμματεύς;

Οὐ γὰρ τοὺς ὡς ἀληθεῖς σοφοὺς ὀνομάζει, ἀλλὰ τοὺς τισιν εἶναι δοκοῦντας.

[**Σοφός**:]

> [g] Σοφὸς Σοφοκλῆς· σοφώτερος δ' Εὐριπίδης,
> ἀνδρῶν δὲ πάντων Σωκράτης [h] σοφώτατος.

**Σοφώτατε**: Ἀντὶ τοῦ κλεπτίστατε. Καὶ τοὺς κλέπτας γὰρ σοφοὺς ἔλεγον.

**Σοφοὶ τύραννοι** [i] **τῶν σοφῶν συνουσίᾳ**:

**Σῶι**: Μονοσυλλάβως, οἱ σῶοι· καὶ παρὰ [k] Θουκυδίδῃ. Οἱ δὲ συνηθέστερον γράφουσι, σῶοι. Καὶ σῶν, μονοσυλλάβως, ἀντὶ τοῦ, [l] σωζόμενον, ὁλόκληρον.

> [m] Ὁλόκληρόν τε καὶ σῶν καὶ ἀρτεμῆ ἐργασάμενον.

**Σωβάλ**:

**Σωγάνη**: Ὄνομα πόλεως.

**Σῶζω**: Αἰτιατικῇ.

**Σωκλῆς**: Ὄνομα κύριον.

**Σωκράτης**, Σωφρονίσκου, [n] λιθοξόου, καὶ μητρὸς Φαιναρέτης, μαίας· πρότερον γενόμενος λιθοξόος, ὥστε καὶ [o] φασὶν αὐτοῦ ἔργον εἶναι τὰς Ἀθήνησιν ἐνδεδυμένας Χάριτας· εἶτα φιλοσοφήσας, διὰ τὸ ἀκοῦσαι Ἀναξαγόρου τοῦ Κλαζομενίου, εἶτα [p] Δάμωνος, εἶτα Ἀρχελάου. Ἀριστόξενος δὲ Ἀρχελάου [q] πρῶτον αὐτὸν διακοῦσαι λέγει· γεγονέναι δὲ αὐτοῦ καὶ παιδικὰ, σφοδρότατόν τε περὶ τὰ ἀφροδίσια, ἀλλὰ ἀδικήματος χωρὶς, ὡς Πορφύριος ἐν τῇ Φιλοσόφῳ Ἱστορίᾳ φησίν. Ἐς δὲ ἄνδρας ἐλθὼν ἐστρατεύσατο εἴς τε Ἀμφίπολιν, καὶ Ποτίδαιαν, καὶ ἐπὶ Δηλίῳ. Καὶ γαμεταῖς δὲ συνῴκησε δύο, Ξανθίππῃ· ἀφ' ἧς [r] ἔσχεν υἱὸν Λαμπροκλέα· καὶ δευτέρᾳ Μυρτοῖ, τῇ Ἀριστείδου τοῦ δικαίου θυγατρί· ἐξ ἧς ἐγένετο Σωφρονίσκος, καὶ Μενέδημος, ἢ Μενέξενος, [s] ὥς τισι δοκεῖ. Καὶ ἐπὶ μὲν τῶν Πελοποννησιακῶν γέγονεν, ὡς τύπῳ εἰπεῖν, ὀλυμπιάδι οζ', ἐβίω δὲ ἔτη π', εἶτα ἀλογίᾳ μᾶλλον δὲ ἀπονοίᾳ τῶν Ἀθηναίων βιασθεὶς πιεῖν κώνειον, ἀπέθανε, ἔγγραφον [t] οὐδὲν καταλιπὼν, ἢ, ὥς τινες βούλονται,

[x] Ἀπολλώνιος ἐς σωφροσύνην ὑπερβ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Philostrati in Vit. Apollon. lib. I. c. 10. KUST.

[y] ὑπερεβάλλετο] ὑπερεβάλετο A.

[z] καὶ τὸ σῶμα ἐρρωμένος om. V.

[a] ἐδέσποζεν] ἐσπούδαζεν E. suprascripto ἐδέσποζεν. Idem mox Εὐφράντης.

[b] γράμματα] δράματα V.

ΣΟΦΟΚΛΗΣ, ἈΘΗΝΑΙΟΣ] Hunc artic. habet A. in marg.

[c] ἀπόγονος τοῦ παλαιοῦ om. A. qui δὲ om. post γέγονε.

[d] ἤτοι μετὰ—Πλειάς om. V.

[e] Πλειάς] καὶ Πλειάς A.B.E.

ΣΟΦΟΣ: Ὁ θηρεπῳδ.] Ex Theodoreto ad Psalm. LVII. 5. p. 618. KUST. Theodoretus: σοφὸν ἐνταῦθα καταχρηστικῶς τὸν θηρεπῳδὸν προσηγόρευσεν. qui locus, paucis immutatis, descriptus est. Verba illa σοφοί εἰσι τοῦ κακοποιῆσαι sunt Jeremiæ IV. 22. Ultima ποῦ σοφὸς etc. respiciunt ad 1 Cor. I. 20. ERNEST.

ΣΟΦΟΣ: Θηρεπῳδός] Verte, *incantator serpentum*. Sic voc. σοφίας utitur pro incantatione, Heliod. Æthiop. II. σοφίαν τινὰ καὶ ἴυγγα κίνησον ἐπ' αὐτὴν Αἰγυπτίαν. REINES.

[f] παρὰ σοφοῦ om. B.V.E. Mox ὡς ante ἀληθεῖς accessit ex A.V.

[ΣΟΦΟΣ] om. A.E.

[g] Σοφὸς Σοφοκλ.] Est oraculum Pythiæ, quod refertur a Scholiasta Aristoph. ad Nub. 144. unde id Suidas mutuatus est. KUST.

[h] σοφώτατος] σοφώτερος A.B.V.E.M. Statim delevi ΣΟΦΩΝ, Σόφωνος. Ὄνομα ὄρους cum A.V. Ad eam gl. sic Toupius: " De monte Sophone mihi hactenus incomperta omnia. Rescribendum puto, ὄνομα μαγείρου. Nimirum una syllaba alteram absorpsit: hæc prima mali labes. Sophon est nomen *coqui*. Ejus meminit Athenæus: meminit et Anthippus Comicus apud Athenæum lib. IX. p. 403."

ΣΟΦΩΤΑΤΕ] Σοφώτερε V.

ΣΟΦΟΙ ΤΥΡΑΝΝ.] Senarius hic est Sophoclis, ex fabula, quæ Αἴας Λοκρὸς inscribebatur, depromptus, ut testatur Zenobius Cent. V. 98. Cum Zenobio facit Aristides Orat. Platonica II. tom. III. p. 477. cujus verba hæc sunt: Οὐδέ γε Εὐριπίδου φήσομεν, οἶμαι, τὸ ἰαμβεῖον εἶναι, τὸ, Σοφοὶ τύραννοι τῶν σοφῶν συνουσίᾳ, οὐδ' εἴ τις οὕτω τῶν σοφῶν εἴρηκεν· ἔστι γὰρ ἐξ Αἴαντος Σοφοκλέους, Αἴαντος τοῦ Λοκροῦ. His adde Gellium Noct. Att. lib. XIII. c. 17. KUST. Liban. Ep. p. 16. Sophocli tribuit. A Sophocle habuit Euripides. Vid. Plato Republ. l. VIII. TOUP. Vid. Schol. Aristoph. Thesm. 21.

[i] ΤΩΝ ΣΟΦΩΝ] τῇ τῶν σ. A.B.V.E.M.

[k] Θουκυδίδῃ] Thucydid. III. 34. τεῖχος σῶν καὶ ὑγιᾶ. Conf. Eustath. Il. ν'. 459=940, 45. Vid. supra v. Σᾶ.

[l] σωζομένων, ὁλοκλήρων] Leg. σωζόμενον, ὁλόκληρον. Monuit Oudendorp. ad Thom. Mag. p. 831.

[m] Ὁλόκληρον] Ex Æliano. Vid. v. Θεόπομπος. Leg. ἐργασάμενος. TOUP.

ΣΩΓΑΝΗ] H. Reland. Palæst. III. in Sogane. HEMST.

ΣΩΚΛΗΣ] Σωκλέης restituendum Herodoto V. 92, 1. Σωκλῆς Ἀθηναῖος est apud Ælian. H. A. VI. 44. ἐξ ᾠοῦ πάλι Σωκλῆς Εἰς ᾠὸν legendum in Hedylo Athenæi XI. p. 473 A. PORSON.

[n] λιθοξόου] λιθοξόος V.

[o] φασὶν αὐτοῦ ἔργον εἶναι τὰς Ἀθήνησιν ἐνδ.] Confer omnino Enarratorem Comici ad Nub. 771. KUST.

[p] Δάμωνος] Δήμωνος V.

[q] πρῶτον] πρότερον V. Tum αὐτοῦ E.

[r] ἔσχεν υἱὸν] παῖδα ἔσχε V.

[s] ὥς τισι δοκεῖ et mox ὡς τύπῳ εἰπεῖν om. V. ὡς ἔν τισι M.

[t] οὐδὲν καταλιπὼν] Scripserim potius, οὐδὲν ἄλλο καταλιπών. KUST.

[u]ὕμνον εἰς Ἀπόλλωνα καὶ Ἄρτεμιν, καὶ μῦθον Αἰσώπειον δι' ἐπῶν. Φιλοσόφους δὲ εἰργάσατο, Πλάτωνα, ὃς καταλιπὼν τὸ Λύκειον, τόπος δὲ [x]οὗτος Ἀθηνῶν, μετήγαγε τὴν σχολὴν ἐν προαστείῳ, τῇ Ἀκαδημίᾳ προσαγορευομένῃ, καὶ οἱ ἀπ' αὐτοῦ Ἀκαδημαϊκοὶ [[y]φιλόσοφοι] προσηγορεύθησαν μέχρι Ἀριστοτέλους· αὐτὸς γὰρ ἀκροατὴς τοῦ Πλάτωνος γενόμενος, εἰς κῆπόν τινα πρὸ τῆς πόλεως τὰς διατριβὰς ποιησάμενος, ἐκ τοῦ κατ' αὐτὸν περιπάτου Περιπατητικοὺς [z]ὠνόμασε τοὺς ἀπ' αὐτοῦ· καὶ Ἀρίστιππον Κυρηναῖον, ὃς ἰδίαν αἵρεσιν εἰσήγαγε, καὶ σχολὴν συνεστήσατο, τὴν Κυρηναϊκὴν κληθεῖσαν· [a]Φαίδωνά τε Ἠλεῖον, καὶ αὐτὸν ἰδίαν συστήσαντα σχολήν, τὴν Ἠλειακὴν ἀπ' αὐτοῦ κληθεῖσαν, ὕστερον δὲ αὕτη Ἐρετριακὴ ἐκλήθη, [b]Μενεδήμου εἰς Ἐρετρίαν διδάξαντος· ἐκ τούτου δὲ τοῦ διδασκάλου καὶ ὁ Πύρρων γέγονεν· Ἀντισθένην, ὃς τὴν Κυνικὴν εἰσήγαγεν αἵρεσιν· Εὐκλείδην Μεγαρέα, καὶ αὐτὸν ἰδίαν συστησάμενον σχολήν, ἥ τις ἀπ' αὐτοῦ ἐκλήθη Μεγαρική, ἀπὸ δὲ Κλεινομάχου τοῦ μαθητοῦ Εὐκλείδου ἐκλήθη Διαλεκτική· Ξενοφῶντα Γρύλλου, Αἰσχίνην, [c]Λυσανίαν Σφήττιον, [d]Κέβητα Θηβαῖον, Γλαύκωνα Ἀθηναῖον, Βρύσωνα Ἡρακλεώτην· ὃς τὴν ἐριστικὴν διαλεκτικὴν εἰσήγαγε μετὰ Εὐκλείδου, ηὔξησε δὲ Κλεινόμαχος, καὶ πολλῶν δι' αὐτῆς ἐλθόντων, ἔληξεν εἰς Ζήνωνα τὸν Κιτιέα· οὗτος γὰρ ἀπ' αὐτοῦ Στωϊκὴν [e]ἐκ τοῦ τόπου τὴν σχολὴν ὠνόμασε, γεγονὼς ἐπὶ τῆς ρκέ Ὀλυμπιάδος· τινὲς δὲ Βρύσωνα οὐ Σωκράτους, ἀλλ' Εὐκλείδου ἀκροατὴν γράφουσι, τούτου δὲ καὶ Πύρρων ἠκροάσατο, ἀφ' οὗπερ οἱ Πυρρώνειοι [f]προσαγορευόμενοι· Ἀλκιβιάδην, Κριτόβουλον, Ξενομήδην, Ἀπολλόδωρον, Ἀθηναίους· ἔτι δὲ Κρίτωνα, καὶ Σίμωνα, Εὐμαρῆ [g]Φλιάσιον, Σιμμίαν Θηβαῖον, Τερψίωνα Μεγαρικόν, Εὔηνον, Χαιρεφῶντα. Καὶ Θεόδωρος δέ, ὁ ἐπικληθεὶς ἄθεος, αὐτοῦ διήκουσεν· [h]ἀδιαφορίαν δὲ δοξάζων καὶ παραδιδούς, αἵρεσιν ἰδίαν εὗρεν, ἥτις Θεοδώρειος ἐκλήθη. Ταῦτα περὶ Σωκράτους.

Ὅτι Σωκράτης, φιλοσοφήσας ὕστερον, Ἀρχελάου τοῦ φυσικοῦ μαθητὴς ἐγένετο. Τὴν ἠθικὴν δὲ ἐπρέσβευσε φιλοσοφίαν. Ἔσχε δὲ γνωρίμους πολίτας μέν, Πλάτωνα, Ξενοφῶντα, Ἀλκιβιάδην, Κριτίαν, [i]Ἀντισθένην· Θηβαίους δέ, Σιμμίαν, καὶ Κέβητα· [k]Κυρηναίους δέ, Ἀρίστιππον, Φαίδωνα, Εὐκλείδην Μεγαρέα. Δαιμόνιον δ' αὐτῷ προσομιλεῖν ἔλεγεν. Ἐμάνθανε δὲ καὶ κιθαρίζειν παρὰ [l]Κόννωι, γέρων ἤδη ὤν· σκωφθεὶς δέ, [m]τὸ Σόλωνος, Ὀψιμαθὴς μᾶλλον, εἶπεν, ἢ ἀμαθής. Ἐκ Ξανθίππης δὲ ἔσχε Σωφρονίσκον καὶ Λαμπροκλέα. Τῶν νέων δὲ τῶν πλείστων ἐρωτικῶς [n]πρὸς αὐτὸν σχόντων, ἐφθονήθη. [o]Καὶ πρῶτος Ἀριστοφάνης τὰς Νεφέλας γράψας, ἐκωμῴδησεν αὐτὸν ὡς διαφθείροντα τοὺς νέους, καὶ ἄθεον ἐκάλει, διότι τὸν κύνα καὶ πλάτανον δι' ὑπερβολὴν δεισιδαιμονίας ὤμνυεν· ὕστερον δὲ Ἄνυτος καὶ [p]Μέλητος ἐπὶ τούτοις αὐτὸν ἐγράψαντο, καὶ εἷλον· ἐν τῷ τιμήματι δὲ [q]αὐτὸν τῆς ἐν τῷ πρυτανείῳ σιτήσεως ἐτιμήσατο, οἱ δὲ θανάτου ἐτίμησαν. Ἐδέδετο οὖν ἐπὶ πολύ, μέχρις ἂν ἡ ἀπὸ Δήλου Θεωρὶς [r]ἀφίκηται. Καὶ οὐκ ἐξῆν ἀχθείσης, πρὶν ἐπανελθεῖν, ἀναιρεῖσθαί τινα κατὰ δίκην. Κρίτωνος δὲ αὐτῷ [s]φυγὴν συμβουλεύσαντος, οὐκ ἠβουλήθη, τοὺς νόμους, εἰπών, δεῖν μὴ παραβαίνειν. Πιὼν δὲ τὸ [t]κώνειον, εὐχῆς ἐπιμνησθείς, Θύσατε, ἔφη, τῷ Ἀσκληπιῷ. Κύρσας δέ τις [u]τοὔνομα, Χῖος τὸ γένος, ὡς συνεσόμενος ἦλθε Σωκράτει· ᾧ καθευδήσαντι [x]παρὰ τὸν τάφον ὄναρ ὀφθεὶς ὡμίλησεν. [y]Ἀπέπλευσε δὲ εὐθὺς ἐκεῖνος, τοῦτο μόνον ἀπολαύσας τοῦ φιλοσόφου.

Σωκράτης:

[z]Σωκράτης ὁ Μήλιος,
καὶ Χαιρεφῶν, ὃς οἶδε τὰ ψυλλῶν ἴχνη.

Ἐπὶ τῶν ἀπόρρητά τινα λεγόντων. Ἔστι δὲ παρ' ἱστορίαν· Ἀθηναῖος γὰρ ὁ Σωκράτης· ἀλλ' [a]ἐπεὶ Διαγόρας Μήλιος ὢν διεβάλλετο ὡς θεομάχος, καὶ τὸν Σωκράτην ὡς ἄθεον [[b]ὁ κωμικὸς] διαβάλλει. Διὰ δὲ τὴν ζήτησιν, ὁπόσους [c]ἅλλοιτο ἡ ψύλλα πόδας ἔχουσα, [[d]καὶ ὃν ἀπέδωκε λόγον, ἔφη, εἰδέναι τὰ ψυλλῶν ἴχνη, παίζων.]—Ἢ Μήλιος, ὥς τινες [e]ἐξεδέξαντο, ὁ τὰς τῶν εἰσιόντων ψυχὰς ὀξύνων, πρὶν εἰσελθεῖν ἠγριωμένας· ἀπὸ μεταφορᾶς τῶν ἀλόγων θηρίων· Μῆλα γάρ, τὰ θρέμματα. Οἱ δὲ εἰς τὸ δασὺ καὶ

[u] ὕμνον εἰς Ἀπόλλ.] De scriptis Socratis vide Meursium in Bibliotheca Attica. KUST.

[x] οὗτος om. V.

[y] φιλόσοφοι om. A.V.

[z] ὠνόμασε τοὺς ἀπ' αὐτοῦ] τοὺς ἀπ' αὐτοῦ ὠνόμασε V.

[a] Φαίδωνα—κληθεῖσαν post Πύρρων γέγονεν in V. τε om. A.

[b] Μενεδήμου] Μενεδήμου καὶ V. Tum Ἐρετρίαν A.B. pro Ἐρετρείαν.

[c] Λυσανίαν Σφ.] Legendum puto Λυσανίου Σφ. Erat enim hic Æschines Lysaniæ fil. HEMST.

[d] Κέβητα Θηβαῖον om. V.

[e] ἐκ τοῦ τόπου om. E.

[f] προσαγορευόμενοι om. V.

[g] Φλιάσιον] φιλιάσιον V. Mox Εὔηνον om. A.B.V.

[h] Ἀδιαφορίαν] ἀφροδισίαν V.

[i] Ἀντισθένην] om. V.

[k] Κυρηναίους] Κυρηναῖον A.

[l] Κόννωι] Alii rectius Connum vocant. Vide Menag. ad Laërt. lib. II. num. 32. KUST. Κόννι A.

[m] τὸ Σόλωνος] ἐκ τοῦ Σόλωνος A.B.V.E. Mox εἶπεν μᾶλλον A.

[n] πρὸς αὐτὸν σχόντων] περὶ αὐτὸν σχ. A.B. περιαυτοσχόντα V.

[o] Καὶ πρῶτος—τοὺς νέους] ὃν πρῶτος Ἀριστοφάνης ἐκωμῴδησεν ἐν Νεφέλαις ὡς φθορέα τῶν νέων V. Mox ἐκάλει om. A.V.

[p] Μέλιτος] Μέλητος A. Tum ἐπὶ τούτοις—εἷλον om. V. αὐτὸν ἐγράψαντο A. pro ἐγρ. α.—ἐπὶ τούτῳ M.

[q] αὐτὸν] ἑαυτὸν A. αὐτοῦ V. Mox ἐτιμήσαντο V.

[r] ἀφίκηται] ἀφίκοιτο V.

[s] φυγὴν αὐτῷ] αὐτῷ φυγὴν A.

[t] κώνειον] τὸ κώνειον B.V.E.

[u] τοὔνομα] ὄνομα A.V. Mox τὸ γένος om. V. qui ὃς pro ὡς.

[x] περὶ] παρὰ A.B.E.

[y] Ἀπέπλευσε δὲ εὐθὺς ἐκεῖνος] καὶ εὐθὺς ἐκεῖνος ἀπέπλευσε V.

ΣΩΚΡΑΤΗΣ] Σωκράτους addunt A.V.

[z] Σωκράτης ὁ Μήλιος, καὶ Χαιρ.] Hæc sunt verba Aristophanis Nub. 829. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[a] ἐπεὶ] ἐπειδὴ V.

[b] ὁ κωμικὸς om. A.V. Schol. qui post διαβάλλει addit, διὰ τοῦτο Μήλιον αὐτὸν ἔφη, omissis διὰ δὲ τὴν—παίζων.

[c] ἅλλοιτο] ἅλοιτο V.

[d] καὶ ὃν ἀπέδωκε—παίζων om. A.B.V.

[e] ἐδέξαντο] ἐξεδέξαντο A.V. Mox θηρίων V. pro ζώων. qui infra om. παρέλαβον αὐτό. Schol. οὕτω pro αὐτό.

αὐχμηρὸν ποιοῦσιν αὐτό· οἱ δὲ παρέλαβον αὐτό. Διαγόρας ὁ Μήλιος, ὃς τὸ μὲν πρότερον ἦν θεοσεβὴς, παρακαταθήκην δὲ ὑπό τινος [f]ἀποστερηθεὶς, ἐπὶ τὸ [g]ἄθεος εἶναι ἔδραμεν. Ἐφ' ᾧ καὶ οἱ Ἀθηναῖοι ἀγανακτήσαντες, τὴν Μῆλον ἐκάκωσαν.—Ἐγένετο δὲ καὶ [h]Ἀρισταγόρας Μήλιος, διθυραμβοποιός· ὃς τὰ Ἐλευσίνια μυστήρια ἐξορχησάμενος καὶ ἐξειπὼν, ἀσεβέστατος ἐκρίθη. Καὶ ἀπ' ἐκείνου τοὺς Μηλίους [i]ἐπ' ἀσεβείᾳ κωμῳδοῦσι. Τάττεται δὲ καὶ ἐπὶ τῶν βλασφήμων.

Σῶκος: Ὁ Ἑρμῆς.

Σωκῶ: Ἰσχύω, δύναμαι· οἱ δὲ ἀντὶ τοῦ σώζω. [k]Σοφοκλῆς·

> Μούνη γὰρ οὐκέτι σωκῶ
> λύπης ἀντίρροπον ἄχθος.

Οἷον καταβαρεῖν με, καὶ καταφερόμενον.

Σωλὴν, σωλῆνος. Τὸ παρ' ἡμῖν σωληνάριον.

Σωλῖνος: Ὄνομα ποταμοῦ.

Σῶμα: Πᾶν τὸ τεθνηκός. [l]Τὸ δὲ τοῦ ζῶντος δέμας λέγεται, διὰ τὸ συνδεδέσθαι τῇ ψυχῇ, ὡς εἶπεν Ὅμηρος.

Ὅτι [m]πᾶν τὸ ποιοῦν, σῶμά ἐστι· ποιεῖ δ' ἡ φωνὴ [n]προσιοῦσα τοῖς ἀκούουσιν ἀπὸ τῶν φωνούντων· ὥστε σῶμά ἐστι.

[Σῶμα ὅλον καθαίρειν, φροντίδων ἀπαλλαγὴν δηλοῖ λύσιν:]

Σωμανῖτις γυνή:

Σωμασκεῖν: Συγκροτεῖν, εὐτρεπίζειν, [o]ὠδίνειν, ἑτοιμάζειν.

Σωμασκία:

Ὁ δὲ [p]ἤσχαλλεν, ὡς παρευδοκιμούμενος ἐκ νέου, τρεχῶν μόνον καὶ τῆς ἄλλης φροντίζοντος σωμασκίας.

Σωματοποιεῖν: Σωμασκεῖν.

Οὐκ ἠβούλετο ἀληθινῶς σωματοποιεῖν τὸν Φίλιππον.

Καὶ αὖθις·

[q]Ἐσωματοποίησε δὲ τοὺς ἵππους, ἀνεκτήσατο δὲ τὰ σώματα καὶ τὰς ψυχὰς τῶν ἀνθρώπων.

Σωματοποιεῖν: Τὸ παρέχειν τὰς τοῦ σώματος χρείας.

[r]Ὁ δὲ Ζεῦξις ὑπεκρίνετο μὲν ποιεῖν τὰ κατὰ τὰς συνθήκας, οὐκ ἐβούλετο δὲ σωματοποιεῖν [s]ἀληθινῶς τὸν Φίλιππον.

[t]Οἱ δὲ ἠναγκάζοντο παντὶ τῷ λεγομένῳ προσέχειν, καὶ πᾶσαν ἐλπίδα σωματοποιεῖν καὶ προσδέχεσθαι.

Σωματοποιήσαντες: Κυρώσαντες, βεβαιώσαντες.

[v]Ἐμοῦ δὲ ταχέως συγκαταθεμένου, καὶ [u]σωματοποιήσαντος τὴν ἐπιβολὴν, τῷ βλέπειν διότι ὀρέγεται τῆς τοιαύτης ὑποθέσεως.

Σωματοποιῆσαι:

[x]Ὁ δὲ ἔφασκε δεῖν μὴ πρᾶσθαι τοὺς ἐχθροὺς ἐκ τῶν χειρῶν, μηδὲ σωματοποιεῖν τὴν τόλμαν αὐτῶν, φυγομαχοῦντας.

Ὁ δὲ βραχείας ἐπιλαβόμενος [y]ἐλπίδος ἐκ τῶν πολιορκουμένων, ἐσωματοποίει ταύτην.

Καὶ αὖθις Πολύβιος·

Ὁ δὲ ὡς πολεμικὸς φίλος πάντ' ἐμηχανᾶτο, δι' οὗ τὰ τῶν ἐχθρῶν σωματοποιήσει, τοῖς δὲ σφετέροις πράγμασι περιστήσει τοὺς μεγίστους κινδύνους.

Σωναράτης: Ὄνομα κύριον.

Σῶος: Ὁ ὑγιής.

Σώπατρος Ἀπαμεὺς, σοφιστὴς, καὶ φιλόσοφος, [z]μαθητὴς Ἰαμβλίχου· ὃν ὁ Καῖσαρ Κωνσταντῖνος ἀνεῖλεν εἰς πίστιν τοῦ μὴ ἑλληνίζειν ἔτι [a]τὰ κατὰ θρησκείαν· ἦν γὰρ αὐτῷ συνήθης πρότερον. Ἔγραψε Περὶ Προνοίας, καὶ τῶν παρὰ τὴν ἀξίαν εὐπραγούντων, ἢ δυσπραγούντων.

[b]Ὅτι [c]τὸν Σώπατρον Κωνσταντῖνος ἀνεῖλεν, οὐ καλῶς ποιῶν. Ὁ γὰρ [d]χρηστὸς οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐξ ἀγάπης.

Σώπατρος, κωμικός· τῶν δραμάτων αὐτοῦ ἐστιν, Ἱππόλυτος, Φυσιολόγος, [e]Σιλφία, ἢ Κνιδία, Νεκυῖα,

[f] στερηθεὶς] ἀποστερηθεὶς A.B.V.

[g] ἄθεος εἶναι ἔδραμεν] ἄθεον ἐξέδραμεν Schol.

[h] Ἀρισταγόρας] Διαγόρας Hermannus ad Schol. Aristoph.

[i] ἐπ' ἀσεβείᾳ] ἐπ' om. A.V.E.M.

ΣΩΚΟΣ] Mercurii epitheton, Phurnutus, Nicom. Geras. de arithm. Theol. ap. Phot. c. 187. vid. Gyraldum. REINES. Il ύ. 72. Conf. Apollonii Lex. cum hac et seq. gl.

[k] Σοφοκλῆς] Electr. 119. Μούνη γὰρ ἄγειν οὐκέτι σωκῶ λύπης ἀντίρροπον ἄχθος. KUST.

[l] παρὰ τοῖς παλαιοῖς. ΔΕΜΑΣ δὲ τοῦ ζῶντος λέγεται] τὸ δὲ τοῦ ζῶντος δέμας λέγεται A.B.V. Photius. Lege Schol. Ven. ad Il. ά. 115.

[m] Πᾶν δὲ τὸ ποιοῦν] Hæc sunt verba Laërtii in Zenone, VII. 55. TOUP. Ὅτι πᾶν A.

[n] προσιοῦσα] προσοῦσα A.V.

ΣΩΜΑ ΟΛΟΝ ΚΑΘ.] Hæc ad somniorum interpretationem pertinent. Vide nos supra ad v. Σάρκας. KUST. Deest V.E. Habet A. tantum in marg. ubi om. ὅλον.

ΣΩΜΑΝΙΤΙΣ ΓΥΝΗ] An, Σουναμῖτις γυνὴ, ut supra? KUST. Σουναμῖτις V. Herodian. Epimeriam. p. 131. Σώμανα τόπος ὅθεν καὶ Σωμανῖτις γυνή. ubi vid. Boissonad.

[o] ὠδίνειν] οἰδίνειν A.B.V.E.

[p] ἤσχαλλεν] ἤσχαλεν A.M. Mox A. μόνον. Tum ὅλης B.E. pro ἄλλης. Vid. supra p. 577 D.

ΣΩΜΑΤΟΠΟΙΕΙΝ] Confer Nostrum supra v. Ἐσωματοποίει. KUST. Vid. Wesseling. ad Diod. Sic. XI. 86. XVIII. 10.

[q] Ἐσωματοποίησε δὲ τοὺς ἵππ.] Fragmentum hoc legitur apud Polybium lib. III. c. 87. KUST.

[r] Ὁ δὲ Ζεῦξις ὑπεκρ.] Locum hunc Polybio tribuit Valesius, qui hinc supplet Collectanea Constantini a se edita, p. 69. KUST. XVI. 1, 9.

[s] ἀληθῶς] ἀληθινῶς A.B.

[t] Οἱ δὲ ἠναγκάζοντο] Polyb. Fr. gr. 123. Excerpt. Vat. Maii p. 442.

[v] Ἐμοῦ δὲ ταχ.] Et hoc fragmentum, uti et duo sequentia, censente Fulv. Ursino, ad Polybium referenda sunt. KUST. Fr. gr. 124. Mox σωματοποιῆσαι om. V.

[u] σωματοποιήσαντες] σωματοποιήσαντες A.

[x] Ὁ δὲ ἔφασκε] Polyb. Fr. gr. 125. 126. 127. Mox πρᾶσθαι tacite Kusterus pro προσίεσθαι ex Porti em.

[y] ἐλπίδος om. V.

ΣΩΝΑΡΑΤΗΣ] Σωνάρτης A.V.

ΣΩΠΑΤΡΟΣ ἈΠΑΜ.] De hoc Sopatro vide Eunapium in vita Ædesii, et Valesium ad Sozomeni Histor. Eccles. lib. I. c. 5. KUST.

[z] μαθητὴς] υἱὸς E. Mox ὁ om. V.E. Tum ἀνεῖλεν om. A.

[a] κατὰ τὴν] τὰ κατὰ A.V.

[b] Ὅτι τὸν] Seqq. A. in marg.

[c] τὸν Σώπατρον—ἀνεῖλεν] Vid. Eunap. in Ædesio p. 22. 36. 44. REINES. Wyttenb. ad eum scriptorem p. 71.

[d] χρηστὸς οὐκ ἐξ ἀνάγκης, ἀλλ' ἐξ ἀγάπης] χ̄ς ἐξ ἀγάπης, οὐκ ἐξ ἀνάγκης V.

ΣΩΠΑΤΡΟΣ ΚΩΜ.] Cornua asini Indici Alexandro M. allata sunt a Sopatro Ælian. H. A. X. 40. Porphyr. de Styge a Philone Heracl. de Mirandis ap. Stob. Ecl. Phys. p. 130. REINES.

[e] Σιλφία] Legendum est Σίλφαι, Κνιδία ex Athen. III. p. 101. B. et 109. F. sunt enim diversæ fabulæ, non una duplici titulo. HEMST. σιλφία ἡ κνιδία M.

Πύλαι, Ὀρέστης, Φακῇ· ὡς Ἀθήναιος ἐν Δειπνοσο- A φισταῖς.

Σώπατρος παρῳδός: Τούτου ἐστὶ δρᾶμα Βακχὶς, ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Σώπατρος Ἀπαμεὺς, σοφιστὴς, ἢ μᾶλλον Ἀλεξανδρεύς. Ἐπιτομὰς πλείστων. Τινὲς δὲ καὶ τὴν [f]ἐκλογὴν τῶν ἱστοριῶν τούτου εἶναί φασι.

Σώπιθος: Ὄνομα κύριον.

Σωράκους: [g]Βάβριος·

Ποῦ δ' ὀστρίων ἦν σωρὸς, ἢ πίθος σύκων;
στάμνοι τε μέλιτος, σώρακοί τε φοινίκων;

Σωρανὸς, Μενάνδρου καὶ Φοίβης, Ἐφέσιος, ἰατρὸς, διατρίψας ἐν Ἀλεξανδρείᾳ, καὶ ἐν [h]Ῥώμῃ δὲ ἰατρεύσας ἐπὶ Τραϊανοῦ καὶ Ἀδριανοῦ τῶν βασιλέων, βιβλία τε συντάξας πλεῖστα καὶ κάλλιστα.

Σωρανὸς, Ἐφέσιος, ἰατρὸς νεώτερος. [i]Γυναικείων C βιβλία δ', Βίους ἰατρῶν, καὶ αἱρέσεις, καὶ συντάγματα, βιβλία δέκα· καὶ ἄλλα διάφορα.

Ὅτι [k]Ἀσκληπιόδοτος ὁ φιλόσοφος, καὶ τὴν ἰατρικὴν ἐκμαθὼν, τῶν μὲν νεωτέρων οὐδένα ἀπεδέχετο πλὴν Ἰακώβου· τῶν δὲ πρεσβυτέρων, μετὰ τὸν Ἱπποκράτην, Σωρανὸν τὸν Κίλικα, τὸν Μαλλώτην ἐπίκλην.

Σωρεία: Πλῆθος. Καὶ σωρὸς, ὁ [l]σωρός.

Σωρὸν χρημάτων ἀγγέλλεις: Κυρίως σωρὸς, τὸ D ἐκ μικρῶν σπερμάτων συναγόμενον πλῆθος, παρὰ τὸ [m]σῶ, ὅ ἐστι σώζω, καὶ συνάγω. Καλῶς οὖν ἀπὸ τῶν καρπῶν εἰρήκασιν· οἱ γὰρ εὐθηνοῦντες καὶ πλούσιοί εἰσι. [n]Ἀριστοφάνης·

Ὦ χρυσὸν ἀγγείλας ἐπῶν. Πῶς φῄς; πάλιν φράσον μοι.
Δηλοῖς γὰρ αὐτὸν σωρὸν ἥκειν χρημάτων ἔχοντα.

Σῶς: Ἀντὶ τοῦ σῶος. [o]Ἀριστοφάνης·

Ὦ φίλτατ' ἀνδρῶν, καὶ νεανικώτατε,
ὅσην ἀπὼν παρέσχες ἡμῖν φροντίδα.
Καὶ νῦν, ἐπειδὴ σῶς ἐλήλυθας πάλιν,
ἄγγειλον ἡμῖν, πῶς τὸ πρᾶγμ' ἠγωνίσω.

B [Σωσάννα: Ὅτι κατὰ τοῦ Ἀφρικανοῦ Σέξτου ἔγραψεν Ὠριγένης, ἔνστασιν ποιησάμενος περὶ τοῦ τῆς Σωσάννης βιβλίου, τοῦ εἰς τὸν Δανιήλ.]

[Σῶσαι: Ὅτι ἔφη τις τῶν ὁσίων·

Ἄλλους μὲν γὰρ οὐ πάντες ἀπαιτούμεθα σῶσαι· ἑαυτοὺς πάντες πάντως.

Καὶ [p]ἄλλος,

Σώζων σῶζε τὴν σεαυτοῦ ψυχήν.]

C Σωσίβιος Λάκων, γραμματικὸς, τῶν [q]Ἐπιλυτικῶν καλουμένων. [r]Ἐν τούτοις δὲ ἱστορεῖ καὶ τοῦτο, ὅτι [s]εἶδός τι κωμῳδίας ἐστὶ καλούμενον [t]Δικηλιστῶν καὶ Μιμηλῶν. [v]Καὶ περὶ τῶν Μιμηλῶν ἐν Λακωνικῇ ἱστορουμένων παλαιῶν καὶ ἄλλα. Καὶ ἕτερος [u]Σωσίβιος, ψευδεπίτροπος Πτολεμαίου, σκεῦος ἀγχίνουν καὶ πολυχρόνιον, ἔτι δὲ κακοποιὸν ἐν βασιλείᾳ, καὶ πρῶτον μὲν [x]ἀρτῦσαι φόνον Λυσιμάχῳ, ὃς ἦν υἱὸς Ἀρ- D σινόης. [y]Ἔπειτα πολλῆς ἐπαγομένης ὕβρεως, ἀνεθυμιᾶτο πάλιν ἐν τοῖς πολλοῖς τὸ [z]προϋπάρχον μῖσος.

Σωσίθεος, Συρακούσιος, ἢ Ἀθηναῖος, μᾶλλον δὲ

ΣΩΠΑΤΡΟΣ ΠΑΡΩΙΔ.] Male Suidas Sopatrum Parodum a Sopatro Comico diversum facit, ut et ante nos monuit Stanleius ad Æschyli Choeph. 294. KUST. Deest hic art. A.

ΣΩΠΑΤΡΟΣ 'ΑΠΑΜΕΥΣ] Et hunc art. om. A.

[f] ἐκλογίαν] Est vox insolens, pro qua magis usitate diceretur, ἐκλογήν. Ceterum, Excerptorum Sopatri, quorum Suidas hic meminit, epitomen exhibet Photius in Bibliotheca, Cod. CLXI. KUST. ἐκλογὴν V. ἐκλογιῶν B. pr. Mox εἶναι om. V.

ΣΩΠΙΘΟΣ] Fors. Σωπείθης, regulus Indiæ, a quo Alexander M. 150 canes generosos λεοντομάχους accepit. Strab. XV. p. 700. Diod. Sic. XIX. Curt. IX. 1. REINES.

ΣΩΡΑΚΟΥΣ] Vid. Ἀρρίχους. TOUP.

[g] Βάβριος] Fr. Tyrwhitt. p. 40.

ΣΩΡΑΝΟΣ] Hunc puto esse Soranum, cujus mentionem facit Galenus ἐν τῷ Περὶ συνθέσεως φαρμάκων τῶν κατὰ τόπους, part. II. p. 252. et alibi. At alius est Soranus, cujus mentio fit apud Tzetzem Chil. VI. 300. Is enim tempore Cleopatræ vixerat. KUST.

[h] Ῥώμῃ] τῇ Ῥώμῃ A.V.

[i] Γυναικείων] Γυναικεῖα A.B. De hoc Sorano vid. Jonsius Script. hist. Phil. p. 348.

[k] Ἀσκληπιόδοτος ὁ φιλόσοφος, καὶ τὴν ἰατρ.] Hæc sumpta sunt ex Damascio, ut patet ex Photio, apud quem in Excerptis ex Damascio, p. 1053. eadem totidem pene verbis leguntur. KUST.

[l] σωρός] σωρ' A.

[m] σῶ] σῶος B.E. pr. Mox καὶ om. V. Mox posui εἰρήκασιν post καρπῶν cum A.V.

[n] Ἀριστοφάνης] In Plut. 268. Mox φράσομαι A. pro φράσον μοι.

[o] Ἀριστοφάνης] Equit. 608.

ΣΩΣΑΝΝΑ] Hunc art. habet A. in marg. om. V. Et male huc illatus videtur ex p. 683 B.

[p] ἄλλος, σώζων] Leg. καὶ ἄλλους σώζων, σῶζε τ. σ. ψ. Vid. supra ad vv. Δίκαιος. Ὁσίων. TOUP. ἄλλως M. Deest art. V. habet A. in marg. Vid. p. 993 B. 1726 B.

Post h. v. Σωσθένην ponunt B.E. Σωσθένης M.

ΣΩΣΙΒΙΟΣ Λάκων] De eo vide Vossium de Histor. Gr. et Jonsium de Scriptor. Histor. Philos. lib. II. c. 3. E KUST. Clinton. Fast. Hell. III. p. 508.

ib. περὶ θυσιῶν τῶν ἐν Λακεδαίμονι, Athen. XV. p. 674. citatur Sosibius, et III. 115. περὶ Ἀλκμᾶνος, unde Schol. Theocrit. V. 92. laudat: Σωσίβιος τὰς ἀνεμώνας παρὰ Λάκωσι φασίδας καλεῖσθαί φησι. REINES.

[q] Ἐπιλυτικῶν καλουμ.] Athenæus eum Λυτικὸν vocat. Ait enim lib. XI. c. 12. p. 493. Ὁ θαυμάσιος Λυτικὸς Σωσίβιος, ὃν οὐκ ἀχαρίτως διέπαιξε διὰ τὰς πολυθρυλλήτους ταύτας λύσεις Πτολεμαῖος ὁ Φιλάδελφος βασιλεύς. Quinam autem Λυτικοὶ dicti fuerint, docet Wowerus de Polymath. c. F 10. et Jonsius de Script. Hist. Phil. lib. II. c. 17. KUST. Adde Menag. Laërt. VI. 81.

[r] Ἐν τούτοις δὲ ἱστορεῖ] Nihil præcessit, ad quod τούτοις referri possit. Quare, ut sensus loci hujus suppleatur, addendum videtur, ἔγραψε Λακωνικά, vel simile quid. KUST.

[s] εἶδος τῆς] εἶδός τι A.V.

[t] Δικηλιστῶν] Sic habent mss. Paris. At priores editt. minus recte Δικελιστῶν. De Dicelistis autem sic dictis G vide Athenæum lib. XIV. p. 621. et Meursium in Lacon. lib. III. c. 6. Confer etiam Nostrum supra v. Δικηλιστῶν. KUST. Δεικηλιστῶν B.E.

[v] Καὶ περὶ] καὶ om. A.V.

[u] ΣΩΣΙΒΙΟΣ, ψευδεπίτροπος Πτολ.] Hæc Polybio tribuuntur in Collectaneis Constant. Porphyrog. a Valesio editis, p. 65. KUST. Polyb. XV. 25.

[x] ἀρτῦσαι] ἀρτύσαι E. ἀρτῆσαι M.

[y] Ἔπειτα πολλῆς ἐπαγομ.] Mira ἀβλεψία compilatoris. Hæc enim in modo laudatis Collectaneis Constantini, H pag. seq. de Agathocle non autem Sosibio dicuntur, et ad aliam omnino Eclogam pertinent: ut Pearsonius etiam observaverat. Confer quoque Nostrum supra v. Ἀνεθυμιᾶτο. KUST.

[z] προϋπάρχον] ὑπάρχον B.V.E.M.

ΣΩΣΙΘΕΟΣ] Ab Athen. X. p. 415. laudatur ejus Δάφνις. REINES. Vid. Clinton. Fast. Hell. III. p. 501.

μεναι, καὶ Παραλυτρούμενος· ὡς Ἀθήναιός φησιν ἐν Δειπνοσοφισταῖς. A

Σωτάδης Ἀθηναῖος, φιλόσοφος, ὁ γράψας περὶ Μυστηρίων βιβλίον α΄.

Σωτέος: Σωθῆναι ἄξιος.

Σωτήρ: Ὁ Θεὸς ἡμῶν. Καὶ σώτειρα.

[u] Φωσφόροι, ὦ Σώτειρ᾽, ἐπὶ Παλλάδος ἵσταθι κλήρων,
Ἄρτεμι, καὶ χάριν φῶς ἐῷ ἀνδρὶ δίδου.

Σωτηρίδας, γραμματικός, [x] ἀνὴρ Παμφίλης· ἣ καὶ τὰς ἱστορίας περιῆψεν. Ἔγραψεν Ὀρθογραφίαν, Ζητήσεις Ὁμηρικάς, [y] Ὑπόμνημα εἰς Μένανδρον, Περὶ μέτρων, Περὶ κωμῳδίας, Εἰς Εὐριπίδην. B

Σωτηρίδας Ἐπιδαύριος, πατὴρ Παμφίλης, [z] ἧ τὰ ὑπομνήματα [a] ἐπέγραψεν, (ὡς Διονύσιος ἐν λ΄ τῆς μουσικῆς ἱστορίας,) [b] βιβλία γ΄.

Σωτήριχος, [c] Ὀασίτης, ἐποποιός, γεγονὼς ἐπὶ Διοκλητιανοῦ. Ἐγκώμιον εἰς Διοκλητιανόν, Βασσαρικά, ἤτοι Διονυσιακά, βιβλία δ΄, Τὰ κατὰ [d] Πάνθειαν τὴν Βαβυλωνίαν, Τὰ κατὰ Ἀριάδνην, Βίον Ἀπολλωνίου τοῦ Τυανέως, Πύθωνα, ἢ Ἀλεξανδριακόν· ἔστι δὲ ἱστορία [e] Ἀλεξάνδρου τοῦ Μακεδόνος, ὅτε Θήβας παρέλαβε· καὶ ἄλλα. C

Σωφανηνή:

Σωφάνης: [f] Ὄνομα κύριον.

Σώφας: Ὄνομα κύριον.

Σώφιλος: Ὄνομα κύριον. Σικυώνιος, ἢ Θηβαῖος, κωμικὸς τῆς μέσης κωμῳδίας. Δράματα αὐτοῦ, [g] Κιθαρῳδός, [h] Φύλαρχος, Τυνδάρεως ἢ Λήδα, καὶ [i] Δηλία· ὡς φησιν Ἀθήναιος. Καὶ [k] (Ἐγ)χειρίδιον, καὶ [l] Παρακαταθήκη.

Σωφρονεῖν: [m] Σοφοκλῆς·

Μὴ κρῖνε, μὴ ᾽ξέταζε· σωφρονεῖν καλόν.

Νῦν, [n] τὸ μὴ περιεργεῖν. Ἐν τούτοις γὰρ μάλιστα ἡ σωφροσύνη ταῖς γυναιξὶ διασώζεται, [o] εἰ μὴ περιεργάζονται ὅ τι πράττει ὁ ἀνήρ.

Σωφρονεῖς: Ἀντὶ τοῦ μόλις [p] ἐστράφης, ἢ καλῶς λέγεις. Ἀριστοφάνης [q] Πλούτῳ.

Σωφρονικῶς: Ἀντὶ τοῦ μετὰ λογισμοῦ καὶ σκέψεως. Οὐκ ἀνοήτως, οὐδὲ ἐκ τοῦ προχείρου.

Σωφρονισθέντας: Ἀντὶ τοῦ ταπεινωθέντας.

Τοὺς [illegible] ἀπειρηκότας, καὶ ταῖς ἐναγχος ἥτταις σωφρονισθέντας.

Σωφρονιστῆρες:

Σωφρονῶ ἐγώ· Σωφρονίζω δὲ ἕτερον. [Σωφρονῶ, δοτικῇ.

Αὐτὴ αὐτῷ ἀκριβῶς σωφρονοῦσα.

Αἰτιατικῇ δέ,

Σωφρονισάτω σε τὸ τῶν παρθένων ὑπόδειγμα.]

Σωφροσύνη: Ἡ ἰδιωτεία παρὰ Θουκυδίδῃ καὶ ἡ ἀπραγμοσύνη.

Σωφροσύνη: Ἄλλη παρὰ τὴν πολιτικὴν ἀρετήν, [r] καὶ μείζων· τῷ δὲ αὐτῷ ὀνόματι χρώμεθα ἐν [s] ὁμολογίᾳ τινὶ καὶ συμφωνίᾳ ἐπιθυμητικοῦ πρὸς λογισμόν. D

[t] Τὸ γὰρ ἐς σωφροσύνην ἐγὼ [u] δικαιότατος κἂν τῷ Βελλεροφόντῃ σωφροσύνης ἀμφισβητήσαιμι.

enim pertinent ad Sotadem Comicum, ut expresse docet Athenæus lib. VII. p. 293. et lib. IX. p. 368. KUST.

[u] Φώσφορος] Anthol. Pal. VI. 267. Mox ἵσταθι A.E. Anthol. ms. ἱστάθη V. ἵσταθι M.

[x] ἀνὴρ Παμφίλης] Supra v. Παμφίλη, maritus Pamphilæ vocatur Σωκρατίδας. Ceterum Soteridæ hujus meminit Photius Cod. CLXI. p. 337. KUST. Supra p. 2824. Pamphile vocatur θυγάτηρ Σωτηρίδα, et artic. seq. Σωτηρίδας E. πάτηρ Παμφίλης. E

[y] ὑπόμνημα] Vid. Meinekii præf. Menand. p. xxxiv.

[z] ἧ] ἧς A.V. Mox ὑπέγραψεν V.E. Tum ὡς ὁ Διον. A. ὁ Διον. ἐν τῷ λ. V.

[a] ἐπέγραψεν] Sic mss. Paris. At priores editt. minus recte, ἔγραψεν. KUST. ᾗ τὰ—ἐπέγραψαν—βιβλία λγ. v. Παμφίλη. HEMST. F

[b] βιβλία γ] Leg. βιβλία λγ΄, triginta tres, loquitur enim de iis, quos alii adscribunt Pamphilæ. Vid. supr. Παμφίλη. REINES.

[c] Ὁ Ἀσίτης] Pearsonius recte monuit, scribendum esse, Ὀασίτης; auctoritate Stephani Byzantii, qui v. Ὕασις hæc habet: Ὕασις, πόλις Λιβύης. Λέγεται καὶ Ὄασις. Καὶ ὁ πολίτης, Ὀασίτης, [ὡς] ὁ ποιητὴς Σωτήριχος. KUST. Ὀασίτης etiam Reinesius collato Steph. Byz. et Voss. de Hist. Gr. p. 199. Addit præterea: In Gruteri Inscr. p. 871. n. 8. est: Asius Soterichus, est Oasius, Ὀασίτης, poëta epicus et historicus. (Cf. Reines. Epp. ad Hoffman. et Rupert. p. 316.) Sotericho Azanitæ emplastrum tribuit Nic. Myr. X. 27. qui videtur esse Addanites ἀπὸ κώμης Ἀδδάνων, immo ex urbe Phrygiæ Azanio. Tzetz. ad Lycophr. 486. Σωτήριχος ἐν τοῖς Καλλιδωνιακοῖς λέγει etc. ὀασίτ A. G

[d] Πάνθειαν τὴν Βαβυλωνίαν] De hac vide Xenophontem de Instit. Cyri, lib. V. et VII. KUST.

[e] Ἀλεξάνδρου τοῦ Μακεδόνος ἱστορία] ἱστορία Ἀλεξάνδρου τοῦ Μακεδόνος A. H

ΣΩΦΑΝΗΣ] Eurychidis fil. Decelensis: ejus strenua facta in pugna Marathonica contra Medos enarrat Herodotus VI. 92. IX. 72. 73. REINES.

[f] Ὄνομα κύριον om. A.

ΣΩΦΙΛΟΣ] Vid. Meinek. Quæst. Scen. III. p. 59.

[g] Κιθαρῳδός] Κιθαρῳδοὶ E.

[h] Φίλαρχος] Potius Φύλαρχος: ut apud Athenæum. KUST. Φύλαρχος A.B.V.

[i] Δηλία] Sic rescripsi auctoritate mstorum Paris. Priores enim editt. habent Δημία; quod minus placet. KUST.

[k] Χειρίδιον] Athenæus lib. X. fabulam hanc Ἐγχειρίδιον vocat. Sed utra lectio præferenda sit, dubium est et incertum. KUST. Χειρίδιον A.B.V.E.M.

[l] Παρακαταθήκη Athen. XIV. p. 646. Menander etiam scripsit Παρακαταθήκη Athen. XIII. p. 571. et Crates. Pollux IX. 6. p. 479. et IV. 24. Apud Laërt. II. 12. in Stilpone ad extr. citatur Sophili drama γάμοι. REINES. Παραθήκη A.B.V.E.M.

[m] Σοφοκλῆς] Aj. 586. ὁ Σοφοκλῆς A.

[n] τὸ μὴ] μὴ τὸ A.

[o] ἢν μὴ περιεργάζωνται ὅ τι πράττοι] εἰ μὴ περιεργάζονται ὅ τι πράττει A. et πράττει V. εἰ—περιεργάζοιντο—πράττει Schol.

[p] ἐστράφης] Leg. ἐπεστράφης, ut habet Comici Schol. ad Plut. v. 1120. Significat autem μόλις ἐπεστράφης *ægre tandem ad sanam mentem redis*. Hoc est ἐπιστρέφεσθαι. Simplex vero στρέφεσθαι *versari* hic est ἀπροσδιόνυσον. BOS.

[q] Πλούτῳ] Addunt B.E. Σωφρονίζω σε, αἰτιατικῇ.

ΣΩΦΡΟΝΙΚΩΣ] Ex Schol. Aristoph. Eq. 542.

ΣΩΦΡΟΝΙΣΘΕΝΤΑΣ] Schol. Thucyd. VI. 78. Σωφρονισθῶμεν: ταπεινωθῶμεν.

ΣΩΦΡΟΝΩ—ὑπόδειγμα om. A.V. Tamen A. in marg. Σωφρονίζω σε αἰτιατικῇ, σωφρονῶ δοτικῇ· αἰτιατικῇ [illegible] σωφρονησάτω σε etc.

ΣΩΦΡΟΣΥΝΗ: Ἡ ἰδιωτ.] Hæc præbuit V. Sumpta sunt ex Schol. Thucyd. I. 32.

[r] καὶ μείζων] καὶ om. A.B.E.

[s] ἐν ὁμολογίᾳ] ὁμολογίᾳ A.B.V.E.

[t] Τὸ γὰρ] Infra Τὰ γὰρ εἰς σωφροσύνην etc. ubi melius legitur δικαιότατος. Porro scribendum τὰ γὰρ εἰς Ἀφροδίτην ἐγὼ δ. sic enim legitur apud Synes. Enc. Calv. p. 63 D. HEMST.

[u] δικαιότατα] δικαιότατον A.V. Reposui δικαιότατος. Mox γινόμενοι A.B.V.E. pro γιν.

ὡς λοιμοὶ τῆς φύσεως, καὶ τοῦ γένους πολέμιοι, καὶ σπῖλοι πολιτείας καὶ ζωῆς ἐφύβριστοι γίνονται, δίκην μαινάδων πορνευθέντες ἀμέτρως, ἐν τοῖς αἰσχίστοις ὀρχοῦνται πάθεσι, μιαρᾷ πολιτείᾳ καὶ [l]πεφυρμένῃ τὴν ἀθλίαν ζωὴν συγκεράσαντες· ἀμφίβολα καὶ μεμισημένα πρόσωπα περιφέροντες, καὶ πρᾶγμα νενοθευμένον ἱερῶν περιβόλων μακρὰν ἀποσχέσθωσαν. Ἐπειδὴ γὰρ αἰσχίστῃ καὶ κακίστῃ γνώμῃ τὸ καλὸν καὶ θεῖον ἔργον εἰς τὸ κακὸν καὶ διαβεβλημένον δόγμα παραλλάξαντες καὶ μεταποιήσαντες, καὶ τὴν πνευματικὴν εὐνουχίαν ἀπηγορευμένῃ πράξει λειτουργεῖν ἀναγκάσαντες, οὐ μόνον ἄξιοι νομικῆς ψήφου λαμβάνειν τιμωρίαν, ἀλλὰ καὶ ἐξ ἀγγελικῆς καὶ ἀποστολικῆς ἀποφάσεως εἰς τὸ λεγόμενον ἐξώτερον σκότος ἄρδην ἀπελαύνεσθαι. Περὶ γὰρ τῶν τοιούτων ἔφη [m]Μωϋσῆς, "Θλαδίας καὶ "ἀπόκοπος οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου." Ἔστι γοῦν ἰδεῖν πεπληρωμένας οἰκίας τῶν [n]μεγιστάνων τοιούτων τερατομόρφων προσώπων, χρυσοῦς μηνίσκους ἐπὶ τραχήλου [o]φοροῦντας, φύσιν μὲν ἄρρενος, θηλείας δὲ ὄψιν ἔχοντας, καὶ κεκλασμένως βαδίζοντας, καὶ τεθρυμμένως φθεγγομένους, ὥσπερ ἑταιρίδες· [p]ἀπρεπῶς τε ὧδε κἀκεῖσε τὴν κεφαλὴν περισείουσι, καὶ γελῶσιν ἀκρατῶς τε καὶ ἀναιδῶς, [q]οἰστρηλασίαν πρόδηλον ὑπεμφαίνοντες. Ὅθεν μετ' ἀνδρῶν μὲν ὡς γυναῖκες μαλακῶς εὐναζόμενοι καὶ μαλακιζόμενοι φθείρονται, μετὰ γυναικῶν δὲ, [r]ὡς φύλακες ἅμα καὶ σωφροσύνης δῆθεν ἰνδάλματα, καθεύδοντες ἀναισχύντως καὶ ἀπηρυθριασμένως αἰσχροπραγοῦσι. Καὶ οὗτοι μὲν οὕτως ὑπ' ἀνδρῶν ἀνοσίων καὶ βεβήλων φθειρόμενοι καὶ μαλακιζόμενοι καταμιαίνουσι καὶ καταμιαίνονται [s]διὰ τῆς παρὰ φύσιν ἀνοσιουργίας καὶ βδελυρίας. Αὐτοὶ δὲ [t]γυναικαρία ταλαίπωρα καὶ σεσοβημένα, κατὰ τὸ εἰρημένον, ἁμαρτίαις καταμολύνουσι [u]καὶ καταβλάπτουσιν, οἷα λυσσώδεις κύνες, καὶ, τὸ δὴ χαλεπώτερον, ἐντεῦθεν αἴτιοι γίνονται καὶ πρόξενοι [x]καὶ μέτοχοι τῆς ἀπεράντου κολάσεως, οἵ τε φθείροντες, καὶ οἱ φθειρόμενοι. Ἀλλ' ὢ τῆς ἀφροσύνης, ὢ τῆς ἀπάτης καὶ [y]παραπληξίας· τούτους γὰρ ἄνθρωποι, καὶ μάλιστα προὔχοντες, ὡς σώφρονας παραδεχόμενοι, πιστεύουσι καὶ εἰσοικίζουσιν· οἵ γε εἰσοικιζόμενοι, καὶ παρρησίας τυγχάνοντες, τοὺς ὄντως [z]δικαίους καὶ ἀρετῆς [a]ἐπιμελουμένους καὶ σώφρονας ἄνδρας καταμικρὸν δελεάσαντες, εἰς [b]τὸ τῶν Σοδόμων αἰσχρὸν βάραθρον κατηκόντισαν ἐλεεινῶς, καὶ τῷ αἰωνίῳ πυρὶ παρέπεμψαν. Διὸ δὴ λοιπὸν ἀραρότως [c]πάνυ τούτους καὶ νόμος καὶ λόγος εὐαγγελικὸς, καὶ ἄριστος βίος, καὶ εὐσεβὴς πολιτεία βδελύττεται λίαν, ὡς θεομισεῖς καὶ ἀκαθάρτους. Οὗτοι γὰρ τὴν τοιαύτην ἐξάγιστον ζωὴν [d]προτιμήσαντες, ὅσον ἧκεν ἐπ' αὐτοῖς, πόλεις μὲν ἠφάνισαν, τὸν σπερματικὸν τῆς φύσεως λόγον παραφθείροντες, καὶ φθειρόμενοι· ἐνανδροῦσαν δὲ ῥώμην ἀνδρὸς, καὶ ἡλικίαν, καὶ τὴν [e]ἀρρενωπὸν καὶ γενναίαν ἰσχὺν δεινῶς ἐξανάλωσαν. Καὶ ἁπλῶς, τὴν σύντονον καὶ σφριγῶσαν ἀκμὴν τῆς νεότητος λυμηνάμενοι φανερῶς, ἀθλίους καὶ καταγελάστους ἐποίησαν τοὺς ἁλόντας. Οὕς γε φευκτέον προτροπάδην, καὶ βδελυκτέον ἐνδίκως, ὡς ψυχοκτόνους καὶ [f]σωματοφθόρους καὶ ἐναγεῖς ὄντας, καὶ τῆς φύσεως παραχάρακτας. Οὐδὲν γὰρ ἀληθῶς μυσαρώτερον ἢ ἀκαθαρτότερον τῶν οὕτω πορνευομένων [g]καὶ πορνευόντων. Εἰώθασι γὰρ, ὡς ἀκριβῶς μεμαθήκαμεν, οὐ μόνον οἱ [h]σπάδωνες, καὶ τὰ μόρια τῆς αἰσχρουργίας πασῶς ἔχοντες, ἀσελγαίνειν ἀμέτρως, καὶ ἀκολασταίνειν ἀναιδῶς καὶ ἀκορέστως, ἀλλά γε καὶ οἱ τέλεον ἀπόκοποι καὶ ἐκτετμημένοι [i]ταῦτα, καθάπερ οὖν καὶ οἱ ἐκ γενετῆς ἐστερημένοι ταῦτα, φεῦ τῆς ἐσχάτης ἀτοπίας καὶ φρενοβλαβείας, διὰ [k]χειρῶν καὶ δακτύλων φθείρειν τὰς ἀθλίας γυναῖκας, καὶ τὴν ἀνοσιουργίαν οὕτως ἐμμανῶς οἱ ἀνόσιοι κατεργάζεσθαι. Καὶ τοῦτο [l]δηλῶν ὁ σοφὸς ἔφη· Μακάριος εὐνοῦχος, ὁ μὴ ἐργασάμενος ἐν χειρὶ ἀνόμημα, καὶ παρθένος, ἥτις οὐκ ἔγνω κοίτην ἐν παραπτώματι. Εἰκότως οὖν [m]ἄθηλοι, ἄνανδροι, ἀνδρόγυνοι, σιδηροκατάδικοι, καὶ γυναικομανεῖς προσηγορεύθησαν. [n]Ἀκουέτωσαν τοίνυν οἱ καθαροὺς καὶ σώφρονας τούτους ὑποτοπάζοντες μάτην, καὶ μὴ πιστευέτωσαν τῷ ψεύδει, καὶ τῇ κατεσχηματισμένῃ καθαρότητι καὶ σωφροσύνῃ. Ἀπὸ γὰρ ἀκαθάρτου τί καθαρισθήσεται; καὶ ἀπὸ ψεύδους, τί ἀληθεύσει; καὶ εἴθε ὁ [o]χειροτονηθεὶς εὐνοῦχος διὰ βίου σεμνοῦ ἦν ἠγμένος, καὶ ἡμίκακον ἦν τὸ κακόν. Νῦν δὲ γῆς ἔντερον, γαστρίδουλον, θηλυμανὲς, ἰταμὸν, μέθυσον, πορνοκόπον, ἀργυρώνητον, ἀνελεύθερον, ἀργυρόδουλον,

[l] πεφυρμένη] πεφθαρμένη A.B.V.E.
[m] Μωϋσῆς] Deuteron. XXIII. 1. KUST.
[n] μεγιστάνων] μεγίστων A.
[o] φοροῦντας] Constructio mutata. Nam dicendum videtur προσώπων, φορούντων, et ἐχόντων et βαδιζόντων et φθεγγομένων, vel aliquid desideratur, unde sequentes accusativi legitime regantur. PORTUS. Constructio requirit, ut scribatur, φορούντων. Refertur enim ad praecedens illud, τερατομόρφων προσώπων. Idem dicendum est de vocibus illis sequentibus,—ἔχοντας—βαδίζοντας—φθεγγομένους. KUST. φρονοῦντας V.
[p] ἀπρεπῶς τε] τε om. A.V.E. et mox ante καὶ A.V.
[q] οἰστρηλασίαν—μαλακῶς] οἰστρηλακῶς A. omissis mediis.
[r] ὡς φύλακες ἅμα] ἅμα ὡς φύλακες V. qui mox om. δῆθεν. Tum καθεύδονται B.E.
[s] διὰ τῆς] ὑπὸ τῆς B.E.
[t] γυναικάρια—σεσοβημένα] γυναικάρια σεσωρευμένα ἁμαρτίαις 2 Ep. ad Tim. III. 6.
[u] καὶ καταβλάπτουσιν om. V. qui mox λυσσώδεις κύνας, omissis καὶ τὸ δὴ—φθειρόμενοι.
[x] καὶ μέτοχοι] οἵ τε καὶ μέτοχοι A.
[y] παραπληξίας] τῆς παραπληξίας V.
[z] δικαίους καὶ] δικαίως A.B.V.E. edd. ante Kuster.
[a] ἐπιμελουμένους] ἐπιμελομένους A. Tum καὶ om. A.B.V.E. edd. vett.
[b] τὸ μὲν] τὸ τῶν A.B.V.E. καὶ τῷ—παρέπεμψαν om. V.
[c] πάνυ] πάνυ γε A.
[d] προτιμήσαντες] ἀγαπήσαντες V. καὶ ποθήσαντες addunt A.B.E.
[e] ἀρρενωπὸν καὶ] ἀρρεῦ ὦ καὶ τὴν A.
[f] σωματοφθόρους] σωτοφθόρους V. Mox ὄντας om. A.
[g] τε καὶ] τε om. A.V. πορνευόντων καὶ πορνευομένων V.
[h] σπάδωνες] σπάδωνες A. Mox ἀμέτρως—ἀκορέστως om. V. et infra ταῦτα—ταῦτα—καὶ φρενοβλαβείας—καὶ τὴν—κατεργάζεσθαι.
[i] ταῦτα om. A.
[k] χειρῶν καὶ δακτύλων] χειρὸς καὶ δακτύλου A.V. χειρὸς item E. Addidi mox ἀθλίας et οἱ ἀνόσιοι ex A.
[l] δηλῶν ὁ σοφὸς] δῆλος A. sine ὁ σοφὸς δῆλον V.
[m] ἄθηλοι] ἄθηλυ A.
[n] Ἀκουέτωσαν—κακόν. Νῦν δὲ] οὕτω τὸ τῶν εὐνούχων γένος V. νυνὶ A. pro νῦν.
[o] χειροτονηθεὶς] Portus χειροτομηθείς.

[p] πρὸς αὐτῇ τῇ γενέσει [pp] σιδηροκατάδικον, ἄνανδρον, ἄθηλυ, ἐπιμανὲς, πολλάκις τὰ θεατρικὰ κοράσια ἐπ' ὤμων βαστάσαν ἐν σατυρικοῖς συμποσίοις, κισσῷ τὴν κεφαλὴν ἐστεμμένον, καὶ κρατῆρα τῇ χειρὶ ἐνημμένον, ᾠνοχοηκέναι ἐν προσχήματι τοῦ μυθικοῦ Διονύσου. [q] Οὕτω σωφρονεῖ μὲν ἄμισθα διὰ σιδήρου, μαίνεται δὲ ἄκαρπα δι' οἰκείαν αἰσχρότητα.

Ὅτι [r] ἐπὶ Εὐτροπίου τοῦ εὐνούχου, τοῦ [s] ἐπιτρόπου Θεοδοσίου τοῦ βασιλέως, τὸ τῶν εὐνούχων [t] ἔθνος διὰ τὴν ἐκείνου βαρύτητα καὶ δυναστείαν ἐς τοσοῦτον ἐπέδωκε καὶ παρετάθη πλήθους, ὥστε τινες ἤδη καὶ [u] τῶν γενειάδας ἐχόντων, εὐνοῦχοι βουληθέντες καὶ Εὐτρόπιοι γενέσθαι [x] προσελπίζοντες, [y] τῆς ψυχῆς ἀφῃρέθησαν σὺν τοῖς ὄρχεσι, [z] τὸν Εὐτρόπιον ἀπολέσαντες. Χρυσοῖ τε ἀνδριάντες ἀνίσταντο πανταχοῦ, καὶ οἰκοδομήματα [a] διηγείρετο, καὶ κατελαμπρύνετο παρ' αὐτοῦ σεμνότερα [b] τῆς ὅλης πόλεως.

Σπαθᾷν: Εἰκῇ λέγειν, ἢ ἀναλίσκειν [c] ἀσώτως, ἢ ἐργάζεσθαι. [d] Ἀριστοφάνης Νεφέλαις·

Ἔφασκεν, ὦ γύναι, λίαν σπαθᾷς.

Ἀντὶ τοῦ ἐργάζῃ· τουτέστι, σπαταλᾷς.

[e] Εἰς τοῦτο γὰρ ἦλθον ἀνάγκης τῶν ἐπιτηδείων σπάνει, ὥστε τοὺς [f] ὀρέβους βρέχοντας διδόναι εἰς τροφὴν τοῖς ὑποζυγίοις.

Σπάθημα φρενῶν: [g] Τὸν ἄγαν φρόνιμον.

Σπαθῶσι: Κατασπαταλῶσι, σκορπίζουσι. Καὶ σπάθησις, σπατάλη.

Σπαλίων: Πλέγμα μηχανικόν. [h] Ἀγαθίας·

Οἱ δὲ Ῥωμαῖοι τοὺς σπαλίωνας ἐσκεύαζον, καὶ τὰ τῶν μεγάλων λίθων ἀκοντιστήρια. Ἔστι δὲ ὁ σπαλίων πλέγμα ἐκ λύγων, εἰς ὀροφῆς τύπον ἐξειργασμένον, στεγανόν τι τῇ πυκνώσει καὶ [i] ἀμφηρεφὲς, τῷ ἑκατέρωθεν τὰ πλευρὰ καὶ ἐς [k] τὰ κάτω παρατετάσθαι, καὶ παραβάλλειν τὸ [l] ἐπερχόμενον. [m] Δέρρεις δὲ ὕπερθε καὶ διφθέρας ἐπιβάλλοντες, πάντοθεν περικαλύπτουσι τὸ μηχάνημα, τοῦ μᾶλλον ἔρυμα εἶναι καὶ ἀποκρούειν τὰ βέλη. Ἄνδρες δὲ ἔνδον ἐν τῷ ἀσφαλεῖ [n] ὑποκρυπτόμενοι, αἴρουσί [o] γε αὐτὸ [p] ἀφανῶς, καὶ ᾗ βούλονται διακομίζουσι. [q] Ἐπειδὰν δὲ προσενεχθείη πύργῳ τυχὸν ἢ περιβόλῳ, τότε δὴ νέρθεν ἐκεῖνοι τὴν [r] προσκειμένην γῆν ἀνορύττοντες, καὶ τὸν χοῦν ἀνιμώμενοι, ἀπογυμνοῦσι τὰ θεμέλια, καὶ εἶτα μοχλοῖς τε καὶ σφύραις [s] ἐνδελεχέστατα πλήττοντες, κατασείουσι τὴν οἰκοδομίαν.

[t] Παρὰ δὲ Μενάνδρῳ σπαλίωνες εἰσὶ μηχανήματα, καλύπτραι τινὲς βοείοις δέρμασιν ἐκτάδην ξυντεθειμέναι, ξύλοις τε ἀνδρομήκεσιν [u] αἰωρούμεναι· ὧν ἔνερθεν ὑπεισδύντες ὁπλῖται, ἐν χρῷ τε [x] τῷ τείχει προσπελάζοντες, ὄργανά τε λατόμα καὶ τοιχωρύχα μεταχειριζόμενοι, ὑπὸ γῆν αὐλῶνας ἐργάζονται, ἐγκείμενοί τε καὶ διορύττοντες, εἴ που τοῦ [y] τείχους μέρος τι καταρρίψαιεν, ἢ ἄλλῳ τινὶ τρόπῳ ἐντὸς κενωμάτων γενόμενοι, δυοῖν ἀνύσουσί γε τὸ ἕτερον, ἢ τὴν γῆν [z] ἀναρρήξαντες τοῦ περιβόλου [a] γενήσοιντο εἴσω, ἤγουν κατὰ τὸ ἔνδον φρέατος τοὺς σήραγγας ἀγαγόντες, ἐπ' εὐθείας ἐκκενώσαιεν ἐφελκύσαντες τὸ ὕδωρ εἰς τὰ γλαφυρά τε καὶ κοῖλα τοῦ ὀρύγματος.

Σπάνις: Ἔνδεια.

[b] Ὥρης χειμερίης σπάνιον γέρας.

Περὶ μήλου ὁ λόγος. Καὶ σπανιώτατον, ὀλίγον.

Σπανιστοῖς: Τοῖς εὐτελέσι. [c] Σοφοκλῆς·

Σπανιστοῖς δέξεται δωρήμασι;

(τοῖς κατὰ σπάνιν τοῦ αἰτοῦντος [d] διδομένοις·)

Σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ [e] σμικροῦ δ' ἔτι
[f] μεῖον φέροντα, καὶ τόδ' ἐξαρκοῦν ἐμοί.

Βραχύτερον ἀποφερόμενον τοῦ αἰτηθέντος. Οὐ γὰρ ὅσον αἰτεῖ τις, λαμβάνει.

---

[p] πρὸς αὐτῇ τῇ γενέσει om. V. Mox ἄθηλον V.

[pp] σιδηροκατάδικον] Vid. Basil. t. III. p. 208. B. HEMST.

[q] Οὕτω] οὕτος A. Post αἰσχρότητα delevi Καὶ τὸ πληθυντικὸν, σπάδωνες cum A.V. Habet tamen A. in marg.

[r] ἐπὶ Εὐτροπίου τοῦ εὐν.] Hæc leguntur etiam supra v. Εὐτρόπιος. KUST.

[s] ἐπιτρόπου Θεοδοσίου] Arcadii. Steph. de Urbibus spadones dictos esse a Spada, vico Persico, ubi primum spadones castrari cœperunt, tradit. REINES.

[t] γένος] ἔθνος A. Mox καὶ παρετάθη πλήθους om. V. qui et ἤδη om.

[u] τῶν τὰς] τῶν om. E. τὰς om. A.V. Tum γενείων V.

[x] προσελπίζοντες] ἐλπίσαντες V.

[y] τῆς ψυχῆς] τὰς ψυχὰς v. Eutrop. TOUP.

[z] τὸν Εὐτρόπιον ἀπολέσαντες] Hæ tres voces ut supervacaneæ, et sensum turbantes, delendæ sunt. KUST. Leg. τοῦτο τοῦ Εὐτροπίου ἀπολαύσαντες. *Hunc fructum scilicet pietatis suæ erga Eutropium consecuti.* TOUP.

[a] διεγείρετο] διηγείρετο A.V.

[b] τῆς ὅλης] τὰ τῆς ὅλης V.

[p] Λακρατίδου] Λακρατι' A.V. Λακρατίδου B.E. Mox γεγηρακὸ' V.

[q] Θεόκριτος] XIV. 70.

[r] Λαμπρᾶς γὰρ ἄτερ στερ.] Sophocl. Aj. 257. ἄτερ om. V. γὰρ ἀστεροπᾶς A. Mox φρόνιμον B.E. νέον addit E. post ἄλγος.

Ἀντὶ τοῦ, οὐ κατέχει αὐτὸν ἡ μανία, ἀλλὰ λήγει, ὡς ὀξὺς νότος [s]ταχέως λήγει. Ὡς γινομένων τινῶν σημείων [t]ἐπὶ τοῖς πνεύμασιν, ὥστε παρατείνειν αὐτά, ἢ ταχέως πεπαῦσθαι. [u]Ὡς ἐν τῇ κωμῳδίᾳ·

Ἀλλ' [x]ἐπίσχε ταχέως· δειλινὸς γὰρ ἤρξατο ἀλγεῖν.

Στερρός: Στερεός, ἰσχυρός.

[Στεροῦμαι: Γενικῇ. Στερῶ δέ, αἰτιατικῇ.]

Στέρφος: Δέρμα, σκέπασμα. Καὶ [y]στερφόπεπλος γὰρ ὁ Ἡρακλῆς. Καὶ ἐν Ἐπιγράμμασι·

[z]Πήρην, κἀδέψητον ἀπεσκληρυμμένον αἰγὸς στέρφος.

Στεφαναῖος:

Στεφάνη: Ὁ στέφανος. [a]Σημαίνει καὶ ὄρους ἐξοχήν.

Στεφάνη: Πόλις.

Στεφανηφόρος: Ἀντιφῶν ἐν τῷ πρὸς Νικοκλέα. [b]Στεφανηφόρου ἡρῷον, ὡς ἔοικεν, ἦν ἐν ταῖς Ἀθήναις. Εἴη δ' ἂν ὁ Στεφανηφόρος ἤτοι τῶν Ἡρακλέους υἱέων εἷς, τῶν γενομένων [c]ἐκ τῶν [d]Θεστίου θυγατέρων· ἢ μήποτε τοῦ [e]ἀστικοῦ Στεφανηφόρου τὸ ἡρῷον ἦν, ὥς φησιν [f]Ἑλλάνικος ἐν β' Ἀτθίδος.

Στεφανικὸν τέλεσμα: Παρὰ Ῥοδίοις οὕτως ἐκαλεῖτο, ἐπειδὴ αὐτόνομοι ἦσαν οἱ Ῥόδιοι· βραχὺ δέ τι μέρος Ῥωμαίοις ἐπὶ τιμῇ πέμποντες ἐτήσιον, ὡς οὐ φόρον ἡγεμόσι μᾶλλον, ἢ στέφανον φίλοις διδόντες. Τοῦτο καὶ Ἑλληνογαλάταις τοῖς Ἀγκυρανοῖς ἐπιχωριάζει τὸ λόγιον. Στεφανικὸν γὰρ λέγουσι πᾶν τὸ ἐν χάριτος λόγῳ διδόμενον.

Στεφανίτης:

Στέφανος: [g]Ἀριστοφάνης·

Φέρε καὶ στέφανον, κατὰ χειρῶν ὕδωρ φερέτω τις.

Τὸ γὰρ παλαιὸν τοῖς εὐωχουμένοις περιέκειντο στέφανοι, καταψύχοντες τὸ κρανίον ἀπὸ τῆς τοῦ οἴνου θέρμης.

Στεφανοπώλης: Ὁ τοὺς στεφάνους πωλῶν.

Στεφανῶν τοὺς νενικηκότας: Ἀντὶ τοῦ τιμῶν. Ὡς Δημοσθένης. [h]Καὶ γὰρ Λυκοῦργός φησιν·

Ἀλλὰ μὴν καὶ Καλλισθένην ἑκατὸν μναῖς ἐστεφανώσατε.

Στεφανωσάμενος καλάμῳ: Λιτὸς καὶ ἀπερίεργος ὁ τοιοῦτος στέφανος. Ἦν δὲ τῶν Διοσκούρων ἴδιον στεφανοῦσθαι καλάμῳ.

Στεφάνωσις: Ἐπὶ οἰκοδομῆς [i]οἴκου.

Στείβοντες: Πατοῦντες.

Στειλάμενοι: Στείλαντες. Καὶ στείλασθαι, ἀντὶ τοῦ κρύψαι.

[k]Ὀλίγοι δέ τινες δεδιότες, μήποτ' οὐ δυνάμενοι στείλασθαι καταφανεῖς γένωνται, ἀνέφερον τὰ χρυσία.

Καὶ αὖθις·

Ὁ δὲ Περσεὺς ἐβουλεύετο μὲν στέλλεσθαι, τὸ γεγονὸς οὐ μὴν [l]ἠδύνατό γε κρύπτειν.

Στειλάμενος: Εὐσταλῶς ἐπελθών.

Στείλασθαι: Ὁδεῦσαι, πλεῦσαι.

Στειλειός: Τὸ τῆς ἀξίνης ξύλον.

[m]Τί γὰρ σθένος [n]ἶσκε σιδήρῳ
ὁμοῖον, εἰ μὴ οἱ ἐνὶ στειλειὸν ἀρήρει;

Στεῖρα: Ἡ ἄτεκνος, καὶ ἡ τρόπις τοῦ πλοίου. [o]Ὅμηρος·

Ἀμφὶ δὲ κῦμα
στείρῃ πορφύρεον μεγάλ' ἴαχε [νηὸς ἰούσης.]

Καὶ στειριεύς, ὁ στεῖρος. Καὶ Στείριον, [p]ὄνομα ποταμοῦ. Καὶ [q]Στειριεύς: Δῆμος (φυλῆς) τῆς Πανδιονίδος (ἡ Στειρία.)

Στείχειν: Πορεύεσθαι. Καὶ στείχοντες, πορευόμενοι.

[r]Λόγος δ', ὃς ἐμπέπτωκεν ἀρτίως ἐμοὶ
[s]στείχοντι δεῦρο, συμβαλοῦ γνώμην· ἐπεὶ
σμικρὸς μὲν εἰπεῖν, ἄξιος δὲ θαυμάσαι.

Στῆθος: Καὶ στηθίδιον καὶ [t]στηθύνιον, τὸ μικρὸν στῆθος. Καὶ Στηθίδην.

[s] τουτέστι ταχέως] ταχέως λήγει A. Schol. λήγει item V. adjicit. Tum γινομένων A.B.V.E. non γενομένων.

[t] ἐν τοῖς] ἐπὶ τοῖς A.B.V. Schol.

[u] Ὡς ἐν] οἷόν ἐστι καὶ ἐν Schol.

[x] ἐπίσχε] ἔπισε Schol. ubi mox om. ἀλγεῖν.

ΣΤΕΡΟΥΜΑΙ] Deest gl. A.V.

ΣΤΕΡΦΟΣ] Apollon. Rhod. IV. 1348. TOUP.

[y] ΣΤΕΡΦΟΠΕΠΛΟΣ, ὁ Ἡρακλῆς] Lycophron Cassandr. 652. Τοῦ Στερφοπέπλου, Σκαπανέως, Βοαγίδα. Scholiasta: Στερφοπέπλου, τοῦ Ἡρακλέος, τοῦ τὴν λεοντῆν ἐνδεδυμένου. Στέρφος γάρ, τὸ τοῦ λέοντος δέρμα. Ἐκέχρητο δὲ αὐτῷ ἀντὶ περιβολαίου. Huc Suidas respexit. KUST. γὰρ addidi cum A.V.

[z] Πήρην, κἀδέψ.] Anthol. Pal. VI. 298. δ' ἀδέψητον A.

[a] Σημαίνει—ἐξοχήν] σ¹—ἐξοχὴ A. Στεφάνη: ὄρους ἐξοχὴ nec plura Photius, Lex. Seg.

ΣΤΕΦΑΝΗΦΟΡΟΣ: Ἀντιφ.] Ex Harpocratione. KUST. Vid. Boeckhii Œcon. Athen. t. I. p. 194. vers. Angl.

[b] Στεφανηφόρου] Στεφανηφόρον B.E.M. et sic infra.

[c] ἐκ τῶν τοῦ] τῶν om. V. τοῦ om. A. Photius.

[d] Θεστίου] Alii eum Θέσπιον vocant. KUST.

[e] ἀστικοῦ] Lege Ἀττικοῦ, ut habet Harpocratio. KUST.

[f] Ἑλλάνικος] Fr. 20. p. 60. Sturz.

ΣΤΕΦΑΝΙΤΗΣ] Delevi Ὁ ἐστεφανωμένος, cum A.B.V.

[g] Ἀριστοφάνης] Av. 463. ubi sic legitur: Φέρε καὶ στέφανον· καταχεῖσθε· Κατὰ χειρὸς ὕδωρ φερέτω τάχα τις. KUST.

ΣΤΕΦΑΝΩΝ ΤΟΥΣ ΝΕΝΙΚΗΚΟΤΑΣ: Ἀντὶ τ.] Ex Harpocratione. KUST. Vid. Polybii locum in Στακτή. HEMST.

[h] καὶ Λυκοῦργος] καὶ γὰρ Λυκοῦργος A.V. Photius. Harpocr. ms. Pal.

ΣΤΕΦΑΝΩΣΑΜΕΝΟΣ Κ.] Ex Schol. Aristoph. Nub. 1002.

[i] οἴκου] Statim delevi ΣΤΕΦΟΣ καὶ ΣΤΕΦΗ: Καὶ ΑΙΘΡΙΑ ΣΤΕΦΗ, τὰ ἐξ Ὑπερβορέων κομιζόμενα, ὡς ἀεὶ ἐν ὑπαίθρῳ τιθέμενα, quæ om. V. habet A. in marg. Vide supra p. 1097 A.

[k] Ὀλίγοι δέ τινες δεδ.] Fragmentum hoc Fulv. Ursinus Polybio tribuit. KUST. Fr. gr. 117. Seq. locus legitur inter fr. hist. 39.

[l] ἠδύνατο] ἐδύνατο A.E. Ordinem verborum mutavi cum A.V. Vulgo τὸ γεγονὸς post κρύπτειν.

ΣΤΕΙΛΑΜΕΝΟΣ] Euagrius p. 356. Hermesianax apud Athenæum. TOUP.

ΣΤΕΙΛΕΙΟΣ] Potius Στειλειόν. Vid. Odyss. ε'. 236. TYRWHITT. Diss. de Babrio p. 4.

[m] Τί γὰρ] Vid. Στειλειόν. TOUP.

[n] ἶσκε] ἔσχε V.

[o] Ὅμηρος] Il. α'. 481. In versu ἴσχει B. ἰάχει V. Tum νηὸς ἰούσης om. A.B.V.E.

[p] ὄνομα ποταμοῦ] τόπος Herodian. Epim. p. 129.

[q] ΣΤΕΙΡΙΑ] Στειριεύς V. Harpocratio: Στειριεύς: δῆμος φυλῆς τῆς Πανδιονίδος ἡ Στειρία. Desunt vulgata Καὶ Στειρία δῆμος τῆς Πανδιονίδος· ἧς ὁ δημότης Στειριεύς· εἰς Στειριεῖς τὸν δῆμον. A. et a τῆς Πανδιονίδος V. Vide supra p. 890 D. infra post Στίπτιον.

[r] Λόγος δ', ὃς ἐμπέπτ.] Sophocl. Œdip. Colon. 1151.

[s] στείχοντι] στείχοντα V. Mox γνώμην A.V. pro γνώμῃ.

[t] ΣΤΗΘΥΝΙΟΝ] Leg. στηθύνιον. Vide Hesych. TOUP. στηθύνιον A. quod e conj. reposuit Boissonad. ad Hero-

Στήριγμα ἄρτου: Οὐ μόνον σῖτος καὶ κριθή, A ἀλλὰ πᾶν τὸ τρέφειν δυνάμενον.

Στηριγμός: Ὁ ἑδρασμός.

Στησάμενος: Ποιήσας.

Περί τε Καλλίνικον καὶ Βάρρας τὸν ἀγῶνα στησάμενος.

Στησίχορος, Εὐφόρβου, ἢ Εὐφήμου· ὡς δὲ ἄλλοι, Εὐκλείδου, ἢ Ὑέτους, ἢ Ἡσιόδου· [r]καὶ πόλεως Ἱμέρας τῆς Σικελίας. Καλεῖται γοῦν Ἱμεραῖος. Οἱ δὲ ἀπὸ Ματαυρίας τῆς ἐν Ἰταλίᾳ. Οἱ δὲ ἀπὸ [s]Παλλαντίου τῆς Ἀρκαδίας φυγόντα αὐτὸν ἐλθεῖν φασιν εἰς Κατάνην, κἀκεῖ τελευτῆσαι, [t]καὶ ταφῆναι πρὸ τῆς πύλης, ἥτις ἐξ αὐτοῦ Στησιχόρειος προσηγόρευται. Τοῖς δὲ χρόνοις ἦν νεώτερος Ἀλκμᾶνος τοῦ λυρικοῦ, ἐπὶ τῆς λζ' Ὀλυμπιάδος γεγονώς. Ἐτελεύτησε δὲ ἐπὶ τῆς νϛ'. Εἶχε δὲ [u]ἀδελφὸν γεωμετρίας ἔμπειρον Μαμερτῖνον· καὶ ἕτερον Ἡλιάνακτα, νομοθέτην. Γέγονε δὲ λυρικός. Καὶ ἔστιν αὐτοῦ τὰ ποιήματα Δωρίδι διαλέκτῳ [x]ἐν βιβλίοις κϛ'. Φασὶ δὲ αὐτὸν γράψαντα ψόγον Ἑλένης τυφλωθῆναι· πάλιν δὲ γράψαντα Ἑλένης ἐγκώμιον ἐξ ὀνείρου, [y]τὴν παλινῳδίαν, ἀναβλέψαι. Ἐκλήθη δὲ Στησίχορος, ὅτι πρῶτος [z]κιθαρῳδίᾳ χορὸν ἔστησεν· ἐπεί τοι πρότερον Τισίας ἐκαλεῖτο.

Στιβάδες: Τράπεζαι, ἢ στρωμναί.

Στιβάδες Φορμίωνος: Ἐπὶ τῶν εὐτελῶν. Στρατηγὸς δὲ ἦν καὶ πολεμικὸς ὁ Φορμίων. Στιβάδες δέ, ἐπεὶ οἱ στρατιῶται [a]χαμευνοῦσι· λιτὸς δὲ [b]ἦν, καὶ πολεμικός. Καὶ στιβάς, χαμαικοίτιον, [c]ἀκούβιτον A ἀπὸ ῥάβδων καὶ αἱ τῶν δένδρων ἀκρέμονες.

Ὡς δὲ παρῆλθον ἐπὶ τὸ δεῖπνον, κατεκλίνοντο μὲν ἐπὶ στιβάσιν, ἐπὶ ταπίδων βαρβαρικῶν.

Στιβαρόν: Ἰσχυρόν. [d]Ἰώσηπος·

Ὁ δὲ ἐλάσας τὸν ἵππον, ἁρπάζει τινὰ νεανίαν, στιβαρὸν τὸ σῶμα.

Στίβη: Πηγυλίς, ἢ πάχνη. [e]Ὅμηρος·

Στίβη [f]ὑπηοίη.

B Τουτέστιν, ὀρθρινή. Καὶ [g]στιβήεις, ἡ ὑπὸ τὴν ἕω [h]γινομένη ψυχρότης τοῦ ἀέρος.

Στιβία καὶ στίβος: Ἡ ὁδός.

Αὐτὸν προπέμψας, τὸν ἐκείνου στίβον ᾔει.

Ἀρσενικόν, ὁ στίβος. Καὶ [i]Ἡρόδοτος·

Οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἑωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ᾖσαν.

C Καὶ [k]Πολύβιος·

Κατὰ τὸν αὐτὸν στίβον.

Στίβωνος: Ὄνομα κύριον.

Στιβότης: Ὄνομα ποταμοῦ.

Στιγεύς: Τὸ κεντητήριον.

Στίγματα: [l]Πληγαί, [m]τραύματα· ἢ ποικίλματα. Αἰλιανός·

[n]Τὰ βιβλία καταφλέξας τῶν ἀθέων τε καὶ ἀσεβῶν καὶ ἐκτε-
D θηλυμμένων στιγμάτων, τὴν σποδὸν [o]ἀναδεύσεις κηρῷ ὑγρῷ, καὶ ἐπιπλάσαιτο.

Στιγμή: [p]Στιγμή ἐστι γραμμῆς πέρας, ἥτις ἐστὶ σημεῖον ἐλάχιστον.—[q]Κέντρον δέ ἐστιν ἀρχὴ γραμ-

Fer. festi hujus nullam mentionem facit. KUST. Vid. Schol. Aristoph. Thesm. 834. ed. Bekker. Adde Albert. ad Hesych.

ΣΤΗΡΙΓΜΑ ἌΡΤΟΥ: Οὐ μόνον σῖτ.] Ex Theodoreto ad Psalm. CIV. 16. p. 819. KUST.

ΣΤΗΣΙΧΟΡΟΣ] Ante h. v. delevi ΣΤΗΣΙΧΟΡΕΙΟΣ: Ἡ τοῦ Στησιχόρου πύλη, cum A.V. quæ leguntur infra. Mox Ἐφόρβου E. pro Εὐφόρβου. Vide Stesichori Fragmenta in Museo Critico Cantabrigiensi T. II. p. 256.

[r] καὶ πόλεως] καὶ om. A. ἐκ πόλεως V.

[s] Παλλαντίου] Παλαντίου A.V.

[t] καὶ ταφῆναι—ἐπὶ τῆς νϛ' hic om. V. sed habet sub finem articuli.

[u] ἀδελφὸν γεωμετρίας ἔμπειρον Μαμερτῖνον] καὶ ἀδελφὸν γεωμετρὴν Μαμαρτῖνον V.

[x] ἐν βιβλίοις κϛ' om. V.

[y] τὴν παλινῳδίαν] Scripserim, διὰ τὴν παλινῳδίαν. KUST. Malo supplere τὴν καλουμένην, vel λεγομένην. HEMST. Isocrates p. 218 E. Ἐνεδείξατο δὲ καὶ Στησιχόρῳ τῷ ποιητῇ τὴν ἑαυτῆς δύναμιν· ὅτε μὲν γὰρ ἀρχόμενος τῆς ᾠδῆς ἐβλασφήμησέ τι περὶ αὐτῆς, ἀνέστη τῶν ὀφθαλμῶν ἐστερημένος· ἐπειδὴ δὲ γνοὺς τὴν αἰτίαν τῆς συμφορᾶς τὴν καλουμένην παλινῳδίαν ἐποίησε, πάλιν αὐτὸν εἰς τὴν αὐτὴν φύσιν κατέστησε. Conf. Pausan. G III. 19, 13.

[z] κιθαρῳδίᾳ] κιθαρῳδίας V.

ΣΤΙΒΑΔΕΣ] Schol. ms. Paris. Gregor. Nazianz. in Excerptis Bastii: Στιβάς, στρωμνή, χαμαικοίτιον, ὡς Εἰρηναῖος ὁ Ἀττικιστής, καὶ Ἀριστοφάνης ἐν στρατείαις (f. Pac. 347. v. artic. seq.) ὁ κωμικός, καὶ ἐν Δραπέτισι Κρατῖνος, καὶ τῶν ῥητόρων οἱ πλεῖστοι. ἀλλὰ τὴν κλίνην οὗτος στιβάδα καλεῖ, ὡς ἐν τῷ ā τῶν στηλιτευτικῶν, ἐπὶ στιβάδος ὑψηλῆς καὶ μετεώρου φησὶν ἀνακειμένους etc.

ΣΤΙΒΑΔΕΣ ΦΟΡΜΙΩΝΟΣ] Aristoph. Pac. 347. Πολλὰ γὰρ ἠνεσχόμην Πράγματά τε, καὶ στιβάδας, ἃς ἔλαχε Φορμίων. Huc Suidas respexit. Vide etiam infra v. Φορμίων. KUST.

[a] χαμευνοῦσι] χαμαιευνοῦσι V.

[b] ἦν, καὶ πολεμικός] καὶ πολεμικὸς om. A.B. Habent h. l. V. E. sed om. supra.

[c] ἀκούβιτον] Vide Casaub. ad Æl. Lamprid. p. 151. E edit. Paris. KUST. Ἀκκούβιτον A.B.V.E. Phot. Lex. Seg. ms.

[d] Ἰώσηπος] Lib. VII. de Bello Jud. c. 15. p. 952. KUST. VI. 2, 8.

[e] Ὅμηρος] Odyss. ρ'. 25. KUST.

[f] ὑπηοίη] ὑπ' ἠοῖ A. qui mox ὀρθρινῇ.

[g] ΣΤΙΒΗΕΙΣ] An pro στίβη? Sed id vix mihi persuaserim. Quare malim στίβη. Solet enim sæpe Suidas voces, quas in serie sua explicat, in eadem nota semel iterumque repetere: quoties nempe interpreta-F tiones ex diversis Grammaticis adducit. KUST. Ut a τιμὴ τιμήεις, sic a στίβη στιβήεις. Quæ vox minime repudianda est. Sed Kusterus, vir bonus, hic dormitabat: quod nobis omnibus commune est. Ceterum hæc deprompta sunt proculdubio ex Scholiis antiquis ad Homerum, quæ hodie desiderantur. TOUP.

[h] γινομένη] γενομένη A.B.E.

[i] Ἡρόδοτος] Lib. IV. 140. sed ubi pro ᾖσαν legitur ᾖσαν. KUST.

[k] Πολύβιος] Lib. II. c. 25. ubi legitur, ὑποχωρεῖν κατὰ G τὴν αὐτὴν στίβον. Eo enim Suidas respexisse videtur: quamvis vocem στίβον masculino genere efferat, quæ apud Polybium est generis fœminini. KUST. Nunc in Polybio legitur fide mstorum τὸν αὐτόν.

[l] Πληγαὶ τρ.] Duo priora glossemata pertinent ad Galat. VI. 17. Ultimum ad locum Æliani, quem Suidas adfert. ERNEST.

[m] τραύματα] στρώματα Photius.

[n] Τὰ βιβλία καταφλ.] Confer Nostrum v. Ἀναδεύειν, v. H Καταδεύσῃ, et v. Ταινίαι. KUST. Nihil ibi quod huc pertineat: imo pars illa sequitur hoc fragmentum, ut patet ex Ἀναδεύειν. HEMST.

[o] ἀναδεύσεις] ἀναδεύσει A.B.E.

[p] Στιγμή ἐστι γραμμ.——ἐλάχιστον] Hæc sunt verba Laërtii in Zenone Citt. lib. VII. num. 135. KUST.

[q] Κέντρον] στιγμὴ V.

μῆς· Μονὰς δέ ἐστιν ἀρχὴ ἀριθμοῦ· ἑκάτερον γὰρ ἀρχή. Προσθετέον δὲ τὸ οὗ ἐστιν ἀρχή. A

Στιδαῖος:

Στιζόμενος: Τυπτόμενος. [r]Ἀριστοφάνης·

Ἐγὼ δ' ἀπόλωλα, στιζόμενος [s]βακτηρίᾳ.

Στιβιάδης: Μάντις ἄριστος τῶν τοὺς παλαιοὺς χρησμοὺς ἐξηγουμένων, εὐδόκιμος, καὶ περιβόητος.

Στιλβωνίδης: Ὁ λαμπρὸς ἀπὸ βαλανείου, καὶ κεκαλλωπισμένος, ἢ ὄνομα κύριον. Ἀριστοφάνης Ὄρνισιν B

Ὦ [t]Στιλβωνίδη.

Στιλβηδόνος: Λαμπηδόνος.

Στιλβηδόν: [u]Ἐπίρρημα, [λαμβανόμενον] ἐκ τοῦ στίλβω, τὸ λάμπω.

Στίλη:

[x]Τί οὐκ ἀπεπειρήθημεν ὅσον ὅσον στίλην;

[[y]Τὸ παρ' ἡμῖν πιλωτὸν, καὶ κιβώτιον.] C

Στιλπνόν: Λαμπρὸν, στίλβον.

Στίλπων Μεγαρεὺς, φιλόσοφος, γεγονὼς παρὰ τῷ πρώτῳ Πτολεμαίῳ, μαθητὴς Πασικλέους τοῦ Θηβαίου· ὃς ἠκροάσατο Κράτητος τοῦ ἀδελφοῦ, καὶ [z]Διοκλείδου τοῦ Μεγαρέως· [a]ὁ δὲ Εὐκλείδου, τοῦ Πλάτωνος γνωρίμου. Προέστη δὲ καὶ τῆς Μεγαρικῆς σχολῆς, καὶ ἔγραψε διαλόγους οὐκ ἐλάττους τῶν κ'.

Στίξ: Στιχός. Ἡ τάξις. D

Στιπποί: Ἀντὶ τοῦ, πυκνοί. Εἴρηται δὲ ἀπὸ τῶν ἐσθήτων, αἵ τινες ὑφανθεῖσαι ἐς πυκνότητα συνάπτονται. Ἢ στερεοὶ, καὶ πεπιλημένοι. Ἀπὸ τοῦ στείβειν, ὅ ἐστι πατεῖν. Καὶ [b]Σοφοκλῆς·

Στιπτή γε φυλλάς, ὡς ἐναυλίζοντί τῳ·
τὰ δ' ἄλλ' ἔρημα;

Στίππτον: Τὸ ἄκλωστον λίνον. [Καὶ ζήτει ἐν τῷ Στυππεῖον.]

Στιριεύς: Δῆμος φυλῆς τῆς Πανδιονίδος ἡ Στιρία.

Στῖφος: Τάξις πολεμικὴ, ἢ φάλαγξ, συστροφὴ, [c]πλῆθος συστάσεων.

Στιχάκι: Περιπατεῖ.

Στιχάριον:

Στιχίδιον: Ὁ μικρὸς στίχος.

Στίχος: [d]Τάξις.

[e]Στίχος: Ὁ κατὰ τὸ κοινὸν ἔθος ὀνομαζόμενος στίχος, ὁ [f]ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ ἀναγινωσκόμενος.

Στλεγγίς: Ἡ [g]ξύστρα. Καὶ [h]στλεγγιζόμενος, ἀποξυόμενος. Ἀριστοφάνης Γήρᾳ·

Εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ, σφαῖραν καὶ στλεγγίδ' ἔχοντα.

Δαιταλεῦσιν·

Οὐδ' ἔστιν [i]αὕτη στλεγγίς, οὐδὲ λήκυθος.

Καλεῖται στλεγγὶς καὶ χρυσοῦν ἔλασμα, τὸ περὶ τῇ κεφαλῇ τῶν γυναικῶν.

[k]Ἡ δὲ στλεγγὶς [l]τῶν πρός τι ἐστὶ, καὶ τῶν οὐ πρός τι. [m]Τὰ μὲν γὰρ πρὸς ἕν τι μόνον ἐστὶ, καὶ οὐκ ἄν τις αὐτοῖς πρὸς ἄλλο τι χρήσαιτο, ὥσπερ τῇ ὄψει πρὸς μόνον τὸ ὁρᾷν· τὰ δὲ καὶ πρὸς ἄλλο τι, πρὸς ὃ οὐ πέφυκε, χρήσαιτο ἄν τις. [n]Τῇ γοῦν στλεγγίδι οὐ πρὸς τὸ περιξύεσθαι μόνον χρήσαιτο ἄν τις, ἀλλὰ καὶ [o]πρὸς τὸ ὕδωρ ἀρύσασθαι.

Στοά: Τὸ ταμιεῖον· διὰ τὸ [p]παράμηκες εἶναι.

[r] Ἀριστοφάνης] Vesp. 1187.

[s] βακτηρίᾳ] τῇ βακτηρίᾳ A.E.

ΣΤΙΒΙΑΔΗΣ] Ex Schol. Aristoph. Pac. 1031.

ΣΤΙΛΒΩΝΙΔΗΣ: Ὁ λαμπρ.] Ex Enarratore Comici ad Av. 139. KUST.

[t] Στιλβωνίδη] στιλβωνίδει V.

[u] Ἐπίρρημα usque ad κιβώτιον om. V. λαμβανόμενον om. A.

[x] Τί οὐκ ἀπεπ.] Aristoph. Vesp. 213. Scholiasta ad illum locum τὸ στίλην interpretatur, ἐλάχιστον. KUST.

[y] Τὸ παρ' ἡ. π. καὶ κ. om. A.

ΣΤΙΛΠΩΝ Μεγαρ.] De eo plura vide apud Laërtium, et Hesychium Milesium. KUST. Στίλβον. στίλβοντα V.

[z] Διοκλείδου] Reines. Var. Lect. lib. III. p. 364. legendum contendit Εὐκλείδου. Eum vide. KUST.

[a] ὁ δὲ Εὐκλείδου] Sic mss. Paris. At priores editt. οἱ δὲ Εὐκλείδου: quæ lectio alium prorsus sensum efficit; quippe significans, Stilponem secundum nonnullos audivisse Euclidem, Platonis discipulum. Nos auctoritatem codicum nostrorum sequi maluimus. KUST.

ΣΤΙΠΠΟΙ: Ἀντὶ τοῦ, πυκν.] Ex Schol. Aristoph. Acharn. 179. sed ubi rectius legitur, στιπτοί. Confer Erotianum v. Στεμφοί. KUST.

[b] Σοφοκλῆς] In Philoct. 33. At ibi legitur, στειπτὴ, per diphthongum ει. KUST. Mox ἔρημος M.

ΣΤΙΠΠΤΟΝ] Male, pro στυππεῖον, vel στυπεῖον. Vide infra. KUST. καὶ στυππεῖον addit V. καὶ ζήτει etc. om. A. Mox ἡ πολεμικὴ V.

ΣΤΙΡΙΕΥΣ] Hæc ex A.V. et Photio. Sed in V. Στειριεὺς—Στειρία. qui et addit Στειριεὺς τῶν δήμων. Vide supra. H

[c] πλῆθος συστάσεων] Lego et distinguo, πλῆθος, σύστασις. Nam σύστασις aliquando sumitur pro cœtu, vel caterva hominum. Vide Lexica vulgata. KUST. Descripsit hunc locum Suidas ex Scholiast. ad Aristoph. Equit. 848. ubi legitur: Τοῦτο δὲ στῖφος ἔτρεφεν ὁ Κλέων, ἵνα ἔχῃ συνεργχόμενον αὐτῷ πρὸς τὴν πολιτείαν. Hos alebat Cleon, ut haberet qui sibi in rebus publicis turbandis et novandis præsto essent. Quæ verba veram lectionem indicant. E Reponendum sine dubio: Πλῆθος ΣΥΣΤΑΣΙΩΤΩΝ. Noster infra: Συστρέμματα, συστασιωτῶν πλήθη. Ita legendum. Vulgo minus recte, στρατιωτῶν. Lucian. in Saltatione: Αἰτούντων γὰρ αὖθις ΤΩΝ ΣΥΣΤΑΣΙΩΤΩΝ αὐτὸν τὸν Αἴαντα αὐτοῖς ὀρχήσασθαι. Postulantibus iterum partium ejus fautoribus, ut Ajacem saltaret. Marcus XV. 7. Ἦν δὲ ὁ λεγόμενος Βαραββᾶς μετὰ τῶν ΣΥΣΤΑΣΙΑΣΤΩΝ δεδεμένος. Quod perinde est. TOUP. In συστάσεων consentiunt Schol. Aristoph. Photius et Lex. Seg. Dissimulare non debebat Toupius συστασιωτῶν esse Kusteri em. ad Scholiasten. F

[d] Καὶ τάξις τις] καὶ et τις om. A.B.V.

[e] ΣΤΙΧΟΣ δὲ] δὲ om. A.B.V.

[f] ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ] ἀπὸ ἀριστερῶν ἐπιδεξιὸν A. V. De h. l. vide Salmas. ad Vopisc. p. 448=703.

[g] ξύστρα] Statim delevi Ξενοφῶν· Τὰ δὲ ἄθλα ἦσαν στλεγγίδες χρυσαῖ, cum A.B.V. Photio et Schol. Platon. p. 136. Locus est Anab. I. 2, 10.

[h] ΣΤΛΕΓΓΙΖΟΜΕΝΟΣ, ἀποξυόμενος. Ἀριστοφ.] Hæc, et quæ sequuntur, occurrunt etiam apud Schol. Aristoph. Equit. 577. KUST. ἀξυνόμενος V. G

[i] αὕτη] αὐτῇ ms. apud Bast. Ep. Crit. p. 97.

[k] Ἡ δὲ στλεγγὶς—χρήσαιτο ἄν τις om. V. Mox οὐ om. A.

[l] τῶν πρός τι] Vid. Aristot. Top. VI. 3. REINES.

[m] Τὰ μὲν γὰρ πρὸς ἕν τι μ.] Vide Aristotelem lib. VI. Topic. c. 3. et Alexand. Aphrodis. ad Topic. p. 222. KUST. γὰρ om. A.E.

[n] Τῇ γοῦν] τῇ δὲ V. Mox παραξύεσθαι B.E. Tum ἄν τις χρήσαιτο μόνον A.

[o] πρὸς τὸ ὕδωρ ἀρύσασθαι] Inepte hinc lexicographi credidere στλεγγίδα esse vas, quo aqua hauritur. Petav. ad Synes. p. 38. REINES.

[p] παράμηκες] περίμηκες B.E.M.

[q]Στοᾶς τε καρποῦ, βακχίου τε νάματος.

Ἐν αἷς ὁ σῖτος, καὶ ὁ οἶνος. Ἀριστοφάνης.

Στοά: Ἡ ἐν Ἀθήναις διατριβή. Διὰ τοῦ ὁ μικροῦ· Στωϊκοὶ δὲ, οἱ ἀπ' αὐτῆς, διὰ τοῦ ω μεγάλου. [r]Ἥτις ὠνομάζετο [s]Πεισιανάκτειος· ὕστερον δὲ ζωγραφηθεῖσα, Ποικίλη ἐκλήθη.

Ὅτι [t]τὴν στοὰν τὴν ἐκτὸς Ἐφέσου ἀποτετεινομένην εἰς τὸ ἱερὸν, [u]θολωτὴν κατεσκεύασε Δαμιανὸς Ἐφέσιος σοφιστής.

Στόβηρα: [x]Πόλις.

Στολάς: [y]Ξενοφῶν·

[z]Τοξευθεὶς διὰ τῆς ἀσπίδος καὶ τῆς στολάδος εἰς τὰς πλευράς.

Στόλιον: Ἡ στολή. Καὶ στολὶς, στολίδος.

[a]Ἄκρητον θλίβων νέκταρ ἀπὸ στολίδων.

Καὶ αὖθις·

[b]Μὴ ἐν στολίῳ κατ' οἶκον περιπατεῖν.
[[c]Στολὴν λευκὴν κάλλιστον ἐν ὕπνῳ φέρειν.
[d]Στολὴν φορεῖν μέλαιναν, οὐ καλὴ θέα.
Στολὴν δ' ἁλουργὸν, εἰς μακρὰν νόσον φέρει.
Στολὴν ἐρυθρὰν, εἰς καλὴν πρᾶξιν φέρει.
Στολὴν φορεῖν ἄνακτος, ἐλπίδων λύσις.]

Στόλος: [e]Καὶ τὸ πεζικὸν στράτευμα. [f]Ἀρριανός·

[g]Σπαράκις μαθὼν τὸν στόλον βασιλέως ἐπὶ τὴν αὐτοῦ ἐπικράτειαν [h]γενόμενον, ἔφυγεν.

Οὕτω πεπραγότων αὐτῷ τῶν ἐκπεμφθέντων τῷ πρώτῳ στόλῳ, τὸν παῖδα τῆς στρατηγίας κατεμέμφετο.

Καὶ αὖθις·

[i]Τοὐμὸν ἐν σμικρῷ μέρος
ποιούμενοι, τὸν οἴκαδ' ἤπειγον στόλον.

Κυρίως δὲ, ὁ ναυτικός.

Στόλων: Ὄνομα κύριον.

Στόμα: Τὸ ἔμπροσθεν μέρος τοῦ στρατοῦ. [k]Ξενοφῶν·

A Κελεύει ἀπὸ τοῦ στόματος συμπέμψαι ἄνδρας. [l]μακρὰν γὰρ ἦν ἀπὸ τῆς οὐρᾶς λαβεῖν.

Στόμα: Ἡ φωνὴ παρὰ τοῖς παλαιοῖς. [m]Ὅμηρος·

Πολέμου στόμα.

Καὶ αὖθις·

Ὁ δ' ἀνθίσταται, καὶ κατὰ στόμα παίων βιαζομένους ἀνῄρει.

Τουτέστι, κατὰ πρόσωπον.

Στόμα: [n]Παρὰ τῇ θείᾳ γραφῇ, τῆς διανοίας ἡ

B προθυμία.

Στόμαργος: Φλύαρος. Ἠλέκτρα φησί·

[o]Κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακὴν,
εἴτε στόμαργον, εἴτ' ἀναιδείας πλέων.

Στόμαχος: Λαιμός.

[p]Ὅτι οἱ παλαιοὶ ἰατροὶ τὸν στόμαχον καρδίαν ἐκάλουν. Ἔνθεν καὶ [q]καρδιωγμός.

Στομίας ἵππος: Ἀπειθὴς, καὶ βίαιος· ὅν τινες

C [r]ἄστομόν φασι.

Στομώσῃς: [s]Παροξύνῃς. [t]Ἀριστοφάνης·

Δίδασκε, καὶ κόλαζε, καὶ μέμνησ' ὅπως
εὖ μοι στομώσῃς αὐτὸν, ἐπὶ μὲν [u]θάτερα
οἷον δικιδίοις· τὴν δ' ἑτέραν αὐτοῦ γνάθον
[x]στόμωσον οἵαν ἐς τὰ μείζω πράγματα.

Ἀντὶ τοῦ ὀξυνεῖς· ὡς ἐπὶ σιδήρου, μεταφορικῶς· ἀντὶ τοῦ [y]ἀκονήσῃς. Ἡ μεταφορὰ ἀπὸ τῶν μαχαιρῶν.

D Οἷαν δὲ, τουτέστι, δυνατὴν, καὶ ἔμπειρον εἰς τὸ λέγειν δίκας. Μείζω δὲ πράγματα, τὰ ἄδικα, τὰ ἐμφιλόσοφα. Ὑποκοριστικῶς δὲ εἶπε, δικιδίοις.

Στόμωσις: Δείνωσις, πανουργία.

[z]Τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα,
πολλὴν ἔχον στόμωσιν.

Καὶ στόμωσον. Ἀντὶ τοῦ ὄξυνον.

Στόμφακα: Τραχὺν, ἢ κομπαστήν. Καὶ [a]στομ-

E

[q] Στοάς τε καρπ.] Senarius hic legitur apud Aristophanem Ecclesiaz. 14. KUST.

[r] Ἥτις ὠνομάζετο Πεισιανάκτ.] Confer Nostrum infra v. Στωϊκοί. KUST.

[s] Πεισιανάκτειος] Πεισιανάκτιος V.

[t] τὴν στοὰν τὴν ἐκτὸς Ἐφ.] Vide Nostrum supra v. Δαμιανός, et Philostratum in vita Damiani, p. 601. KUST. Seqq. om. V. Habet A. in marg.

[u] θολωτὴν] Sic recte mss. Paris. et ipse Suidas supra v. Δαμιανός. At priores editt. inepte, θηλυκήν. KUST.

[x] Πόλις] ὄνομα πόλεως V.

[y] Ξενοφῶν addit A. τζάγγρα Ξενοφῶν V. Mox ἀπὸ τῆς στολάδος V. Post locum Xenophontis delevi Ζήτει περὶ τῆς στολῆς Νωμᾶ ἐν τῷ ΧΛΑΜΥΣ, cum A.V. Ad v. Νωμᾶ adscripsit Hemsterhusius: "Ante lectum νῶμα, quod Alb. "Rubenius emendavit castigato simul interprete de Re "Vest. I. 2. p. 18." Νωμᾶ item Reinesius.

[z] Τοξευθεὶς διὰ τῆς ἀσπ.] Hæc sunt verba Xenophontis, lib. IV. Ἀναβ. p. 318. KUST. IV. 1, 18.

[a] Ἄκρητον] Anthol. Pal. VII. 27. ubi ἢ νέκταρ A.V.E. M. Uncis mox inclusa habet A. in marg. om. V.

[b] Μὴ ἐν στολίῳ κατ' οἶκον περιπατεῖν] Hoc fragmentum excerpsit Suidas ex Marci Antonini lib. I. §. 7. sed ubi pro ἐν στολίῳ legitur ἐν στολῇ. Vide ibi Gatakerum. KUST.

[c] Στολὴν λευκὴν καλλ.] Est versus oneirocriticus, sed in legem metri peccans: quippe in cujus sede secunda spondæus est pro iambo. KUST.

[d] Στολὴν φορεῖν μέλ.] Quatuor hi versus oneirocritici deprompti sunt ex Astrampsycho: sed apud quem pro οὐκ ἀληθεία recte legitur, οὐ καλὴ θέα. KUST. Sic A.

[e] Καὶ τὸ πεζικὸν στράτ.] Scholiastes Apollonii Rhodii ad lib. I. Argon. 704. Στόλος δέ ἐστιν, ἐπὶ πρᾶξίν τινα πορευόμενον πλῆθος, εἴτε ἐπὶ νεῶν, εἴτε καὶ πεζῇ. Καὶ σχεδὸν ἐπὶ πάσης ὁρμῆς καὶ μείζονος παρασκευῆς. KUST.

[f] Ἀρριανός] Ἀριστοφάνης V. qui mox Σπαράκης et βασιλέα.

[g] Σπαράκις μαθὼν τὸν στ.] Fragmentum hoc legitur etiam supra v. Σπαράκις. KUST.

[h] γενόμενον] γενόμενον A.

[i] Τοὐμὸν ἐν σμικρῷ μ.] Sophocl. Philoct. 498.

F [k] Ξενοφῶν] Lib. III. Ἀναβ. p. 312. sed ubi pro οὐρᾶς legitur οὐραγίας. KUST. III. 4. 42. nunc legitur οὐρᾶς.

[l] μακρὰν] μακρὰ B.E.

ΣΤΟΜΑ: Ἡ φωνὴ] Schol. Sophocl. Œd. Col. 131.

[m] Ὅμηρος] Vid Il. κ'. 8. υ'. 313.

[n] Παρὰ τῇ θείᾳ] Verba sunt Theodoreti ad Ps. CXVIII. 131. ERNEST.

[o] Κήρυσσέ μ' εἰς ἅπ.] Sophocl. Elect. 606.

[p] Ὅτι οἱ παλαιοὶ] Ex Schol. Thucydid. II. 49.

[q] καρδιωγμός] καρδιωγμὸς A.V. καρδιωγμόνω E.

G ΣΤΟΜΙΑΣ] Jul. African. in Cest. p. 292. v. 18. 19. HEMST. Στόμιος V. Στόμιος Photius.

[r] ἌΣΤΟΜΟΝ] Sophocl. El. 724.

[s] Παροξύνῃς] παροξυνεῖς V.

[t] Ἀριστοφάνης] Nub. 1105.

[u] θάτερα] θατέρᾳ A. θάτερα V.

[x] στόμωσον] στομώσῃ A. στομώσεις V. στομώσῃς B. Deest v. E. Tum οἷον—μαχαιρῶν om. V.

H [y] ἀκονήσῃς] ἀκονήσεις E.

[z] Τὸ σὸν δ' ἀφῖκται δ.] Sophocl. Œdip. Colon. 794.

ΣΤΟΜΦΑΚΑ: Τραχ.] Aristoph. Nub. 1370. Ψόφου πλέων, ἀσύστατον, στόμφακα, κρημνοποιόν. KUST.

[a] ΣΤΟΜΦΑΣΑΙ——καὶ τοῦ ἔμφασις] Ex Schol. Aristoph. Vesp. 720. KUST.

ΦΑΣΑΙ, τὸ [b]ἀλαζονεύεσθαι. Σύνθετος ἡ λέξις ἀπὸ A
τοῦ στόματος, καὶ τοῦ ὄμφακος. Ἵνα ἢ λέγων, ὄμφακας ἔχων ἐν τῷ στόματι τοὺς μύθους. Λέγει δὲ περὶ Αἰσχύλου τοῦ ποιητοῦ.

Στόναχος: Στεναγμός.

Στονόεσσα: Στεναγμὸν ἔχουσα. Καὶ στόνος, στεναγμός.

Στορέσαι: Στρῶσαι.

Στόρθυγξ: Τὸ ἄκρον τοῦ δόρατος· ἢ τὸ τοῦ βέλους B
σιδήριον.

Στόρνῃσι: Ζώναις.

> [c]Αἱ δὲ γυναῖκες στόρνῃσιν ἀνέστεφον.

Περὶ Θησέως.

Στορνύντες:

Στούδιος, δυνάστης· ὃς καὶ τὴν [d]περιβόητον μονὴν ἔκτισεν.

[[e]Ἡ τῶν Στουδιτῶν μονὴ πρότερον [f]καθολικῆς ἐκ- C
κλησίας ἦν· ὕστερον δὲ μετῆλθεν εἰς μονήν.]

Ὁ αὐτὸς Στούδιος δυνάστης κτίζει τὸν ναὸν τοῦ Ἀρχιστρατήγου [g]Νακωλείας, ἐν ᾧ φέρονται καὶ [h]στίχοι ἡρωϊκοί·

> Στούδιος ἀγλαὸν οἶκον ἐδείματο· καρπαλίμως δὲ
> ὧν κάμεν, εὕρατο μισθόν, ἑλὼν ὑπατηΐδα ῥάβδον.

Στοχασμός: Συλλογισμός.

Στωβύσσω: Ῥῆμα.

Στωϊκοί: [i]Ζήνων ὁ Κιτιεὺς ἀνακάμπτων ἐν τῇ Ποικίλῃ στοᾷ καὶ Πεισιανακτείῳ, ὕστερον δὲ ἀπὸ [k]τῆς γραφῆς τοῦ ζωγράφου Πολυγνώτου [l]Ποικίλῃ κληθείσῃ, διετίθετο τοὺς λόγους. [m]Ἐπὶ τῶν λ' πολιτῶν πρὸς τοῖς χιλίοις τετρακόσιοι [n]ἀνῄρηντο ἐν αὐτῷ. Προσῄεσαν δὴ λοιπὸν ἀκούοντες αὐτοῦ· καὶ διὰ A τοῦτο Στωϊκοὶ ἐκλήθησαν καὶ [o]οἱ ἀπ' αὐτοῦ ὁμοίως, πρότερον Ζηνώνειοι καλούμενοι.

Στωμύλεθρος:

Στωμυλία: Ἡ κατὰ [p]ἀστειότητα ἀπάτη προερχομένη.

Στωμυλιοσυλλεκτάδη: Τουτέστι, στωμύλα ῥήματα συλλέγων. Ἀριστοφάνης Βατράχοις.

Στωμύλος: Λάλος, [q]πολύκομψος, πιθανολόγος, B
εὐτράπελος, ἔφεδρος τῶν λόγων, ἀπατεών, κόλαξ, φλύαρος. [r]Ἀριστοφάνης·

> Ἐπιφυλλίδες ταῦτ' ἐστὶ, καὶ στωμύλματα.

Ἀντὶ τοῦ λάλοι, καὶ πιθανολόγοι. Καὶ στωμυλλόμεθα, ἀντὶ τοῦ φλυαροῦμεν. Καὶ [s]στωμύλλεσθαι, ἀντὶ τοῦ φλυαρεῖν.

> [t]Τὰ μειράκια ταῖς τίτθαις [u]ἀποπέμψατε, καὶ θρυπτόμενα
> παρὰ ταύταις στωμύλλεσθαι καὶ λαλεῖν περὶ κρόκης καὶ στημόνων
> C καὶ πλαγγόνων ἐάσωμεν.

Καὶ αὖθις [x]Ἀριστοφάνης·

> Παῦσον [y]δ' ἡμῶν τὰς ἑταιρίας
> τὰς περικόμψους, αἷς στωμυλλόμε-
> θ' εἰς ἀλλήλους. [Μῖξον F ἡμᾶς
> τοὺς Ἕλληνας πάλιν ἐξ ἀρχῆς
> φιλίας χυλῷ,] καὶ συγγνώμῃ
> τινὶ πραοτέρᾳ κέρασον τὸν νοῦν.

D Καὶ [z]στωμυλώτατος, φλυαρότατος.

Στράβαξ: Ὄνομα κύριον.

Στράβων, Ἀμασεύς, φιλόσοφος. [a]Γέγονεν ἐπὶ Τιβερίου Καίσαρος. Ἔγραψε γεωγραφίαν ἐν βιβλίοις (ι)ζ'.

Στραγγαλίδες: Τὰ δύσλυτα ἄμματα. Φερεκράτης Αὐτομόλοις·

E

[b] ἀλαζονεύσασθαι] τὸ ἀλαζονεύεσθαι A.V.E. Mox δ' αὖ E. qui infra om. ἔχων.

ΣΤΟΝΟΕΣΣΑ] Pertinet forte ad Soph. Œd. Tyr. 188.

ΣΤΟΡΕΣΑΙ] Il. ι'. 617. et Schol.

ΣΤΟΡΘΥΓΞ] Vid. Schol. ad Il. ν'. 443.

[c] Αἱ δὲ γυναῖκες στόρνῃσιν ἀνέστρεφον] Membra poëtæ alicujus hic deprehendisse videor. Sed locus corruptus est: quod interpreti fraudi fuit. Lego et dispono, Αἱ δὲ γυναῖκες Αὐτὸν μὲν στόρνῃσιν ἈΝΕΣΤΕΦΟΝ. *Mulieres vero eum zonis redimiebant.* Est autem hoc fragmentum Callimachi, opinor, in Hecale: ubi de Theseo a Creta post occisum Minotaurum reduce, et ab Hecale hospitio excepto agebatur; de quo Plutarchus in Theseo. Confer etiam Suidam supra, v. Περιαγειρόμενοι. TOUP. ἀνέστεφεν A.V.

ΣΤΟΥΔΙΟΣ] Michael Monach. vit. Theodori Stud. §. 29. qui locus omnino conferendus. HEMST. Conf. Alb. Gentilis Lectt. Virgil. c. 14. REINES.

[d] περιβόητον om. V.

[e] Ἡ τῶν Στ.—εἰς μονὴν om. A.V. Mox ὁ αὐτὸς—ἡρωϊκοί A. in marg.

[f] καθολικῆς Ἐκκλησίας ἦν] Scribendum puto, τῶν Καθολικῶν ἐκκλησία ἦν. Hanc lectionem in versione secutus sum. KUST. καθολικὴ ἐκκλησία E. suprasc.

[g] Νακωλείας] Leg. Νατωλείας. REINES.

[h] στίχοι ἡρωϊκοί] Niceph. XV. 28. eos habet de cœnobio Studitarum, seu suburbio Constantinopoleos. Chron. Alex. p. 908. τὸ σεπτὸν μοναστήριον τοῦ ἁγίου Ἰωάννου Προδρόμου καὶ βαπτιστοῦ τὸ ἐπονομαζόμενον τῶν Στουδίου πλησίον τῆς χρυσῆς πόρτης. REINES.

ΣΤΩΒΥΣΣΩ] Confer Etymologum v. Ἐστόβευν. KUST.

[i] Ζήνων ὁ Κιτιεὺς, ἀνακ.] Hæc sunt verba Laërtii in Zenone Citt. lib. VII. num. 5. KUST.

[k] τῆς γραφῆς] τῆς om. V. qui mox Πολυγνώτου.

[l] Ποικίλῃ κληθείσῃ] ποικίλης κληθείσης A.V.

[m] ἐπεὶ δὲ ἐπὶ] ἐπεὶ vel ἐπὶ A.V. ἐπὶ γὰρ Laërt.

[n] ἀνῄρηνται] ἀνῄρηντο A. qui mox προσῄεσαν.

[o] οἱ ἀπ' αὐτοῦ πρότερον] καὶ οἱ ἀπ' αὐτοῦ καὶ πρότερον ὁμοίως A.V. et fere E. ubi ὁμοίως πρότερον.

ΣΤΩΜΥΛΕΘΡΟΣ hic in ed. Med. interseritur, eoque pertinet quod scribit Vigerus ad Euseb. Præp. Ev. XIV. p. 735 C. HEMST. Apud Laërt. in Euclid. F II. 10. Timon de Eubulide ῥαβδοστωμυλήθραν Δημοσθένους ἔχοντι. Athen. IX. p. 381. δαιταλεῖς στωμυλῆθραι, convivæ *loquaces.* REINES.

[p] ἀστειότητα—προερχομένη] αἰσχρότητα—προσερχομένη V.

ΣΤΩΜΥΛΙΟΣΥΛΛΕΚΤΑΔΗ] Aristoph. Ran. 865.

[q] πολύκομψος] Lege πολύκομπος, ut Portus etiam scribendum esse suspicabatur. KUST. Recte πολύκομψος, cui contrarium ἄκομψος.

[r] Ἀριστοφάνης] In Ran. 92. Confer etiam Nostrum supra v. Ἐπιφυλλίδα. KUST.

G [s] ΣΤΩΜΥΛΛΕΣΘΑΙ] Vide supra v. Ἐστωμυλάμην. KUST. Vid. Schol. Aristoph. Thesm. 1073. ed. Bekker.

[t] Τὰ μειράκια ταῖς τίτθ.] Fragmentum hoc auctius legitur infra v. Τίτθη. KUST.

[u] ἀποπέμψατε] ἀποπέμψαντες V. qui mox περὶ κόρης.

[x] Ἀριστοφάνης] In Pac. 993. Vide etiam Nostrum supra v. Περικόμψους, ubi eadem leguntur. KUST.

[y] δ' ἡμῶν] δ' ὑμῶν A. Mox μῖξον—χυλῷ om. A.V.E.

[z] ΣΤΩΜΥΛΩΤΑΤΟΣ] στωμυλώτατος A.

H ΣΤΡΑΒΩΝ] In ms. A. legitur Στράτων, sed repugnante literarum serie. Vide infra v. Στράτων. KUST. Vid. supra Πολύβιος. REINES. Deest articulus V.

[a] Καὶ γεωγράφος] Γέγονεν ἐπὶ Τιβερίου Καίσαρος. ἔγραψε γεωγραφίαν ἐν ββ ζ. A. καὶ γεωγράφος om. B.

ΣΤΡΑΓΓΑΛΙΔΕΣ] Vide Pollucem lib. X. c. 47. et Hesych. v. Στραγγαλίαι. KUST.

A σκευῆς· ἑτέρου δὲ, τοῦ μεθοδικοῦ, καὶ τῆς παρὰ τῶν ἐμπείρων ἀνδρῶν παραδόσεως· τρίτου δὲ, τοῦ διὰ τῆς ἐπ' αὐτῶν τῶν πραγμάτων ἕξεως καὶ τριβῆς· πάντων ἦσαν τούτων ἀνεννόητοι οἱ τῶν Ἀχαιῶν στρατηγοὶ ἁπλῶς.

Στρατηγιᾶν: Ἐπιθυμεῖν τῆς [e]στρατηγίδος. Καὶ στρατηγιῶντα, στρατηγίας ὀρεγόμενον. [d]Ἰώσηπος·

Ἤδη δ' αὐτὸν στρατηγιῶντα, καὶ μειζόνων ἐφιέμενον, ἔνδεια [e]χρημάτων κατεῖχε.

B Στρατήγιον: Τὸ στρατόπεδον. Ἀττικῶς. [f]Σοφοκλῆς·

Μέσον δὲ προσμολὼν στρατήγιον.

[g]Καὶ αὖθις·

Συνηθροισμένοι περὶ τὸ στρατήγιον.

Στρατήγιον: [h]Ὁ τόπος τοῦ στρατοῦ.

C Οἱ μὲν ἡγεμόνες πρὸς τὸ στρατήγιον, ἡ δὲ πληθὺς [i]ἐπὶ τὰς ἰδίας σκηνὰς ἔθεον.

Στρατηγὶς ναῦς:

Στρατηγῶ: Γενική.

Στρατηγοί: Οἱ καθ' ἕκαστον ἐνιαυτὸν χειροτονούμενοι στρατηγοὶ δέκα ἦσαν. [k]Δημοσθένης ἐν Φιλιππικοῖς.

D Στρατηγὸν εἶχον τῷ μὲν ὄκνῳ τε καὶ θράσει ἐς τοὺς [[l]πολεμίους καὶ] κινδύνους λαμπρὸν, τἄλλα δὲ ἀφανῆ, καὶ ἐκ ταπεινοῦ τεθραμμένον, καὶ τοῖς δοκιμωτάτοις ὕποπτον, καὶ τῷ παρ' ἀξίαν εὐδοκιμεῖν ἐπίφθονον.

Στρατιά: Τὸ τῶν στρατιωτῶν ὑπὸ ἕνα ἔπαρχον τάγμα· Στρατεία δὲ, τὸ ἀξίωμα. Ὅτε δὲ λέγει [m]ἡ Γραφὴ περὶ Μανασσῆ, ὅτι [n]ἐλάτρευσε τῇ στρατιᾷ τοῦ οὐρανοῦ, τὸν ἥλιον καὶ τὴν σελήνην καὶ τοὺς ἀστέρας λέγει.

Στρατιά: Ἡ ἐνέργεια καὶ ὥσπερ πάλη.

Στρατιώτης: [o]Ἀρσενικόν. Θηλυκὸν δὲ, διὰ τοῦ ί.

Στράττις, Ἀθηναῖος, [p]τραγικός. Τῶν δραμάτων αὐτοῦ ἐστι ταῦτα· [q]Ἀνθρωποραίστης, Ἀταλάντη, [r]Ἀγαθοὶ, ἤτοι Ἀργυρίου ἀφανισμὸς, Ἰφιγέρων, [s]Καλλιππίδης, [t]Κινησίας, [u]Λιμνομέδων, Μακεδόνες, [x]Μήδεια, Τρωΐλος, Φοίνισσαι, Φιλοκτήτης, Χρύσιππος, Παυσανίας, [y]Ψυχασταί· [z]ὥς φησιν Ἀθήναιος ἐν τῷ [a]δευτέρῳ βιβλίῳ τῶν Δειπνοσοφιστῶν.

Στράττις Ὀλύνθιος, ἱστορικός. Περὶ τῶν Ἀλεξάνδρου Ἐφημερίδων, [b]βιβλία πέντε, Περὶ [c]ποταμῶν, καὶ κρημνῶν, καὶ λιμνῶν, Περὶ τῆς Ἀλεξάνδρου τελευτῆς.

Στρατοπεδευσάμενοι:

Στρατοπεδεία:

Στρατόπεδον ἐποιήσαντο: Ἀντὶ τοῦ σκηνάς. Δύο γὰρ σημαίνει ἡ λέξις, καὶ τὸ στράτευμα, καὶ τὸν τόπον τοῦ στρατεύματος. Ἐτυμώτερον δέ ἐστιν ἐπὶ τοῦ τόπου λέγεσθαι· οἷον, τοῦ στρατοῦ τὸ πέδον. Στρατόπεδον, δύο σημαίνει· τόν τε λαὸν, καὶ τὸν τόπον.

Στρατός: Τὸ πλῆθος τῶν πολεμούντων· ὁ δὲ τόπος, στρατόπεδον. Λέγεται γὰρ τοῦ στρατοῦ τὸ πέδον.

Στράτων, κωμικὸς τῆς μέσης κωμῳδίας. Τῶν δραμάτων αὐτοῦ ἦν [d]Φοῖνιξ.

[c] στρατηγιᾶς] στρατηγίδος A.V. Photius, Lex. Seg.

[d] Ἰώσηπος] Lib. III. de Bello Jud. c. XLIII. p. 824. KUST. II. 21, 2.

[e] κατεῖχε χρημάτων] χρημάτων κατεῖχε A.V.

[f] Σοφοκλῆς] In Aj. 721.

[g] Καὶ αὖθις] Seqq. addunt A.B.V.

[h] Ὁ τόπος τοῦ στρατοῦ] Portus recte emendat, ὁ τόπος τοῦ στρατηγοῦ. KUST. στρατ^ου A. στρατηγοῦ etiam Kuhnius ad Polluc. I. 128.

[i] πρὸς τὰς] ἐπὶ τὰς A.V.E.

ΣΤΡΑΤΗΓΙΣ ΝΑΥΣ] Demosth. c. Euerg. p. 1162, ult.

ΣΤΡΑΤΗΓΟΙ: Οἱ καθ' ἕκαστ.] Ex Harpocratione. KUST.

[k] Δημοσθένης] Fortasse p. 53, 26. De Strategis vide Spanhem. ad Julian. p. 76. Meier. Hist. Jur. Att. p. 123.

[l] πολεμίους καὶ om. A.V.E.

[m] ἡ Γραφὴ] Quod in h. l. de Manasse dicitur, extat 2 Paral. XXXIII. 3. καὶ προσεκύνησε πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἐδούλευσεν αὐτοῖς. ERNEST.

[n] ἐλάτρευσε] ἐστράτευσε A.

ΣΤΡΑΤΙΑ: Ἡ] Delevit hæc Kusterus. Agnoscunt Photius, et Timæus; ubi videatur Ruhnkenius. Adde Schol. ad Aristoph. Thesm. 828. ed. Bekker. Συνέχεεν καὶ οὗτος ὡς Εὔπολις πολλάκις. Στρατιὰ μὲν γὰρ τὸ πλῆθος, στρατεία δὲ ἡ στράτευσις.

[o] Ἀρσενικόν· ἐπὶ δὲ θηλυκοῦ] ἐπὶ ἀρσενικοῦ E. Tum θηλυκὸν δὲ A.V. Statim delevi ΣΤΡΑΤΙΩΤΗΣ: Βοτάνη ἔνυδρος, ἄνευ ῥίζης ἐπιπολάζουσα τοῖς ὕδασι. Ψυχρὰς ἐστι τὴν δύναμιν. Ἔστι δὲ καὶ χερσαῖος, quæ Pauli Æginetæ VII. p. 255. esse monuit Kusterus.

[p] τραγικός] Imo, κωμικός. Strattim enim hunc fuisse comicum, tum ex Athenæo, tum etiam ex aliis constat. Vide omnino Casaubonum ad Athenæi lib. VII. c. 23. et Meursium in Bibliotheca Attica, qui Strattidis fabulas, quarum apud veteres fit mentio, accurate recensent. KUST. Non tragicus, sed poëta veteris comœdiæ. Schol. Aristoph. Plut. et Harpocrat. in Λαγίσκα et Κινησίας, et Plutarch. in Isocrate p. 836 E. ὅθεν εἰς τοὺς αὐλοὺς κεκωμῴδηται ὑπ' Ἀριστοφάνους καὶ Στράττιδος. REINES. στρατηγὸς τραγ. V. Lege Meinek. Quæst. Sc. II. p. 64.

[q] Ἀνθρωπερέστης] Leg. Ἀνθρωποραίστης. Vid. Casaub. ad Athen. p. 567. et sic Schol. Euripid. Or. 279. TOUP. Similiter Reinesius. Adde Meinek. Quæst. Scen. Sp. II. p. 65.

[r] Ἀγαθοὶ] Et Pherecrati adscribitur ap. Athen. VI. p. 248. REINES.

[s] Καλλιπίδης] Καλλιππίδης V.

[t] Κινησίας] Vid. Maussac. ad Harpocr. p. 203. Suid. ad Πυρρίχαις, et Ælian. V. H. X. 6. et Athen. XII. p. 551. REINES.

[u] Λιμνομέδων] Athen. VII. p. 327. et Harpocr. in Ἀπλᾶς, Λημνόμεδα. REINES.

[x] Μήδεια] Harpocr. in Μισῶν λείαν. REINES.

[y] Ψυχασταὶ] Ejus fabulæ argumentum ex his Pollucis X. c. 28. (127.) colligi potest: προστὰν ῥαβδία, ἀνάγωγε εἴτε σκιάδιον. REINES.

[z] ὥς φησιν Ἀθήναιος ἐν τῷ δευτέρῳ βιβλ.] Hinc aliquis colligat, Suidam omnium fabularum Strattidis titulos ex unico Athenæi libro secundo hausisse: quod non ita est. Nam catalogus iste ex universo Dipnosophistarum opere collectus est; ut cuilibet patebit, qui ipsum Athenæum inspicere voluerit. KUST. Eadem fere Reinesius.

[a] δευτέρῳ βιβλίῳ] α' κ^ω A.

ΣΤΡΑΤΤΙΣ Ὀλυνθ.] A. in marg.

[b] βιβλία ε' ponit A. post τελευτῆς. Qui ἔγραψε περὶ π. κ. κ. κ. λ. καὶ τῆς Ἀ. τ.

[c] ποταμῶν] ποταμῶν Strattidis meminit Schol. Aristoph. Plut. 1195. sed comici. TOUP. Supra ad οὐ λίαν laudatur Strattis ἐν Παλιτείᾳ. f. ἐν Ποταμίοις. REINES.

ΣΤΡΑΤΟΠΕΔΟΝ ἘΠ.] Glossa pertinet ad Thucyd. I. 46. ubi v. Schol. Conf. Timæus p. 240.

ΣΤΡΑΤΩΝ, κωμικὸς] Athen. p. 473. REINES. Eo in loco nunc Στράττις repositum ex Eustathio.

[d] Φοῖνιξ] Athen. IX. p. 382. Φοινικίδης. Sed nomen co-

Στράτων Λαμψακηνὸς, φιλόσοφος, Θεοφράστου γνώριμος καὶ διάδοχος, υἱὸς δὲ Ἀρκεσιλάου, ἢ Ἀρκεσίου· ὃς ἐπεκλήθη [e]Φυσικὸς, διὰ τὸ [f]παρ' ὁντινοῦν ἐπιμεληθῆναι τῆς φυσικῆς θεωρίας. Καθηγήσατο δὲ καὶ Πτολεμαίου, τοῦ ἐπικληθέντος Φιλαδέλφου. Καὶ ἔγραψε βιβλία πολλά.

Στράτων ἀεὶ ἐξυρᾶτο, καὶ Κλεισθένης, [g]ἐπὶ τῷ φαίνεσθαι ἀεὶ νέοι. [h]Ἀριστοφάνης·

Ὦ θερμόβουλον πρωκτὸν ἐξυρημένε·
τοιάνδε δ', ὦ πίθηκε, τὸν πώγων' ἔχων,
εὐνοῦχος ἡμῖν [i]ἦλθες ἐξυρημένος;
ὁδὶ δὲ τίς ποτ' ἐστιν; οὐ δήπου Στράτων;

Στράτων Ἀμασεὺς, φιλόσοφος. Γέγονεν ἐπὶ Τιβερίου Καίσαρος, καὶ ἔγραψε Γεωγραφίαν [k]ἐν βιβλίοις ζ'.

Στράτωρ, στράτωρος. Εἶδος ἀξιώματος.

Στρεβλός: [l]Δύσκολος, καμπύλος.

[m]Στρεβλοῖσι παλαίσμασι.

Τοῖς μετὰ σκέψεως εὑρισκομένοις, καὶ ἀφανέσι.

Στρεβλούμενος: Δεσμούμενος, μαστιζόμενος. Αἰλιανός·

Καὶ τοὺς ὑπηρέτας αὐτῷ περιβαλόντες, εἰς τὸ θέατρον καλοῦσι τὸ πλῆθος, καὶ ἐκεῖνον παράγουσι καὶ στρεβλοῦσι· καὶ κατατεινόμενος ἀληθῆ λέγει, καὶ πυρὶ παραδίδοται.

Ὁ δὲ οὐκ ἔστι τῶν δεινῶν ὃ [n]παρέλειπε, τοὺς μὲν στρεβλούμενος, χάριτι τῶν ὑπαρχόντων.

Στρεπταίγλαν: [o]Ἀριστοφάνης·

Ταῦτ' ἄρ' ἐποίουν [p]ὑγρᾶν νεφελᾶν στρεπταίγλαν δάϊον ὁρμάν.

Τοῦτο Φιλόξενος ὁ διθυραμβοποιὸς εἶπεν. Ἐπεὶ οὖν συνθέτοις καὶ πολυπλόκοις οἱ διθυραμβοποιοὶ χρῶνται λέξεσι, κατὰ τὸν [q]ἐκείνων ζῆλον καὶ αὐτὸς τοιαύταις χρῆται. Δηλοῖ οὖν ἄντικρυς τὸ ἐξεστραμμένον διὰ τὴν [r]ἀηδίαν τούτων τῶν ἐν τοῖς συνθέτοις. Στρεπταίγλαν δὲ, τὴν στρέφουσαν τὴν αἴγλην, καὶ ἀφανίζουσαν.

A Στρεπτός: [s]Περιδέρραιος κόσμος.

Ὁ δὲ λαβόμενος τῇ λαιᾷ τοῦ στρεπτοῦ, ὃν δὴ χρυσοῦν ἔφερεν [t]ἀμφὶ τῇ δέρῃ.

Καὶ αὖθις·

[u]Στρεπτὸν Βασσαρικοῦ ῥόμβον θιάσου μύωπα.

Στρεπτούς: Πλακούντων [x]εἶδος. Ὡς Δημοσθένης

B Ὑπὲρ Κτησιφῶντος.

Στρεφεδίνηθεν:

Στρεφοδικοπανουργία: Συντέθειται ἡ λέξις, παρὰ τὸ στρεβλὸν ἦθος καὶ συκοφαντικόν. [y]Ἀριστοφάνης Ὄρνισι·

Πικρὰν τάχ' ὄψει στρεφοδικοπανουργίαν.

Στρέψα: Πόλις τῆς Θρᾴκης. Καὶ οἱ πολῖται, Στρεψαῖοι.

C Στρεψίμαλλος ἄνθρωπος: Ὁ μὴ ἁπλοῦς. Ἀπὸ τῶν ἐρίων τῶν [z]συνεστραμμένους τοὺς μαλλοὺς ἐχόντων.

Στρεψοδικῆσαι: [a]Ἀντὶ τοῦ στρέψαι τὰς δίκας. Ἀριστοφάνης [b]Νεφέλαις·

Ἀλλ' ἔα' ἐμαυτῷ στρεψοδικῆσαι, καὶ τοὺς χρήστας διολισθεῖν.

Τουτέστι, τοὺς δανειστὰς ἐκφυγεῖν.

Στρῆνος: Εἰς τὴν παλαιὰν τοῦτο κεῖται.

D [c]Τὸ στρῆνός σου ἀνέβη ἐν τοῖς ὠσί μου.

Τουτέστι . . . . Καὶ στρηνιῶ, [d]ἀτακτῶ.

Στρικτόν: Οὕτω καλεῖται παρὰ Ῥωμαίοις τὸ ἐστενωμένον, καὶ ἀπλατὲς, ἐπὶ παντὸς εἴδους· κυρίως δὲ, ἐπὶ ὑποδήματος.

Στριφνός: [e]Σφιγκτὸς, στερεός.

Στρίφνος: Τὸ [f]νευρῶδες κρέας τῶν βοῶν· ἔστι δὲ

E καὶ βοτάνη ἄβρωτος. [g]Ἰώβ·

Στρίφνος ἀμάσσητος, ἀκατάποτος.

mici est *Strattis*. TOUP. Vid. Clintoni Fast. Hellen. Introd. p. xliv. Meinek. Quæst. Sc. Sp. 2. p. 68.

ΣΤΡΑΤΩΝ Λαμψακ.] De eo plura Laërtius. KUST.

[e] Φυσικὸς] Cic. Acad. I. 9. et IV. 38. Fin. V. 3. et Laërt. V. 3. REINES.

[f] παρ' ὁντινοῦν] παρ' ὅν τινα οὖν A.

[g] ἐπὶ τῷ] ἐπὶ τὸ V. Mox νέοι B.V.E. non νέος.

[h] Ἀριστοφάνης] Acharn. 119.

[i] ἦλθες] ἐξῆλθες B.E.

ΣΤΡΑΤΩΝ] Supra rectius, Στράβων. Sic enim scriptor hic vocatur a Plutarcho, Josepho, Tertulliano, Stephano, Socrate, Eustathio, et aliis. Nec audiendus est Franciscus Patricius, qui in Peripateticis Discussionibus negat Strabonem esse, qui hodie in studiosorum manibus versetur, sed alium nescio quem, Stratonem vocatum. Nam sententia hæc paradoxa jam dudum ab eruditis explosa est. KUST.

ib. Cf. Voss. de Hist. Gr. p. 104. REINES.

[k] ἐν βιβλίοις ζ.] Addito numero denario scribendum est, ἐν βιβλίοις ιζ, i. e. XVII. Tot enim Strabonis libri hodie adhuc supersunt: quamvis non omnes integri. KUST.

ΣΤΡΑΤΩΡ] Vide Dufrenium in Glossario Græco. KUST. Marq. Freher. ad Constantini Donat. p. 73. HEMST. Mox στράτορος M.

[l] Δύσκολος om. V. Alterius gl. initium, inserto Στρεβλὸς post δύσκολος, faciunt A.E.

[m] Στρεβλοῖσι] Est Aristoph. in Ran. 904. Verum quam subdit interpretatio a Schol. adjecta est voci, quæ præcedit, ἐξυμερίμνοις. HEMST.

[n] παρέλειπε] παρέλειπε A.B.V.

[o] Ἀριστοφάνης] Nub. 334.

[p] ὑγρᾶν νεφελᾶν] ὑγρὰν νεφέλαν A.V.

[q] ἐκείνων] ἐκεῖνον V. καὶ αὐτὸς om. E.

[r] ἀηδίαν] αἰδίαν A. qui mox om. τῶν.

[s] Περιδέρραιος] περιδέραιος A.

[t] ἀμφὶ τῇ] ἀμφὶ om. B.E.

[u] Στρεπτὸν Βασσαρ.] Anthol. Pal. VI. 165.

F ΣΤΡΕΠΤΟΥΣ: Πλακ.] Ex Harpocratione. KUST.

[x] εἶδος] εἴδη A. Mox delevi ἐν τῷ ante ὑπὲρ cum A. et Photio. Locus est p. 314, 1.

ΣΤΡΕΦΕΔΙΝΗΘΕΝ] Il. π'. 792.

[y] Ἀριστοφάνης Ὄρνισι] Ver. 1468. Sed ubi legitur στρεψοδικοπανουργία: uti etiam hic metri gratia scribendum est. KUST.

ΣΤΡΕΨΑ: Πόλις τῆς Θρ.] Vide Harpocrationem: unde Suidas. KUST.

ΣΤΡΕΨΙΜΑΛΛΟΣ ἈΝΘΡ.] Confer Hesychium h. v.

G KUST.

[z] συνεστραμμένων] Scribe συνεστραμμένους: ut habet Hesychius. KUST. Sic A. et Photius.

[a] Ἀντὶ τοῦ στρέψαι] ἀντιστρέψαι A.E.

[b] Νεφέλαις] Ver. 433.

[c] Τὸ στρῆνός σου ἀν.] 4 Reg. XIX. 28. KUST.

[d] ἀτακτῶ] τὸ ἀτακτῶ V.

ΣΤΡΙΚΤΟΝ] Schol. Lucian. ad Rhet. Præc. p. 33. Πολυσχιδὲς τὸ νῦν στρικτόν. HEMST.

H ΣΤΡΙΦΝΟΣ] Alias, et rectius quidem, στρυφνὸς, per υ. Vide Grammaticos. KUST.

[e] Σφιγκτὸς] σφιγκτὸς A. σφικτὸς V. Vulg. habet Photius.

[f] νευρῶδες] νεβρῶδες V.

[g] Ἰώβ] An Ἰάβας? HEMST. Ex Jobi XX. 18. ERNEST.

Στροβεῖ: Ταράττει, κινεῖ, περιφοβεῖ, καταπονεῖ. A

Στρόβει: Τουτέστιν, ἀνάκρινε, δοκίμαζε· περίφερε τῇδε κἀκεῖσε, πυκνόν [h]τι καὶ συνετὸν ποιήσας, καὶ φρόνιμον σκεψάμενος. Ἀριστοφάνης Νεφέλαις·

Φρόντιζε δὴ, καὶ διάθρει,
[i]πάντα τρόπον τε σαυτὸν
στρόβει πυκνώσας.

Καὶ αὖθις·

[k]Ἀλλ' ἔπιθι, καὶ στρόβει,
νῦν γὰρ ἔχεται μέσος.

Ἡ μεταφορὰ ἀπὸ τῶν παλαιστῶν, τῶν τὰ μέσα λαμβανόντων, καὶ ἐκ [l]τοῦ κρείττονος γενομένων.

Στρόβιλος: [m]Ἡ νῆσος· καὶ εἶδος ὀρχήσεως· καὶ ὁ τοῦ δένδρου καρπὸς τῆς πίτυος. Ἐν Ἐπιγράμμασι·

[n]Καὶ [o]ξανθοὶ μυελοὶ ἐκ στροβίλων.

Καὶ εἶδος ἀνέμου.

[p]Τό τε πνεῦμα κατελθὸν εἰς τὸ πεδίον πολὺ θύελλάν τε καὶ στροβίλους ἤγειρεν, ὥστε τὸ καθεστηκὸς [q]νυκτὸς διαφέρειν οὐδέν.

Στρόβιλοι: Καρκίνου τοῦ ποιητοῦ υἱοί· ὡς Ἀριστοφάνης· οὓς καὶ [r]γυλιοτραχήλους εἴρηκε. Καὶ παροιμία·

Εὐδαιμονέστερος τῶν Καρκίνου στροβίλων.

Ἀντὶ τοῦ κακοδαιμονέστερος· ἐν [s]εἰρωνείᾳ. Στρόβιλοι, καὶ οἱ κοχλίαι, καὶ οἱ θαλάσσιοι κήρυκες.

Στρογγύλοις ῥήμασι: Πιθανοῖς, ἢ πανούργοις. [t]Ἀριστοφάνης·

Ἐς τάχος παίει, ξυνάπτων στρογγύλοις τοῖς ῥήμασι.

Στρομβιχίδης: Ὄνομα κύριον.

Στρόμβος: Ῥόμβος. Ἀπὸ τοῦ περιστρέφεσθαι.

Στρόμφιδες νῆσοι: [u]Μεταξὺ Ζακύνθου καὶ Ἤλιδος κείμεναι.

Στροτόθης: Σατράπης τις βασιλικὸς ἦν.

Στροτοίζων: Τρίζων.



A Στροτθός: Οὕτως [x]Ἀττικοί.

[y]Σοφοκλέους μελῶν, κιχλῶν.

Στρουθῶν. Δοκοῦσι πρὸς τρυφὴν ἐκ τῶν ἄλλων [z]πετεινῶν περισπούδαστοι εἶναι μᾶλλον. Ἀεὶ δὲ τὸν Σοφοκλέα Ἀριστοφάνης σεμνολογεῖ. Τὸ γὰρ κάλλιστον τῶν ἐδεσμάτων μετὰ τὴν [a]αὐτοῦ μνήμην εὐθὺς ἐπήγαγεν, ἐνδεικνύμενος [b]ὡς πάντων τῶν ποιημάτων ἀναγκαιότερά εἰσι τὰ αὐτοῦ ποιήματα, τῇ χρήσει τῶν κιχλῶν παραβαλλόμενα. B

[[c]Στρουθὸν κρατῶν φεύγοντα, προσδόκα βλάβην.]

Στροφάλιγξ: Ἡ συστροφή. Καὶ στροφάλιγγι· [d]τῇ συστροφῇ.

Στροφάς: Ἀντιλογίας.

Στροφαῖον: Οὕτως ἐκάλουν τὸν παρὰ τῇ θύρᾳ ἱδρυμένον δαίμονα, ἅμα δὲ παρὰ τὸ στρέφειν τὰ πράγματα· οἱ δὲ τοῦτο ποιοῦντες, πανοῦργοι λέγονται. C [e]Ἀριστοφάνης Πλούτῳ·

Παρὰ τὴν θύραν Στροφαῖον ἱδρύσασθέ με.

Ἐπωνυμία δέ ἐστιν Ἑρμοῦ, παρὰ τὸ [f]ταῖς θύραις ἱδρύσθαι ἐπὶ φυλακῇ τῶν ἄλλων κλεπτῶν. Οὗτοι γὰρ ὀπίσω τῶν θυρῶν εἰώθασι καὶ ἀναδύεσθαι, καὶ ὅλως πανουργεύεσθαι.

Στροφή: [g]Ἐκ τῶν Ἀριστοφάνους Ὀρνίθων. Ὠιδὴ, D ἤτοι Στροφή·

Μοῦσα λοχμαία,
ποικίλη, μεθ' ἧς ἐγὼ,
νάπαισι κορυφαῖς τ' ἐν [h]ὀρείαις
ἰζόμενος μελίας ἐπὶ φυλλοκόμου·

Καὶ τὰ ἑξῆς.

Στρόφιγξ: Στροφὴ, κίνησις. Ἡ [i]ἀπὸ τοῦ συστρέφειν, καὶ [k]πανουργεύεσθαι.

E Στρόφιον: Τὸ στρογγύλον ζωνάριον. [l]Ἀριστοφάνης·

ΣΤΡΟΒΕΙ: Τουτέστιν, ἀνάκρ.] Ex Enarratore Comici ad Nub. 702. KUST.

[h] τι καὶ] τε καὶ E. καὶ om. A.V.

[i] πάντα τρόπον τε] καὶ πάντα τρόπον A.V. τε om. E. τε σαυτὸν om. B.M. Mox E.M. στρέβει τε.

[k] Ἀλλ' ἔπιθι, καὶ στρ.] Aristoph. Equit. 385. sed ubi legitur ἔπιθι, i. e. *invade*, *aggredere*. KUST. ἔπιθι A. B.V. F

[l] τοῦ κρείττονος] Leg. τῶν κρειττόνων. REINES.

[m] Ἡ νῆσος] Zonaras: Στρέβηλος δὲ ἡ νῆσος ἦ. Per ῆ habet Constantin. Porphyr. De Administ. Imp. p. 997. inter opera Meursii t. VI. Etymolog. Gud. p. 512, 26. Στρέβιλος ἡ πόλις, καὶ Στρέβηλος ἡ νῆσος.

[n] Καὶ ξανθοὶ μυελοὶ ἐκ στροβ.] Anthol. Pal. VI. 232.

[o] ξανθοὶ] ἀνθοὶ A. qui mox ἀνέμων.

[p] Τό τε πνεῦμα] Vid. v. Θύελλα. TOUP. Vid. τὸ Καθεστηκός. HEMST. G

[q] τῆς νυκτὸς om. A. τῆς om. B.V.E.

ΣΤΡΟΒΙΛΟΙ: Καρκίνου τοῦ π.] Aristoph. Pac. 864. Εὐδαιμονέστερος φανεὶς τῶν Καρκίνου στροβίλων. Vide ibi Scholiastam. KUST.

[r] γλυκυτραχήλους] Scribe, γυλιοτραχήλους. Vide supra v. Γυλιαύχενας. KUST. γολιοτραχήλους A.B.V. γολιοτ. E.

[s] εἰρωνείᾳ] εἰρωνείαις A.V.

[t] Ἀριστοφάνης] Acharn. 686.

ΣΤΡΟΜΒΙΧΙΔΗΣ] Leg. Στρομβιχίδης, servi apud Alexin H nomen, ubi στωμυλλάζων τις describitur. REINES. Στρομβιχίδης Harpocr. et Photius. Neque aliter Athenæus VI. p. 230 D. quem minus recte cepit Reinesius.

ΣΤΡΟΜΒΟΣ] Il. ξ. 413.

ΣΤΡΟΜΦΙΔΕΣ Ν.] Ex Harpocratione. KUST.

[u] Μεταξὺ] μετὰ A.V. Mox Ἰλιάδος A.B.V. Photii ms. pro Ἤλιδος. Ζακύνθου φυλιάδος E.

ΣΤΡΟΤΘΗΣ: Σατρ.] Et hanc notam ex Harpocratione sumpsit Suidas. KUST.

[x] οἱ Ἀττικοί] οἱ om. A.B.V. Mox τροφὴν E.

[y] Σοφοκλέους μελῶν, κιχλῶν] Aristoph. Pac. 530. Αὐλῶν, τραγῳδῶν, Σοφοκλέους μελῶν, κιχλῶν. Scholiastes: Κιχλῶν: Αἱ κίχλαι εἶδος στρουθῶν. Δοκοῦσι δὲ πρὸς τρυφὴν, &c. KUST.

[z] πετεινῶν] πετεινῶν A. Mox περισπούδαστα A.B.V. περισπουδα E.

[a] αὐτοῦ] αὐτὴν A.V.

[b] καὶ ὡς] καὶ om. A.B.V.E. Mox ἄλλων Schol. pro ποιημάτων.

[c] Στρουθὸν] om. A.V.

[d] τῇ συστροφῇ addunt A.V. Pertinet gl. ad Il. φ'. 775.

ΣΤΡΟΦΑΣ] Pertinet ad Prov. I. 3. Vid. Albert. ad Hesych.

ΣΤΡΟΦΑΙΟΝ] Στροφαῖος V. qui mox om. ἐκάλουν.

[e] Ἀριστοφάνης Πλούτῳ] Ver. 1154. Vide ibi Scholiastam, cujus verba Suidas hic descripsit. KUST.

[f] ἐν ταῖς] ἐν om. A.V. Schol.

[g] Ἐκ τῶν Ἀριστοφάνους Ὀρνίθων] Ver. 738.

[h] ὀρείαις] ὀρέαις A. Mox ἰζόμενος A.B.V.E. non ἑζόμενος.

[i] ἀπὸ τοῦ συστρέφειν καὶ πανουργεύεσθαι] Aristoph. Ran. 919. Αἰθὴρ ἐμὸν βόσκημα, καὶ γλώσσης στρόφιγξ. Scholiastes: Στρόφιγξ δὲ, ἀπὸ τοῦ στρέφειν αὐτὸν καὶ πανουργεύεσθαι. KUST.

[k] πανουργεύεσθαι] Vid. v. Σφαδάζουσα. TOUP.

[l] Ἀριστοφάνης] Lysistrata 930. sed ubi legitur, Τὸ στρόφιον ἤδη λύομαι. KUST.

Τὸ στρόφιον ἤδη [m]λυόμενον.

Ἀλουργῆ ἀμπεχόμενος, καὶ κόμην [n]τρέφων χρυσῷ στρόφῳ [o]κεκοσμημένην.

Ἡ οὐκ [p]ἐξείργεται, ὡς στρόφιον διαδήματι, καὶ λαγὼς ἐλάφῳ, καὶ κάμηλος ἐλέφαντι, καὶ κρόκος μύροις, καὶ ὅσα ἄλλα ἐστὶν εὐώδη, καὶ [q]χοῖροι, καὶ ὄρνιθες ταῖς ἑαυτῶν σαρξὶ τὸν αὐτὸν οὐκ ἔχουσι λόγον.

Λέγεται [r]καὶ ΣΤΡΟΦΟΣ τὸ περὶ τὴν κεφαλὴν στρόφιον, ὅ ἐστιν ἐρεοῦν. [s]Ἡρόδοτος.

Στρόφιον: Ὃ οἱ ἱερεῖς φοροῦσι.

B Στρόφις: Ὁ εὔστροφος ἐν τοῖς πράγμασιν· ἀπὸ τοῦ [t]στροφέως ἡ μεταφορά· καὶ ὁ εὐκίνητος.

Στροῦθος: Ὁ λελωβημένος.

Στρωμνή: Ἡ κλίνη.

Στρωννύω:

Στρῶτες: Ἔθνος.

C Στρωτήρ: Τὰ μικρὰ δοκίδια, τὰ ἐπάνω τῶν [u]δοροδόκων τιθέμενα, στρωτῆρας ἔλεγον.

Στρωφᾶσθαι: Στρέφεσθαι.

Στρυγγαῖος: Ὄνομα κύριον.

Στρύμη, νῆσος, ἄποικος Θασίων. Ἔστι ἐμπόριον Θασίων.

Στρυμὼν, Στρυμόνος. Ὄνομα ποταμοῦ.

Στρυφνόν: Σκληρόν.

D [x]Παῦσον αὐτοῦ τὸ στρυφνὸν καὶ πρίνινον ἦθος.

Στοιβάζω: Συνάγω.

Στοιβήν: [y]Σωρόν. [z]Ἀριστοφάνης·

Κἄν που δὶς εἴπῃ ταυτὸν, ἢ στοιβὴν [a]ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.

Ἀντὶ τοῦ, κἄν τι ἐλάχιστον ῥῆμα ἢ [b]περισσόν τι εὕρῃς καὶ παρέλκον ἐν τῷ λόγῳ. Ἀπὸ τῆς στοιβῆς τῶν φορτίων ἡ μεταφορά.

Στοιχεῖα: Ἀρχαί. [c]Δαμάσκιος·

Στοιχεῖα πρῶτα [d]καὶ μέγιστα τῆς τῶν ὄντων πολυθεάμονος ἱστορίας, ἔρως, φιλοπονία, ἀγχίνοια.

Στοιχεῖα: Αἱ εἰκόνες καὶ διαπλάσεις τῶν ὀνείρων, αἱ δι' [e]ὀλίγου ἢ πολλοῦ χρόνου τὴν ἔκβασιν ἔχουσαι.

B Στοιχεῖον: Στοιχεῖόν ἐστιν, ἐξ οὗ πρώτου γίνεται τὰ γινόμενα, καὶ εἰς ὃ ἔσχατον ἀναλύεται. Τὰ δὴ τέσσαρα στοιχεῖα εἶναι ὁμοῦ τὴν ἄποιον οὐσίαν, τὴν ὕλην. Εἶναι δὲ τὸ μὲν πῦρ, θερμόν· τὸ ὕδωρ, ὑγρόν· τὸν ἀέρα, ψυχρόν· τὴν γῆν, ξηράν· οὐ μὴν ἀλλὰ καὶ ἔτι ἐν τῷ ἀέρι εἶναι τὸ αὐτὸ μέρος. [f]Ἀνωτάτω μὲν οὖν εἶναι τὸ πῦρ, ὃ δὴ αἰθέρα καλεῖσθαι, ἐν ᾧ [g]πρώτην τὴν τῶν ἀπλανῶν σφαῖραν γεννᾶσθαι· εἶτα C τὴν τῶν πλανωμένων· μεθ' ἣν τὸν ἀέρα· εἶτα τὸ ὕδωρ. Ὑποστάθμην δὲ πάντων τὴν γῆν, μέσην ἁπάντων οὖσαν.

Στοιχειοῦσι: [h]Δοτικῇ. Διατυποῦσι.

Στοιχειώδη: Τὰ εἰσαγωγικὰ, τὰ πρῶτα, καὶ τὰ τῆς ἀρχῆς.

Στοιχείωσις: Ἀκριβεστάτη ἐπιτομή· ἡ πρώτη μάθησις, ἤτοι διάταξις.

D Στοιχηδόν: Κατὰ τάξιν.

Στοίχημα: Βούλημα, κοινὴ κρίσις.

Στοιχίζω: Τὸ περικυκλῶ τὴν πόλιν· ΣΤΟΙΧΩ̂ τὸ συμφωνῶ.

Στοιχομυθεῖν: Ἐφεξῆς λέγειν.

Στοῖχος: Ἡ τάξις.

---

E [m] λυόμενον] λύομαι Aristoph. Photius.

[n] στρέφων] τρέφων V. στρέφων χρυσῷ om. E. Tum κόσμῳ V. pro στρόφῳ.

[o] κεκοσμημένην] Locus corruptus est, atque ita restituendus: Ἀλουργῆ ἀμπεχόμενος, καὶ κόμην ΤΡΕΦΩΝ χρυσῷ ΣΤΡΟΦΙΩΙ ΚΕΚΟΡΥΜΒΩΜΕΝΗΝ. Ita enim legitur apud Nic. Damascen. in Excerptis Valesii p. 450. unde hoc fragmentum decerpsit Suidas. Confer Nostrum supra v. Κόρυμβοι, et v. Μάγνης, ubi auctior legitur hic locus. Ceterum uterque, tum Suidas, tum Damascenus, habet F στρόφῳ. Nos recte correximus στροφίῳ. Athenæus, lib. XII. p. 543. Ἐφόρει δὲ ὑπὸ τρυφῆς πορφυρίδα καὶ ΣΤΡΟΦΙΟΝ λευκὸν ἐπὶ τῆς κεφαλῆς. Plutarchus in Aristide: Τούτῳ γάρ τις, ὡς ἔοικε, τῶν βαρβάρων προσέπεσεν, οἰηθεὶς βασιλέα, διὰ ΤΗΝ ΚΟΜΗΝ ΚΑΙ ΤΟ ΣΤΡΟΦΙΟΝ, εἶναι. TOUP.

[p] ἐξήρτηται] ἐξείργεται A.V. ἐξήρτηται B.E. edd. ante Kuster.

[q] χοῖροι] χοῖρος A.V.E.

[r] καὶ στρόφος] στρόφος καὶ E.

[s] Ἡρόδοτος] Gl. IV. 60.

ΣΤΡΟΦΙΣ: Ὁ εὔστροφος ἐν τοῖς πρ.] Ex Schol. Aristoph. Nub. 450.

[t] στροφέως] στρόφιγγος Schol. Aristoph.

ΣΤΡΟΥΘΟΣ] Ms. A. στροῦθος. Ms. B. [et V.] στροῦθος. KUST. Στοῦρθος pr. A. sed statim em. suprascripto ρ Στροῦρθος. (Voluit forte scriba reponere Στροῦθος, sed alterum ρ delere neglexit.) Στροῦρθος V.E. Στροῦθος Photius, Lex. Seg.

[u] δοκῶν] Sic Aldus. δοροδόκων A. δωροδοκῶν V.E. δοροδοκῶν B.M. δωροδόκων primo, deinde δωροδοκῶν in Photio scriptum. H δουροδόκων Harpocrat. δοκοδόχων ni fallor ms. Pal. δορόκων Etymol. ms. Dorv. δοροδόκων in Harpocrat. reposuerit Valesius.

ΣΤΡΩΦΑΣΘΑΙ] Il. ι'. 459. στρέφεσθαι om. A.

ΣΤΡΥΓΓΑΙΟΣ] Vid. Ἐπρυτάνευσε. HEMST. Στρυγγαῖς A.V.

E ΣΤΡΥΜΗ, νῆσ.] Ex Harpocratione. KUST. Mox ἐπόριον A.

ΣΤΡΥΜΩΝ, Στρύμονος. Ὄνομα ποταμοῦ] Στρύμονος: ποταμὸς A.

[x] Παῦσον αὐτοῦ] Aristophanis in Vesp. 872. TOUP.

ΣΤΟΙΒΑΖΩ: Συνάγω] Eo sensu οἱ ό' vocem usurparunt Levit. I. 8. στοιβάσουσι ξύλα ἐπὶ τὸ πῦρ. Cap. VI. 12. 3 Reg. XVIII. 33. ἐστοίβασε τὰς σχιδακάς. Lat. interp. composuit ligna. ERNEST.

[y] Σωρὸν om. B.E. Tum Σοφοκλῆς A. pro Ἀριστοφάνης.

F [z] Ἀριστοφάνης] Ran. 1209.

[a] ἴδῃς] ἴδῃ A. i. e. ἴδῃς.

[b] περισσὸν εὕρῃς] ἢ περισσόν τι εὕρῃς A.V.

[c] Δαμάσκιος Στοιχ.] Vide Photium Cod. CCXLII. p. 1033. apud quem locus hic Damascii auctior legitur. Confer etiam Nostrum supra v. Ἔρως. KUST.

[d] καὶ μέγιστα] καὶ om. V.E. Mox φιλοπονία E.

ΣΤΟΙΧΕΙΑ: Αἱ εἰκ.] Artemidorus Oneirocr. lib. I. c. 2. Ὄνειρός ἐστι κίνησις, ἢ πλάσις ψυχῆς πολυσχήμων, σημαντικὴ G τῶν ἐσομένων ἀγαθῶν ἢ κακῶν. Τούτου δὲ οὕτως ἔχοντος, ὅσα μὲν ἀποβήσεται μεταξὺ χρόνου διελθόντος, ἢ πολλοῦ, ἢ ὀλίγου, ταῦτα πάντα δι' ΕΙΚΟΝΩΝ ἰδίων φυσικῶν, τῶν καὶ ΣΤΟΙΧΕΙΩΝ καλουμένων, προαγορεύει ἡ ψυχὴ, &c. Huc Suidas respexit. KUST.

[e] ὀλίγου] ὅλου V.

ΣΤΟΙΧΕΙΟΝ: Ἐξ οὗ πρώτου γίνετ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Laërtii in Zenone Citt. VII. num. 136. KUST. Addidi Στοιχεῖόν ἐστιν ex A. et mox τὰ γινόμενα ex A.V. Uterque ms. εἰς H τὸ ἔσχ.

[f] Ἀνωτάτω] ἀνωτοτάτω V. omisso mox οὖν.

[g] πρώτην τὴν] πρώτων V.

[h] Δοτικῇ om. A. Photius.

ΣΤΟΙΧΗΔΟΝ] Hanc et 4 seqq. gl. addidi cum A.V. κατὰ τάξιν et βούλημα κ. κ. om. A.

Στοιχῶμεν: [i]Πειθώμεθα, ἀρεσκώμεθα.

Μὴ στοιχῶμεν ἑαυτοῖς, φασὶν οἱ [k]πατέρες.

Στυγερὴς καὶ στυγερός: Ὁ μισητός.

Στυγερῷ: Μισητῷ, ἢ φοβουμένῳ.

Στυγερωπός: Ὁ μισητός.

Στυγεῖ: Μισεῖ, ἢ φοβεῖται. Ἀπὸ τῆς Στυγὸς, ἥτις ἐστὶ πηγὴ ἐν ᾅδου.

Στυγητός: Μισητός.

B Στυγὸς μελανοκάρδιος πέτρα: Διὰ τὸ τῆς λέξεως σφοδρὸν εἶπε μελανοκάρδιον· οὐ γὰρ ἔχει καρδίαν ἡ πέτρα. Ἀριστοφάνης Βατράχοις. Στὺξ γὰρ κρήνη ἐν ᾅδου, ὅρκος θεῶν· ἀπὸ τῆς στυγνότητος.

Στυλίτης: Ὁ ἐπὶ κίονος ἱστάμενος.

[Στῦλος:

[l]Στῦλον κρατῶν, ἔλειξε τὴν θείαν χάριν.]

C Στύππαξ: [m]Στρατηγὸς Ἀθηναίων, Εὐκράτης, δωροδόκος καὶ προδότης· ὃς καὶ ἀπώλετο ὑπὸ τῶν λ΄. Οἱ δὲ ὡς πιὼν κώνειον.

Στύπη:

Πηγνύντες εἰς τὴν γῆν ὀρθὰ τὰ στύπη, ψαύοντα ἀλλήλων, ἐν ἡμικυκλίου σχήματι.

Στύππη δὲ, τὸ [n]στυππεῖον. Ἰώσηπος·

Πληρώσαντες τὴν στοὰν στύπης, πρὸς [illegible] ἀσφάλτου τε καὶ πίσσης.

D [Στυππεῖον: Στύππιον δέ. Τὸ μὲν σημαίνει τὸ τῆς ἐλαίας ὀστοῦν· τὸ δὲ, ὅθεν τὸ λίνον νήθεται.]



A Στύραξ: Ὁ σαυρωτὴρ καλούμενος· ἡ τοῦ δόρατος [o]ἀρχὴ, ἐφ' ᾗ στηρίζεται.

Στύραξ: Τὸ κάτω τοῦ δόρατος τραχήλιον, ὃ καταπηγνύειν εἰς τὴν γῆν εἰώθασι. Καὶ [p]Θουκυδίδης φησί·

Στυρακίῳ ἀκοντίου ἀντὶ βαλάνου χρησάμενος εἰς τὸν μοχλόν.

Καὶ στυρακίζω, ἕλκω.

Στυφεδανός:

[q]Ὦ οὗτος [r]στυφεδανὲ, καὶ χοιρόθλιψ·
ποθεῖς, ἐρᾶν τ' ἔοικας ὡραίας σοροῦ.

Στυφελίξαι: Σεῖσαι, κακῶσαι, διῶξαι.

[s]Καί ποτέ μιν στυφελιζομένου σκύλακος παριόντα
φασὶν ἐποικτεῖραι, καὶ τόδε φάσθαι ἔπος·
Παῦσαι, μηδὲ ῥάπιζ', ἐπειὴ φίλου ἀνέρος ἐστὶ
[[t]ψυχὴ, τὴν ἔγνων φθεγξαμένης ἀΐων.]

Στυφελισμούς: Ὀργὰς, ὕβρεις, μέμψεις, λοιδορίας.

Οἵας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο, καὶ στυφελισμούς,
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν.

[u]Ἀριστοφάνης Ἱππεῦσι. Καὶ ἐν Μυθικοῖς·

[x]Ὅθι στυφελῶν ἀπὸ [y]πετρῶν
ὀστρακόεντα (τε) νῶτα καὶ ἀγκύλα γυῖα κεάσθη.

[Στύφλος γῆ: Ἡ ξηρὰ, καὶ σκληρά.]

Στυφοκόμπος: Ὁ μάχιμος ὄρτυξ. Παρὰ τὸ στερεῶς κόπτειν.

---

[q] Εὐνάπιος] Fr. 62.

ΣΥΝΤΕΛΕΙΑΙ] Explicatio est Theodoreti ad Ps. LVIII. 13. ubi pro ἐν συντελείᾳ Rom. ed. habet συντελείαις, estque hujus loci obscura versio, cum in Hebr. sit כלה *consume*: quæ quidem vox pertinet ad v. 14. ERNEST. Συντέλεια B.V.E.

H [r] Ἰώβ] Cap. XXX. 2. prior explicatio est ex versione Symmachi ad hunc locum. ERNEST.

ΣΥΝΤΕΛΕΙΣ] Confer Harpocrationem h. v. ex quo partem Eclogæ hujus Suidas excerpsit. KUST.

[s] Ὅτι] ὅτε B.V. Photius. Mox καὶ ante συντελεῖς om. A.B.V. Photius.

ΣΥΝΤΕΛΗΣ] Vid. Abresch. ad Æschyl. T. I. p. 303.

F ΣΥΝΤΕΤΑΓΜΕΝΩΣ] Male pro συντεταμένως. Vide notam sequentem. KUST.

[t] συντεταγμένως] Sic etiam hodie legitur apud Aristophanem in Plut. 325. Sed male. Tam enim sensus quam metri gratia scribendum est, συντεταμένως. KUST. καὶ om. B.V.

[u] φθορὰ] φορὰ V.

[x] Τοσαύτη δὲ ἄρα ἡ σύντ.] Hæc sunt verba Æliani de Epicuro, ut discimus ex ipso Suida supra v. Ἐπίκουρος, ubi integer locus adducitur. KUST.

G [y] Δημοσθένης] In orat. advers. Dionysodor. p. 739. Vide Nos supra ad v. Συνετιμήθη. KUST.

ΣΥΝΤΡΕΧΩ] συντρέχειν ταῖς ἀλόγοις ὀρέξεσιν Simplic. in Epictet. c. 13. i. e. *adsentiri, consentire*. REINES.

ΣΥΝ ΤΩΙ ΚΥΝΙ] Vid. Erasm. Adag. IV. 3, 26. PORTUS. Apostol. XVII. 63.

[z] Καταντλῆσαι] Sic etiam mss. At Hesychius, necnon auctor Etymologici, et Photius in Lexico ms. rectius, καταντῆσαι. KUST.

H ΣΥΝΤΥΡΟΥΜΕΝΑ] Aristoph. Equit. 477. Συντηρούμενα A.

ΣΥΝΟΙΜΙΟΝ] Aliter vocem hanc exponit Scholiastes Apoll. Rhod. ad lib. II. 161. KUST.

ΣΥΝΟΙΣΕΙΝ] Soph. Aj. 432. Vid. Schol. Sed leg. συνοίσειν. TOUP.

[a] Συνεισενεγκεῖν] Addit E. ἀπὸ τοῦ οἴω καὶ ὠφελήσειν.

A Συνοῖσον: Συμφέρον.

[b]Ἐν ὑμῖν τε κείσθω προτιμῆσαι τὸ συνοῖσον, καὶ τὰ εἰρηναῖα πρὸ τοῦ πολέμου ἑλέσθαι.

Καὶ αὖθις·

[c]Αὐτός τε γὰρ τῇ ἐπιβολῇ τῆς φύσεως ἐγίνωσκε τὸ συνοῖσον εὐστοχώτατα.

Συνοιχήσεται: Συναναιρεθήσεται.

Συοφορβία: Ἀγέλη χοίρων.

B Συώδεις: [d]ἀπὸ τοῦ τοῖς ὑσὶν [e]ἐπιφωνουμένου.

Σύρα: Παρὰ Ῥωμαίοις ἡ θεία ἐπιστολή.

Συράκουσα: Πόλις Σικελῶν.

Συρακουσία τράπεζα: Ἡ πολυτελής· ἐδόκουν γὰρ οἱ Σικελιῶται ἁβροδίαιτοι εἶναι μᾶλλον πάντων. Καί, [f]Συρακουσίων δεκάτη.

Σύρβη: Τάραχος.

C Συρβηνεύς: Ὁ ταραχώδης. Ἀπὸ τῶν αὐλούντων μετὰ θορύβου· ἤ, πένης, διὰ τὸ τὰς αὐλοθήκας καὶ φαρέτρας κενὰς [g]ἔχειν. Καί, Συρβηνέων χορός: Ὁ τεταραγμένος, καὶ συώδης· ἀπὸ τοῦ τοῖς ὑσὶν ἐπιφωνουμένου. Διὸ τάττεται ἡ παροιμία, [h]Συρβήνης χορός, ἐπὶ τῶν ἀτάκτων χορῶν.

D Συριανός, Ἀλεξανδρεύς, [i]φιλόσοφος, ἡγησάμενος τῆς ἐν Ἀθήναις σχολῆς τε καὶ διατριβῆς, διδάσκαλος γενόμενος Πρόκλου, ὃς καὶ διάδοχος αὐτοῦ ἐγένετο. Ἔγραψεν εἰς Ὅμηρον ὅλον ὑπόμνημα ἐν βιβλίοις ζ, Εἰς τὴν πολιτείαν Πλάτωνος βιβλία δ', Εἰς τὴν Ὀρφέως Θεολογίαν βιβλία β', [k]Εἰς τὰ Πρόκλου περὶ τῶν παρ' Ὁμήρῳ Θεῶν, Συμφωνίαν Ὀρφέως, Πυθαγόρου, καὶ Πλάτωνος, [l]Περὶ τὰ Λόγια, βιβλία δέκα· [m]καὶ ἄλλα τινὰ ἐξηγητικά.

A Ὅτι Ἰσίδωρος ὁ φιλόσοφος, ὥς φησι Δαμάσκιος, [n]πάντα τὰ τῶν παλαιῶν ἐξετάζων οὐκ ἀνίει πρὸς τὸ ἀκριβέστατον· προσεῖχε [o]δὲ τὸν νοῦν ἐς τὰ μάλιστα μετὰ Πλάτωνα τῷ Ἰαμβλίχῳ, καὶ τοῖς Ἰαμβλίχου φίλοις δὴ καὶ ὀπαδοῖς· ὧν ἄριστον εἶναι διϊσχυρίζετο τὸν ἑαυτοῦ πολίτην Συριανόν, τὸν Πρόκλου διδάσκαλον. Ἀτιμάζειν [illegible] οὐδένα ἠξίου πρὸς συναγυρμὸν [p]ἀληθοῦς ἐπιστήμης.

B Συριγμός: Φωνὴ ἄσημος.

[q]Τοὺς δὲ συριγμοὺς τοὺς ἐν ταῖς κοιναῖς πανηγύρεσι, καὶ τοὺς χλευασμοὺς τίς [r]ἐξηγήσαιτο ῥᾳδίως;

Καὶ αὖθις·

Οἱ [illegible] Ῥωμαῖοι κατεχειροτόνουν συρίττοντες, καὶ ταραχὴν ταῖς βοαῖς ἐνεποίουν.

C Σύριγξ: Τὸ εἰς τὴν ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος· καὶ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται. [s]Σοφοκλῆς·

Κεῖνος δ' ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων
[t]ἔχριμπτ' ἀεὶ σύριγγα.

Σύριγξ καὶ ἡ ἐπιμήκης διώρυξ.

Καὶ ταύτας κελεύει σύριγγα βαθεῖαν [u]ὑπὸ τὸν λόφον τρήσασθαι.

D Καὶ σύριγγος, αὐλοῦ, ἢ δορατοθήκης. [x]Πισίδης·

Τίς τὴν μέλιτταν τὴν σοφὴν τὴν ἐργάτιν
γεωμετρεῖν ἔπεισεν [y]Εὐκλείδου νόμος,
ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' εὐθείας;

Συρίξας: Ἀπὸ τοῦ συρίζω ἐνεστῶτος.

Συρμαΐζειν: Καθαίρειν πόματι ἐκ ζειῶν καὶ ὕδατος. [Οὕτως Ἡρόδοτος.] Καὶ συρμαίη παρὰ τῷ αὐτῷ, λάχανον σελίνῳ ἐοικός.

E [b] Ἐν ὑμῖν τε κείσθω] Hæc sunt verba Menandri in Excerptis Hœschelii, p. 91. TOUP.

[c] Αὐτός τε γὰρ τῇ ἐπιβολῇ] Agathias, lib. V. p. 162. Αὐτός τε γὰρ ΟΙΚΟΘΕΝ τῇ ἐπιβολῇ τῆς φύσεως εὐστοχώτατα ΔΙΕΓΙΝΩΣΚΕ τὸ συνοῖσον. Quæ haud paulo elegantiora sunt. Sed sic solet noster Suidas. TOUP. ἐπηβολῇ A.E. In fine ἀστοχώτατα V.

[d] ἀπὸ τοῦ τοῖς ὑσὶν ἐπιφ.] Hæc nihil ad rem faciunt, et loco commodiore repetuntur paulo inferius v. Συρβηνεύς. KUST.

F [e] ἐπιφωνουμένου] ἐπιφωνουμένοις A.

ΣΥΡΑ] Hanc gl. om. Portus.

ΣΥΡΑΚΟΥΣΙΑ ΤΡΑΠΕΖΑ] Vid. Athen. XII. p. 527 C. D.

[f] Συρακουσίων] Συρακουσία V.

ΣΥΡΒΗ] Zenobius VI. 1.

ΣΥΡΒΗΝΕΥΣ] A σύρβη, quod idem est ac τύρβη. Τὸ σ enim et τ non raro inter se commutantur. Quare ineptiunt Grammatici, qui a nomine σῦς etymologiam vocis hujus arcessunt. Vide Casaub. ad Athen. lib. XV. c. 16. KUST.

G [g] ἔχειν om. V. cum Photio et Etymol. M. p. 736, 21. Mox ἐπιφωνουμένοις V.

[h] ΣΥΡΒΗΝΗ ΧΟΡΟΣ] Scribe, ut paulo ante, συρβηνέων χορός. KUST. Συρβήνης A.B.V.E. cum Zenobio VI. 1.

ΣΥΡΙΑΝΟΣ] Philoxeni filius, Marinus in vita Procli p. 25. Cognatus ejus erat Ammonianus. Vid. supra ad Ἀμμωνιανός.—Διδάσκαλος Πρόκλου, vid. Marin. Vit. Procl. p. 25. REINES. Vid. Jonsii Hist. Scr. Phil. p. 300. Vales. de Crit. I. 19.

H ibid. Ὁ φιλόσοφος Συριανὸς ὕμνον εἰς τοῦτον τὸν ἥρωα γράφων, Achillem, cujus ante facta fuit mentio Zosim. IV. p. 222, 20. Vid. Πλούταρχος Νεστορίου. Πρόκλος ὁ Λύκιος. HEMST.

[i] φιλόσοφος] A.V.E. addunt ἰσοκρατίων, et B. suprasc. ζήτει.

[k] Εἰς τὰ Πρόκλου] Pro nota lectoris marginali habet Fabricius Bibl. Gr. V. 26. p. 450. nam Proclus Syriano junior, ejusque discipulus. Hunc tamen Procli de diis Homericis commentarium recenset Suidas. HEMST. εἰς τὰ Πρόκλου om. E.

[l] Περὶ τὰ Λόγια] Forte scribendum est, περὶ τῶν Λογίων. KUST.

[m] καὶ ἄλλα τ. ἐξ om. V.

[n] πάντα τὰ] τὰ om. A. πάντων παλαιῶν V.

[o] δὴ] [illegible] V.

[p] τῆς ἀληθοῦς] τῆς om. A.B.V.E.

[q] Τοὺς συριγμοὺς τοὺς ἐν τ.] Hæc sunt verba Polybii in Excerptis a Valesio editis, p. 145. KUST. XXX. 20. [illegible] addit A.

[r] ἐξηγήσαιτο] ἐξηγήσεται E.

ΣΥΡΙΓΞ: Καὶ ἡ] Ammian. Marcellin. XVII. 7. p. 183. et Lindenbrog. HEMST. Vid. Wesseling. Diod. Sic. II. 10. Adde Phrynichum Bekkeri p. 64, 12.

[s] Σοφοκλῆς] In Electr. 720.

[t] ἔχριμπτ'] ἔγχριπτ' A. ἔγχριμπτ' B.

[u] ὑπὸ—τρήσασθαι] ἀπὸ—πρήσασθαι V. qui mox αὐτοῦ.

[x] Πισίδης] In Hexaëmero, 1137. (1165.) et seqq. sed ubi locus hic ita legitur: Τίς τὴν μέλιτταν τὴν σοφήν, τὴν ἐργάτιν, Γεωμετρεῖν ἔπεισε, καὶ τριωρόφους Οἴκους ἐγείρειν ἐξαγώνων κτισμάτων, Ποιεῖν δὲ τὰς σύριγγας οὐκ ἐπ' ὀρθίας Γραμμῆς διευθύνουσαν, &c. KUST.

[y] Εὐκλείδου νόμος om. V. Γεωμετρεῖν ἐντεῦθεν Εὐκλείδη σκοπεῖ Pisides v. 1176. quem Suidas in brevius contraxit. Mox ποιεῖς E.

ΣΥΡΜΑΙΖΕΙΝ] Gl. Herodot. II. 77. Vulgo Συρμαΐζειν: καθαίρειν. Deinde Συρμαίη: πόμα ἐκ ζειῶν καὶ ὕδατος· οὕτως etc. Reposui lectionem omnium mss. nisi quod B.E. præbent πόματα. Tum omnes omittunt οὕτως Ἡρόδοτος. Seqq. sunt ex Gl. ad II. 125.

A ΣΥΤΟ: Ὡρμᾶτο, ἔτρεχε.

[s] Σύτο δέμας ἀνίκητον ἐν δρόμοις.

ΣΥΦΑΞ: [v] Ὄνομα. Ἀππιανός·

Σύφαξ [illegible] τῶν γινομένων πυνθανόμενος, ἐπεχείρει διαιτᾶν διαλύσεις.

Καὶ αὖθις·

[u] Σύφακα δ' ἄρα τὸν δυνάστην ἔρως ἔκνιζε τῆς παιδός· οἱ δὲ Καρχηδόνιοι ἔδωκαν αὐτήν.

B ΣΥΦΑΡ: [x] Τὸ δέρμα, ἡ [y] ἀνθρωπῆ.

[z] Ναὶ μὰ τὸ μανὸν
σύφαρ ἐμόν, [a] ναὶ τοῦτο τὸ [b] δένδρεον αὖον ἐὸν περ.

[[c] Καλλίμαχος ἐν Ἑκάλῃ. Τὸ ΣΥΦΑΡ ἔνδυμα τοῦ ὄφεως, καὶ τοῦ τέττιγος, παρὰ τὴν λεπίδα.]

ΣΥΦΕΟΣ: Τόπος ὅπου [d] οἱ σύες τρέφονται. Λέγεται δὲ καὶ ΣΥΦΕΩΝ. [e] Ἀγαθίας·

[f] Εἰ μὴ καταγέλαστον εἰπεῖν, ὥσπερ ἐν συφεοῖς καὶ μάνδραις τὰ τῶν Ῥωμαίων [g] μεμηνύκει στρατεύματα.

C ΣΥΦΟΛΗΣ, Συφόλου.

ΣΥΧΕΜ: Πόλις.

ΣΥΧΝΑΖΕΙΣ: Πυκνάζεις.

ΣΥΧΝΑΙΣ: Συνεχέσι. Καὶ [h] ΣΥΧΝΗΝ ΟΥΣΙΑΝ, τὴν πολλήν. Καὶ ΣΥΧΝΟΣ [i] ΧΡΥΣΟΣ, ὁ πολύς.

[k] Καὶ τῆς οἰκίας οὐκ οὔσης μονήρους, ἀλλὰ συχνῆς ἀμφιγένη.

Καὶ [l] Ἰάμβλιχος·

D Παρεσκεύασε πομπὴν ἐπιφανῆ καὶ λαμπράν, ἐσθῆτα σοβαράν, καὶ θεραπείαν συχνὴν εὐνούχων τε καὶ θεραπαινίδων.

ΣΥΧΝΟΝ: [ll] Πολύ, πυκνόν. [m] Ξενοφῶν·

A Ἅμματα διαλείποντα συχνὸν ἀπ' ἀλλήλων.

Ἀντὶ τοῦ πολύ.

Ὁ [illegible] συχνοὺς τῶν ἐπισήμων τῆς βουλῆς ἐφόνευσε.

Ἀντὶ τοῦ πολλούς.

[o] Πίονα τυρὸν δρέψασθε, αὔτην
ἰσχάδα, καὶ δεῖπνον [n] συχνὸν ἀπὸ σκυβάλων.

ΣΦΑΓΑΣ: Τὰς κατακλεῖδας. [p] Θουκυδίδης·

Καὶ αὐτοὺς καθίεσαν ἐς τὰς σφαγάς.

B ΣΦΑΓΕΙΟΝ: [q] Τὸ τοῦ αἵματος δεκτικὸν ἀγγεῖον, ὃ εἶπεν [r] ὁ ποιητὴς [s] ΑΜΝΙΟΝ.

ΣΦΑΓΙΑΖΕΙΝ: Τὸ θυσίας ἐπιτελεῖν. [t] Ἡρόδοτος·

Ὃς, ἐπεὶ ἐσφαγιάζετο Παυσανίης, καθήμενος ἐν τῇ τάξει, ἐτρωματίσθη τοξεύματι τὰ πλευρά.

ΣΦΑΓΙΑΖΟΜΕΝΟΣ: Διὰ σφαγίων θυσίαν ἐπιτελῶν.

Ὁ δὲ εἴτε [u] δυσσημίαν αἰσθεὶς εἶναι, εἴτε σφαγιαζόμενος, οὐκ ἀγαθὴν τὴν ἀπόβασιν σημαίνειν λογιζόμενος τὰ θύματα, συμφέ-
C ρειν ἐλογίζετο [x] φυλάξασθαι τὸν καιρόν.

ΣΦΑΓΙΔΙΟΝ: Τὸ τῶν μαγείρων μαχαίριον. Καὶ ΣΦΑΓΙΣ, σφαγίδος, τὸ αὐτό.

ΣΦΑΔΑΖΕΙΝ: [y] Θράσσειν, δυσθανατεῖν, ματαίως σπᾶσθαι, χαλεπαίνειν, μετ' ὀργῆς [z] στενάζειν. ΣΦΑΔΑΖΕΙΝ καὶ τὸ πηδᾶν, ἀπὸ τοῦ σπᾶσθαι, καὶ σφακελίζειν.

ΣΦΑΔΑΖΟΝΤΕΣ: Σπώμενοι, ἢ δυσφοροῦντες.

D Καίπερ σφαδάζων ἔνδοθεν πολλοῖς λόγοις,
ὥσπερ τις ἀσκὸς δέσμιος γλεύκους ζέων.

ΣΦΑΔΑΖΟΥΣΑ: [a] Πανουργεύουσα.

---

[s] Σύτο δέμας ἀν.] Hæc sunt verba Pindari Olympionic. Od. I. 32. 33. ubi locum integrum vide. KUST.

ΣΥΦΑΞ] Deest articulus A.

[u] Σύφακα δ' ἄρα τὸν δυν.] Hæc sunt verba Appiani in Iber. p. 462. eademque leguntur supra v. Ἔκνισεν. KUST.

ΣΥΦΑΡ] De hac voce egregia habet Etymologus, quem vide. KUST. Lycophr. 793. Nicand. Schol. Alexiphar. p. 70. Mox f. ἔκδυμα. Vid. Πέπερδα. TOUP.

[x] Τὸ δέρμα] Addit V. τοῦ ὄφεως καὶ τοῦ τέττιγος.

[y] ἀνθρωπῆ] ἀνθρῶπῆ A. ἀνθρωπὴ V.

[z] Ναὶ μὰ τὸ μαν.] Fragmentum hoc legitur etiam supra v. Ναὶ μὰ τό· ubi Nos vide. KUST.

[a] καὶ τοῦτο] ναὶ τοῦτο A.B.V.

[b] δένδρεον] Metri gratia scribendum est δένδρειον. KUST. Sic A.V.

[c] Καλλίμαχος] Seqq. om. A.V. Vid. supra p. 2566 B.

[d] οἱ σύες] αἱ σύες A.E. pr. Mox δὲ ante καὶ om. A.

[e] Ἀγαθίας] Lib. V. p. 157. KUST.

[f] Εἰ μὴ καταγέλαστον εἰπεῖν] Hic locus negligenter admodum descriptus est a compilatore nostro. Neque sane Kusterus Agathiæ librum, ex quo hæc deprompta sunt, inspexisse videtur. Ita autem legitur apud Agathiam lib. V. p. 152. ed. Vulc. Ἀλλὰ μήτε κυνῶν ὑλακὴν ἀκούεσθαι, εἰ μὴ λίαν καταγέλαστον εἰπεῖν, ὡς γοῦν ἐν συφεοῖς καὶ μάνδραις. Τὰ γὰρ τῶν Ῥωμαίων στρατεύματα οὐ τοσαῦτα διαμεμενηκότα, ὁπόσα τὴν ἀρχὴν ὑπὸ τῶν πάλαι βασιλέων ἐξεύρηται, ἐς ἐλαχίστην δέ τινα μοῖραν περιελθόντα, οὐκ ἔτι τῷ μεγέθει τῆς πολιτείας ἐξήρκουν. *Quinetiam ne canum quidem latratus audiebatur, nisi quod ridiculum dictu est, in suilibus aut ovilibus. Romanorum enim exercitus non tanti, atque olim sub veteribus imperatoribus fuerant, permanserunt; sed ad minimam quandam portionem redacti, non amplius magnitudini imperii pares erant.* Ad hunc locum respexit Suidas, sed ita ut Agathiam male repræsentaverit, et rem totam pessundederit. TOUP.

[g] μεμηνύκει] μεμηνήκει A.V.

ΣΥΦΟΛΗΣ] An corrupte scriptum pro Οἰφόλης? Nomen certe ejusmodi nullum occurrit. HEMST.

[h] ΣΥΧΝΗΝ ΟΥΣΙΑΝ] Aristoph. Plut. 754. Ὅσοι δ' ἐπλούτουν, ΟΥΣΙΑΝ τ' εἶχον ΣΥΧΝΗΝ. Ad hunc locum
E respexit Suidas. TOUP.

[i] ὁ πολὺς ΧΡΥΣΟΣ] χρυσὸς ὁ πολὺς A.V.

[k] Καὶ τῆς οἰκίας] Plenius in Ἐλευθεριότης, ubi versio melior, sensu interpretem adjuvante. HEMST.

[l] Ἰάμβλιχος] Vid. Rochetti Miscell. t. I p. 84.

[ll] πολὺν] Leg. πολύ. REINES. Sic V. qui mox διαλείποντα σύχν'. In fine gl. ἀντὶ τοῦ πολλοὺς om. E.

[m] Ξενοφῶν] Anab. I. 8, 10.

[n] συχνὸν] ἰσχνὸν B.E.M.

[o] Πίονα τυρὸν δρ.] Scribe et supple, Οἵ καὶ πίονα τυρὸν
F ἀπεδρέψασθε, καὶ αὔην Ἰσχάδα, &c. Sic enim recte legitur Anthol. lib. I. c. 33. p. 70. [Pal. VI. 303.] ubi integrum epigramma vide. Confer etiam Nostrum supra v. Ἰσχάς. KUST. δρέψεσθε A. δρέψεσθαι B.V.E.

[p] Θουκυδίδης] Lib. IV. c. 48. ad quem locum Scholiastes: Ἐς τὰς σφαγάς: Ἤγουν, εἰς τὸ μέρος τοῦ σώματος, ἔνθα σφάττονται τὰ ζῶα. Σφαγὴν καλοῦσι τὸ κατὰ τὴν κλεῖδα τοῦ ἀνθρώπου μέρος, δι' οὗ καθιᾶσι τὰ σιδήρια οἱ θέλοντες ἑαυτοὺς ἀνελεῖν. KUST.

[q] Τὸ τοῦ αἵματος δεκτικὸν] τοῦτο αἱματοδεκτικὸν Schol. Ari-
G stoph. Thesm. 756. ed. Bekker. unde provenit gl.

[r] Ὁ Ποιητής] Odyss. γ'. 444. KUST.

[s] ΑΜΝΙΟΝ] Sic rectius mss. Paris. quam priores editt. [et E.] quæ habent, ἀμνεῖον, per diphthongum ει, in syllaba penultima. KUST.

[t] Ἡρόδοτος] Wesseling. Dissert. Herodot. p. 125. TOUP. IX. 72. ἐν ante τῇ τάξει ex B.V.E.

ΣΦΑΓΙΑΖΟΜΕΝΟΣ] Polyb. p. 1026. TOUP.

[u] δυσσημείαν] δυσσημίαν A.B.

H [x] φυλάξασθαι τὸν καιρὸν] τὸν καιρὸν φυλάξασθαι V.

[y] θράσσειν] Leg. βράσσειν ex Hesych. REINES. Ita etiam Ruhnkenius ad Tim. p. 243. φράσσειν Phot. ms. Lex. Seg. ms.

[z] στενάζειν] στυγνάζειν V. In fine gl. καὶ σφακελίζειν om. A. ubi V. σφακελλίζειν.

[a] Πανουργεύουσα] *In omnes partes versare.* Vid. v. Στρέ-

[Σφαῖρα: [z]Ὅτι τὴν τῆς σφαίρας εὕρεσιν [a]Ἀνάγαλλις ἡ Κερκυραία, γραμματική, Ναυσικάᾳ τῇ Ἀλκινόου θυγατρὶ ἀνατίθησι.] A

Σφαιρίζω: Τὸ τῇ σφαίρᾳ παίζω.

[b]Φιλονείκως γὰρ οἱ σφαιρίζοντες παίζουσι.

Σφαιρωτήρ: Σανδαλίου [c]ζυνίχιον. Οἷον, τὸ λωρίον τοῦ ὑποδήματος.

Σφεδανῶν: Στερρῶν, ἰσχυρῶν.

[d]Ὄμμα δ' ἑλίξας
βρυχᾶτο σφεδανὸν ἔβριμον ἐκ γενύων.

Σφενδάμνινοι: Ἰσχυροί· [e]τοιοῦτον γὰρ τὸ τῆς σφενδάμνου ξύλον· ἀντὶ τοῦ σφενδονῆται. Τὸ δὲ σφενδάμνινοι ταυτόν ἐστι τῷ [f]πρίνινοι. Σφένδαμνος γὰρ εἶδος ξύλου [g]σκληροῦ. Ἔστι δὲ καὶ εἶδος καννάβεως ἡ σφένδαμνος. Ἡ γὰρ [h]σφενδόνη ἀπὸ καννάβεως γίνεται.

Σφενδονᾶσθαι: [i]Ἀπορρίπτεσθαι.

Σφενδόνη: [k]Τοῦ δακτυλίου ἡ περιφέρεια· καὶ ἡ εἰς λίθου βολὴν ἐπιτηδεία χρῆσις.

[l]Ὅτι Κῦρος τοὺς πολλοὺς τῶν Λυδῶν σφενδονᾶν [m]ἐκέλευεν, ὡς τὸ ὅπλον τοῦτο δουλικώτατον εἶναι νομίζων. Σὺν μὲν γὰρ ἄλλῃ δυνάμει μάλα ἔστιν ἔνθα [n]ἰσχυρῶς ὠφελοῦσιν σφενδονῆται· [o]παρόντες· αὐτοὶ καθ' ἑαυτοὺς οὐδ' ἂν οἱ πάντες σφενδονῆται [p]μείνειαν πάνυ ὀλίγους ὁμόσε ἰόντας ὅπλοις ἀγχεμάχοις.

Καὶ σφενδονῶ, αἰτιατικῇ.

[Σφενδονῆται:
[q]Βαλιαρίδων νήσων σφενδονῆται εὔστοχοι.]

Σφέτερα: Τὰ ἑαυτῶν.

Σφετερίζεται: Αἰτιατικῇ. Λαμβάνει, ἰδιοποιεῖται.

Σφέτερον: Τὸ ἑαυτῶν, ἢ τὸ ἴδιον. Καὶ σφετέρῳ, τῷ ἑαυτῶν.

Σφηκιά: [r]Εἶδος ζώου. Καὶ παροιμία·

B [s]Ὥσπερ σφηκιὰν [t]βλίττῃ με κἀρεθίζῃ.

Ἀριστοφάνης. Ἀπὸ τῶν μελιττῶν μετενήνοχε. Βλίττειν γάρ, τὸ ἐκπιέζειν τὸ μέλι.

Σφηκώδεις: Σκληροί, κάτισχνοι τοῖς σώμασι· [u]καὶ γὰρ οἱ σφῆκες τὴν κοιλίαν ἐπισυνηγμένην ἔχουσιν. Ἀριστοφάνης Πλούτῳ·

Μέγαν λαβόντες ἡμμένον σφηκίσκον.

C [[x]Ἤγουν,] [y]ξύλον ὀξυμμένον· ἐπεὶ καὶ ὁ σφὴξ ὀξὺς ἐκ τῶν ὄπισθεν. Ἐπιτετήδευται ἡ λέξις παρὰ τὸν σφῆκα. Τὰ γὰρ [z]μικρὰ τῶν ξύλων, καὶ εἰς ὀξὺ συνηγμένα, σφηκίσκους καλοῦσιν· ἐπεὶ καὶ τοὺς λαγαροὺς τοῖς σώμασιν ἀνθρώπους, καὶ μὴ προκοιλίους, σφηκώδεις φασί.

[Σφῆκες [a]φανέντες δυσμενῶν εἰσὶ βλάβαι.
D Ὅτι [b]ἵπποι μὲν σφηκῶν γένεσις, ταῦροι δέ, μελισσῶν.]

Σφήκωμα: Τὸ λεπτὸν σχοινίον.

---

locus: de quo non est quod dubitent viri eruditi. TOUP. Vid. Junii Catal. Artif. in *Timanthes*. HEMST. σφαιριστικῷ ἔπαιζεν V. Desunt hæc A.

[z] ὍΤΙ τὴν τῆς σφαίρας εὑρ.] Eadem tradit Suidas supra v. Ἀναγαλλίς. KUST. Hæc A. in marg.

[a] Ἀνάγαλλις] Supra suo loco rectius, Ἀναγαλλίς. KUST.

[b] Φιλονείκως γὰρ οἱ σφ.] Ne Melampus quidem, vel si quis Melampode μαντικώτερος, divinare queat, quid ista sibi velint, aut quare ea huc allata sint, nisi in promptu habeat locum scriptoris, ad quem Suidas respexit. Respexit autem ad Artemidori Oneirocr. lib. IV. c. 71. ubi inter alia et hæc leguntur: Δοῦλός τις ἔδοξε μετὰ τοῦ Διὸς σφαιρίζειν. Ἐφιλονείκησε τῷ δεσπότῃ. Ὁ μὲν γὰρ Ζεὺς τὸν δεσπότην ἐσήμαινεν· ὁ δὲ σφαιρισμός, τὴν ἐξ ἴσου ῥῆσιν καὶ φιλονεικίαν. Φιλονείκως γὰρ οἱ σφαιρίζοντες παίζουσι. Hinc apparet, compilatorem omisisse, sine quibus ea, quæ hic adducta sunt, intelligi non possunt. KUST. Nihil alius voluit Suidas, quam exemplum adferre propositi verbi σφαιρίζειν. HEMST. E F

ΣΦΑΙΡΩΤΗΡ] Joannes Chrysost. in Orat. in XL. Martyres: Σφαιρωτήρ, τὸ παρὰ πολλοῖς λεγόμενον λωρίον. Σφαιρωτὴρ δὲ λέγεται, διὰ τὸ πολλάκις κυκλοειδὲς ἀπεργάζεσθαι τὸ δέρμα τὸν τεχνίτην, καὶ οὕτω τέμνειν. Τινὲς δέ φασι τὴν κλῆσιν λαβεῖν ἀπὸ τοῦ τὰ σφυρὰ τηρεῖν. Eadem ex Chrysostomo repetit Photius Cod. CCLXXIV. p. 1521. Ceterum, vox σφαιρωτὴρ aliquoties etiam occurrit apud LXX. Interpretes in Exodo, sed alio significatu. KUST. Genes. XIV. 23. unde Cyrill. p. 18. ἀπὸ σπαρτίου ἕως σφαιρωτῆρος ὑποδήματος. TOUP. Notare debuisset Kusterus Genes. XIV. 23. ubi ἕως σφυρωτῆρος τοῦ ὑποδήματος. quo loco Alexand. cod. habet σφαιρωτῆρος, et Schol. σφυρωτῆρα explicat τὸν ἱμάντα τοῦ ὑποδήματος. BOS. G

[c] ζυνίχιον] ζυγίχιον B.E. Photius, supra p. 1584 B.

[d] Ὄμμα δ'] Anthol. Pal. VI. 219. Mox ἄβριμον A.B. V.E. non ὄμβριμον.

ΣΦΕΝΔΑΜΝΙΝΟΙ: Ἰσχυροί. Τοιοῦτον γὰρ τ.] Ex Schol. Aristoph. Acharn. 180. Ceterum, in prioribus editt. [et E.] desunt verba ista, ἀντὶ τοῦ σφενδονῆται. Τὸ δὲ σφενδάμνινον ταυτόν ἐστι τῷ πρίνινοι. Σφένδαμνος γὰρ εἶδος ξύλου ὑγροῦ, ξηροῦ: quæ ex mss. Paris. revocavi. Ultimis autem verbis, ξύλου ὑγροῦ, ξηροῦ, mendum inesse existimo; quæ sic rescripserim, ξύλου ἰσχυροῦ καὶ σκληροῦ. Lectio H

enim altera, ut contradictoria, stare non potest. KUST.

[e] τοιοῦτον] τοιοῦτο A.V. Mox τῆς om. V. Post ξύλον E. addit σκληρόν.

[f] πρίνινοι] Julian. Misopog. p. 350. πρίνινον, σφενδάμνινον. TOUP.

[g] ὑγροῦ ξηροῦ] σκληροῦ A.B.V. ἰσχυροῦ Schol.

[h] σφενδόνη] σφενδάμη A.

[i] ἀπορρίπτεσθαι] ἀπορίπτεσθαι A.

[k] ἡ τοῦ δακτυλίου] τοῦ δακτυλίου ἡ A. Timæus p. 244. ἐπιτηδεία χρῆσις om. Timæus et Photius. Præterea Timæus λιθοβολίᾳ.

[l] Ὅτι Κῦρος τοὺς πολλοὺς τῶν Λυδ.] Hæc sunt verba Xenophontis lib. VII. [4, 15.] de Instit. Cyri, p. 188. KUST.

[m] ἐκέλευεν] ἐκέλευσεν A.V.E.

[n] ὠφελοῦσιν ἰσχυρῶς] ἰσχυρῶς ὠφελοῦσιν A.

[o] παρόντες] Ita Xenophon. Libri Suidæ omnes παθόντες.

[p] μείνειαν] μεῖναν B.E. παθόντες μεῖναν M. μείνειεν V. Mox ὁμόσε ὀλίγους A.V. Post h. gl. delevi ΣΦΕΝΔΟΝΗ ΓΥΓΟΥ. Ζήτει ἐν τῷ ΓΥΓΟΥ ΔΑΚΤΥΛΙΟΣ, cum A.V.

[q] Βαλλιαρίδων] Supra suo loco rectius legitur Βαλιαρίδων, per unum λ. KUST. Et sic V. Deest gl. A.

ΣΦΕΤΕΡΙΖΕΤΑΙ] Polyb. 1072. Vid. Πλεονεξία. TOUP.

[r] Εἶδος ζώου] Interpretatio hæc potius convenit voci σφήξ, quam σφηκιά. Quid autem σφηκιά significet, lexica vulgata docent. KUST.

[s] Ὥσπερ σφηκιὰν βλ.] Aristoph. Lysist. 476. Ἢν μή τις ὥσπερ σφηκιὰν βλίττῃ με κἀρεθίζῃ. KUST.

[t] βλίττει] βλίττῃ A.V.

[u] καὶ οἱ] καὶ γὰρ οἱ A.B.E.

[x] Ἤγουν om. A.V.

[y] ξύλον ὀξυμμένον. Ἐπεὶ κ.] Ex Schol. Aristoph. Plut. 301. KUST.

[z] μικρὰ τῶν ξύλων] Sic etiam Scholiastes Aristophanis. At Hesychius, μακρὰ τῶν ξύλων, quod magis placet. KUST.

ΣΦΗΚΕΣ ΦΑΝ.] Est versus oneirocriticus, qui legitur apud Astrampsychum. KUST. Om. V. Habet A. in marg.

[a] ΦΑΝΕΝΤΕΣ] φανεῖσαι A.B.

[b] Ἵπποι μὲν] Nicander Ther. 741.

ΣΦΗΚΩΜΑ] Vid. Phrynich. Bekkeri p. 64.

Σφηκῶντες:

Σφήλας: Καταβαλὼν, προσουδίσας.

[c]Ὁ δὲ σφήλας ἐπὶ τὴν γῆν τὸν ἄνθρωπον, ἐπιβοηθησάντων ἐκείνῳ τῶν οἰκείων, [d]οὕτως αὐτὸς πάλιν ἐπανῆλθε πρὸς τοὺς Ῥωμαίους.

Σφῆλαι: Πλανῆσαι, βλάψαι, ἀπατῆσαι.

Σφῆλος: Ὄνομα κύριον.

Σφὴν, σφηνός. Τὸ σφηνάριον.

Σφηνωθεὶς:

[e]Τιμαγένης οὗτος κληθεὶς ἐπὶ δεῖπνον, καὶ σφηνωθεὶς, ἀπέθανεν.

Καὶ σφηνούμενος, στρεβλούμενος, βασανιζόμενος.

Σφὴξ, σφηκός. Εἶδος μελισσῶν. [[f]Σφὶγξ δὲ, Σφιγγός.]

Σφῆισι: Θηλυκόν. Ἀντὶ τοῦ αὐταῖς. [Σφίσι δὲ, ἀρσενικόν.]

Σφήττιος: Ὄνομα κύριον. [Καὶ [g]Σφήττιος, δῆμος.]

Σφηττοί: [h]Δῆμος τῆς Ἀκαμαντίδος [i]ὁ Σφηττός.

Σφιγανόν: Πολεμικόν.

Σφιγγὸς πράγματα παρέχων πολλὰ, ἐπὶ πολλαῖς ταῖς ζητήσεσι τῶν ἀτόπων τούτων αἰνιγμάτων, οὐ τῆς Καδμείας Σφιγγὸς, ἀλλὰ Σφιγγὸς μέν τινος ἀτεχνῶς, ἔτι δὲ θειοτέρας, καὶ πολὺ σοφωτέρας.

Σφίγγα: Αἰτιατική.

Σφίν: Αὐτοῖς. Καὶ ἀντὶ τῆς οἱ ἀντωνυμίας παρὰ [k]Σοφοκλεῖ· [l]ἔδει γὰρ τελεσφόρον χάριν δοῦναι σφίσιν. Οἱ αὐτῷ.

Σφίσιν: Αὐτοῖς, ἢ τοῖς ἑαυτῶν.

Σφοδελὸν τὸν ἀσφόδελον καλοῦσι, τὸ α' ἀφαιροῦντες· ὥσπερ [m]καὶ μαυρὸν τὸ ἀμαυρόν.

Σφοδρίας, στρατηγὸς [n]Λακεδαιμονίων. Φασὶ δὲ αὐτὸν εὐήθη τε εἶναι λίαν, καὶ κοῦφον πρὸς τὰς ἐλπίδας.

Σφοδροῦ: Λαμπροῦ, πολυδαπάνου.

[o]Σφοδροῦ τε πότου γενομένου, ἐνεδρεύων ὁ Παρσώνδης αὐτὸς μὲν ὀλίγον ἔπινεν, ἐκείνοις δὲ πολὺν ἐγχεῖν τῷ θεράποντι ἐκέλευε.

Σφῶε: Καὶ σφῶϊν.

Σφῶν: Αὐτῶν. [p]Ἢ, ὑμᾶς, [q]ἰδίους, ἰδίας.

Σφωράκιος:

Σφραγὶς, σφραγῖδος. Τὸ ἐπισημαῖνον διὰ [r]χαρακτήρων τὰ φυλαττόμενα.

[s]Ὁρῶσα ἡ Ταρπηΐα σφραγῖδας ἀπὸ χρυσοῦ, καὶ [t]ψέλια ταῖς χερσὶν, ἐπεθύμησε τοῦ χρυσοῦ.

Καὶ [u]Σφραγιδονυχαργοκομήτας: Τοὺς κόμαις καὶ περιττοῖς δακτυλίοις τὰς χεῖρας κοσμουμένους μέχρι τῶν ὀνύχων, [x]ὡς ὑπὸ τῶν δακτυλίων σκέπεσθαι τοὺς δακτύλους. Ἢ καὶ τοὺς τῶν ὀνύχων ἐπιμελουμένους, καὶ ὁσημέραι [y]ξέοντας αὐτοὺς, τοῦ ἐκλάμπειν ἄγαν· ὃ πάσχουσιν οἱ τῷ καλλωπίζειν [z]σχολάζοντες μόνον. Ἀριστοφάνης Νεφέλαις.

Σφριγῶν: Νεάζων, αὔξων, σφύζων, βράζων, εὐσωματῶν, ἀκμάζων, ἀνθῶν.

[a]Ὡς δ' εὐχροεῖς, ὡς δὲ σφριγᾷ τὸ σῶμά σου,
κἂν ταῦρον ἄγχοις.

Ἀντὶ τοῦ, εὐσωματεῖς.

[b]Νεάζοντές τε καὶ τῇ ἀκμῇ τῆς ἡλικίας σφριγῶντες τὸ σῶμα.

Καὶ αὖθις·

[c]Οὕτω μὲν ἐσφρίγα ὁ πόλεμος.

Ἀριστοφάνης [d]Νεφέλαις·

Εὐσωματεῖ γὰρ καὶ σφριγᾷ.

Τουτέστιν, ἰσχυρότερός μου ἐστί. Καὶ σφριγῶντες, ἀκμάζοντες.

[c] Ὁ δὲ σφήλας] Ex Josepho, opinor. Diodor. Sicul. t. I. p. 204. σφήλαντας ἐπὶ τὴν γῆν. TOUP.

[d] οὕτως] οὗτος A.V. Mox τοὺς om. V.

[e] Τιμαγένης κλ.] Vide infra v. Τιμαγένης, ubi eadem pluribus traduntur. Confer etiam Casaubonum ad Athen. lib. VI. c. 12. sed qui locum hunc Suidæ male interpretatur. KUST. οὗτος addunt A.V.E. Mox τὸ ante δεῖπνον om. A.V.

[f] ΣΦΙΓΞ] Uncis inclusa om. A.

[g] ΣΦΗΤΤΙΟΣ] Lege Σφηττός: ut paulo post. KUST.

[h] Δημοσθένης. Τῆς Ἀκαμ.] Scribe δῆμος τῆς Ἀκαμαντίδος, &c. KUST. Et sic fere Harpocratio.

[i] ἡ Σφηττός] ὁ Σφ. B.V.E. Harpocr. ms. Pal.

ΣΦΙΓΑΝΟΝ] Minus recte pro σφριγανόν. Vide Hesych. v. Σφριγανόν. KUST. Corrupte positum pro Σφιδανόν censet Ruhnkenius ad Tim. p. 244.

ΣΦΙΓΓΟΣ πράγματα] Hæc Æliano tribuit Valckenærius. Statim delevi ΣΦΙΓΞ: Ἐν τῷ Οἰδίποδι, cum A.V.

[k] Σοφοκλεῖ] Schol. ad Œd. Col. 1490. Ὅτι ἡ σφὶν ἀντὶ τῆς δὲ ἀντωνυμίας κεῖται· ἔδει γὰρ, τελεσφόρον δοῦναί οἱ χάριν. Hunc locum indicavit Abreschius.

[l] εἶδει] ἔδει A.B.V.E.

ΣΦΟΔΕΛΟΝ] Hanc gl. habet A. in marg.

[m] καὶ ἐπ' ἄλλων· μαυρὸν γὰρ] ἐπ' ἄλλων et γὰρ om. A.V. Post ἀμαυρὸν delevi Καὶ ΣΦΟΔΕΛΟΝ τὸν ἀσφόδελον καλοῦσι, cum V. Eustath. Od. λ'. p. 1698=456, 13. Τὸ δὲ κατ' ἀσφοδελὸν λειμῶνα οἱ μὲν συναλείφουσι καὶ φασὶ τετρασυλλάβως ἀσφοδελὸν, εἰσὶ δὲ καὶ οἳ καὶ χωρὶς τοῦ α γράφουσι σφοδελόν· καὶ φέρεται ἀμφοτέρως, ὡς καὶ ἀσταφὶς καὶ σταφὶς, καὶ ἄσταχυς καὶ στάχυς.

ΣΦΟΔΡΙΑΣ, στρατ.] Ex Harpocratione. KUST.

[n] Λακεδαιμονίων] Λακεδαιμονίας V.

[o] Σφοδροῦ τε πότου γεν.] Vide Vales. in Not. ad Excerpta ex Nic. Damasc. p. 65. KUST. Supra v. Ποτός. TOUP.

[p] Σφᾶς αὐτοὺς, ἢ ὑμᾶς] Σφᾶς αὐτοὺς om. A.B.V. Photius, Lex. Seg.

[q] ἰδίους, ἰδίας] Hæc interpretatio nihil ad rem facit. Pertinet enim ad σφοὺς et σφάς: non vero ad σφᾶς. KUST.

ΣΦΩΡΑΚΙΟΣ] Supra v. Σπεράκις.

[r] χαρακτῆρος] χαρακτήρων A.B.V.

[s] Ὁρῶσα ἡ] Dionys. Hal. II. p. 105, 33. ed. Sylb. Τάρπεια—αὐτὴν ἔρως εἰσέρχεται τῶν ψαλίων, ἃ περὶ τοῖς ἀριστεροῖς βραχίοσιν ἐφόρουν, καὶ τῶν δακτυλίων· χρυσοφόροι γὰρ ἦσαν etc. ubi Suidæ non oblitus est Sylburgius.

[t] ψέλλια] ψέλια A.V.

[u] ΣΦΡΑΓΙΔΟΝΥΧΑΡΓΟΚΟΜΗΤΑΣ: Τοὺς κόμ.] Ex Schol. Aristoph. Nub. 33. Mox ὡς μέχρι M.

[x] ὡς ὑπὸ] ὡς om. A.E.V.M.

[y] ξέοντας] ξύοντας Schol. ξύωντας E. Mox ὑπὲρ τοῦ Schol.

[z] προσέχοντες] σχολάζοντες A.B.V. Schol.

ΣΦΡΙΓΩΝ] Menander in Exc. Hœschel. p. 79. et p. 135. σφ. τὸ σῶμα. TOUP. Vid. Ruhnken. ad Tim. p. 244.

[a] Ὡς δ' εὐχροεῖς, ὡς δὲ σφρ.] Aristoph. Lysistr. 80. ib. Ὡς δὲ] δὲ om. V.

[b] Νεάζοντές τε] Conf. Menand. Protect. Exc. p. 100. unde suspicari licet hæc ex integra ejus historia esse desumta. BURN.

[c] Οὕτω μὲν ἐσφρίγα] Fragmentum hoc extat in Theoph. Simoc. Ἱστορ. Πρεσβ. p. 58. Idem iterum Hist. III. 4. Ὁ δὲ Ῥωμαίων τε καὶ Περσῶν πόλεμος ἐσφρίγα καὶ ἐσφάδαζε. ABRESCH.

[d] Νεφέλαις] Ver. 797. Addunt A.B. περὶ τοῦ υἱοῦ αὐτοῦ.

Σφυγμός: Φλεγμονή, παλμὸς, ζέσις φλεβὸς, ἢ ἀρτηρίας.

Σφύζει: Ἐπείγει· ἢ αἱ φλέβες ἅλλονται.

Ἐπὶ ταῦτα δὲ αὐτοῖς σφύζουσι καὶ ἀνεστηκόσι συνάπτουσι μάχην.

Καὶ [e]Πισίδης·

Σφύζεις, Ἀχιλλεῦ, καὶ μεθύσκῃ τὰς φρένας.

Σφυρά: Τὰ περὶ τοὺς ἀστραγάλους. [f]Σφῦρα δὲ, τὸ τεκτονικὸν ἐργαλεῖον.

[g]Δουριτυπῆ τε
σφῦραν.

Σφυράδες: Τῶν αἰγῶν καὶ [h]τῶν προβάτων τὰ ἀποπατήματα. [i]Ἀριστοφάνης·

Ὄρτυγας οἰκογενεῖς, γυλιαύχενας ὀρχηστὰς,
ναννοφυεῖς, σφυράδων ἀποκνίσματα, μηχανοδίφας.

[l]Καρκίνος ποιητὴς ἦν. Οἰκογενεῖς δὲ, ἀντὶ τοῦ, [m]ἐσκιατραφημένους· ὡς ἂν εἴποις, ὄρνιθας οἰκογενεῖς. Ὄρτυγας δὲ, διὰ τὸ ἐριστικόν· τοιοῦτοι γὰρ οἱ ὄρτυγες. Γυλιαύχενας δὲ, τουτέστι, μακροτραχήλους. Γύλιος γὰρ στρατιωτικόν ἐστι πλέγμα, ἐπίμηκες, εἰς ὀξὺ λῆγον. Κολοβὸν οὖν εἰκὸς εἶναι [n]τὸ ὅλον σῶμα, καὶ μόνον τὸν τράχηλον μακρόν. Ἢ, αὐχένας οὐκ ἔχοντας· καθάπερ ὁ γύλιος. Ἢ [o]ὡς σμικροὺς καὶ γογγυλώδεις σκώπτει. Ἐχόρευον δὲ οὗτοι τῷ πατρί. Ναννοφυεῖς δὲ, ὅτι νάννοι λέγονται οἱ κολοβοὶ τῶν ἀνθρώπων. Οἱ δὲ κολοβοὶ τῶν ἵππων, [p]ἶννοι. Ὀρχηστὰς δὲ, [q]ἐπειδὴ εἰσέφερεν αὐτοὺς ὁ πατὴρ ἐν τοῖς δράμασιν ὀρχουμένους. Σφυράδων δὲ ἀποκνίσματα, ἀντὶ τοῦ ταπεινούς. Σφυράδες γὰρ, τὰ τῶν αἰγῶν καὶ τῶν [r]προβάτων ἀποπατήματα. Ἡ δὲ σφυρὰς κυάμου ἔχει τὸ μέγεθος. Ταύταις οὖν ἀπεικάζει αὐτούς· μᾶλλον δὲ οὐ ταύταις, ἀλλὰ τοῖς ἀποκνίσμασιν αὐτῶν καὶ [s]ἀποτυχήμασιν. Εὐτελίζει οὖν αὐτοὺς διὰ τὸ βραχύ. Ἡ γὰρ τοῦ μικροῦ μερὶς, μικρὰ, [t]ἢ οὐδὲν ἂν εἴη. [u]Μηχανοδίφας δὲ, ἀπὸ μέρους. Ξενοκλῆς γὰρ, ὁ [x]Καρκίνου, δοκεῖ μηχανὰς καὶ τερατείας εἰσάγειν ἐν τοῖς δράμασι. Πλάτων Δωδεκαμήχανον αὐτόν φησιν· ἐμιμεῖτο γὰρ θεοὺς ἀνερχομένους ἢ κατερχομένους.

Σφυρήλατος: [y]Σφύραις ἐληλαμένος.

Σφυρόμαχος: Οὗτος ψήφισμα εἰσηγήσατο, ὥστε τὰς γυναῖκας καὶ τοὺς ἄνδρας χωρὶς καθέζεσθαι.

Σχάδονας: Τὰ τῶν κηφήνων κηρία· καὶ ζῶον ἄπτερον, ἄπουν.

Σχαλίσαι: Θηλάσαι. Καὶ ἀνίσχαλον, [z]τὴν ἄτοκον, καὶ ἀθήλαστον.

Σχάσαντα: Τεμόντα.

Ἔλεγον σχάσαντα ἐκ τῶν βραχιόνων τὰς φλέβας, λειποψυχήσαντα ἀποθανεῖν.

Οὕτως Ἀρριανός.

Σχάσον: Κατάπαυσον, μετάβαλε. [a]Ἀριστοφάνης Νεφέλαις·

Σχασάμενος τὴν ἱππικήν.

Ἀντὶ τοῦ, παυσάμενος τῆς ἱππικῆς· ἢ ἀποχωρήσας καὶ ἀποστὰς τοῦ παρόντος ἐπιτηδεύματος· ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων. Σχάσαι γὰρ δὴ, καὶ ὥσπερ διαστεῖλαι καὶ διασχίσαι τὸ ὕδωρ τὴν κώπην ἐρέσσουσαν. Καὶ Πίνδαρος·

Κώπαν [b]ἤδη μοι σχάσαις.

Καὶ,

[c]Σχάσας τὴν φροντίδα.

Τουτέστι, παύσας, στήσας, ἀτρεμήσας. Καὶ αὖθις·

Κώπην σχάσας.

Ἀντὶ τοῦ, τὴν εἰρεσίαν καταπαύσας. Ἔνιοι δὲ σχάσας, ἀντὶ τοῦ ἁπλώσας.

Σχεδάριον: Δέλτος, πινακίδιον, πιτλάριον.

Σχέδην: Ἀντὶ τοῦ σύνεγγυς.

Ἐκ τοξευμάτων ἐβλάπτοντο, καὶ ὅτε σχέδην συμφέροιντο.
Σχέδην καὶ ἐγγὺς μαχομένῳ μεθεῖναι μὲν αὐτὸν οὐκ ἠξίωσεν, ὡς μὴ τὸ κτῆμα ἢ φόρημα τοῦ πολεμίου γένοιτο.

Σχεδία: Ἡ ἐκ τῶν παρατυχόντων, ἢ εἰκαίως πεποιημένη ναῦς· καὶ γέφυρα, καὶ ζεῦγμα.

---

ΣΦΥΓΜΟΣ] Scribe σφυγμός: ut recte legitur apud Photium in Lex. ms. KUST.

[e] Πισίδης] Fr. Foggin. 148.

ΣΦΥΡΑ] Vid. supra in Ἀρθρεμβόλον. REINES.

[f] ΣΦΥΡΑ] Σφῦρα V.

[g] Δουριτυπῆ τε σφ.] Anthol. Pal. VI. 103.

ΣΦΥΡΑΔΕΣ] Hippocr. σπυράδες. Vid. Foes. Œcon. Hipp. REINES.

[h] τῶν προβάτων] τῶν om. A.V.E.

[i] Ἀριστοφάνης] In Pac. 788.

[k] ἀποκνίσματα] ὑποκνίσματα A.B.V.E. cum ms. Rav. Mox μηχανοδήφας A. μηχανοδίφρας B.E.

[l] Καρκίνος ποιητ.] Vide Nostrum supra v. Καρκίνος, ubi eadem leguntur. KUST.

[m] ἐσκιατραφημένους] σκιατραφημένους V.E.M. Mox ὡς ἂν—οἰκογενεῖς om. V. et infra διὰ τὸ ἐριστικόν.

[n] τὸ ὅλον] ὅλον τὸ V. qui om. ἢ αὐχένας—τῷ πατρί.

[o] ὡς σμικροὺς] σμικροὺς A. σμικροὺς δὲ E. καὶ mox A. post δέ.

[p] ἶννοι] Vide supra h. v. KUST. καὶ ἶννοι M.

[q] ἐπειδὴ] ἐπεὶ A.V.E.

[r] προβάτων] τῶν πρ. A.V.E. Mox ταύταις οὖν—ἂν εἴη om. V.

[s] ἀποτυχήμασιν] Scribe ἀποτμήμασιν, ut recte legitur apud Scholiastam Aristophanis, itemque Nostrum supra, v. Καρκίνος. KUST. ἀποτυχήσμασι B.E.

[t] ἢ οὐδὲν] οὐδὲν om. A.

[u] ΜΗΧΑΝΟΔΙΦΑΣ] Μηχανοδήφας A. μηχανοδίφρας B.E.M.

[x] Καρκίνου] Καρκῖνος A. Καρκίνος B. Καρκι' E.

ΣΦΥΡΗΛΑΤΟΣ] Vid. supra p. 2252 B. Wyttenbach. ad Plutarch. II. p. 65 B.

[y] Διὰ σφύρας] σφύραις A.V. Photius, Hesych. Lex. Seg.

ΣΦΥΡΟΜΑΧΟΣ: Οὗτος ψήφ.] Ex Enarratore Comici ad Ecclesiaz. 22. KUST.

ΣΧΑΔΟΝΕΣ] Alii, σχαδόνες, cum accentu in penultima, quod usitatius est. KUST.

ib. Σχάδονας V. Photius. Vid. Schol. Theocriti I. 147.

ΣΧΑΛΙΣΑΙ] Sic etiam Hesychius, et Photius in Lex. ms. At Etymologici auctor, Σχαδίσαι, τὸ θηλάσαι. Καὶ ἀνίσχαδον, &c. Τὸ Λ nimirum et Δ propter affinitatem figuræ crebro inter se commutari et confundi solent: unde multarum vocum διττογραφία orta est. KUST.

[z] τὸ ἄτοκον] τὴν ἄτοκον A.B.V. Photius.

[a] Ἀριστοφάνης Νεφέλαις] Ver. 107. Vide ibi Scholiastam, cujus interpretationem Suidas more suo hic sequitur. KUST.

[b] ἤδη μοι] ἤδη ἔστω μοι A. ἤδη ἔσται μοι V. ἤδη μοι ἔσται E. κώπαν σχάσον Pindar. Pyth. X. 79.

[c] Σχάσας τὴν] Aristoph. Nub. 738.

ΣΧΕΔΑΡΙΟΝ] Confer Nostrum supra v. Δέλτος, et v. Πινακίδιον. KUST. Hanc gl. habet A. in marg. Post Σχεδία ponit V.

Σχεδιάζει: Ἐκ τοῦ παρατυχόντος λέγει.

Σχεδιάζειν: Ἐγγίζειν, πλησιάζειν, [d]τὸ εἰκῇ ἀποφαίνεσθαι.

[e]Ἀπ' ἀρχῆς ἄχρι τέλους ἐσχεδιάσθαι καὶ διημαρτῆσθαι.

Σχεδιασθείς: Παραχρῆμα ῥηθείς.

Σχέδιον: Ἐκ τοῦ ἑτοίμου. Καὶ [f]Ἀριστοφάνης·

Ταῦτα δὲ σχεδίοις ἔοικε.

Τουτέστιν, ἐκ τοῦ παρατυχόντος εἴρηται.

Σχέδιοι: Εὐτελεῖς.

Σχεδίως ἐκτράφηθι:

Σχεδόν: Πλησίον, [g]πέλας, ἢ ἐκ χειρός.

Σχελίδες: Βοὸς πλευρά. Ἢ ἁπλῶς τὰ [h]πλευριμαῖα τῶν κρεῶν. [i]Ἀριστοφάνης·

Ἀλλὰ σχελίδας ἐδηδοκώς, ὠνήσομαι μέταλλα.

Σχέσις: Ὁρμή, συνάφεια.

Σχέσις ἐπὶ τῶν πρός τι λέγεται· οἷον, πατρὸς πρὸς υἱόν, φίλου πρὸς φίλον· ταῦτα γὰρ καὶ ἔχει καὶ ἔχεται ὑπ' ἀλλήλων· διὸ καὶ σχέσεις προσείρηνται. Πρός τι δέ εἰσι καὶ τὰ κατὰ σύγκρισιν λεγόμενα· οἷον, μικρόν, μεῖζον, διπλάσιον, καὶ ἐπιστήμη, καὶ αἴσθησις. Καὶ ὁ Θεολόγος,

Ὡς [k]μόνας τὰς σχέσεις λείπεσθαι ὀρφανὰς τῶν πραγμάτων. Ἀφίεμεν γὰρ τὴν μητέρα, καὶ ἀφιέμεθα ὑπ' αὐτῆς· ὥστε μερίζεσθαι εἰς υἱοὺς καὶ πατέρας. Τὸ δὲ θεῖον, ἀμέριστον.

Σχετικῶς: Οἰκειωτικῶς.

Σχετλιάζει: Δυσχεραίνει, ἢ βλασφημεῖ.

Σχέτλιος: Ὀδυνηρός, χαλεπός, ἀγνώμων, ἀτυχής, δεινοπαθής, ἄδικος, ἄπορος, θλιβόμενος, τλήμων, ἐπαχθής.

Σχῆμα: Ἡ τοιάδε τῶν προτάσεων κοινωνία· οἷά εἰσι τὰ παρ' Ἀριστοτέλει τρία καλούμενα σχήματα. Μέρος γὰρ ἡ πρότασις τῆς συμπλοκῆς. Αὕτη δὲ οἷον ὕλη παρὰ τοῦ σχήματος εἰδοποιεῖται, καὶ καθάπερ τινὰ μορφὴν ἀπολαμβάνουσα, τὴν πρὸς τὸ μέσον ποιὰν συνάρτησιν.

A Σχηματιζόμενος: Προσποιούμενος, ἢ συντασσόμενος. Λέγεται καὶ παρασχηματίζειν, τὸ διεστραμμένα λέγειν.

Σχήσεσθαι: Ἐπισχεθήσεσθαι.

Σχήσειν: Ἀνθέξειν.

Σχήσουσι: Σχῶσι, κρατήσουσιν, [l]ὑφέξουσι.

Σχίδακας: Σχίζας.

Σχίζας: Κυρίως ἔλεγον οἱ παλαιοὶ τὰ ἐπὶ ταῖς

B θυσίαις τιθέμενα ξύλα· ὡς καὶ [m]Ὅμηρος·

Καῖε δ' ἐπὶ σχίζαις ὁ γέρων.

Σχίζω: Αἰτιατικῇ. Καὶ σχίζουσα, ἡ ὁδός, ἡ τρίοδος.

Σχῖνον διατρώγειν: Ἐπὶ τῶν καλλωπιζομένων, καὶ λευκαινόντων τοὺς ὀδόντας. Ὅθεν καὶ [n]σχινοτρὼξ λέγεται ὁ [o]τοιοῦτος. Καὶ σχινέλαιον.

C Σχίσις: Ἡ [p]Τρίκκη. Ὄνομα κύριον.

Σχολάζειν, καὶ σχολὴν ἄγειν, οὐκ [q]εὐκαιρεῖν λέγουσιν [r]Ἀττικοί.

Σχολάζω: Δοτικῇ.

Σχολάριοι τρισχίλιοι πεντακόσιοι ἐπὶ φυλακῇ τοῦ [s]Παλατίου ἦσαν τεταγμένοι, ἀριστίνδην ἀπολεχθέντες ἐξ Ἀρμενίων, [t]οἷς συντάξεις ἀνέκαθεν πλείους ἢ τοῖς ἄλλοις ἅπασι τὸ δημόσιον ἐχορήγει.

D Σχολαρχήσας: Σχολῆς ἄρξας, τουτέστι, διατριβῆς. [u]Περὶ Ἐπικούρου φησί.

Σχολαῖον: Ἀργόν, διατριβὴν ποιούμενον. Καὶ σχολαίτερον, ἢ σχολαιότερον, τὸ ἠρεμαιότερον. Ὁμοίως καὶ [x]σχολαιότης. Καὶ σχολαῖος, ὁ ἀργός.

Καὶ ὁ Μακεδονικὸς ἄρχων οὐ διὰ σχολαιότητος ἀφικνεῖται.

E Ἀντὶ τοῦ, οὐκ ἀργίας.

Σχολαίτερον: Ἀργότερον.

[y]Μαστιγοφόροι τε παριόντες ἐπετάχυνον τῆς ὁδοῦ τοὺς σχολαίτερον προσιόντας.

[d] τὸ εἰκῇ ἀποφαίνεσθαι] Vide Kusterum ad Schol. Aristoph. Ran. 78.

[e] ἀπ' ἀρχῆς] Polybius supra p. 1470 D.

ΣΧΕΔΙΑΣΘΕΙΣ] Zosimus p. 205. Tum leg. ἐκ τοῦ παραχ. Lucian. in Amor. p. 453. TOUP.

[f] Ἀριστοφάνης] Schol. ad Nub. 967. Ταῦτα δὲ σχεδιάσαι ἔοικεν. Hinc Suidas corrigendus est. Vid. infra v. Φρῦνις.

ΣΧΕΔΙΩΣ] Arati Schol. p. 146. TOUP. ad Dios. v. 412. Σχεδίως: ἀντὶ τοῦ προσφάτως, ἀσκόπως, παρέργως, προπετῶς, καὶ ὡς ἔτυχε.

[g] πέλας] πέρας V.

ΣΧΕΛΙΔΕΣ] Σχελείδες A.V. et in versu σχελείδας. Mox βοῶν E.

[h] πλευριμαῖα] πλευριαῖα ed. Photii, cujus ms. πλευρίδια. πλευρικὰ Schol. Aristoph.

[i] Ἀριστοφάνης] Equit. 361. KUST.

Ἡ ΣΧΕΣΙΣ δὲ] Σχέσις A. Mox πρὸς πατέρα υἱόν, πρὸς φίλον φίλον M.

[k] μόνας] μόνον A.V.

ΣΧΕΤΛΙΑΖΕΙ] Polyb. 323. TOUP.

ΣΧΗΜΑΤΙΖΟΜΕΝΟΣ] Ex Timæo p. 245.

ΣΧΗΣΕΣΘΑΙ: Ἐπισχεθήσεσθαι] Σχήσεσθε: ἐπισχεθήσεσθε A.B.E. Vulg. tamen Photius.

ΣΧΗΣΕΙΝ] Il. μ'. 4.

[l] ὑφέξουσι] ὑφέξονται V. ἐφέξουσι Photius. Statim delevi ΣΧΙΔΑΞ: Τὸ σχίσμα· ἢ, τὸ ἐσχισμένον ξύλον. Παρὰ τὸ σχίζω, cum A.B.V.E. Vid. Etymol. M. p. 741, 17.

ΣΧΙΔΑΚΑΣ] Hæc ex A.B. Pertinet ad 1 Reg. XVIII. 38.

ΣΧΙΖΑΣ] Schol. Aristoph. Pac. 1024. HEMST.

[m] Ὅμηρος] Il. α'. 462. KUST.

ΣΧΙΖΩ: Αἰτιατικῇ. καὶ om. V. Habet A. in marg.

[n] ΣΧΙΝΟΤΡΩΞ] Hesychius Σχῖνον διατρώγειν: εἰώθασι δὲ

F σχῖνον τρώγειν οἱ καλλωπιζόμενοι ἕνεκα τοῦ λευκαίνειν τοὺς ὀδόντας. Lentisco autem dentes purgari solitos auctor est Martialis Ep. XIV. 22. *Lentisco melius, sed si tibi frondea cuspis Defuerit, dentes penna levare potest.* SCHOTT. Vid. Zenob. V. 96.

[o] τοιοῦτος] Statim delevi Ἐπὶ τῶν καλλωπιζομένων. Διὰ γὰρ τὸ λευκαίνειν τοὺς ὀδόντας, ἤσθιον χῖνον, cum A.

[p] χώρισις] τρίκκη ὄνομα κύριον A.B.E. Vulg. habet Zonaras.

[q] εὐκαιρεῖν] εὐκαιρεῖν aliud est: nempe *beate vivere*, et

G *divitiis abundare*. Vid. supra in v. et in Σχολή. Mœris in v. Vid. Ῥαδιουργός. TOUP. Vid. Lobeck. ad Phryn. p. 125.

[r] οἱ Ἀττικοί] οἱ om. A. Photius.

ΣΧΟΛΑΡΙΟΙ τρισχ.] Hæc excerpta sunt ex Procopii Hist. Arc. c. 24. Confer Vales. ad Amm. Marcell. p. 32. et Dufresnium in Glossario Græco, v. Σχολάριοι. KUST.

[s] Πάλλαντος] Procopius, Παλλατίου. Et sic apud Sui-

H dam scribendum est. KUST. Παλλατ A. παλατ V. Mox ἀπολεχθέντες A.B.V.E. pro ἐπιλ.

[t] οἷς] ἧς V.

[u] Περὶ Ἐπικούρου] Supra p. 1364 B.

[x] ΣΧΟΛΑΙΟΤΗΣ καὶ ΣΧΟΛΑΙΟΣ] σχολαίτ καὶ σχολαίτ A. Post ἀργὸς A.V. addunt καὶ σχολαιότ.

[y] Μαστιγοφόροι] Thucyd. IV. 47.

[z]Ὁ δὲ ἀπεφθέγγετο παροιμιῶδές τι καὶ [a]βαρβαρικόν τι καὶ ἀφελὲς, ἐνεργὸν δὲ ὅμως καὶ χρήσιμον· ὡς δεῖ πρότερον ἀποσοβεῖν τὰς μελίττας, καὶ ἔπειτα [b]τὸ μέλι σχολαίτερον αἱρεῖσθαι.

Σχολαιότης λέγεται ἡ μέλλησις, καὶ ἡ ἐπιμονή. [c]Θουκυδίδης·

Ἡ δὲ ἐν τῷ Ἰσθμῷ γενομένη ἐπιμονὴ, καὶ [d]κατὰ τὴν ἄλλην πορείαν ἡ σχολαιότης, διέβαλεν αὐτόν.

Σχολεῖον: Τὸ διδασκαλεῖον. [e]Σχόλιον δέ.

Σχολή: Οὐχὶ ὁ τόπος ἐν ᾧ σχολάζουσι καὶ διατρίβουσι περὶ παιδείαν, οὐδὲ αὐτὴ ἡ ἐν λόγοις εὐμουσία καὶ διατριβὴ, ἀλλὰ ἣν οἱ πολλοὶ ἀκύρως καλοῦσιν εὐκαιρίαν· τὸ δὲ εὐκαιρεῖν, βάρβαρον· ἀλλ' ἀντὶ μὲν τοῦ εὐκαιρεῖν, σχολὴν ἄγειν λέγουσιν. Ἡ δὲ εὐκαιρία βάρβαρον μὲν οὐκ ἔστιν ὄνομα· τάττεται δὲ οὐκ ἐπὶ σχολῆς, ἀλλ' ἐπὶ καιροῦ τινὸς εὐφυΐας, καὶ ἀρετῆς. Καὶ, [[f]σχολῇ,] ἀντὶ τοῦ οὐδαμῶς.—— Σχολὴ οὖν, τὸ μηδὲν δρᾷν, [g]ἢ τὸ περί τι σχολάζειν. Καὶ ἀντὶ τοῦ σχολάζειν λέγουσι τὸ εὐκαιρεῖν. Καὶ Αἰλιανός·

Ἐγὼ δὲ ταῦτα [h]περιῆλθον, οὔτι που σχολὴν ἄγων [i]τὰ τῶν προστυχόντων κακὰ τοῖς ἐμαυτοῦ λόγοις τιμᾷν, ἀλλ' ὑπὲρ τοῦ μὴ πράττειν ἄλλους παραπλήσια.

[k]Σχολὴ οὖν, ἡ παρὰ πολλοῖς ἀκύρως εὐκαιρία.

Σχολῇ γ' ἄν: Ἀντὶ τοῦ, οὐδ' ὅλως, βραδέως, [l]οὐδαμῶς. [m]Σοφοκλῆς·

Ἐπεὶ
[n]σχολῇ γ' ἂν οἴκους τοὺς ἐμοὺς ἐστειλάμην.

Σχόλια: Σεμνολογήματα· ἢ ὑπομνήματα, [o]καὶ ἑρμηνεῖαι.

Σχόμενος: Κατασχὼν, ἢ κατασχεθείς.

Σχόντες: Δοτικῇ. Ὀκείλαντες, προσορμισθέντες. [p]Θουκυδίδης·

Καὶ σχόντες εἰς τὰ καταντικρὺ Κυθήρων τῆς Λακωνικῆς, τῆς τε γῆς ἔστιν ἃ ἐδῄωσαν, καὶ ἐτείχισαν ἰσθμῶδές τι χωρίον.

Σχόν: Κατασχών.

Σχοίητε: [q]Νομίσοιτε, ἢ ὑπολάβοιτε.

Σχοινία: Αἱ ἐπιβουλαὶ παρὰ τῷ [r]Δαβίδ·

Σχοινία ἁμαρτωλῶν περιεπλάκησαν.

Σχοινίον μεμιλτωμένον: Εἰ [s]βραδύνοιεν ἐπὶ τὴν ἐκκλησίαν οἱ [t]δημόται, σχοινίον μιλτοῦντες, συνήλαυνον, καὶ τὰ πρατήρια διέκλειον. Καὶ παροιμία·

[u]Τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον.

Ὑπὲρ τοῦ ἐξ ἀνάγκης αὐτοὺς εἰς τὰς ἐκκλησίας ἰέναι τοῦτ' ἐμηχανῶντο, [x]καὶ πολλὰ ἄλλα. Ἀνεπετάννυσαν γὰρ τὰ γέρρα, καὶ ἀπέκλειον τὰς ὁδοὺς τὰς μὴ φερούσας εἰς τὴν ἐκκλησίαν, καὶ τὰ ὤνια ἀνῄρουν ἐν ταῖς ἀγοραῖς, ὅπως μὴ περὶ ταῦτα διατρίβοιεν· ἔτι μὴν καὶ μεμιλτωμένῳ σχοινίῳ περιβάλλοντες αὐτοὺς συνήλαυνον εἰς τὴν ἐκκλησίαν. Τοῦτο δὲ ἐποίουν, [y]ὑπὲρ τοῦ μὴ βραδύνειν. [z]Ὅσοι γὰρ ἐχρίοντο, ζημίαν ἐξέτινον. Ἄλλως. Ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, [a]εἰώθεισαν ὑπηρέται δύο μεμιλτωμένον σχοινίον ἐκτείνοντες, διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός. Ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν.

Σχοίνισμα: [b]Μέτρου μέρος, κληρουχία, ἡ τῆς γῆς δεσποτεία. Ἴδιον γὰρ τῶν κεκτημένων μέτρῳ τὴν γῆν ὑποβάλλειν.

Σχοῖνος: [c]Μέτρον γεωργικόν· [d]ὥς φησιν Ἡρόδοτος ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν.

Σχοῖνος: Εἶδος φυτοῦ, κατὰ τὸ ἄκρον ὀξέος, ἐοικότος βελόνῃ. Λέγεται δὲ ἀρσενικῶς. [e]Ἀριστοφάνης Ἀχαρνεῦσι·

Πρὶν ἂν σχοίνους αὐτοῖσιν ἐντεμπτυγῶ.

---

[z] Ὁ δὲ ἀπεφθέγγετο παροιμ.] Hæc excerpta sunt ex Agathia, apud quem, lib. III. p. 78. sic legitur: Τοιγάρτοι ἐκεῖνος θαμὰ ἀπεφθέγγετο παροιμιῶδες, &c. De Ulilango Herulorum duce ibi verba fiunt. Vide etiam Nostrum supra v. Ἀφελὲς, ubi idem fragmentum occurrit. KUST.

[a] βαρβαρικὸν μὲν] καὶ βαρβαρικόν τι A.V. et fere B. ubi τι. καὶ βαρβαρικὸν E.M.

[b] σχολαίτερον τὸ μέλι] τὸ μέλι σχολαίτερον A.

[c] Θουκυδίδης] Lib. II. c. 18. KUST.

[d] ἡ κατὰ—σχολαιότης] κατὰ—ἡ σχολαιότης A.V.

[e] ΣΧΟΛΙΟΝ] σχο^λ E.

[f] ΣΧΟΛΗΙ om. A.E. οὐκ ἐπὶ σχολῆς M.

[g] ἢ τὸ] τὸ om. V. Mox καὶ ἀντὶ A.V. pro ἀντὶ δέ.

[h] περιῆλθον] Portus recte legit, παρῆλθον. KUST.

[i] τὰ τῶν] τῶν om. A.

[k] ΣΧΟΛΗ] Ἡ σχολὴ V. Tum ἡ om. A. Dein ἀκαίρως A.B.V.E. pro ἀκύρως.

[l] οὐδαμῶς] Vid. Schol. Platon. p. 152. Idem p. 196. νῦν ἀντὶ τοῦ οὐδαμῶς. Σημαίνει δὲ καὶ τὴν περί τι προσεδρείαν, καὶ σπουδὴν, καὶ τοὐναντίον τὴν ἀπό τινος ἀργίαν· ἔτι δὲ καὶ τὴν κατὰ τὴν παιδευτικὴν ἐν λόγοις διατριβήν.

[m] Σοφοκλῆς] Œdip. Tyran. 434. ubi pro σχολῇ γ' ἂν, legitur, σχολῇ σ' ἄν. KUST.

[n] σχολῇ γ'] σχολῇ σ' A. σχολ^ε V. Mox οἴκοισι A. pro οἴκους.

[o] καὶ] ἢ καὶ V.

[p] Θουκυδίδης] VII. 26.

[q] Νομίσοιτε, ἢ ὑπολάβοιτε] Sic rectius ms. A. [cum Photio] quam priores editt. [et B.V.E. cum Hesych.] quæ habent, νομίσητε, ἢ ὑπολάβητε. KUST.

[r] Δαβίδ] Ex Ps. CXVIII. 61. cum interpretatione Theodoreti ad h. l. ERNEST. Exemplum om. V.E. Habet A. in marg.

[s] βραδύνοιεν] βραδύνοιεν A.

[t] δημόται] Repone τοξόται ex Photio.

[u] Τὸ σχοινίον φεύγ.] Senarius hic (quem Suidas male inter proverbia refert) legitur apud Aristoph. Acharnens. sub initium. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. Confer etiam Nostrum supra v. Μεμιλτωμένῳ. KUST.

[x] καὶ πολλὰ] Seqq. usque ad ἐξέτινον· ἄλλως om. V.

[y] ὑπὲρ τοῦ] τοῦ om. A.

[z] Ὅσοι—ζημίαν om. A.

[a] εἰώθεισαν] εἰώθεισαν A.B.E. εἰώθασιν Schol.

ΣΧΟΙΝΙΣΜΑ] Psalm. CV. 11. Λέγων, σοὶ δώσω τὴν γῆν Χαναὰν, σχοίνισμα κληρονομίας αὐτῶν. Theodoretus ad illum locum, p. 818. Σχοίνισμα τὴν τῆς γῆς ἐκάλεσε δεσποτείαν. Τῶν κεκτημένων γὰρ ἴδιον, μέτρῳ τὴν γῆν ὑποβάλλειν. Hinc Suidas sua deprompsit. KUST. Schol. in Gregor. Naz. ms. Paris. Σχοίνισμα: κλῆρος, ἐκ μεταφορᾶς τῆς σχοινίῳ μετρουμένης καὶ διαμοιραζομένης γῆς.

[b] μέτρου] Scribe μέτρον. Vide viros doctos ad Hesych. Julian. apud Cyrill. p. 238. TOUP.

[c] Μέτρον γεωργικὸν] Scribendum, μέτρον ΓΕΩΜΕΤΡΙΚΟΝ. Zachar. II. 1. Ἰδοὺ, ἀνὴρ καὶ ἐν τῇ χειρὶ αὐτοῦ σχοινίον ΓΕΩΜΕΤΡΙΚΟΝ. Recte Etymologus: Τὸ δὲ σχοῖνος ΜΕΤΡΟΝ ἘΣΤΙ ΓΕΩΜΕΤΡΙΚΟΝ. TOUP. γεωμετρικὸν Photius et Lex. Seg. Schol. in Gregor. Naz. ms. Paris. Σχοῖνος σπαρτίον ἐστὶ μετρικὸν, οὐ σμικρὸν, ἐξ οὗ καὶ τὰ μετρούμενα τῶν χωρίων σχοινίσματα κέκληται.

[d] Ὥς φησιν Ἡρόδοτος] Videtur Suidas respexisse ad locum Herodoti, qui exstat lib. I. p. 16. Σχοίνῳ διαμετρησάμενοι τὸ πεδίον τῶν Τεγεητέων. Quare pro ἐν τῇ δευτέρᾳ τῶν ἱστοριῶν, forte scribendum est ἐν τῇ πρώτῃ τῶν ἱστοριῶν. KUST. Locus est II. 6. Vid. Davis. Max. Tyr. p. 634. Jablonski Voc. Ægypt. Opusc. t. I. p. 335.

[e] Ἀριστοφάνης Ἀχαρνεῦσι] Ver. 228. Supra ὀξὺ M.

Τουτέστιν, πρὶν [f]αὐτοὺς τρώσω ὡς σχοῖνος ὀξὺς καὶ ὀδυνηρός.

Σχοίνου συμβολεῖς: Οἱ ψιαθοπλόκοι. Καὶ σχοῖνος, ἡ ψίαθος.

Σχοινοτενές: Παρὰ [g]Ἡροδότῳ, ἀντὶ τοῦ, [h]μακρὸν, ὀρθόν.

## T A.

Τά: Ταῦτα.

Τὰ ἀπὸ Νανν ά κου: Ἐπὶ τῶν ἐπὶ [i]παλαιότητι θαυμαζομένων. Νάννακος γὰρ Φρυγῶν βασιλεὺς πρὸ τῶν τοῦ Δευκαλίωνος χρόνων.

Ταβελλίων: Ὁ τὰ τῆς πόλεως γράφων [k]συμβόλαια, ὁ παρὰ τοῖς πολλοῖς Νομικὸς λεγόμενος.

[l]Ἅπαντα ἐπιτελῶν τὰ τῶν πολιτῶν γραμματεῖα, ἕκαστον αὐτῶν οἰκείοις ἐπισφραγίζων γράμμασι, (ὅνπερ ταβελλίωνα καλοῦσι Ῥωμαῖοι.)

Ταβερνεῖα: Καπηλεῖα, [m]πανδοχεῖα.

Τάβεια: [n]Ὄνομα πόλεως.

Ταβηθά: Ὄνομα κύριον.

Τάβλα: Ὄνομα παιδιᾶς. [o]Ταύτην ἐφεῦρε Παλαμήδης εἰς [p]διαγωγὴν τοῦ Ἑλληνικοῦ στρατοῦ σὺν φιλοσοφίᾳ πολλῇ. Τάβλα γάρ ἐστιν ὁ γήϊνος κόσμος· [q]δώδεκα δὲ κάσοι, ὁ ζωδιακὸς ἀριθμός· τὸ δὲ [r]ψηφοβόλον, καὶ τὰ ἐν αὐτῷ ἑπτὰ κοκκία, τὰ ἑπτὰ ἄστρα τῶν πλανητῶν· ὁ δὲ πύργος, τὸ ὕψος τοῦ οὐρανοῦ· ἐξ οὗ ἀνταποδίδοται [s]πᾶσι πολλὰ καὶ κακά. Ἄλλοι δὲ [t]λέγουσι. . . .

Τὰ γὰρ ἐς σωφροσύνην αὐτὸς δικαιότατος κἂν τῷ Βελλεροφόντῃ σωφροσύνης [u]ἀμφισβητήσειε:

Τὰ γὰρ περιττὰ [x]κἀνόνητα σώματα
Πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις
[Ἔφασχ' ὁ μάντις.]

Οἷος [ἦν] ὁ Αἴας.

Ταγήν: Ὄνομα ὀρνέου.

Ταγηνοκνισοθήρας: [y]Ὁ Ἰούνιος ἦν.

Τάγηνον: Τὸ τηγάνιον.

Ταγός: [z]Ἡγεμών.

[a]Ὦ τῶν Ἀθηναίων ταγὲ τῶν εὐδαιμόνων.

Ἀντὶ τοῦ, ἀρχηγέ. [b]Ὅμηρος·

Παρὰ δ' οἱ [c]ταγοὶ ἄμμι μενόντων.

Καὶ αὖθις·

[d]Ἦν δ' ἐσορῇς ἐπ' ἐμεῖο βοόστρυχον εἰκόνα θῆρος,
ἕνεκε τοῦ ταγοῦ μνῆμα Λεωνίδεω.

---

[f] αὐτοὺς] πρὶν αὐτοῖς A.V. πρὸς αὐτοὺς M. Mox ὀξὺς om. A.

ΣΧΟΙΝΟΥ ΣΥΜ.] Ex Gl. Herodot. IV. 190. In fine delevi Ὅθεν καὶ τὸ βαθύσχοινος, cum A.B.V.

[g] Ἡροδότῳ] Gl. I. 189.

[h] ὀρθὸν καὶ μακρὸν] μακρὸν, ὀρθὸν A.B.

ΤΑ ἈΠΟ ΝΑΝΝΑΚΟΥ] Confer Nostrum supra v. Ἀπὸ Ναννάκου, et v. Νάννακος, et infra v. Τὰ Ναννάκου. KUST.

[i] παλαιότητι] παλαιοτάτων A.V. παλαιότατα E.

ΤΑΒΕΛΛΙΩΝ] Gloss. Verb. Jur. in Νομικοί. HEMST.

[k] συμβόλαια] συγγράμματα V. suprascripto συμβόλαια.

[l] Ἅπαντα ἐπιτελῶν τὰ τ.] Hæc sumpta sunt ex Procopii Histor. Arc. c. 28. Confer Nostrum supra v. Πρίσκος, ubi integer locus Procopii adducitur. KUST. Lunulis inclusa addidi ex Procopio. Vid. Herald. adv. Salmas. p. 457.

[m] πανδοχεῖα] πανδοκεῖα V. Phot. Lex. Seg.

ΤΑΒΕΙΑ] Wesseling. ad Itinerar. Antonin. p. 202. HEMST.

[n] Ὄνομα πόλεως] ὄν' πό' A.

ΤΑΒΗΘΑ] Est nomen fœminæ, cujus mentio fit Actor. IX. 36. Sed ibi nomen ejus scribitur Ταβιθὰ, per ι in syllaba secunda. KUST.

[o] Ταύτην ἐφεῦρε Παλαμ.] De hoc loco Suidæ vide omnino Salmas. ad Flav. Vopis. p. 463. et seqq. edit. Paris. qui suspicatur eum ex Joanne Antiocheno περὶ Ἀρχαιολογίας excerptum esse. Ceterum, quæ Suidas hic de lusu tabulæ, ejusque inventore Palamede refert, totidem pene verbis leguntur etiam apud Cedrenum p. 125. Sic enim ibi: Οὗτός ἐστι Παλαμήδης, ὁ καὶ τὴν ταύλαν ἐφευρὼν πρὸς μετεωρισμὸν τοῦ στρατοῦ, καὶ τὴν ἐν αὐτῇ σύνθεσιν σὺν φιλοσοφίᾳ πολλῇ καταστήσας. Ὥρισε γὰρ εἶναι τὴν ταύλαν, τὸν γήϊνον κόσμον. Τοὺς δὲ δώδεκα κάσους, τὸν ζωδιακὸν ἀριθμόν. Τὸ δὲ ψηφοβόλον, καὶ τὰ ἐν αὐτῷ κοκκία, τὰ ἑπτὰ ἄστρα τῶν πλανητῶν. Τὸν δὲ πύργον, τὸ ὕψος τοῦ οὐρανοῦ, ἐξ οὗ ἀνταποδίδοται πᾶσι καλὰ ἢ κακά. His adstipulatur Isacius Porphyrogenneta in Paralipomenis Homeri, cujus verba adducit Salmasius loco laudato. KUST.

[p] διαγωγὴν] Meursius de Ludis Græc. in Πεττεία p. 985. pro διαγωγὴν clanculum et imperite substituit συναγωγὴν, *ad congregationem* (ita vertit) *Græci exercitus*, laudatorem nactus Jac. Gronovium. Διαγωγὴ est *oblectamentum fallendo tempori:* idem quod in Cedreni loco μετεωρισμὸς, quam vocem Meursius ibidem inscite *elevationem exercitus* interpretatur. HEMST. ἀπαγωγὴν A.V. Mox Ἑλληνικοῦ V.

[q] Δώδεκα δὲ, ὁ Ζωδ.] Excidit hic vox κάσοι. Scribendum enim est δώδεκα δὲ κάσοι, ὁ Ζωδιακὸς, &c. id quod patet ex loco Cedreni ante citato, in quo vox illa occurrit. Quid sit autem κάσοι, fuse explicat Salmasius loco laudato, cujus verba hic non repetam. KUST. κάσοι addunt A.B.E. κασ̂ V.

[r] ψηφοβόλον] ψηφιβόλον A.E.M.

[s] πᾶσι πολλὰ καὶ κακά] Salmasius legit, πᾶσι φαῦλα καὶ καλά. At ex Cedreno potius rescripserim πᾶσι καλὰ καὶ κακά. KUST. et sic Jo. Malelas p. 130.

[t] λέγουσι] Post h. v. lacuna in E.M.

ΤΑ ΓΑΡ ἘΣ ΣΩΦΡ.] Locus hic occurrit etiam supra v. Σωφροσύνη: sed ubi pro δικαιότατος recte legitur δικαιότατα, sensu adverbiali. KUST. Ex Synesio p. 63 D.

[u] ἈΜΦΙΣΒΗΤΗΣΕΙΕ] ἀμφισβητήσειε A.V.

ΤΑ ΓΑΡ ΠΕΡΙΤΤ.] Sophocl. Aj. 758.

[x] ΚΑΝΟΝΗΤΑ] κανόνητα A. καὶ ἀνόητα M. Mox πίπτει A. Tum ἔφασχ' ὁ μάντις om. A.V. et paulo post ἦν.

ΤΑΓΗΝ] Pro Ἀτταγήν. Vid. Ἀτταγᾶς, quem vulgo tagenarium appellari scribit. HEMST.

ΤΑΓΗΝΟΚΝΙΣΣΟΘΗΡΑΣ] Sic recte ms. A. et ipse Suidas infra v. Φαγεῖν ζῶν. In prioribus vero editt. male sic legitur, Ταγήν. Ὁ κνισσοθήρας: una nimirum voce in tres divisa. Est autem vox ταγηνοκνισσοθήρας composita ex τάγηνον, κνίσση, et θηρῶμαι, et, si quidem vim etymologiæ spectes, significat eum, qui sartaginis nidorem venatur, vel captat: sin sensum; hominem gulosum et ventri deditum. Talis nimirum erat Junius iste, cujus Suidas hic obiter meminit. Vide supra v. Ἰούνιος. KUST. Vid. Casaub. Athen. III. 20. REINES. Ταγηνοκνισσοθήρας A. ταγὴν ὀκνισσοθήρας V.

[y] Ὁ Ἰούνιος ἦν] Portus Junium hunc, quem lurconem fuisse diximus, in Junium mensem ridicule transformabat; legendum quippe censens, ὁ Ἰούνιος μήν: i. e. *Junius mensis.* Sed hanc hallucinationem jam ante castigavimus in Diatriba, quam de editione Suidæ a Porto adornata conscripsimus, et editione huic præfiximus. KUST.

ΤΑΓΗΝΟΝ: Τὸ τηγ.] Aristoph. Equit. 925. Τὸ μὲν τάγηνον τευθίδων. Scholiastes: Τάγηνον δὲ, τήγανον. Huc Suidas respexit. KUST.

[z] Ὁ ἡγεμὼν] ὁ om. A.E.

[a] Ὦ τῶν Ἀθηναίων τ.] Aristoph. Equit. 159.

[b] Ὅμηρος] Il. ψ'. 160. KUST.

[c] ταγοὶ] ταγὲ A.

[d] Ἦν δ' ἐσορῇς] Anthol. Pal. VII. 243. ἦν δ' ἐσόρν' A.V. Mox βοόστρυχον A. Anthol. pro βόστρυχον.

ib. Scribendum proculdubio: Ἦν δ' ἐσορῇς ἐπ' ἐμεῖ' ET-

A Τάγυρι: Τὸ βραχύτατον καὶ ἐλάχιστον, [e]οἷον ψιλὰ λέγουσιν. Εὔπολις Αἰξί·

Καὶ ζῆν μαθόντι μικρὰ [f]τάγυρι μουσικῆς.

Τάδ' ἐκ τοῦ Τρίποδος: Τίθεται ἐπὶ τῶν πάνυ ἀληθῶν. Ἀριστοκλεία γὰρ τῇ Πυθίᾳ [g]γινομένῃ μιχθῆναι [h]τὸν Δελφὸν, καὶ τῶν ὑπ' αὐτῆς μαντευμάτων παρασημειοῦσθαι, [i]ὅσα ἔχρα ἔνθεος γενομένη· καὶ ταῦτα ὡς ἀληθῆ παρασημειοῦσθαι, ὡς ἐκ τοῦ τρίποδος.

Περὶ Ἀπολλωνίου τοῦ Τυανέως·

[k]Οὐδὲ δῆτα τοὺς λόγους, οὐδὲ [l]εἰρωνευομένου τις ἤκουσε, περιπατοῦντες ἐς τοὺς ἀκροωμένους, ἀλλ' ὥσπερ ἐκ τρίποδος, ὅτε διαλέγοιτο, "Οἶδα," ἔλεγε, καὶ "Δοκεῖ μοι."

Τάδε Μῆδος οὐ φυλάξει: Κατὰ τὴν τοῦ Ξέρξου ἔφοδον τοὺς Ἕλληνας ἀπειρηκότας τὰ ἑαυτῶν ἀναλίσκειν καὶ δαπανᾶν, ἐπιλέγοντας,

Τάδε Μῆδος οὐ φυλάξει.

Τὰ δὲ πρὶν ἔργα χερσὶ μέγιστ' ἀρετᾶς, ἄφιλα παρ' ἀφίλοις: [m]Τουτέστι, τὰ πρότερον μέγιστα τῆς ἀρετῆς τῶν χειρῶν αὐτοῦ ἔργα, ἤγουν τοῦ Αἴαντος, ἐν ὀλιγωρίᾳ εἰσὶ τοῖς Ἀτρείδαις. Σοφοκλῆς.

Τάδ' οὐ παρὰ Κενταύροισι: Λεγόμενόν τι ἦν. Τηλεκλείδης [n]τισὶ

Τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροισι.

Τὰ ἐκ τῶν ἁμαξῶν σκώμματα: Ἐπὶ τῶν ἀπαρακαλύπτως σκωπτόντων. [o]Ἀθήνησι γὰρ ἐν τῇ τῶν Χοῶν ἑορτῇ οἱ κωμάζοντες ἐπὶ τῶν ἁμαξῶν τοὺς ἀπαντῶντας ἔσκωπτόν τε καὶ ἐλοιδόρουν. [p]Τὸ δ' αὐτὸ καὶ τοῖς Ληναίοις [q]ὕστερον ἐποίουν.

[qq]Ὅτι ἐπὶ τῆς ἁμάξης ὀχούμεναι αἱ γυναῖκες αἱ τῶν Ἀθηναίων, ἐπὰν [r]εἰς τὰ Ἐλευσίνια ἐβάδιζον εἰς τὰ μεγάλα μυστήρια, ἐλοιδόρουν [s]ἀλλήλας ἐν τῇ ὁδῷ· τοῦτο γὰρ ἦν ἔθος αὐταῖς.

Ὅτι οἱ Ἀλεξανδρεῖς τὸ παλαιὸν καθαρμὸν ἐποιοῦντο [t]τῶν ψυχῶν. Ἐν γὰρ ταῖς ὡρισμέναις ἡμέραις ἐφ' ἁμαξῶν φερομένους ἀνθρώπους αὐτὸ τοῦτο προστεταγμένους ἐπιπαριέναι τὴν πόλιν ἅπασαν, καὶ στάντας ὅπου ἂν ἐθέλωσι, καὶ οἴκῳ παραστάντας ὅπου [u]ἂν βουληθῶσιν, ᾄδειν [v]τῷ ὄντι τὰ ἐξ ἁμάξης, οὐ τὰ ψευδῆ λοιδοροῦντας, ἀλλὰ τἀληθῆ ὀνειδίζοντας. B Ἐπιμελὲς γὰρ εἶναι σφίσιν ἀκριβῶς ἐξετάζειν τὰ ὀνείδη τῶν πολιτῶν, καὶ ταῦτα ἀδεκάστως [x]προφέρειν μετὰ ἀληθείας, ὥστε διὰ τοῦτο πάντας ἀποδιδράσκειν τὴν πονηρίαν.

Τὰ ἐκ τρίποδος: Τρίποδι χρῆται ὁ Ἀπόλλων μαντευόμενος, διὰ τοὺς τρεῖς καιροὺς τῶν πραγμάτων. Ὅμηρος·

[y]Ὃς γ' ᾔδη τά τ' ἐόντα, τά τ' ἐσσόμενα, πρό τ' ἐόντα.

C Φασὶ δὲ οὕτω [z]κτήσασθαι τὸν Ἀπόλλωνα τὸν τρίποδα. [a]Ἁλιεῖς μισθῷ βόλον ἐρρίπτουν, ἵνα τὸ ἀναφερόμενον ᾖ τοῦ ἀγοράσαντος τὸν βόλον. Ἠγόρασαν [b]οὖν τινες, εἶτα ἀνηνέχθη τρίπους χρυσοῦς. Ἐφιλονείκουν οὖν περὶ [c]αὐτοῦ, καὶ ἔλεγον οἱ ἁλιεῖς, ὡς ἰχθῦς πεπράκασιν. Οἱ δὲ ἀγοράσαντες ἔλεγον, ὡς πᾶν τὸ ἄνιον ἀγοράσαιεν τῇ ἑαυτῶν τύχῃ. Οὕτως οὖν αὐτῶν D φιλονεικούντων, ἔδοξεν [d]αὐτοῖς ἐρωτῆσαι τὸν Ἀπόλλωνα. Ὁ δὲ ἔχρησε [e]δοθῆναι αὐτὸν τῷ σοφῷ. Προσήγαγον οὖν αὐτὸν τοῖς ἑπτὰ Σοφοῖς. Ἕκαστος [f]δὲ τούτων παρῃτεῖτο, μὴ σοφὸς εἶναι λέγων· [g]ἔχειν γὰρ σοφώτερον ἑαυτοῦ. Ἔδοξεν οὖν ἀναθεῖναι αὐτὸν τῷ Ἀπόλλωνι, ὡς [h]σοφωτάτῳ πάντων.

Τὰ ἐν ποσί: Τὰ παρόντα ἐν μέσῳ.

Τὰ ἐπὶ κοσκίνου: Ἐπὶ τῶν διὰ κοσκίνου καὶ E τρίποδος ἢ δάφνης μαντευομένων.

VII. p. 606. Καὶ πολὺ κιχλίζουσα σοβεῖς ΕΥΒΟΣΤΡΥΧΟΝ αἴγλην. De quo nos supra ad v. Σοβεῖ. Est autem εὐβόστρυχος εἰκὼν θηρὸς, leo bene jubatus. Quod fortitudinis Leonidæ signum. Huc referendus Herodotus in Polymnia, §. 225. Ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ ὅκου νῦν Ὁ ΛΙΘΙΝΟΣ ΛΕΩΝ ἝΣΤΗΚΕ ἘΠΙ ΛΕΩΝΙΔΗΙ. TOUP.

ΤΑΓΥΡΙ: Τὸ βρ.] Eadem habet Etymologus. In fragmento autem Eupolidis, quod sequitur, pro ζῆν, legere malim μὴν, quæ est particula expletiva, ut vocant. F KUST.

[e] οἷον ψιλὰ λέγουσιν] Sic etiam Etymologus, et Photius in Lex. ms. At, ut ingenue fatear, quid ista sibi velint, non intelligo. KUST. ὃ νῦν ψίχα Pierson. Mœr. p. 331.

[f] τάγυρι] Lege τὰ γρύ. Vid. supra Δρύ. REINES.

ΤΑΔ' ἘΚ ΤΟΥ ΤΡΙΠ.] Vide paulo post v. Τὰ ἐκ Τρίποδος. KUST. Τά τε ἐκ A.

[g] γινομένῃ] γενομένῃ A.B.E.

G [h] τὸν ἀδελφὸν] Photius in Lex. ms. addit, Πυθαγόραν. KUST. δελφὸν A.

[i] ὅσα ἔχρησεν ὁ θεός] ὅσων ἔχρας θεῶ γενομ' A. ὅσα ἔχρησεν ὁ θ[εὸς] γενομένῃ B.V.E. ὅσα ἔχρα ἔνθεος γενομένη Photius. Mox καὶ αὖθις ὡς ἀλ. M.

[k] Οὐδὲ δῆτα τοὺς λόγ.] Hæc sunt verba Philostrati de Vit. Apoll. lib. I. c. 13. KUST.

[l] εἰρωνευομένου] εἰρωνευόμενος V. qui mox [illegible] pro ἐς.

ΤΑ ΔΕ ΠΡΙΝ ἜΡΓΑ ΧΕΡΣΙ Μ.] Sophocl. Aj. 618. Τὰ πρὶν δ' ἔργα χεροῖν Μεγίστας ἀρετᾶς Ἄφιλα παρ' ἀφίλοις Ἔπεσ' H ἔπεσεν. Sic etiam apud Suidam scribendum est. KUST.

[m] Τουτέστι τὰ om. A. Mox φ' ante Σοφοκλῆς V.

[n] τισὶ Τῶν δυνατ.] Est versus anapæsticus, sed fine carens. KUST. Distinxi cum Photii editore, ita ut in τισὶ lateat fabulæ nomen.

[o] Ἀθήνησι γὰρ ἐν τῇ τῶν Χοῶν ἑορτ.] Vide Meursium in Græc. Fer. Ἀνθεστήρια. KUST.

[p] Τὸ δ' αὐτὸ καὶ τοῖς Λην.] Confer Nostrum supra v. Ἐξ ἁμάξης. KUST.

[c] Ψευδόμενος] Vox hæc deest in prioribus editt. quam ex mstis Paris. revocavi. KUST.

[d] μηδὲν] καὶ μηδὲν A.B. cum Schol. Aristoph. Eq. 624. unde hæc sumpta esse monuit Abreschius.

[e] Τερατευόμενοι] Ex Procopio, opinor. v. Pers. 43. 73. TOUP. Æliano tribuit Valckenærius.

[f] Τοῖς ὑπὸ τῶν τερατ.] Hæc sunt verba Marci Antonini, lib. I. §. 6. unde sensus hujus loci supplendus est. KUST.

[g] δαιμονίων] δαιμόνων A.B.V.E.

ΤΕΡΑΤΟΛΟΓΙΑΙ] Lego, τερατολόγοι, propter sequentem interpretationem. KUST.

ib. Τερατίαι Photius. Statim ψευδολογίαι addidi cum A. B.E. Photio, et Lex. Seg. Deinde novam gl. feci secutus Timæum p. 253. Ex vulg. libris excidit caput glossæ Τερατολόγοι. Interim notabis in Etymol. M. p. 725, 25. ubi ed. præbet Τερατολόγοι, ms. Dorv. cum Suida exhibere τερατολογίαι.

[h] Οὕτω λέγεται] οὕτω om. V.E.

ΤΕΡΑΤΟΣΚΟΠΟΣ V. in marg. qui seq. gl. caret.

ΤΕΡΒΕΛΙΣ] Vid. Βεύλγαρμι. REINES. Hæc A. in marg. ζήτει etc. om. V.

Τερέβινθος: Εἶδος δένδρου. [i]Ἡ δρῦς.

Τέρεν: Ἁπαλόν.

Τερέστη: Πόλις.

Τερετίζομεν: Τὸ αὐτὸ μέλος ᾄδομεν.

Τερετίσματα: Ὠιδαὶ ἀπατηλαί. Ἢ, ᾄσματα ἔκλυτα. Ἀπὸ μεταφορᾶς τοῦ τέττιγος, ἢ τῆς χελιδόνος.

Τέρετρον: [k]Τρύπανον.

Τερηδών: Σκώληξ ξυλοτρώκτης, οἰκῶν ἐν ξύλῳ. [l]Ἀριστοφάνης Ἱππεῦσιν·

> Ἀλλ' ἐάν με χρῇ,
> ὑπὸ τερηδόνων σαπεῖσ' ἐνταῦθα [m]καταγηράσομαι.

Καὶ αὖθις·

> [n]Σὺ δ', ὦ [o]Τερηδών, ἐπακαφύσα Περσικόν.

Ἀντὶ τοῦ, βάρβαρον καὶ [p]φυσικὸν ᾆσμα. Καὶ, Περσικὸν ὄρχημα.

Τερῆναι:

C Τερίζοι: Ὄνομα ἔθνους.

Τερθεύς: Ὄνομα κύριον.

Τερθρεία: Ἡ λεπτολογία. Ἔστι γάρ τι σχοινίον ἐν τοῖς πλοίοις λεπτὸν, ὃ καλεῖται τέρθρον. Φασὶ δέ τινες τὰ ἄνω τρημάτια τοῦ ἐπὶ τῷ ἱστῷ ὀργάνου, ἀφ' οὗ [q]ἤρτηται τοῦ ἱστοῦ ἡ κεραία. Ἄλλοι δὲ [r]τερθρείαν φασὶ τὴν φλυαρίαν. Καὶ τὴν [s]ἐν τοῖς μέρεσι καλουμένην μάχην. Οἱ δὲ, ὅτι ἔθος ἦν τοὺς ἐφήβους μετὰ τὸ γενέσθαι περιπόλους τῆς χώρας, στρατεύεσθαι μὲν, εἰ [t]συμβαίη πόλεμος, μὴ μέντοι μετὰ τῶν ἄλ-



A λων, ἀλλ' ἰδίᾳ ἐν μέρεσι τοῖς ἀκινδύνοις τῆς μάχης. Διὸ τὴν [u]στρατιὰν καλεῖσθαι τὴν ἐν τοῖς μέρεσι. Σημαίνει [x]καὶ [y]ἀπάτη, καὶ περιεργία.

Τερθρηδόνος:

Τέρμα: Τέλος, ὅρος ἢ καμπτήρ.

> [z]Τέρμασιν ὥρας.

[a]Μετὰ τὴν νεότητα.

[b]Εἰς τρία γὰρ διῄρηται τὸ ὄρος· εἰς ἀκρώρειαν,

B εἰς ὑπώρειαν, εἰς τέρμα. Καὶ ἀκρώρεια μέν ἐστιν, ἡ κορυφή· Ὑπώρεια δὲ, τὰ πλευρὰ τοῦ ὄρους· Τέρμα δὲ, τὰ τελευταῖα, καὶ πόδες.

Τερματίζεται: Τελειοῖ.

Τερμέρια κακά: Περὶ Καρίαν χωρίον Τερμέριον καλεῖται, ᾧ ἐχρῶντο οἱ τύραννοι δεσμωτηρίῳ. Τὸ δὲ χωρίον ἐρυμνὸν τυγχάνον κεῖται μεταξὺ Μήλου καὶ [c]Ἁλικαρνασσοῦ. Τῶν δὲ ἀπὸ τούτου ληϊζομένων δυσ-

C αλώτων τυγχανόντων, λεχθῆναι τοῦτο. [d]Τερμέρια οὖν κακὰ, τὰ μεγάλα κακά.

Τερμησσεῖς: Ἔθνος Πισιδίας.

Τερμία ἡμέρα: Ἐφ' ἧς μέλλει τις τὸ τέλος τοῦ βίου εὑρήσειν.

> [e]Οἴμοι τὰ πολλὰ ἐξέχρη κακὰ, ἐλθόντι χώραν τερμίαν ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον.

Τέρμινθος: Εἶδος φυτοῦ.

D Τερμιόεσσα: [f]Ἡ μακρὰ, καὶ μεγάλη. Καὶ [g]τερμιόεις.

---

[i] Ἡ δρῦς] Mirum forsan lectori videbitur Suidam vocem τερέβινθος per δρῦς hic exponere. Sed respexit ad quercum Abrahami, Mambre dictam, cujus mentio fit Genes. 18. Eam enim stetisse in loco quodam, cui a terebintho arbore illic enata nomen inditum erat Terebinthus, veteres testantur. Sozomenus Histor. Eccles. lib. II. c. 4. Ἀναγκαῖον δὲ ἐξελθεῖν καὶ τὰ περὶ τὴν δρῦν τὴν Μαμβρῆ καλουμένην βεβουλευμένα Κωνσταντίνῳ τῷ βασιλεῖ. Τόπος δὲ οὗτος, ὃν νῦν ΤΕΡΕΒΙΝΘΟΝ προσαγορεύουσιν, &c. Hieronymus *de Locis Hebraicis*, ubi de Arboch agit: *Quercus Abraham, quæ et Mambre, usque ad Constantini regis tempora ibidem monstrabatur, et mausoleum ejus impræsentiarum cernitur. Cumque a nobis jam ibidem Ecclesia ædificata sit, a cunctis in circuitu gentibus TEREBINTHUS superstitiose colitur, eo quod sub ea Angelos Abraham quondam hospitio susceperit.* Hæc Suidam illustrant. Confer Vales. ad Euseb. lib. III. de Vita Constantini, c. 53. KUST. Vid. Spanheim. ad Joseph. B. J. IV. 9, 7. p. 303. TOUP.

ΤΕΡΕΤΙΣΜΑΤΑ] Vid. Hemsterhus. ad T. Magist. addend. prope fin.

[k] Τρύπανον] τρυπάνιον Photius.

ΤΕΡΗΔΩΝ] Addit V. συστέλλει. i. e. in genitivo facit τερηδόνος.

[l] Ἀριστοφάνης Ἱππεῦσι] Ver. 1305.

[m] καταγηράσομαι] καὶ καταγηράσομαι B.V.E.

[n] Σὺ δ', ὦ Τερ.] Aristoph. Thesm. 1186. ubi Τερηδών (sic enim παρεξυτόνως ibi scriptum est, pro Τερηδών) est nomen proprium. KUST.

[o] Τερηδών] Τερηδὼν B.V. Tum ἐπακαφῦσα B. ἐπαναφύσα E.

[p] φυσικὸν ᾆσμα] Schol. Aristoph. βαρβαρικὸν καὶ Περσικὸν τὸ κλάσμα. l. ἴαλεσμα.

ΤΕΡΘΕΥΣ] Vid. Ἴακχος. TOUP.

ΤΕΡΘΡΕΙΑ: Ἡ λεπτολογία. Ἔστι γάρ τι σχοιν.] Eadem habet Etymologus. Confer etiam Erotianum, v. Τὸ τέρθρον. KUST. Hinc τερθρεύεσθαι. Demosth. Orat. Amat. p. 159. εἰ περὶ τοῦτο μάτην τερθρευόμεθα. Ubi leg. περὶ τούτου. TOUP. qui enotavit τερθρεία λόγων ex Menand. hist. p. 99. Vid. Dindorf. ad Aristoph. Eq. 438.

[q] ἤρτηται] ἵσταται V.

[r] τὴν φλυαρίαν τερθρείαν φασι] τερθρείαν φασὶ τὴν φλυαρίαν A. Photius.

[s] ἐν τοῖς μέρεσι] Ms. A. [et V. cum Photio] habet, ἐν τοῖς δύο μέρεσι. Et sic Etymologus. Confer Mausa-

E cum et Valesium ad Harpocrationem v. Περίπολος, et Petit. de Leg. Att. p. 549. KUST. Vid. Palmer. ad Æschin. v. Παραπ. TOUP. p. 330. Reisk.

[t] συμβαίη] συμβείη A. συμβαίη B.V.E. Photius.

[u] στρατιὰν] Scribe στρατείαν, ut recte Photius in Lex. ms. et Etymologus. KUST.

[x] καὶ] δὲ καὶ V.

[y] ἀπάτην καὶ περιεργίαν] ἀπάτη καὶ περιεργία A.V. ἀπάτην καὶ περιεργίαν Photius.

F ΤΕΡΘΡΗΔΟΝΟΣ] Homer. Il. β'. 756. Confer Hesych. v. Τενθρηδών. KUST.

ib. Hesych. Τενθρηδών, insectum aculeatum vespæ simile, nigrum, mellificans: et Τενθρήνη· ζῶον, mellificans. REINES.

[z] Τέρμασιν] Ex Aristoph. Av. 706. ABRESCH.

[a] Μετὰ τὴν νεότητα] Sic recte mss. Paris. At priores editt. male, κατὰ τὴν νεότητα. KUST.

[b] Εἰς τρία διῄρηται τὸ ὄρ.] Confer Nostrum supra v. Ἀκρώρεια, et infra v. Ὑπώρεια. KUST. γὰρ addit A. post τρία.

G [c] Ἁλικαρνασσοῦ] Ἁλικαρνασοῦ V.

[d] ΤΕΡΜΕΡΙΑ] Julian. Or. 7. p. 210. Plutarch. Thes. p. 10. ed. nov. ubi aliter. [t. I. p. 5 B.] TOUP. Vide Holsten. ad Steph. HEMST. qui corrigit Μύνδου pro Μήλου. Conf. Jacobs. ad Anthol. Pal. p. 663.

ΤΕΡΜΙΣΣΕΙΣ] Τερμησσεῖς A.V. Recte. Vid. Holsten. ad Steph. p. 720.

ΤΕΡΜΙΑ] Sophocl. Ant. 1333. (1331.) HEMST.

[e] Οἴμοι τὰ πολλὰ ἐξέχρη κ.] Sophocl. Œdip. Colon. 87.

H Ὅς μοι τὰ πόλλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ, Ταύτην ἔλεξε παῦλαν ἐν χρόνῳ μακρῷ, Ἐλθόντι χώραν τερμίαν, ὅπου θεῶν Σεμνῶν ἕδραν λάβοιμι καὶ ξενόστασιν, Ἐνταῦθα κάμψειν τὸν ταλαίπωρον βίον. KUST.

ΤΕΡΜΙΝΘΟΣ] Plutarch. Artox. p. 1012 D. TOUP.

[f] Ἡ μακρὰ] Sic recte mss. Paris. At priores editt. male, ἡμέρα. Homerus Il. π'. 803. Ἀσπὶς σὺν τελαμῶνι χα-

Τερμόνων:

Τέρπανδρος, [h] Ἀρναῖος, ἢ Λέσβιος [i] ἀπὸ Ἀντίσσης, ἢ Κυμαῖος· οἱ δὲ καὶ ἀπόγονον Ἡσιόδου ἀνέγραψαν· ἄλλοι δὲ, Ὁμήρου· Βοίου λέγοντες αὐτὸν τοῦ Φωκέως, τοῦ Εὐρυφῶντος, τοῦ Ὁμήρου· λυρικός· ὃς [j] πρῶτος [k] ἑπτὰ χορδῶν ἐποίησε τὴν λύραν, [l] καὶ νόμους λυρικοὺς πρῶτος ἔγραψεν· εἰ καί τινες [m] Φιλάμμωνα θέλουσι γεγραφέναι.

Τέρπεσθον: Τέρπονται. Δυϊκῶς.

Τερπικέραυνος: Ὁ τοῖς κεραυνοῖς τερπόμενος.

Τερπνιστόν: Ἐπιτερπέστερον, προσφιλέστερον.

Τέρπω: Αἰτιατικῇ. Καὶ τέρπομαι.

Τερπωλήν: Τέρψιν.

Τερττίλος, Ῥωμύλος, Αἰσχύλος, Αἰμύλος. Παροξυτόνως.

Τερψίων:

Τερψιχόρη: Μία τῶν ἐννέα Μουσῶν.

Τέσσαρες: Καὶ, τέσσαρες καὶ δέκα ἄνδρες.

Τέττα: [n] Προσφώνημα νεωτέρου φίλου πρὸς πρεσβύτερον.

Τεταμένον φῶς [o] εὐθὺ οἷον κίονα: Τὸ οὐράνιον λέγει. Τὸ γὰρ συνεχὲς τὴν ὑποφορὰν, τὸ ὑπόζωσμα τοῦ κόσμου. [p] Κατ' ἄκρα δ' αὐ[τ]ῆ διήκων, ἐπινοεῖται ὁ ἄξων. Εὐθὺ δὲ, ἀντὶ τοῦ ὀρθόν. Τινὲς τὸν ἄξονα τοῦ κόσμου. [q] Οἱ δὲ κύλινδρόν τινα πυρὸς αἰθερίου περὶ τὸν ἄξονα ὄντα.

Τέτανος: Νόσος περὶ τοὺς ἵππους [r] γιγνομένη. Νοσοῦσι γὰρ οἱ ἵπποι πλείοσι νοσήμασι, ποδάγρᾳ, [s] εἰλεῷ, τετάνῳ, ἐμπυήσεσι, καὶ κριβιάσει. Ἔστι δὲ

A ἡ κριβίασις, ὠμότης μετὰ στρόφου· ὁ δὲ τέτανος, σπασμός· ἡ δὲ [t] εἰλεώδης νόσος, κοιλιακή τις διάθεσις· ἡ δὲ ἐμπύησις, ἀπόστασις ἐν ὑπογαστρίῳ· ἡ δὲ ποδάγρα, ὀδύνη περὶ τὰ ἄρθρα. Καὶ δυσουρίασις.

Τέτανος, καὶ ῥοπαλισμός: Ἡ τάσις τοῦ αἰδοίου· ἐπεὶ ὡς ῥόπαλον γίνεται. [u] Ἀριστοφάνης·

Κᾆτ' [x] ἐντέξῃ τέτανον τοῖς ἀνδράσι, καὶ ῥοπαλισμούς.

Τεττάρων ὀβολῶν: Ἐπὶ τῶν πολλῆς τιμῆς

B ἀξίων.

[y] Τὴν παρρησίαν τὴν σὴν οἴει [z] τεττάρων ὀβολῶν εἶναι, τὸ τῆς παροιμίας. Οὐκ [a] οἶσθα δὲ, ὅτι καὶ Θερσίτης ἐν τοῖς Ἕλλησιν ἐπαρρησιάζετο· τῷ δ' Ἀγαμέμνονι τῆς Θερσίτου παρρησίας ἔλαττον ἔμελεν [b] ἢ χελώνῃ μυιῶν, τὸ τοῦ λόγου.

Τεταρπόμενος: Τερπόμενος.

Τεταρταῖος: Τετραήμερος.

Τεταρτημόριον: Δίχαλκον. Ὁ γὰρ χαλκοῦς,

C ὄγδοον τοῦ ὀβολοῦ. Καὶ τεταρτημόριόν τινα καλοῦσιν, οἷον διχάλκου ἄξιον.

Τεταρτημόριον: Τὸ τέταρτον μέρος τοῦ ὀβολοῦ. Τουτέστι, χαλκοῖ δύο.

Τετάφατε: Ἐθάψατε.

Τετελεσμένων: Μεμιασμένων.

Τέτευκται: Κατεσκεύασται.

Τέτηκα: Ἔτηξα· ἢ ἐτάκην. [c] Πολύβιος·

D Τὸ δὲ τετηκὸς καὶ συνερρυηκὸς ἀργύριον καὶ χρυσίον ἀναζητοῦντες, ὑπὸ τοῦ πυρὸς πλεῖστοι Ῥωμαίων διεφθάρησαν.

Τεττιγοφόροι: Οἱ Ἀθηναῖοι. Τέττιγας γὰρ ἐφόρουν χρυσοῦς, σύμβολον τοῦ γηγενεῖς εἶναι. [d] Θουκυδίδης α'·

---

καὶ πόσε τερμιόεσσα. Scholiastes: Τερμιόεσσα: ποδήρης, ἢ ὅλον τὸν ἄνθρωπον σκέπουσα, μεγάλη. Huc Suidas respexit. KUST.

[g] ΤΕΡΜΙΟΣ] Τερμιόεις A.B.V.E.

ΤΕΡΠΑΝΔΡΟΣ] Vid. in Ὅμηρος p. 682. HEMST.

[h] Ἀρναῖος—Ἀντίσσης Clem. Alex. Strom. I. Κιθαρῳδὸν vocat eum Plutarch. in Lacon. Instit. p. 238C. Vid. eundem de Mus. p. 1132. ex Heraclid. συναγωγῇ τῶν ἐν μουσικῇ. Athen. XIV. p. 635. Strabo XIII. p. 618. Selden. Marm. Arund. p. 87. REINES.

[i] ἀπὸ Ἀντίσσης] Vid. p. 2468 A.

[j] πρῶτος ἑπτάχορδον] Septem primum, post novem chordarum lyram fuisse dixit Aratus in Phænom. Vid. Hygin. Poët. Astron. p. 63. REINES.

[k] ἑπτάχορδον] ἑπτὰ χορδῶν A.V.

[l] καὶ νόμους λυρικοὺς πρ.] Vide Salmasium ad Capitolinum, p. 70. edit. Paris. KUST.

[m] Φιλάμμονα] Rectius, Φιλάμμωνα, per duplex μ. KUST. Φιλάμμονα A. Φιλάμμωνα B.V.E.

ΤΕΡΠΕΣΘΟΝ] Il. ϑ'. 10.

ΤΕΡΤΥΛΟΣ] Hunc articulum habet A. in marg. om. V.

ΤΕΡΨΙΩΝ] Inter collocutores Plat. in Theæteto. REINES. Τερψίων A. Τερψίωνος E.

ΤΕΤΤΑ: Προσφ.] Vide Helladium apud Phot. p. 1584. KUST. Il. ϑ'. 412.

[n] Προσφώνημα νεωτέρου φίλου] πρὸς φίλον νεωτέρου φίλου E.

ΤΕΤΑΜΕΝΟΝ ΦΩΣ, ΕΤΘ.] Locus hic obscurus est, et, ut videtur, corruptus; cujus illustratio ex ipsis fontibus, unde ista hausit Suidas, (dummodo investigari possint,) petenda est. KUST. Hæc sunt verba Platonis de Republ. lib. X. [p. 616.] Quæ sequuntur apud Suidam, ex commentatore aliquo ad locum petita sunt. Quærant quibus otium, et emendent. Nam nos in hisce titivilitiis immorari nolumus. TOUP.

[o] ΕΥΘΥ] εὐθὺς A.V.E.M. Photii ms. Mox τὸ A.B.V. Photius pro τόν.

E [p] ΚΑΤ' ἌΚΡΑ Δ' ΑΥ ΔΙΗΚΩΝ] Plato: τὰ ἄκρα τῶν δεσμῶν αὐτοῦ τεταμένα· εἶναι γὰρ τοῦτο φῶς ξύνδεσμον τοῦ οὐρανοῦ, οἷον τὰ ὑποζώματα τῶν τριήρων, οὕτω πᾶσαν ξυνέχον τὴν περιφοράν.

[q] Οἱ δὲ] οἷον B.E.M. Tum πρὸς A. pro πυρός.

[r] γινομένη] γιγνομένη A. γενομένη B.

[s] εἰλεῷ] Mss. Paris. ἰλεῷ, per ι. KUST.

[t] εἰλεώδης] ἰλεώδης A.B.V.

[u] Ἀριστοφάνης] Lysistr. 553. Κᾆτ' ἐντέξῃ τέτανον τερπνὸν τοῖς ἀνδράσι καὶ ῥοπαλισμούς. KUST.

[x] ἐντείξῃ] ἐντέξῃ A.E.

F ΤΕΤΤΑΡΩΝ ὈΒΟΛΩΝ] Vel addendum, vel subaudiendum est, ἄξιον. Ceterum male Suidas hæc interpretatur, ἐπὶ τῶν πολλῆς τιμῆς ἀξίων. Contra enim proverbium hoc dicitur de rebus nullius pretii. Vide etiam infra v. Τετρώβολον. KUST. ἐπὶ τῶν οὐ πολλῆς Reinesius. Male. Vide Boeck. Œcon. Civ. Athen. T. I. p. 143. vers. Anglic.

[y] Τὴν παρρησίαν τὴν σ.] Julianus Epist. LIX. p. 227. [=445 B.] Ἀλλὰ τὴν παρρησίαν τὴν σὴν οἴει τεττάρων ὀβολῶν, τὸ λεγόμενον, ἀξίαν. Hinc Suidæ verba deprompta

G sunt: ut Pearsonius recte observaverat. KUST. οὐκ οἶσθα δὲ, &c. desunt apud Julianum.

[z] τεσσάρων] τεττάρων A.

[a] οἶσθα δὲ] δὲ om. A.V.E. Mox ἔμελλεν A.E.

[b] ἢ χελώνῃ μυιῶν] De Hercule versus apud Plutarch. II. p. 90 D. Οὐδ' ὅσσον μυίας στυγερῶν ἐμπάζετο μύθων.

ΤΕΤΑΡΤΗΜΟΡΙΟΝ: Τὸ τέτ.] Ex Harpocrat. KUST.

ΤΕΤΕΛΕΣΜΕΝΩΝ: Μεμιασμένων] τετελεσμ' μεμιασμ' A. τελεσμένων, μεμιασμένων V. τ. μεμιασμένων B. μεμιασμένων E.

H τετελεσμένων: μεμιασμένων Photius. τετελεσμένος: μεμιασμένος Lex. Seg. τετελεσμένων: μεμιασμένων veram lectionem esse docet Albertus ad Hesych.

[c] Πολύβιος] XI. 24, 11.

ΤΕΤΤΙΓΟΦΟΡΟΙ: Οἱ Ἀθην.] Confer Nostrum supra v. Κέρα ἀγλαέ. KUST. Schol. Aristoph. Eq. 1328.

[d] Θουκυδίδης α'] Cap. 6.

Καὶ χρυσῶν τεττίγων [e]ἐνέρσει κρωβύλον ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν.

Ἢ, ὅτι μουσικοί. Μουσικὸς γὰρ ὁ τέττιξ. Γηγενεῖς δὲ, διότι καὶ Ἐρεχθεὺς, ὁ οἰκιστὴς τῶν Ἀθηνῶν, [f]ἀπὸ τῆς γῆς ἐτέχθη.

Τεττίγων ἀνάμεστα: Τοὺς τέττιγας παρέλαβεν Ἀριστοφάνης, [g]ἐπειδὴ οἱ παλαιοὶ κατὰ τὴν ἀναπλοκὴν τῶν τριχῶν χρυσῷ ἐχρῶντο τέττιγι, [h]τεκμήριον ὅτι αὐτόχθονες εἰσιν οἱ Ἀθηναῖοι, ὡς καὶ οἱ τέττιγες.

Τεττίγωνος:

Τετιημένος: Τετιμωρημένος. Καὶ [i]Τετίησθον: Τετιμώρησθε.

Τετιημένα: [k]Θουκυδίδης·

Ἐσύκελλον γὰρ τὰ πλοῖα τετιημένα χρημάτων.

Τέτλαθι: Ὑπόμεινον. [l]Καὶ τετληκὼς, ὑπομείνας.

Τέτορε: Διῆλθε.

Τετορήσω: Ἀντὶ τοῦ, σαφηνιῶ, ὅ ἐστι δηλώσω. Τορῶς γὰρ, σαφῶς, καὶ [m]ἀκριβῶς. Ἐκ τοῦ παρακολουθοῦντος· ἀντὶ τοῦ, Εἰ μὴ εἴπω. [n]Ἀριστοφάνης·

[[o]Ἀλλ', ὦ μέλ',] ὑπὸ Διὸς ἀμαλδυνθήσομαι,
εἰ μὴ τετορήσω ταῦτα, καὶ λακήσομαι.

Τετραβάμων: Τετράπους.

Τετράγωνος: Εὐσταθὴς, ἑδραῖος. Δαμάσκιος·

Σεμνὸς δὲ ἦν, καὶ εὐσχήμων τὰ πάντα, [p]καὶ τετράγωνος [q]ἄνευ ψόγου τεταγμένος, ὡς [r]φάναι κατὰ τὸν Σιμωνίδην· ὥστε μηδὲ τοὺς ἐπαναστάντας αὐτῷ συκοφάντας τούτους ἀρνεῖσθαι, τὸ μὴ οὐ ταύτῃ ἀξιάγαστον εἶναι τὸν [s]ἄνδρα.

Τετραδεῖον: Τὸ ἐκ τεσσάρων συνεστώς. [t]Τετράδιον δὲ, καὶ [u]τετράδατον.

Τετράδι γέγονας: [x]Ἐπὶ τῶν ἄλλοις πονούντων. Καὶ γὰρ τὸν Ἡρακλέα τετράδι γεννηθέντα, Εὐρυσθεῖ ταλαιπωρῆσαι. [y]Φιλόχορος [z]δὲ αὐτὴν καὶ ἐπὶ Ἑρμοῦ δύνασθαι λέγεσθαι. [a]Διατεθεῖσθαι δὲ Ἡρακλεῖ τὴν ἡμέραν ἐν ταύτῃ εἰς θεοὺς μεταστάντι.

Τετραδισταί: Οἱ [b]ἐπίπονον βίον [c]διάγοντες. Ἀπὸ τοῦ Ἡρακλέους, ὃς τετράδι γεννηθεὶς πολλοὺς πόνους ἔτλη.

Τετραέλικτος: Πολυέλικτος.

[cc]Νόσφισεν ὠδίνων τετραέλικτος ὄφις.

Τετραετηρίς:

Τετρακόσιοι: Οἱ τετρακόσιοι πρὸ ἑπτὰ ἐτῶν κατέστησαν [d]τῶν λʹ τυράννων παρ' Ἀθηναίοις· οἵ τινες τέσσαρας μῆνας ἦρξαν τῆς πόλεως.

Τετρακόρυμβος: Ὁ τέσσαρας ἄκρας ἔχων.

[e]Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφὶ σὲ κισσός.

Τετρακτύς: Οἱ τέσσαρες· ἤγουν, ἡ τετράς.

Ὅτι οἱ Πυθαγόρειοι πάντα [f]ἀριθμὸν τετρακτὺν προσηγόρευον. [g]Ὁ δὲ ἀριθμὸς συμπληροῦται τοῖς [h]δέκα· ὁ δὲ δέκα, σύνθεσις τῶν τεσσάρων. Καὶ διὰ τοῦτο τὸν ἀριθμὸν πάντα τετρακτὺν ἔλεγον.

[i]Οἱ αὐτοὶ ἐτίμων καὶ τὰ τέσσαρα, διὰ τὰς τέσσαρας τῆς σελήνης μορφάς. Ἀρτίτοκος γὰρ, [k]μηνοειδὴς, ἀμφίκυρτος, καὶ πανσέληνος.

---

[e] ἐνέρσει κρωβύλον] ἐν ἔρσει κρωβύλων E.

[f] ἀπὸ γῆς] ἀπὸ τῆς γῆς A.V.

ΤΕΤΤΙΓΩΝ ἈΝΑΜΕΣΤΑ] Aristoph. Nub. 980. Ἀρχαῖά γε καὶ διπολιώδη, καὶ τεττίγων ἀνάμεστα. KUST. ἀνάμεστοι A.B.V.

[g] ἐπειδὴ] ἐπεὶ V. Tum Ἀθηναῖοι om. A.B.E. post παλαιοί.

[h] σημεῖον δὲ τοῦ εἶναι αὐτόχθονας, ὥσπερ] τεκμήριον ὅτι αὐτόχθονές εἰσιν οἱ Ἀθηναῖοι, ὡς A.B.V. Schol.

ΤΕΤΙΗΜΕΝΟΣ] Homerus Il. λʹ. 555. et alibi. KUST.

[i] ΤΕΤΙΗΣΘΟΝ] Il. θʹ. 447. ubi Schol. reddunt τεταλαιπώρησθε, Schol. Victor. καταπέπληχθε.

[k] Θουκυδίδης] Lib. IV. 26. sed apud quem pro τετιημένα legitur τετιμημένα: ut Portus monuit. KUST.

[l] Καὶ τετληκὼς &c. ex A.B.V.E.

[m] ἀληθῶς ἢ ἀκριβῶς] Delevi ἀληθῶς ἢ cum A.V. Schol. Aristoph.

[n] Ἀριστοφάνης] Pac. 379.

[o] Ἀλλ' ὦ μέλ' om. A.V.E. Mox τοῦ Διὸς E.

[p] καὶ τετράγωνος] Damascius apud Photium, p. 1073. de Agapio philosopho: Καὶ συλλήβδην εἰπεῖν, ἐδόκει τετράγωνος εἶναι καὶ ἐν τὴν σοφίαν. KUST.

[q] καὶ ἄνευ ψόγου τεταγμένος] Locus Damascii nonnihil corruptus est. Scribendum, καὶ ἄνευ ψόγου ΤΕΤΥΓΜΕΝΟΣ. *Et totus sine nævo factus.* Ita locutus est Simonides apud Plat. in Protagora p. 339 B. Λέγει γάρ που ΣΙΜΩΝΙΔΗΣ πρὸς Σκόπαν τὸν Κρέοντος υἱὸν τοῦ Θετταλοῦ, ὅτι ἄνδρα ἀγαθὸν μὲν ἀληθέως γενέσθαι χαλεπὸν, χερσί τε καὶ ποσὶ καὶ νόῳ τετράγωνον, ἌΝΕΥ ΨΟΓΟΥ ΤΕΤΥΓΜΕΝΟΝ. Huc respexit Julian. in Cæsar. p. 333. Δοκεῖ γάρ εἶναί μοί τις ἀνὴρ κατὰ τὸν Σιμωνίδην, ΤΕΤΡΑΓΩΝΟΣ, ἄνευ ψόγου ΤΕΤΥΓΜΕΝΟΣ. Sed Homerus fons lectionis est. Odyss. υʹ. 366. Εἰσί μοι ὀφθαλμοί τε καὶ οὔατα καὶ πόδες ἄμφω, Καὶ νόος ἐν στήθεσσι ΤΕΤΥΓΜΕΝΟΣ οὐδὲν ἀεικής. Ceterum ad hoc Simonidis dictum adludit philosophus in Rhetor. III. 11. Τὸν ἀγαθὸν ἄνδρα φάναι εἶναι ΤΕΤΡΑΓΩΝΟΝ, μεταφορά. TOUP.

ib. Καὶ ἄνευ] καὶ om. A.B.E.

[r] φάναι] φαίη E. et mox πάντα.

[s] ἄνδρα] ἄνω A.V.

[t] ΤΕΤΡΑΔΙΟΝ δὲ, καὶ ΤΕΤΡΑΔΑΤΟΝ, ἐκ τ.] Hæc nihili sunt. Τὸ τετράδιον enim idem est, quod τετραδεῖον: at τὸ τετράδατον, ut adulterinum, abjiciendum censeo. KUST. τετράδιον ac τετραδεῖον idem esse arbitror, τετράδατον autem suspectum habeo. H. STEPH. Thesaur. t. III. pag. 1420 E.

[u] ΤΕΤΡΑΔΑΤΟΝ] Statim delevi, Ἐκ τοῦ δὶς, καὶ τέτταρα· καὶ ἐκ τοῦ δύο, καὶ τέτταρα, cum A.B.V.

[x] Ἐπὶ τῶν ἄλλοις πο.] Zenobius Centur. VI. Adag. VII. et Photius in Lex. ms. pro ἄλλοις habent ἄλλως, quam lectionem meliorem esse ex ipsa interpretatione, quam Suidas hic subjungit, patet. Vide etiam Eustathium ad Homerum, p. 302. KUST. ἀλλ' A. i. e. ἄλλως.

[y] Φιλόχορος] ἐν τῇ πρώτῃ περὶ Ἡμερῶν, teste Schol. Platon. p. 331. ed. Bekker. Vid. Hemsterhus. Aristoph. Plut. p. 425.

[z] δέ φησι] φησὶ om. A.V. Photius, cujus loco præbet αὐτὴν omissa ea voce infra.

[a] Διατεθεῖσθαι] Leg. suspicor ἀνατεθεῖσθαι. VALCK.

[b] ἐπίπονον βίον] Sic recte ms. Paris. A. At in prioribus editt. [et B.V.E.] mendose legitur, ἐπὶ τὸν βίον. KUST.

[c] διάγοντες] ἄγοντες V.

[cc] Νόσφισεν ὠδ.] Anthol. Pal. VII. 210.

ΤΕΤΡΑΚΟΣΙΟΙ: Οἱ Τετρακ.] Ex Harpocratione: ad quem vide Valesium. KUST. Clinton. Fast. Hellen. a. 411.

[d] τῶν λʹ] τῶν λʹ τυράννων A.B.V.E.M.

[e] Θάλλοι τετρ.] Anthol. Pal. VII. 23.

[f] ἀριθμὸν τετρακτὺν] τετρακτὺν om. A.V.E.M.

[g] Ὁ δὲ ἀριθμὸς συμπληρ.—τετρακτὺν ἔλεγον] Hæc leguntur etiam apud Photium in Excerptis ex Vita Pythagoræ, cod. CCXLIX. p. 1313. KUST.

[h] δέκα] δέκατος A.V. Mox τὸν ἀριθμὸν om. E.

[i] Οἱ αὐτοὶ] Seqq. om. A.

[k] μηνοειδὴς] μονοειδὴς V.

Τετραλογία: [l]Κατὰ τὴν τραγικὴν τετραλογίαν ἐξέδωκε Πλάτων τοὺς διαλόγους. Ἐκεῖνοι γὰρ τέτρασι [m]δράμασιν ἠγωνίζοντο, Διονυσίοις, Ληναίοις, Παναθηναίοις, Χύτροις· ὧν τὸ τέταρτον ἦν Σατυρικόν. Τὰ δὲ τέσσαρα δράματα ἐκαλεῖτο τετραλογία. Εἰσὶ τοίνυν οἱ πάντες Πλάτωνι γνήσιοι διάλογοι, ἓξ καὶ πεντήκοντα. Διπλαῖς δὲ χρῆται ταῖς ἐπιγραφαῖς καθ' ἕκαστον τῶν βιβλίων, τῇ μὲν, ἀπὸ τοῦ ὀνόματος· τῇ δὲ, ἀπὸ τοῦ πράγματος. Ταύτης τῆς τετραλογίας, ἥτις ἐστὶ πρώτη, ἡγεῖται Εὐθύφρων, ἢ περὶ Ὁσίου· ὁ διάλογος [n]δ' ἐστὶ πειραστικός. Δεύτερος, Ἀπολογία Σωκράτους· ἠθικός. Τρίτος, Κρίτων, ἢ περὶ πρακτέου· ἠθικός. Τέταρτος, Φαίδων, ἢ περὶ Ψυχῆς· ἠθικός. Δευτέρα [o]τετραλογία, καὶ ἐφεξῆς, ἐν τῷ βιβλίῳ [p]Λαερτίου Διογένους περὶ βίων φιλοσόφων.

[[q]Ὅτι τοῦ τετραμέτρου εὑρετὴς Ἀριστοφάνης ὁ ποιητής.]

Τετρεμαίνω: Οὕτως Ἀριστοφάνης ἐν [r]Νεφέλαις·

Οὕτως αὐτὰς τετρεμαίνω, καὶ πεφόβημαι.

Ἀντὶ τοῦ τρέμω· παραγώγως. Ἐπίτηδες δὲ ἐξέτεινε τὴν λέξιν τερατευόμενος.

Τετράμονος:

Τετρανθέντα: Τρυπηθέντα.

[s]Ἰοδόκην, καὶ τοῦτον ἐπ' ὄρτυγι τετρανθέντα αὐλόν.

Τετραποδηδόν: [t]Οὕτως ἐβάδιζον οἱ ἐν Λιβύῃ Σκιάποδες, πλατύποδες ὄντες, καὶ ἀνορθοῦντες τὸν ἕτερον τῶν ποδῶν, καὶ κατασκιάζοντες τὸ λοιπὸν σῶμα, εἰς ἀποφυγὴν τοῦ [u]ἐν αὐτοῖς ὄντος καύματος.

Τετραποδητί: Ποσὶ καὶ χερσίν.

Οἱ δὲ τετραποδητὶ τρόπον τινὰ προσπλεξάμενοι, ἐβιάζοντο.

Τετραπτερυλλίδων: Τῶν ἀκρίδων. Παρὰ τὸ τέσσαρα ἔχειν πτερά.

Τετραραῖα:

Τετραρχία: Οἱ τέσσαρες λόχοι, ἄνδρες ξδ'· καὶ ὁ ἡγούμενος, Τετράρχης.

Τετραρχία: Τεττάρων μερῶν ὄντων τῆς Θετταλίας, ἕκαστον μέρος τετρὰς ἐκαλεῖτο. Ὄνομα δέ φησιν εἶναι [x]ταῖς τετράσι, Θετταλιῶτιν, Πελασγιῶτιν, Φθιῶτιν, [y]Ἑστιαιῶτιν. Καὶ Ἀριστοτέλης [z]δὲ ἐν τῇ κοινῇ Θετταλῶν πολιτείᾳ, ἐπὶ [a]Ἀλεύα τοῦ Πύρρου διῃρῆσθαι φησὶν εἰς δ' μοίρας τὴν Θετταλίαν. Εἴη ἂν οὖν λέγων ὁ Δημοσθένης τὴν Τετραρχίαν.

Τετρὰς, τετράδος. Καὶ, τέτρασι καιροῖς.

Τετρασκάλμου:

[b]Οἱ δὲ Ῥωμαῖοι δόγμα ἔγραψαν, ὅπως οἱ Κρῆτες πάντα τὰ πλοῖα ἕως τετρασκάλμου [c]ἀποπέμψωσιν ἐς Ῥώμην.

Τετραστατήρου: [d]Ἀριστοφάνης·

Εὐαίων ὁ δεξιώτατος
. . . . γυμνός . . . . .
κἄπειτ' ἔλεξε [e]δημοτικωτάτους λόγους·
ὁρᾶτε [f]μέν με δεόμενον σωτηρίας
τετραστατήρου . . . ἀλλ' ὅμως ἐρῶ . . .
ἣν . . παρέχωσι τοῖς δεομένοις οἱ κναφεῖς
χλαίνας, ἐπειδὰν . . . [g]ἥλιος τραπῇ,
πλευρῖτις ἂν ὑμῶν οὐδέν' ἂν λάβοι ποτέ.

Οὗτος πένης ἦν ὁ Εὐαίων. Ἔστι δὲ ὄνομα κύριον.

---

[l] Καὶ κατὰ τὴν τραγ.] Hæc omnia sumpta sunt ex Laërtio in Platone. KUST.

ib. Καὶ κατὰ] καὶ om. A.V.E. Tum τετραλογίαν ἐξέδωκε A.V. pro ἐξέδ. τετρ.

[m] δράμασιν] γράμμασιν A. qui paullo infra δράματα. Mox Διονυσείοις A.

[n] δ' ἐστι] δ' om. A.E. Mox δευτέρα A.B.E. τρίτη B.V.E. τετάρτη A.B.V.E.

[o] τετραλογία] τερατολογία V.

[p] Λαερτίου] Λαέρ A. Λαέρτου V.E.M. Tum Διογένης E. Διογεν V.

[q] ὍΤΙ ΤΟΥ] Hæc om. A. Habet V. in marg.

ΤΕΤΡΕΜΑΙΝΩ] Τετραμαίνω A.B. et mox in exemplo.

[r] Νεφέλαις] Ver. 293. Mox addidi δὲ post ἐπίτηδες cum A.V.E.

ΤΕΤΡΑΜΟΝΟΣ. *Quatuor mansiones habens*] Scribendum, opinor, Τετράμηνος. D. Joan. IV. 35. Οὐχ ὑμεῖς λέγετε, ὅτι ἔτι ΤΕΤΡΑΜΗΝΟΝ ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; Ubi Codices nonnulli τετράμηνος exhibent. Atque ad hunc locum proculdubio respexit Suidas. Vide Heinsii Exercitat. Sacrus p. 369. TOUP. τετράμωνος A.B.E.

[s] Ἰοδόκαν, καὶ τοῦτον ἐπ' ὄρτυγι τετρ.] Anthol. Pal. VI. 296.

ib. Ἰοδόκαν] Ἰοδόκην A.B.V.E. Anthol. Mox ὄρτυξ A. ὄρτυγα V. ὄρτυγι E.

ΤΕΤΡΑΠΟΔΗΔΟΝ] Sic rectius ms. A. quam [B.E. et] priores editt. quæ habent τετραποδηγόν. KUST. Habet hanc v. Aristoph. Pac. 896.

[t] Οὕτως ἐβάδιζον ἐν Λιβ.] Confer Nostrum supra v. Σκιάποδες, ubi eadem leguntur. KUST. Vid. Schol. Aristoph. Av. 1552. σκιάποδες οἱ κ. χηνόποδες V.

[u] ἐν αὐτοῖς ὄντος neque legitur apud Schol. Aristoph. neque supra in Σκιάποδες. An ἄμμοις? HEMST.

ΤΕΤΡΑΠΟΔΗΤΙ] Malim, τετραποδιστί. KUST. Sed perperam. Sunt hæc verba, quod nemo vidit, Polybii, lib. V. (60.) p. 563. qui ita habet: Διὰ τὸ τοὺς μὲν ἄλλους τόπους, εἰ μὴ ΤΕΤΡΑΠΟΔΗΤΙ τρόπῳ τινὰ προσπλεκόμενοι βαδίζοιεν, τήν γε διὰ τῶν κλιμάκων προσβολὴν μὴ προσίεσθαι παράπαν. *Nam ceteræ quidem partes, nisi quis more quadrupedum incedens, atque interim cum hoste confligens vi locum aliquem occupaverit, scalarum ope omnino invadi non possunt.* TOUP. Vulg. lectionem defendit etiam Hemsterhusius ad Lucian. Dial. Marin. VII. 2.

ΤΕΤΡΑΠΤΕΡΥΛΛΙΔΩΝ] Ex Schol. Aristoph. Acharn. 871. Post τετραπτερυλλίδων autem addendum est, τῶν ἀκρίδων, ut habet modo laudatus Scholiastes. KUST. Addidi cum A.B.V.E.

ΤΕΤΤΑΡΑΙΑ] Τετραραία V. Kusterus: "Videtur vox "esse corrupta."

ΤΕΤΡΑΡΧΙΑ: Τεττάρων μερ.] Ex Harpocratione. Confer Luc. Holsten. ad Stephanum, v. Φθία. Ceterum, in prioribus editt. deest articuli hujus caput, seu prima vox; quam ex mss. revocavimus. KUST. Deest caput glossæ A.B.E.

[x] ταῖς τέτταρσι] ταῖς τετράσι A.V. ταῖς τετράσι B. ταῖς τεττάρσι E. Tum Φθιῶτιν om. A.B.V.E.

[y] Ἑστιεῶτιν] Scribe Ἑστιαιῶτιν. [sic Harpocr.] Vide Luc. Holsten. ad Stephanum, v. Ἑστίαια. KUST. ἀστιαῶτιν A.B.V. Photii ms. ἱστιαιῶτιν E.

[z] δὲ ἐν] δὲ om. A. Mox τῶν ante Θετταλῶν om. A.V.E.

[a] Ἀλεύα τοῦ] Ἀλευάτου A.E.M. Mox οὖν om. A.

[b] Οἱ δὲ Ῥωμαῖοι] Ex Diodor. Sic. Exc. Legat. XXXV. t. II. p. 632.

[c] ἀποπέμψωσιν] ἀποπέμψουσιν B. Diodor.

[d] Ἀριστοφάνης] Eccles. 413. unde locum hunc supplebis, et in versus digeres. KUST.

[e] δημοτικωτάτους] δημοτάτους B.E.

[f] μέν με] μέν τε A.

[g] ἥλιος τραπῇ] ἥλιον τρο V.

Ὅσαις δὲ κλίνη μή 'στι, μηδὲ στρώματα,
ἰέναι καθευδήσοντας ἐς τοὺς ἀπονενεμημένους
ἐς [h] τῶν σκυλοδεψῶν. Ἣν δ' ἀποκλείῃ τῇ θύρᾳ,
χειμῶνος ὄντος, τρεῖς σισύρας ὀφειλέτω,

καὶ

τοὺς ἀλφιταμοιβοὺς .... τρεῖς χοίνικας
δείπνου παρέχειν.

Τετραφαλαγγαρχία: Αἱ δύο [i] διφαλαγγίαι, ἄνδρες ς͵τπδ'· τοῦτο γὰρ ἡ τελεία καὶ εὔχρηστος φάλαγξ.

Τετραφάληρον: Τέσσαρας φάλους [k] ἔχον.

Τέτραχα: Ἐπίρρημα. Ἀντὶ τοῦ τετραχῶς. Ὡς, [l] Πένταχα κοσμηθέντες.

Τετρήνας: Τρυπήσας.

Τετρηχυῖα: [m] Τραχυνομένη.

Τετρήχει: Ἐτραχύνετο.

Τετρίγει: Ἔτριζεν, ἢ ποιὸν ἦχον [n] ἀπετέλεσε. Καὶ τετριγυῖα, τρίζουσα.

Τετρώβολον: Τουτέστι, [o] πολυτίμητον. Οὕτω δὲ λέγουσι τὸ τετρωβολιαῖον, τουτέστι, τετρωβόλου πωλούμενον.

Τετρωμένον: Βεβλημένον.

Τέτρωρον: Τέθριππον, ἤγουν, τετράϊππον.

Τετρυμένον: Καταπεπονημένον.

Αὔλακι καὶ γήρᾳ τετρυμένον ἐργατίνην βοῦν
Ἄλκων οὐ φονίῳ ἤγαγε πρὸς κοπίδα,
αἰδεσθεὶς ἔργων.

Τετρυπημένη:

[p] Ψῆφοι εἰσὶ χαλκαῖ, αὐλίσκον ἔχουσαι ἐν τῷ μέσῳ, αἱ μὲν

A ἡμίσειαι τετρυπημέναι, αἱ δὲ ἡμίσειαι, πλήρεις. Οἱ δὲ λαχόντες ἐπὶ τὰς ψήφους, ἐπειδὰν εἰρημένοι ὦσιν οἱ λόγοι, παραδιδόασιν ἑκάστῳ τῶν δικαστῶν δύο ψήφους, [q] τετρυπημένην καὶ πλήρη, [r] φανερὰς ὁρᾶν τοῖς ἀντιδίκοις, ἵνα μήτε πλήρεις, μήτε [s] πάντη τετρυπημένας λαμβάνωσι.

Τετρῦσθαι: Καταπεπονῆσθαι. [t] Ἀππιανός·

Ὁ δὲ Φίλιππος τοὺς ἐπιπλέοντας διέφθειρεν, ἵνα μὴ [u] Ῥωμαίοις λέγοιεν τὰ Μακεδόνων ἐκτετρῖσθαι.

B Καὶ τέτρυσαι, καταπεπόνησαι.

[x] Ἤδη γὰρ χαλκός τε γέρων, αὐτή τε τέτρυσαι.

Τετύκοντο: [y] Παρεσκευάζοντο.

Τέτυκται: Κατεσκεύασται.

Τετύφωμαι: Ἐπήρθην. Καὶ [z] τετυφωμένος. Καὶ τετυφῶσθαι, μεμηνέναι.

Τετύφωμαι: Ἀντὶ τοῦ [a] ἐμβεβρόντημαι, ἔξω τῶν φρενῶν γέγονα· ἤτοι ἀπὸ τῆς βροντῆς, ἢ ἀπὸ [aa] τῶν
C ἐπὶ τὸν [b] Τυφῶνα καταφερομένων σκηπτῶν, ἢ ἀπὸ τῶν τυφωνικῶν καλουμένων πνευμάτων, ἃ δὴ καὶ αὐτὰ ἐξίστησιν ἀθρόως καταρραγέντα. Καὶ γὰρ Ἀλκαῖος φησί·

[c] Πάμπαν δὲ τυφὼς ἐκ δ' ἐλέγετο φρένας.

Τετθήν: Ὁ κατάσκοπος.

Τετθίδες: Σηπίαι. Καὶ τετθὶς, ἰχθύδιον εὐτε-
D λές. Καὶ φησὶν [d] Ἀριστοφάνης περὶ Ἀντιμάχου·

[e] Ἀντίμαχον τὸν ... [f] Ψακάδος,
ὃς μὲν ἁπλῷ λόγῳ, κακῶς
ἀπολέσειεν ὁ Ζεύς.
Ὅς γ' ἐμὲ τὸν τλήμονα ἄδειπνον ἀπέλυσεν·

---

[h] τῶν σκυτοδεψῶν] ἐς τῶν σκυλοδεψῶν A.V.

ΤΕΤΡΑΦΑΛΑΓΓΑΡΧΙΑ] Montfaucon. Bibl. Coisl. p. 507. Φάλαγξ ἡ τετραφαλ. qui mox ἀνδρῶν μυρίων ἑξακισχι- E λίων τριακοσίων ὀγδοήκοντα τεσσάρων.

[i] διφαλαγγίαι] Sic recte mss. Paris. At priores edit. male, φαλαγγίαι. KUST.

ΤΕΤΡΑΦΑΛΗΡΟΝ] Est epithetum galeæ apud Homerum Il. ε'. 743. KUST.

[k] ἔχον] ἔχων A.B.E.

[l] Πένταχα κοσμηθ.] Sunt verba Homeri Il. μ'. 87. KUST.

ΤΕΤΡΗΧΥΙΑ] Homer. Il. η'. 346. KUST.

[m] Τραχυνομένη] Statim delevi καὶ θορυβώδης, ἢ τεταραγ- F μένη. Ἀπὸ τοῦ ταράσσω. Καὶ, cum A.B.V.E.

ΤΕΤΡΗΧΕΙ] Est itidem vox Homerica, Il. β'. 95. KUST.

ΤΕΤΡΙΓΕΙ] Et hæc vox exstat apud Homerum, Il. ψ'. 714. KUST.

[n] ἀπετέλει] ἀπετέλεσε A.V. Photius. Mox τετρηχυῖα E.

[o] πολυτίμητον] Imo contra potius, οὐ πολυτίμητον. Vide supra, v. Τεττάρων ὀβολῶν. KUST. Ita quoque Schol. ad G Aristoph. Pac. 253. omissa pariter negativa ante πολυτίμητον. ABRESCH.

ΤΕΤΡΥΜΜΕΝΟΝ] τετρυμένον A. et in exemp. cum Anthol. Pal. VI. 228.

ΤΕΤΡΥΠΗΜΕΝΟΙ] Malim, τετρυπημέναι, genere fœminino, ut referatur ad ψῆφοι. KUST. τετρυπημένη V. Harpocr. Photius. Vid. Æschin. c. Timarch. p. 11, 34. ed. Steph.

[p] Ψῆφοι εἰσὶ χαλκ.] Hæc sunt verba Aristotelis, ex libro ejus de Republ. Atheniens. deprompta, ut docet H Harpocratio, ex quo Suidas ista descripsit. KUST.

[q] Τετρυπημένην, καὶ πλήρη] Horum nempe calculorum illi, qui perforati erant, damnabant; qui pleni, absolvebant: ut docet Enarrator Comici ad Vesp. 981. KUST.

[r] φανερὰς] φανερὰν A. φανερῶς E. Mox πλήρης V.

[s] πάντη] ταύτη A.B.V.E.

ΤΕΤΡΥΣΘΑΙ] Hinc ἄτριπτος ὁδὸς, *via intrita*. REINES.

[t] Ἀππιανὸς] Tom. I. p. 518. ed. Schweigh.

[u] Ῥωμαίοι] Ῥωμαίοις A.V. ῥωμάλεοι E. Mox ἐκτετρῖσθαι E.

[x] Ἤδη γὰρ χαλκός] Hexameter iste est pars Epigrammatis, quod legitur Anthol. lib. VI. p. 575. [Pal. VI. 52.] Verbum autem τετρῖσθαι usurpat Herodotus, I. 22. Καὶ τὸν λεὼν ΤΕΤΡΥΣΘΑΙ ἐς τὸ ἔσχατον κακοῦ. Atque huc spectat Suidæ nota. TOUP. χαλκοῦ τε γέρρον αὐτῇ τέτρυσαι M.

[y] Παρεσκευάζοντο] κατεσκευάζοντο A. et E. suprasc. Vulg. F habent Photius et Lex. Seg. κατεσκεύαζον Schol. Hom. Il. α'. 467.

ΤΕΤΥΧΘΑΙ: Κατεσκευάσθαι] Τέτυκται: κατεσκεύασται A. Photius. παρεσκεύασται V.

[z] ΤΕΤΥΦΩΜΕΝΟΣ] Statim delevi, ὁ ἐπηρμένος, καὶ ἀλαζών, cum A.B.V.

ΤΕΤΥΦΩΜΑΙ: Ἀντὶ τοῦ ἐμβεβρ.] Ex Harpocratione. KUST.

[a] ἐμβεβρόντημαι] ἐμβεβρόντημαι E. qui mox om. τῶν.

[aa] τῶν ἐπὶ τὸν Τυφῶνα καταφ.] τοῦ Τυφῶνος καὶ τῶν ἐπι- G καταφερομένων E.

[b] Τυφῶνα—τυφωνικῶν] Τυφεδόνα—τυφωνικῶν A.

[c] Πάμπαν δὲ τυφὼς ἐκ δ' ἐλέγεται] Fragmentum hoc corruptum est, quod absque mss. haud facile erit emendare. KUST. Photius: ἐκδελέγετο φρένας. Quod ad veram lectionem ducit. Scribendum, Πάμπαν δὲ τυφὼς ἐκ δ' ἕλετο φρένας. Respexit Alcæus ad Homer. Iliad. ζ'. 234. Ἔνθ' αὖτε Γλαύκῳ Κρονίδης ΦΡΕΝΑΣ ΕΞΕΛΕΤΟ Ζεύς. TOUP. ἐκ δ' ἐλέγετο A.V. Dedit Photii editor, Πάμ- H παν δ' ἐτύφωσ', ἐκ δ' ἕλετο φρένας.

ΤΕΤΘΗΝ] Male, pro πευθήν. Vide Hesych. v. Πευθῆνες. KUST.

ΤΕΤΘΙΔΕΣ] Vid. supr. Ἀντίμαχος. REINES.

[d] Ἀριστοφάνης] Acharn. 1150.

[e] Ἀντίμαχον] Ἀντέμαχον A.

[f] Ψακάδα] ψακα A. Mox ἀπλῷ B.E. pro ἁπλῶς.

ἂν ἔτ' ἴδοιμι τευθίδος
δεόμενον· ἡ δ' ὠπτημένη
σίζουσα πάραλος ἐπὶ τραπέζης κειμένη,
[g] ἐκκέλλοι· κᾆτα μέλ-
λοντος λαβεῖν αὐτοῦ, κύων
ἁρπάσας φάγοι.
Τοῦτο μὲν αὐτῷ κακὸν ἕν.

Τετορανία: Ὄνομα τόπου.

Τεῦκρος, [f] ὁ Κυζικηνὸς, ὁ γράψας Περὶ χρυσοφόρου γῆς, Περὶ τοῦ Βυζαντίου, Μιθριδατικῶν πράξεων B βιβλία ε', Περὶ Τύρου ε', Ἀραβικῶν ε', Ἰουδαϊκὴν ἱστορίαν ἐν βιβλίοις ϛ', Ἐφήβων τῶν ἐν Κυζίκῳ ἄσκησιν γ'· καὶ [h] λοιπά.

Τευκτῆρι: Ποιητῇ, κατασκευαστῇ.

Τευκτόν: Χειροποίητον.

Τευμησία: Περὶ τῆς Τευμησίας ἀλώπεκος οἱ τὰ Θηβαϊκὰ [i] γεγραφότες ἱκανῶς ἱστορήκασι, καθάπερ Ἀριστόδημος. C Ἐπιπεμφθῆναι μὲν γὰρ ὑπὸ [k] θεῶν τὸ θηρίον τοῦτο τοῖς Καδμείοις, διότι τῆς βασιλείας ἐξέκλειον τοὺς ἀπὸ Κάδμου γεγονότας. Κέφαλον δέ φασι, τὸν Δηϊόνος, Ἀθηναῖον ὄντα, καὶ κύνα κεκτημένον, ὃν οὐδὲν [l] διέφευγε τῶν θηρίων, (ὃς ἀπέκτεινεν ἄκων τὴν ἑαυτοῦ γυναῖκα [m] Πρόκριν, καθηράντων αὐτὸν τῶν Καδμείων,) διώκειν τὴν [n] ἀλώπεκα μετὰ τοῦ κυνός· [o] καταλαμβανομένους δὲ περὶ τὸν [p] Τευμησὸν, λίθους D γενέσθαι τόν τε κύνα καὶ τὴν ἀλώπεκα. Εἰλήφασι δ' οὗτοι τὸν μῦθον ἐκ τοῦ [q] Ἐπικοῦ Κύκλου.

Τεύχομαι: Γενική.

A Τευτάζειν: Πραγματεύεσθαι, ἢ σκευωρεῖσθαι, ἢ [r] στραγεύεσθαι, καὶ πολὺ διατρίβειν ἐν [s] τῷ αὐτῷ. Λυκόφρων οὕτω, καὶ Δίδυμος, προσθεὶς, ὅτι ἐνίοτε σημαίνει καὶ τὸ φροντίζειν. [t] Ἡρακλέων δὲ καταμεμψάμενος Λυκόφρονα, φησὶν εἶναι τὸ ἐπιστρεφῶς τι [u] πράττειν. Καὶ Ἀρτεμίδωρος, τὸ φροντίζειν. Φρύνιχος Μύσταις·

Μάστιγα δ' ἐν χερσὶν ἔχων, [x] τευτάσθαι.

B Πλάτων Ξάνταις·

[y] Ἦν δὴ θόρυβος τευταζόντων.

Ἀντὶ τοῦ πραγματευομένων, ἢ διατριβόντων. Καὶ [z] ἐν Τιμαίῳ·

Τῷ μὲν οὖν περὶ τὰς ἐπιθυμίας ἢ φιλονεικίας [a] τετακότι.

Οἷον διατετριφότι. Γράφεται καὶ "[b] τευτακότι." Τηλεκλείδης·

Πάντες δὲ τευτάζουσιν οἱ διάκονοι.

C Ἀντὶ τοῦ πραγματεύονται, [c] σκευωροῦνται. Φερεκράτης·

Ὁ δὲ παῖδα καλεῖ, καὶ τευτάζει τούτῳ δεῖπνον παραθεῖναι.

Σημαίνει καὶ τὸ [d] σπουδάζειν, Πολιτείας ζ'· καὶ τὸ ἡσυχάζειν. Καὶ τευτάζων, τὸ αὐτὸ ἀεὶ λέγων, καὶ φλυαρῶν. Τουτέστι, τὸ [e] αὐτὸ λέγων.

Τεύχεα: Ὅπλα, σκεύη.

D [f] Εὑρίσκουσι δὲ ἀμφορέας, καὶ ἄλλα [g] τεύχη κεράμεια κρεῶν μεστὰ τεταριχευμένων.

Τεύχοντες: Κατασκευάζοντες.

Τεῦχος: Ἀγγεῖον.

[g] ἐκέλλαι] ἐκέλλει A. ἐκέλλει E.

ΤΕΥΚΡΟΣ, ὁ Κυζ.] Vide Vossium de Hist. Gr. p. 417. KUST. Τεῦκρος γραμματεὺς Φαλάριδος ἐπὶ τῶν διοικήσεων πάντων τῶν πραγμάτων Tzetz. Chil. V. cent. 31. Athen. X. p. 455. ὁρισμοὺς Teucri citat. Teucri Babylonii antiquissimi historici jacturam deplorat Psellus. REINES. ὁ om. E.

[h] λοιπὰ] τὰ λοιπὰ V. qui Μιθριδατικῶν et Ἀραβικῶν.

ΤΕΥΚΤΟΝ] Τευκτῆρι A.

ΤΕΛΜΙΣΙΑ] Vel literarum series ostendit scribendum esse, Τευμησία. Photius in Lex. ms. habet, Τευμησία: quod proxime accedit ad veram lectionem, quæ est Τευμησσία, per duplex σσ. Vide Stephanum Byzantium v. Τευμησσὸς, et ibi Luc. Holstenium. Historia autem, quam Suidas de vulpe Teumessia hic refert, exstat etiam apud Antonin. Liberal. Metamorph. cap. ult. KUST. Τευμησσία item Reinesius, qui citat Hygin. Astron. sub Arctoph. et Cane: German. ad Arati Phænom. sub Cane: Palæphat. ibique Tollii not. p. 177. et 178. Antonin. Liberal. Metamorph. ad extr. Vid. Muncker. ibi p. 285. Ceterum A. pr. habet Τευμησία, Τελμησία B.V. Tum Τελμησίας A.B.V. Mox ἱκανῶς om. V.

[i] γεγραφότες] γεγραφηκότες Photius.

[k] τῶν θεῶν] τῶν om. A.V.E. Phot. τοῦτο post θηρίον B. V. Phot. Mox διὰ Phot.

[l] διέφυγε] διέφευγε V. Phot. Mox ὃς ἀπέκτ. Phot.

[m] Πρόκνην] Potius, Πρόκριν, ut habet Mich. Apostolius. Sic enim uxorem Cephali appellatam fuisse, Antoninus Liberalis quoque loco laudato, et alii testantur. KUST. Πρόκνον A. Πρόκνην V. Πρόκριν Phot.

[n] ἀλώπεκα] ἀλώπεκα. Τοῦ κυνὸς δὲ καταλαμβανομένου περὶ E.

[o] καταλαμβανομένης] καταλαμβανομένους B.V. Phot.

[p] Τελμισσόν] Lege, Τευμησσόν. KUST. Τελμησὸν A. B.V.

[q] Ἐπικοῦ] ἐπικοῦ A. ἐπικοῦ Photii ms.

ΤΕΥΤΑΖΕΙΝ] καὶ τετευτακότι suprasc. V. Lege Ruhnkenium ad Tim. p. 253. Schol. Platon. p. 42.

[r] στραγεύεσθαι] Hanc lectionem ex ms. A. revocavi. Ante enim mendose legebatur, [sic etiam B.V.E.] στρατεύεται. Confer Nos supra ad v. Ἡ δεῖ χελ. ubi ostendi- E mus τὸ στραγεύομαι (vel, ut quidam scribunt, στραγγεύομαι, per duplex γγ,) pluribus in locis ab imperitis librariis mutatum fuisse in στρατεύομαι. KUST.

[s] τῷ αὐτῷ] Addit V. ἢ φροντίζειν ἢ φλυαρεῖν, reliquis omissis.

[t] Ἡρακλέων] Ἡρωδιανὸς Etymol. ed. Ἡρακλέων ms. Voss.

[u] πράττειν] πράττειν ἢ ἐνεργεῖν Photius, Etymol.

[x] τευτάσθαι] Malim, τευτάσαι, vel τευτάζει. KUST.

[y] Ἦν δὲ] ἦν δὴ A.E. Photius.

[z] ἐν Τιμαίῳ] Pag. 551. sed ubi pro τετευτακότι hodie F legitur, τετηκότι. KUST. ibi ms. optimus τετευτακότι.

[a] τετακότι. Οἷον διατετριφ. γράφεται καὶ τευτ.] Procul dubio scribendum est, τετευτακότι. Οἷον, διατετριφότι. Γράφεται καὶ τετακότι. Lectio enim vulgata instituto Suidæ, qui vocis τευτάζειν gratia locum Platonis adducit, manifeste adversatur. KUST. τετευτακότι Photius. Etymol. sed ms. Dorv. τευτακότι—διατετριβότι.

[b] τευτακότι] τεταυτακότι Photii ed. τετευτακότι ms. et sic Etymol. ms. Dorv.

[c] σκευωροῦνται] Sic recte ms. A. At mss. B. et C. G [et E.] itemque priores editt. male, σκευοφοροῦνται. KUST.

[d] σπουδάζειν] σπουδάζειν Πολιτείας ζ. Photius. Necnon A. B. sic compendiose πτ ζ. Vid. Platon. Rep. VII. p. 521. extr.

[e] αὐτὸ λέγων] καὶ αὐτὸ λέγειν A. τουτέστι, &c. om. Photius.

ΤΕΥΧΕΑ: Καὶ τεύχη] καὶ τεύχη om. A.V. Photius.

[f] Εὑρίσκουσι δὲ] Xenoph. Exped. Cyr. lib. V. (4, 28.) H p. 353. Καὶ δελφίνων τεμάχη ἘΝ ἈΜΦΟΡΕΥΣΙΝ ΕΥΡΙΣΚΕΤΟ ΤΕΤΑΡΙΧΕΥΜΕΝΑ, καὶ στέαρ ἘΝ ΤΕΥΧΕΣΙ τῶν δελφίνων. Ad hunc locum proculdubio respexit Suidas; sed ita tamen ut rem pro libitu et imperio suo administrarit. Quod nostro lexicographo solenne est. TOUP.

[g] τεύχεα] τεύχη A.V. Tum κεράμεια A.

[Τεύχω: Τὸ κατασκευάζω. Γενικῇ. Αἰτιατικῇ δέ. A
[h]Ἔνθα δέ τοι κλυτὰ δώματα τετεύχαται βένθεσι λίμνης.]

Τέφρα: Ἡ κόνις.

Τέφρα: Εἶδος τέττιγος·

[i]Καὶ γὰρ καὶ τέφρα, καὶ μέμβραξ, καὶ [k]ἄλλος δακέττας, καὶ κέρκωψ ἕτερος. Καὶ [l]ἀχέταν τινὰ λέγουσι, καὶ ἀκανθίαν ἕτερον. Ἀκοῇ παρεδεξάμην ταῦτα ἀκούσας. Ὅτῳ δὲ καὶ πλείω τῶν προειρημένων εἰς γνῶσιν ἀφίκετο, λεγέτω ἐκεῖνος.

Τεφρώσας: Ἐμπρήσας, σποδώσας. [m]Καὶ παροιμία· B

Μὴ τὴν τέφραν φεύγων, εἰς ἀνθρακιὰν πέσῃς.

Τεχνάζειν: Τὸ πανούργως τι διαπράττεσθαι.

[n]Τὸ πρᾶγμα κομψὸν, καὶ σφόδρ᾽ ἐκ τοῦ σοῦ τρόπου·
τοῦ γὰρ τεχνάζειν ἡμέτερος ὁ πυραμοῦς.

[o]Εἶδος πλακοῦντος ὁ πυραμοῦς. Οὗτος δὲ ἐτίθετο τοῖς [p]διαπαννυχίζουσιν ἔπαθλον· καὶ ὁ ἐγρηγορὼς ἕως πρωΐας ὡς νικῶν αὐτὸν ἐλάμβανε. Μεταφορικῶς οὖν C αὐτῷ ἐχρήσατο, ὡς νικῶντος [q]αὐτοῦ πανουργίᾳ πάντας.

Τεχνάσμασι: Δόλοις, πανουργίαις.

[r]Τὰς συμφορὰς γὰρ οὐχὶ τοῖς τεχνάσμασι
φέρειν δίκαιον, ἀλλὰ τοῖς παθήμασι.
Καὶ μὴν σύ γ᾽, ὦ καταπύγον, εὐρύπρωκτος εἶ,
οὐ τοῖς λόγοισιν, ἀλλὰ τοῖς παθήμασιν.

[Τέχνη: Ὁ δόλος. Ὅθεν καὶ ἀτεχνῶς, ἀντὶ D τοῦ ἀληθῶς, καὶ ἄνευ δόλου.]

Τεχνηθέντος: Δημιουργηθέντος.

Τέχνην πεποίηται: Ἀντὶ τοῦ, εἰς ἔργον καὶ τέχνην αὐτῷ προκεχώρηκε.

Τεχνητὸν γύναιον: Δυσγενές.

Τεχνιτεία:

Τεχνίτης: Ὁ ἐπιστήμων. [s]Θηλυκῶς δὲ Τεχνῖτις, διὰ τοῦ ἰ.

Τεχνολογῶ:

Τεχνύδριον: [t]Τεχνύδρια λέγεται ὑποκοριστικῶς, ὥσπερ λογύδρια.

Τζορολλός: Πόλις Θρακικὴ, ἡ παρὰ πολλοῖς Τζουρουλλὸς λεγομένη.

Τεικτούς: Χρηστούς. B

Τεῖνον: [u]Καὶ τεινωδιάω, τεινωδιῶ, ῥῆμα. Ἀπὸ τοῦ τείνειν τὴν ᾠδήν.

Τείρεα: Τὰ ἄστρα.

Τειρεσίας: Ὄνομα κύριον. Ὁ μάντις.

Τείρει: Καταπονεῖ.

[x]Μυρία τοι, Πτολεμαῖε, πατὴρ, ἐπὶ μυρία μήτηρ
τειρομένη θαλεροὺς ᾔκισατο πλοκάμους.

Τειριεύς: Ὄνομα κύριον. C

Τείρωνος: Ὄνομα κύριον.

Τειχεσιπλήτης:

Τειχήρεις: Τετειχισμένους.

[y]Τειχήρεις οὖν γενομένους τοὺς πολιορκοῦντας ἀπὸ τῶν περιβόλων ἠμύνοντο.

Ἀντὶ τοῦ, εἴσω τειχῶν.

Τειχίζω: Δοτικῇ.

Τειχιόεις: Ὁ τετειχισμένος. D

[z][Τείχει καθεσθεὶς, εὐτυχὴς πόλεω δόκει.]

Τειχῶν καὶ πόλεως διαστολὴν ἐποιήσατο Θουκυδίδης· καὶ ἔοικε κυριωτέραν τῆς πόλεως τὴν λέξιν ἐπὶ τῶν οἰκιῶν λαμβάνειν.

Τῇ: Ταύτῃ· ἢ δέξαι, λάβε. [a]Ὅμηρος·

---

[h]Ἔνθα δέ τοι] Hæc sunt verba Homeri, Iliad. ν'. 21. Ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης Χρύσεα, μαρμαίροντα τετεύχαται ἄφθιτα αἰεί. Hinc Suidas corrigendus est. TOUP. Deest hæc gl. V. Habet A. in marg. E

ΤΕΦΡΑ: Ἡ κόνις om. V.

[i]Καὶ γὰρ καὶ τέφ.] Locus hic sumptus est ex Æliani lib. X. de Anim. cap. 44. Sed ubi pro τέφρα rectius legitur τέφρας; et λακέτας, pro δακέττας. KUST. Hunc locum ita excerpsit grammaticus, ut multa in oratione mutaverit.

[k]ἄλλος] ἄλλας B.E.M. F

[l]ἠχέταν] ἀχέταν A.V. Mox καὶ ante πλείω A.B.V.E. Delevi statim, Ἠχέτας, καὶ ἀκανθίας, οὐκ εἴδη τεττίγων, ἀλλ᾽ ἐπίθετα τέττιγος. Ἀπὸ τοῦ ἠχεῖν ἐν ἀκάνθαις. Καὶ, ΗΧΕΤΑ ΤΕΤΤΙΞ. Ἡσίοδος, cum A. quæ habet V. in marg. Vid. supra p. 691 A.

[m]Καὶ παροιμία· Μὴ τὴν τ.] Hæc pertinent ad vocem τέφρα, non τεφρώσας. KUST.

[n]Τὸ πρᾶγμα κομψ.] Aristoph. Thesmoph. 99.

[o]Εἶδος δὲ πλακ.] Confer Nostrum supra v. Πυραμοῦς, et infra v. Τήνελλα. KUST. δὲ om. A.V. G

[p]διαπαννυχίζουσιν] παννυχίζουσιν A. Mox ἐγρηγορῶν A. Tum οὖν om. A.

[q]αὐτοῦ] αὐτῷ V. Mox πάντα M.

[r]Τὰς συμφορὰς γὰρ οὐχὶ τ.] Aristoph. Thesmoph. 205. sed ubi pro τεχνάσμασι, cujus vocis gratia locum hunc adduxit Suidas, hodie male legitur στενάσμασι. KUST.

ΤΕΧΝΗ] Deest gl. A.V. Vid. p. 636 B.

ΤΕΧΝΗΝ ΠΕΠΟΙΗΤΑΙ] Aristoph. Eq. 63.

ΤΕΧΝΗΤΟΝ ΓΥΝΑΙΟΝ: Δυσγ.] Theophylactus Epist. H 43. Τεχνητὸν γύναιον, τὸ δυσγενὲς ἡμιάνδριον. Hinc Suidas emendandus et supplendus est. KUST.

[s]ΤΕΧΝΙΤΙΣ δὲ θηλυκῶς] θηλυκῶς δὲ Τεχνῖτις A. Mox delevi Καὶ τὸ πληθυντικὸν, αἱ τεχνίτιδες, cum A.V.

[t]ΤΕΧΝΥΔΡΙΑ] Vid. Ψαστία. TOUP. In capite gl. Τεχνύδριον A.

ΤΖΟΡΟΛΛΟΣ] Ex A.B.V.E. Τζορολλὸς et τζουρουλλὸς V. Τζολορὸ E. qui in fine addit ἐλέγετο καὶ τζολορόη. Vid. Joan. Curopalat. Hist. p. 816. ed. Paris. E

ΤΕΙΚΤΟΥΣ] Scribe τερκτοὺς, ut habet Hesych. KUST.

[u]καὶ ΤΕΙΝΩΔΙΑΩ etc. habet A. in marg.

ΤΕΙΡΕΑ] Il. σ'. 485.

ΤΕΙΡΕΣΙΑΣ] Ἀπὸ τοῦ ἐρεῖν, ὅ ἐστιν ἀγγέλλειν ποτὲ τὰ μέλλοντα Eustath. ad Il. 18. [Od. κ'. p. 1665=407, 22. Ὅτι Θηβαῖος ὁ Τειρεσίας, καὶ ὡς παρὰ τὸ εἴρειν ἐτυμολογεῖται, ἢ παρὰ τὰ τείρεα ὅ ἐστιν ἄστρα, καὶ ὡς τυφλὸς ἦν, λέγουσιν οἱ παλαιοί.] F Thebanus, filius Εὐήρους καὶ Χαρικλοῦς νύμφης Apollod. III. 6. Hygin. fab. 169. *Eurii filium* vocat *augurem* fab. 75. *Eurimi*, corrupte. Lutat. ad 2. Stat. Theb. *Tiresias Pericli filius, genere Thebanus.* Leg. *Eueri et Chariclus:* inde dictus est Εὐηρείδης Callim. Pall. v. 81. ubi Schol. Εὐήρους υἱὸς ὁ Τειρεσίας. Theocr. Id. XXIV. 70. Μάντι Εὐηρείδα. REINES. Mox Ὁ μάντις om. A.

[x]Μυρία τοι] Anthol. Pal. VII. 241. μυρία τείρει μητρὶ μασταῖς. M.

ΤΕΙΧΕΣΙΠΛΗΤΗΣ] Homer. Il. ε'. 31. KUST. Addit G V. τέρων δὲ ὁ πεζός.

[y]τειχήρεις] τειχήρης E.M. Mox γενόμενος A.E.M. Infra περιβόλων A. Post τειχιόεις delevi ΤΕΙΧΟΣ ΜΑΚΡΟΝ: Ὅτι Ἀναστάσιος ὁ βασιλεὺς κτίζει τὸ μακρὸν τεῖχος πρὸ ξ' μιλίων τῆς πόλεως, διατείνας (διατεῖνον A.) ἐκ τῆς κατὰ ἄρκτον θαλάσσης εἰς μεσημβρίαν· μῆκος μὲν μιλίων ν'. εὖρος δὲ, ποδῶν η'. (π A.) cum V. quæ repetita sunt ex p. 316 D. Habet ea A. tantum in marg.

[z]Τείχει καθεσθεὶς, εὐτ.] Est versus ad somniorum interpretationem pertinens, qui legitur etiam apud Astrampsychum. KUST. Deest A. H

ΤΕΙΧΩΝ καὶ πόλεως] Ex Schol. Thucyd. I. 89.

ΤΗΙ: Ταύτῃ. Ἢ δ.] Quæ Suidas hic de particula τῇ notat, fere omnia etiam leguntur apud Schol. Aristoph. Acharn. 203. KUST.

[a]Ὅμηρος] Odyss. ι'. 347. KUST.

Κύκλωψ, τῆ, πίε οἶνον, [[b] ἐπεὶ φάγες ἀνδρόμεα κρέα.] A

Καὶ πάλιν·

Τῆ νῦν τοῦτον ἱμάντα.

Ἐχρήσατο δὲ καὶ τῷ [c] πληθυντικῷ ὁ Σώφρων, εἰπών·

[d] Τῆ τέ τοι κορῶναι εἰσίν.

Ἔστι δὲ καὶ τοπικὸν ἐπίρρημα.

[e] Τῆδε πᾶς ἴτου.

Καὶ ἔστιν ἐν ἴσῳ τῷ ἐνταῦθα. Καὶ [f] Ὅμηρος·

B Τῆ ἴμεν, ᾗ κεν δὴ σύ, κελαινεφὲς, ἡγεμονεύῃς.

Τήβεννα: Πόλις.

Τήβεννος, στολὴ Ῥωμαϊκή.

[g] Ταραντῖνοι || Ποστουμίου τὴν τήβεννον λύμασιν [h] ἀνθρώπων ἐμόλυναν.

[i] Τηβεννὶς Ῥωμαϊκὴ ἐσθής, ἀπὸ [j] Τηβένου Ἀρκάδος, ὃς πρῶτος ταύτην τὴν [k] χλαμύδα περιεβάλλετο, εἰσπλεύσας κατὰ τὸν Ἰόνιον κόλπον, καὶ ὑποδεχθεὶς ὑπὸ τῶν ταύτῃ κατοικούντων. Ἀφ' οὗ μαθόντες οἱ ἐγχώριοι, τὸν αὐτὸν ἐνεσκευάζοντο τρόπον, καὶ ἐκάλουν C τὴν ἐσθῆτα [l] τηβέννειον, ἐπώνυμον τοῦ εὑρόντος. Ὕστερον δὲ, [m] παραφθαρὲν τὸ ὄνομα τήβεννος ἐκλήθη.

Τήγανον: [Καὶ [n] τηγανίζω.]

Τῇδε: Ταῦτα· ἢ ἐνταῦθα, ἢ ὧδε, ἢ ἐνθάδε.

Τῇδ' ἔνι: [o] Ἐν ταύτῃ δέ ἐστιν.

Τηθαλλαδοῦς: Γυναικοτρόφους, ὑπὸ τήθῃ τεθραμμένους.

D Τήθεα: Ὄστρεα. Ἰστέον ὅτι καὶ τούτοις ἐχρῶντο οἱ παλαιοί· καίτοι τῆς τούτων ἐδωδῆς οὐ πολὺ ἐχούσης τὸ ἡδὺ καὶ ὠφέλιμον.

A Τηθέλλας: Τοὺς μαμμοθρέπτους.

Τήθη: Μάμμη. Ἡ πατρὸς ἢ μητρὸς μήτηρ. Ἡ κλητική, [p] ὦ τήθα. Τηθὶς δὲ, θεία. [q] Ἀριστοφάνης·

Ἀλλ' ὦ τηθῶν ἀνδρειοτάτη, καὶ μητριδίων [r] ἀκαλήφων,
χωρεῖτ' ὀργῇ, [s] καὶ μὴ τέγγεσθ'· ἔτι γὰρ νῦν οὔρια θεῖτε.

[t] Τήθας ἐκάλουν τὰς μάμμας. Καὶ τηθίδας, τὰς θείας, τὰς πατρὸς [u] ἢ μητρὸς ἀδελφάς. Τήθας δὲ, B καὶ τὰς τροφούς. Εἰσὶ δὲ καὶ [x] ὄστρεα θαλάσσια. [y] Ὅμηρος·

Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε τήθεα διφῶν.

Ἀκαλήφας δὲ λέγουσιν [z] οἱ μὲν καὶ τὰς θαλασσίας. Λέγουσι δὲ καὶ τὰς κνίδας Ἀττικοί. Καὶ κνίδη μὲν, ἐς ὅσον ἂν ἁπαλή ἐστι· ἐπὰν δὲ [a] σχῇ τὰς μητέρας, τουτέστι, τὰς τοῦ σπέρματος σφαίρας, ἀκαλήφη λέγεται. Ἀκαλήφας οὖν τὰς γραίας C [b] ἐκάλεσαν, ἐπειδὴ στερραὶ ἦσαν καὶ γενναῖαι. Καὶ γὰρ τὸ φυτάριον δάκνει. Ἐπεὶ οὖν εἶπε τηθῶν, εἶπε μητριδίων· [c] τουτέστι, τῶν ἐχουσῶν τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης. Δάκνουσι δὲ αὗται. Τοιαῦται || καὶ αἱ γραῖαι. Μητριδίας || [d] ἐκάλεσε, τὰς ἐχούσας τὸ σπέρμα.

Τηθίς: Θεία. Πατρὸς, ἢ μητρὸς ἀδελφή.

Τηθύς: Ἡ θάλασσα.

D [e] Οὐδὲ σύ γ', ἀφρηστά, Νηρηΐδας, ὡς πρίν, ἀείρων
νώτοις πορθμεύσεις Τηθύος εἰς πέρατα.

[b] ἐπεὶ—κρέα om. A.V. Supra λάβε om. E.

[c] πληθυντικῶς] τῷ πλ. V. τῷ πληθυντικῷ Schol.

[d] τῇ τέ τοι] Puto legendum, Τῆτε· τῷ κορώνῃ εἰσίν. ut ad coronistas sive τοὺς ἀγείροντας τῇ κορώνῃ pertineat. HEMST.

[e] τῇ πᾶς] τῇδε πᾶς V. Aristoph. Ach. 203.

E [f] Ὅμηρος] Il. ε'. 46. KUST. τῇ ἴδμεν καὶ Ὅμηρος V.

THBENNA] An pro Ῥάβεννα? q. v. HEMST.

Καὶ THBENNOΣ] καὶ om. A. qui Τήβεννος. Τήβεννα E. et mox τήβενναν.

[g] Ταραντῖνοι || Ποστ.] Fragmentum hoc ampliari potest ex ipso Suida supra, v. Λύματα. KUST. ταράντ° A. ταράντιοι E.M.

[h] ἀνθρώπων] ἀνθρώπων A. ἄνθρωποι B.V.E.M.

[i] Ὠνομάσθη || ἀπὸ Τηβένου Ἀρκ.] Hæc, et quæ sequuntur F usque ad finem articuli, sunt verba Artemidori lib. II. c. 3. ut jamdudum ante monuit Salmasius ad Tertull. de Pall. p. 69. (122.) quem consule. KUST.

ib. Ὠνομάσθη δὲ] Τήβεννος: Ῥωμαϊκὴ ἐσθὴς A.V.

[j] Τηβένου] Artemidorus loco laudato, Τημένου. Sed scribendum est, Τημενοῦ: ut et Salmasius monuit. KUST.

[k] χλαμύδα] χλανίδα A.B.V. et E. suprasc. Mox ἀνέδειξεν E. pro περιεβάλλετο· περιεβάλετο A.V. γὰρ post εἰσπλεύσας A.B.V.

G [l] τηβέννειον] Artemidorus, Τημένιον. Sed vera lectio est Τημένειον. KUST.

[m] παραφθαρέντος τοῦ ὀνόματος] παραφθαρὲν τὸ ὄνομα A.V. Artemidor.

[n] THΓANIZΩ] Vid. Καλλίρα. TOUP. καὶ τηγανίζω om. A.B.V.

THIΔE] Τῇδε: ταῦτα ἢ A.B.V. Photius. Τῇδε: ταύτῃ ἢ Lex. Seg. Vid. Proclus ad Hesiodi Ἔργ. 631.

[o] Ἐνταῦθα] ἐν ταύτῃ || A.B. Photius, Lex. Seg. Hinc usque ad ὄστρεα om. E.

H THΘAΛΛAΔOYΣ] Eadem habet Etymologus: nisi quod apud eum scriptum sit τηθαλλοδοῦς, per ο in syllaba penultima. Photius in Lex. ms. Τηθαλλαδοῦς. Ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσιν. Confer etiam Hesychium, et Eustathium. KUST. Photius: Τηθαλλαδοῦς: γυναικοτρόφος, ὑπὸ τίτθῃ τεθραμμένος.—Τηθαλλαδοῦς: ὃν etc. Τηθαλλαδοῖς Etymol. ms. Dorvill. Eustath. Il. ξ'. p. 971 = 957. Τηθαλλαδοῦς ὃν οἱ πολλοὶ μαμμόθρεπτον λέγουσιν, qui infra citat ex incerto comico versiculum, Ὀκνεῖς λαλεῖν; οὕτω σφόδρ' εἶ τηθαλλαδοῦς; Vid. Lobeck. ad Phrynich. p. 299.

E THΘEA: Ὄστρεα. Ἰστέον] Descripsit hæc verba Suidas ex Scholiis antiquis ad Homer. Iliad. π'. 747. Quod ex Eustathio ad locum patet. TOUP. Similia Bergler. ad Alciphr. III. 49.

THΘEΛΛAΣ] Sic mss. Paris. At priores editt. male, τηθέας. Schol. Aristoph. Acharn. 49. Τήθας ἐκάλουν τὰς μάμμας· καὶ τηθελλάς, τὰς μαμμοθρέπτους. Sic etiam apud Suidam scribendum est. KUST.

THΘH] Τίτθη E. Vid. Ruhnken. ad Tim. p. 256.

F [p] ὦ τήθα] τῆθα A. ὦ om. V. Tum τηθὶς non τιθὶς A. B.V.

[q] Ἀριστοφάνης] Lysistr. 549. sed ubi legitur ἀνδρειοτάτων. At ego potius scripserim ἀνδρειότατα. Ceterum, versus hic citatur etiam ab Athen. lib. III. p. 90. ubi itidem legitur ἀνδρειοτάτη; ut hic apud Suidam. KUST.

[r] ἀκαλήφων] Scribe ἀκαληφῶν. KUST. ἀκαλήφων A.V. ἀκαλήφιων B. ἀκαλίφων M.

[s] καὶ μὴ] καὶ om. A.E.

G [t] THΘAΣ ἐκάλουν τὰς μάμμας. Καὶ τηθ.] Hæc, et quæ sequuntur usque ad finem articuli, totidem verbis leguntur etiam apud Scholiast. Aristoph. Lysistrat. 549. a quo Suidas ea mutuatus esse videtur. KUST.

[u] ἢ μητρὸς ἀδελφάς] ἀδελφὰς ἢ μητρὸς A.

[x] ὄστρεα] ὄστρεια Schol. Tum θαλάττια A. In versu mox πολλοῖς et διφῶν A.

[y] Ὅμηρος] Il. π'. 747. KUST.

[z] οἱ μὲν] οἱ μὲν καὶ A.B. μὲν καὶ Schol. Mox ἐς et ἂν om. Schol. Ἀττικοὶ καὶ κνίδη om. M.

[a] σχῇ] ἔχῃ Schol. et mox τὰ σπέρματα, τὰς σφαίρας.

H [b] ἐκάλεσαν] ἐκάλεσεν Schol.

[c] τουτέστι τῶν] μητριδίας || λέγουσι τὰς ἐχούσας τὸ σπέρμα τῆς βοτάνης τῆς ἀκαλήφης· δάκνουσι δέ· αὗται γὰρ ἦσαν καὶ αἱ γραῖαι δριμεῖαι. Schol.

[d] ἐκάλεσε] ἐκάλουν V.

[e] Οὐδὲ σύ γ', ἀφρ.] Anthol. Pal. VII. 214.

Τηθύς: Ἡ γῆ. Παρὰ τὸ τιθήνην εἶναι καὶ τροφός. Ὅμηρος· A

Ὠκεανόν τε [f] θεῶν γένεσιν, καὶ μητέρα Τηθύν.

Τουτέστιν, ὑγρὰν οὐσίαν, καὶ ξηράν.

Τηΐται:

Τηκεδόνι: Τῇ [g] φθίσει.

[h] Καὶ νοσεῖ νόσῳ μακρᾷ, καὶ τηκεδὼν αὐτὴν [i] διεδέξατο· καὶ ὅσα ἐτόλμησε βοῶν καὶ λέγων, καὶ [k] ὅσα ἐστὶν ἀνθρώπων ἀσεβεστάτων ἐκτραγῳδῶν καὶ εὐχόμενος, τὴν ἐπίρρητόν τε καὶ κατάρατον ψυχὴν ἀπερρῆξαι. B

Τήκω: Αἰτιατικῇ. Καὶ τῆξαι. [Τὸ καταμικρὸν ἀναλίσκω.]

Τηκτά: Οἷον κηρὸς, καὶ πίττα.

[l] Τηκτά τε ὅσα καὶ χυτὰ ἐς [m] πολεμίους σὺν πυρὶ ἐξ ὑπερδεξίων ἐβάλλοντο· τά τε ἄλλα, καὶ τὴν σιδηρῖτιν γῆν, ἣν πυρὶ πολλῷ διαφανῆ ἐργασάμενοι, κατὰ τῶν ἐπιόντων τὸ τεῖχος [n] ἔχειν ἔμελλον.

Τηλαυγές: Λίαν λαμπρόν.

Τηλαύγης, Σάμιος, Πυθαγόρου τοῦ πάνυ υἱὸς, καὶ μαθητὴς, φιλόσοφος, διδάσκαλος Ἐμπεδοκλέους. Ἔγραψε περὶ τῆς Τετρακτύος βιβλία δ'.

Τηλαύγημα: Ἀρχὴ λέπρας ἐν τῇ τοῦ σώματος ἐπιφανείᾳ.

Τῆλε καὶ [o] τηλοῦ: Πόρρω.

Τηλεβόας: Ἐθνικόν.

Τηλέγονος: Ὄνομα κύριον. [p] Ὃς πρῶτος ἐφεῦρε τὴν οἰωνιστικήν· ὅτι [q] οἷον, εἰ ἐν τῇ στέγῃ ἐφάνη γαλῆ, ἢ καὶ ὄφις, τόδε σημαίνει.

Τηλεδαπός: Μακρὰν ἀφεστηκώς.

Τηλεθάοντα: Πάνυ λάμποντα.

Τηλεκλείδης, Ἀθηναῖος, κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστιν, [r] Ἀμφικτύονες, καὶ Πρυτάνεις, καὶ Στερροί· ὡς Ἀθήναιος λέγει ἐν τοῖς Δειπνοσοφισταῖς. B

Τηλεκλειτοί: Ἄγαν ἔνδοξοι.

Τηλέπορον: [s] Ἀριστοφάνης·

Τηλέπορόν τι [t] βόημα.

Οἷον, ὀρθόν τι, καὶ ὑψηλόν. Ἔστι δὲ ἀρχὴ ᾄσματος· ὥσπερ [u] καὶ τὸ,

C [Παλλάδα] περσέπολιν Ἀθάναν.

Τηλεσκόπῳ ὄμματι: Τῷ πάντα ἐφορῶντι.

Τηλεφάνης: Αὐλητής. Τηλεφανὴς δὲ, μακρόθεν [x] φαινομένη.

Τηλεφανεῖς: Ἀφ' ὧν ἐστιν ἰδεῖν τὰ πόρρω. Τοῖς γὰρ εἰς ὕψος οὖσι καὶ τὰ μακρὰ καταφανῆ γίνεται.

ΤΗΘΥΣ: Ἡ γῆ. Παρὰ τ.] Ex Scholiasta Homeri ad Il. ξ'. 201. KUST. D

[f] θεῶν] θεῶν om. A. ὠκεανός τιθήνει γ. E.

[g] φθίσει] τῇ φθίσει A.V.

[h] Καὶ νοσεῖ] Æliani. HEMST. VALCK. Repetuntur hæc verba infra, v. Φρίκη, ubi legitur, καὶ νοσεῖ νόσῳ μακροτάτῃ. Sed neutra lectio vera est. Scribendum, καὶ νοσεῖ νόσον μακροτάτην. Quemadmodum recte legitur supra, v. Ἱεροφάντης. Ceterum, quod nemo vidit, hinc facile suppleri poterit luculentissimum fragmentum Æliani, cujus particulas nobis conservavit Suidas, v. Εὐνοῦχος, et v. Μέγαρον. Locum integrum, quia elegantissimus est, hic consarcinatum atque emendatum adscribam. Est autem ex Æliani libris *de Providentia*, quos passim laudat noster lexicographus. Ἀνήρ τις ἦν (εἰ δοίημεν αὐτὸν ἄνδρα εἶναι) διὰ τῶν Ἐπικούρου λόγων τὴν ψυχὴν ἐκνευρισθεὶς, καὶ θῆλυς γενόμενος, ὁ χλεύης τε καὶ γέλως, ὥσπερ ἐπιλαθόμενος, καὶ ὡς οὐ μέλλει τῶν ἀνθρωπείων τῷ θεῷ δεῖξαι φλεγόμενος, ὤθησεν ἑαυτὸν εἰς τὸ μέγαρον φέρων, ἔνθα δήπου τῷ ἱεροφάντῃ μόνῳ παρελθεῖν θεμιτὸν ἦν κατὰ τὸν τῆς τελετῆς νόμον, ἐκείνῳ δὲ οὐκ ἐξῆν. Ἐπεὶ δὲ ἐτολμήθη οἱ τὸ μέγα τόλμημα, φρίκη τις αὐτὸν περιέρχεται, ΚΑΙ ΝΟΣΕΙ ΝΟΣΟΝ ΜΑΚΡΟΤΑΤΗΝ, καὶ τηκεδὼν αὐτὴν διεδέξατο. Καὶ ὅσα ἐτόλμησε βοῶν καὶ λέγων, καὶ ὅσα ἐστὶν ἀνθρώπων ἀσεβεστάτων ἐκτραγῳδῶν καὶ εὐχόμενος, τὴν ἐπίρρητόν τε καὶ κατάρατον ψυχὴν ἈΠΕΡΡΗΞΕ. Ita legendus et distinguendus est iste locus, cujus sensus vel sine interprete satis manifestus est. Haud dissimiliter Ælian. in Var. Hist. XIII. 2. Καὶ στρεβλούμενος ὡμολόγησεν ὅσα ἐν τῷ ἀνακτόρῳ ἔδρασεν, ἐν αὐταῖς δὲ ταῖς κολάσεσι ΤΗΝ ΨΥΧΗΝ ἈΠΕΡΡΗΞΕΝ. TOUP. νοσεῖν V. νοσεῖν καὶ A. TOUP. E F G

[i] διεδέξατο] διετάξατο V.

[k] ὅσα] ὡς V.E.M.

ΤΗΚΩ] ὁ ἐνεστὼς addunt A.V. Tum τὸ κατὰ μικρὸν ἀναλίσκω om. A.B.V.

[l] Τηκτά τε ὅσα καὶ χυτ.] Hæc, ni fallor, leguntur apud Josephum in libris de Bello Jud. KUST.

[m] πολεμίους] πολέμια B. πολεμίαν E.

[n] ἔχειν] Scribendum esse ἐκχεῖν, sensus manifesto suadet. KUST. Kusterus legendum censet, ἐκχεῖν ἔμελλον, quod verum esse puto. Poteris etiam scribere χέειν ἔμελλον. Idem κατὰ τῶν ὑπιόντων χέειν, et καταχέειν τῶν ἐπιόντων. Ceterum hoc fragmentum Josepho adsignat Kusterus: in quo aut verus aut falsus est. Sed structura, quod non vidit, labascit. Scribendum omnino: καὶ τὴν σιδηρῖτιν γῆν περὶ πολλῷ διαφανῆ ἐργασάμενοι, H κατὰ τῶν ἐπιόντων τὸ τεῖχος ἐκχεῖν ἔμελλον. Quæ Græcissima et integerrima lectio. TOUP.

ΤΗΛΑΥΓΕΣ] Τηλαυγὴς et mox λαμπρός A. Statim delevi πόρρωθεν φαῖνον, cum A.V. et Photio.

ΤΗΛΑΥΓΗΣ] Vid. supr. Θεανὼ Κρῆσσα. Athen. V. p. 220. Αἰσχίνης ἐν τῷ Τηλαύγει. Videtur hic ipse Pythagoræ filius esse. REINES. Delevi κλίνεται εἰς ους cum A. Τηλαυγής ᾶ V.

ΤΗΛΑΥΓΗΜΑ: Ἀρχὴ λ.] Locus, ad quem Suidas respexit, exstat Levit. XIII. 23. KUST.

[o] ΤΗΛΟΥ] Τηλῆ V.

ΤΗΛΕΒΙΑΣ] Τηλεβίας A.B.V.E. Tum delevi Καὶ ὄνομα ποταμοῦ, cum A.B.V.

[p] Ὃς πρῶτος ἐφ.] Vide v. Οἰωνιστική. KUST. Sueton. Claud. 40. *Quid? Thelegonius tibi videor?* Scalig. Ep. ad Casaub. I. ep. 37. "Placuit diu Thelegynnis: sed "videtur Thelegonius nomen hominis illo seculo notæ "fatuitatis, neque dubito verum esse, quamquam for"tassis variari potuit in nomine." REINES.

[q] οἷον] ὅτι οἷον A.V. qui καὶ inserunt ante ὄφις, et τι om. post τόδε.

[r] Ἀμφικτ. καὶ Πρ. καὶ Στ.] Plures Teleclides scripserat fabulas, quarum catalogum vide apud Meursium in Bibliotheca Attica. KUST. Ab Athenæo III. p. 87. laudatur Τηλεκλείδης ἐν Ἡσιόδοις. An leg. in Heniochis? Teleclidis de Nicia carmen citat Plutarch. in ejus vita c. 4. REINES.

ΤΗΛΕΚΛΥΤΟΙ] Τηλεκλειτοὶ A.B. Photii ed. Τηλεκλητοὶ Photii ms. Τηλεκλητοί: ἄγαν ἔνδοξοι· ἢ οἱ πόρρωθεν κεκλημένοι Lex. Seg. Vid. Il. ζ. 111. et al.

[s] Ἀριστοφάνης] Nub. 964.

[t] βόημα] βόαμα E. Mox ὀρθόν τε B.E. Tum οἷον E. pro ἔστι δέ.

[u] καὶ τὸ] καὶ om. A. Mox Παλλάδα om. A.V. Tum περσέπολιν A. non περσέπτολιν.

ΤΗΛΕΣΚΟΠΩΙ ὈΜΜΑΤΙ] Aristoph. Nub. 289.—Ἐπιδώμεθα Τηλεσκόπῳ ὄμματι γαῖαν. KUST.

ΤΗΛΕΦΑΝΗΣ] Epitaphium hujus Telephanis exstat Anthol. lib. II. cap. 8. Vide etiam Paul. Leop. Emendat. lib. XII. cap. 9. KUST. Telephanes Samius. Ejus sepulcrum a Cleopatra Philippi, Amyntæ filii, uxore exstructum, Pausan. Attic. c. 44. REINES.

[x] φαινόμενος] φαινομένη A.V. Photius, Hesych. μήκοθεν φαινομένη Schol. Sophocl. Philoct. 189.

ΤΗΛΕΦΑΝΕΙΣ: Ἀφ' ὧν ἐστ.] Ex Schol. Aristoph. Nub. 280. KUST.

ὄλισθον ἐμποιεῖ τοῖς ποσὶ τῶν ἀνθρώπων ἐπισφαλῆ· [s]ὅπερ Ἰώσηπος πρὸς τὴν πολιορκίαν ἐμηχανήσατο.

Τηλόθι καὶ τηλόσε: Πόῤῥω, μακράν.

Τηλοπέτευς: Τῆς πόῤῥω πετομένης. Ἐν Ἐπιγράμμασι·

> [t]Ἀμβροσίων ἔαρος κηρῶν μέλι πολλὸν ἀμέλξας,
> δῶρον [u]ἀποιμάντου τηλοπέτευς ἀγέλης.

Τηλωπός: Ἔκδημος. [x]Σοφοκλῆς·

> κεἰ τὰ νῦν
> τηλωπὸς οἰχνεῖ, δυσμενῶν θήραν ἔχων.

Τηλύγετος: Μονογενής. Καὶ τηλύγετον, μονογενῆ. Ὅμηρος·

> Ὅς μοι τηλύγετος τρέφεται [[y]θαλίῃ ἐνὶ πολλῇ.]

Ὁ προήκουσι τοῖς γονεῦσι γενόμενος, μεθ' ὃν οὐκέτι [z]γεννήσεται [ἕτερος,] λέγεται τηλύγετος. Καταχρᾶται δὲ ἐνίοτε καὶ ἐπὶ τοῦ ἀγαπητοῦ, διὰ τὸ τοὺς ὀψίμους γεννηθέντας ἀγαπᾶσθαι.

Τημελές: Ἐπιμελές. Καὶ Τημελής: Ἐπιμελὴς, σπουδαῖος.

Τημελήσαντες: [a]Θλίψαντες.

Τημελῆσαι: [b]Ἐπιμελῆσαι, φροντίσαι.

Τημελούμενον: Ἐπιμελούμενον, φιλοκαλούμενον.

Τῇ μέν: Ὅπου μέν. Ἤ, ἐν μέρει.

Τημένος: Ὄνομα κύριον.

Τήμερος: Ὁ σημερινός. Καὶ ἔστι τεταγμένον ἐπὶ σώματος. Τὸ δὲ τήμερον ἐπὶ χρόνου λέγεται. Καὶ ἐν Εἰρήνῃ·

> [c]Ἰὼ Λακεδαῖμον, τί ἄρα [d]ποιήσεις τήμερα;

Ἀντὶ τοῦ σημερινή.

Τημοῦχος: Οὕτως καλοῦσι τοὺς ἄρχοντας [e]Μεσσήνης.

> [f]Τοῦ γε μὴν Τημούχου καθῆραι πᾶσαν τὴν πόλιν, οἷα δὴ λυμάτων τινῶν καὶ καθαρμάτων ἀπηλλαγμένην.

Τῆνα: Ἐκείνη. [g]Θεόκριτος·

> Ἀδύ τι τὸ ψιθύρισμα, καὶ ἁ πίτυς, αἰπόλε, τήνα.

Τὴν Ἀκεσαίου σελήνην: Παροιμία. Λέγεται δὲ ἐπὶ τῶν διαμενόντων καὶ βραδυνόντων. Ἦν δὲ Νειλέω [h]κυβερνήτης ὁ Ἀκεσαῖος.

Τηνάλλως: Μάτην. Καὶ, οὐ τηνάλλως, μετὰ τῆς ἀποφάσεως λέγεται. Ὁ δὲ Φιλήμων Νυκτί·

> Τὸ κανοῦν δ' ὁ παῖς περίεισι τηνάλλως ἔχων.

Ἔστι καὶ παρὰ τοῖς περὶ Δημοσθένην· καὶ ἐν [i]Θεαιτήτῳ Πλάτωνος.

> Ὡς δὲ λόγους τηνάλλως ταῦτα ἤκουσαν ὄντα, χωροῦσιν ἐς σύμβασιν πρὸς Ζήνωνα πάλιν.

Τὴν αὐτὴν ταύτην [k]ἀναχορεύσομεν ὄρχησιν: Ἀντὶ τοῦ, ἐπὶ τὴν αὐτὴν πρᾶξιν ἐπανέλθωμεν. Τοῦτο εἴρηκε [l]Μάρκος πρὸς Ζήνωνα τὸν βασιλέα.

> Τὴν αὐτὴν ταύτην καὶ [m]δεύτερον ἀναχορεύσομεν ὄρχησιν.

Τὴν γῆν ὅταν νομίσωσι τὴν τῶν [n]πολεμίων εἶναι σφετέραν· τὴν δὲ σφετέραν, τῶν πολεμίων· πόρον δὲ, τὰς ναῦς· ἀπορίαν δὲ, τὸν πόρον: [o]Εἴρηται τοῦτο κατὰ τὴν Περικλέους γνώμην, ὃς ἐκέλευσεν Ἀθηναίοις, [p]ἐμβαλλόντων μὲν Λακεδαιμονίων ἐς τὴν Ἀττικὴν, μὴ ἐπεξιέναι, ἀλλ' ἔσω τείχους μένειν· αὐτοὺς δὲ διὰ τῶν πλοίων ἐπιέναι τῇ Λακωνικῇ. [q]Τὸν οὖν κατὰ γῆν πόρον ἀπορίαν ἡγεῖσθαι· τὸν δὲ διὰ θαλάσσης, [r]τοῦτον ἡγεῖσθαι πόρον. Ἢ οὕτως· Ἕνα πόρον ἡγεῖσθαι χρημάτων, τὸ ναῦς

---

om. Photius. Post κοσκίνῳ inserit V.: Ἀριστοφάνης· διὰ δακτυλίου μὲν οὖν ἐμέ γ' ἂν διελκύσαις. Ἐπὶ τῶν πάνυ λεπτῶν. Ὁ δὲ ἀντείρηκεν, εἰ τυγχάνοι δακτύλιος ὢν τηλία.

[s] ὅπερ Ἰώσηπος πρὸς τὴν πολιορκ.] Locus Josephi, ad quem Suidas respexit, exstat lib. III. de Bell. Jud. c. 19. p. 847. ubi verba Historici hæc sunt: Οἱ δὲ Ἰουδαῖοι δόλῳ δευτέρῳ τὰς προσβάσεις αὐτῶν ἐπέσφαλλον, τῆλιν ἑφθὴν ὑποχέοντες ταῖς σανίσιν, αἷς ἐπολισθαίνοντες, ὑπεσύροντο, &c. KUST. III. 7, 29.

ΤΗΛΟΠΕΤΟΥΣ] Τηλοπέτευς A.B. Τηλοπέτεος V. τηλοπεταῖς E. Tum ταῖς π. πετομέναις E.

[t] Ἀμβροσίων ἔαρος κ.] Anthol. Pal. VI. 239.

[u] ἀφ' ἱμάντου] ἀπὸ ἱμάν' A. ἀπὸ ἱμάντου C.E. et ni fallor V. ἀποιμάντου Anthol.

[x] Σοφοκλῆς] Aj. 563. κ'εἰ A.V. non εἰ. καὶ νῦν M.

ΤΗΛΥΓΕΤΟΣ] Præter alios Grammaticos vide etiam Schol. Homeri ad Il. ί. 143. et Schol. Apoll. Rhod. ad lib. I. 99. 149. et 719. KUST. Τηλυγέτης A. Photius, Lex. Seg.

[y] θαλίῃ ἐνὶ πολλῇ om. A.V.E.M.

[z] γεννήσεται] γενήσεται V. Tum ἕτερος om. A.B.V.

[a] Ἐπιμεληθέντες] θλίψαντες A. Photius, Lex. Seg. Hesychius, Τημελῆσαι: θλίψαι. ubi vid. Albert.

[b] Ἐπιμελήσασθαι] ἐπιμελῆσαι A.B.V. Photius, Lex. Seg. Deest v. E. Schol. Platon. p. 244. Τημελεῖν: ἐπιμελεῖσθαι.

ΤΗΜΕΝΟΣ] Potius Τημενός. Vide Nos supra ad v. Τέβεννα. KUST. Conditor Argus in Peloponneso Strab. VIII. ad extr. ex Ephoro. REINES.

ΤΗΜΕΡΟΣ: Ὁ σημ.] Ex Schol. Aristoph. Nub. 699. KUST.

[c] Ἰὼ Λακεδ.] Versus hic non est sumptus ex Aristophanis Pace, sed ex ejus Holcadibus, ut docet Scholiasta Aristoph. loco laudato. KUST. Λακεδαῖμον V.E. pro Λακεδαίμων.

[d] ποιήσεις] Scribe πείσεις, a πάσχω: ut apud Enarratorem Comici. KUST.

ΤΗΜΟΥΧΟΣ] Scribe Τιμοῦχος, per ι, et suo loco pone. KUST. Sic etiam Reinesius, citans Strabon. IV. p. 179. Sic et Portus.

[e] Μεσσήνης] Leg. Μασσιλίας: nam Massilienses Τιμούχους nominant auctore Strab. l. l. optimates. REINES. τῆς Μεσσήνης V.

[f] Τοῦ γε μὴν Τημ.] Scribe Τούς γε μὴν Τιμούχους καθᾶραι τὴν πόλιν, &c. Sic enim legitur supra v. Ἐπίκουρος, ubi locum integrum habes. KUST.

ΤΗΝΑ] Τῆνα bis V. Mox ἐκεῖνα B.V.E.

[g] Θεόκριτος] Idyll. I. 1. KUST.

ΤΗΝ Ἀκεσαίου] Vid. Diogenian. I. 57. Deest gl. V.

[h] Νηλέως ὁ Ἀκεσαῖος κυβερνήτης] Νειλέω κυβερνήτης ὁ Ἀκεσαῖος A. Photius.

ΤΗΝΑΛΛΩΣ] Vid. Πρίαλλος. Dio Cass. p. 335. τήν γε ἄλλως. TOUP. τὴν ἄλλως A. Photii ms. Vid. Bergler. ad Alciphron. I. 19. p. 102.

[i] Θεαιτήτῳ] P. 161. extr. Loca Demosthenica vide apud Berglerum.

[k] ἈΝΑΧΟΡΕΥΣΩΜΕΝ] ἀναχορεύσομεν A.E. et infra. sed ω suprasc. in E. Post ὄρχησιν V. addit καὶ δεύτερον. Qui et eundem ordinem exhibet infra.

[l] Μάρκος] Malela in Basilisco p. 88. TOUP.

ib. Μάρσος A. Μάλσος V.

[m] δεύτερον] δευτέραν E.

ΤΗΝ ΓΗΝ ὉΤΑΝ ΝΟΜ.] Aristoph. Ran. 1510.

[n] ΠΟΛΕΜΙΩΝ] σαλαμινίων E.

[o] Εἴρηται τοῦτο κατὰ τὴν Περικλ.] Hæc, et quæ sequuntur usque ad finem articuli, leguntur etiam apud Scholiastam ad modo indicatum locum Aristophanis; itemque apud Nostrum supra, v. Περικλῆς. KUST.

[p] ἐμβαλλόντων] ἐμβαλλόντων A. qui om. τῶν ante Λακεδ. ubi τῶν πολεμίων E.

[q] Τὸν οὖν] τὸ οὖν B.E. et mox τὸ δέ.

[r] τοῦτον] τοῦτο A.B.E.

ὡς πλείστας ἔχειν. Τὸν δὲ ἄλλον πόρον, ὃς ἂν ἔξω A [s]τούτου γένηται, τοῦτον ἀπορίαν νομίζειν οἴων, [t]τὰ θεωρικὰ, καὶ τὰ δικαστικά. [u]Συμβουλεύει οὖν πᾶσαν τὴν ἐν τούτοις γενομένην δαπάνην ταῖς ναυσὶν ἀφορίσαι.

Τὴν γλαῦκα τωθάζουσι [[x]Τήνδε: Ἀντὶ τοῦ ταύτην.]

Τὴν δωριστὶ [y]μόνην ἁρμονίαν ἁρμόττεσθαι τὴν λύραν· ἄλλην δ' οὐκ ἐθέλω: Τουτέστι, τὴν B δωροδοκιστί.

Τήνελλα: Μίμημα φωνῆς κρούματος αὐλοῦ ποιᾶς. Ἀρχίλοχος·

> [z]Τήνελλα, καλλίνικε χαῖρ' ἄναξ Ἡράκλεις,
> αὐτός τε, καὶ Ἰόλαος, αἰχμητὰ δύω.

[a]Ἀριστοφάνης·

> Ἀλλ' ἐὰν [b]νικήσῃς τῇ βοῇ, τήνελλος εἶ.

Ἀντὶ τοῦ, νικηφόρος. Τήνελλα δὲ, κρουμάτιον ἐπινίκιον. C Ἢ τήνελλος, [c]ἁρμονία λύρας. Ἐὰν τοίνυν ὑπερακοντίσῃς αὐτοὺς τῇ βοῇ, μουσικώτατος εἶ.

> [d]Ἢν δ' ἀναιδείᾳ παρέλθῃς, ἡμέτερος ὁ πυραμοῦς.

[e]Ὁ δὲ πυραμοῦς, εἶδος πλακοῦντος ἐκ μέλιτος ἑφθοῦ καὶ [f]πυρῶν πεφρυγμένων ὡς σησαμοῦς, ὁ διὰ [g]σησάμης. Ταῦτα δὲ ἐτίθεσαν ἆθλα τοῖς διαγρυπνηταῖς· εἰώθασι γὰρ ἐν τοῖς συμποσίοις ἁμιλλᾶσθαι περὶ ἀγρυπνίας· D καὶ ὁ διαγρυπνήσας μέχρι τῆς ἕω, νικήσας ἐλάμβανε τὸν πυραμοῦντα. Ὁ δὲ νοῦς, ὅτι [h]ἂν μὴ νικηθῇς ὑπ' αὐτοῦ τῇ βοῇ, περιγένῃ δὲ ταῖς περιεργίαις καὶ ἀναισχυντίαις, οὐδὲν ἧττον ἡμέτερον τὸ τερμάτιον· τουτέστιν, ἡ νίκη.

Τὴν ἐμὴν [i]κάμνειν νόσον: Παροιμία. Ὡς ἡ τοιαύτη·

> Ταυτὸν ἕλκομεν ζυγόν.

Τὴν θύραν ἔχων [k]τετρημένην, ὥσπερ αἱ ποίμναι: Ἐπὶ τοῦ ἀπανθρώπου καὶ [l]ἀπροσπελάστου.

Τηνικαῦτα: Τότε.

Τὴν κατὰ σαυτὸν ἔλα: Ἀπὸ χρησμοῦ τινος ἐλέχθη. Τουτέστιν, οἷος εἶ, τοιοῦτος καὶ φαίνου, καὶ μείζοσι μὴ [m]συμπαρεκτείνου. Τοῦτο οἱ μὲν [n]Πυθικὸν εἶναί φασιν ἀπόφθεγμα· οἱ δὲ, Σόλωνος. Ἔνιοι δὲ αὐτὸ Χίλωνα εἰπεῖν συμβουλευομένῳ τινὶ, εἰ πλούσιον ἕλοιτο γάμον.

Τὴν λεοντῆν ἐνάπτου: Ἴσον τῷ [o]γενναΐζου.

Τῆνος: Μία τῶν Κυκλάδων νήσων.

Τὴν ταχίστην: Ἐπίρρημα, ἀντὶ τοῦ ταχέως.

> [p]Ὁ δὲ φιλοτίμως εἶχε πρὸς τὴν ταχίστην κρῖναι τὰ ὅλα.

Τὴν τράπεζαν οἴσομαι: [q]Ἀριστοφάνης. Τουτέστιν, ἐμαυτῷ ὑπηρετήσω, καὶ οὐ χρεία παιδός.

[Τὴν τρύγα συνεκπιεῖν:]

Τὴν χεῖρα προσφέροντα τὸν θεὸν καλεῖν: Βοηλάτης ἐκ κώμης ἅμαξαν [r]ἄγων, καὶ ταύτης ἐμπεσούσης εἰς φάραγγα κοιλώδη, δέον βοηθεῖν, ἀργὸς [s]ἵστατο τῷ Ἡρακλεῖ προσευχόμενος· ἐκεῖνον γὰρ ἐκ πάντων τῶν θεῶν ἀσπαζόμενος ἐτίμα. Ὁ δὲ θεὸς ἐπιστὰς, εἶπε· Τῶν τροχῶν ἅπτου, καὶ τοὺς βόας νύττε, καὶ τότε [t]τὸν θεὸν εὔχου, ὅταν καὐτὸς τί ποιῇς· μὴ μέντοι γε μάτην εὔχου. Ἐκ τούτου εἰς παροιμίαν [u]εἰσήχθη.

Τηξιμελεῖ: Φθοροποιῷ.

> [x]Τηξιμελεῖ νούσῳ κεκολουμένος, ἔδραμε θυμῷ
> ἐς [y]προτέρων ἔργων ἄρσενα μαρτυρίην.

Τήραιος: Ὄνομα κύριον. Ὁ Μῆδος.

Τηρεύς: Ὁ τηρῶν.

E

[s] τούτου γένηται] τῆς γῆς ᾖ Schol.

[t] τὰ θεωρητικὰ] Scribe τὰ θεωρικά. Vide supra v. Θεωρικά. KUST. θεωρη' A. θεωρητὰ B. θεωρητὰ E.

[u] Συμβουλεύει—γενομένην] συμβουλεύειν—γινομένην V.

[x] ΤΗΝΔΕ etc. habet A. in marg. παροιμία tantum Photius.

ΤΗΝ ΔΩΡΙΣΤΙ Μ.] Aristoph. Equit. 985. sed ubi ultima sic leguntur, Ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν. KUST.

[y] ΜΟΝΟΝ] μόνην A.B.V.E.

ΤΗΝΕΛΛΑ: Μίμημα φων.] Ex Scholiasta Aristophanis F ad Acharnens. in fine. KUST.

[z] Τήνελλα, καλλίνικε χ.] Sic etiam legitur apud Scholiastam Aristophanis loco laudato. At metri gratia scribendum potius est, Τήνελλα, καλλίνικ' ἄναξ χαῖρ' Ἡράκλεις. KUST. Vid. Archilochi fr. 60.

[a] Ἀριστοφάνης] Equit. 276.

[b] μέντοιγε νικᾷς] νικήσῃς A.B.V.M. et fortasse E. ubi v. compendiose scriptum est.

[c] ἁρμονία] ἁρμονίαν A.

[d] Ἢν δ' ἀναιδ.] Aristoph. loco laudato. KUST. εἰ δ' G V. Mox ὁ om. A.E.

[e] Ὁ δὲ ΠΥΡΑΜΟΣ, εἶδος πλακ.] Hæc, et quæ sequuntur, nihil faciunt ad vocem τήνελλα, sed ad vocem πυραμοῦς. Vide supra v. Πυραμοῦς, ubi eadem leguntur. KUST.

[f] πυρῶν] τυρῶν A.B.V.E.

[g] σησάμης] σησάμων Schol.

[h] ἂν μὴ] ἂν om. A.V.E. Tum νικηθεὶς V.E. pro νικηθῇ. κἂν ἡττηθῇς Schol. Infra περιγένηται V.

[i] ΚΑΜΝΕΙ] κάμνειν A.E. Photius.

[k] ΤΕΤΡΗΜΕΝΗΝ] τετριμμένην Diogenian. VIII. 56. τετρυμμένην M.

[l] ἀπροσπελάστου] προσπελάστου V.

ΤΗΝ ΚΑΤΑ ΣΑΥΤ.] Huc egregie faciunt ea, quæ notat Scholiastes Æschyli ad Prom. Vinct. 886. Τὸν Πιττακὸν λέγει, inquit, ὅν ποτε τὶς βιαζόμενος ὑπὸ δύο γυναικῶν, τῆς μὲν μιᾶς οὔσης πλουσίας, τῆς δὲ ἑτέρας, πενεστέρας, καὶ τοῦ γένους αὐτοῦ ἀξίας, καὶ ἀπορῶν, ποίας πληθείη ἀνὴρ, ἠρώτησε, ποίᾳ χρήσεται γυναικί. Τοῦ δὲ εἰπόντος, μέτιθι πρὸς τοὺς παῖδας, τοὺς πλησίον ἡμῶν ταῖς βέμβιξι παίζοντας, (ὅ ἐστι ταῖς στρέμβαις,) καὶ ἀπ' αὐτῶν μαθήσῃ, ποίᾳ ἂν χρήσαιο γυναικί. Ἀπελθὼν ἐκεῖνος, ἠκροάσατο τῶν παίδων λεγόντων πρὸς τὴν οἰκείαν στρέμβαν, ΤΗΝ ΚΑΤΑ ΣΑΥΤΟΝ ἝΛΑΥΝΕ· καὶ αἰσθόμενος τοῦ λόγου τῶν παίδων, τὴν μὲν πλουσιωτέραν ἀφῆκε, τῇ δὲ πενεστέρᾳ ἐχρήσατο F γυναικί. Hunc locum ideo adduxi, quod eum ab Erasmo et Schotto, qui proverbia Græca collegerunt et illustrarunt, prætermissum esse videbam. KUST. Vid. Menag. ad Diogen. Laërt. I. 80.

[m] συμπαρεκτείνου] παρεστιμπτείν' E.

[n] Πιττακοῦ] Πυθικὸν A.B.V.E. Photius.

[o] γενναΐζου] γενναΐζειν A.V.E. Vid. Platon. Cratyl. p. 411 A. Plutarch. II. p. 387 D. ubi vid. Wyttenbach.

[p] Ὁ δὲ φιλοτ.] Fragmentum hoc legitur apud Polybium lib. III. c. 70. KUST.

G [q] Ἀριστοφάνης] Pac. 1032. Καὶ τὴν τράπεζαν οἴσομαι, καὶ παιδὸς οὐ δεήσει. KUST.

ΤΗΝ ΤΡΥΓΑ ΣΥΝΕΚΠΙΕΙΝ] Vide supra, v. Συνεκπιεῖν. KUST. Gl. A. in marg.

ΤΗΝ ΧΕΙΡΑ ΠΡΟΣΦ.] Simile huic est proverbium, Σὺν Ἀθηνᾷ καὶ χεῖρας κίνει: de quo vide Nostrum supra. KUST.

[r] ἄγων] ἀνάγων A.

[s] ἵστατο] ἵσταται V.

H [t] τῷ θεῷ] τὸν θεὸν A.V. Photius. ὅταν—εὔχου om. V.

[u] εἰσήχθη] ἤχθη V.

[x] Τηξιμελεῖ νούσῳ κεκ.] Anthol. Pal. VII. 234.

[y] προτέρων] προτέρῃ A.B.E. Anthol.

ΤΗΡΕΥΣ: Ὁ τηρ.] Vide supra v. Ταὼς, ubi locum hunc illustramus. KUST.

**Τηρίβαζος**: Ὄνομα κύριον. [a]Ξενοφῶν·

[Ὁ δὲ Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ, καὶ, ὁπότε [a]παρείη, οὐδεὶς ἄλλος τὸν βασιλέα ἐπὶ τὸν [b]ἵππον ἀνέβαλλεν.

Ἀντὶ τοῦ, ἀνεβίβαζε.]

**Τηριδάτης**: Ὄνομα κύριον.

**Τηρῶ**: Αἰτιατικῇ.

**Τήρωνες**: Οἱ ἀρτιμαθεῖς τὰ [c]πολεμικὰ, καὶ οὔπω ἐγγεγυμνασμένοι τοῖς κινδύνοις, τήρωνες καλοῦνται παρὰ Ῥωμαίοις.

**Τῆς**: [d]Ἀντὶ τοῦ ταύτης. Οὐκ ἔστι δὲ ἄρθρον. [e]Ὅμηρος·

> Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι.

Ἀντὶ τοῦ, ταύτης. Καὶ ἐν [f]Ὀδυσσείᾳ·

> Εἵνεκα τῆς ἀρετῆς.

Ἀντὶ τοῦ, ταύτης.

**Τῆς Μεγαρέων ἄξιοι μερίδος**: Ἀντὶ τοῦ, ἄτιμοι.

**Τῆς μητρὸς ὡς αἶξ καλεῖται**: Οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητέρων γνωρίζονται· ἀπὸ πατέρων γὰρ, ἀδύνατον.

**Τῆς μωρίας [[g]τὸν Δία νομίζειν] ὄντα τηλικουτονί**: [h]Ἐπὶ τῶν παραλόγως τι λεγόντων, ἐνηλίκων ὄντων. Οἷον τελείαν ἐχόντων τὴν ἡλικίαν, καὶ πάντα εἰδέναι ὀφειλόντων.

**Τητᾶσθαι**: Στερίσκεσθαι. [i]Σοφοκλῆς·

> Τοιαῦτ' ἀκούσας, κἀξονειδισθεὶς κακὰ,
> πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
> πρὸς τοῦ κακίστου κἀκ κακῶν Ὀδυσσέως.

Καὶ αὖθις·

> [k]Οὐ τητώμεναι,
> τολοιπὸν ἤδη τοῦ βίου διάξετε.

**Τῆτες καὶ τῆτα**: Τούτῳ τῷ ἔτει, ἐπ' ἔτος.

A
> [l]Ἐγχλᾶτ', ἀνθ' ὧν [m]λαχὼν Ὑπέρβολος
> τῆτες ἱερομνημονεῖν.

Ἀριστοφάνης Νεφέλαις. [n]Τοῦτο δὲ οἱ Δωριεῖς τᾶτες λέγουσι, καὶ διὰ τοῦ δ, [o]τῆδες.

**Τητινή**: Χθεσινή. Καὶ οὐδέτερον, τητινόν.

**Τητώμενον**: Στερισκόμενον.

**Τηΰσίη**: Ματαία.

**Τί**: Οἱ ἀπὸ τῆς Στοᾶς τοῦτο [p]τὸ Τὶ γένος τοῦ

B Ὄντος τίθενται. Τὸ γὰρ Τὶ δῆλον ὅτι καὶ ὄν. Εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. Διὸ καὶ γενικώτερον αὐτό φασιν εἶναι, κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον, ἀλλὰ καὶ κατ' ἀσωμάτων.

**Τιάρα**: [q]Κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι [r]ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις· οἱ δὲ στρατηγοὶ, κεκλιμένην. Καὶ [s]Δημάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς Ἀθήνας, ἐπί τινος εὐημε-

C ρίας συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰσελάσαι· ὡς [t]Φύλαρχος ἐν ῑ. Τὸ δ' αὐτό φασιν εἶναι καὶ [u]κίταριν. Θεόφραστος δὲ ἐν τῷ Περὶ βασιλείας Κυπρίων, τὴν κίταριν, ὡς διάφορον.

**Τιαρηφόρος**:

**Τὶ βαιόν**: Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον. [x]Σοφοκλῆς·

> Τί βαιὸν οὕτως ἐντρέπῃ [y]τῆς συμμάχου.

D **Τιβέριος**, [z]φιλόσοφος, καὶ σοφιστής. Περὶ ἰδεῶν λόγου, βιβλία γ', Περὶ παρασκευῆς, Περὶ μεταποιήσεως, Περὶ ἱστορίας, Περὶ λόγου τάξεως [a]καὶ συνθέσεως, Περὶ διαιρέσεως λόγου, Περὶ μεταβολῆς λόγου [b]πολιτικοῦ, Περὶ λόγων ἐπιδεικτικῶν, Περὶ προλαλιῶν καὶ προοιμίων, Περὶ ἐπιχειρημάτων, Περὶ Δημοσθένους καὶ Ξενοφῶντος, Περὶ Ἡροδότου καὶ Θουκυδίδου.

E **Τιβέριος**, [c]Ὀκταβίου υἱὸς, βασιλεὺς Ῥωμαίων,

---

ΤΗΡΙΒΑΖΟΣ] Τηριβάζης A.V.

[a] Ξενοφῶν] Ἀναβ. lib. IV. p. 327. ut Portus etiam monuit. Vide quoque v. Ἀνέβαλε, et v. Τιρίβαζος, ubi idem fragmentum legitur. KUST. IV. 4, 4. Seqq. om. A.

[a] παρείη] παρείη B.V.

[b] ἵππον] l. ἀνεβίβαζεν ἵππον V.

[c] πολεμικὰ] πολέμια A.B.V.E.

[d] Ἀντὶ τοῦ ταύτης. Οὐκ ἔστι δὲ ἄρθρον] Observatiuncula hæc infirmo tibicine nititur. Potius enim contra Suidam dixerim, voculam τῆς in subjunctis locis Homeri esse articulum, non vero ibi pro ταύτης poni. KUST. Mihi secus videtur, et omnino recte hæc Homeri loca ab Suida esse adducta ad demonstrandum τῆς poni pro ταύτης: nec enim aliter in utroque loco accipi posse. BOS. Qui plura. Præstat excerpere Schol. Ven. ad priorem locum: Ἔξωθεν δεῖ λαβεῖν τὸ ἄρθρον· τὸ γὰρ τῆς νῦν ἀντὶ τοῦ ταύτης παρείληπται, καὶ ἔστιν ὁ λόγος μήποτε τῆς ταύτης εὐνῆς ἐπιβήμεναι. Hunc Schol. proculdubio ob oculos habuit Suidas.

[e] Ὅμηρος] Il. ί. 133. KUST.

[f] Ὀδυσσείᾳ] β'. 206. Ubi Schol. Ὁ δὲ Ἀρίσταρχος λείπειν φησὶ τὸ ἄρθρον, ἵν' ᾖ εἵνεκα τῆς ταύτης ἀρετῆς.

ΤΗΣ ΜΕΓΑΡΕΩΝ ἈΞ.] Confer Nostrum supra v. Μεγαρέων ἄξιοι μερίδος: et infra v. Ὑμεῖς ὦ Μεγαρεῖς. KUST.

ΤΗΣ ΜΩΡΙΑΣ ΤΟΝ Δ.] Aristoph. Nub. 816. KUST.

[g] ΤΟΝ ΔΙΑ ΝΟΜΙΖΕΙΝ om. A.B.V. τ. Δ. νομίζεις E. Post h. gl. delevi ΤΗΣ ΣΑΡΚΟΣ ΠΡΟΝΟΙΑΝ ΜΗ ΠΟΙΕΙΣΘΕ ΕΙΣ ἘΠΙΘΥΜΙΑΣ: Ζήτει ἐν τῷ ὙΠΩΠΙΑΖΩ, cum A.V. Habet tamen A. in marg. ubi ἄνοιαν et ποιῆσθε.

[h] Ἐπὶ τῶν παραλόγως τι λεγόντων ἐνηλ.] Videtur Grammaticus noster existimasse, citata verba Aristophanis sensum proverbialem habere. Sed id cum secus se habeat, observatiuncula hæc lituram meretur. KUST.

[i] Σοφοκλῆς] Philoct. 383.

[k] Οὐ τητώμ.] Sophocl. Œdip. Colon. 1618.

[l] Ἐγχλᾶτ', ἀνθ' ὧν λ.] Aristoph. Nub. 624. ἐγχλᾶτ' om. E.

[m] λαχὼν Ὑπέρβολος] Ὑπέρβολον ἔλαχε A.V.

[n] Τοῦτο δὲ] δὲ om. A.

[o] ΤΗΔΕΣ] Sic Schol. Aristoph. Ach. 15. τῆδε V.

ΤΗΤΩΜΕΝΑ] Schol. Platon. p. 229. Τητώμενα: στερισκόμενα.

ΤΗΥΣΙΑ] Τηϋσίη A. Τηϋσίην Od. γ'. 316.

[p] τὸ Τί] τὸ om. V. qui infra αὐτῷ φασιν.

[q] Κόσμος ἐπικ.] Conf. Schol. Aristoph. Av. 487. Platon. p. 185.

[r] ὀρθὴν] Philostrat. Ep. 29. πρέπει βασ. μεγάλῃ τῇ ὀρθῇ τιάρα. Leg. ἡ ὀρθὴ τιάρα. Illud τῇ est geminatio syllabæ sequentis. Vide Wesseling. Obs. p. 175. Xenoph. Anab. p. 175. [II. 5, 23.] ubi v. Hutchinson. Eunap. in Ædes. p. 46. Herodot. Wessel. p. 88. TOUP.

[s] Δημάρατος] Senec. de Benef. VI. 31. REINES. Mox ἐπί τινας V.

[t] Φίλαρχος] Scribe Φύλαρχος. KUST. Sic A.B.V.E. Photius. Mox ἐν ῑ A.V. Photius. ἐν ἑνδεκάτῃ vulg.

[u] κίταριν] Vide Hesych. v. Κίδαρις. KUST.

ΤΙΑΡΟΦΟΡΟΣ] Τιαρηφόρον A. Τιαρηφόρος B.V. Τιαροφόρος E.

[x] Σοφοκλῆς] In Aj. 90.

[y] τῆς συμμάχου] τῆς σῆς σ. E. τῆς συμμαχίας V.

[z] φιλόσοφος] Leg. φιλόλογος. Nihil est in scriptis enumeratis, quod philosophum indicet. HEMST.

[a] καὶ συνθέσεως] περὶ συνθέσεως V.

[b] πολιτικοῦ] πολιτ' V. Qui in fine om. Περὶ Ἡροδότου καὶ Θουκυδίδου.

ΤΙΒΕΡΙΟΣ, Ὀκταβίου υἱὸς, βασ.] Quæ hic Suidas de Ti-

[b]Ἄριστος δὲ ὑπάρχων ἐν νεότητι, καὶ [c]πρὸς γῆρας ἐλθὼν, [d]αἰφνίδιον εἰς τὴν χείρονα μετεβλήθη γνώμην, ὥστε καὶ [e]παραφρονεῖν αὐτὸν νομισθῆναι, καὶ ὑπὸ δαίμονος ἐλαύνεσθαι [f]πρὸς πᾶσαν ἀνοσιουργίαν τε καὶ μανίαν καὶ οἰστρηλασίαν, οὐ μόνον ἐν τοῖς κατὰ φύσιν, ἀλλὰ καὶ ἐν τοῖς παρὰ φύσιν, καὶ ἐν πάσῃ ἀδικίᾳ καὶ τυραννίδι. [g]Οὕτω δὲ μεταπεσὼν εἰς κακίαν, καταστρέφει τὸν βίον.

Τιβεριέων δῆμος:

Τιβία: Ὅλη ἡ Φρυγία οὕτω καλεῖται.

Τί γὰρ δὴ δελφῖνι καὶ βοΐ φασι κοινὸν εἶναι, [h]Σύλλᾳ τε καὶ φιλοσόφοις;

Τί γάρ με [i]λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν, Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος; Δοκῶ μὲν ὡς οὐδὲν ῥῆμα σὺν κέρδει κακόν. Ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς Λόγῳ μάτην θνήσκοντας, τοῖς δ' ἔργοισιν οὔ: [k]Ἀριστοφάνης·

Τί γάρ σε πέφευγ', ὅσα χρὴ
σοφὸν ἄνδρα; τί δ' οὐ [l]σὺ φρονεῖς, ὅπόσα
[m]χρεὼν ἐστι τὸν σοφῇ δόκιμον
[n]φρενὶ, πορίμῳ τόλμῃ.

Τουτέστι, Τί σε πέφευγε; τί γὰρ οὐ ποιεῖς, ὅσα χρὴ τοὺς ἐπιστήμονας; Πορίμῳ δὲ, ἀντὶ τοῦ εὐπόρῳ πρὸς τὸ ἐπινοεῖν.

Τιγίλλιος: Ὄνομα κύριον.

Τίγρις: Τὸ ζῶον. [o]Τίγρης δὲ, ὄνομα ποταμοῦ.

Τί δ' ἄλλο Μεγαροῖ: Λείπει τὸ, ἢ τοῦτο τὸ [p]ἀπολέσαι ἡμᾶς [q]σπουδάζειν;

Τί δαί: Τί δή; [r]καὶ οὕτως μὲν λέγουσιν τὸ τί δή. [s]Ἀριστοφάνης Πλούτῳ·

Τί δαί; τὰς τριήρεις οὐ [t]σὺ πληροῖς; εἰπέ μοι.

[u]Ἔστι δὲ σύνδεσμος ἐρωτηματικὸς διὰ τὴν ἔκτασιν διὰ διφθόγγου [x]γραφόμενος. Καὶ [y]Ὅμηρος·

[z]Τίς δαίς; τίς δαὶ ὅμιλος;

Ἐν Ὀδυσσείᾳ.

Τί δαί: Εἰπόντος τοῦ δανειστοῦ,

[a]Ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;

Τοῦ δὲ Στρεψιάδου ἀντιφήσαντος·

Οὐκ ἔσθ' ὅπως [b]σύ γ' αὐτὸς ὑγιαίνεις·

ἐπέφερεν ὁ δανειστής·

Τί δαί.

Τί δῆτα θεῶν στρέφῃ: Ἀντὶ τοῦ, [c]ἐνδιατρίβεις;

Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις: Ἀντὶ τοῦ, ἐπὶ τετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσιν.

Οὐ γὰρ γένοιτ' [d]ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

[e]Ὅπως ταῦτα μὴ οὕτω σχοίη· κατὰ τὸ τοῦ Σιμωνίδου·

Τὸ γὰρ γεγενημένον οὐκέτ' [f]ἄρεκτον ἔσται.

Τί δῆτά σοι: [g]Τί σοι;

Τί ἐστι τὸ [h]ἐν τοῖς Δημοσθένους Φιλιππικοῖς,

---

b Ἄριστος] δὲ addunt A.V. Quum hæc ad Tiberium Augusti successorem, Kustero monente, manifeste pertineant, a superioribus sejunxi.

c πρὸς] ὑπὸ A.

d αἰφνίδιον εἰς τὴν χ.] Eadem in præcedenti articulo de Tiberio, Augusti successore, dicuntur. Quare videtur Compilator Tiberium hunc, qui erat Justini successor, cum altero Tiberio confudisse: vel saltem huic male tribuere, quæ ad alterum pertinent. KUST.

e παραφρονεῖν etc.] Philostorg. p. 524. de Posidonio medico celeberrimo. Hæc Evangelistæ synonyma sunt. TOUP. Mox καὶ πρὸς δαίμονος M.

f καὶ πρὸς] καὶ om. A.V. Tum V. om. τε καὶ μανίαν.

g Οὕτω δὲ] καὶ οὕτω V. omissis δὲ μεταπ. εἰς κακίαν.

ΤΙΒΕΡΙΕΩΝ ΔΗΜΟΣ] Joseph. B. J. II. 21, 3.

ΤΙΒΙΑ: Ὅλη ἡ Φρ.] Nimirum a monte Tibio, qui situs erat in Phrygia. Vide Steph. Byzant. v. Τίβειον. KUST. Ex Proverb. Vat. II. 71. monente Hemsterhusio ad Lucian. Tim. 22.

ΤΙ ΓΑΡ ΔΗ] Vid. Ælian. de Anim. XIV. 25. HEMST.

h Σύλλᾳ] Σύλᾳ V.

ΤΙ ΓΑΡ ΜΕ ΛΥΠ.] Sophocl. Electr. 59.

i ΛΥΠΟΙ] λυπεῖ A.V.E. Mox μάτην om. A.V. deinde ἔργοις A.V.E.

k Ἀριστοφάνης] Pac. 1027.

l σὺ φρονεῖς] συφρονεῖς B.E.

m χρεὼν] χρεών ἐστι A.V.

n φρενὶ καὶ] καὶ om. A.V.E. φρενὶ πορίμῳ τε Aristoph.

ΤΙΓΙΛΛΙΟΣ] Τιγιλλῖ A.V. i. e. Τιγιλλῖνος.

o ΤΙΓΡΗΣ] Τίγρις τε V.E. Post ποταμοῦ E. addit καὶ Πίγρης.

ΤΙ Δ' ΑΛΛΟ ΜΕΓΑΡΟΙ] Aristoph. Acharn. 758. Δ. Αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων. Μ. Σαμάν. Τί δ' ἄλλο; Δ. Μεγαροῖ πῶς ὁ σῖτος ὤνιος; Μ. Παρ' ἀμὲ πολυτίματος, ᾧπερ τοὶ θεοί. Ad hunc locum respexit Suidas, et ex eo proinde est reformandus. TOUP.

p ἀπολέσαι] τοῦτο τὸ ἀπολέσαι A.B.E. τοῦτο ἀ. V.

q σπουδάζεις] Ms. A. rectius, σπουδάζειν. KUST. et B. V.E.

ΤΙ ΔΑΙ] Τί δὴ Photius. Et sic in Suida reponendum.

r οὕτω] καὶ οὕτως A.V.

s Ἀριστοφάνης Πλούτῳ] Ver. 172. sed ubi pro τί δαί, rectius legitur, τί δέ. KUST.

t σὺ πληροῖς] συμπληροῖς V.

u Ἔστι δὲ σύνδεσμος] Schol. Aristoph. Plut. 156. τί δαί; Σύνδεσμος ἐρωτηματικός· διὰ δὲ τὴν ἔκτασιν διφθογγογραφεῖται. Ammonius: Δαὶ σύνδεσμος ἐρωτηματικὸς, ἐκτεταμένως· τίς δαὶ ὅμιλος, καὶ Πῶς δαὶ τῶν ἄλλων Τρώων. (Il. κ'. 408.)

x γραφόμενος] γραφόμενον A.

y Ὅμηρος] Odyss. α'. 225. Ceterum, locus hic Poëtæ nihil ad rem facit. KUST. Immo facit, modo inseras cum mss. δαὶ ante ὅμιλος.

z Τίς δαίς] τίς δαὶς καὶ ἐν ἄλλῳ A. Ante ὅμιλος omnes inserunt δαί.

a Ληρῶ] Aristoph. Nub. 1277.

b σύ γ'] σὺ δ' V.

ΤΙ ΔΗΤΑ ΘΕΩΝ ΣΤΡ.] Ex Platonis Phædro: [p. 236 E.] sed ubi legitur, Τί δῆτ' ἔχων στρέφῃ: uti etiam hic apud Suidam scribendum est. KUST. Vide Ruhnkenium ad Timæum p. 257. Platonis locum indicaverat Portus.

c Τί δὴ ἐνδιατρίβεις] Τί δὴ om. A.V. Photius.

ΤΙ ΔΗΤ' ΑΝ ΑΛΓ.] Sophocl. Aj. 377.

d ἂν ταῦθ'] αὖθ' V.

e ἀντὶ τοῦ ὅπως] ὅπως τοῦ A.V.E. ὅπως ταῦτα Schol. Mox τὸ om. V.E.

f ἄρρεκτον] ἄρεκτον A.E. Schol.

g Τί σοι om. B.E.

h ἐν τοῖς Δημοσθένους Φιλιππ.] Demosthenes Olynth. II. haud procul initio: Νῦν δὲ θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχὰς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε, βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσειν, &c. Ulpianus ad eum locum: Τοῦτο οὖν ἔλεγεν ὁ Φίλιππος, ὅτι τὸ θρυλλούμενον τοῦτο καὶ ποθούμενον ἐν ἀπορρήτῳ κατασκευάσω. Διὰ τί δὲ ἐν ἀπορρήτῳ; ἵνα μὴ ἑκάτεροι μαθόντες φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν, ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, (lego, καὶ Ἀμφιπόλεως) ἵνα δῷ αὐτὰς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξη-

Καὶ τὸ [i]θρυλλούμενόν ποτε ἀπόῤῥητον ἐκεῖνο,

Θεόπομπος ἐν λα΄ δεδήλωκε. Φησὶ γάρ·

Καὶ πέμπει πρὸς Φίλιππον πρεσβευτὰς, Ἀντιφῶντα καὶ Χαρίδημον, πράξοντας καὶ περὶ φιλίας· οἱ παραγενόμενοι, συμπείθειν αὐτὸν ἐπεχείρουν ἐν ἀποῤῥήτῳ [k]συμπράττειν Ἀθηναίοις, ὅπως ἂν λάβωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. Οἱ δὲ πρέσβεις οἱ τῶν Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν [l]ἀπήγγελλον, βουλόμενοι λανθάνειν τοὺς Πυδναίους, ἐκδιδόναι μέλλοντες αὐτούς· ἐν ἀποῤῥήτῳ δὲ μετὰ τῆς βουλῆς ἔπραττον.

Τίη; Διατί δή;

Τί ἱκανόν; Τί ὄφελος;

Τιθασεύει: [Αἰτιατικῇ.] Ἡμεροῖ, πραΰνει.

Τιθασόν: Ἥμερον. Καὶ ἀτίθασον, τὸ ἄγριον, καὶ μὴ ἥμερον.

Τιθέντες: Ποιοῦντες.

Τίθεσθαι:

[m]Ὁ δὲ [n]πρέσβεις ἔστειλε πρὸς τοὺς Μεγαρέας, παρακαλῶν ἔτι καὶ νῦν τίθεσθαι τὰ πράγματα, καὶ μὴ κινδυνεύειν τοῖς ὅλοις.

Ἀντὶ τοῦ, συγκατατίθεσθαι, διαπράττεσθαι.

Τιθηνάς: Τροφούς. Καὶ [o]τιθηνήτηρ.

[p]Πολλὰ τιθηνήτηρ ὀλοφύρατο χερσὶν ἀμήσας
[q]ἀνδρομάχης δνοφερὰν κρατὸς ὕπερθε κόνιν.

Καὶ τιθήνη.

Τιθηνός: Κυρίως, ἐπὶ γυναικὸς τῆς τιθηνούσης καὶ τρεφούσης· κατὰ [r]μεταφορὰν δὲ λέγεται καὶ ἡ γῆ τιθηνός.

Τιθηνούμενος: Τρέφων. [s]Τιθηνὸς γὰρ ἡ τροφός.

Τίθησι: Ποιεῖ.

Τιθίς, τιθίδος. [t]Καὶ τιθῶ, αἰτιατικῇ.

Τιθωνοῦ γῆρας: Παροιμία. Ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται. Ἱστορεῖται δὲ [u]ὅτι

A ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν. [x]Ἀριστοφάνης·

Ἄνδρα Τιθωνὸν σπαράττων, καὶ ταράττων, καὶ κυκῶν.

Τίθρασος: [y]Πόλις τῆς Λιβύης. [z]Καὶ Ἀριστοφάνης·

Γοργόνες Τιθράσιαι.

Ἔνθα αἱ Γοργόνες διέτριβον. Ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. Διαβάλλουσι γὰρ τὸν δῆμον τοῦτον ὡς

B κακοπράγμονα.

Τιθραύστης: Ὄνομα κύριον.

Τιθοί: Οἱ μαζοί.

Τιθύμαλλος: Εἶδος βοτάνης δριμυτάτης, παρὰ [a]Λάκωσιν εὑρισκομένης· ᾧ παρήλειφεν τὰ βλέφαρα τῆς ἑσπέρας. Καὶ [b]Ἀριστοφάνης περὶ Νεοκλείδου τοῦ γλάμωνος·

Σκόροδ' ὁμοῦ τρίψαντα τιθυμάλλῳ.

C [c]Εἰώθασι δὲ οἱ ἰατροὶ ὑπ' ἀλαζονείας πατρίδας ὀνομάζειν τῶν βοτανῶν, οἷον, [d]Κυρηναϊκὸν ὀπόν· τιθύμαλλος Λακωνικός. Εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμοὺς, [e]Νεοκλείδης ὁ γλάμων.

Τί καλὴ ἡ τάξις: [[f]Ἀντὶ τοῦ λίαν.]

[Τί κοινὸν κυνὶ καὶ βαλανείῳ: Παροιμία ἐπὶ τῶν ἀναρμοδίων. [g]Λουκιανὸς ταύτῃ χρῆται.]

D Τί λέγεις σύ; [h]Τὸ παρὰ τὴν συνήθειαν κἀνὰ χεῖρα. Εἰώθαμεν γὰρ ἐν ταῖς τῶν [i]ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ; ἐκπλῆξαι αὐτοὺς βουλόμενοι. [k]Ἀριστοφάνης Νεφέλαις·

Ὡς ἥσθομαί ([l]σου) πρῶτα τὴν χροιὰν ἰδών.
Νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς,
κἀντιλογικός· καὶ τοῦτο τοὐπιχώριον
ἀτεχνῶς [m]ἐπανθεῖ, τὸ, Τί λέγεις σύ; καὶ δοκεῖν

E

ται δὲ παρ' αὐτῶν τὴν Πύδναν, αὐτοῦ οὖσαν. Καὶ τὸ ἀπόῤῥητον δὲ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται, οὐ γὰρ ἐβούλοντο εἶναι ὑπὸ τὸν Φίλιππον. Hæc pulchre confirmant et illustrant ea, quæ Suidas hic tradit. KUST. Conf. Menag. ad Diog. Laërt. IV. 2.

[i] θρυλλούμενον] θρυλούμενον Photius.

[k] συμπράττειν Ἀθηναίοις om. E.

[l] ἀπήγγελλον] ἀπήγγελον V. ἀπήγγειλαν E. suprasc.

ΤΙΘΑΣΣΕΥΕΙ] Τιθασεύει A. Photius. αἰτιατικῇ om. A.V. Photius.

F ΤΙΘΑΣΣΟΝ] Τιθασὸν A. Photius. Καὶ ἀτίθασσον etc. post πραΰνει B.V.

[m] Ὁ δὲ πρέσβεις] Hoc fragmentum proculdubio Polybio adjudicandum est, qui ita loquitur, lib. VIII. p. 735. Ταχὺ δὲ καὶ τοῦ κήρυκος παραγενομένου πρὸς τὴν Λαοδίκην, καὶ διασαφοῦντος τὰ περὶ τὸν Ἀχαιὸν, καὶ κελεύοντος ΤΙΘΕΣΘΑΙ ΤΑ ΠΡΑΓΜΑΤΑ. Quem locum minus intellexerunt viri eruditi. Optime Suidas συγκατατίθεσθαι exponit. Latini, *componere*. Rem satis dilucidatam dabit Dexippus in Excerptis Hœschelii, p. 5. Κράτιστον δὴ τούτων εἵνεκα δι' εἰρήνης αἱρεῖσθαι ὑμᾶς τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας, καὶ ΤΟΥ ΠΟΛΕΜΟΥ ΠΡΑΓΜΑΤΑ ΣΥΝ ΗΜΙΝ ΤΙΘΕΣΘΑΙ. Quod egregium et perspicuum est. TOUP.

[n] πρέσβεις] πρέσβεις A. Mox πείθεσθαι M.

ΤΙΘΗΝΑΣ] Rectius, τιθήνας, cum accentu in penultima. KUST.

[o] ΤΙΘΗΝΗΤΕΙΡΑ] τιθηνήτηρ A.B.V.E. et mox in versu.

[p] Πολλὰ τιθηνήτειρ' ὀλοφ.] Anthol. Pal. VII. 241.

[q] ἀνδρομάχης] ἀνδρομάχευς A.V. In fine καὶ τιθήνη om. A.

[r] μεταφοράν] μεταφορὰν δὲ A.V.

[s] Τιθηνὸς γὰρ ἡ τρ. addunt A.B.V. Photius.

ΤΙΘΙΣ] Scribendum est, τιτθὶς, τιτθίδος. KUST. Sic Portus.

[t] Καὶ ΤΙΘΩ αἰτ. A. in marg.

ΤΙΘΩΝΟΥ ΓΗΡΑΣ] Vid. supra p. 1994 B.

[u] ὅτι ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ] ὁ Τιθωνὸς τοῦτο A. ὅτι om. E. Cum vulg. consentit Photius.

[x] Ἀριστοφάνης] Acharn. 688. καὶ ταράττων om. A.

[y] Πόλις] τόπος V.

[z] Καὶ Ἀριστοφάνης] Ran. 480.

ΤΙΘΡΑΥΣΤΗΣ] Τιθραύστης V.E. Bos. qui citat Corn. Nepot. Datam. c. 3. Deest A.

ΤΙΘΟΙ] Scribe τιτθοί. KUST. Sic Portus.

[a] Λάκωσιν] Λάκωσι A.

[b] Ἀριστοφάνης] Eccles. 404. Σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ Τιθύμαλλον ἐμβαλόντα τοῦ Λακωνικοῦ. KUST. Mox λάμωνος A.V.

[c] Εἰώθασι δὲ οἱ ἰατρ.] Confer Nostrum supra v. Γλάμων, et v. Ἰατρός: ubi eadem leguntur. KUST.

[d] Κυρηναϊκὸν ὀπὸν] Potius casu recto, Κυρηναϊκὸς ὀπός.

G KUST. Mox τιθύμαλλον Λακωνικὸν E.

[e] Νεοκλείδης ὁ γλάμωνος] Scribe Νεοκλείδης ὁ γλάμων. Aristoph. Eccles. 254. Τί δ' ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ; Confer Nostrum supra v. Γλάμων. KUST. γλάμων A.B.V.

[f] Ἀντὶ τοῦ λίαν om. A.V.

[g] Λουκιανὸς ταύτῃ κέχρ.] In libello adversus Indoctum, (c. 5.) ubi sic inquit: Καὶ τῶν ὁρώντων ἕκαστος εὐθὺς τὸ προχειρότατον ἐκεῖνο ἐπιφθέγγεται, Τί κοινὸν κυνὶ καὶ βαλανείῳ; KUST. Deest art. V. Habet A. tantum in marg.

H [h] Τὸ παρὰ] τῷ περὶ Schol. Aristoph.

[i] ἐναντίων] ἐναντίας A.B.V. δι' ἐναντίων E. Vulg. habet Schol.

[k] Ἀριστοφάνης Νεφ.] Ver. 1175.

[l] σου om. A.B.V.E.

[m] ἐπανθεῖ] ἀνθεῖ A.V. ἐπανθεῖς B. Mox ἀδικοῦντος et κακουργοῦντος A.V.

A **Τηρίβαζος**: Ὄνομα κύριον. [z]Ξενοφῶν·

[Ὁ [illegible] Τηρίβαζος φίλος ἦν τῷ βασιλεῖ, καὶ, ὁπότε [a]παρείη, οὐδεὶς ἄλλος τὸν βασιλέα ἐπὶ τὸν [b]ἵππον ἀνέβαλλεν.

Ἀντὶ τοῦ, ἀνεβίβαζε.]

**Τηριδάτης**: Ὄνομα κύριον.

**Τηρῷ**: Αἰτιατική.

**Τήρωνες**: Οἱ ἀρτιμαθεῖς τὰ [c]πολεμικὰ, καὶ οὔπω ἐγγεγυμνασμένοι τοῖς κινδύνοις, τήρωνες καλοῦνται παρὰ Ῥωμαίοις.

B **Τῆς**: [d]Ἀντὶ τοῦ ταύτης. Οὐκ ἔστι [illegible] ἄρθρον. [e]Ὅμηρος·

> Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι.

Ἀντὶ τοῦ, ταύτης. Καὶ ἐν [f]Ὀδυσσείᾳ·

> Εἵνεκα τῆς ἀρετῆς.

Ἀντὶ τοῦ, ταύτης.

**Τῆς Μεγαρέων ἄξιοι μερίδος**: Ἀντὶ τοῦ, ἄτιμοι.

C **Τῆς μητρὸς ὡς αἲξ κλαβῖται**: Οἱ γὰρ ἔριφοι ἐν τοῖς αἰπολίοις ἀπὸ τῶν μητέρων γνωρίζονται· ἀπὸ πατέρων γὰρ, ἀδύνατον.

**Τῆς μωρίας [[g]τὸν Δία νομίζειν] ὄντα τηλικουτονί**: [h]Ἐπὶ τῶν παραλόγως τι λεγόντων, ἐνηλίκων ὄντων. Οἷον τελείαν ἐχόντων τὴν ἡλικίαν, καὶ πάντα εἰδέναι ὀφειλόντων.

D **Τητᾶσθαι**: Στερίσκεσθαι. [i]Σοφοκλῆς·

> Τοιαῦτ' ἀκούσας, κἀξονειδισθεὶς κακὰ,
> πλέω πρὸς οἴκους, τῶν ἐμῶν τητώμενος
> πρὸς τοῦ κακίστου κὰκ κακῶν Ὀδυσσέως.

Καὶ αὖθις·

> [k]Οὐ τητώμεναι,
> τὸ λοιπὸν ἤδη τοῦ βίου διάξετε.

E **Τῆτες καὶ τῆτα**: Τούτῳ τῷ ἔτει, ἐπ' ἔτος.

> [l]Ἐγελᾶτ', ἀνθ' ὧν [m]λαχὼν Ὑπέρβολος
> τῆτες ἱερομνημονεῖν.

Ἀριστοφάνης Νεφέλαις. [n]Τοῦτο δὲ οἱ Δωριεῖς **τᾶτες** λέγουσι, καὶ διὰ τοῦ δ', [o]**τῆδες**.

**Τητινή**: Χθεσινή. Καὶ οὐδέτερον, **τητινόν**.

**Τητώμενον**: Στερισκόμενον.

**Τηΰσιη**: Ματαία.

**Τί**: Οἱ ἀπὸ τῆς Στοᾶς τοῦτο [p]τὸ Τὶ γένος τοῦ B Ὄντος τίθενται. Τὸ γὰρ Τὶ δῆλον ὅτι καὶ ὄν. Εἰ δὲ ὄν, τὸν τοῦ ὄντος ἀναδέχοιτο ἂν λόγον. Διὸ καὶ γενικώτερον αὐτό φασιν εἶναι, κατηγορούμενον οὐ κατὰ σωμάτων μόνον, ἀλλὰ καὶ κατ' ἀσωμάτων.

**Τιάρα**: [q]Κόσμος ἐπικεφάλαιος, ἣν οἱ βασιλεῖς μόνοι [r]ὀρθὴν ἐφόρουν παρὰ Πέρσαις· οἱ δὲ στρατηγοὶ, κεκλιμένην. Καὶ [s]Δημάρατος ὁ Λακεδαιμόνιος, ὃς δὴ μετὰ Ξέρξου ἦλθεν ἐπὶ τὰς Ἀθήνας, ἐπί τινος εὐημε- C ρίας συγχωρήσαντος αὐτῷ τοῦ βασιλέως ὃ θέλει αἰτήσασθαι, ᾐτήσατο ἐν ὀρθῇ τῇ τιάρᾳ εἰς Σάρδεις εἰσελάσαι· ὡς [t]Φύλαρχος ἐν ί. Τὸ δ' αὐτό φασιν εἶναι καὶ [u]κίταριν. Θεόφραστος δ' ἐν τῷ Περὶ βασιλείας Κυπρίων, τὴν κίταριν, ὡς διάφορον.

**Τιαρηφόρος**:

**Τὶ βαιόν**: Ἀντὶ τοῦ, οὐδὲ ὀλίγον. [x]Σοφοκλῆς·

> Τί βαιὸν οὕτως ἐντρέπῃ [y]τῆς συμμάχου.

D **Τιβέριος**, [z]φιλόσοφος, καὶ σοφιστής. Περὶ ἰδεῶν λόγου, βιβλία γ', Περὶ παρασκευῆς, Περὶ μεταποιήσεως, Περὶ ἱστορίας, Περὶ λόγου τάξεως [a]καὶ συνθέσεως, Περὶ διαιρέσεως λόγου, Περὶ μεταβολῆς λόγου [b]πολιτικοῦ, Περὶ λόγων ἐπιδεικτικῶν, Περὶ προλαλιῶν καὶ προοιμίων, Περὶ ἐπιχειρημάτων, Περὶ Δημοσθένους καὶ Ξενοφῶντος, Περὶ Ἡροδότου καὶ Θουκυδίδου.

E **Τιβέριος**, [c]Ὀκταβίου υἱὸς, βασιλεὺς Ῥωμαίων,

---

ΤΗΡΙΒΑΖΟΣ] Τηριβάζης A.V.

[z] Ξενοφῶν] Ἀναβ. lib. IV. p. 327. ut Portus etiam monuit. Vide quoque v. Ἀνέβαλε, et v. Τιρήβαζος, ubi idem fragmentum legitur. KUST. IV. 4, 4. Seqq. om. A.

[a] παρήει] παρείη B.V.

[b] ἵππον] ἵ. ἀνεβίβαζεν ἥγειν V.

[c] πολεμικὰ] πολέμια A.B.V.E.

[d] Ἀντὶ τοῦ ταύτης. Οὐκ ἔστι [illegible] ἄρθρον] Observatiuncula hæc infirmo tibicine nititur. Potius enim contra Suidam dixerim, voculam τῆς in subjunctis locis Homeri esse articulum, non vero ibi pro ταύτης poni. KUST. Mihi secus videtur, et omnino recte hæc Homeri loca ab Suida esse adducta ad demonstrandum τῆς poni pro ταύτης: nec enim aliter in utroque loco accipi posse. BOS. Qui plura. Præstat excerpere Schol. Ven. ad priorem locum: Ἔξωθεν δεῖ λαβεῖν τὸ ἄρθρον· τὸ γὰρ τῆς νῦν ἀντὶ τοῦ ταύτης παρείληπται, καὶ ἔστιν ὁ λόγος μήποτε τῆς ταύτης εὐνῆς ἐπιβήμεναι. Hunc Schol. proculdubio ob oculos habuit Suidas.

[e] Ὅμηρος] Il. ί. 133. KUST.

[f] Ὀδυσσείᾳ] β'. 206. Ubi Schol. Ὁ [illegible] Ἀρίσταρχος λείπειν φησὶ τὸ ἄρθρον, ἵν' ᾖ εἵνεκα τῆς ταύτης ἀρετῆς.

ΤΗΣ ΜΕΓΑΡΕΩΝ ἈΞ.] Confer Nostrum supra v. Μεγαρέων ἄξιοι μερίδος: et infra v. Ὑμεῖς ὦ Μεγαρεῖς. KUST.

ΤΗΣ ΜΩΡΙΑΣ ΤΟΝ Δ.] Aristoph. Nub. 816. KUST.

[g] ΤΟΝ ΔΙΑ ΝΟΜΙΖΕΙΝ om. A.B.V. τ. Δ. νομίζεις E. Post h. gl. delevi ΤΗΣ ΣΑΡΚΟΣ ΠΡΟΝΟΙΑΝ ΜΗ ΠΟΙΕΙΣΘΕ ΕΙΣ ἘΠΙΘΥΜΙΑΣ: Ζήτει ἐν τῷ ὙΠΩΠΙΑΖΩ, cum A.V. Habet tamen A. in marg. ubi ὄνειαρ et πεποίηθε.

[h] Ἐπὶ τῶν παραλόγως τι λεγόντων ἐνηλ.] Videtur Grammaticus noster existimasse, citata verba Aristophanis sensum proverbialem habere. Sed id cum secus se habeat, observatiuncula hæc lituram meretur. KUST.

[i] Σοφοκλῆς] Philoct. 383.

[k] Οὐ τητώμ.] Sophocl. Œdip. Colon. 1618.

[l] Ἐγελᾶτ', ἀνθ' ὧν λ.] Aristoph. Nub. 624. ἐγελᾶτ' om. E.

[m] λαχὼν Ὑπέρβολος] Ὑπέρβολον ἔλαχε A.V.

[n] Τοῦτο δὲ] [illegible] om. A.

F [o] ΤΗΔΕΣ] Sic Schol. Aristoph. Ach. 15. τῆδε V.

ΤΗΤΩΜΕΝΑ] Schol. Platon. p. 229. Τητώμενα: στερισκόμενα.

ΤΗΥΣΙΑ] Τηΰσιη A. Τηΰσιην Od. γ'. 316.

[p] τὸ Τὶ] τὸ om. V. qui infra αὐτῷ φασιν.

[q] Κόσμος ἐπικ.] Conf. Schol. Aristoph. Av. 487. Platon. p. 185.

[r] ὀρθὴν] Philostrat. Ep. 29. πρέπει βασ. μεγάλῳ περθητῇ τιάρα. Leg. ἡ ὀρθὴ τιάρα. Illud τῇ est geminatio syllabæ sequentis. Vide Wesseling. Obs. p. 175. Xenoph. Anab. p. 175. [II. 5, 23.] ubi v. Hutchinson. Eunap. in G Ædes. p. 46. Herodot. Wessel. p. 88. TOUP.

[s] Δημάρατος] Senec. de Benef. VI. 31. REINES. Mox ἐπί τινας V.

[t] Φίλαρχος] Scribe Φύλαρχος. KUST. Sic A.B.V.E. Photius. Mox ἐν ῑ A.V. Photius. ἐν ἑνδεκάτῳ vulg.

[u] κίταριν] Vide Hesych. v. Κίδαρις. KUST.

ΤΙΑΡΟΦΟΡΟΣ] Τιαρηφόρον A. Τιαρηφόρος B.V. Τιαροφόρος E.

[x] Σοφοκλῆς] In Aj. 90.

H [y] τῆς συμμάχου] τῆς σῆς σ. E. τῆς συμμαχίας V.

[z] φιλόσοφος] Leg. φιλόλογος. Nihil est in scriptis enumeratis, quod philosophum indicet. HEMST.

[a] καὶ συνθέσεως] περὶ συνθέσεως V.

[b] πολιτικοῦ] ποιη" V. Qui in fine om. Περὶ Ἡροδότου καὶ Θουκυδίδου.

ΤΙΒΕΡΙΟΣ, Ὀκταβίου υἱὸς, βασ.] Quæ hic Suidas de Ti-

[b]Ἄριστος δὲ ὑπάρχων ἐν νεότητι, καὶ [c]πρὸς γῆρας ἐλθὼν, [d]αἰφνίδιον εἰς τὴν χείρονα μετεβλήθη γνώμην, ὥστε καὶ [e]παραφρονεῖν αὐτὸν νομισθῆναι, καὶ ὑπὸ δαίμονος ἐλαύνεσθαι [f]πρὸς πᾶσαν ἀνοσιουργίαν τε καὶ μανίαν καὶ οἰστρηλασίαν, οὐ μόνον ἐν τοῖς κατὰ φύσιν, ἀλλὰ καὶ ἐν τοῖς παρὰ φύσιν, καὶ ἐν πάσῃ ἀδικίᾳ καὶ τυραννίδι. [g]Οὕτω δὲ μεταπεσὼν εἰς κακίαν, καταστρέφει τὸν βίον. A

Τιβεριέων δῆμος: B

Τιβία: Ὅλη ἡ Φρυγία οὕτω καλεῖται.

Τί γὰρ δὴ δελφῖνι καὶ βοΐ φασὶ κοινὸν εἶναι, [h]Σύλλᾳ τε καὶ φιλοσόφοις:

Τί γάρ με [i]λυπεῖ τοῦθ', ὅταν λόγῳ θανὼν, Ἔργοισι σωθῶ, κἀξενέγκωμαι κλέος; Δοκῶ μὲν ὡς οὐδὲν ῥῆμα σὺν κέρδει κακόν. Ἤδη γὰρ εἶδον πολλάκις καὶ τοὺς σοφοὺς Λόγῳ μάτην θνήσκοντας, τοῖς δ' ἔργοισιν οὔ: [k]Ἀριστοφάνης· C

Τί γάρ σε πέφευγ', ὅσα χρὴ
σοφὸν ἄνδρα; τί δ' οὐ [l]σὺ φρονεῖς, ἀνύσαι
[m]χρεὼν ἔστι τὸν σοφῇ δόκιμον
[n]φρενὶ, πορίμῳ τόλμῃ.

Τουτέστι, Τί σε πέφευγε; τί γὰρ οὐ ποιεῖς, ὅσα χρὴ τοὺς ἐπιστήμονας; Πορίμῳ δὲ, ἀντὶ τοῦ εὐπόρῳ πρὸς τὸ ἐπινοεῖν. D

Τιγίλλιος: Ὄνομα κύριον.

Τίγρις: Τὸ ζῶον. [o]Τίγρης δὲ, ὄνομα ποταμοῦ.

Τί δ' ἄλλο Μεγαροῖ: Λείπει τὸ, ἢ τοῦτο τὸ [p]ἀπολέσαι ἡμᾶς [q]σπουδάζειν;

Τί δαί: Τί δή; [r]καὶ οὕτως μὲν λέγουσιν τὸ τί δή. [s]Ἀριστοφάνης Πλούτῳ·

Τί δαί; τὰς τριήρεις οὐ [t]σὺ πληροῖς; εἰπέ μοι.

[u]Ἔστι δὲ σύνδεσμος ἐρωτηματικὸς διὰ τὴν ἔκτασιν διὰ διφθόγγου [x]γραφόμενος. Καὶ [y]Ὅμηρος·

[z]Τίς δαίς; τίς δαὶ ὅμιλος;

Ἐν Ὀδυσσείᾳ.

Τί δαί: Εἰπόντος τοῦ δανειστοῦ,

[a]Ληρῶ, τὰ χρήματ' ἀπολαβεῖν εἰ βούλομαι;

Τοῦ Στρεψιάδου ἀντιφήσαντος·

Οὐκ ἔσθ' ὅπως [b]σύ γ' αὐτὸς ὑγιαίνεις·

ἐπέφερεν ὁ δανειστής·

Τί δαί.

Τί δῆτα θεῶν στρέφῃ: Ἀντὶ τοῦ, [c]ἐνδιατρίβεις;

Τί δῆτ' ἂν ἀλγοίης ἐπ' ἐξειργασμένοις: Ἀντὶ τοῦ, ἐπὶ τετελεσμένοις, καὶ ἴασιν οὐκ ἔχουσιν.

Οὐ γὰρ γένοιτ' [d]ἂν ταῦθ' ὅπως οὐχ ὧδ' ἔχειν.

[e]Ὅπως ταῦτα μὴ οὕτω σχοίη· κατὰ τὸ τοῦ Σιμωνίδου·

Τὸ γὰρ γεγενημένον οὐκέτ' [f]ἄρεκτον ἔσται.

Τί δῆτά σοι: [g]Τί σοι;

Τί ἐστι τὸ [h]ἐν τοῖς Δημοσθένους Φιλιππικοῖς,

[b] Ἄριστος] δὲ addunt A.V. Quum hæc ad Tiberium Augusti successorem, Kustero monente, manifeste pertineant, a superioribus sejunxi.

[c] πρὸς] ὑπὸ A.

[d] αἰφνίδιον εἰς τὴν χ.] Eadem in præcedenti articulo de Tiberio, Augusti successore, dicuntur. Quare videtur Compilator Tiberium hunc, qui erat Justini successor, cum altero Tiberio confudisse: vel saltem huic male tribuere, quæ ad alterum pertinent. KUST. E

[e] παραφρονεῖν etc.] Philostorg. p. 524. de Posidonio medico celeberrimo. Hæc Evangelistæ synonyma sunt. TOUP. Mox καὶ πρὸς δαίμονος M.

[f] καὶ πρὸς] καὶ om. A.V. Tum V. om. τε καὶ μανίαν.

[g] Οὕτω δὲ] καὶ οὕτω V. omissis μεταπ. εἰς κακίαν.

ΤΙΒΕΡΙΕΩΝ ΔΗΜΟΣ] Joseph. B. J. II. 21, 3.

ΤΙΒΙΑ: Ὅλη ἡ Φρ.] Nimirum a monte Tibio, qui situs erat in Phrygia. Vide Steph. Byzant. v. Τίβειον. KUST. Ex Proverb. Vat. II. 71. monente Hemsterhusio ad Lucian. Tim. 22. F

ΤΙ ΓΑΡ ΔΗ] Vid. Ælian. de Anim. XIV. 25. HEMST.

[h] Σύλλᾳ] Σύλᾳ V.

ΤΙ ΓΑΡ ΜΕ ΛΥΠ.] Sophocl. Electr. 59.

[i] ΛΥΠΟΙ] λυπεῖ A.V.E. Mox μάτην om. A.V. deinde ἔργοις A.V.E. G

[k] Ἀριστοφάνης] Pac. 1027.

[l] σὺ φρονεῖς] σωφρονεῖς B.E.

[m] χρεὼν] χρεών ἐστι A.V.

[n] φρενὶ καὶ] καὶ om. A.V.E. φρενὶ πορίμῳ τε Aristoph.

ΤΙΓΙΛΛΙΟΣ] Τιγιλλῖ A.V. i. e. Τιγιλλῖνος.

[o] ΤΙΓΡΗΣ] Τίγρης τε V.E. Post ποταμοῦ E. addit καὶ Πίγρης.

ΤΙ Δ' ἌΛΛΟ ΜΕΓΑΡΟΙ] Aristoph. Acharn. 758. Δ. Αὐτίκ' ἄρ' ἀπαλλάξεσθε πραγμάτων. Μ. Σαμάν. Τί δ' ἄλλο; Δ. Μεγαροῖ πῶς ὁ σῖτος ὤνιος; Μ. Παρ' ἀμὲ πολυτίματος, ᾇπερ τοὶ θεοί. Ad hunc locum respexit Suidas, et ex eo proinde est reformandus. TOUP. H

[p] ἀπολέσαι] τοῦτο τὸ ἀπολέσαι A.B.E. τοῦτο ἀ. V.

[q] σπουδάζεις] Ms. A. rectius, σπουδάζειν. KUST. et B. V.E.

ΤΙ ΔΑΙ] Τί δὲ Photius. Et sic in Suida reponendum.

[r] οὕτω] καὶ οὕτως A.V.

[s] Ἀριστοφάνης Πλούτῳ] Ver. 172. sed ubi pro τί δαί, rectius legitur, τί δέ. KUST.

[t] σὺ πληροῖς] συμπληροῖς V.

[u] Ἔστι σύνδεσμος] Schol. Aristoph. Plut. 156. τί δαί; Σύνδεσμος ἐρωτηματικός· διὰ δὲ τὴν ἔκτασιν διφθογγογραφεῖται. Ammonius: Δαὶ σύνδεσμος ἐρωτηματικὸς, ἐκτεταμένως τίς δαὶ ὅμιλος, καὶ Πῶς δαὶ τῶν ἄλλων Τρώων. (Il. κ'. 408.)

[x] γραφόμενος] γραφόμενον A.

[y] Ὅμηρος] Odyss. α'. 225. Ceterum, locus hic Poëtæ nihil ad rem facit. KUST. Immo facit, modo inseras cum mss. δαὶ ante ὅμιλος.

[z] Τίς δαίς] τίς δαὶς καὶ ἐν ἰδοῦ A. Ante ὅμιλος omnes inserunt δαί.

[a] Ληρῶ] Aristoph. Nub. 1277.

[b] σύ γ'] σὺ δ' V.

ΤΙ ΔΗΤΑ ΘΕΩΝ ΣΤΡ.] Ex Platonis Phædro: [p. 236 E.] sed ubi legitur, Τί δῆτ' ἔχων στρέφῃ: uti etiam hic apud Suidam scribendum est. KUST. Vide Ruhnkenium ad Timæum p. 257. Platonis locum indicaverat Portus.

[c] Τί δὴ ἐνδιατρίβεις] Τί δὴ om. A.V. Photius.

ΤΙ ΔΗΤ' ἌΝ ἈΛΓ.] Sophocl. Aj. 377.

[d] ἂν ταῦθ'] αὖθ' V.

[e] ἀντὶ τοῦ ὅπως] ὅπως τοῦ A.V.E. ὅπως ταῦτα Schol. Mox τὸ om. V.E.

[f] ἄρρεκτον] ἄρεκτον A.E. Schol.

[g] Τί σοι om. B.E.

[h] ἐν τοῖς Δημοσθένους Φιλιππ.] Demosthenes Olynth. II. haud procul initio: Νῦν θεωρῶν καὶ σκοπῶν εὑρίσκω τὴν μὲν ἡμετέραν εὐήθειαν τὸ κατ' ἀρχὰς, ὅτε Ὀλυνθίους ἀπήλαυνόν τινες ἐνθένδε, βουλομένους ἡμῖν διαλεχθῆναι, τῷ τὴν Ἀμφίπολιν φάσκειν παραδώσειν, καὶ τὸ θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο κατασκευάσειν, &c. Ulpianus ad eum locum: Τοῦτο οὖν ἔλεγεν ὁ Φίλιππος, ὅτι τὸ θρυλλούμενον τοῦτο καὶ ποθούμενον ἐν ἀπορρήτῳ κατασκευάσω. Διὰ τί ἐν ἀπορρήτῳ; ἵνα μὴ ἑκάτεροι μαθόντες φυλάξωνται, οἵ τε Ποτιδαιᾶται καὶ οἱ Πυδναῖοι. Θεόπομπος δέ φησιν, ὅτι περὶ Πύδνης μόνον καὶ Φιλίππου, (lego, καὶ Ἀμφιπόλεως) ἵνα λάβῃ αὐτὸς μὲν Ἀθηναίοις Ἀμφίπολιν, δέξη-

Καὶ τὸ [i]θρυλλούμενόν ποτε ἀπόρρητον ἐκεῖνο,

Θεόπομπος ἐν λα' δεδήλωκε. Φησὶ γάρ·

Καὶ πέμπει πρὸς Φίλιππον πρεσβευτὰς, Ἀντιφῶντα καὶ Χαρίδημον, πράξοντας καὶ περὶ φιλίας· οἳ παραγενόμενοι, συμπείθειν αὐτὸν ἐπεχείρουν ἐν ἀπορρήτῳ [k]συμπράττειν Ἀθηναίοις, ὅπως ἂν λάβωσιν Ἀμφίπολιν, ὑπισχνούμενοι Πύδναν. Οἱ δὲ πρέσβεις οἱ τῶν Ἀθηναίων εἰς μὲν τὸν δῆμον οὐδὲν [l]ἀπήγγελλον, βουλόμενοι λανθάνειν τοὺς Πυδναίους, ἐκδιδόναι μέλλοντες αὐτούς· ἐν ἀπορρήτῳ δὲ μετὰ τῆς βουλῆς ἔπραττον.

Τίη; Διατί δή;

Τί ἱκανόν; Τί ὄφελος;

Τιθασεύει: [Αἰτιατικῇ.] Ἡμεροῖ, πραΰνει.

Τιθασόν: Ἥμερον. Καὶ ἀτίθασον, τὸ ἄγριον, καὶ μὴ ἥμερον.

Τιθέντες: Ποιοῦντες.

Τίθεσθαι:

[m]Ὁ δὲ [n]πρέσβεις ἔστειλε πρὸς τοὺς Μεγαρέας, παρακαλῶν ἔτι καὶ νῦν τίθεσθαι τὰ πράγματα, καὶ μὴ κινδυνεύειν τοῖς ὅλοις.

Ἀντὶ τοῦ, συγκατατίθεσθαι, διαπράττεσθαι.

Τιθηνάς: Τροφούς. Καὶ [o]τιθηνήτηρ.

[p]Πολλὰ τιθηνήτηρ ὀλοφύρατο χερσὶν ἀμήσας
[q]ἀνδρομάχοις δνοφερὰν κρατὸς ὕπερθε κόνιν.

Καὶ τιθήνη.

Τιθηνός: Κυρίως, ἐπὶ γυναικὸς τῆς τιθηνούσης καὶ τρεφούσης· κατὰ [r]μεταφορὰν δὲ λέγεται καὶ ἡ γῆ τιθηνός.

Τιθηνούμενος: Τρέφων. [s]Τιθηνὸς γὰρ ἡ τροφός.

Τίθησι: Ποιεῖ.

Τιθὶς, τιθίδος. [t]Καὶ τιθῶ, αἰτιατικῇ.

Τιθωνοῦ γῆρας: Παροιμία. Ἐπὶ τῶν πολυχρονίων καὶ ὑπεργήρων τάσσεται. Ἱστορεῖται δὲ [u]ὅτι

A ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ γῆρας ἐκδύσασθαι εἰς τέττιγα μετέβαλεν. [x]Ἀριστοφάνης·

Ἄνδρα Τιθωνὸν σπαράττων, καὶ ταράττων, καὶ κυκῶν.

Τίθρασος: [y]Πόλις τῆς Λιβύης. [z]Καὶ Ἀριστοφάνης·

Γοργόνες Τιθράσιαι.

Ἔνθα αἱ Γοργόνες διέτριβον. Ἀπὸ δήμου τῆς Ἀττικῆς πονηροῦ. Διαβάλλουσι γὰρ τὸν δῆμον τοῦτον ὡς

B κακοπράγμονα.

Τιθραΐστης: Ὄνομα κύριον.

Τιθοί: Οἱ μαζοί.

Τιθύμαλλος: Εἶδος βοτάνης δριμυτάτης, παρὰ [a]Λάκωσιν εὑρισκομένης· ᾧ παρήλειφον τὰ βλέφαρα τῆς ἑσπέρας. Καὶ [b]Ἀριστοφάνης περὶ Νεοκλείδου τοῦ γλάμωνος·

Σκόροδ' ὁμοῦ τρίψαντα τιθυμάλλῳ.

C [c]Εἰώθασι δὲ οἱ ἰατροὶ ὑπ' ἀλαζονείας πατρίδας ὀνομάζειν τῶν βοτανῶν, οἷον, [d]Κυρηναϊκὸν ὀπόν· τιθύμαλλος Λακωνικός. Εἴρηται δὲ ἐπὶ τῶν λημώντων τοὺς ὀφθαλμοὺς, [e]Νεοκλείδης ὁ γλάμων.

Τί καλὴ ἡ τάξις: [[f]Ἀντὶ τοῦ λίαν.]

[Τί κοινὸν κυνὶ καὶ βαλανείῳ: Παροιμία ἐπὶ τῶν ἀναρμοδίων. [g]Λουκιανὸς ταύτῃ χρῆται.]

D Τί λέγεις σύ; [h]Τὸ παρὰ τὴν συνήθειαν κἀνὰ χεῖρα. Εἰώθαμεν γὰρ ἐν ταῖς τῶν [i]ἐναντίων διαλέξεσι λέγειν, τί λέγεις σύ; ἐκπλῆξαι αὐτοὺς βουλόμενοι. [k]Ἀριστοφάνης Νεφέλαις·

Ὡς ἥδομαί ([l]σου) πρῶτα τὴν χροιὰν ἰδών.
Νῦν μέν γ' ἰδεῖν εἶ πρῶτον ἐξαρνητικὸς,
κἀντιλογικός· καὶ τοῦτο τοὐπιχώριον
ἀτεχνῶς [m]ἐπανθεῖ, τὸ, Τί λέγεις σύ; καὶ δοκεῖν

E

ται δὲ παρ' αὐτῶν τὴν Πύδναν, αὐτοῦ οὖσαν. Καὶ τὸ ἀπόρρητον δὲ, ἵνα μὴ μαθόντες οἱ Πυδναῖοι φυλάξωνται, οὐ γὰρ ἐβούλοντο εἶναι ὑπὸ τὸν Φίλιππον. Hæc pulchre confirmant et illustrant ea, quæ Suidas hic tradit. KUST. Conf. Menag. ad Diog. Laërt. IV. 2.

[i] θρυλλούμενον] θρυλούμενον Photius.

[k] συμπράττειν Ἀθηναίοις om. E.

[l] ἀπήγγελλον] ἀπήγγελον V. ἀπήγγειλαν E. suprasc.

ΤΙΘΑΣΣΕΥΕΙ] Τιθασεύει A. Photius. αἰτιατικῇ om. A.V. Photius.

F

ΤΙΘΑΣΣΟΝ] Τιθασὸν A. Photius. Καὶ ἀτίθασσον etc. post πραΰνει B.V.

[m] Ὁ δὲ πρέσβεις] Hoc fragmentum proculdubio Polybio adjudicandum est, qui ita loquitur, lib. VIII. p. 735. Ταχὺ δὲ καὶ τοῦ κήρυκος παραγενομένου πρὸς τὴν Λαοδίκην, καὶ διασαφοῦντος τὰ περὶ τὸν Ἀχαιὸν, καὶ κελεύοντος ΤΙΘΕΣΘΑΙ ΤΑ ΠΡΑΓΜΑΤΑ. Quem locum minus intellexerunt viri eruditi. Optime Suidas συγκατατίθεσθαι exponit. Latini, *componere*. Rem satis dilucidatam dabit Dexippus in Excerptis Hœschelii, p. 5. Κράτιστον δὴ τούτων εἵνεκα δι' εἰρήνης αἱρεῖσθαι ὑμᾶς τὰς ἐκ τῆς ὁμονοίας ὠφελείας, καὶ ΤΟΥ ΠΟΛΕΜΟΥ ΠΡΑΓΜΑΤΑ ΣΥΝ ΗΜΙΝ ΤΙΘΕΣΘΑΙ. Quod egregium et perspicuum est. TOUP.

G

[n] πρέσβυς] πρέσβεις A. Mox πείθεσθαι M.

ΤΙΘΗΝΑΣ] Rectius, τιθήνας, cum accentu in penultima. KUST.

[o] ΤΙΘΗΝΗΤΕΙΡΑ] τιθηνήτηρ A.B.V.E. et mox in versu.

[p] Πολλὰ τιθηνήτειρ' ὀλοφ.] Anthol. Pal. VII. 241.

H

[q] ἀνδρομάχης] ἀνδρομάχοις A.V. In fine καὶ τιθήνη om. A.

[r] μεταφορὰν] μεταφορὰν δὲ A.V.

[s] Τιθηνὸς γὰρ ἡ τρ. addunt A.B.V. Photius.

ΤΙΘΙΣ] Scribendum est, τιτθὶς, τιτθίδος. KUST. Sic Portus.

[t] Καὶ ΤΙΘΩ αἰτ. A. in marg.

ΤΙΘΩΝΟΥ ΓΗΡΑΣ] Vid. supra p. 1994 B.

[u] ὅτι ὁ Τιθωνὸς ἐπιθυμίᾳ τοῦ τὸ] ὁ Τιθωνὸς τοῦτο A. ὅτι om. E. Cum vulg. consentit Photius.

[x] Ἀριστοφάνης] Acharn. 688. καὶ ταράττων om. A.

[y] Πόλις] τόπος V.

[z] Καὶ Ἀριστοφάνης] Ran. 480.

ΤΙΘΡΑΥΣΤΗΣ] Τιθραύστης V.E. Bos. qui citat Corn. Nepot. Datam. c. 3. Deest A.

ΤΙΘΟΙ] Scribe τιτθοί. KUST. Sic Portus.

[a] Λάκωσιν] Λάκωσ A.

[b] Ἀριστοφάνης] Eccles. 404. Σκόροδ' ὁμοῦ τρίψαντ' ὀπῷ Τιθυμάλλου ἐμβαλόντα τοῦ Λακωνικοῦ. KUST. Mox λάμωνος A.V.

[c] Εἰώθασι δὲ οἱ ἰατρ.] Confer Nostrum supra v. Γλάμων, et v. Ἰατρός: ubi eadem leguntur. KUST.

[d] Κυρηναϊκὸν ὀπὸν] Potius casu recto, Κυρηναϊκὸς ὀπός. KUST. Mox τιθύμαλλον Λακωνικὸν E.

[e] Νεοκλείδης ὁ γλάμωνος] Scribe Νεοκλείδης ὁ γλάμων. Aristoph. Eccles. 254. Τί δ' ἢν Νεοκλείδης ὁ γλάμων σε λοιδορῇ; Confer Nostrum supra v. Γλάμων. KUST. γλάμων A.B.V.

[f] Ἀντὶ τοῦ λίαν om. A.V.

[g] Λουκιανὸς ταύτῃ κέχρ.] In libello adversus Indoctum, (c. 5.) ubi sic inquit: Καὶ τῶν ὁρώντων ἕκαστος εὐθὺς τὸ προχειρότατον ἐκεῖνο ἐπιφθέγγεται, Τί κοινὸν κυνὶ καὶ βαλανείῳ; KUST. Deest art. V. Habet A. tantum in marg.

[h] Τὸ παρὰ] τῷ περὶ Schol. Aristoph.

[i] ἐναντίων] ἐναντίας A.B.V. δι' ἐναντίων E. Vulg. habet Schol.

[k] Ἀριστοφάνης Νεφ.] Ver. 1175.

[l] σου om. A.B.V.E.

[m] ἐπανθεῖ] ἀνθεῖ A.V. ἐπανθεῖς B. Mox ἀδικοῦντος et κακουργοῦντος A.V.

Καίτοι γε τίς οὐκ οἶδεν, ὅτι τῶν πώποτε δυναστευσάντων οὐδεὶς ἐλάττοσιν ἀφορμαῖς χρησάμενος μείζω βασιλείαν περιεποιήσατο; χειροτέχνης γὰρ ἐκ παίδων γενόμενος δι' ἀπορίαν [q] βίου καὶ πατέρων ἀδοξίαν, ἐξ ὑστέρου διὰ τὴν [r] ἰδίαν ἀρετὴν οὐ μόνον Σικελίας [s] ὅλης ἐκυρίευσεν, ἀλλὰ [t] πολλὴν τῆς Ἰταλίας καὶ Λιβύης τοῖς ὅπλοις κατεστρέψατο. Θαυμάσαι δ' ἄν τις τοῦ συγγραφέως τὴν [u] εὐχέρειαν. Παρ' ὅλην γὰρ τὴν γραφὴν [x] ἐγκωμιάζων τὴν τῶν Συρακουσίων ἀνδρείαν, τὸν τούτων κρατήσαντα δειλίᾳ φησὶ διενηνοχέναι τοὺς ἅπαντας ἀνθρώπους. [y] Διὰ γὰρ τῶν ἐν ταῖς ἐναντιώσεσιν ἐλέγχων φανερός ἐστι τὸ φιλάληθες [z] τῆς ἱστορικῆς παρρησίας προδεδωκὼς ἰδίας [a] ἕνεκα ἔχθρας καὶ φιλονεικίας. Διόπερ τὰς ἐσχάτας [b] τῆς συντάξεως ε΄ βίβλους τοῦ συγγραφέως τούτου, [c] καθ' ἃς περιείληφε τὰς [d] Ἀγαθοκλέους πράξεις, οὐκ ἄν τις [e] δικαίως ἀποδέξαιτο.

**Τιμή**: Ἔσθ' ὅτε δηλοῖ καὶ τὸ πρόστιμον. [f] Ὅμηρος·

> Εἰ δ' ἂν ἐμοὶ τιμὴν Πρίαμος Πριάμοιό τε παῖδες
> τίνειν οὐκ ἐθέλωσι.

[g] Τιμὴ εὐσεβῶν, δουλεύειν Θεῷ· Πλὴν τὴν τιμήν μου ἐβουλεύσαντο ἀπώσασθαι.

**Τιμήεις**, τιμήεντος.

**Τίμημα**: [h] Ζημία. Ἀριστοφάνης [i] Πλούτῳ·

> Τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ,
> ἐὰν ἁλῷς;

[k] Ἐπέβαλλον γὰρ ζημίαν ἐνίοτε τοῖς ἁλοῦσιν, ἢ χρήματα καταθέσθαι, ἢ τι τοιοῦτον. Καὶ αὖθις·

> Τίμημα τῆς εἰσαγγελίας ἐχούσης χρηματικόν.
> Ταῖς οὐσίαις ἑκάστου τιμήματα πρὸς λόγον τῆς δυνάμεως ἐπιθείς, δικαιότατον πολίτευμα εἰσηγήσατο.

**Τίμημα**: Ἡ ζημία, καὶ ἡ καταδίκη.

**Τίμημα**: Ἀντὶ τοῦ ἐνέχυρον, καὶ οἷον [l] ἀποτίμημα. Ὡς [m] Λυσίας φησίν·

> Οὕτω δὲ φάσκοντες πλείονα μισθώσασθαι, καὶ τίμημα καταστήσασθαι.

Τοῦτο δ' ἐν τοῖς ἑξῆς ἀποτίμημα καλεῖ. Τίθεται δὲ καὶ ἀντὶ τοῦ οἷον κεφάλαιον· ὡς ἐν τῷ Περὶ τῶν [n] συμμάχων Δημοσθένης. Λέγεται δὲ καὶ τὸ ἐκ τῆς οὐσίας [o] εἰσφερόμενον παρ' ἑκάστου τίμημα.

> [p] Ταῖς [q] οὐσίαις ἑκάστου τιμήματα πρὸς λόγον τῆς δυνάμεως ἐπιθείς, δικαιότατον πολίτευμα εἰσηγήσατο.

Ἐν δὲ τῷ κατὰ Μειδίου ἐπὶ τῆς τιμωρίας εἴρηται.

**Τί μήν**; Κατάφασιν δηλοῖ. Ἀντὶ τοῦ, πῶς γὰρ οὔ; διατί γὰρ οὔ;

**Τιμησάμενος**: Κατακρίνας.

> Οὗ κατηγορεῖ Ξάνθιππος, [r] θανάτου τιμησάμενος [s] αὐτῷ. Ὁ δὲ [t] κλινήρης ἀπολογούμενος, ἐζημιώθη ταλάντοις ν΄.

**Τιμησαίμην**: Αἰλιανός·

> [u] Ὃν ἂν ἐγὼ τιμησαίμην πρὸ παντὸς συγγενέσθαι καὶ πᾶσι τυράννοις καὶ τοῖς ἐπὶ μέγα πλούτου προήκουσι.

Καὶ αὖθις Αἰλιανός·

> Τιμησαίμην τὸν βίον πάντα [x] τρισημοίρου, εἰ μὴ ἔχοιμι τοὺς ἐμοὺς κηδεμόνας.

Ἀντὶ τοῦ, [y] ἀλλάξοιμι.

**Τιμήσεως**: Εὐθύνης, ζημίας.

> Ἡ Ῥώμη ἑαυτὴν [z] ἐπιδεδώκει εἰς πολυανθρωπίαν, ὡς ἐκ τῆς ἔγγιστα τιμήσεως ἐφάνη, ἐν ᾗ Ῥωμαίων τῶν ἐν ἥβῃ τέσσαρες μυριάδες [a] ἠριθμήθησαν τριῶν ἀποδέουσαι χιλιάδων.

**Τιμησίθεος**, Τραγικός. Δράματα αὐτοῦ, Δαναΐδες β΄, Ἕκτορος λύτρα, Ἡρακλῆς, Ἰξίων, Καπα-

---

[q] βίου om. V.

[r] ἰδίαν] οἰκείαν V.

[s] ὅλης] σχεδὸν ὅλης Excerpt.

[t] καὶ πολλὴν τῆς Ἰταλίας καὶ Λιβύης] Deest vox μοῖραν, vel simile quid. KUST. καὶ om. Excerpt. μοῖραν de suo adjecit Valesius. Eam vocem minime necessariam esse ostendit Wesselingius. Καὶ πολλὴν om. V.

[u] εὐχέρειαν] εὐχερίαν A. εὐχειρίαν B.V.E.

[x] ἐγκωμιάζων] ἐγκωμιάζει V. Mox ἀνδρίαν A.

[y] Διὰ γὰρ] Potius, διὰ γοῦν. KUST. Sic Valesius e conjectura. γὰρ om. V. Mox ἐν om. A.

[z] τῆς ἱστορικῆς παρρησίας om. V. et mox ἰδίας—φιλονεικίας.

[a] ἕνεκα] ἕνεκεν Excerpt.

[b] τῆς συντάξεως om. V.

[c] καθ' ἃς περιείληφε] ὥσπερ συνετάξατο εἰς V.

[d] Ἀγαθοκλέους πράξεις] πράξεις Ἀγαθοκλέους V.

[e] δικαίως ἀποδέξαιτο] ἀποδέξαιτο, ὡς δι' ἔχθραν προδεδωκότος τῆς ἱστορίας τὸ ἀληθές. V.

[f] Ὅμηρος] Il. γ΄. 288. In ver. sec. ἐθέλ' A. Deest gl. V.

[g] πλὴν τὴν τιμήν—ἀπώσασθαι] Psalm. LXI. 5. TOUP. In eum locum Theodoretus: Ἕνα, φησὶ, σκοπὸν ἔχουσι τῆς τοῦ θεοῦ με γυμνῶσαι προνοίας, ἀφ' ἧς πᾶσαν ἔχω τιμήν τε καὶ εὔκλειαν· τιμὴ γὰρ τῶν εὐσεβῶν τὸ δουλεύειν θεῷ. "Sine dubio," inquit Ernestus, "Suidas illud δουλεύειν θεῷ habuit "pro explicatione τῆς τιμῆς. Sed apud Theodoretum "est una sententia et locus quidam communis."

[h] Ζημία] V. addit καὶ ἡ καταδίκη.

[i] Πλούτῳ] Ver. 480.

[k] Ἐπέβαλλον γὰρ ζημ.] Vide Petitum de Leg. Att. p. 336. KUST. Conf. Herald. adv. Salmas. III. 1.

ΤΙΜΗΜΑ: Ἀντὶ τοῦ ἐνέχ.] Ex Harpocratione. KUST. Vid. Herald. adv. Salmas. p. 215.

[l] ἀποτίμημα] ἐπιτίμημα E.

[m] Λυσίας] Fr. 30. Bekker.

[n] συμμάχων] συμμοριῶν Harpocrat. Phot. Vid. Demosth. p. 183, 5.

[o] παρ' ἑκάστου τίμημα] Respicit, ut patet ex Harpocrat., Orat. c. Aphob. p. 815. extr. Δῆλον μὲν τοίνυν καὶ ἐκ τούτων ἐστὶ τὸ πλῆθος τῆς οὐσίας· πεντεκαίδεκα γὰρ ταλάντων τρία τάλαντα τίμημα.

[p] Ταῖς οὐσίαις] Hoc exemplum male, ni fallor, ex superioribus illatum est. Nullum ejus vestigium vel in Harpocratione vel in Photio.

[q] οὐσίαις] οὐσίαις δὲ V.

ΤΙ ΜΗΝ] Ex Timæo p. 259. ubi vid. Ruhnkenius.

[r] θανάτου] Ælian. V. H. p. 415, 1. Subaud. ζημίαν. v. Τιμῶνται. Dion. Hal. p. 167. TOUP.

[s] αὐτῷ] αὐτὸν B.E. et V. pro v. l.

[t] κλινήρης] Portus vocem hanc ridicule pro nomine proprio viri accipiebat, cum sit nomen appellativum, significans *in lectulo decumbens*. KUST.

[u] Ὃν ἂν ἐγὼ τιμησαίμην πρὸ π.] Vide supra v. Προήκοντα, ubi idem fragmentum legitur. KUST. Manifesta imitatio Herodoti I. 86. Τὸν ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρημάτων ἐς λόγους ἐλθεῖν.

[x] τρισημοίρου] Est vox corrupta. An legendum est, τρισημέρου? ut sit sensus, *Vitam omnem vix tridui spatio dignam censeam*, &c. Sed ob brevitatem fragmenti nihil certi statui potest. KUST. l. τριτημορίου. Ita recte edidit in fragm. Æliani J. Kuhn. HEMST. Similiter fere Bos.

[y] ἀλλάξοιμι] ἀλλάξαιμι V.

[z] ἐπιδεδώκει] ἐπέδωκεν A. Mox φιλανθρωπίαν E.

[a] ἐφάνησαν ἀριθμηθεῖσαι] ἠριθμήθησαν A.B.V.

A ρίων τῶν παρ' Ἰνδοῖς καὶ Ἄραψι καὶ Αἰγυπτίοις, καὶ ὅσα τρέφει Λιβύη· καὶ περὶ ὀρνέων ξένων τε καὶ ἀλλοκότων, καὶ ὄφεων, βιβλία δ'.

Τιμόθεος: Ὄνομα κύριον.

Ὁ Τιμοθέου δὲ πύργος ἐμπέσοι γέ σοι.

Ἀριστοφάνης Πλούτῳ. [l]Οὗτος ὁ Τιμόθεος πλούσιος ὢν, [m]καὶ στρατηγὸς Ἀθηναίων, τεῖχος ᾠκοδόμησεν. [n]Ὃς εἰς τοσοῦτον ἤρθη τύχης, ὡς [o]τὸν δαίμονα φαίνεσθαι ὄψει τούτῳ. Ἐποίουν τε αὐτὸν ἐν εἰκόσιν οἱ B ζωγράφοι κοιμώμενον, καὶ τὰς τύχας φερούσας αὐτῷ εἰς δίκτυα πόλεις, καὶ πορθοῦντα αὐτὰς, [p]αἰνιττόμενοι τὴν εὐδαιμονίαν αὐτοῦ. Ἀλαζονευόμενος δὲ ἐπὶ εὐτυχίᾳ ὁ Τιμόθεος, ἔφη, αὐτοῦ εἶναι μᾶλλον ἢ τῆς τύχης τὰ κατορθώματα. Διὸ καὶ ἠτύχησεν ὕστερον, νεμεσησάσης αὐτῷ τῆς τύχης. Πολλοὶ δὲ Τιμόθεοι [q]κωμῳδοῦνται. Νῦν δὲ τὸν στρατηγὸν λέγει.

C Τιμοκλῆς, Ἀθηναῖος, κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστι, Δημοσάτυροι, Κένταυρος, Καύνιοι, Ἐπιστολαὶ, Ἐπιχαιρέκακος, Φιλοδικαστὴς, Πύκτης· ὥς φησιν Ἀθήναιος ἐν [r]Δειπνοσοφισταῖς.

Τιμοκλῆς ἕτερος, καὶ αὐτὸς κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστι, Διονυσιάζουσαι, Πολυπράγμων, [s]Ἰκάριοι, Δῆλος, Λήθη, Διόνυσος, Κονίσαλος, Πορφύρα, (ἥτις καὶ δοκεῖ Ξενάρχου εἶναι,) Ἥρωες, Δρα- D κόντιον, [t]Νέαιρα, (ἑταίρας δὲ ὄνομα ἐστὶν ἡ Νέαιρα,) [u]Ὀρέστης, Μαραθώνιοι. [[x]Ταῦτα Ἀθήναιος λέγει ἐν τοῖς βιβλίοις τῶν Δειπνοσοφιστῶν. Εἰσὶ δὲ] καὶ ἄλλα.

Τιμοκρέων, Ῥόδιος, [y]κωμικὸς καὶ αὐτὸς τῆς ἀρχαίας κωμῳδίας. Διεφέρετο δὲ πρὸς Σιμωνίδην τὸν τῶν μελῶν ποιητὴν, καὶ Θεμιστοκλέα τὸν Ἀθηναῖον, [z]εἰς ὃν ἐξύφανε ψόγον δι' ἐμμελοῦς τινος ποιήματος. Ἔγραψε δὲ κωμῳδίαν εἴς τε τὸν αὐτὸν Θεμιστοκλέα, καὶ εἰς Σιμωνίδην τὸν μελοποιὸν, [a]καὶ ἄλλα.

Τιμόλαος, Λαρισσαῖος, ἐκ Μακεδονίας, ῥήτωρ, Ἀναξιμένους τοῦ Λαμψακηνοῦ μαθητής· ὃς καὶ ποιητικῶς ἔχων [b]παρενέβαλε τῇ Ἰλιάδι στίχον πρὸς στίχον, καὶ ἐπέγραψε τὸ σύνταγμα [c]Τρωϊκόν.

Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος,
ἣν ἔθετο Χρύσου κεχολωμένος εἵνεκα κούρης,
οὐλομένην, ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε
μαρναμένοις, ὅτε Τρωσὶν ἄτερ πολέμιζον ἄνακτες.
Πολλὰς δ' ἰφθίμους ψυχὰς [d]Ἄϊδι προΐαψεν
Ἕκτορος ἐν παλάμῃσι δαϊζομένων ὑπὸ δουρί.

Ἔγραψε καὶ ἄλλα τινά.

C [Τιμῶσι: Αἰτιατικῇ. Δοτικῇ δὲ,

Τίμησόν μοι υἱόν.

Τοῦτο δὲ καὶ πρὸς τὴν αἰτιατικὴν ἀπάγεται.]

Τιμῶμαι:

[e]Σωκράτης ὁ φιλόσοφος καταδικασθεὶς ἔφησεν· Ἕνεκα μὲν τῶν ἐμοὶ διαπεπραγμένων τιμῶμαι τὴν δίκην τῆς ἐν Πρυτανείῳ σιτήσεως. Καὶ οἱ θάνατον αὐτοῦ κατέγνωσαν.

Τιμώμενον: Ἀντὶ τοῦ ζημιούμενον.

D Ὄνομα μόνον ἐστὶν ἔργου τιμώμενον.

Ἀντὶ τοῦ ζημιούμενον. Τίμησις γὰρ καὶ ἡ ζημία. Ἢ τὸ εὐθυνόμενον, καὶ ἐπιτίμια ὑπέχον.

Τίμων, ὁ μισάνθρωπος, [f]καὶ αὐτὸς φιλόσοφος, ἀποστρεφόμενος πᾶσαν αἵρεσιν.

---

E [l] Οὗτος ὁ Τιμόθεος κτλ.] Quæ hic Suidas de Timotheo refert, leguntur etiam apud Scholiastam Aristoph. ad Plut. 180. KUST. Deest art. A.

[m] καὶ στρατηγὸς] καὶ om. V.

[n] Ὃς εἰς τοσοῦτ.] Confer Ulpianum ad Olynth. II. p. 28. KUST.

[o] τὸν δαίμονα] τὴν δ. Schol. Aristoph.

[p] αἰνιττόμενοι] αἰνιττόμενοι B.V.E.

[q] κωμῳδοῦνται] κωμῳδοτικοὶ V.

TIMOKΛΗΣ, Ἀθην.] Hic et qui sequitur Timocles unus idemque est. Alteruter ex his vixit cum Demo- F sthene, qui natus est Ol. XCIX. an. 4. obiit a. 3. Ol. CXIV. ἐκωμῴδει γὰρ τοῦτον, uti et Antiphanes. Plut. in Demosth. t. II. p. 845. REINES.

[r] τοῖς βιβλίοις τῶν Δειπνοσοφιστῶν] Δειπνοσοφισταῖς A.V.

TIMOKΛΗΣ ἕτερ.] Male Suidas Timoclem hunc a priore diversum facit, cum sit idem Comicus: ut censet etiam Meursius in Bibliotheca Attica. KUST.

ib. Τιμοκλῆς] Vid. locum Antiphanis in Ἀνάριστος. HEMST.

G [s] Ἰκάριοι] Athen. VIII. p. 339. puto esse eandem cum Nicoclis Ἀκαρίοις. REINES.

[t] Νεαίρᾳ] Vid. supra p. 311 B.

[u] Ὀρέστης] Athen. XIII. p. 567. Ὀρεσταυτοκλείδης. ubi vid. not. REINES.

[x] Ταῦτα—εἰσὶ δὲ om. A.

TIMOKPEΩN] Quum partes Medorum secutus fuisset, calculo Themistoclis damnatus et exterminatus est, Plutarch. in Demosth. c. 21. momordit autem ἐν ᾄσματι Themistoclem, ibid. Ælian. V. H. I. 27. eum inter ἀδ- H δηφάγους numerat atque pugilem simulque poëtam vocat. Ejus epitaphium est ap. Athen. X. p. 415. REINES.

[y] κωμικὸς] Suidam inter Comicos Timocreontem perperam recensuisse sententia est Clintoni Fast. Hellen. ad a. 471.

[z] Εἰς ὃν ἐξύφανε ψόγον δι' ἐμμελοῦς π.] Hoc poëma intelligit Plutarchus in Themistocle, p. 122. ubi ait: Τιμοκρέων δ' ὁ Ῥόδιος, μελοποιός, ἐν ᾄσματι καθάπτεται πικρότερον τοῦ Θεμιστοκλέους, ὡς ἄλλους μὲν ἐπὶ χρήμασι φυγάδας διαπραξαμένου κατελθεῖν, αὐτὸν δὲ ξένον ὄντα καὶ φίλον ὄντα προεμένου δι' ἀργύριον. Λέγει δ' οὕτως. Et paulo post: Πολὺ δ' ἀσελγεστέρᾳ καὶ ἀναπεπταμένῃ μᾶλλον εἰς τὸν Θεμιστοκλέα κέχρηται βλασφημίᾳ μετὰ τὴν φυγὴν αὐτοῦ καὶ τὴν καταδίκην ὁ Τιμοκρέων, ᾆσμα ποιήσας, οὗ ἐστιν ἀρχὴ, &c. KUST.

[a] καὶ ἄλλα] Inter ea erant et Scolia. Vide Nostrum supra v. Σκολιὸν, et Enarratorem Comici ad Ran. 1337. Ceterum, non alienum erit ab hoc loco monere, epitaphium in Timocreontem hunc exstare Anthol. lib. III. c. 7. p. 308. [Pal. VII. 348.] et apud Athen. lib. X. c. 4. p. 415. KUST.

TIMOΛΑΟΣ, ΛΑΡΙΣΣ.] Eustathius in Proœmio Odyss. Τιμόλαος, ὁ εἴτε Λαρισσαῖος, εἴτε Μακεδὼν, εἴτε καὶ ἄμφω, λειψυδρίαν οἷον ἐκεῖ καταγνοὺς τοῦ ποιητικοῦ Ὠκεανοῦ, ὠχετήγησε μισγαγκείας τινὸς δίκην σιάλους ὥσπερ τινὰς ἢ μίξας τὰ παρ' ἑαυτοῦ. Λέγεται γὰρ ὅτι παρενέβαλε τῇ Ἰλιάδι ἐκεῖνος στίχον πρὸς στίχον, ἐπιγράψας τὸ σύγγραμμα Τρωϊκά. Οἷον, Μῆνιν ἄειδε θεὰ, &c. Reliqua enim, ut hic apud Suidam. KUST. Vid. et Hesych. Miles. p. 54.

[b] παρενέβαλε τῇ Ἰλιάδι στίχ.] Simili modo Iliadem Homericam olim interpolaverat Pigres, ut testatur Suidas supra v. Πίγρης, quem consule. KUST.

[c] Τρωϊκὸν] Eustathius loco laudato, Τρωϊκά: quod mallim. KUST.

[d] ἄϊδι προΐαψεν om. A. et supra om. ἄλγε' ἔθηκε.

TIMΩ] Delevit h. gl. Kusterus, neque agnoscunt A.V. Τίμησόν μοι etc. Homeri est Il. α'. 505.

[e] Σωκράτης ὁ φιλόσοφος καταδ.] Hæc sunt verba Laërtii in Socrate, lib. II. num. 42. Confer Petitum de Leg. Att. p. 335. 336. KUST. Vid. Fischer. ad Platon. Apol. 26. p. 143.

TIMΩN, ὁ Μισανθρ.] Ejus crebra apud Scriptores veteres mentio occurrit. Lucianus vero et Dialogum

Αὐτὰρ ἐγὼ τὸ πρὶν μὲν ἐκάγχασα, δεσμὰ τινάξαι αἰόμενος.

Τίνειν: Διδόναι. Καὶ τῖνε, [f]ἀποδίδου.

Τινθαλέοισι: Χλιαροῖς, θερμοῖς.

Τινθαλέοισι κατικμήναιντο λοετροῖς.

Χλιαροῖς, θερμοῖς, καθυγρανθείησαν.

Τιννύμενος: Ἀπαιτούμενος, ἀποδιδόμενος.

Τίννυνται: Τιμωροῦνται.

Τίοντες: Τιμῶντες.

Τίος: Τόπος.

Τί οὐ γενήσῃ ἰὼν ἐς Ἀρβήλας;

Τί οὐκ ἀπήγξω, ἵνα Θήβῃσιν ἥρως γένῃ: Κέχρηται [g]τῇ παροιμίᾳ Πλάτων ἐν Μενελάῳ· παρὰ
F τὴν ἱστορίαν. Οἱ γὰρ ἐν Θήβαις ἑαυτοὺς [h]διαχειρισάμενοι οὐδ᾽ ἡστινοσοῦν τιμῆς ἠξιοῦντο.

Τί οὖν ἔτι ζῇ τῶν κοράκων πονηρία: Τοῦτο φησὶν, ὅτι πονηροὶ οἱ κόρακες, [i]διότι μέχρι καὶ νῦν οὐκ ἐσπάραξάν σε.

Τίω: Τὸ τιμῶ.

Τίπτε: Τί δή.

Τίρεως:

[Τιρήβαζος: Ὄνομα κύριον.

[k]Ὁ δὲ Τιρήβαζος φίλος ἦν τῷ βασιλεῖ, καὶ, ὁπότε παρείη, οὐδεὶς ἄλλος βασιλέα ἐπὶ τὸν ἵππον [l]ἀνέβαλλεν.]

Τίρυνθος: Ὄνομα ὄρους.

Τίς: Ἀντὶ τοῦ, οὐδείς. Δαβίδ·

Ὁ Θεὸς, τίς ὁμοιωθήσεταί σοι;

Σημαίνει δὲ τὸ τίς διάφορα.

Τίς ἔγνω [m]νοῦν Κυρίου;

Καὶ,

Τίς ἐμέτρησε τῇ χειρὶ τὸ ὕδωρ; τίς ἔστησε τὰ ὄρη σταθμῷ;

Τὸ τίς δὲ ἐνταῦθα [n]οὐ τὸ ἄπορον παντελῶς, ἀλλὰ τὸ
A σπάνιον δηλοῖ. [o]Ὡς ἐπὶ τὸ,

Τίς ἀναστήσεταί μοι ἐπὶ πονηρευομένοις;

Καὶ,

Τίς ἐστιν ἄνθρωπος ὁ θέλων ζωήν;

Καὶ παροιμία·

[p]Ἀεί τις ἐν Κύδωνος.

Ἐπὶ τῶν φιλοφρόνως δεχομένων τοὺς ξένους. Ἀπὸ Κύδωνος Κορινθίου, φιλοξένως διατεθέντος [q]ὑπερβαλ-
B λόντως.

Τίς εἰς ἀναπαύλας: Αὗται πορθμευτικαὶ παρὰ Χάρωνος πεύσεις καὶ κηρύγματα·

[r]Τίς εἰς ἀναπαύλας ἐκ [s]κακῶν καὶ πραγμάτων;
τίς εἰς τὸ Λήθης πεδίον;

Λήθης πεδίον χωρίον διατετύπωκεν ἐν ᾅδου οὕτω λεγόμενον· ὡς καὶ τὸν Αὐαίνου λίθον.

[t]Τίς εἰς ὄνου πόκας;

C Οὕτω λέγουσι τὸ ἄχρηστον. Οὐδὲν γὰρ αἱ τοῦ ὄνου πόκαι χρησιμεύουσι. Λέγεται δὲ ἡ παροιμία ἐπὶ τῶν ἀνηνύτων· ἐν ᾧ τρόπῳ φαμὲν, Χύτραν ποικίλλεις. Ἀνήνυτα δὲ καὶ τὰ ἐν ᾅδου. Διὰ τοῦτο οὖν ὄνου πόκας ἀνεπλάσατο ποιητικῶς.

Τισαμενός: Ὄνομα κύριον. Τισάμενος δὲ, ἀντὶ τοῦ τιμωρήσας.

D Τισαμενοφαινίππους: Ὁ Τισαμενὸς ὡς ξένος καὶ μαστιγίας κωμῳδεῖται· ὁ δὲ Φαίνιππος, ὡς συώδης, καὶ ἠταιρηκώς.

Τίς ἀμφὶ χαλκοφάλαρα δώματα κτυπεῖ: Ἀντὶ τοῦ, πολύχαλκα. Τραγικώτερον λέγει, διὰ τὸ [u]μεγαλορρῆμον τοῦ Λαμάχου.

Τίσανδρος: Ὄνομα κύριον.

Τισσαφέρνης: Ὄνομα κύριον. [x]Ὁ Πέρσης. Καὶ
E κλίνεται εἰς ους.

[f] ἀποδίδου] ἀπόδιδε A.

ΤΙΝΘΑΛΕΟΙΣΙ] Nicander Alex. 463. τινθαλέοισιν ἐπαιονάασσο λοετροῖς. Ubi Schneiderus: "Suidæ locus si ex "Nicandro est translatus, tum vero olim ita h. l. lec- "tum fuisse suspicor, τινθαλέοισι κατικμήναιο λοετροῖς."

ΤΙΝΝΥΜΕΝΟΣ] Homerus Odyss. ω'. 325. KUST.

ΤΙΟΣ: Τόπος] Sic A. Τῖος: ὄνομα τόπου E. Vulgo Τῖος πόλις ἐν Παφλαγονίᾳ. Ὁ πολίτης, ΤΗΙΟΣ, καὶ ΤΙΟΣ, κατὰ F κρᾶσιν τῶν δύο ιι· ὡς Χίιος, Χῖος. Vid. Steph. Byz.

ΤΙ ΟΥ ΓΕΝΗΣΗι 'ΙΩΝ 'ΕΣ 'ΑΡΒ.] Confer Nostrum infra v. Τίς οὐ γενήσῃ, &c. ante vocem Τιτανίδαι. KUST. Vid. p. 541 C.

[g] τῇ παροιμίᾳ] οὕτω E. αὐτῇ Photius. Vid. Zenob. VI. 17.

[h] διαχειρισάμενοι] διαχειρωσάμενοι Photius.

ΤΙ ΟΥΝ 'ΕΤΙ ΖΗΤΩΝ ΚΟΡΑΚΩΝ ΠΟΝΗΡΙΑΝ] Sic etiam habent omnes editt. præcedentes, itemque mss. G Paris. B. et C. At antiquissimus ms. Paris. A. rectius, Τί οὖν ἔτι ζῇ τῶν κοράκων πονηρία. KUST. Ex Aristoph. Thesm. 875. ubi ζῶ τῶν.

[i] διότι μέχρι καὶ] καὶ ὅτι μέχρι Schol. Aristoph.

ΤΙΡΕΩΣ] Eunuchus circa reginam, Darii uxorem, inter captivos cum ea, Plut. in Alex. c. 30. REINES.

ΤΙΡΗΒΑΖΟΣ] Supra suo loco rectius, Τηρίβαζος. KUST. Τιρίβαζος A. Τηρίβαζος V. Deest articulus B.E.M. Dedit Aldus.

[k] Ὁ δὲ Τιρήβαζος φίλ.] Hæc sunt verba Xenophontis H lib. IV. de Expedit. Cyr. p. 327. eademque leguntur supra v. Ἀνέβαλλε, v. Παρείη, et v. Τηρίβαζος. KUST.

[l] ἀνέβαλλεν] Addit A. ἀνεβίβαζε. V. ἀνέβαλεν ἀντὶ τοῦ ἀνεβίβαζεν.

ΤΙΣ: Ἀντὶ τ.] Cum hoc loco confer omnino Etymologum v. Τίς, qui melius et fusius hæc exponit. KUST.

Ex Ps. LXXXII. 1. ubi Theodoretus, τὸ δὲ τίς ἀντὶ τοῦ οὐδεὶς τέθεικε. Sequens locus sine dubio est ex Rom. XI. 33. ubi tamen legitur τίς ἔγνω νοῦν κυρίου. [Iesai. XL. 13.] Cetera loca sunt Iesaiæ XL. 12. Ps. XCIII. 17. et Ps. XXXIII. 12. ERNEST.

[m] βουλὴν] νοῦν A. νοῦν βουλὴν V. Tum τῇ χειρὶ—ἔστησε om. A.

[n] οὐκ] οὐ τὸ A.B.V.E.

[o] Ὡς τὸ] ὡς ἐπὶ A. ἀντὶ τοῦ ὡς ἐπὶ τὸ V.

[p] Ἀεί τις ἐν Κυδ.] Vide supra v. Ἀεί τις, ubi eadem leguntur. KUST.

[q] ὑπερβαλλόντως] Addunt A.B.V. ἀεί τις ἐν Κύδωνος τὸ πλῆρες.

[r] Τίς εἰς ἀναπ.] Aristoph. Ran. 186. ubi vide Scholiastam. Confer etiam Nostrum v. Ἀνάπαυλαν, et v. Χάρων, ubi eadem leguntur. KUST.

[s] κακῶν] κακῶν πόνων A.V.

[t] Τίς εἰς ὄνου πόκας] Vide supra v. Ὄνου πόκαι. KUST.

ΤΙΣΑΜΕΝΟΣ] Herodot. IX. c. 33. Ἕλλησι μὲν Τισαμενὸς Ἀντιόχου ἦν ὁ θυόμενος etc. Tisamenus, Thersandri filius, Spartanus, Herod. IV. 147. et VI. 52. De Tisameno vate vid. Pausan. in Eliac. post. c. 14. et Coel. Rhod. Tisamenus, pater Nausicratis Atheniensis: Plin. VII. c. 58. Tisamenus conditor Achaiæ post descensum Heraclidarum ex Ephoro Strab. VIII. extr. REINES. Τισαμενὴς A.V. Mox δὲ ἀντὶ τοῦ om. A.

ΤΙΣΑΜΕΝΟΦΑΙΝΙΠΠΟΥΣ: Ὁ Τισαμ.] Ex Schol. Aristoph. Acharn. 603. KUST.

ΤΙΣ 'ΑΜΦΙ ΧΑΛΚΟΦ.] Aristoph. Acharn. 1071.

[u] μεγαλόρρημον] μεγαλόρημον A. in textu.

ΤΙΣΑΝΔΡΟΣ] Τισ. ὁ Κλεοκρίτου Paus. Eliac. post. c. 13. REINES.

[x] Ὁ Πέρσης om. A.

Τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, A [y]τὸ κατθανεῖν δὲ ζῆν: Εὐριπίδου.

Τὸ πνεῖν δὲ, [z]δειπνεῖν, καὶ τὸ καθεύδειν, κώδιον;

Παρὰ τὸ ἐκ [a]Φρίξου Εὐριπίδου.

Τίσαι καὶ Τίσασθαι: Ἀποδοῦναι.

[b]Δαρεῖος, ὁ Περσῶν βασιλεὺς, ὡς ἔσχε τὴν ἀρχὴν, ἐπεθύμησε [c]τὸν Ὀροίτεα τίσασθαι πάντων τῶν ἀδικημάτων εἵνεκα. [d]Ἡρόδοτος.

B

Τίσειαν: Ἀποδοῖεν.

Τισίας: Ὁ τιμώμενος.

Τίσις: [e]Τιμωρία, ἀπόδοσις.

Τίσομαι: Τιμωρήσομαι, [f]ἀπαιτήσω.

Τίσω: Ἀποδώσω.

Τίσωσι: Τιμήσωσιν. Ἢ, [g]τιμωρήσονται.

Τίς πατέρ' [h]αἰνήσει, εἰ μὴ κακοδαίμονα τέκνα; Ἴσως ἐπὶ τῶν προγονικὰ ἀνδραγαθήματα προφερόντων. C

Τίς τῇδε: Οἱ σπένδοντες ἔλεγον, Τίς τῇδε; ἀντὶ τοῦ, τίς πάρεστιν; εἶτα οἱ παρόντες εὐφημιζόμενοι ἔλεγον Πολλοὶ κἀγαθοί. Τοῦτο δὲ ἐποίουν οἱ σπένδοντες, ἵνα οἱ [i]συνειδότες τι ἑαυτοῖς ἄτοπον, ἐκχωροῖεν τῶν σπονδῶν.

Τίς τρόπος ἵππων: Παροιμία ἐπὶ τῶν ἀλλοκότων. Μεταγένης Θουριοπέρσαις· D

Τίς τρόπος ἵππων; ὡς δ' ὀρχοῦνται τὸν βαρβαρικὸν τρόπον οὗτοι.

Τί σοι ὁ Ἀπόλλων [k]κεκιθάρικεν: Ἀντὶ τοῦ, A τί σοι ἐμαντεύσατο;

Τίς οὐ [l]γενήσει ἰὼν ἐς Ἀρβέλας: Ἀρβέλη δὲ πόλισμα Σικελικόν. Εὐεξαπάτητοι γὰρ οἱ [m]ἐκεῖσε ἐνοικοῦντες ἐδόκουν εἶναι.

Τιτακίδαι: Δῆμός ἐστι τῆς Αἰαντίδος φυλῆς. Μήποτε δὲ ἀπὸ Τιτακοῦ ὠνομάσθησαν, οὗ [n]μνημονεύει Ἡρόδοτος.

Τιτᾶνες: Οἱ καταχθόνιοι δαίμονες.

B Τιτανίδα γῆν: Οἱ μὲν, τὴν πᾶσαν· οἱ δὲ, τὴν Ἀττικήν. [o]Ἀπὸ Τιτηνίου, ἑνὸς τῶν Τιτάνων ἀρχαιοτέρου, οἰκήσαντος περὶ Μαραθῶνα, ὃς μόνος οὐκ ἐστράτευσεν ἐπὶ τοὺς θεοὺς, ὡς [p]Φιλόχορος ἐν Τετραπόλει, Ἴστρος δ' ἐν α' Ἀττικῶν. Τιτᾶνας βοᾶν: Ἐβοήθουν γὰρ τοῖς ἀνθρώποις, ἐπακούοντες, ὡς Νίκανδρος ἐν α' Αἰτωλικῶν. Ἐνομίζοντο δὲ τῶν Πριαπωδῶν θεῶν εἶναι.

C Τίτανον: Λευκὸν, ἢ γύψον, κονίαν.

[q]Λίθος ἐστὶ διακεκαυμένη, ἣν πάλαι μὲν τίτανον, νῦν δὲ ἄσβεστον καλοῦσι.

Τιτανῶδες βλέπειν: Καταπληκτικὸν, φοβερόν. Καὶ Τιτανικὸν σπέρμα. Αἰλιανός·

Ὁ δὲ ἐν τοσούτῳ κακῷ ὢν, οὐκ ἐπελάθετο τῆς βδελυρᾶς ἐκείνης καὶ ἀθέου συγγραφῆς, [r]ἣν ὁ [s]Γαργήττιος, ὥσπερ οὖν τὰ ἐκ Τιτανικῶν σπερμάτων φύντα, [t]τῷ βίῳ προσετρίψατο.

D Τιταρήσιον: Ποταμός.

Τιτάρωνος:

Τί ταῦτα: Ἀντὶ τοῦ, διατί; [u]Ἀριστοφάνης·

---

ΤΙΣ Δ' ΟΙΔΕΝ, ΕΙ ΤΟ ΖΗΝ Μ.] Aristoph. Ran. sub finem. Versus autem prior, quem Aristophanes ab Euripide mutuatus est, citatur a pluribus scriptoribus: ut a Platone in Gorgia, p. 300. Clemente Alex. Strom. lib. III. p. 315. Laërtio in Pyrrhone, num. 73. Sexto Empir. Pyrrhon. Hypotyp. lib. III. c. 24. Origene lib. VII. contra Celsum, p. 366. et aliis. Ad eandem sententiam Euripidis allusit Aristophanes in Ranis 1114. ubi ait: Καὶ φασκούσας οὐ ζῆν τὸ ζῆν, Scholiastes ad illum locum: Ὅτι παρὰ τὰ ἐκ Φρίξου Εὐριπίδου· Τίς δ' οἶδεν εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, Τὸ κατθανεῖν δὲ ζῆν. KUST. E

[y] ΤΟ ΚΑΤΘΑΝΕΙΝ ΔΕ ΖΗΝ: Εὐριπίδου. A.V. et sine Εὐριπίδου B.E.M. Vulgo hæc om.

[z] ΔΕΙΠΝΕΙΝ ΚΑΙ ΤΟ] πνεῖν τὸ δὲ A. et ni fallor V. δειπνεῖν τὸ δὲ E. F

[a] Φρίξου] Φρίξου A.V.E.

[b] Δάρειος] ὁ δὲ Δαρεῖος A. Ὅτι Δαρεῖος V.

[c] τὸν Ὀροίτεα] Ὀροίτεα A. τὸν om. E.

[d] Ἡρόδοτος] III. 127.

ΤΙΣΕΙΑΝ: Ἀποδοῖεν] Homerus Il. α'. 42. Τίσειαν Δαναοὶ ἐμὰ δάκρυα σοῖσι βέλεσσι. Ad hunc locum Suidas respexit. KUST.

ΤΙΣΙΑΣ] Τισίας est nomen viri, quod valet ὁ τιμώμενος. Vid. v. Στησίχορος. TOUP. Tisias Siculus, rhetor, Coracis discipulus, vid. Erasm. Chil. I. c. 9. prov. 29. e Proleg. in Rhet. Hermogenis. Sext. Emp. adv. Math. c. 18. Pausan. Eliac. Post. c. 17. Isocratis discipulus, vid. supr. Ἰσοκράτης. REINES. G

[e] Τιμωρία] τιμώρησις V.

[f] ἀπαιτήσω] ἀπαιτήσω A. Lex. Seg. ἀπαιτήσομαι Photius.

[g] τιμωρήσονται] τιμωρήσουσι E.

[h] ΑΙΝΗΣΕΝ] Potius αἰνήσειε. Lectio enim vulgata metro repugnat. KUST. αἰνήσει A. V. Photius. αἰνήσειν B. H

ΤΙΣ ΤΗΙΔΕ: Οἱ σπ.] Aristoph. Pac. 967. Ἀλλ' εὐχώμεθα. Τίς τῇδε ποῦ ποτ' ἐστί; Πολλοὶ κἀγαθοί. Vide ibi Scholiastum, qui eadem habet, quæ hic Suidas. KUST.

[i] συνειδότες τι] τι om. A. qui mox ἐκχωροῖεν.

[k] ΚΕΚΙΘΑΡΙΚΕΝ] κεκιθάρηκεν V.E.

ΤΙΣ ΟΥ ΓΕΝΗΣΗΙ 'ΙΩΝ 'ΕΣ 'ΑΡΒ.] Metrum versus hujus claudicat, quod recte se habebit, si cum Michaele Apost. scribas, Τίς σὺ γενήσῃ τυγχάνων ἐς Ἀρβέλας; Vel, cum Scaligero in Stromat. Τίς σὺ γενήσῃ δήποτ' Ἀρβέλας ἰών; Confer Nostrum supra v. Τί σὺ γενήσῃ. KUST. Lego τίς σὺ γενήσῃ δῆτ' ἐς Ἀ. ἰ. TOUP.

[l] ΓΕΝΗΣΗΙ 'ΙΩΝ] γενήσῃ ὢν A. pr. ἰὼν B. pr. E. Tum ρβέλλας V. Mox γὰρ om. A.

[m] ἐκεῖσε ἐνοικοῦντες] ἐνοικοῦντες ἐκεῖσε A.

ΤΙΤΑΚΙΔΑΙ: Δῆμ.] Ex Harpocratione. KUST.

[n] μέμνηται] μνημονεύει A. Photius. Herodoti locus est IX. 73.

ΤΙΤΑΝΙΔΑ] Τιτανίδα A. Mox τὴν πᾶσαν V. Photius. Vulg. om. τήν.

[o] Ἀπὸ Τιτηνίου] Etymologus, ἀπὸ Τιτάνου: quod magis placet. KUST. τηνίου V. Τιτινίου Photius.

[p] Φιλ. ἐν Τ. καὶ Ἴστρος ἐν πρώτῃ Ἀττ.] Sic recte legit Apostol. XVIII. 77. ab his sejungenda quæ sequuntur. HEMST. Novi articuli initium in Photio lineola et punctis indicari monuit editor.

[q] Λίθος ἐστὶ διακεκ.] Fragmentum hoc sumptum est ex Procopii lib. II. de Bello Goth. c. 27. KUST. ἐστὶ om. A.V. Mox καὶ A. pro νῦν. Statim delevi ΤΙΤΑΝΟΣ: Ἡ κεκαυμένη λίθος, ἡ ἄσβεστος. Θηλυκῶς δὲ, ἡ τίτανος· σπάνιον δὲ, ἀρσενικῶς, cum A.V. Habet tamen A. in marg.

[r] ἣν] Videtur legendum ἧς. PORSON. ἣν M.

[s] Γαργήττιος] Γαργίττιος A. ἣν γὰρ ὁ γήττιος E.

[t] τῷ βίῳ] Deesse quædam indicio est structura incomposita: alteram partem integriorem reperire licet in Κηλίς. HEMST. Ubi τῷ βίῳ τῶν ἀνθρώπων κηλῖδα προσετρίψατο. Cf. p. 3114 D.

ΤΙΤΑΡΗΣΙΟΣ] Vide Homerum Il. β'. 751. et Athen. lib. II. p. 41. KUST. Τιταρίσιον A. Τιταρήσιον E. Tum ποτ A. ὄνομα ποταμοῦ E. sine Θεσσαλίας.

ΤΙΤΑΡΩΝΟΣ] Sic A.B.V.E. nec plura. Vulgo addunt Πόλις Θεσσαλίας· τὸ ἐθνικὸν Τιταρώνιος.

[u] Ἀριστοφάνης] Thesmoph. 480.

> Τί [x]ταῦτ' ἔχουσαι κεῖνον αἰτιώμεθα,
> βαρέως τε φέρομεν;

Τιταίνων:

Τιταινώριον: Ἀκρωτήριον.

Τιτηνίδα γῆν: [y]Ἐν τῷ Τιτανίδα γῆν.

Τίτθαι: [z]Ἀριστοφάνης·

> [a]Κᾆθ' ὥσπερ αἱ τίτθαι γε σιτίζεις κακῶς.

Οὕτω καλοῦνται αἱ [b]τοῖς τιτθίοις καὶ τῷ γάλακτι τρέφουσαι τὰ παιδία· αἵτινες διὰ τὸ μὴ δύνασθαι τὰ παιδία ὁλοκλήρους τὰς τροφὰς ἐσθίειν, διαμασώμεναι, οὕτω [c]μετὰ τὸ κατεργάσασθαι τὰ ἐδέσματα, ἐξαίρουσαι τοῦ ἰδίου στόματος, ἐντιθέασι τοῖς τῶν παιδίων. Εἶτα συμβαίνει τὰς ἀγνώμονας ὀλίγα μὲν διδόναι τοῖς παιδίοις, αὐτὰς δὲ κατεσθίειν τὰ πλείονα. Οὕτω [d]ὁ Κλέων ὀλίγα μὲν τῷ δήμῳ χαριζόμενος, τὰ πλείω αὐτὸς ἐκέρδαινε.

> Μασώμενος γὰρ τῷ μὲν ὀλίγον ἐντιθεῖς,
> αὐτὸς [e]δ' ἐκείνου τριπλάσιον κατέσπακας.

Τίτθη: Τροφὸς, [f]μάμμη.

[g]Ὅσα δὲ ἀργίᾳ μεμάρανται, καὶ ῥᾳθυμίᾳ διέφθαρται μειράκια, ταῖς τίτθαις ἀπομύττειν, καὶ ταῖς γυναιξὶ λούειν ἀποπέμψατε, καὶ [h]θρυπτόμενα παρὰ ταύταις στωμύλλεσθαι καὶ λαλεῖν [i]περὶ κρόκης καὶ στημόνων ἐάσωμεν.

Καὶ, τιτθεία, ἡ ἐπιμέλεια.

Τιτθοί: [k]Μαστοὶ, ἤτοι τῶν μαζῶν τὰ ἄκρα.

Τίτλος: [l]Τίτλος διαφέρει κεφαλαίου. Καὶ ὁ μὲν Ματθαῖος ἔχει τίτλους ξή, κεφάλαια τνε'· ὁ δὲ Μάρκος, τίτλους μή, [m]κεφάλαια λϛ'· ὁ δὲ Λουκᾶς, τίτλους πγ', κεφάλαια [n]τμη'· ὁ δὲ Ἰωάννης, τίτλους ιή, κεφάλαια [o]σλβ'. [Καὶ, Τιτάριον: Δέλτος, σχεδάριον, πινακίδιον.]

Τῖτος, βασιλεὺς Ῥωμαίων, Οὐεσπεσιανοῦ υἱὸς, ἀνὴρ πᾶν ἀρετῆς συνειληφὼς [p]γένος, ὡς πρὸς ἁπάντων ἔρως τε καὶ τρυφὴ τοῦ θνητοῦ προσαγορευθῆναι γένους. Εὐγλωττότατός τε γὰρ, καὶ πολεμικώτατος, καὶ μετριώτατος ἦν, καὶ τῇ μὲν [q]Λατίνων ἐπιχωρίῳ γλώττῃ πρὸς τὰς τῶν κοινῶν ἐχρῆτο διοικήσεις, ποιήματα δὲ καὶ τραγῳδίας Ἑλλάδι φωνῇ διεπονεῖτο.

Ἐπεὶ δὲ [r]ἡρήκει τὰ Ἱεροσόλυμα ὁ Τῖτος, Συρία τε πᾶσα, καὶ Αἴγυπτος, καὶ ὅσα τῇ Παλαιστίνῃ πρόσοικα γένη, ἐστεφάνουν τὸν ἄνδρα, νικητὴν ἀνακαλοῦντες. Ὁ δὲ διωθεῖτο τοὺς στεφάνους, οὐκ αὐτὸς λέγων εἰργάσθαι ταῦτα, Θεῷ δὲ φήναντι ὀργὴν ἐπιδεδωκέναι τὰς [s]ἑαυτοῦ χεῖρας. Οὕτως ἦν μέτριος καὶ σωφροσύνης μεστός.

[t]Ἐπὶ δὲ Τίτου τούτου τὴν Ἱερουσαλὴμ πολιορκοῦντος Ῥωμαῖός τις τῶν ἱππέων δοκιμώτατος τοὺς Ἰουδαίους ὠθουμένους κατὰ τῆς φάραγγος θεασάμενος, ἐκ πλαγίου παρελαύνων τὸν ἵππον, ἁρπάζει τινὰ νεανίαν φεύγοντα, στιβαρὸν κατὰ τὸ σῶμα, καὶ ὡπλισμένον, ἐκ τοῦ σφυροῦ [u]δραξάμενος, ἑαυτὸν ἐπικλίνας τοῦ ἵππου τρέχοντος, καὶ [x]τὸν Ἰουδαῖον ἔφιππον καταδιώκοντος. Καὶ τοσοῦτον τῆς δεξιᾶς [y]τόνον καὶ τοῦ λοιποῦ σώματος ἐπιδειξάμενος, καὶ τῆς ἱππικῆς τέχνης τὴν [z]ἀρετὴν, ὥσπερ τι κειμήλιον ἧκε τῷ Καίσαρι κομίζων τὸν αἰχμάλωτον. Ὁ δὲ Τῖτος ὑπερθαυμάσας [a]τῆς ἰσχύος τούτου καὶ δυνάμεως τὸ ἀήττητον, δώροις αὐτὸν ἀμείψας τὸν ληφθέντα ἀπέκτεινε.

Τῖτος, στρατηγὸς Ῥωμαίων. Τούτῳ δὲ ἐγεγόνει πάντα κατὰ νοῦν, καὶ ταὐτομάτου συνεργήσαντος, τὸ δὲ [b]πολὺ διὰ τῆς αὐτοῦ προνοίας ἁπάντων κεχειρισμένων· πάνυ γὰρ ἀγχίνους εἰ καί τις ἕτερος ὢν οὗτος γέγονεν. Οὕτως γὰρ εὐστόχως ἐχείριζε, καὶ νουνεχῶς, οὐ μόνον τὰς κοινὰς ἐπιβολὰς, ἀλλὰ καὶ τὰς κατ' ἰδίαν ἐντεύξεις, ὥσθ' ὑπερβολὴν μὴ καταλιπεῖν καίτοι γε νέος ἦν κομιδῆ. Πλείω γὰρ [c]τριάκοντα ἐτῶν

---

[x] ταῦτ'] τό'ν A. τόνον V.

ΤΙΤΑΙΝΩΡΙΟΝ] Τιταιρώνιον A.B.V.

[y] Ἐν τῷ etc. om. V.

ΤΙΤΘΑΙ] Τίθαι V.

[z] Ἀριστοφάνης] Equit. 713.

[a] Καθάπερ] Scripsi κᾆθ' ὥσπερ cum libris Aristoph.

[b] τοῖς] παρὰ τοῖς A.B.V.E.M.

[c] μετὰ] διὰ E. tum διὰ τοῦ ἰδίου E.

[d] καὶ Κλέων] ὁ Κλέων A. Κλέων V. Mox μὲν post ὀλίγα ex A.V. Infra αὐτὸς om. A.V.

[e] δ' ἐκείνου τρ. κ.] τὸ πλεῖον (τριπλάσιον marg.) κατεσπάκει E. κατέσπακεν M.

[f] μάμμη om. B.E.M.

[g] Ὅσα δὲ ἀργίᾳ μεμ.] Confer Nostrum supra v. Πλαγγόνων, et v. Στωμύλος, ubi idem fragmentum legitur. KUST.

[h] θρυπτόμενα] θρυπτόμεναι A.

[i] περὶ κρόκης καὶ στημόνων ἐάσωμεν] Scribendum, περὶ κρόκης καὶ στημόνων καὶ πλαγγόνων ἐάσωμεν. Quomodo recte legitur supra, v. Πλαγγόνων. Ceterum hoc fragmentum, cujus cujus fuerit, laudat Scholiastes ad Aristoph. Equit. 713. ex quo bona fide deprompsit Suidas. Huc referendus Aristides, vol. II. p. 356. Ἀλλ' οἶμαι τοὺς μὲν τοιούτους λόγους καὶ μύθους ΤΑΙΣ ΤΙΤΘΑΙΣ ἄμεινον παριέναι τοῖς παιδαρίοις, ἐπειδὰν ὕπνου δέωνται, διηγεῖσθαι. Est autem Τίτθη vox probrosa et subturpicula. Menander apud Stephanum Byzantinum in v. Δωδώνη· Ἐὰν δὲ ΚΙΝΗΣΗΙ μόνον τὴν Μυρτίλῳ Ταύτην τις, ἢ ΤΙΤΘΗΝ καλῇ, πέρας οὐ ποιεῖ λαλιᾶς. Quem locum minus perspexisse videtur Bentleius. TOUP.

[k] Οἱ μαστοὶ] οἱ om. A.E. Tum μαζῶν A. et E. suprasc. pro μαστῶν, et sic Photius.

[l] Τίτλος διαφέρει κεφ.] Hæc leguntur etiam supra v. Κεφάλαιον, ubi vide quæ notavimus. KUST. Vid. J. Croius Obs. N. T. p. 32. HEMST.

[m] κεφάλαια λϛ'] Hic latet error, ut docuimus supra v. Κεφάλαιον. KUST.

[n] τμη'] λϛ' A. qui δὲ post ὁ.

[o] σλβ'] σλα' A. Uncis inclusa om. V. habet A. in marg.

ΤΙΤΟΣ——καὶ σωφροσύνης μεστός] Hæc omnia Joanni Antiocheno tribuuntur in Collectaneis Historicis a Valesio editis, p. 817. KUST.

[p] γένος] εἶδος E. cum γένος in marg.

[q] Λατίνων ἐπιχωρίῳ] Λατίνῳ V.

[r] ἡρήκει] ἤγουν ἐκράτει suprasc. V.

[s] ἑαυτοῦ] αὐτοῦ V.

[t] Ἐπὶ δὲ Τίτου τούτ.] Quæ hic Suidas de mira dexteritate et insolito robore equitis cujusdam Romani refert, sumpta sunt ex Josephi lib. VI. de Bello Jud. c. 15. p. 952. ut Pearsonius ad oram libri sui notaverat. KUST. VI. 2, 8.

[u] ἐπιδραξάμενος] δραξάμενος A.B.E. Tum ἐπικλίνας A. B.V.E. pro κλίνας.

[x] τὸν Ἰουδαῖον] τὸ Ἰ. A. τὸν Ἰουδαίων V.

[y] τόνου] Josephus, τόνον. Et sic apud Suidam scribendum est. KUST. Sic A.V.

[z] ἀρετὴν] τὴν ἀρετὴν A.V.E. Tum ὅτι ὥσπερ V.

[a] τῆς ἰσχύος—τὸ ἀήττητον om. V.

[b] πολὺ] πολὺ τῆς ἰσχύος τούτου καὶ δυνάμεως V.

[c] τριάκοντα om. E. qui lacunam habet post ἐτῶν.

οὐκ εἶχε. Καὶ [d]πρῶτος εἰς τὴν Ἑλλάδα διέβη μετὰ στρατοπέδων.

Τί τοῦτό σοι τὸ πυρρόν ἐστιν; [[e]οὔτι ποτ] Κινησίας σου κατατετίληκεν; Οὗτος μαλακὸς ἦν.

Τιτώ: Ἡ ἡμέρα.

Τιττυβίζετε: Ποιὸν ἦχον ἀποτελεῖτε. Καὶ Βάβριος [f]ἐπὶ χελιδόνος·

Ταύτης ἀκοῦσαι, μικρὰ τιττυβιζούσης.

Τιτυός: Οὗτος [g]ἐρῶν τῆς Λητοῦς, κατέσχεν αὐτὴν τοῦ κρηδέμνου· ἧς παῖδες Ἀπόλλων καὶ Ἄρτεμις [h]κατετόξευσαν αὐτὸν, καὶ ἀνεῖλον. Καὶ νῦν [i]φασὶν ὡς ἐν τῷ ᾅδῃ κολάζεται, ἔχων βέλη ἐμπεπαρμένα τῷ ἥπατι.

Τιτυσκόμενος: Στοχαζόμενος. [k]Ἀπὸ μετοχῆς εἰς ῥῆμα. [l]Ἔστι δὲ παρὰ τὸ θέω, θῶ, τὸ τύω, τύσω, τιτύσκω.

[Τίφη: Ἡ καλουμένη σίλφη. Ἔστι δὲ ζῶον κανθαρῶδες.]

Τῖφος: Ὁ κάθυγρος τόπος.

Τί φῶ; Τί εἴπω;

Τίφυς:

Τλῆ δ' Ἥρη: Ὑπέμεινε.

Τλῆθι: Ὑπόμεινον.

Τλήμονος: Ἐλεεινοῦ.

Τλήμων: [m]Τολμηρὰ, ἀναιδής.

[n]Ἡ δ' ὧδε τλήμων, ὥστε τῷ μιάστορι
ξύνεστ', ἐριννὺν οὔτιν' ἐκφοβουμένη.

Τλῆναι: Ὑπομεῖναι.

Τληπαθής: Ὑπομένων [o]ἐν τῷ πάσχειν.

Τληπόλεμος, ὁ τὰ τῆς βασιλείας τῶν Αἰγυπτίων πράγματα μεταχειριζόμενος, ἦν μὲν κατὰ τὴν ἡλικίαν νέος, καὶ κατὰ τὸ συνεχὲς ἐν τῷ στρατιωτικῷ βίῳ διεγεγόνει μετὰ φαντασίας· ἦν δὲ καὶ τῇ φύσει μετέωρος, καὶ φιλόδοξος, καὶ καθόλου πολλὰ μὲν εἰς πραγμάτων λόγον ἀγαθὰ προεφέρετο, πολλὰ δὲ καὶ [p]κακά. Στρατηγεῖν [q]μὲν γὰρ ἐν τοῖς ὑπαίθροις καὶ χειρίζειν πολεμικὰς πράξεις δυνατὸς ἦν, καὶ ἀνδρώδης ὑπῆρχε τῇ φύσει, καὶ πρὸς τὰς στρατιωτικὰς ὁμιλίας εὐφυῶς διέκειτο· πρὸς δὲ ποικίλων πραγμάτων χειρισμὸν δεόμενον [r]ἐπιστάσεως καὶ νήψεως, καὶ πρὸς φυλακὴν χρημάτων, καὶ καθόλου τὴν περὶ τὸ λυσιτελὲς οἰκονομίαν, ἀφυέστατος ὑπῆρχε πάντων· ᾗ καὶ ταχέως οὐ μόνον ἔσφηλεν, ἀλλὰ καὶ τὴν βασιλείαν ἠλάττωσε. Παραλαβὼν γὰρ τὴν τῶν χρημάτων ἐξουσίαν, τὸ μὲν πλεῖστον μέρος [s]τῆς ἡμέρας κατέτριβε σφαιρομαχῶν, καὶ πρὸς τὰ μειράκια διαμιλλώμενος ἐν τοῖς ὅπλοις· ἀπὸ δὲ τούτων γινόμενος, εὐθέως [t]πότους συνῆγε, καὶ τὸ πλεῖον μέρος τοῦ βίου περὶ ταῦτα καὶ σὺν τούτοις εἶχε τὴν διατριβήν. Ὃν δέ ποτε χρόνον [u]τῆς ἡμέρας ἀπεμέριζε πρὸς ἐντεύξεις, ἐν τούτῳ διεδίδου, μᾶλλον δ', εἰ δεῖ τὸ φαινόμενον εἰπεῖν, διερρίπτει τὰ βασιλικὰ χρήματα τοῖς ἀπὸ τῆς Ἑλλάδος [x]προσγεγονόσι πρεσβευταῖς, καὶ τοῖς περὶ τὸν Διόνυσον τεχνίταις. Καθόλου γὰρ ἀνανεύειν οὐκ ᾔδει· [y]τῷ δὲ πρὸς χάριν ὁμι-

[d] πρῶτον] Polybius rectius, πρῶτος. KUST. Sic A.B.V.E.

ΤΙ ΤΟΥΤΟ ΣΟΙ ΤΟ Π.] Aristoph. Eccles. 329. KUST.

[e] ΟΥ ΤΙ ΠΟΤ om. A.B.V.E.M.

ΤΙΤΩ] Vide Etymologum. KUST. Verbi sedes est apud Callimachum. Tzetzes ad Lycoph. p. 135. Τιτοῦς: τῆς ἡμέρας. Ὥς φησι καὶ Καλλίμαχος· Τόφρα δ' ἀνίσχουσι Βοοσὶς λόφον ἔγρετο ΤΙΤΩ. Locus corruptissimus, quem expedire non potuit Bentleii sagacitas. Ms. ἀνίσχουσα Βοοσόν. Rescribo certissime: Τόφρα δ' ἀνίσχουσα ΒΛΟΣΥΡΟΝ ΛΟΦΟΝ ἔγρετο ΤΙΤΩ. *Interea efferens jubar aureum experrecta est dies.* Ἀνίσχειν est *efferre, oriri.* Callimachus apud Etymol. Magn. in v. Φιαρός. Φιαρὴ τῆμος ΑΝΕΣΧΕΝ ΕΩΣ. Idem apud Orion. Theb. ms. Οἱ δ', ὡς ἐξ ὀχεῆς ὄφις αἰόλος αὐχέν' ΑΝΕΣΧΕΝ. Ita scribendus iste locus. Sermo est de Hercule et Iolao circa Hydram occupatis. Quod miror viros doctissimos ad Callimachum non animadvertisse. Verbum autem βλοσυρὸν, quod hic appositissimum est, usurpat Callimachus, Hymn. in Cer. 53. Τᾶς φαντὶ πέλειν ΒΛΟΣΥΡΩΤΑΤΟΝ ΟΜΜΑ. TOUP.

ΤΙΤΤΥΒΙΖΕΤΕ.——ἀποτελεῖτε] Sic rectius mss. Paris. quam priores editt. quæ habent τιττυβίζεται et ἀποτελεῖται. KUST.

[f] ἔστη] ἐπὶ A.V. ut e conjectura Tyrwhittus Fr. Babrii p. 46.

ΤΙΤΥΟΣ: Οὗτος ἐρῶν τῆς Λητ.] Eadem habet Nonnus in Gregor. Nazianz. Stelit. p. 171. KUST.

ΤΙΤΥΟΣ] Mater ejus Elaria: sacellum Tityi ostenditur in insula Eubœa: dicitur υἱὸς γαιήϊος Strab. IX. p. 423. REINES.

[g] ἐρῶν om. A.V. qui mox αὐτῆς. Tum τῆς κρηδέμνου V.

[h] κατετόξευσαν] οὕτω δὲ κατετόξευσαν E.

[i] φασὶν ὡς] ὡς om. A.

ΤΙΤΥΣΚΟΜΕΝΟΣ] Homerus Il. λ'. 350. et alibi. KUST.

[k] Ἀπὸ μετοχῆς εἰς ῥῆμα] Quid hæc ad rem faciunt? KUST. Hæc sumpta sunt ex Schol. ad Il. γ'. 80. Scripserat Homerus τῷ δ' ἐπετοξάζοντο καρηκομόωντες Ἀχαιοὶ, Ἰοῖσί τε τιτυσκόμενοι λάεσσί τ' ἔβαλλον. Ubi vetusti critici: ἀπὸ μετοχῆς εἰς ῥῆμα. i. e. primo participium posuit, deinde verbum. Debuerat dare τιτύσκοντο—ἔβαλλον, vel τιτυσκόμενοι—βάλλοντες, sed mutare constructionem maluit.

[l] Ἔστι δὲ παρὰ τὸ θ.] Nugæ hæ sunt: quæ tamen si cui placeant, videat Etymologum, qui pluribus de vocis hujus etymologia agit. KUST.

ΤΙΦΗ] Hæc A. in marg. Delevi Ζήτει ἐν τῷ ΝΕΩΡΙΑ, cum V. Vid. Schol. Aristoph. Ach. 920.

ΤΙΦΟΣ] Ex Schol. Apollon. Rhod. I. 127. Vid. notata ad Hesych.

ΤΙΦΥΣ] Sic A.V. sine expl. Addit Photius cum Lex. Seg. ὁ καλούμενος ἐπιάλτης. Statim delevi ΤΛΕΓΓΙΣ, τλεγγίδες. Τὸ παρ' ἡμῖν κτένιον, cum A. qui ea tamen exhibet in marg. Post τλεγγίδες inserunt edd. ἢ καὶ στλέγγις, sed hæc verba om. A.B.V. Corruptius E. Τηλεγγὶς τηλεγγίδες.

ΤΛΗ Δ' ΗΡΗ] Homerus Il. ε'. 392. KUST.

[m] τολμηρὸς] τολμηρὰ, ἀναιδὴς A.V. omissis ἤγουν ἀναιδὴς post ex.

[n] Ἡ δ' ὧδε τλ.] Sophocl. Electr. 275.

[o] ἐν τῷ] τῷ om. A.

ΤΛΗΠΟΛΕΜΟΣ, ὁ τὰ τῆς β.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Polybii, quæ etiam leguntur in Collectaneis Constantini Porphyrogenneti de Virtut. et Vit. p. 82. KUST.

[p] κακὰ] κακία B.E.

[q] μὲν γὰρ] γὰρ om. A.

[r] ἐπιστάσεως] ἐπιτάσεως V. qui pro καὶ πρὸς φυλακὴν—πάντων habet tantum νωθρὸς ἄλλως καὶ ἀφυέστατος.

[s] τῆς ἡμέρας] Om. V.

[t] πότους om. A. Mox πλεῖον B.V. pro πλέον.

[u] τῆς ἡμέρας] τῆς Ἀρτέμιδος A. qui in marg. γρ. τῆς ἡμέρας. τῆς ἡμέρας om. E.

[x] προσγεγονόσι] προγεγονόσι A. παραγεγονόσι Excerpt.

[y] τῷ δὲ] δὲ om. A.

λήσαντι πᾶν ἐξ ἑτοίμου τὸ [a] φανὲν ἐδίδου. [Καὶ τὰ λείποντα ζήτει ἐν τῇ Πολυβίου ἱστορίᾳ.]

Ταήσομαι: Ὑπομενῶ.

Ταητικῶς: Ὑπομονητικῶς.

Τμαγέν: Κοπέν.

Τμήδην: Τμητικῶς.

Τμηθείσῃ: Κοπείσῃ.

Τμῆμα: Κόμμα.

Τμῆσις: [a] Ἡ τομή.

Τμητικός: Ὁ τέμνων.

Τμητοῖς ὁλκοῖς ἐγκύρσαι: Τουτέστι, [b] τοῖς λώροις, τοῖς ἱμάσιν· ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων, οἷς εἱλκύσθη Ὀρέστης πεσὼν ἐκ τοῦ ἅρματος.

Τμῶλος: Ὄνομα ὄρους.

Τμώμενος: Ἀποτεμνόμενος.

[Τὸ ἀντάλλαγμα: Τοὺς κατὰ σάρκα προγόνους τοῦ Χριστοῦ [c] ἴχνη καὶ ἀντάλλαγμα ἐκάλεσαν οἱ ό ἑρμηνευταί. Δαβίδ·

Τὸ ἀντάλλαγμα τοῦ Χριστοῦ σου.]

Τὸ ἀπὸ τῆς Παλληνίδος: Τὸ φοβερόν. Ἀπὸ τῆς ἐπὶ Παλληνίδι μάχης, ἐν ᾗ ἡττήθησαν Ἀθηναῖοι.

Τὸ ἀρνίον σοι λελάληκεν: Ἐν [d] Αἰγύπτῳ, ὥς φασιν, ἀνθρωπείᾳ φωνῇ ἐλάλησεν. Εὑρέθη δὲ [e] ἔχον βασίλειον δράκοντα ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ πτερωτὸν, ἔχοντα μῆκος πήχεων δ΄, καί τινι λελάληκε τὰ μέλλοντα.

Τὸ βασιλικὸν βοΐδιον: Ἐπὶ Πτολεμαίου βοῦς ἀπέτεκεν ἓξ βοΐδια. Πρὸς οἰωνοῦ δὲ ἀγαθοῦ τὸ συμβησόμενον λαβὼν ὁ Πτολεμαῖος, προσέταξεν ἐν τοῖς βασιλείοις τρέφεσθαι μετὰ πάσης ἐπιμελείας. Διὸ βασιλικὸν ἐκλήθη.

Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη, μηδενὸς ἄλλου παραπράξαντος, μεγάλας ὀδύνας ὑποτείνει: Οἷον, μηδενὸς συμπράξαντος καὶ μετασχόντος τῶν ἁμαρτημάτων. Ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων φέρει τὴν παραμυθίαν.

Τὸ γὰρ τὴν φροντίδα ἔξω τῶν κακῶν οἰκεῖν, γλυκύ:

Τόγε αὐτοῦ μέρος: [f] Κατὰ τὴν αὐτοῦ προαίρεσιν. Αἰλιανός·

Τί [g] γὰρ [h] μαθὼν ἐτόλμησε τόγε δὴ αὐτοῦ μέρος [i] δουλώσασθαι Λυδοῖς Πέρσας;

Τό γε ἧκον: Ὅσον ἐπ' αὐτῷ, ὅσον δυνατόν.

Τὸ δέ μοι: Τοῦτο δέ μοι.

Τὸ Δίωνος γρῦ: Οὗτος ὁ Δίων Ἀλεξανδρεὺς ἦν [k] τὸ γένος, διαβόητος δὲ ἐπὶ φιλοσοφίᾳ· ὃς ἔχων ἀδελφὸν παλαιστὴν, Τάψιον καλούμενον, λοιδορούμενος ὑπό τινος τῶν ἀνταγωνιστῶν αὐτοῦ, καὶ ἀκούων ῥητὰ καὶ ἄρρητα, καὶ πολλοῦ ὄχλου ἐπακολουθοῦντος, αὐτὸς μὲν οὐδὲν ἐφθέγξατο, κατεσταλμένον τὸ τῆς σοφίας παράγγελμα τηρῶν· ἐντὸς δὲ τοῦ ἰδίου πυλῶνος γενόμενος, καὶ μηδὲν ὀργῆς ὑποφήνας, εἶπε πρὸς τὸν νεανίαν οὐδὲ γρύ· ὁ δὲ ἀθυμήσας ἀπήγξατο.—Εἴρηται τὸ γρὺ ἐπὶ μικροῦ καὶ τοῦ τυχόντος. Καὶ ὁ ῥύπος τοῦ ὄνυχος.

Τὸ ἐπίπαν: Τὸ σύνολον.

Τὸ Ἡσιόδειον γῆρας: Ἐπὶ τῶν ὑπεργήρων. [l] Φέρεται γὰρ καὶ ἐπίγραμμα Πινδάρου τοιοῦτον·

Χαῖρε δὶς ἡβήσας, καὶ δὶς [m] τάφου ἀντιβολήσας,
Ἡσίοδ', ἀνθρώποις μέτρον ἔχων σοφίης.

Τὸ Ἱππάρχου τειχίον: Ἵππαρχος ὁ Πεισιστράτου περὶ τὴν Ἀκαδημίαν τεῖχος ᾠκοδόμησε, πολλὰ ἀναγκάσας ἀναλῶσαι τοὺς Ἀθηναίους. Ὅθεν καὶ ἐπὶ τῶν δαπανηρῶν πραγμάτων ἡ παροιμία εἴρηται.

Τὸ θερμὸν τοῦ ὀβελοῦ: Ἐπὶ τῶν [n] αἱρουμένων τὰ χείρονα ἀντὶ τῶν [o] κρειττόνων ἡ παροιμία, ἀπὸ τῶν ἀπείρως δρασσομένων κατὰ τὸ πεπυρωμένον τῶν ὀβελίσκων. Μέμνηται [p] αὐτῆς ὁ Σοφοκλῆς.

Τὸ καλῶς ἔχον: Τὸ συμφέρον. [q] Οἰδίπους·

[a] φανὲν] φανερὸν B.E. Pergit E. ἐδίδου καταλείποντι, ἐν τῇ Πολυβίου ἱστορίᾳ. καὶ τὰ λ. etc. om. V.

ΤΜΗΘΕΙΣΗΙ: Κοπείσῃ] Τμηθείσης: κοπείσης A.

[a] Ἡ ξυνοχή] Mss. Paris. rectius, ἡ τομή. KUST. Sic B.V. ἐκ συνοχῆ, ἡ τομὴ E.

ΤΜΗΤΟΙΣ ʼΟΛΚΟΙΣ ʼΕΓΚΥΡΣΑΙ] Sophocl. Electr. 863. ut Portus monuit. Vide ibi Scholiastam, cujus scrinia Suidas hic compilavit. KUST.

[b] τοῖς τετμημένοις λώροις καὶ ἱμᾶσιν οὓς καὶ ὁλκοὺς καλεῖ] τοῖς λώροις τοῖς ἱμάσιν· ὁλκοὺς οὖν ἀντὶ τῶν ἱμάντων A.V.

ΤΟ ʼΑΝΤΑΛΛΑΓΜΑ: Τοὺς κατὰ σ.] Theodoretus ad Psalmum LXXXVIII. 52. p. 759. Ὁ δὲ Σύμμαχος καὶ Θεοδοτίων οὕτως· Ὠνείδισαν τὰ ἴχνη τοῦ Χριστοῦ σου. Ἴχνη δὲ Χριστοῦ προσηγόρευσε τοὺς κατ' ἐκεῖνον τὸν καιρὸν βασιλέας, δι' ὧν ὥδευσεν ὁ περὶ τῆς Χριστοῦ βασιλείας λόγος. Καὶ οἱ Ἑβδομήκοντα δὲ ἀντάλλαγμα αὐτοὺς προσηγόρευσαν, ὡς κατὰ σάρκα γεγεννηκότας προγόνους. Hinc Suidam sua deprompsisse manifestum est. Confer etiam supra v. Ἀντάλλαγμα, et v. Ἴχνη, ubi eadem leguntur. KUST. Hunc art. A. et V. in marg.

[c] ἴχνη] Male Suidas hanc interpretationem LXX. interpretibus tribuit, quæ erat Symmachi et Theodotionis, ut ex citato loco Theodoreti apparet. KUST.

ΤΟ ʼΑΠΟ ΤΗΣ ΠΑΛΛΗΝΙΔΟΣ] Confer Nostrum supra v. Παλληνικὸν βλέπειν. KUST.

ΠΑΛΛΗΝΙΔΟΣ] Παλλανίδος A.V.E. pr. Photius. Mox τὸ ἀπὸ τῆς ἐν Παλληνίδι V.

ΤΟ ʼΑΡΝΙΟΝ ΣΟΥ ΛΕΛ.] Supra v. Ἀρνίον pro σου rectius legitur σοι. KUST. σοι A.B.E.

[d] Αἰγύπτῳ] Αἰγίνῃ Apostol. XIX. 22.

[e] ἔχον ἐπὶ τῆς κεφαλῆς] ἐν τῇ κεφαλῇ A.V. tum αὐτοῦ om. V. Infra post δράκοντα A.V. inserunt ὑπὲρ τῆς κεφαλῆς αὐτοῦ.

ΤΟ ΓΑΡ ʼΕΣΛΕΥΣΣΕΙΝ ΟΙΚ.] Sophocl. Aj. 262.

ʼΕΣΛΕΥΣΣΕΙΝ] ἐσλεύσσειν A.V.E.

ΤΟ ΓΑΡ ΤΗΝ] Sophocl. Œd. Tyr. 1389.

[f] Κατὰ τὴν α. πρ. om. V.

[g] γὰρ δὴ] δὴ om. A.V. Infra δὴ om. E.

[h] μαθὼν] Forte, παθών. KUST. Satis sana est vox μαθών. Attici enim non tantum τί παθὼν dicunt pro quare, sed etiam τί μαθών. Comicus in Lysist. 599. Σὺ δὲ δὴ τί μαθὼν οὐκ ἀποθνήσκεις. Vid. Casaub. ad Athenæum. BOS. Conf. Hermann. ad Viger. p. 759. n. 194.

[i] δουλώσασθαι] δηλώσασθαι A. Tum Λυδοῖς Πέρσας A.B.V. non Λυδοὺς Πέρσαις.

ΤΟ ΓΕ ΕΙΣ ΑΥΤΟΝ] εἰς αὐτὸν om. A.V. Photius et Hesych. Toupius citat ex Agathia p. 108. τό γε ἧκον εἰς αὐτούς.

ΤΟ ΔΙΩΝΟΣ ΓΡΥ: Οὗτος ὁ Δίων Ἀλεξ.] Hæc omnia αὐτολεξεὶ etiam leguntur apud Zenob. Adag. Οὐδὲ τὸ Δίωνος γρύ. KUST. Vid. p. 849 A.

[k] τὸ γένος et mox δὲ om. E. Mox Τάψιον E. Infra αὐτὸς om. V.

[l] Φέρεται] φαίνεται E. Mox τοιοῦτο A.V.

[m] τάφου] τάφων A.B.E. Ver. seq. ἔχων B.V.

[n] αἱρουμένων] ἀναιρουμένων Photius, Zenob. V. 19.

[o] κρειττόνων] κρειττόνων ὂν A.V.

[p] αὐτῆς ὁ] αὐτῶν V. ὁ om. Photius.

[q] Οἰδίπους] Sophocl. Œdip. Tyr. 879.

Τὸ καλῶς δ' ἔχον [r]πάλαισμα τῇ πόλει μὴ λῦσαι θεὸν αἰτοῦμαι.

Τουτέστι, μὴ λῦσαι τὸ τῇ πόλει συμφέρον αἰτοῦμαι.

Τοκάς: Ἡ [s]γεννῶσα.

Τὸ κατακύλλωμα: Τὸ πέρας καὶ ἀνωτάτω τῶν κακῶν.

Τοκήων: Γονέων, ἢ τέκνων.

Τόκος: [t]Ἀριστοφάνης Νεφέλαις·

> Τοῦτο δ' ἔσθ' ὁ τόκος τί θηρίον;
> Τί δ' ἄλλο γ', ἢ κατὰ μῆνα, καὶ καθ' ἡμέραν,
> [u]πλέον πλέον τἀργύριον ἀεὶ γίνεται,
> ὑπορρέοντος τοῦ χρόνου;——

Τοκοφορεῖν: Τόκους λαμβάνειν. [x]Τόκος δὲ εἶδος πλεονεξίας.

Τολμήεντι: Ὑπομονητικῷ. Αἰλιανός·

Ὁ δὲ ἐσήλατο ἐς τὸν νεών, ἕτοιμα δὴ καταγράφων, καὶ ὅτι τολμήσει ταῦτα, ἐφ' οἷς ἐνέσει, ἐπ' ἐρημίᾳ τῶν ἐπικουρῆσαι τῇ κόρῃ δυναμένων πεπιστευκώς.

Τολμηρός:

Τολμῆσαι: Ὑπομεῖναι. [z]Νόμων θ'·

Εἰ πατέρα [a]ἀποκτείνει τις, αὐτὸν τοῦτον ὑπὸ τέκνων τολμῆσαι βίᾳ πάσχοντα.

Καὶ [b]ἐν δευτέρῳ, [c]τολμῶ, ἀντὶ τοῦ τολμῶν ὑπομένοι. Καὶ [d]Ἀριστοφάνης·

> Ὦ μιαρὲ, καὶ τολμηρὲ, κἀναίσχυντε σὺ,
> καὶ μιαρὲ, καὶ παμμίαρε, καὶ μιαρώτατε,
> πῶς δεῦρ' ἀνῆλθες, ὦ μιαρῶν [e]μιαρώτατε;

Τολμητής:

Τολμητίας: Τολμηρός. [f]Ἀγαθίας·

Τολμητίας γὰρ ἦν ἐς τὰ μάλιστα, καὶ ταραχώδης, καὶ πέρα [g]τοῦ ἀναγκαίου τὸ φιλοκίνδυνον κεκτημένος.

A Περὶ Θευδιβέρτου [h]λέγει τοῦ υἱοῦ Θευδερίχου.

Τολύβη: Ὄνομα κύριον.

Τολυπεύειν: Ἐξεργάζεσθαι. Τολύπη γὰρ, ἡ ἐργασία.

[i]Οἱ δὲ καλωδίοις τε καὶ τολύπαις [k]τοὺς καλάμους ξυνδήσαντες, κόρυμβας πολλὰς ἀπειργάσαντο.

Τολύπευμα: Συναγωγή [l]τὸ κατασκευαστὸν καὶ πεφιλοκαλημένον ἔριον.

B Τολύπη: Ἀγρία [m]κολοκύνθη.

Τὸ μὲν νόημα τῆς θεοῦ, τὸ δὲ κλέμμ' ἐμόν: Οὕτω γὰρ οἱ δημαγωγοὶ ἀστειζόμενοι ἔλεγον τὰς ἑαυτῶν ἐπινοίας τῆς θεοῦ· ὅτι [n]ἡ μὲν θεὸς ὑπέβαλεν, ὁ ἐργασάμενος δ' ἐγώ.

Τομεῖς: Οἱ ἐμπρόσθιοι ὀδόντες.

Τὸ Μηλιακὸν πλοῖον: Ἐπὶ τῶν ἄγαν ῥεόντων [o]πλοίων εἴρηται τοῦτο, ἀπὸ ἱστορίας τινός. [p]Φησὶ C γὰρ Ἀριστοτέλης Ἱππότην εἰς ἀποικίαν στελλόμενον, τοῖς μὴ βουληθεῖσιν αὐτῷ συμπλεῖν καταράσασθαι. Ἐπειδὴ γὰρ προφασιζόμενοι, οἱ μὲν τὰς γυναῖκας [q]αὐτοῖς ἀρρωστεῖν, οἱ δὲ τὰ πλοῖα ῥεῖν, κατέμενον, κατηράσατο, μήτε πλοῖα στεγανὰ αὐτοῖς γενέσθαι ποτὲ, καὶ ὑπὸ τῶν γυναικῶν κρατεῖσθαι ἀεί.

Τομίας: [r]Εὐνοῦχος.

D [s]Ὁ δὲ Ναρσῆς, ὁ στρατηγὸς τῶν Ῥωμαίων, τομίας ἦν, καὶ τῆς εὐγλωττίας αὐτῷ οὔτι μάλα μετῆν, οὐδὲ παιδείας, καὶ ἐν τοῖς βασιλείοις [t]τρυφερώτερον ἀνατεθραμμένος. Ἦν δὲ ἄρα καὶ τὸ σῶμα βραχὺς, καὶ ἐν ἰσχνότητι ἐκδεδιῃτημένος. Ἦν δ' ἐπὶ Ἰουστινιανοῦ.

[Τόμις: Ὄνομα πόλεως. [u]Διφορεῖται.]

Τομόν: Τὸ τμητικόν. Ὀξυτόνως. Οὕτω [x]Πλάτων.

[r] πάλαισμα τῇ om. A. Tum λῦσαι A.V. sine μή. Mox τουτέστι μὴ λῦσαι om. E. Deinde τῇ πόλει τὸ σ. A.

[s] γεννῶσα] Statim delevi Καὶ ΤΟΚΕΥΣ, ὁ γεννήτωρ. καὶ ΤΟΚΗΩΝ, γονέων, ἢ τέκνων, cum A.B.V.

ΤΟ ΚΑΤΑΚΥΚΛΩΜΑ] Ms. Paris. A. [et V.] Τὸ κατακύλλωμα. Et sic Photius in Lex. ms. KUST. Censeo legendum esse τὸ κύκλωμα, ut respiciatur ad Ps. CXXXIX. 9. ἡ κεφαλὴ τοῦ κυκλώματος αὐτῶν, ad quem locum Theodoretus fere similiter, ἐνταῦθα προλέγει τὰ ἐσόμενα αὐτοῖς κακά. ERNEST. Etymol. M. p. 761, 38. Τὸ κατακύλλωμα, τὸ πέρας, καὶ ἀνωτάτω τῶν κακῶν ῥημάτων.

ΤΟΚΗΩΝ] Hic addunt A.B.

[t] Ἀριστοφάνης Νεφέλαις] Ver. 1289.

[u] πλέον semel V.

[x] ΤΟΚΟΣ] τόκος δὲ A.V. Addit A. in marg. τόκος ὁ κοινῶς κάμματος.

ΤΟΛΜΗΕΝΤΙ] Vid. Il. κ'. 205.

ΤΟΛΜΗΡΟΣ] Statim delevi Τὸν τολμηρὸν εἰς τὸν ἀνδρεῖον μεταλαμβάνουσιν. καὶ ἐν τῷ ἘΓΚΡΑΤΕΙΑ, cum A.V.E. Habet tamen A. in marg. præfixo Ὅτι.

[z] Νόμων θ'] P. 872 E.

[a] ἀποκτείνει] ἀπέκτεινε Photius. ἀπέκτεινέ ποτε Plato. Mox αὐτὸν τοῦτο Plato.

[b] ἐν δευτέρῳ] Leg. II. p. 661 A. ubi τολμῷ.

[c] ΤΟΛΜΩΝ—τολμῶν ὑπομένειν] τολμῶ—τολμῶν ὑπομένοι Photius. ὑπομένοι A.B.V.

[d] Ἀριστοφάνης] In Pac. 181.

[e] μιαρώτατε] μιαρῶν μιαρώτατε B.V.E.

[f] Ἀγαθίας] Lib. I. p. 14. KUST.

[g] τοῦ ἀναγκαίου] τοῦ om. A.

[h] λέγει τοῦ] λέγων V.

ΤΟΛΥΠΕΥΕΙΝ] Vid. Schol. Homer. Od. α'. 238. TOUP.

E [i] Οἱ δὲ καλωδίοις τε καὶ τ.] Et hæc sunt verba Agathiæ lib. V. p. 167. Vide etiam supra v. Κόρυμβα. KUST.

[k] τοὺς καλάμους om. V.

[l] Τὸ κατασκευαστὸν καὶ πεφιλοκαλημένον ἔριον] Schol. ad Homer. Odyss. δ'. 490. Τολυπεύειν: ἐργάζεσθαι. Τολύπη, ἡ ἐργασία. Τολυπευτόν: κατασκευαστὸν καὶ πεφιλοκαλημένον ἔριον. Ad hunc locum respexit Suidas. TOUP.

ΤΟΛΥΠΗ] 4 Reg. IV. 39. καὶ συνέλεξεν τολύπην ἀγρίαν. Forte itaque sic potius glossa scribenda: τολύπη ἀγρία. F κολοκύνθη. ERNEST. Conf. H. Steph. T. L. G. III. p. 1586 H. Schleusner. Lex. V. T. in v.

[m] κολοκύνθη] κολοκύντη A.V.E. ἀγριοκολοκύντη Photius, Lex. Seg.

ΤΟ ΜΕΝ ΝΟΗΜΑ Τ.] Aristoph. Equit. 1200. Τὸ δὲ V.

[n] ἡ μὲν] ὁ μὲν A.V.

[o] πλοίων] πλείων V.

[p] Φασὶ γὰρ Ἀριστοτέλην Ἱππ.] In Vaticana Proverbiorum Appendice legitur, Φησὶ γὰρ Ἀριστοτέλης, Ἱππότην, &c. G Et sic apud Suidam scribendum est. KUST. Et sic scripsi cum Photio. Ἀριστοτ A.

[q] αὐτῶν] αὐτοῖς A.B. Photius. Mox κατέμενον habet A. a m. s. om. B.E. Mox ποτε γενέσθαι A. ποτε εἶναι E.

[r] Εὐνοῦχος] ὁ εὐνοῦχος A.

[s] Ὁ δὲ Ναρσῆς ὁ στρατ.] Ex Agath. lib. I. p. 27. Vide supra v. Ναρσῆς. KUST.

[t] τρυφερώτερον] τρυφερώτατα V.

H ΤΟΜΙΣ] Τόμις A. (ubi gl. in marg.) B. Deest gl. V. Vide ante Τόμουρις.

[u] Διφορεῖται] Nam dicitur et Τομεύς. Vide Stephanum Byzantium. KUST. Potius: scribitur et Τόμις et Τόμεύς.

[x] Πλάτων] In Timæo p. 539 F. ABRESCH.

Τόμος: Ὁ χάρτης.

Τόμυρις, [x] βασίλεια Μασσαγετῶν, ἣν μνώμενος Κῦρος ὁ Περσῶν βασιλεὺς, ὥς οἱ [y] δόλῳ οὐ [z] προεχώρεεν, ἐλάσας ἐπὶ τὸν [a] Ἀράξεα, ἐποιέετο ἐκ τοῦ ἐμφανοῦς τὴν [b] στρατείαν.

Τὸν ἀφ' ἱερᾶς [c] γραμμῆς: Ἐν τῇ τῶν πεττῶν παιδιᾷ. Μένανδρος Καταψευδομένῳ.

Τόνδε: Τοῦτον.

Τοναῖος [d] δρόμος:

Τὸν ἐγκέφαλον ὥσπερ [e] κατασεσεῖσθαί μοι δοκεῖς: Τουτέστι, τὰ κεκρυμμένα.

Τονεφέρσωφρις: Βασιλεὺς Αἰγύπτου.

Τονθορύζει: Ὑπόπτως λαλεῖ, ψιθυρίζει, ἠρέμα γογγύζει, ἢ λάθρα φθέγγεται, ἢ ὑποτρέμει τὰ χείλη κινῶν.

Ὑποτονθορύζοντος δὲ τοῦ πλήθους, καὶ ἀγανακτοῦντος, λόγοις ἐχέφροσιν ὁ [f] στρατηγὸς τούτους ἐμάλασσε.

Πάλιν τε θρεῦν ὑπεξαναστάντων, καὶ τονθορύζειν πειρωμένων, ἔφη.

Τὸν ἵππον ὁ Σκύθης: Ἐπὶ τῶν κρύφα τινὸς ἐφιεμένων, φανερῶς δὲ ἀπωθουμένων. Λέγεται δὲ καὶ,

Ὁ Σκύθης τὸν ἵππον.

Τὸν Κολοφῶνα ἐπέθηκε: Δώδεκα πόλεις τῆς Ἰωνίας [g] συνήεσαν εἰς τὸ [h] Πανιώνιον λεγόμενον, περὶ τῶν κοινῶν βουλευσόμεναι. Καὶ εἴ ποτε [i] ἴσαι αἱ ψῆφοι ἐγένοντο, οἱ Κολοφώνιοι περιττὴν ἐτίθεντο τὴν νικῶσαν. Σμυρναίους γὰρ [k] ἐλθόντας εἶχον [l] συνοίκους· ὑπὲρ ὧν καὶ τὴν ψῆφον ἐτίθεντο. Ὅθεν ἐπὶ τῆς κρατούσης καὶ βεβαίας ψήφου ἡ παροιμία εἴρηται.

Τὸν Κολοφῶνα ἐπέθηκεν: Ἐκ τοῦ τοὺς Κολοφωνίους πρὸς ἑαυτοὺς [l] στασιάσαντας τινὰ τούτων μοῖραν [m] ξυνοικίσαι τοῖς Σμυρναίοις. Εἰς πόλεμον δέ ποτε τινὰ ἀπελθόντων Σμυρναίων, τοὺς μὲν [n] ὑπολειφθέντας ἐν Σμύρνῃ Κολοφωνίους κρατῆσαι αὐτῆς· ὡς τοὺς Κολοφωνίους ἐκ τούτου [o] δύο πόλεις ἔχειν, τήν τε Κολοφῶνα, καὶ Σμύρναν. Καὶ ἐν τῷ [p] βουλεύεσθαι περί τινος Σμυρναίους, οἳ ὑπελείφθησαν μετὰ τῶν Κολοφωνίων ἐν Σμύρνῃ, ὅτε [q] ἴσαι ψῆφοι τούτοις ἐγένοντο, πρὸς τοὺς Κολοφωνίους ἀναφέρειν αὐτὰς, καὶ ᾗ προσέθεντο, ταύτην κρατεῖν. [r] Καὶ οὕτω λέγεται ἐπὶ παντὸς τοῦ κυριωτάτου τὸν Κολοφῶνα ἐπιτίθεσθαι τοῖς λοιποῖς, [s] ὡς ἐπὶ τῶν ψήφων [t] τῶν β' τῶν Κολοφωνίων τῇ τούτων ἑτέρᾳ.

Τὸν ξύοντα ἀντιξύειν: Ἐπὶ τῶν βλαπτόντων τινὰς, ἢ καὶ θεραπευόντων. Ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ὄνων, [u] καθ' ὅσον ἐκεῖνοι ὑπ' ἀλλήλων κνήθονται, καὶ ἀντικνήθουσι.

Τόνον: Εὔτονον, ἢ δύναμιν. [x] Πισίδης·

[y] Εἵλκεν γὰρ αὐτοὺς ὥσπερ ἡλίου τόνος
σύρει πρὸς αὐτὸν ἑλκτικῶς τὰς ἰκμάδας.

Τόνος καὶ τοῦ [z] κραββάτου τὰ σχοινία. Τόνος καὶ τὸ [a] ἑξάμετρον ἔπος.

Πυθικὸν ἦν προμάντευμα ἐν τόνοις ἑξαμέτροις, οὕτω [b] προλέγον τὴν τελευτήν·

Αἰακίδη [c] προφύλαξο μολεῖν Ἀχερούσιον ὕδωρ,
[d] Πανδοσίην θ', ἔνθα τοι θάνατος [e] πεπρωμένος ἐστί.

Καὶ συνάψας μάχην Βρεττίοις [f] καὶ Λευκανοῖς ἐπί τινι ποταμῷ, τῆς γεφύρας ῥαγείσης, τῶν προσχώρων ἀκούσας τὸν ποταμὸν [g] ἀποκαλούντων Ἀχερόντιδα, τὴν δὲ πλησίον πόλιν Πανδοσίαν, πρὸς ἣ

ΤΟΜΟΣ: Ὁ χάρτης] Du Cangius Gl. Gr. p. 1582: Τόμον habet codex edit. Nicetæ in Isaacio lib. III. num. 5. de urbis statu n. 1. ubi Barbarogr. γραμμάτιον et χάρτην præfert.

ΤΟΜΥΡΙΣ, βασίλισσα Μασσ.] Vide omnino Herodotum lib. I. 205. Ceterum hæc leguntur etiam infra v. Τόμυρις. KUST. Vid. supra p. 2516 D. Et de h. nominis discrepante scriptura Hemsterhus. ad Lucian. Contempl. c. 13.

[x] βασίλισσα] βασίλεια A.V.

[y] δόλος] δόλῳ A.B.V. οὐδόλως προσεχώρεεν E.

[z] προσεχώρεεν] προεχώρεεν A.

[a] Ἀράξεα] Ἀράξ' V. Tum ἐποιέετο A.V. pro ἐποιεῖτο.

[b] στρατείαν] στρατιὰν A.B. pr. V.E.

ΤΟΝ ἈΦ' ἹΕΡΑΣ ΓΡ.] Confer Nostrum supra v. Ἀφ' ἱερᾶς, et v. Κινήσω τὸν ἀφ' ἱερᾶς. KUST.

[c] ΓΡΑΜΜΗΣ] γραμμὴ A.V. γραμμῆς B.E. Mox Καταψευδομένων E.

[d] ΔΡΟΜΟΣ] Statim delevi ὁ ἰσχυρὸς cum A.B.V. Zonaras: Τοναῖος: ἰσχυρός. Καὶ ὁ δρόμος τοναῖος ὤν.

[e] ΚΑΤΑΣΕΣΕΙΣΘΑΙ ΜΟΙ] σεσεῖσθαι E. μου B. pro μοι. Versus Aristoph. Nub. 1279.

ΤΟΝΕΦΕΡΣΩΦΡΙΣ] Vid. supra p. 1483 A.

ΤΟΝΘΟΡΥΖΕΙ: Ὑπ——τὰ χείλη κινῶν] Eadem fere habet Schol. Aristoph. Ran. 757. KUST. Τονθρύζει E. et mox.

[f] βασιλεὺς] στρατηγὸς A.V. et E. suprasc.

ΤΟΝ ἽΠΠΟΝ Ὁ ΣΚ.] Confer Nostrum supra v. Ἀκκιζόμενος, v. Ὁ Σκύθης τὸν ἵππον, et v. Σκύθης ἵππ. KUST.

[g] συνίεσαν] συνήεσαν A. Schol. Platon. p. 18. Prov. Vat. Apostol. συνήεσαν B.V.

[h] Πανιώνιον λεγόμενον] λεγόμενον Πάνιον A. Πάνιον item V. Πανίων B.E.

[i] ἴσαι] ἴσοι A. sed αι suprasc. m. s.

[k] Ἐθελοντὰς] Sic recte ms. Paris. A. At priores editt. male, ἐλθόντας. KUST. ἐθέλοντας A. cum γρ. καὶ ἐλθόντας in marg. ἐλθόντας B.V.E. Schol. Platon. Prov. Vat. App. IV. 11. Apostol. XIX. 13. Ceterum ἐθελόντας pro ἐλθόντας e conjectura dedit Schottus Suidæ Prov. XIII. 75.

[l] συνοίκους] Sic rectius mss. Paris. quam [E. et] priores editt. quæ habent, συμμάχους. KUST.

ΤΟΝ ΚΟΛΟΦΩΝΑ] Sumptus hic articulus videtur ex Schol. in Gregor. Nazianz. cujus versionem Latinam præbet ed. Bill. T. II. p. 24 B. Conf. Bandini Catal. Bibl. Laur. T. I. p. 216.

[m] ξυνοικίσαι] ξυνοικῆσαι V.

[n] ὑπολειφθέντας] ἐν Σμύρνῃ addunt A.B.V.

[o] δύο] δώδεκα B.E.

[p] βουλεύεσθαι] βουλεύσασθαι E. Tum παρὰ (suprasc. περὶ) A.

[q] ἴσαι] ἴσοι A.

[r] Καὶ οὕτω λέγεται] τοῦτ λ. A. τοῦτο λ. V. Seqq. in Suidæ Prov. XIII. 75. omissit Schottus.

[s] ὡς ἐπὶ τῶν ψήφων τῶν β'. τῶν Κολοφ.] Locus hic salebrosus est, nec sensum planum habet, cui mss. nullam opem ferunt. KUST.

[t] τῶν β'] τῶν ιβ' B.E.M. Mox τούτων E.

ΤΟΝ ΞΥΟΝΤΑ] Vid. supra p. 2633 A. Schol. Aristid. T. III. p. 672, 20. ed. Dindorf.

[u] καθ'] παρ' A.B.V.

[x] Πισίδης] Fr. Foggin. 155.

[y] Εἵλκεν] εἷλκες A.E.

[z] κραββατίου] κραββάτου A.V. κραβα' E. Schol. Aristoph. Eq. 529. Τόνος γὰρ τὰ τῶν κραββάτων σχοινία.

[a] ἑξάμετρον ἔπος] ἐν ἑξαμέτρῳ τόνῳ sæpe Herodotus, veluti I. 47. 62.

[b] προλέγον] προέλεγον A.E.M. προλέγων V.

[c] προφύλαξαι] Leg. προφύλαξο. TOUP. et VALCK. qui sequentia Æliano tribuit. προφύλαξο A.V. προφύλαξε E.

[d] Πανδοσίην] Vid. Stephan. in Πανδοσία. HEMST.

[e] πεπρωμένος] πεπρωμένον B.V.E.

[f] καὶ Λευκανοῖς] καὶ om. A.V.

[g] καλούντων] ἀποκαλούντων A.V. καλοῦντας E.

εἶχε λόγιον συμβαλὼν τοὺς τόπους, καὶ γνοὺς ὅτι ἄρα τὸ χρεὼν ἐκπέπληρωται, τότε δὴ τὸν εὐκλεᾶ προΐεται θάνατον, καὶ πρὸς μέσους τοὺς πολεμίους ὠθούμενος ἀφειδῶς, πολλὰ πρότερον δράσας, οὕτω πίπτει μαχόμενος. Ἦν δὲ [h] Ἀλέξανδρος ὁ [i] Φιλίππου κηδεστής, Ὀλυμπιάδος ἀδελφός.

Τὸν [k] Ὕλλαν [l] κραυγάζεις: Ἐπὶ τῶν μάτην πονούντων καὶ κραυγαζόντων ἡ παροιμία· ἐπεὶ τὸν Ὕλαν ἀφανῆ γενόμενον Ἡρακλῆς ἀποβὰς τῆς νεὼς Ἀργοῦς, καὶ ζητήσας, οὐχ εὗρε.

Τοξεύω:

Τοξεία:

Τοξόται: Οἱ δημόσιοι ὑπηρέται, φύλακες τοῦ ἄστεος, τὸν ἀριθμὸν χίλιοι, οἵτινες πρότερον μὲν ᾤκουν τὴν ἀγορὰν μέσην σκηνοποιησάμενοι, ὕστερον δὲ μετέβησαν εἰς Ἄρειον Πάγον. Ἐκαλοῦντο δὲ οὗτοι καὶ Σκύθαι, καὶ [m] Σπευσίνιοι· ἀπὸ Σπευσίνου τινὸς τῶν πάλαι πολιτευομένων συντάξαντος τὰ περὶ αὐτούς.

Τοξότης: Ὑπηρέτης. [n] Ἀριστοφάνης·

> Τοξότης συνήγορος,
> ὥσπερ [o] Εὔαθλος.

Ἀντὶ τοῦ ὑπηρέτης.

Τοξοποιεῖν:

> [p] Μὴ σκυθρώπαζ᾽ . .
> Οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς.

Ἀντὶ τοῦ, σκυθρωπάζειν· ἀπὸ τοῦ παρακολουθοῦντος· [q] τοιοῦτον γὰρ τὸ πρόσωπον τῶν ἐν μερίμνῃ ὄντων. [r] Ὅμηρος·

> Οὐδὲ μέτωπον [s] ἐπ᾽ ὀφρύσι κυανέῃσιν
> ἰάνθη.

[t] Σοφοκλῆς κατὰ τὸ ἐναντίον·

> Ὡς ἂν Διὸς μέτωπον ἰάνθη [u] χαρᾷ.

Τοξότου: Δημοσίου ὑπηρέτου, ἐπόπτου καλουμένου.

Τοπάζειν: Οἷον στοχάζεσθαι, ἐνθυμεῖσθαι, [x] ὑπονοεῖν. Καὶ ἐτόπαζον, ὁμοίως. Καὶ παρὰ Σοφοκλεῖ ἐν Ἠριγόνῃ·

> Ἃ δὲ
> δόξῃ τοπάζω, ταῦτ᾽ ἰδεῖν σαφῶς θέλω.

Διὸ καὶ ὑποτοπεῖν, τὸ ὑπονοεῖν λέγουσι.

Τοπάζιος: Λίθος πολυτελής, κατ᾽ ἐκείνους τοὺς καιροὺς τιμώμενος.

Τὸ παράπαν: Διόλου, παντελῶς.

[y] Οἶνον μὴ πιεῖν τὸ παράπαν.

Τὸ παράπαν κατὰ πάντα τρόπον, ἐξ ὁλοκλήρου.

Τὸ Πάρνου σκάφιον: Ἐπὶ τῶν μικρὰ πολλάκις ζητούντων. Πάρνος γὰρ ὁ κυβερνήτης σκάφος ἀπώλεσε, καὶ συνεχῶς ἠνώχλει.

Τὸ παρὸν εὖ ποιεῖν: Παροιμία. Πλάτων [z] ἐν Γοργίᾳ·

> Καί, ὡς ἔοικεν, ἀνάγκη μοι, κατὰ τὸν παλαιὸν λόγον, τὸ παρὸν εὖ ποιεῖν.

Κρατῖνος Πυλαίᾳ·

> Ἄνδρας σοφοὺς χρὴ τὸ παρὸν [a] πρᾶγμα καλῶς εἰς δύναμιν τίθεσθαι.

Τὸ παρὸν εὖ τίθεσθαι: Παροιμία.

Τὸ πέρα: Ἔτι, ἐπιπλέον· ἢ ἕως τέλους· ἢ ὅλως.

Τοπεῖν: Ὑπονοεῖν.

Τοπεῖον: Τὰ σχοινία λέγουσι τοπεῖα. Στράττις Μακεδόσι·

> [b] Τὸν πέπλον δὲ τοῦτον ἕλκουσι δεσμεύοντες τοπείοις ἄνδρες.

Τόπος: Τῶν πολλαχῶς λεγομένων ἐστί. Λέγεται γὰρ τόπος, ὁ φυσικός, καὶ τὸ μόριον, καὶ ἡ ἑκάστου λόγου περίοδος· οἱ δὲ παρὰ Ἀριστοτέλει τόποι, διὰ τὸ ἔχειν τινὰ ὁμοιότητα τῷ φυσικῷ τόπῳ [c] λέγονται τόποι. Τόποι δὲ εἰσὶν, ἀρχὴ καὶ ἀφορμὴ διαφόρων ἐπιχειρημάτων.

---

[h] Ἀλέξανδρος] Harpocr. ἄλλος δὲ Ἀλέξανδρος Μολαττὸς frater Olympiadis. Vide ibi a me et a Valesio notata. De hoc Alexandro Molosso est insigne fragmentum Aristotelis apud Ammonium in Νῆες. Steph. Byz. Πανδοσία. non debebat dubitare Berkelius. Corrigo ὁ Μολοττός. Librariis multo notior erat Alexander Ætolus citatus sæpe Stephano, nisi fallor. VALCK.

[i] Φιλίππου] Φίλιππος V. Mox Ὀλυμπιάδι A.B.V. Tum ἀδελφῷ V.

[k] ΥΛΛΑΝ] Scribendum est Ὕλαν, per simplex λ. KUST. Vid. Ὕλαν κραυγάζειν. Hesych. v. Ἐπιβόα, ubi pro αἱ Μοῦσαι l. forte οἱ Μύσοι τ. Τ. ἀνακαλούμενοι. TOUP. Conf. Hemsterhus. ad Schol. Aristoph. Plut. p. 426.

[l] ΚΡΑΥΓΑΖΕΙΣ] βαστάζεις V.

ΤΟΞΟΤΑΙ: Ὁ δημόσιοι ὑπηρ.] Ex Schol. Aristoph. Acharn. 54.

[m] Σπευσίνιοι, ἀπὸ Σπευσίνου τ.] Scribendum potius est, Πευσίνιοι, ἀπὸ Πευσίνου [πευσῖνος Schol.] τινός; non solum auctoritate Scholiastæ Aristophanis loco laudato, sed etiam Jul. Pollucis lib. VIII. c. 10. p. 408. Vide etiam Meurs. Ceram. Gem. c. 16. KUST. Σπευσίνιοι et Σπευσίνου Photius.

[n] Ἀριστοφάνης Τοξ.] Fragmentum hoc Aristophanis ex Holcadibus ejus depromptum est, ut patet ex Scholiasta Aristoph. ad Acharn. 710. Ibi autem plura. KUST.

[o] Εὔαθλος] Εὔανθλος A.

ΤΟΞΟΠΟΙΕΙΝ] Caput gl. om. A.V.

[p] Μὴ σκυθρώπ.] Aristophanes Lysistr. 7. Μὴ σκυθρώπαζ᾽, ὦ τέκνον. Οὐ γὰρ πρέπει σοι τοξοποιεῖν τὰς ὀφρῦς. KUST.

[q] τοιοῦτον] τοιοῦτο A. γὰρ om. V.

[r] Ὅμηρος] Il. ι΄. 102. KUST.

[s] ἐπ᾽ ὀφρύσι] ἐπ᾽ om. A.V.

[t] Σοφοκλῆς] Fr. inc. 88.

[u] χαρῇ] χαρᾷ A.B.V.E.

ΤΟΠΑΖΕΙΝ: Οἷον στοχ.] Eadem habet Etymologus. KUST.

[x] ὑπονοεῖν] Vid. Timæus c. n. Ruhnkenii p. 259. Schol. Platon. p. 117. 245.

ΤΟΠΑΖΙΟΣ: Λίθος πολυτ.] Psalm. CXVIII. 127. Διὰ τοῦτο ἠγάπησα τὰς ἐντολάς σου ὑπὲρ χρυσίον καὶ τοπάζιον. Theodoretus ad illum locum, p. 902. Τῶν γὰρ τιμίων λίθων τοπάζιος. εἰκὸς δὲ κατ᾽ ἐκεῖνον τὸν καιρὸν τοῦτον προτιμᾶσθαι τῶν ἄλλων. Huc Suidas respexit. KUST.

ΤΟΠΑΡΑΠΑΝ] Τὸ παράπαν A. et sic mox.

[y] Οἶνον] οὐ V. Caput sequentis glossæ adjeci cum A. E.

ΤΟ ΠΑΡΟΝ Ε. Π. Gataker. ad Antonin. VI. 2. ita constituit, sed usus nimia libertate. Verum eodem plane modo Erasmus Adag. p. 605. quem ille descripsit. Vide quæ notavi ad Lucianum p. 485. 486. HEMST.

[z] ἐν Γοργίᾳ] ἐν om. V. Locus est p. 499 E. Vid. Ast. ad Legg. XII. 9. p. 571.

[a] πρᾶγμ᾽ ὡς] πρᾶγμα A.B.V.E. Photius.

ΤΟ ΠΑΡΟΝ ΕΥ Τ.] Vid. not. ad Hesych. Παροιμία addit A. Deest gl. V.

ΤΟΠΕΙΟΝ] Τόπιον Photius, et mox τόπια.

[b] Τὸν πέπλον] Vide Polluc. p. 1311. et Harpocr. in v. Lege, τὸν πέπλον δὲ τουτονὶ ἕλκουσι δεσμεύοντες ὥσπερ ἱστίον τοπείοισιν ἄνδρες ἀναριθμήτοις εἰς ἄκρον. TOUP.

[c] λέγονται] λέγονται τόποι A.B.V.E.

[d]Τοπικὰ δὲ ἐπιγράφεται [e]τὰ τοῦ Ἀριστοτέλους, A ἀπὸ τοῦ τόπους τινὰς ἐν αὐτοῖς παραδίδοσθαι, ἀφ' ὧν ὁρμώμενοι δυνησόμεθα περὶ παντὸς τοῦ προτεθέντος δι' ἐνδόξων συλλογίζεσθαι. Ἔστι γὰρ ὁ τόπος ἀρχή τις, ἢ στοιχεῖον, ἀφ' οὗ λαμβάνομεν τὰς περὶ [f]ἕκαστον ἀρχὰς, ἐπιστήσαντες τὴν διάνοιαν, τῇ περιγραφῇ μὲν ὡρισμένως· (ἢ γὰρ [g]παραλαμβάνει τὰ κοινὰ [h]καὶ καθόλου, ἅ ἐστι τὰ κύρια τῶν συλλογισμῶν· ἢ δύναταί γε ἐξ αὐτῶν τὰ τοιαῦτα δείκνυσθαί τε καὶ λαμ- B βάνεσθαι·) τοῖς δὲ καθ' ἕκαστα [i]ἀορίστως. Ἀπὸ τούτων γάρ ἐστιν ὁρμώμενον εὐπορεῖν προτάσεως ἐνδόξου πρὸς τὸ προκείμενον· τοῦτο γὰρ ἡ ἀρχή. [[k]Ἀξιοῦσι δέ τινες τὸ πρῶτον βιβλίον, μὴ Τοπικὸν, ἀλλὰ πρὸ τῶν Τόπων [l]ἐπιγράφεσθαι.] Ἐνίοτε δὲ ὅσα ἀναγκαῖα τὸ ἐξ ἐνδόξων. Οὐ γὰρ οἷόν τε περὶ παντὸς τοῦ προτεθέντος ἐξ ἀληθῶν συλλογίζεσθαι.

Καὶ [m]ἐν Ἐπιγράμμασι·

> Ἀλλ' ἐπὶ μὲν γαίης [n]ἐλέῳ τάφος· οἱ γὰρ ἰδόντες
> εὐθύ με πρὸς τύμβους ἔστεφον εὐσεβέες.
> Νῦν [illegible] τεκοῦσα [o]θάλασσα διώλεσε. Τίς παρὰ πόντῳ
> πίστις;

Τόπος παραγγέλματος διαφέρει. Παράγγελμα μὲν εἶναι τὸ κοινότερον, καὶ καθολικώτερον, καὶ [p]ἁπλούστερον, ἀφ' οὗ τόπος εὑρίσκεται· D ἀρχὴ γὰρ τόπου τὸ [q]παράγγελμα, ὥσπερ ὁ τόπος, ἐπιχειρήματος· οἷον, παράγγελμα μὲν τὸ οὕτως λεγόμενον, ὅτι δεῖ ἐπιχειρεῖν ἀπὸ τῶν [r]ἐναντίων, καὶ τῶν συστοίχων· τόπος δὲ, [s]εἰ καὶ τὸ ἐναντίον πολλαχῶς [t]τῷ ἐναντίῳ ὑπάρχει τὸ ἐναντίον· καὶ πάλιν, [u]ὡς ἓν τῶν συστοίχων, οὕτω καὶ τὰ λοιπά. Ὁ γὰρ τόπος πρότασις ἤδη τις ἀπὸ τοῦ παραγγέλματος γέγονε. E

Τοποτηρητής: Εἶδος ἀξιώματος.

Τὸ προσέρπον: Τὸ ἀποβησόμενον. [x]Σοφοκλῆς·

> A Ὤμοι, φοβοῦμαι τὸ προσέρπον· περίφαντος ἀνὴρ
> θανεῖται.

Τὸ ῥα: Ὅπερ δὴ οὖν, ὅπερ οὖν.

Τόργος: [y]Παρὰ Λυκόφρονι ὁ κύκνος. Λέγεται δὲ καὶ ὁ γύψ.

Τορεύει: Γλύφει, τιτρᾷ. Καὶ,

> [z]Τόρευε πᾶσαν ᾠδήν.

B Ἀντὶ τοῦ, τορῶς καὶ τρανῶς λέγε τὴν ᾠδήν.

Τορεία: Ἡ ῥητορεία.

Τορκοτᾶτος: Ὄνομα κατ' ἐπίκλησιν. Κινηθὲν γὰρ τὸ [a]Κελτῶν ἔθνος κατὰ τῆς Ἰταλίας ἐρρύη· καὶ ἀντικαθεζομένων ἀλλήλοις τῶν στρατοπέδων, Μάλλιος [b]τῶν ἀπὸ Βουλῆς ἐπιφανὴς τὸν βασιλέα τῶν Κελτῶν τά τε ἄλλα μεγαληγορούμενον, καὶ προσιέναι οἱ τὸν ἄριστον τῶν Ῥωμαίων ἐς ἰδιάζουσαν συμπλοκὴν προ- C καλούμενον [c]ὑποστὰς, ἐπικαιρίῳ καταβάλλει τραύματι. Σκυλεύσας τε τὸν νεκρὸν, καὶ τὸν περὶ τὸν τράχηλον στρεπτὸν ἀνελόμενος, ὃς ἐπιχώριός ἐστι Κελτοῖς [d]κόσμος, αὐτὸς περιέθετο· καὶ ἀπὸ τοῦδε Τορκουάτος [e]πρὸς τῶν πολιτῶν ἐπικληθεὶς, (ὅπερ ἂν εἴη στρεπτοφόρος,) μνημεῖον τῆς ἀριστείας τὴν ἐπίκλησιν ταύτην τοῖς ἀφ' ἑαυτοῦ καταλέλοιπε.

Τόρμη: Νύσσα, καμπτήρ.

D Τορνευτολυρασπιδοπηγοί: Οἱ ποιοῦντες τὰς λύρας καὶ τὰς ἀσπίδας.

Τόρνος: Ξύλον στρογγύλον· [f]ἢ τὸ τρῆμα, καὶ τὸ ἐνιέμενον εἰς αὐτό.

Τορνώσασθαι: Κατασκευάσασθαι.

Τορόν: Ἰσχυρόν. Καὶ Τορῶς: Ἰσχυρῶς, τρανῶς, μεγαλοφώνως, σαφῶς, ἀκριβῶς.

> E [g]Τορῶς τὸ ἀνακλητικὸν σημανθῆναι κελεύσας.

Τορῶ: Τὸ τρυπῶ.

Τορωναῖος: Ὄνομα κύριον. [h]Καὶ [i]Τορώνη πόλις ἐν Θράκῃ.

---

[d] Τοπικὰ [illegible] ἐπιγράφεται ἡ τοῦ Ἀριστ.——ἐξ ἀληθῶν συλλογίζεσθαι] Hæc omnia sunt verba Alexandri Aphrod. in lib. I. Topic. p. 5. ut Pearsonius etiam observaverat. F KUST.

[e] ἡ τοῦ Ἀριστοτέλους πραγματεία] τὰ τοῦ Ἀριστοτέλους A.

[f] ἑκάστου] ἕκαστον A.V. Alex.

[g] παραλαμβάνει] περιλαμβάνει Alex.

[h] καὶ καθόλου om. E.

[i] ἀορίστως] ἀρίστως V.

[k] Ἀξιοῦσι—ἐπιγράφεσθαι om. Alex.

[l] ἐπιγράφεσθαι] καλεῖσθαι καὶ ἐπιγράφεσθαι V. ubi reliqua desunt.

G [m] ἐν Ἐπιγράμμασι] Anthol. Pal. VII. 216.

[n] ἐλέου] ἐλέῳ B.V.E. Anthol.

[o] θάλασσα om. B.E. Mox πόντου A.

[p] ἁπλούστερον λεγόμενον A.

[q] παράγγελμα] τὸ π. A.V.

[r] ἐναντίων, καὶ τῶν] καὶ τῶν om. A. ἐναν^τ στοίχ^ων V.

[s] εἰ καὶ] καὶ om. A.V.

[t] τῷ ἐναντίῳ] τῷ ἐναντίῳ ἢ εἰ τὸ ἐναντίον τῷ ἐναντίῳ A.V.

[u] ὡς ἐκ] ὡς ἐν A.B.V.E.

ΤΟΠΟΤΗΡΗΤΗΣ] Vide Dufrenium in Glossario Græco. H KUST.

[x] Σοφοκλῆς] In Aj. 227. Post προσέρπον addit A. ὅ ἐστι τὸ ἀποβησόμενον.

[y] Παρὰ Λυκόφρονι ὁ κύκνος] Lycophron Cassandr. 88. Ἣν τόργος ὑγρόφοιτος ἐκλοχεύεται. Scholiastes ad eum locum: Τόργος: ὁ γύψ κυρίως· νῦν δὲ τὸν κύκνον λέγει. KUST. Deest gl. V. Toupius citat Callimach. fr. 204.

[z] Τόρευε πᾶσαν ᾠδὴν] Aristoph. Thesmoph. 995.

ΤΟΡΚΟΤΑΤΟΣ: Ὄνομα κατ' ἐπίκλησιν. κινηθὲν γὰρ τὸ Κελτ.] Hæc sumpta sunt ex versione, vel potius paraphrasi Græca Eutropii, non ea, quam hodie habemus, sed alia longe vetustiore: ex qua non pauca alia quoque loca Suidas in Lexicon suum transtulit. Confer Nos supra ad v. Ἀμέσσεια. KUST. Conf. Maii Excerpta Vaticana T. II. p. 530.

[a] Κελτῶν] Κελτικὸν E.

[b] τῶν ἀπὸ] ἀνὴρ τῶν ἀπὸ A.V. Mox ἐπιφανεῖς M.

[c] ὑποστὰς] ἐπιστὰς E.

[d] κόσμος Κελτοῖς] Κελτοῖς κόσμος A.

[e] πρὸς τῶν πολιτῶν Τορκουάτος ἐπεκλήθη] Τορκουάτος πρὸς τῶν πολιτῶν ἐπικληθεὶς A.V. omisso mox δὲ post μνημεῖον.

ΤΟΡΜΗ] Male pro τέρμα. Vide supra h. v. KUST.

ΤΟΡΝΕΥΤΟΛΥΡΑΣΠΙΔ.] Ex Schol. Aristoph. Av. 491.

[f] ἢ τὸ τρῆμα] Ex gl. Herodot. IV. 72. conf. Wessel. Diod. Sic. II. 8. Male confudit grammaticus Τόρμος et Τόρνος. Photius: Τόρμος: ἡ πλήμνη εἰς ἣν ὁ ἄξων ἐνήρμοσται.— Τόρνος: ξύλον στρογγύλον.

ΤΟΡΝΕΥΣΑΣΘΑΙ] Τορνώσασθαι A.V. Photius.

[g] Τορῶς] Dio Cass. [LXXV. 12.] p. 855 D. HEMST.

ΤΟΡΩ] A.V. in marg.

[h] Καὶ ὁ ἀπὸ Τορώνης. Τορώνη δὲ] καὶ Τορώνη A.V.

[i] ΤΟΡΩΝΗ] Vide supra v. Κωφότερος. KUST.

Τορύνη: Τὸ κινητήριον τῆς χύτρας. [k]Πανταχοῦ δὲ ἐκτείνεται, εἰ (μὴ) [l]παρ' Εὐπόλιδι· A

Τορύνῃ [m]τέως δὴ ξίφος ὑπεζωσμένος.

Καὶ αὖθις·

[n]Καὶ τὰν ἐτνοδόνον τορύναν.

Τόσιβις: Θεός.

Τὸ σκαμβὸν ξύλον οὐδέποτ' ὀρθόν: Αὕτη ἡ παροιμία δημώδης ἐστὶ καὶ φανερά. Τάττεται δὲ κατὰ τῶν διάστροφα ξύλα ἢ πράγματα πειρωμένων κατευθύνειν, καὶ μηδὲν ὠφελούντων. B

[Τὸ σὸν ὄναρ σοι διηγούμενος:

[o]Εἰ γὰρ ἐγώ σοι νῦν αὐτὸν γνωρίζω, πέπονθα τὸ τῆς παροιμίας, Τὸ σὸν ὄναρ σοι διηγούμενος.]

Τοσοῦτον: Ἀντὶ τοῦ τοῦτο. [p]Σοφοκλῆς·

[q]Καίτοι τοσοῦτον ἐξεπίστασθαι δοκῶ.

Τουτέστι τοῦτο. Καὶ Σοφοκλῆς ἐν Αἴαντι· C

[r]Τοσοῦτον οἶδα, [καὶ παρὼν ἐτύγχανον.]

Ἀντὶ τοῦ, μέχρι τούτου.

Τόσῳ: Τοσούτῳ.



Τοσούτῳ θεῷ: Ἀντὶ τοῦ, μεγάλῳ.

[s]Καὶ νόμον ἔθεντο, εἰ τοιοῦτοι γένοιντο ὑπὸ τῷ [t]τοσούτῳ θεῷ, εὐδαιμονίαν εἶναι, καταγράφοντες κοινήν.

Τὸ συνοῖσον: Τὸ συμφέρον.

[u]Ὁ δὲ αἰσθόμενος, φιλυπόστροφος γίνεται, τὸ συνοῖσον τῇ προθυμίᾳ πραγματευόμενος.

Τότε δὴ τότε: Ἀντὶ τοῦ παραυτίκα.

Τότε δὴ τότε ἡ [x]Φραγγικὴ δύναμις τοῖς Ῥωμαίοις ξυρραγεῖσα ἐξωθεῖ αὐτούς.

Τουηνικαῦτα: [[y]Τότε.]

Τοῦ: Καὶ ἐπὶ θηλυκοῦ τάττεται, ὥσπερ τὸ τινός. Ἀριστοφάνης [z]Ἀμφιάρεῳ·

[a]Ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω.

Ἐπὶ οὐδετέρου δὲ, Δαναΐσιν·

Ἀλλ' εἴσιθ', ὡς τὸ πρᾶγμα λέξαι βούλομαι
ταυτί· προσόζειν γάρ [b]κακοῦ τοῦ μοι δοκεῖ.

Ἐπὶ δὲ ἀρσενικοῦ, Κοριαννοῖ Φερεκράτης·

[c]Πάντας γάρ εἰσι τοῦ φίλου ἑνός γέ του.

Τοῦ Βάττου χορός: Ἐπὶ τῶν ἁπλουστέρων καὶ ἀμαθῶν εἴρηται ἡ παροιμία.

ΤΟΡΥΝΗ: Τὸ κινητήριον τῆς χ.] Ex Schol. Aristoph. Equit. 980. KUST.

[k] Πανταχοῦ δὲ ἐκτ.] Hoc falsum est. Nam in subjuncto loco Eupolidis et Epigrammatis corripitur. Quare scribere debuit Suidas, πανταχοῦ δὲ σχεδὸν ἐκτείνεται· εἰ καὶ παρ' Εὐπόλιδι συστέλλεται. Versus autem Eupolidis sic legendus videtur: Τορύνην δ' ἐκεῖνος ὡς ξίφος ὑπεζωσμένος. KUST.

[l] παρ' Εὐπόλιδι] εἰ παρ' Εὐπόλιδι A.V. εἰ μὴ παρ' Εὐπ. Schol. conf. ad Av. 78.

[m] δ' ὡς δὴ] τέως δὴ A.B.V.E. Schol. τέως ὡς δὴ Bentleius.

[n] Καὶ τὰν ἐτνοδόκαν τορ.] Anthol. Pal. VI. 305. ἐτνοδόκαν A.V. ἐτνοδόνον B.E.

ΤΟΣΙΒΙΣ: Θεὸς τῶν] Est locus mutilus, de quo adscribam verba doctissimi Reinesii Var. Lect. lib. I. cap. 5. "Apud Solymos Lyciorum vicinos imperarunt aliquando Arytus et Tosibis: eos interfecit Saturnus et fugit. Solymi igitur hoc neglecto istos divinis honoribus adficere, et in Numinum numero, Deorum sive Scirorum sive Σκληρῶν appellatione imposita, habere constituerunt. Didicimus ex Eusebii lib. V. Προπαρασκ. c. 5. Nunc igitur in Suida esto, Τόσιβις. Θεὸς τῶν Σολύμων, vel τῶν Λυκίων. Plutarchus enim, quem eo loco describit Eusebius, per nomen istorum publice privatimque execrationes fecisse Lycios addit, lib. de Def. Orac. [p. 421 D.] Appellat autem Ἄρσαλον, Δρύον, καὶ Τροσοβιόν: quæ διττογραφία indicio est Suidam ab Eusebio sua mutuatum esse; Plutarchi autem codices, hac quidem parte fortasse vitiatos in appellationibus barbaris, non inspexisse." Hæc Reinesius docte. KUST. Addit Reinesius, "etiam Theodor. Serm. 3. citat ista Plutarch. sed habet Τόσαβο, Ἄρσαλον Ἄρυον." Ceterum A. præbet Τόσιβος. et τῶν post θεὸς om. pr. cum V.

ibid. Locus mutilus est, quem ita supplebat doctissimus Reinesius: Θεὸς τῶν Σολύμων, vel τῶν Λυκίων. Quomodo et ante eum Vigerus ad Euseb. Præpar. lib. V. p. 188. Quam emendationem probat Kusterus. Sed neuter scopum attigit. Scribendum sine dubio: Τόσιβις. Θεὸς τῶν ΣΚΛΗΡΩΝ. *Unus ex iis deis, qui σκληροὶ nominantur.* Respexit autem Suidas ad Plutarch. de Oracul. Defectu p. 421. ubi ita legitur: Ἐπεὶ καὶ Σολύμους πυνθάνομαι τοὺς Λυκίων προσοίκους ἐν τοῖς μάλιστα τιμᾶν τὸν Κρόνον· ἐπεὶ δὲ ἀποκτείνας τοὺς ἄρχοντας αὐτῶν Ἄρσαλον καὶ Δρύον καὶ Τροσοβιόν, (lege Ἄρυον καὶ Τόσιβιν) ἔφυγε καὶ μετεχώρησεν ὁποιδήποτε· τοῦτο γὰρ οὐκ ἔχουσιν εἰπεῖν· ἐκεῖνον μὲν ἀμεληθῆναι, τοὺς δὲ περὶ τὸν Ἄρσαλον ΣΚΛΗΡΟΥΣ ΘΕΟΥΣ προσαγορεύεσθαι· καὶ τὰς κατάρας ἐπὶ τούτων ποιεῖσθαι δημοσίᾳ καὶ ἰδίᾳ Λυκίους. Ita scribendus iste locus. Θεοὺς σκιροὺς sive σκιρροὺς vocant Eusebius et Theodoritus. Quod perinde est. Sophocles Œdip. Tyr. 35. Ὅς γ' ἐξέλυσας, ἄστυ Καδμεῖον μολὼν, ΣΚΛΗΡΑΣ ΑΟΙΔΟΥ δασμὸν, ὃν παρείχομεν. Theocritus Idyll. IV. 40. Αἲ αἲ ΤΩ ΣΚΛΗΡΩ μάλα ΔΑΙΜΟΝΟΣ ὅς μ' ἐλελόγχει. Œnomaus apud Euseb. Præpar. lib. V. p. 229. Οἷον εἰ καὶ Κάνθαρός τις γεννηθεὶς οὐκ ἐνεβίω, οὐδ' ἐνεγήρασεν ἐν ἐκείνῃ τῇ κοπρίᾳ, ἀλλ' ἐχθρῷ ἀνέμῳ περιέτυχε, καὶ Κανθαρίῳ ΔΑΙΜΟΝΙ ΣΚΛΗΡΩΙ, ὃς αὐτὸν μετέωρον ἄρας βίᾳ, ἀπήνεγκεν ἐπί τινα ἄλλην γῆν, καὶ ἄλλην κοπρίαν. Auctor Proverb. XXVII. 16. Βορέας ΣΚΛΗΡΟΣ ἄνεμος, ὀνόματι δὲ ἐπιδέξιος καλεῖται. Quo respexit Hesychius: Βορρᾶς, ἄνεμος ψυχρὸς παγώδης καὶ ΣΚΛΗΡΟΣ, ὃς προπαλογούμενος σκαιὸς καὶ ἀπόπεμπτος λέγεται, καὶ σημαίνει ΤΟΝ ΔΙΑΒΟΛΟΝ. Quæ egregia sunt, et ex Basilio descripta. Quod viris doctis notatum. Ceterum qui hic Τόσιβις, is Theodorito, qui hunc locum Plutarchi laudat Græcar. Affect. lib. III. p. 46. Τόσαβις dicitur. Quod ex Suida et Eusebio corrigendum. TOUP.

ΤΟ ΣΚΑΜΒΟΝ ΞΥΛ.] Confer Nostrum supra v. Ξύλον ἀγκύλον, et v. Σκαμβός. KUST.

[o] Εἰ γὰρ ἐγώ σοι ν.] Fragmentum hoc auctius legitur supra v. Ταυτὸ πέπονθα. KUST. Hunc articulum A.V. marg.

[p] Σοφοκλῆς addunt A.V. Qui infra Καὶ Σοφ. ἐν Αἰ. omisit καὶ αὖθις ὁ αὐτός.

[q] Καί τοι τοσοῦτόν γ' ἐξεπ.] Sophocl. Aj. 441. γ' om. A.V.

[r] Τοσοῦτον οἶδα, κ.] Sophocl. Aj. 747. καὶ παρὼν ἐ. om. A.V.

[s] Καὶ νόμον] Suspicor esse Æliani. VALCK.

[t] τοσούτῳ] τῷ τοσούτῳ A.

[u] Ὁ δὲ αἰσθόμενος] Et hoc Æliano tribuit Valckenærius.

[x] Φραγγικὴ] Φραγκικὴ V. Tum τοῖς Ῥωμαίοις om. E.

[y] Τότε om. A.B.V.

ΤΟΥ: Τοῦτο καὶ ἐπὶ θηλ.] Confer Nostrum supra v. Οὔτε του. KUST. τοῦτο om. A. Photius. ὥσπερ τὸ τινὸς om. E.

[z] Ἀμφιάρεῳ] Ἀμφιαράῳ Photius.

[a] ταυτὶ om. E. mox οὐ V. pro του.

[b] κρέα] Forte legendum est, κακοῦ. Sic enim metro saltem consuletur. KUST. κακοῦ ex Photio.

[c] Πάντες] πάντων V. παντὸς E.

ΤΟΥ ΒΑΤΤΟΥ ΧΟΡΟΣ] Confer Zenobium, Adag. Κάκιον Βάττος αὐλεῖ, et Vatic. Append. Adag. Βάθυος χορός. KUST.

ib. ΒΑΤΤΟΥ] Βαύνος A.B.V.E.M.

Τοῦ γὰρ τοῦτο ποιήσει; Ἀντὶ τοῦ, ἕνεκα τίνος; A

Τοὔγκυκλον: Τὸ ἔγκυκλον. [d]Τουτέστι, τὴν Πύλον, διὰ τὴν τῶν τειχῶν περιβολήν. Ἀπὸ μεταφορᾶς τῶν περιβολαίων. Τουτέστιν, ἣν ἔχομεν, καὶ περιβαλλόμεθα.

Τοῦ δ' ἄρα ὁ [e]Κωρυκαῖος ἠκροάζετο: Φασὶν ὅτι περὶ Κώρυκον τῆς Παμφυλίας ἦσαν πειραταί, οἷς τινες τῶν ἐν Κωρύκῳ [f]συμπράττοντες, περιειργάζοντο τῶν πλεόντων τὰ φορτία, καὶ τὸν καιρὸν, καθ' ὃν μέλλοιεν πλεῖν, τοῖς πειραταῖς ἐμήνυον. [g]Ἐκράτησεν οὖν ἡ παροιμία ἐπὶ τῶν δοκούντων μὲν λανθάνειν, εἰς γνῶσιν δὲ ἐρχομένων. B

[Τοὔδαφος:]

Τοῦ Διὸς τὸ σάνδαλον: Ἐπὶ τῶν ὡς μέγα δή τι. Εὔπολις [h]Χρυσῷ γένει.

Τοῦθ' Ἅιδης [i]διακρινεῖ πρότερον, ἢ 'γὼ πείσομαι:

Τοῦ καθήκοντος [k]χρόνου πέρα: Τουτέστι, τοῦ ὁρισθέντος. Λέγεται δὲ καὶ τοῦ εἰκότος πέρα.

Τοὔλδον: Ῥωμαϊστὶ τὰ σαγμάρια τὰ τὴν ἀποσκευὴν τῶν πολεμίων βαστάζοντα.

Τοὔλαιον: Τὸ ἔλαιον.

Τοὐλαιόν: Τὸ ἀριστερόν.

Τοῦ Μορύχου: Διονύσου. Μορύξαι τὸ μολῦναί ἐστι. Παρόσον κἀκεῖνος τῷ γλεύκει τῶν σταφυλῶν καὶ τοῖς χλωροῖς σύκοις ἐν τῷ [l]τρυγητῷ μολύνεται.

Τοὔμπαλιν: Τὸ ἔμπαλιν.

Τοὔμπικες: Οἱ βασιλεῖς τῶν Ῥωμαίων.

Τοὐναντίον:

Τοὔνεκα: [m]Οὗ χάριν, ἢ τούτου χάριν.



Τυννουτουΐ: Μικροῦ. Συναγαγὼν δὲ τοὺς δακτύλους τοῦτό φησιν. [n]Ἀριστοφάνης Νεφέλαις·

Σκέψαι τουτονὶ ἀπὸ γαστριδίου τυννουτουῒ οἷα πέπορδας.

Τοῦ πάνυ: Τοῦ πανυμνήτου.

[o]Καὶ Συμεῶνα τὸν πάνυ.

Τοῦ 'πιόντος: Τοῦ τυχόντος. [p]Σοφοκλῆς·

Καίτοι τό γ' αἴνιγμ' οὐχὶ τοῦ 'πιόντος ἦν
ἀνδρὸς διειπεῖν, ἀλλὰ μαντείας ἔδει,
ἣν οὔτ' ἀπ' οἰωνῶν σὺ προὐφάνης ἔχων
οὔτ' ἐκ θεῶν του γνωτόν· ἀλλ' ἐγὼ μολὼν
ὁ μηδὲν [q]εἰδὼς Οἰδίπους, ἔπαυσά νιν
γνώμῃ κυρήσας, οὐδ' ἀπ' οἰωνῶν μαθών.

Τοὔπος: Τὸ ἔπος.

[r]Κἄστ' ἐκεῖνο τοὔπος ὀρθῶς, κοὐ κακῶς εἰρημένον,

παρ' Ἀριστοφάνει·

οὔτε σὺν πανωλέθροισιν, οὔτ' ἄνευ πανωλέθρων.

C Ἐν παροιμίᾳ τοῦτο λέγεται·

[s]Κακὸν γυναῖκες· ἀλλ' ὅμως, ὦ δημόται,
οὐκ ἔστιν οἰκεῖν οἰκίαν ἄνευ κακοῦ.

Τουρουλλός: Πόλις Θρᾳκική.

Τοῦ σελίνου δεῖται: Ἐπὶ τῶν ἐπισφαλῶς νοσούντων. Καὶ γὰρ εἰώθαμεν τὰ μνήματα στεφανοῦν σελίνοις, ὥς φησι [t]Πλούταρχος.

Τοὺς ἑτέρους τραγῳδοὺς ἀγωνιεῖται: Παροιμία ἐπὶ τῶν ἁρμοζομένων καὶ σεμνοποιούντων ἑαυτοὺς πρὸς τὰ [u]ἐναντία, ὡς Δίδυμός φησι. D

Τοὺς: Ἀντὶ τοῦ τούτους. Ὅμηρος·

Μὴ μὲν τοὺς ἵππους δέ.

Καὶ [x]τοῖσιν ὁμοίοις, ἀντὶ τοῦ τούτοις.

Τοὺς Κόσα λόγους: Κόσας ἐγένετο δίκαιος ἀνήρ, Πελληνεὺς τὸ γένος. Οἱ δὲ Πελληνεῖς οὗτοι πολε-

E

[d] Τουτέστι, τὴν Πύλον, διὰ τ.] Aristoph. Lysistr. 1164. Ἀμὲς γε λώμεσθ', αἴ τις ἀμὶν τοὔγκυκλον λῇ, τοῦτ' ἀποδόμεν. Ποῖον ὦ τᾶν. Τὰν Πύλον. KUST.

ΤΟΥ Δ' ἈΡΑ 'Ο ΚΩΡΥΚ.] Confer Nostrum supra v. Κωρυκαῖος. KUST.

[e] ΚΩΡΥΚΑΙΟΣ] Κορυκαῖος A. et in seqq.

[f] συμπράττοντες] Addit V. ἐπὶ τῶν δοκούντων μὲν λανθάνειν.

[g] Ἐπεκράτησεν] ἐκράτησεν A.V. Prov. Vat. IV. 6. Zenob. IV. 75. F

ΤΟΥΔΑΦΟΣ om. A.V.

[h] χρυσογένει] Sic etiam Photii ms. χρυσόγένει A. χρυσῷ γ. V.

[i] ΔΙΑΚΟΝΕΙ] διακρινεῖ A.V. quomodo correxit Toupius ex Aristoph. Vesp. 760. qui Schol. sic corrigit: ὁ Ἀτρεὺς πρὸς τὴν Ἀερόπην φησίν. Αἴδης διακρινεῖ ταῦτα.

[k] ΠΕΡΑ ΧΡΟΝΟΥ] χρόνου πέρα A.V. Sophocl. Œd. Tyr. 75. τοῦ γὰρ εἰκότος πέρα, Ἄπεστι πλείω τοῦ καθήκοντος χρόνου.

ΤΟΥΛΔΟΝ] Ex A.B.V.E. In E. σαμαρ—τὸ τὴν—βαστάζω. Vid. Du Cang. in v.

ΤΟΥΛΑΙΟΝ] Imo, τὸ λαιόν. KUST.

ΤΟΥ ΜΟΡΥΧΟΥ] Vide supra v. Μόρυχος. KUST.

[l] τρυγητῷ] τρύγει A.B.V. ἐν τῇ τρύγῃ supra p. 2536 D. ἐπειδὰν τρυγῶσιν Zenobius V. 13.

ΤΟΥΜΠΙΚΕΣ] Non invenio vocem in toto Latio. MEURSIUS. Hanc gl. A. in marg. In V. post Τοὔλδον.

ΤΟΥΝΑΝΤΙΟΝ om. V.

[m] Οὗ χάριν ἢ ex A.V. et Photio.

[n] Ἀριστοφάνης Νεφέλαις] Ver. 391. γ' post τοίνυν om. A. V.E.

[o] Καὶ Συμεῶνα τ. π. om. A.

[p] Σοφοκλῆς] Œdip. Tyran. 393. Delevi statim τοῦ μέλλοντος cum A.B.V. et Schol. Soph.

[q] εἰδὼς] εἰδεὶς A.V. Deest v. B.E.

[r] Κἆτ' ἐκεῖνο τ.] Aristoph. Lysistr. 1037. Vide etiam supra v. Οὔτε σὺν πανωλέθροισι, ubi eadem leguntur. KUST. κἄστ' A.V.E. Collocavi παρ' Ἀριστοφάνει cum A.E. post εἰρημένον. Vulgo post πανωλέθρων.

[s] Κακὸν γυναῖκες, ἀλλ.] Duo hi versus sunt Susarionis Comici, ut monuimus etiam supra v. Οὔτε σὺν πανωλ. KUST.

ΤΟΥΡΟΥΛΛΟΣ] Gl. om. A.

ΤΟΥ ΣΕΛΙΝΟΥ ΔΕΙΤΑΙ: Ἐπὶ τ.] Eadem habet Diogenianus: sed apud quem pro ἀσφαλῶς, quod corruptum est, recte legitur ἐπισφαλῶς. KUST. Dedi ἐπισφαλῶς e Plutarcho.

[t] Πλούταρχος] Timoleon. p. 248 E. TOUP.

ΤΟΥΣ 'ΕΤΑΙΡΟΥΣ ΤΡΑΓ.] Ex Harpocratione: sed apud quem pro ἑταίρους rectius legitur ἑτέρους. KUST. G Et sic ed. Photii, cujus ms. ἑταίρους.

[u] ἐναντία] Hemsterhusius ad Lucian. Tim. c. 51. ἐνεόντα. Lege ἐνόντα. TOUP.

ΤΟΥΣ: Ἀντὶ τοῦ, τούτους. Ὅμως μὴ μὲν τοὺς ἵππους δέ.] Hæc valde corrupta sunt. Lego et distinguo: Τοὺς: Ἀντὶ τοῦ, τούτους. Ὅμηρος· Ἦ μὲν τοὺς ἵππους τε—Hom. Il. κ'. 322. Ἀλλ' ἄγε, μοι τὸ σκῆπτρον ἀνάσχεο, καί μοι ὄμοσσον, Ἦ ΜΕΝ ΤΟΥΣ ΙΠΠΟΥΣ ΤΕ καὶ ἅρματα ποικίλα χαλκῷ Δωσέμεν, οἳ φορέουσιν ἀμύμονα Πηλείωνα. Ad hunc locum H proculdubio respexit Suidas. TOUP. Ὁμ' A. Ὅμηρος B. pro Ὅμως. Deest gl. M.

[x] ΤΟΙΣΙΝ ὁμοίως] Lego Τοῖσιν, ὁμοίως.

ΤΟΥΣ ΚΟΣΑ ΛΟΓΟΥΣ: Κόσας ἐγ.] Hæc leguntur etiam supra v. Κόσσας, ubi nota scribi Κόσσας, et Κόσσα, per duplex σ. KUST. κόσᾶ V. Mox Πελληνεὺς—Πελληνεῖς A.B. Πελωνεὺς—Πελωνεῖς V.

μον ἔσχον πρὸς τοὺς Σαλαμινίους, καὶ ἐπεκαλέσαντο συμμάχους τοὺς γείτονας, [y]ὁμολογήσαντες αὐτοῖς μεταδώσειν τῆς χώρας· νικήσαντες δὲ οὐ μετέδωκαν, καὶ ταῦτα συμβουλεύοντος τοῦ Κόσου ταῖς ὁμολογίαις ἐμμένειν. Ἀνθ' ὧν [z]λοιμῷ περιπεσόντες τοὺς Κόσου λόγους ἐπῄνουν.

Τουσκιανός: Ῥήτωρ δεινότατος.

[Τουσκλάνωι: Ἀγρῷ οὕτω λεγομένῳ.

[a]Ὁ δὲ Τιμαγένης ἐκπεσὼν τῆς σχολῆς διὰ τὸ παρρησιαστὴς εἶναι, ἐν ἀγρῷ διῆγε Τουσκλάνῳ λεγομένῳ.

Τοῦσκοι: Οἱ Τυρρηνοί. Καὶ ζήτει ἐν τῷ Τυρρηνία χώρα.]

Τοὔστρακον: Τὸ ὄστρακον. [b]Ἀριστοφάνης·

Καὶ παράθου τοὔστρακον πρὸ τῆς θύρας.

Τὰ καλούμενα [c]ἀρδάνια.

Τοὺς χωρὶς οἰκοῦντας: [d]Δημοσθένης Φιλιππικοῖς·

Καὶ μετὰ ταῦτα ἐμβαίνειν τοὺς μετοίκους ἔδοξε, καὶ τοὺς χωρὶς οἰκοῦντας [e]τῶν δεσποτῶν.

Οὐ μὴν ἀλλὰ καὶ χωρὶς τοῦ [f]προκεῖσθαι φανερὸν ἂν εἴη τὸ δηλούμενον, ὅτι [g]οἱ ἀπελεύθεροι καθ' ἑαυτοὺς ᾤκουν χωρὶς τῶν ἀπελευθερωσάντων, ἐν δὲ τῷ τέως δουλεύοντες ἔτι [h]συνῴκουν.

Τουτάκι: [i]Ἐν ὅσῳ δέ.

Τουτί: Ἐπέκτασις. Καὶ [k]Τουτεί: Ἐνταῦθα.

Τοῦτο οὐκ ἔτι ἠπόρουν, ἀλλὰ τοῦτο ἔλεγον ἐκεῖνο εἶναι: Τουτέστι, τὸ ζητούμενον.

Τοῦτο ποιήσας [l]ἓν, κατὰ τὴν παροιμίαν, τῶν ἀδίκων ἔργων δικαιότατον:

[m]Καὶ τοῦτο τούτου τοὔργον. Ἀλλ' ἐχρῆν τι δρᾶν.

Τουτέστι, τὸ [n]τρώγειν, καὶ μὴ διδόναι τὸν μισθόν.

Τουτῳὶ μὲν εἴπω ἐς πυγὴν κυνὸς ὁρᾶν, καὶ τριῶν ἀλωπέκων: Ἐπὶ τῶν ληρούντων τὰς ὄψεις τοῦτο [o]λέγεται.

Τοὔψον: Ὅπου τὰ ὄψα [p]πιπράσκεται. Ὥσπερ τὸ,

[q]Παρῆλθον εἰς τὰ σκόροδα, καὶ τὰ κρόμμυα,
καὶ τὸν λιβανωτόν.

Τοὔψον ὀπτόν: Τὸ ὄψον ὅ ἐστι τὸ ἰχθύδιον.

Τὸ φέρον ἐκ θεοῦ καλῶς φέρειν χρή: Τουτέστι τὸ ἐκ θεοῦ πεμφθὲν γενναίως φέρειν χρή.

Τόφρα: Ἐπὶ τοσοῦτον. Καὶ [r]τόφρα, τέως.

[Τὸ χρεών: Τὸ εἱμαρμένον.]

Τόψιος: Ὄνομα κύριον. Ὃς ἦν παλαιστὴς, ἀδελφὸς τοῦ [s]Δίωνος τοῦ φιλοσόφου, τοῦ Ἀλεξανδρέως.

Τῷ: Χωρὶς τοῦ ι, [t]ἀντὶ τοῦ διό. [u]Καὶ δυικῶς, ἐπὶ θηλυκοῦ, καὶ ἀρσενικοῦ, καὶ οὐδετέρου.

Τωβήτ: Ὄνομα κύριον.

Τωβίας, ὄνομα κύριον.

Τῷ δὲ τοῦτο συμβαλὼν ἔχεις; Τίνι τεκμηρίῳ νοήσας καὶ στοχασάμενος.

Τωθάζει: Αἰτιατικῇ. Σκώπτει, χλευάζει, λοιδορεῖ, καυχᾶται.

[y] καὶ ὁμολογήσαντες] καὶ om. A.V. addito δὲ post νικήσαντες.

[z] λιμῷ] λοιμῷ A.V.

ΤΟΥΣΚΙΑΝΟΣ: Ῥήτωρ δειν.] Vide supra v. Ἀκάκιος ῥήτωρ. KUST. Vid. Wyttenbach. ad Eunap. p. 300.

[a] Ὁ δὲ Τιμαγένης ἐκπ.] Locus hic auctior legitur supra v. Τιμαγένης. KUST. Hunc et seq. art. A. in marg.

[b] Ἀριστοφάνης] Eccles. 1024. Καὶ παράθου τὰς λημύθους, Ὕδατός τε καθαροῦ τοὔστρακον πρὸ τῆς θύρας. Ὄστρακον autem hic appellatur vas fictile, quod aqua plenum pro foribus defunctorum ponebatur, ut illi, qui ex ædibus funestis exibant, aqua ista se aspergerent et lustrarent. Vas illud etiam appellabatur ἀρδάνιον. Hesychius: Πηγαῖον, τὸ ὄστρακον, ὃ καὶ ἀρδάνιον ὁμοίως λέγεται. Pollux lib. VIII. c. 7. Οἱ ἐπὶ τὴν οἰκίαν τοῦ τεθνεῶτος ἀφικνούμενοι, ἐξιόντες ἐκαθαίροντο ὕδατι περιρραινόμενοι. Τόδε προέκειτο ἐν ἀγγείῳ κεραμέῳ, ἐξ ἄλλης οἰκίας κεκομισμένον. Τὸ δὲ ὄστρακον ἐκαλεῖτο καὶ ἀρδάνιον. Vide etiam Hesychium v. Ἀρδανίαι, et Nostrum supra v. Ἀρδάνιον. KUST.

[c] Ἀνδράνια] ἀρδάνια A.B.V.E.

ΤΟΥΣ ΧΩΡΙΣ ΟΙΚΟΥΝΤΑΣ: Δημ.] Ex Harpocratione. KUST.

[d] Δημοσθένης Φιλιππ.] Orat. I. in Philippum, p. 19. KUST. p. 50, 22.

[e] τῶν δεσποτῶν] Hæ duæ voces apud Demosthenem hodie non leguntur. KUST.

[f] προκεῖσθαι] Harpocratio, προσκεῖσθαι: uti etiam hic scribendum est. Ceterum, sensus hujus loci est, *Sed etiamsi non addita essent verba illa* [τῶν δεσποτῶν], *sensus hujus loci clarus foret*. KUST. Hæc explicatio Valesii est ad Harpocr. p. 188. De προσκεῖσθαι conf. Albert. Gl. Gr. p. 128.

[g] οἱ ἀπελεύθεροι] ὅτι οἱ ἀπ. A.V. Phot.

[h] συνῴκουν] ἔτι συνῴκουν A.B.V. Phot. ἐπισυνῴκουν E.

[i] Ἐν ὅσῳ δὲ] Addit V. ἔτι συνῴκουν.

[k] ΤΟΥΤΕΙΟΝ] Lege τουτεί. VALCK. Ita Fischer. ad Weller. II. p. 215. notante Bastio ad Gregor. de Dial. p. 365. τουτεῖον E.

[l] ΚΑΙ ἙΝ] καὶ om. A.B.V.E.

[m] Καὶ τοῦτο] Aristoph. Ran. 576.

[n] τρώγειν] τὸ τρώγειν A.B.

ΤΟΥΤΩΙ ΜΕΝ ΕΙΠΩ ἘΣ Π.] Aristoph. Eccles. 255. Τούτῳ μὲν εἴπω ἐς κυνὸς πυγὴν ὁρᾶν. KUST.

[o] λέγεται] ἐπιλέγεται A.B.

ΤΟΥΨΟΝ: Ὅπου τὰ ὄψα πιπρ.] Hoc sensu vox ista accipitur apud Æschinem Orat. in Timarch. p. 179. Τίς γὰρ ὑμῶν, ὃς οὐ πώποτε εἰς τοὔψον ἀφῖκται, &c. Sed hac de re plura notavimus supra v. Δεῖγμα, ubi Nos vide. KUST.

[p] πιπράσκεται] Statim delevi λέγεται καὶ ὀψοπωλεῖον, cum A.B.V. ὃ λ. κ. ὀ. E. ubi gl. ponitur post Τόφρα.

[q] τὸ παρῆλθεν] παρῆλθον A. Deinde κρόμμυα A.V. Locus est Eupolidis, teste Schol. Aristoph. Ran. 1100. ubi περιῆλθεν. Polluc. IX. 47. ubi περιῆλθον. Plura habet Pollux. Pollucis locum indicaverat Hemsterhusius.

ΤΟΥΨΟΝ: Τὸ ὄψον: ὅ ἐ. τ. ἰ. ἢ ὀπτόν] τοὔψον ὀπτὸν A.V. omissis in fine ἢ ὀπτόν. Recte. Vid. Aristoph. Eq. 1103.

ΤΟ ΦΕΡΟΝ] Sophocl. Œd. Col. 1694. Addidi τουτέστι &c. ex A.V.

[r] ΤΟΦΡΑ τέως] Τοφρατέω τέως A. τόφρα τέω τέως V. τοφραταῖος τέως E.

ΤΟ ΧΡΕΩΝ] Hunc art. A. in marg. om. V.

ΤΟΨΙΟΣ] Vide supra v. Τὸ Δίωνος γρύ. KUST.

[s] Δίωνος] τοῦ Δίωνος τοῦ A.V.

[t] ἀντὶ τοῦ διό] Imo, si pro διὸ sumitur, scribitur τῷ, cum circumflexo, et ι subscripto: ut vel pueris notum est. KUST. Eadem Photius; qui aliam gl. addit Τῶ περισπωμένως διό· καὶ οὕτως ἄνευ τοῦ ἰ. Conf. Etymol. M. p. 773, 27.

[u] Καὶ θηλυκῶς καὶ ἀρσενικῶς ἐπὶ δυικοῦ καὶ οὐδετέρως.] καὶ δυικῶς ἐπὶ θη^λ καὶ ἀρσ^ε καὶ οὐ^τ A.V. cum Photio.

καὶ ΤΩΒΙΑΣ ὁμοίως] Τωβίας: ὄνομα κύριον A.

ΤΩΙ ΤΟΥΤΟ ΣΥΜΒΑΛΩΝ ἜΧ.] Sophoclis Œdip. Colon. 1474. τῷ δὲ A.B.V. Statim delevi ταυτὸν τῷ, τῷ τοῦτο κρίνεις. Τουτέστι, cum A.B.V.

ΤΩΘΑΖΕΙΝ] Τωθάζει A.V.E. et sic in seqq. cum Photio. Vid. Timæus p. 261. c. n. Ruhnkenii.

[x] Οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλητρίδα
τῶν [y] ξυμποτῶν κλέψαντα;

Τωθασμός: Καὶ, Τωθαστικὸν γελάσας: Ἀντὶ τοῦ σκωπτικὸν, [z] θωπευτικὸν, χλευαστικὸν, λοιδορητικόν.

Τῷ λόγῳ:

[a] Ὡς δῆθεν ἀποστέλλοντες ποίμνην καὶ βουκόλια καὶ φορβάδων ἀγέλας ἵππων ἐπὶ νομὴν τῷ λόγῳ.

B Τὼ μηρὼ μὴ συνέχειν: Τοῦτ' ἔστι, μὴ σφίγγειν, ἀλλ' ἀνειμένως διάγειν, καὶ μὴ ἐκθλίβειν τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς. Ἀριστοφάνης Νεφέλαις.

Τῶμις: Πόλις. [[b] Διφορεῖται δέ.] Ἡ δοτικὴ, Τώμει.

C [Τώμυρις, βασίλεια Μασσαγετῶν. Ἣν μνώμενος ὁ Κῦρος, ὁ Περσῶν βασιλεὺς, ὥς οἱ δόλῳ οὐ [c] προσεχώρεεν, ἐλάσας ἐπὶ τὸν Ἀράξεα, ἐποιέετο ἐκ τοῦ ἐμφανοῦς τὴν [d] στρατιάν.]

Τῶν ἄλλων μοι πάντων ἧττον μέλει: Ἀντὶ τοῦ οὐδαμῶς.

Τῶν γὰρ ὑστάτων χωρίς: [e] Παροιμία.

Τῶν δ' ὄνων οὔ μοι μέλει:

Τῶν δυνατῶν τι κέλευ'· οὐ γὰρ παρὰ Κενταύροισι:

D Τῶν ἐαρινῶν φύλλων [f] πλείονές εἰσιν οἱ συκοφαντοῦντες:

Τῶν ἐκτικῶν: Τῶν περὶ ἕξιν νοσούντων.

Τῶν ἐπὶ σκηνῆς: Τῶν θεατρικῶν.

E Τῶν εἰς τὴν φαρέτραν: Φασὶ τοὺς Σκύθας μέλλοντας καθεύδειν ἄγειν τὴν φαρέτραν, καὶ εἰ μὲν ἀλύπως τύχοιεν τὴν ἡμέραν ἐκείνην [g] διάγοντες, καθιέναι εἰς τὴν φαρέτραν ψῆφον λευκήν· εἰ δὲ ὀχληρῶς, μέλαιναν. Ἐπὶ τοίνυν τῶν ἀποθνησκόντων ἐξέφερον τὰς φαρέτρας, καὶ ἠρίθμουν τὰς ψήφους· καὶ εἰ [h] εὑρέθησαν πλείους αἱ λευκαὶ, εὐδαιμόνιζον τὸν ἀποθανόντα. Ὅθεν καὶ παροιμιασθῆναι τὴν ἀγαθὴν ἡμέραν λευκήν.



Τῶν ἵππων Εὐμήλου πολὺ μᾶλλον [i] ἀλλήλοις [k] ἐοικότα κατασκευάσαντες τὴν συνωρίδα τῶν βαλαντίων:

[Τῶν ὤτων ἀναρτηθεὶς εἰς ὀργὴν ἐκπίπτει:]

Τῶν τριῶν κακῶν ἕν: Λεγόμενόν τί ἐστι. Καὶ Μένανδρος δύο [l] προθεὶς, ὡς παροιμιῶδες ἐπιλέγει παίζων, τὸ,

Ἓν γάρ τι τούτων τῶν τριῶν ἔχει [m] κακῶν.

Ταῦτα δὲ εἶναι λέγουσιν, ἃ Θηραμένης ὥρισε [n] προστιμήματα. [o] Πολύζηλος Δημοτυνδάρεῳ·

Τριῶν [p] κακῶν γοῦν ἦν ἑλέσθ' αὐτῷ τι πᾶσ' ἀνάγκη,
ἢ ξύλον ἐφέλκειν, ἢ πιεῖν κώνειον, ἢ προδόντα
τὴν ναῦν ὅπως τάχιστα τῶν κακῶν ἀπαλλαγῆναι.
Ταῦτ' ἐστὶ τρία Θηραμένους, ἅ σοι φυλακτέ' ἐστίν.

Ἀριστοφάνης Τριφάλητι·

Ἐγὼ γὰρ ἀπὸ Θηραμένους δέδοικα τὰ τρία ταυτί.

Τῷ νῦν λόγῳ: Ἀντὶ τοῦ ποίῳ; Καὶ,

Τῷ τοῦτο κρίνεις;

Ἀντὶ τοῦ, ποίῳ σημείῳ; Ἀριστοφάνης [q] Πλούτῳ.

[r] Ἡ τύχη κενῶς κεκληρονόμηκε τοιαύτην φήμην. Αἴτιοι δ' εἰσὶν οἱ χειρίζοντες τὰς πράξεις, τῷ ταῖς αὐταῖς ἐπιτρέχειν σεμνότητα καὶ μέγεθος, ποτὲ δὲ τοὐναντίον.

Τῶν ὑπό οἱ τεταγμένων: Τῶν ὑφ' ἑαυτῷ.

Ὁ δὲ Καῖσαρ τὸν γενναιότατον ἡγεμόνα κελεύει τῶν ὑπό οἱ τεταγμένων ἡγήσασθαι στρατιωτῶν.

Τῶν φιλτάτων τὰ φίλτατα: Φησὶν Ἀριστοτέλης ἐν τῇ Μηλιέων πολιτείᾳ, τοὺς παῖδας γυμνοὺς ἐκφέ-

---

[x] Οὐ δεινὰ τωθάζειν σε, τὴν αὐλ.] Aristoph. Vesp. 1359.

[y] ξυμποτῶν] συμποτῶν A.E.

[z] θωπευτικὸν] Om. E. τωθευτικὸν B.

[a] Ὡς δῆθεν] Æliano tribuit Valckenærius.

ΤΩ ΜΗΡΩ ΜΗ ΣΥΝΕΧΕΙΝ] Aristoph. Nub. 963. Τὼ μηρὼ μὴ ξυνέχοντας. Scholiastes ad illum locum: Ἀντὶ τοῦ, ἀνειμένως ἑστῶτας, πρὸς τὸ μὴ θλίβειν τὸ μόριον. Ἐκθλίβοντας τὰ αἰδοῖα ἐκ τοῦ συνέχειν τοὺς μηρούς. KUST.

ΤΩΜΙΣ: Ὄνομα π.] Vide supra v. Τόμις. KUST.

ib. Τῶμις: πόλις A. et fere B.V. In fine Τώμει A.V.

[b] Διαφορεῖται] Scribe διφορεῖται. KUST. Sic B.E. διφ. δὲ om. A.V.

ΤΩΜΥΡΙΣ, βασίλισσα Μασσ.] Vide supra v. Τόμυρις, ubi eadem leguntur. Sumpta autem hæc sunt ex Herodoti lib. I. p. 53. ubi scribitur Τόμυρις, per ο. KUST. Deest articulus A.E.

ib. βασίλισσα] βασίλεια V. qui ὁ ante Κῦρος. Tum δόλῳ pro δόλος B.V.

[c] προσεχώρεεν] Malim προσεχώρεεν. Apud Herodotum legitur, ὥς οἱ δόλῳ οὐ προσεχώρεε, &c. KUST. προσεχώρεε V. et mox Ἀράξεα.

[d] στρατιὰν] Lege στρατείαν. KUST. Sic B. pr.

ΤΩΝ ἌΛΛΩΝ ΜΟΙ] Aristoph. Plut. 1119. Καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει. Huc Suidæ nota referenda est. TOUP.

[e] Παροιμία accessit ex A.V.

ΤΩΝ ΔΥΝΑΤΩΝ] Est versus Pisandri. Hesych. Νοῦς οὐ παρὰ Κενταύροισι. Quare leg. ap. Hesych. οὐ γὰρ π. Κ. Vid. v. Τόδ' οὐ π. Κ. TOUP.

[f] ΠΛΕΙΟΝΕΣ] πλείω V. qui infra θεατρικῶς.

ΤΩΝ ΕΙΣ ΤΗΝ ΦΑΡΕΤΡΑΝ] Confer Zenobium Adag. Τὰς ἐν τῇ φαρέτρᾳ ψηφίδας, et Nostrum supra v. Λευκὴ ἡμέρα, ubi eadem leguntur. KUST.

[g] διάγοντες] διαγάγοντες V.

[h] εὑρίσκοντο] εὑρέθησαν A.V.

ΤΩΝ ἽΠΠΩΝ ΕΥΜ.] Vide supra v. Στατήρ, unde locum hunc emendabis et supplebis. KUST.

[i] ἈΛΛΗΛΟΙΣ] Hæc vox in prioribus editt. deest, quam ex ms. A. revocavi. Est autem ad sensum loci necessaria. KUST.

F [k] ἘΟΙΚΟΤΑ] Leg. ἐοικότων. TOUP. ἐοικότα Synesius Ep. 127. p. 262 C.

ΤΩΝ ὨΤΩΝ] Desunt hæc A.V.

[l] προθεὶς] Sic rectius ms. A. quam mss. B. et C. itemque priores editt. quæ habent προσθείς. Cum msto A. consentit Photius in Lexico inedito. KUST.

[m] κακῶν] κακὸν B.V.E. Photius. ἔχει M.

[n] πρόστιμα] προστίμαθ' A. προστίματα B.V.E. προστιμήματα Photius.

G [o] Πολύζηλος Δημοτυνδάρεως] Portus, *Polyzelus Demotyndarei filius.* Sed scribendum est, Πολύζηλος Δημοτυνδάρεῳ, i. e. *Polyzelus in [fabula] Demotyndareo.* Scripsisse enim Polyzelum fabulam hujus nominis testatur ipse Suidas supra v. Πολύζηλος. Photius in Lexico ms. recte habet Δημοτυνδάρεῳ. KUST. Et sic A.B.V.E.M.

[p] γοῦν κακῶν] κακῶν γοῦν A.V. Photius. Mox αὐτῷ τε M.

[q] Πλούτῳ] Ver. 48. Tum ποίῳ σημείῳ A.B.V. pro ἐκ ποίου σημείου.

H [r] Ἡ τύχη κενῶς κεκλ.] Sic recte mss. Paris. At priores editt. mendose, ἡ τύχη ἐν ὡς κεκληρονόμηκε, &c. Locus autem hic sumptus est ex Polybio, ut discimus ex ipso Suida infra v. Τύχη, ubi recte legitur, μήποτε γὰρ αὕτη (i. e. τύχη) μὲν κληρονομεῖ τοιαύτην φήμην. KUST.

ΤΩΝ ΦΙΛΤΑΤΩΝ ΤΑ ΦΙΛΤ.] Confer Vatic. Append. IV. 5. KUST.

ρειν μέχρις ἐτῶν ιϛ΄, καὶ καταφιλεῖν αὐτοὺς ἐν τοῖς συμποσίοις. A

Τῶι ῥά: Διὸ δή.

Τῶς: Οὕτως.

> [s]Τὼς δέ σ' ἀπεχθήρω, ὡς νῦν ἔκπαγλ' ἐφίλησα.

Ὅμηρος. Καὶ [t]Σοφοκλῆς·

> Ὡς ἐμὲ
> [u]αὐτοσφαγῆ πίπτοντα, τὼς αὐτοσφαγεῖς
> [x]πρὸς τῶν φιλίστων ἐκγόνων ὀλοίατο.

Τῶι σε: Διό σε. Ἐν Ἐπιγράμμασι·

> [y]Τῷ σε, μάκαρ Λητῷε, τεῷ τέττιγι γεραίρει.

Τῶι τέλει πίστιν φέρων: Οἷον, πιστεύων ὅτι ἐπὶ τῷ τέλει τοῦ δρόμου παρελεύσεται· ἤ, νομίζων ἕως τέλους οὕτως ἐλαύνειν. Σοφοκλῆς.

Τώτιλας: Ὄνομα κύριον.

Τῶι τροπῶι; Ἀντὶ τοῦ, [z]τίνα τρόπον.

Τῶι τοι ἄρα: Διὰ τοῦτο δή.

Τῷ τοι ἄρα οὐδὲ καταλύειν αὐτῷ ἐδόκει ἐν τοῖσδε τοῖς πολίσμασιν, ἀλλ' εἰς τὸ ψαμμαθῶδες τοῦ ποταμοῦ.

Καὶ αὖθις·

Ἐπῄει ἀφειδῶς τοῖς πολεμίοις· [a]τῷ τοι ἄρα καὶ πλήττεται βέλει τὸν μηρόν.

[b]Τό τοι πολὺ καὶ [c]μηδαμὰ λῆγον χρῄζω, [d]ξέν', ὀρθὸν ἄκουσμ' ἀκοῦσαι.

Τουτέστι, τὸ [e]ἀνεξάλειπτον κακὸν, τὸ κατὰ τὴν [f]πλήρωσιν χρῄζω ἀκοῦσαι τοῦ Οἰδίποδος.

Τὼ ὀφθαλμὼ παραβάλλῃ: [g]Ἀριστοφάνης Νεφέλαις. Τουτέστι, τοῖς ὀφθαλμοῖς [h]ἐφορᾷς καὶ [i]ὑποβλέπῃ. [j]Ὅμηρος·

> Ὑπόδρα ἰδών.

Οὕτω γὰρ ἐβάδιζεν ὁ Σωκράτης. Καὶ [k]Πλάτων περὶ αὐτοῦ·

> Ταυρηδὸν ὑποβλέψας, ὥσπερ εἰώθει.

Τραβαῖαι: Αἱ πολυτελεῖς χλαμύδες παρὰ Ῥωμαίοις.

Τραβίτης: Ὁ κύων.

Τραγαλίζοντα: [l]Ἀριστοφάνης·

> Ὡς ἥσθηται τὸν σύρφακα . . . . .
> ἐκ κιθαρίου λογαριζόμενον, καὶ τραγαλίζοντα τὸ μηδέν.

B Τραγεῖν: Φαγεῖν.

Τραγήματα:

Καὶ παρατιθέναι τῶν τραγημάτων [m]πολλοῖς ἅμα συνεστιωμένοις ἐνίοτε καρύων μὲν τρία ἢ τέτταρα, τῶν δὲ ἰσχάδων, ἂν οὕτω [n]τύχῃ, πέντε ἢ ἕξ. Εἰ δὲ παρρησιασθέντες ἡμεῖς χαριέστερόν τινα παρρησίαν ᾐτήσαμεν ἔτι πλείους, προσέθηκεν ἂν ἴσως δύο ἢ τρία, μάλα σεμνῷ προσώπῳ, καὶ οὐδὲν ὑφορώμενος τὸν τῶν νεωτέρων [o]γέλωτα.

C Τραγῆν ἐνημμένος μέλαιναν: Ἀντὶ τοῦ αἰγίδα.

Τραγικῆς: Τραγῳδεῖν εἰδυίας.

Τραγικὴ σκηνή: Πῆγμα μετέωρον, ἐφ' οὗ [p]ἐν θεῶν σκηνῇ τινες [q]παριόντες ἔλεγον. Λέγεται δὲ καὶ ἡ τραγικὴ τέχνη, σκηνή.

Τραγικὸν πάθος: Συμφορᾶς μεστόν.

Τραγικὸς πίθηκος: Παροιμία. Ἐπὶ τῶν παρ' D ἀξίαν σεμνυνομένων. [r]Δημοσθένης καὶ ἄλλα πολλὰ εἰπὼν εἰς τὸν Αἰσχίνην, φάσκων ὑποκρινόμενον τοῖς [s]ποιηταῖς τραγῳδιῶν, ἔτι καὶ πίθηκον προσηγόρευσεν· ἤτοι ὅτι βραχὺς ὢν τῷ σώματι εἰσῄει εἰς τὴν σκηνήν· ἢ ὅτι ὁ πίθηκος μιμηλὸν ζῶόν ἐστιν, εἰς τοῦτο ἐπέσκωψε τὸν Αἰσχίνην, ὡς ἀνθρώπους ὑποκρινομένους τραγῳδίαν μιμούμενον.

E

[s] Τὼς δέ σ' ἀπεχθ.] Est versus Homericus Il. γ΄. 415. KUST.

[t] Σοφοκλῆς] Aj. 841.

[u] αὐτοσφαγῆ] αὐτὸν σφαγῇ A.

[x] πρὸς τῶν—διό σε om. V.

[y] Τῷ σε, μάκαρ Λητ.] Anthol. Pal. VI. 54.

ΤΩΙ ΤΕΛΕΙ ΠΙΣΤΙΝ ΦΕΡΩΝ: Οἷον, πιστ.] Ex Schol. Sophocl. Electr. 735.

ΤΩΙ ΤΡΟΠΩΙ] Aristoph. Nub. 374. TOUP.

[z] τίνα] τινος V.

[a] τῷ τοι ἄρα καὶ] Æliano tribuit Valckenærius; qui, si excerpta mea rite intelligo, hæc a præcedentibus sejungit.

[b] ΤΟ ΤΟΙ ΠΟΛΥ ΚΑΙ ΜΗΔ.] Sophocl. Œdip. Colon. 517. τὸ τοι A.V. Ante h. v. delevi ΤΩΙ ΤΟΙ: Πολὺ παρὰ τρόπον τοῦτο. οὐ γὰρ τῷ τοι, ἀλλ' οὐδέτερον ἄρθρον ἐνικὸν τὸ τὸ, cum A.V.

[c] μηδαμᾶ] μηδαμὰ A.

[d] ξέν'] ξεῖν' A.

[e] ἀνεξάλειπτον] Scholiastes Sophoclis habet, ἀδιάλειπτον. KUST. ἀνεξάληπτον V. τὸ om. A.

[f] πλήρωσιν] Scribe πήρωσιν, ut apud Scholiastam Sophoclis legitur. KUST.

[g] Ἀριστοφάνης Νεφέλαις] Ver. 361.

[h] ἐφορᾷς] ὑφορᾷς B. ὑπορᾷς V.

[i] ὑποβλέπῃ] παραβλέπῃς A.

[j] Ὅμηρος] Il. α΄. 148 et al.

[k] Πλάτων] Phædon. p. 117 B.

ΤΡΑΒΑΙΑΙ] Sic rectius mss. Paris. quam priores editt. quæ habent τραβαῖαι. KUST. τραβαιαὶ A. παρὰ Ῥωμαίοις om. A.

ΤΡΑΒΙΤΗΣ] Ms. A. [et B.V.] τραβείτης. Suidas infra v. Τράπεζα, τραπεζίτης κύων. Quare existimo τὸ τραβείτης corruptum esse ex τραπεζίτης. KUST.

ΤΡΑΓΑΛΙΖΟΝΤΑ] Τραγαλίζον· A. τραγαλίζοντα V. Tum ὡς om. A. Deinde κιθαρίου E. et λογαριζόμενον B.

[l] Ἀριστοφάνης] Vesp. 671. Ὡς ᾔσθοντό γε τὸν μὲν σύρφακα τὸν ἄλλον Ἐκ κιθαρίου λογαριζόμενον, &c. Vide ibi Scholiastam: et Nostrum supra v. Λογαριζόμενον. KUST.

[m] Πολλοῖς ἅμα συνεστιωμένοις] Vel scribendum est, πολ- F λῶν ἅμα συνεστιωμένων; vel, πολλοῖς ἅμα συνεστιωμένοις: ut Portus etiam monuit. KUST. συνεστιώμενον Hemsterhusius. συνεστιωμένους V. συνεσθιωμένων E.M. mox om. ἡμεῖς E.

[n] τύχῃ] τύχοι A.B.V.

[o] γέλωτα] Statim delevi Τῶν λεγομένων Τραγιάμβων πρῶτος ἦρξεν Ἀπολλόδωρος, Ἀσκληπιάδου, ὁ Γραμματικός, cum A.V. Ad ea sic Kusterus: "Hæc male voci τραγήματα subjecta sunt, quæ ad v. Τραγίαμβοι pertinent. Vide supra v. Ἀπολλόδωρος, ubi eadem leguntur."

G ΤΡΑΓΗΝ] Vid. supr. Ἀπατούρια. REINES. Hunc art. sumptum esse ex Schol. Aristoph. Ach. 146. monuit Abreschius. Habet A. in marg.

[p] ἐν θεῶν σκηναῖς τ.] Locus hic corruptus videtur, quem sic rescripserim, ἐν Θεῶν σχήματί τινες, &c. Confer Nostrum supra v. Ἀπὸ μηχανῆς Θεός. KUST.

ib. θεῶν σκηναῖς] σκηνῇ θεῶν A. θεῶν σκηνῇ B.V.E. Photii ms. Timæi ms. σκευῇ Photii ed. σκευαῖς Pierson. ad Mœrin p. 22. probante Ruhnkenio ad Timæum p. 259.

H ἐν θεάτρῳ Timæi ed. cum Etymol. M.

[q] παριόντες] παρόντες B.V.E. Photius, Timæus.

ΤΡΑΓΙΚΟΣ ΠΙΘΗΚΟΣ] Confer Harpocrationem h. v. KUST.

[r] Δημοσθένης] P. 307, 25.

[s] ποιηταῖς] τοῖς ποιηταῖς A.V. Mox πίθον E. pro πίθηκον.

Τραγικώτερος: [t]Ἀξιοπιστότερος, ἢ [u]ἀτυχέστερος. [x]Ἀριστοφάνης· A

> Οὔκουν ἐχρῆν σε Πηγάσου ζεῦξαι πτερόν,
> ὅπως ἐφαίνου τοῖς θεοῖς τραγικώτερος.

Αἰνίττεται δὲ τὰ περὶ Ἰκάρου λεγόμενα. Ἢ ἐπεὶ δοκεῖ [y]ὁ Βελλεροφόντης τὴν τοῦ Προίτου γυναῖκα μετὰ τὴν τῆς Χιμαίρας ἀναίρεσιν ἐπανελθὼν εἰς Κόρινθον ἐξαπατῆσαι, καὶ ὡς γυναῖκα ἐπιβιβάσας τοῦ ἵππου τοῦ [z]Πηγάσου, εἰς μέσην ῥίψαι τὴν θάλασσαν. B

Τράγκυλλος, ὁ Σευητόνιος χρηματίσας, γραμματικὸς Ῥωμαῖος. Ἔγραψε [a]περὶ τῶν παρ' Ἕλλησι [aa]παιδιῶν βιβλίον α', Περὶ τῶν παρὰ Ῥωμαίοις [b]θεωρικῶν καὶ ἀγώνων βιβλία β', Περὶ τοῦ κατὰ Ῥωμαίους ἐνιαυτοῦ βιβλίον α', Περὶ τῶν ἐν τοῖς βιβλίοις σημείων α', Περὶ τῆς Κικέρωνος πολιτείας α'· [c]ἀντιλέγει δὲ τῷ Διδύμῳ· Περὶ ὀνομάτων κυρίων καὶ [d]ἰδέας ἐσθημάτων καὶ ὑποδημάτων καὶ τῶν ἄλλων οἷς τις ἀμφιέννυται, C Περὶ δυσφήμων λέξεων, ἤτοι βλασφημιῶν, καὶ πόθεν ἑκάστη, [e]Περὶ Ῥώμης, καὶ τῶν ἐν αὐτῇ νομίμων καὶ ἠθῶν βιβλία β', [f]Συγγενικὸν [g]Καισάρων· περιέχει δὲ καὶ βίους καὶ διαδοχὰς αὐτῶν ἀπὸ Ἰουλίου ἕως Δομετιανοῦ, βιβλία η'· Στέμμα Ῥωμαίων ἀνδρῶν ἐπισήμων.

Τραγόλας: Ὅπλον, ᾧ χρησάμενος ὁ Κόττας οὕτω D βίαιον ἀφῆκε πληγήν, ὥστε τὸν βληθέντα διά τε τοῦ θώρακος καὶ [h]διὰ τῶν πλευρῶν διαπεῖραι, καὶ τῇ γῇ [i]προσηλῶσαι.

Τράγος: Παρὰ τὸ τραχὺ δέρμα ἔχειν· τράχος τις ὤν. Ἢ παρὰ τὸ τραχεῖαν [k]φωνὴν ἔχειν. Ἢ ἀπὸ τοῦ τρέχειν. Καὶ τραγᾶν φασι τὰς ἀμπέλους, ὅταν μὴ καρπὸν [l]φέρωσιν.

Τράγος: Παρὰ Μεσσηνίοις ὁ ἐρινεός. Ἐδέξατο δὲ Ἀριστομένης χρησμὸν, ὡς, ἡνίκα [m]πίοι ὕδωρ τοῦ [n]Νέδα ποταμοῦ τράγος, ἁλώσεται ἡ [o]Ἱρὰ τὸ ὄρος. Καὶ ἐκώλυον τοὺς τράγους πίνειν ἐκεῖθεν. Ὁ δὲ ἐρινεὸς ἐπεφύκει παρὰ τὸν ποταμόν· οὗ τὰ φύλλα τῷ ὕδατι ἐπλησίαζεν κεκυφότα· καὶ τούτου ἐκβάντος, ἑάλω τὸ ὄρος.

B Τραγῳδία: [p]Δεινοπάθεια. Ἀριστοφάνης Πλούτῳ·

> Ἴσως ἐρινύς ἐστιν ἐκ τραγῳδίας.

[q]Τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμάτων τραγῳδοῖς μᾶλλον ἁρμόττει, ἐν δὲ ταῖς τραγῳδίαις μετὰ λαμπάδων εἰσήρχοντο αἱ ἐριννύες.

> [r]Τὸ δ' ὅπως ἐγένοντο, τραγῳδίαν βουλομένου γράφειν ἐστὶν, οὐχ ἱστορίαν συγγράφοντος.

Καὶ αὖθις·

C

> Παθοῦσα [s]τραγῳδίας ἄξια.

Τραγῳδικόν: Ἐμπαθές. Ἐπείπερ καὶ ἡ τραγῳδία ἐμπαθῶν πραγμάτων ἀπαγγελτικὴ, ἢ ἐπειδὴ περὶ τραγῳδίας μέλλει λέγειν.

Τραϊανὸς, πατρίκιος. [t]Ἤκμαζεν ἐπὶ Ἰουστινιανοῦ τοῦ Ῥινοτμήτου. Οὗτος ἔγραψε χρονικὸν σύντομον, πάνυ θαυμάσιον. Ἦν δὲ χριστιανικώτατος καὶ ὀρθοδοξότατος. D

Τραϊανὸς, βασιλεὺς Ῥωμαίων· ὃς ἀγαθὸς καὶ μισοπόνηρος καὶ δίκαιος τοσοῦτον ὑπῆρχεν, ὥστε ποτὲ γυμνώσας ῥομφαίαν ἐνώπιον τῶν μεγιστάνων αὐτοῦ, ἐπέδωκε τῷ ὑπάρχῳ, λέγων· [u]Δέξαι τὸ ξίφος τοῦτο, καὶ, εἰ μὲν καλὸς ὑπάρχω, ὑπὲρ ἐμοῦ· εἰ δὲ μὴ, κατ' ἐμοῦ χρῆσαι.

E

[t] Ἀξιοπιστότερος] Ne putes hanc esse interpretationem vocis τραγικώτερος; sed sensus est, τὸ τραγικώτερος in subjuncto loco Aristophanis præter expectationem dictum esse pro ἀξιοπιστότερος. Culpandus interim est Grammaticus noster, quod mentem suam non clarius expresserit. KUST.

[u] ἀτυχέστερος] κατηχέστερος E.

[x] Ἀριστοφάνης] Pac. 134.

[y] ὁ Βελλεροφόντης] ὁ om. V.

[z] Πηγάσου] τοῦ Πηγάσου A.B.V.E.

ΤΡΑΓΚΥΛΛΟΣ] Scripsit De Regibus, De Prætoribus, (ex 4 et 7 Prætorum Priscianus VIII. citat testimonia, item e 4. lib. XVIII.) De Viris illustribus, De republica Ciceronis, De signis et notis, De anno Romano, De vestium generibus, De spectaculis, De Græcorum certaminibus s. ludis, De vitiis corporalibus, De ominosis verbis, vid. Torrent. Præf. ad Sueton. REINES.

[a] περὶ τῶν παρ' Ἕλλησι παιδιῶν] Operis hujus meminit Tzetzes Chil. VI. 875. KUST. ἐπὶ τῶν M.

[aa] παιδιῶν] παιδειῶν A.

[b] θεωρικῶν] θεωρ. V.E.

[c] ἀντιλέγει δὲ τῷ Διδύμῳ] Didymus nimirum in scriptis suis Ciceronem reprehenderat: ut patet ex loco isto Ammiani Marcellini lib. XXII. p. 235. *Chalcenterus Didymus, multiplicis scientiæ copia memorabilis, qui in illis sex libris, ubi nonnunquam imperfecte Tullium reprehendit, Sillographos imitatus, scriptores maledicos, judicio doctarum aurium incusatur.* Adversus hujus igitur obtrectationes Suetonius Ciceronem defendit. KUST.

[d] ἰδεῶν] ἰδέας A.B.V. ἰδίων E.

[e] περὶ Ῥώμης—ἠθῶν] Ex his, ut puto, sunt quæ de etymo triumphi e Tranquillo citat Isidor. Etymol. XVIII. 2. REINES.

[f] Συγγενικὸν Καισ.] Hoc opus hodie adhuc exstat. KUST.

[g] Καισάρων] καὶ σάρων V. Mox δὲ A. sine καί.

ΤΡΑΓΟΛΑΣ: Ὅπλον, ᾧ χρ.] Vide supra v. Κόττας, ubi eadem leguntur. KUST.

[h] διὰ τῶν] διὰ om. A.

[i] προσηλῶσαι] προσαρμόσαι E. (πλῶσαι)

[k] φωνὴν ἔχειν] ἔχειν φωνὴν A.

[l] φέρωσιν] ὍΤΙ ἡ τῶν τράγων δυσοσμία γράσος λέγεται. καὶ γράσων ἄνθρωπος, ὁ δύσοσμος. Διάλογον τράγου καὶ βοὸς ἐν τῷ F ΒΟΥΣ ἝΒΔΟΜΟΣ, A. in marg. rell. om. Omnia desunt V.

[m] πίῃ] πίοι A.B.V.

[n] Ἔδα] Emendandus hic locus e Pausan. IV. p. 327. τοῦ Νέδα ποτ. et ἡ Εἶρα. Vid. Kuhn. HEMST. Ms. Νέδα. Ex orac. apud Pausan. p. 327. Habet ex Pausania alia etiam nonnulla Suidas. VALCK. Similia Bos et Toup. Νέδα A.B.V. Mox ὁ ante τράγος om. A.B.V.

[o] Ἱρὰ] ἱερὰ A. εἶρα Pausan.

G [p] Δεινοπάθεια] Schol. Platon. p. 153. Τραγῳδία ἐστι ποίησις ἔμμετρος πρὸς ἅμιλλαν ᾠδῆς ἐπὶ δεινοπαθείᾳ προσώπων τε καὶ πραγμάτων γιγνομένη, καθ' ἣν τῷ νικήσαντι τράγος ἆθλον ἐδίδοτο, ἐξ οὗ καὶ τὸ ὄνομα ἔσχε.

[q] Τὰ γὰρ ἀποτρόπαια τῶν φαντασμ.] Confer Schol. Aristoph. ad Plut. 423. qui eadem docet. KUST.

[r] Τὸ δὲ ὅπως] Hæc scriptori incerto tribuenda puto, non Aristophanis Scholiastæ.

[s] τραγῳδίας] τραγῳδιῶν Schol.

ΤΡΑΓΩΙΔΙΚΟΝ: Ἐμπαθές. ἐπ.] Aristoph. Plut. 424. H Βλέπει γέ τοι μανικόν τι καὶ τραγῳδικόν. quem versum compilator hic omittere non debebat. KUST. Horum fundus non in Aristoph. Plut. 424. sed Acharn. 9. unde ad verbum sunt descripta. ABRESCH.

[t] Ἤκμαζε δὲ] δὲ om. V. Mox οὗτος om. V. et infra καὶ ὀρθοδοξότατος. Deest art. A.

[u] Δέξαι] Vid. Dion. Cass. LXVIII. 16.

ᵛΟὗτος τοῖς Χριστιανοῖς ἀνακωχήν τινα τῆς τιμωρίας παρέσχεν. Οἱ γὰρ κατὰ καιρὸν ὑπὸ [u]Ῥωμαίων τὰς ἀρχὰς ὠνούμενοι, πρὸς θεραπείαν τῶν τότε βασιλέων διαφόρους ἐπῆγον τοῖς Χριστιανοῖς κολάσεις. Ὅθεν καὶ [x]Τιβεριανὸς, ἡγεμονεύων τοῦ πρώτου Παλαιστινῶν ἔθνους, ἀνήγαγεν αὐτῷ λέγων, ὡς οὐκ ἐπαρκεῖ λοιπὸν τοὺς Χριστιανοὺς φονεύειν, ἐκείνων αὐτομάτως [y]ἐπεισαγόντων ἑαυτοὺς τῇ κολάσει. Ἐντεῦθεν ὁ Τραϊανὸς πᾶσιν ἅμα τοῖς ὑπ' αὐτὸν ἀπηγόρευε τοῦ τιμωρεῖσθαι τούτους.

**Τράμις**: Ὁ πρωκτός. [z]Ἀριστοφάνης·

> Αἰθὴς γεγένημαι πάντα τὰ περὶ τὴν τράμιν.

**Τράμπις**:

**Τρανές**: Σαφές.

> [a]Ἴσμεν γὰρ οὐδὲν τρανὲς, ἀλλ' ἀλώμεθα.

Καὶ αὖθις·

> Ἐς τὸ τρανὲς τὴν ἔρευναν ἐποιήσαντο.

ᵛΟτι τρανεστέρα ἡ ὄψις τῆς ἀκοῆς. [Ἐν τῷ Αἰσθήσεις πέντε.]

**Τράπεζα**: Καὶ, τραπεζεῖτης κύων, ὁ ὑποκάτω τῆς τραπέζης. Τραπεζίτης δὲ, διὰ τοῦ ι, ὁ καταλλάκτης. Καὶ [b]τραπεζῆες κύνες, ποιητικῶς.

**Τραπεζολοιχός**:

[**Τραπέζια**:]

**Τραπεζοῦς**, Τραπεζοῦντος. Ὄνομα πόλεως.

**Τραπεζοφόρος**: Ἱερωσύνης ὄνομα ἡ Τραπεζοφόρος· [c]καὶ ὅτι αὐτή τε καὶ ἡ [d]κοσμὼ συνδιέπουσι πάντα [e]τῇ τῆς Ἀθηνᾶς ἱερείᾳ· ὡς Λυκοῦργος [f]ἐν τῷ αὐτῷ λόγῳ δεδήλωκε.

**Τραπείομεν**: Τὸ βαρύτονον τράπω.



A Ποῖ δὴ τράπωμαι, καὶ τίς γένωμαι;

Διὰ τοῦ ω μεγάλου. Καὶ [g]τράπω, αὐθυπότακτον, τράπησι.

**Τρασιά**: Ὁ τόπος ἐν ᾧ [h]ψύχεται τὰ σῦκα, ἢ οἱ τυροί. Ἀπὸ δὲ [i]τοῦ καθόλου ἐπὶ [k]τὸ μέρος ἦλθε. Καθόλου γὰρ [l]εἰπὼν ἄνω τὴν εὐδαιμονίαν τὴν [m]ἑαυτοῦ,

> [n]Βρύων [o]μελίτταις, καὶ προβάτοις, καὶ στεμφύλοις

καταμερίζει αὐτά. Ἀπὸ μὲν γὰρ τῶν προβάτων τὰ B ἔρια γίνεται· ἀπὸ δὲ στεμφύλων, ἡ τρύξ· ἀπὸ δὲ τῆς τρασιᾶς, τὰ σῦκα.

**Τραυματίας**: Τετρωμένος.

> Τραυματίας [illegible] καὶ καματηροὺς, οἷς οὔτε δύναμις ἐγένετο φυγῆς, οὔτε βούλησις, [p]φυλάττεσθαι ἐθεράπευε.

**Τραυματισθῆναι**: Ἀντὶ τοῦ [q]τρωθῆναι. [r]Θουκυδίδης α΄.

**Τραύξανα**: Τὰ ἀπὸ τῆς φάτνης ἀποπίπτοντα τῶν C ἵππων, ἢ τῶν βοῶν, ἢ τῶν ἄλλων κτηνῶν λείψανα. Σημαίνει δὲ καὶ τὰ ἀκανθώδη καὶ ξηρὰ ξύλα. Οὕτω Φερεκράτης.

**Τραφερή**: Ἡ ξηρὰ γῆ.

**Τραχέως**: Ἀνδρείως.

> Οἱ δὲ τραχέως αὐτοὺς ὑπεδέχοντο πυκνῇ καὶ πεφραγμένῃ τῇ φάλαγγι.

**Τραχεινή**: Τραχεῖα ὁδός.

D **Τραχηλίζων**:

> Κλεόστρατος Ῥόδιος [s]πάλην νικῶν ἐς τραχηλίζων ἀπελάμβανε.

Καὶ [t]Ἰώσηπος·

> Πολέμῳ καὶ λιχνείᾳ καθημέραν τραχηλιζομένους, οἰκτρότατα πάσχειν.

Καὶ τράχηλος, τὸ μέρος τοῦ σώματος.

ᵛ Οὗτος τοῖς Χριστιανοῖς ἀνακ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Joannis Antiocheni, quæ leguntur etiam in Collectaneis Constantini a Valesio editis, p. 818. KUST.

[u] τῶν Ῥωμαίων] τῶν om. A.

[x] Τιβεριανὸς] Vid. Malela p. 356. TOUP.

[y] ἐπεισαγόντων] ἐπεισαγαγόντων V.

[z] Ἀριστοφάνης] Thesmoph. 253.

ΤΡΑΜΠΙΣ] Etymologus v. Ἀσπὶς, τὸ τράμπις interpretatur πλοῖον βαρβαρικόν. Aliter vero Hesychius: quem vide. Confer etiam Scholiastam Nicandri, p. 16. KUST. Ther. 268.

[a] Ἴσμεν γὰρ οὐδ.] Sophocl. Aj. 23.

ᵛΟΤΙ τρανεστέρα] Deest art. A. ἐν τῷ αἰσθ. π. om. V.

[b] ΤΡΑΠΕΖΗΕΣ ΚΥΝΕΣ] Homerus Il. ψ΄. 173. KUST.

ΤΡΑΠΕΖΙΑ om. A.B.V. Gl. seq. om. A. post Τραπείομεν ponit V.

ΤΡΑΠΕΖΟΦΟΡΟΣ: Ἱερωσύνης ὄν.] Ex Harpocratione. Ceterum pro ἱερωσύνης scribendum est ἱερείας, i. e. *sacerdotis*, vel *sacrificulæ*. KUST.

[c] καὶ ὅτι] καὶ om. A.

[d] κοσμὼ συνδιέπουσι] κοσμοσύνη διέπουσι V.

[e] τὰ—ἱερεῖα] τῇ—ἱερείᾳ A. Photius.

[f] ἐν τῷ αὐτοῦ λόγῳ] Scribe ἐν τῷ αὐτῷ λόγῳ, i. e. *in eadem oratione:* ut apud Harpocrationem. Intelligitur autem oratio Lycurgi περὶ τῆς Ἱερείας, cujus mentio apud Harpocrationem præcesserat. KUST. Sic A.V. Photius.

[g] ΤΡΑΠΩ] τράπ' A. i. e. τράπης. Post αὐθυπότακτον A. V. addunt τράπ'. B.E.M. τράπεις.

ΤΡΑΣΙΑ: Ὁ τόπος, ἐν ᾧ ξηρ.] Hæc sumpta sunt ex veteri aliquo Scholiaste ad locum illum Aristophanis in Nubibus, 50. Ὄζων τρυγὸς, τρασιᾶς, ἐρίων περιουσίας. Confer etiam Nostrum supra v. Ταρσοὶ καλάμων. KUST.

[h] ξηραίνεται] ψύχεται A. Schol. Aristoph. ψύχεται B. E V.E. ξηραίνεται habet Zonaras.

[i] τοῦ καθόλου] τὰ καθόλου A.

[k] τὸ μέρος] τὰ κατὰ μέρος Schol.

[l] εἰπὼν ὁ Στρεψιάδης] ὁ Στρεψιάδης om. A.B.V.

[m] αὐτοῦ] ἑαυτοῦ A.B.

[n] Βρύων] Aristoph. Nub. 45.

[o] μελίτταις καὶ] μελίττ' A.

[p] φυλάττεσθαι ἐθεράπευε] Cum Porto legendum puto, φυλάττεσθαι καὶ θεραπεύεσθαι ἐκέλευσε. KUST. Leg. ἐφύ- F λαττε καὶ ἐθεράπευε. TOUP.

[q] τρωθῆναι] λυτρωθῆναι V.

[r] Θουκυδίδης α΄] Vid. Wass. et Duker. ad VII. 41. Adde IV. 12. 35. 129. Θουκυδίδης ἐν. . . Ἡρόδοτος πρώτῳ, δευτέρῳ, τρίτῳ Antiatt. Bekkeri 114, 19.

ΤΡΑΥΞΑΝΑ: Τὰ ἀπὸ τ.] Eadem habet Etymologus. [et Photius.] Videtur autem τραύξανα dictum esse pro τρώξανα, a τρώγω. KUST. Post h. gl. addit A. τραχὺ ὄν.

ΤΡΑΦΕΡΗ] Homerus Il. ξ. 308. KUST.

G ΤΡΑΧΕΙΝΗ: Τραχεῖα ὁδός.] Sic A.V. Vulgo, Τραχεῖα καὶ τραχήνη (τραχεινὴ E.) ὁδός. ἡ αὐτή. ἤγουν ἡ τραχεῖα.

ΤΡΑΧΗΛΙΖΩΝ] Ex Pausania, opinor. Vide Casaubon. [illegible] Athen. p. 38. Plutarch. Anton. p. 931. διαλαμβάνων τοὺς νεανίσκους ἐτραχήλιζεν. Plutarch. de Educ. Lib. p. 154. ed. Lips. TOUP. Hæc leguntur in Euseb. Chron. I. p. 42, 51. idque observatum Scaligero in notis ad Gr. Euseb. p. 429. HEMST. Addit Scaliger, "Τραχηλισμὸς hic intelligitur, qui aliter ἀγκυρισμός." H Hunc Suidæ locum infeliciter tractat Cuperus Obs. I. p. 86.

[s] πάλη] πάλην A.V. Euseb.

[t] Ἰώσηπος] Lib. V. de Bello Jud. c. XXI. p. 886. sed ubi pro τραχηλιζομένους legitur τραχηλιαζομένους. KUST. IV. 6. 2. ubi nunc τραχηλιζομένους e mss.

**Τραχὶν, Τραχῖνος:** Ὄνομα πόλεως. Καὶ [u]Τραχινίαις.

**Τράχων,** Τράχωνος.

**Τραχωνῖτις:** Χώρα.

**Τρέσας:** Ἀντὶ τοῦ φυγὼν, φοβηθεὶς, δειλιάσας.

[x]Τρέσαι δ' οὐκέτι ῥίμφα φέρον πόδες.

Ἀντὶ τοῦ φυγεῖν. Καὶ αὖθις·

[y]Ἀνίκ' ἀπὸ πτολέμου τρέσσαντά σε δέξατο μάτηρ.

**Τρέφω:** Αἰτιατικῇ.

**Τρέφεσθαι:** Πήγνυσθαι, [z]συνίστασθαι. [a]Περὶ ψυχῆς·

Τότε δὴ τὰ ζῶα συντρέφεται.

Ἀντὶ τοῦ συνίσταται, πήγνυται. [b]Ὅμηρος·

Ἥμισυ μὲν θρέψας λευκοῖο γάλακτος.

[[c]Πολλὸν δὲ [d]τρέχειν τὸν περὶ ψυχῆς.

Οἷον δρόμον.] Καὶ,

[e]Πολλὸν δὲ τρέφει κῦμα.

Τεθραμμένον, συνιστάμενον. Τρέφω καὶ τὸ ἔχω.

[f]Τἀληθὲς γὰρ ἰσχύον τρέφω.

Ἀντὶ τοῦ ἔχω.

**Τροφή:** Ἀριστοτέλης, [g]Ὅτι διαπεφώνηται ὁ περὶ τῆς τροφῆς λόγος. Οἱ μὲν γάρ φασιν, ὅτι ὁμοία ἐστὶν ἡ τροφὴ [h]τῷ τρεφομένῳ· τρέφεσθαι γὰρ τὸ ὅμοιον τῷ ὁμοίῳ. Εἰ γὰρ προστεθεῖσα ἡ τροφὴ τῷ τρεφομένῳ αὔξει αὐτό· αὐξητικὸν δὲ τοῦ ὁμοίου τὸ ὅμοιον, οὐ τὸ ἐναντίον (τοῦτο γὰρ καὶ [i]φθαρτικὸν τοῦ ἐναντίου·) οὐκ ἄρα ὑπὸ τοῦ ἐναντίου τρέφεται τὸ τρεφόμενον, ἀλλ' ὑπὸ τοῦ ὁμοίου. Οἱ δὲ φασὶν, ὅτι τῷ ἐναντίῳ τρέφεται τὸ τρεφόμενον. Εἰ γὰρ πάσχει ἡ τροφὴ ὑπὸ τοῦ τρεφομένου, καὶ μεταβάλλει εἰς αὐτό· οὐ πάσχει δὲ τὸ ὅμοιον ὑπὸ τοῦ ὁμοίου, ἀλλ' ὑπὸ τοῦ ἐναντίου τὸ ἐναντίον πάσχει, καὶ μεταβάλλει [k]τὸ ἐναντίον εἰς τὸ ἐναντίον· ἐναντίον ἄρα ἡ τροφὴ [l]τῷ τρεφομένῳ. [m]Οὗτοι μὲν οἱ λόγοι δοκοῦσιν εἶναι ἐναντίοι· ἀλλ' οὐκ εἰσί. Ἡ γὰρ τροφὴ δυνάμει μέν ἐστιν ὁμοία τῷ τρεφομένῳ, ἐνεργείᾳ δὲ, ἐναντία. [n]Ὅ γὰρ ἄρτος καὶ τὰ ὄψα, ἀκατέργαστα μὲν ὄντα καὶ ἄπεπτα, ἐναντία πώς ἐστι τῷ τρεφομένῳ· ὁπηνίκα δὲ μεταβληθῇ καὶ ἀλλοιωθῇ, τότε ὅμοια γίνεται. Μεταβάλλει δὲ οὐ τὸ ὅμοιον εἰς τὸ ὅμοιον, οὐδὲ τὸ τυχὸν εἰς τὸ τυχὸν, ἀλλὰ τὸ ἐναντίον εἰς τὸ ἐναντίον. Οὐ γὰρ τὸ λευκὸν εἰς θερμὸν μεταβάλλει, ἀλλὰ τὸ ψυχρὸν [o]εἰς θερμόν. [p]Κἂν γοῦν τὸ φαιὸν εἰς λευκὸν μεταβάλλῃ, [q]οὐχ ᾗ μετέχει λευκοῦ, ἀλλ' ᾗ μετέχει μέλανος μεταβάλλει. Καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως. Διττῆς οὖν οὔσης τῆς τροφῆς, τῆς μὲν, ἀπέπτου, τῆς δὲ, πεπεμμένης· ἡ μὲν ἄπεπτος ἐναντία ἐστὶ [r]τῷ πεπεμμένῳ· [s]ἡ δὲ πεπεμμένη καὶ μεταβάλλουσα, ἤδη ὁμοία.

[t]Ὅτι τρέφον μέν ἐστιν ἡ πρώτη δύναμις τῆς ψυχῆς, ἥτις ἐστὶν ἡ θρεπτική· τὸ δὲ τρεφόμενον, τὸ ἔμψυχον σῶμα, [u]καθὸ ταύτην ἔχει τὴν δύναμιν. Τὸ δὲ, ᾧ τρέφεται, ἡ τροφή. Ἔστι δὲ καὶ τὸ ᾧ τρέφεται, διττόν· τὸ μὲν κινοῦν, καὶ κινούμενον. Τὸ μὲν γὰρ ἔμφυτον [x]θερμὸν, ᾧ τινι τρέφεται ἡ ψυχὴ, ὡς δι' ὀργάνου, καὶ κινεῖ, καὶ κινεῖται. Κινεῖται μὲν ὑπὸ τῆς θρεπτικῆς δυνάμεως· κινεῖ δὲ τὰ λοιπὰ μόρια, οἷον ὀδόντας, φλέβας, γαστέρα, καὶ τὰ ἄλλα, δι' ὧν ἡ τροφή· ἅ τινα μόνως κινεῖται, οὐκέτι δὲ καὶ [y]κινεῖ.

**Τρέχειν τὴν ἐσχάτην:**

---

[u] ΤΡΑΧΙΝΙΟΣ: Ὁ ἀπ' αὐτῆς] τραχινίαις V. Hæc om. B. καὶ Τραχινίαις addit E. Deest articulus A. cum sequente.

ΤΡΕΣΑΣ] Plutarch. in Lycurg. p. 114. Vid. nos ad v. Πείσανδρος. TOUP.

[x] Τρέσας δ' οὐκέτι ῥίμφα φέρ.] Locus est corruptus. Portus legit Τρέσσαντ' οὐκέτι ῥίμφα, &c. Sic saltem metro consuletur. At ego propter fragmenti brevitatem nihil certi de hoc loco statui posse censeo. KUST. Festinanter nimis vir doctissimus. Est versus Homeri Iliad. ν'. 515. ubi ita legitur: Τρέσσαι δ' οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο. Quemadmodum et apud Suidam scribendum est. Ceterum nomine isto insigniebatur Aristodemus apud Ælian. de Anim. IV. 1. Ἀριστόδημος δὲ Ὁ ΤΡΕΣΑΣ, καὶ Κλεώνυμος ὁ ῥίψας τὴν ἀσπίδα, καὶ ὁ δειλὸς Πείσανδρος οὔτε τὰς πατρίδας ᾔδοῦντο, οὔτε τὰς γαμετὰς, οὔτε τὰ παιδία. TOUP. τρέσαι A.B.V.E.

[y] Ἀνίκ' ἀπὸ πτολ.] Anthol. Pal. VII. 230.

ΤΡΕΦΕΣΘΑΙ: Πήγν.] Confer Erotianum v. Τεθραμμένον. KUST.

[z] συνίστασθαι] συναφίστασθαι A.V.

[a] Περὶ ψυχῆς] Additur in prioribus edd. περὶ ψυχῆς, quod a Kustero minime debuit expelli: continet enim indicium ejus libri, unde verba, quæ subjiciuntur, fuerunt depromta: nimirum ex Platonis Phædone, cui titulus est περὶ ψυχῆς p. 72 A. [96 B.] ubi totidem literis extant. HEMST. Περὶ ψυχῆς servant omnes mss. cum Photio. Vid. Fischerum ad Platon. Phæd. p. 404.

[b] Ὅμηρος] Odyss. ι'. 246. KUST.

[c] Πολλὸν δὲ τρέχειν τὸν περὶ ψυχῆς. Οἷον δρόμον] Hæc male huc translata sunt. Pertinent enim ad vocem τρέχειν. KUST. Male collocata esse patet ex Photio, in quo alteram glossam constituunt omissis Πολλὸν δέ. Uncinos apposui. De locutione τρέχειν περὶ ψυχῆς vid. Valckenær. ad Herodot. VII. 57. quosque ille laudavit.

[d] τρέχειν] τὸ τρέχειν A.V. τρέφειν B.E.

[e] Πολλὸν δὲ τρέφει κῦμα] Homer. Il. λ'. 307. KUST.

[f] Τ' ἀληθὲς γὰρ ἰσχύον τρέφω] Sophocl. Œdip. Tyr. 356. ut Portus monuit. Idem Sophocles Antig. 897. Κάρτ' ἐν ἐλπίσι τρέφω. Scholiasta ad eum locum: Εὐσυνήθως Σοφοκλῆς εἰς τὸ τρέφω ἀντὶ τοῦ ἔχω λέγειν. KUST.

[g] ὍΤΙ διαπεφώνηται ὁ περὶ τῆς τρ.—καὶ μεταβαλοῦσα ἤδη ὁμοία] Hæc omnia leguntur apud Philoponum in lib. II. Aristot. de Anima, I. 1. a. b. KUST.

[h] τῷ τρεφομένῳ] τῶν τρεφομένων Philop. ubi om. τρέφεσθαι—τρεφομένῳ.

[i] φθαρτικὸν] καὶ φθαρτικὸν A.B.E. Philop. οὐκ ἔστιν—τρέφεσθαι Philop. pro οὐκ ἄρα—τρέφεται.

[k] τὸ ἐναντίον] τὸ om. A.V.

[l] τῷ τρεφομένῳ] τῶν τρεφομένων Philop.

[m] Οὗτοι] Hæc aliter Philoponus.

[n] Ὅ τε] τε om. A.V. Mox μὲν om. V.

[o] εἰς θερμὸν om. V.

[p] Κἂν γοῦν—μεταβάλλῃ] καὶ γὰρ—μεταβάλλει Philop.

[q] οὐχ ἧττον μετέχει τοῦ λευκοῦ, ἢ τοῦ μέλανος] Philoponus, οὐχ ᾗ μετέχει λευκοῦ, ἀλλ' ᾗ μετέχει μέλανος, μεταβάλλει, i. e. *Non, quatenus particeps est albi, sed quatenus particeps est nigri, mutatur.* Sic etiam apud Suidam scribendum est. KUST. μετέχει λευκοῦ ἀλλ' ᾗ (vel ᾖ) μετέχει μέλανος A.V.

[r] τῇ πεπεμμένῃ] Legendum est, τῷ τρεφομένῳ: ut habet Philoponus. KUST. τῷ πεπεμμένῳ A.V.

[s] ἡ δὲ πεπεμμένη om. E. Tum μεταβάλλουσα A.V.

[t] τρέφον μέν ἐστιν ἡ πρώτη δύναμις τ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba ejusdem Philoponi in lib. II. Aristot. de Anima, I. 3. a. KUST. Plenius Philoponus.

[u] καθὸ—δύναμιν V. in marg. ubi rell. om.

[x] θερμὸν] καὶ θερμὸν A.

[y] κινεῖ] καὶ κινεῖ A.B.V.E.

[z]Ἐὰν, τὸ δὴ λεγόμενον, τρέχωσι τὴν ἐσχάτην, ἐπὶ τοὺς Ῥωμαίους [a]καταφεύξονται, καὶ τούτοις ἐγχειριοῦσι σφᾶς αὐτοὺς καὶ τὴν πόλιν.

Τρέψομαι: Νικήσω.

Ἐγώ σε τῇ [b]βοῇ ταύτῃ τρέψομαι.

[c]Ἀριστοφάνης φησίν. Ἀντὶ τοῦ, [d]νικήσω βοῶν.

Τρεῖ: Φοβεῖται.

Τρὶς ἕξ: [e]Νικητήριος βόλος. Παροιμία·

Ἢ τρὶς ἕξ, ἢ τρεῖς κύβοι.

Τρήρωνα: Δειλήν. [f]Ὅμηρος·

Αἱ δὲ βάτην τρήρωσι πελειάσιν ἴθμαθ' [g]ὁμοῖαι.

Ἀντὶ τοῦ, δειλαῖς περιστεραῖς.

Τρήτη: Τετρημένη, [h]ὀπὰς ἔχουσα.

[i]Καὶ λίθακα τρητὴν, σπόγγῳ ἐειδομένην.

Τὴν κίσσηριν [j]λέγει.

Τρηχματεῦ:

Τριακάς: [[k]Ἡ τριακοστὴ τοῦ μηνός.] Τοῖς τετελευτηκόσιν ἤγετο ἡ [l]τριακοστὴ ἡμέρα [m]διὰ θανάτου, καὶ [n]ἐλέγετο τριακάς. Ὑπερίδης δηλοῖ, ἑνικῶς τε καὶ πληθυντικῶς τριακάδα καὶ τριακάδας τὴν ἡμέραν καλῶν.

Τριακονταετής: Ἐπὶ τῶν ἡλικιῶν ὀξύνεται· οἷον ἐνναετὴς ἄνθρωπος· ἐπὶ δὲ τῶν χρόνων βαρύνεται· οἷον ἐνναέτης. Οὕτω καὶ ἐπὶ τῶν ὁμοίων.

Τριακοντόποτυς βόθρος: Εἰς ὃν μετέωρον ἀράμενοι τὸν [o]Σύρφακα ῥιπτοῦσι κάτω, οἱ μὲν πυγμαῖς, κορύναις δὲ ἄλλοι, [p]λίθῳ γε μὴν τῷ ἐν ποσὶν ἀμυνόμενοι πολλοί. Οἱ δὲ, ὅ τι παρέπιπτεν αὐτοῖς ὑποχείριον, ἀλοῶντες αὐτὸν, ἀπορραγῆναι τὴν ἐπάρατον αὐτοῦ ψυχὴν κατηνάγκασαν.

Τριακοντούτης: Παροξυτονεῖται. Κοινὸν δέ ἐστιν ἀμφοτέρων τῶν γενῶν. Καὶ [q]τὸ πληθυντικὸν, τριακοντούτεις. Καὶ παρὰ Θουκυδίδῃ, τριακοντούτεις σπονδαὶ εἴρηνται. Καὶ Ἀριστοφάνης.

Τριάριοι:

[r]Οἱ Ῥωμαῖοι στρατεύσαντες ἐπὶ Καρχηδονίους, ἐπιλέξαντες ἐκ τῶν [s]πεζικῶν στρατοπέδων τὰς [t]ἀρίστας χεῖρας, διεῖλον τὴν πᾶσαν δύναμιν εἰς τέσσαρα μέρη· τὸ δὲ μέρος ἕκαστον διττὰς εἶχε [u]προσηγορίας. Πρῶτον μὲν γὰρ ἐκαλεῖτο στρατόπεδον, καὶ πρῶτος στόλος, καὶ τὰ λοιπὰ κατὰ λόγον· τὸ δὲ τέταρτον καὶ τρίτον ἐπωνυμίαν ἔτι εὖ προσειλήφει. Τριάριοι γὰρ ὠνομάζοντο κατὰ τὴν ἐν τοῖς πεζικοῖς στρατοπέδοις συνήθειαν.

Τρία Στησιχόρου: [x]Στροφὴν, ἀντίστροφον, ἐπῳδόν. Ἐπῳδικὴ γὰρ πᾶσα ἡ τοῦ Στησιχόρου ποίησις. Καὶ τὸν τελέως ἄμουσόν τε καὶ ἀπαίδευτον λοιδοροῦντες ἔφασκον ἂν οὐδὲ [y]τρία τὰ Στησιχόρου εἰδέναι.

Τριαχθῆναι λέγουσιν οἱ [z]παλαιστρικοὶ ἀντὶ τοῦ τρὶς πεσεῖν, ἢ τὸ τρὶς [a]τροχάσαντα νικηθῆναι, στάδιον, δίαυλον, δολιχόν. Οὕτω [b]Θουγενίδης ἐν Δικασταῖς.

Τριβακά: [c]Κατατετριμμένα.

[d]Ὀθόνια καὶ τριβακὰ φορεῖν δοκεῖν, ἀγαθόν.

Τριβή: Ἡ τρίψις. [e]Ἀριστοφάνης·

Οὗτος μὲν οὖν οὐκ ἄχαρις ἐς τὴν [f]τριβήν.

**Ὑποθήσομαι**: Διδάξω. Καὶ ὑποθέμενον, ἀντὶ τοῦ διδάξαντα.

Δοὺς, φασὶν, ἐπικρατῆσαι, [r]ὑποθέμενον τῷ βασιλεῖ, λ' πάσας ἡμέρας φυλαχθῆναι αὐτόν.

**Ὑποκαθέζεσθαι**: Τὸ ἐγκρύπτεσθαι.

Ἀγγειλάντων τῶν διοπτήρων, ἐνέδραν ὑποκαθίζεσθαι ἐπὶ τοῖς λασίοις.

Καὶ αὖθις·

Ἐν κοίλαις ὑποκαθίσαι χωρίοις.

**Ὑποκαθέσθαι**: Συγχωρῆσαι, ἀφεῖναι.

[s]Ὁ βουληθεὶς μηδὲν ἀλλότριον ὑποκαθέσθαι, μηδὲ δυσμενὲς μηδὲν ἀπολείπειν τῇ βασιλείᾳ.

B **Ὑποκαθεῖναι τὰς ὀφρῦς**: Οἷον παύσασθαι χαλεπαίνοντα, καὶ πρᾳότερον γενέσθαι. Τὸ γὰρ ἀνατείνειν τὰς ὀφρῦς ὀργῆς ἐστι σημεῖον.

**Ὑποκαθημένης**: Ἐγκρυπτομένης, ἐναποκειμένης.

[t]Διόπερ ὑποκαθημένης ἐκ τούτων αὐτῶν τῆς ὀργῆς, βραχέα προσαναμνήσαντες τοῦ Φιλίππου, ταχέως [u]ὑπήκουσε.

Καὶ [x]ὑποκαθήμενοι, ἀντὶ τοῦ ἐνεδρεύοντες.

Οἱ ἄρχοντες ὑποκαθήμενοι τοὺς εἰσελθόντας πληγαῖς κατέξαινον.

**Ὑποκατάβασιν**: Παραχώρησιν.

**Ὑποκατακλίνεται**: Ὑποκάτω κάθηται.

[y]Κληθεὶς δὲ εἰς ἑστίασιν ὑποκατακλίνεται πάντων, καταφρονηθεὶς, ὡς παῖς ἔτι τὴν ἡλικίαν.

**Ὑποκεκορισμένη**: [z]Ὑποκεκριμένη.

Ὁ δὲ ὑποκεκορισμένῃ καὶ ἀπατηλῇ ἐχρήσατο πρεσβείᾳ.

**Ὑποκεῖμαι**: Δοτικῇ.

**Ὑποκείσεται**: Ὑποβληθήσεται.

**Ὑποκινήσαντα**: Κινηθέντα, σαλευθέντα. Ἐπὶ τῶν τυπτομένων. [a]Ἀριστοφάνης·

Σκόπει νῦν, ἤν μ' ὑποκινήσαντ' ἴδῃς.

**Ὑποκληιζομένην**: Πεφημισμένην.

**Ὑποκνισθέντες**: Λυπηθέντες, παροξυνθέντες. Κνίζω γὰρ, τὸ ἐξεπιπολῆς ξύω.

Ἵνα μάτην ὑποκνισθέντες πόλεμον ἐγείρωσιν.

**Ὑποκορίζεται**: Κολακεύει, ὑποκρίνεται.

[b]Προχειρότερος ἦν εἰς ἐπιτίμησιν. Διὸ καὶ θαμὰ πολλοῖς προσέκρουσεν, οὐκ ἀνεχόμενος αὐτῶν τὴν κακίαν ὑποκορίζεσθαι.

**Ὑποκοριζόμενοι**: [c]Διασύροντες. [d]Ξενοφῶν φησιν·

[l] ταῖσι—τριήρεσι] τῇσι—τριήρησι A.

[m] Λέγεται] λέγονται A.V. τἆλλα—οἷον om. E. οἷον—ὄνοι om. A.V. et credo B.

[n] αὐτοῦ] ἑαυτοῦ A.V. Mox δ' om. V.

[o] Καὶ ταῦτα ὑπὲρ τ.] Hæc nihil faciunt ad v. Ὑποζυγιώδης. KUST. Hæc om. Photius, Etymol. M.

ΥΠΟΘΕΙΝ] Sunt Aristoph. Eq. 1158. ABRESCH.

[p] ὑποσκελίζειν] Jungenda seqq. cum superioribus patet ex Schol. Aristoph.

ΥΠΟΘΗΓΩΝ] Ælian. in Λαμία. Ὑπάγει. HEMST.

[q] ἐπαλείφων] Polyb. p. 190. Hesych. in v. Supra ad v. Ἐπαλείφων. Evagrius p. 423. πρὸς τὸν ἀγῶνα ἐπαλείφων. TOUP.

ΥΠΟΘΗΚΑΙΣ] Vid. Menag. ad Diog. Laërt. I. 61.

ΥΠΟΘΗΜΟΣΥΝΗ] Theodoret. 139. TOUP. Il. ο'. 412. ὑποθημοσύνῃσιν, ubi Schol. ὑποβολαῖς, διδασκαλίαις.

ΥΠΟΘΗΣΟΜΑΙ] Aristoph. Av. 1362.

[r] ὑποθέμενος] ὑποθέμενον A. Mox λ' om. V.

[s] Ὁ δὲ βουληθεὶς] Polybii in Excerptis Valesii, p. 118. Quod et recte observavit Ernestus. TOUP. Polyb. XXIV. 8, 8. ubi vid. Schweighæuser.

[t] Διόπερ ὑποκαθημ.] Ex Polybio IV. 29, 7.

[u] ὑπήκουσαν] ὑπήκουσε A.V.

[x] ΥΠΟΚΑΘΗΜΕΝΟΙ] Philostr. vit. Apollon. p. 114. TOUP.

ΥΠΟΚΑΤΑΚΛΙΝΕΤΑΙ] Aristid. II. p. 143. v. Χαρίζεσθαι. Plutarch. Ages. p. 611. Suid. v. Ἄρασθαι. Achilles Tatius p. 495. ὑποκύπτων καὶ ὑποκατακλινόμενος. Dio

F Chrys. p. 158. TOUP.

[y] Κληθεὶς] Κληθεὶς δὲ A. Sumptus locus est ex Josepho A. J. XII. 4, 9. Usque ad ἐπὶ om. V. πάντων sine ἐπὶ A.B.E.

[z] Ὑποκεκρυμμένη] Ms. A. [et B.V.E.] ὑποκεκριμένη, quæ vera lectio est. Vide paulo post v. Ὑποκορίζεται. KUST.

[a] Ἀριστοφάνης] Ran. 657. ubi pro ὑποκινήσαντα legitur παρακινήσαντα. KUST.

G ΥΠΟΚΛΗΙΖΟΜΕΝΗΝ] Sophocl. Aj. 225. quam vocem Scholiastes ibi exponit, φημιζομένην. KUST.

[b] Προχειρότερος ἦν εἰς ἐπιτ.] Hæc sunt verba Damascii de Isidoro philosopho, ut patet ex Photio, apud quem in Excerptis ex Damascio p. 1031. hic ipse locus αὐτολεξεὶ legitur: ut Pearsonius bene observaverat. KUST.

[c] Διασύροντες] Similia Schol. Platon. p. 156. Conf. Ruhnken. ad Tim. p. 156.

[d] Ξενοφῶν φησιν] Lib. II. [1, 26.] Ἀπομνημ. p. 738. KUST. De eo loco nuperrime egerunt viri doctissimi

H ad Mœrin. Sed omnes fefellit elegantissima locutio. Interpretatio autem Suidæ futilissima est. Ὑποκορίζεσθαι non est διασυρόντων, sed blandientium. Quod ex Damascio in vita Isidori patet. Ita Plato de Repub. lib. III. p. 200. edit. Massey. Οὐχ ἦν ἄνοιαν οἷον ΥΠΟΚΟΡΙΖΟΜΕΝΟΙ καλοῦμεν ὡς εὐήθειαν. Plutarch. in Solon. p. 189. edit. Bryan. Ἃ δ' οὖν οἱ νεώτεροι τοὺς Ἀθηναίους λέ-

Ὑποκύπτω: Δοτικῇ.

Ὑποκυσαμένη: Ἐγκυμονήσασα.

Ὑπολαβών: Ὑπονοήσας, ἢ ἀποκριθεὶς, ἢ ἀντειπὼν, ἀντικρούσας.

Τοὺς δὲ ἀντιστῆναί οἱ τολμήσαντας ὑπολαμβάνων, ὡς ἑκάστους διέφθειρε.

Καὶ Μάλχος.

[a] Ὁ δὲ Κῦρος ὑπολαβὼν τοὺς φεύγοντας, συλλέξας στράτευμα, ἐπολιόρκει τὴν Μίλητον.

Ἀντὶ τοῦ, ὑπονοήσας.

Ὑπολαμβάνοντας: Ἀνέχοντας, ἀναβαστάζοντας.

[b] Εἴ τῃ ἐς βαθύτερόν τι τοῦ ποταμοῦ ἐμπίπτοιεν, ἀνακουφίζειν ὑπολαμβάνοντας.

[Ὑπολαμβάνω: Αἰτιατικῇ. Δοξάζω, ἡγοῦμαι, οἶμαι.]

C Ὑπόληψις: Νόησις, [c] ἀντίπραξις.

Τῶν δὲ ἀρχόντων κατεγίνωσκε ῥᾳθυμίαν, ὡς οὐ πρεπούσαν τῆς αὐτοῦ ὑπολήψεως.

Ἀριστοτέλης λέγει ἐν τοῖς [d] Τόποις·

Εἰ [e] ἡ ὑπόληψίς ἐστι ψευδὴς καὶ ἀληθὴς, εἴη ἂν καὶ δόξα. Εἶδος γὰρ ὑπολήψεως ἡ δόξα.

Ὑπολισθαίνω: Αἰτιατικῇ.

D Ὑπολίσποις: Ἐστενωμένοις.

[f] Ὑπολίσποις πυγιδίοισι.

Τοιαῦται δὲ αἱ πυγαὶ τῶν ναυτῶν, διὰ τὴν συνεχῆ ἕδραν καὶ εἰρεσίαν.

Ὑπόλογον: Λυσίας φησίν·

Οὐχ ὑπόλογον ὄντα.

Ἀντὶ τοῦ, οὐκ ἐν λόγῳ. Καὶ [g] Δείναρχος·

Οὐδεὶς ὑπόλογος βουλῇ γέγονεν.

E Ἀντὶ τοῦ, οὐδεμία συγγνώμη, οὐδεμία παραίτησις.

Ὑπὸ μάλης: Ὑπὸ μασχάλης. Κεῖται δὲ τὸ ὄνομα παρὰ τοῖς ῥήτορσιν· ἀεὶ δ' οὕτως αὐτὸ παραλαμ-



A βάνουσι μετὰ τῆς προθέσεως· [h] ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον·

Ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδὲ ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ μέσῃ πολλῶν παρόντων.

Καὶ Λυσίας ἐν τῷ πρὸς Κλεινίαν·

Ἐπειδὴ πάντες κατέδαρθον, [i] ἐσκευασμένος τῶν χαλκωμάτων, ὅσα οἷός τ' ἦν πλεῖστα, ὑπὸ μάλης λαβὼν ἐξήγαγε, ξίφος ἔχων.

Καὶ τὸ μὲν ἑνικὸν οὕτω μετὰ τῆς [k] προθέσεως. Τὸ

B δὲ πληθυντικὸν, μασχάλας, καὶ ἄλλοι πλεῖστοι, καὶ Λυσίας ἐν Ἐπιστολῇ·

Καὶ τὴν μὲν κόμην ψιλὴν, τὰς δὲ μασχάλας δασείας.

Ὑπομεμαγμένη: [l] Ἀναπεφυρμένη.

Ἡ τοῦ τόπου θέσις ὑπομεμαγμένη ταῖς πέτραις, ἀόρατον αὐτοῖς ἐποίει τὴν ὑπερκειμένην κορυφήν.

Ὑπομένω: Αἰτιατικῇ.

Ὑπομεῖναι: Ἀντὶ τοῦ, καταλειφθῆναι.

C Ὑπομιμνήσκω: Αἰτιατικῇ.

Ὑπομνηματίζω:

Ὑπομνήσω: Αἰτιατικῇ.

Ὑπομονή:

Ὁ γὰρ τὰ μείζω ἐπαγγελλόμενος ὑπομένειν, εὐχερῶς ἂν καὶ τὰ ἥττονα ὑπενέγκοι.

Ὑπονομεύοντες: Ἀντὶ τοῦ, [m] ὑπονόμους ὀρύττοντες. Δείναρχος ἐν τῷ κατὰ Καλλίστου.

D Ὑπονομηδόν: [n] Θουκυδίδης·

Τοὺς ὀχετοὺς, οἳ ἐς τὴν πόλιν ὑπονομηδὸν ποτοῦ ὕδατος ἠγμένοι ἦσαν, κατέστρεψαν.

Ὑπόνομος: Ὀχετὸς, διώρυξ.

Ὑπονοστῆσαι: Ἐπανελθεῖν, ὑποκαταβῆναι.

Ὑπόνοια: Φιλόλαός φησι·

[o] Τὴν ὑπόνοιαν [p] πᾶσι μάλιστα λέγω θεραπεύειν·
εἰ γὰρ καὶ μὴ δρᾷς, ἀλλὰ δοκεῖς ἀτυχεῖν.
E Οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
ὥς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

Ὑπὸ παντὶ λίθῳ σκορπίος: Ἐλλείπει, ὕπεστι.

ΥΠΟΚΥΣΑΜΕΝΗ] Homerus Il. ζ. 26. sed ubi metri gratia legitur, ὑποκυσσαμένη per duplex σσ. KUST.

[a] Ὁ δὲ Κῦρος] Hæc non Malchi esse sed Xenophontis Anab. I. 1, 7. monuit Abreschius Diluc. Thucyd. p. 594. Vide supra p. 230 A. Ante Μίλητον E. om. τήν.

[b] Εἴ τῃ] εἴ που V. qui mox ὑπολαμβάνοντες.

ΥΠΟΛΑΜΒΑΝΩ] Om. V. Ὑπολ. αἰτ. habet A. in marg. Cetera desunt A.B.

[c] ἀντίπραξις] Est interpretatio suspecta. KUST. Modo ὑπολαβὼν exposuit ἀντειπὼν, ἀντικρούσας. HEMST.

[d] Τόποις]

[e] ἡ ὑπόληψις] ἡ om. A.V. Mox μέρος E. pro εἶδος.

[f] Ὑπολίσποις πυγιδ.] Aristoph. Equit. 1365. Πολλοῖς γ' ὑπολίσποις πυγιδίοισιν ἐχαρίσω. Vide ibi Scholiastam, qui vocem ὑπολίσποις fusius exponit. Confer etiam Nostrum supra v. Λίσποι, et Meursium in Theseo, c. 27. KUST.

ΥΠΟΛΟΓΟΝ: Λυσίας φησ.] Ex Harpocrat. KUST.

ib. Ab h. v. usque ad Ὑποστάν omnia desunt A. qui pauca tamen exhibet in marg. admodum decurtata.

[g] Δείναρχος] Dinarch. c. Demosth. p. 94. οὐκ ἐποιήσασθε ὑπόλογον. Polyb. p. 396. TOUP.

F ΥΠΟ ΜΑΛΗΣ] Helladius apud Photium, p. 1580. Ὅτι ὑπὸ μάλης λέγουσι, συντιθέντες. αὐτὴν δὲ καθ' ἑαυτὴν μάλην οὐ λέγουσι. KUST. Schol. ad Platonis Gorg. p. 469. in ms. Bodleiano: Ὑπὸ μάλης πάντες οἱ παλαιοὶ προφέρονται ἑνικῶς, τάττονται δὲ αὐτὸ ἐπὶ τοῦ κρυφίως τι πράττειν, καὶ ἀεὶ μετὰ τῆς προθέσεως, ὡς Δημοσθένης ἐν τῷ πρὸς Ἄφοβον. Ἀλλὰ μὴν οὐχ εἷς οὐδὲ δύο ταῦτ' ἴσασιν, οὐδ' ὑπὸ μάλης ἡ πρόκλησις γέγονεν, ἀλλ' ἐν τῇ ἀγορᾷ. Πληθυντικῶς δὲ οὐ μάλας λέγουσιν ἀλλὰ μασχάλας, καὶ ἄνευ τῆς προθέσεως. Λυσίας ἐν τῇ πρὸς Μετάνειραν ἐπιστολῇ· Καὶ τὴν μὲν κόμην ψιλὴν ἔχεις, τὰς δὲ μασχάλας δασείας. Τὸ μέντοι ὑπὸ κόλπους ταὐτὸν καὶ αὐτὸ κατὰ τὸ σημαινόμενον ὑπάρχον ἀμφοτέρως ἐχρήσαντο, ἑνικῶς φημὶ καὶ πληθυντικῶς, καὶ ἀεὶ μετὰ τῆς προθέσεως οἷον ὑπὸ κόλπον καὶ ὑπὸ κόλπους.

ib. Plutarch. de Adul. p. 64. ταῖς ὑπὸ μάλης πράξεσιν, *fœdis et clandestinis*. TOUP.

[h] ὡς] ὁ V. Demosthenis locus est p. 848, 12.

[i] ἐσκευασμένος] συνεσκευασμένος Hemsterhusius. ἐσκευασμένος V. συνεσκευασμένος vel ἐσκευασμένος conjecerat Portus.

G [k] προθέσεως] θέσεως V.

[l] Ἀναπεφυρμένη] ἀναπεφυραμένη V.

ΥΠΟΜΕΙΝΑΙ om. V. et mox Ὑπομονή.

ΥΠΟΝΟΜΕΥΟΝΤΕΣ] Vid. Ὑπονόμευσιν. HEMST.

[m] ὑπονόμους] ὑπονόμους vel ὑπὸ νόμους V. Harpocr. Photius. ὑπὸ νόμον E.M.

[n] Θουκυδίδης] Lib. VI. c. 100. ubi legitur, ποτοῦ ὕδατος; et διέφθειραν, pro κατέστρεψαν. KUST. ποτοῦ pro τοῦ V. Portus.

H [o] Τὴν ὑπόνοιαν π.] Anthol. Pal. VII. 126.

[p] πᾶσι μάλιστα] μάλιστα πᾶσι V.E. Tum προλέγω B. V.E.

ΥΠΟ ΠΑΝΤΙ ΛΙΘΩΙ ΣΚ.] Vide Nostrum supra v. Ἀλλ' ὅπαν, et Andr. Schott. ad Zenob. Cent. VI. 20. KUST. Vid. Schol. Aristoph. Thesm. 528. ed. Bekker.

Λέγεται ἐπὶ τῶν κακοήθων, καὶ ἐπὶ ἐριστικῶν. [[q] Παραινεῖ μὴ προπετῶς λαλεῖν, τοῦ μὴ δηχθῆναι. Σοφοκλῆς Αἰχμαλώτοις·

Ἐν παντὶ γάρ τοι σκορπίος φρουρεῖ λίθῳ.]

Ὑποπάρκον :

Ὑποπέμψαιεν : Μετὰ δόλου ἐκπέμψαιεν. [r] Ξενοφῶν·

Ἐγνώσθη ὅτι οἱ βάρβαροι τὸν ἄνθρωπον ὑποπέμψαιεν, ὀκνοῦντες, μὴ οἱ Ἕλληνες διαβάντες τὴν γέφυραν, μείνειαν.

Ὑποπεπτηῶτα : Ὑποπτάντα.

Ὑποπεπτηχότες : Ὑποκρυπτόμενοι.

[s] Μέχρι μέν τινος ὑποπεπτηχότες τοῖς θωρακίοις ἠρέμουν.

Ὑπὸ πῆχυν [t] κρατεῖς :

[u] Ἡ Νέμεσις σαφῶς ἐστι, περὶ ἧς πρὸς λύραν ᾄδομεν,

Λήθουσα δὲ πὰρ πόδα βαίνεις,
γαυρούμενον αὐχένα κλίνεις,
[x] ὑπὸ πῆχυν [y] ἀεὶ βιοτὰν κρατεῖς.

Ὑποπιέζω : Ἐκθλίβω. Ὑπωπιάζω δέ.

Ὑποπίμπλαται : Καὶ ὑποπιμπλάμενος.

Ὑποπίνειν : Ἀντὶ τοῦ μεθύσκεσθαι. Οὕτω Νικοφῶν.

Ὑποπίπτειν : Δοτικῇ.

Ὑπόπλεως : Μεστός.

Ὑποπόδιον τοῦ Θεοῦ πάλαι μὲν ὁ θεῖος [z] νενόμιστο νεώς· νῦν δὲ αἱ κατὰ πᾶσαν γῆν καὶ θάλατταν ἐκκλησίαι, ἐν αἷς τῷ Θεῷ τὴν προσκύνησιν ἀπονέμουσι. [[a] Ζήτει ἐν τῷ Ὑποδήματα.]

Ὑπόπτερος : Ταχεῖα.

Ὑποπτηῶτα : Ὑποπτάντα.

Ὕποπτος : Καὶ ὑπόπτης.

[aa] Ὁ ἐπικλάστῳ μυρίᾳ διέδρα [b] τοῦ τυράννου τὸν φονικό τε καὶ ὑπόπτην ἐκεῖνον τρόπον.

Καὶ αὖθις·

Διὸ καὶ ὡς ἐπὶ χρήμασι τοῦτο ποιῶν, ὕποπτος ἐγένετο.

Καὶ αὖθις·

Τοῖς μὲν ἡ πόλις ἐδόκει φιλία, Ῥωμαίοις ὕποπτος.

Ἀντὶ τοῦ, ἐχθρά.

Ὑποποιεῖσθαι : Ὑποτάσσειν.

Ὑποπυθμίδιον : Τὴν εἰς τὸν πυθμένα καταλειφθεῖσαν.

[c] Κείνου σταφυλῆς [ἔχ'] ἀπόσταδα πεντάρραγον,
[Ποτνία, καὶ σπονδὴν τήνδ' ὑπεπυθμίδιον.]

Ὑπόρειος : [d] Ἡ ἐξοχὴ τοῦ ὄρους. Καὶ ὑπόρειον, τὸ ὑπὸ τοῦ ὄρους. Ὑπώριον δὲ, τὸ μικρὸν ἀκρωτήριον. Ὑπώρεια δὲ, καὶ ἀκρώρεια, διὰ τοῦ ω μεγάλου.

Ὑπόρρηνον : Ὕπαρνον.

Ὑπόρειον : Τὸ ὑποκάτω τοῦ ὄρους.

Ὑποσκάλευε : [e] Ἀναφύσα, ζωπύρει. [f] Ἀριστοφάνης·

Τὸ πῦρ ὑποσκάλευε.

Ὑποσκέλισον : Τῆς ὁρμῆς κώλυσον. [g] Δαβίδ·

Ἀνάστηθι, Κύριε, πρόφθασον αὐτοὺς, καὶ ὑποσκέλισον αὐτούς.

Ὑπὸ σκότῳ :

Ὑπὸ σκότῳ δὲ γεγονώς.

[h] Σκότιος, ὅπερ ἐστὶ λαθραῖος. Παρθένιος δὲ, ὁ ἀπὸ παρθένου δοκούσης γεγονώς.

Ὑποσμύχουσα : [i] Ἐνδιερεθίζουσα, ὑποκαίουσα, θλίβουσα, καταπονοῦσα.

Ὑποσπανίζων : Ἐνδεῶς ἔχων.

[k] Χρημάτων τε ὑποσπανίζων, τοὺς ὑπηκόους ἐληΐζετο.

Ὑποσπαιρούσης :

[l] Καὶ τοὺς ὀφθαλμοὺς αὐτῆς μικρὸν ὑποσπαιρούσης ἔτι ἐκκόπτουσιν.

[q] παραινεῖ] Hinc usque ad fin. om. V. cum Photio. Σοφοκλῆς—λίθῳ om. E.

ΥΠΟΠΑΡΚΟΝ] Subparcum. Videtur vocabulum esse semilatinum. PORTUS.

[r] Ξενοφῶν] Anab. II. 4, 22. Mox οἱ διελθόντες Xenoph. pro διαβάντες. Ante Ἕλληνες οἱ om. V.

[s] Μέχρι μέν τινος ὑποπεπτηχότες τοῖς ῥακίοις ἠρέμουν] Interpres ita vertit: *Aliquandiu quidem sub laceris pannis præ metu latentes quieverunt.* Fecit quod potuit vir optimus. Sed locus corruptus est, atque ita scribendus: ὑποπεπτηχότες τοῖς ΘΩΡΑΚΙΟΙΣ ἠρέμουν. Quomodo recte legitur apud Josephum Bell. Jud. lib. V. (7, 4.) p. 342. unde hoc fragmentum deprompsit Suidas. Confer etiam Nostrum v. Θωράκιον. TOUP. θρακίοις B.V.E. M.

[t] ΚΡΑΤΕΙΝ] κρατεῖς B.V.E.

[u] Ἡ Νέμεσις σαφῶς ἐστι, περὶ ἧς κρ.] Hæc sumpta sunt ex Synesii Epist. XCIV. eademque leguntur supra v. Νέμεσις. KUST.

[x] ὑπὸ πῆχυν ἀεὶ βιοτὰν κρ.] Nimirum, Dea Nemesis apud veteres pingebatur et fingebatur ulnam manu tenens: quo significabatur, Deam illam esse vindicem illorum, qui in dictis et factis suis modum non servarent. Ulna enim mensuræ signum est. Huc spectat Epigramma illud, quod exstat Anthol. lib. IV. c. 12. p. 474. Ἡ Νέμεσις πῆχυν κατέχω. Τίνος εἵνεκα; λέξεις. Πᾶσι παραγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον. Hæc breviter dicenda fuerunt, ut locus hic Suidæ intelligeretur. Confer Reines. Var. Lect. lib. III. p. 573, 574. KUST.

[y] ἀεὶ] δ' ἀεὶ V.E.

ΥΠΟΠΙΝΕΙΝ] Alexis Athen. I. ἐχθὲς ὑπέπινες. Cf. Pollux VI. 19. REINES. Conf. Aristoph. Pac. 874. Lys. 396.

ΥΠΟΠΟΔΙΟΝ ΤΟΥ ΘΕΟΥ Π.] Hæc sunt verba Theodoreti ad Psalm. XCVIII. 5. p. 792. eademque leguntur infra v. Ὑψοῦτε. KUST.

[z] νενόμιστο] ἐνενόμιστο V.

[a] Ζήτει etc. om. V.

[aa] Ὁ δὲ ἐπικλάστῳ] De Bruto dictum videtur. HEMST. Æliano tribuit Valckenærius.

[b] τοῦ τυράννου] τοῦ om. V.

ΥΠΟΠΟΙΕΙΣΘΑΙ] Philostorg. p. 503. et v. Τιμαχίδας. Heliodor. 228. Plutarch. Pericl. 346. TOUP.

[c] Οὐκ εἰσίνου] κείνου E. cum Anthol. Pal. VI. 300.

[d] Ἡ ἐξοχὴ τοῦ ὄρους] Pessime. Aliud enim significare vocem ὑπόρειος, vel pueris notum est. Quare, ne tantæ inscitiæ ipsum Suidam reum peragam, existimo verba hæc loco mota esse, et rejici debere ad finem articuli hujus, post vocem ἀκρώρεια. KUST.

ΥΠΟΡΡΗΝΟΝ] Il. ι'. 216.

[e] ἀναφύσα] ἀναφῦσσα E. Supra ΥΠΟΡΣΕΙΟΝ M.

[f] Ἀριστοφάνης] Acharn. 1013.

ΥΠΟΣΚΕΛΙΣΟΝ] Demosth. c. Conon. p. 728. Plutarch. de Adul. p. 65. Hinc ὑποσκέλισμα Solom. Prov. XXIV. 17. TOUP.

[g] Δαβίδ] Psalm. XVI. 14. KUST. Ubi Theodoretus ita explicat; ἐκείνων μὲν κώλυσον τὴν ὁρμὴν, οἷς οἶδας κωλύμασι· τοῦτο γὰρ ὑποσκέλισον εἶπεν, ἐκ μεταφορᾶς τῶν λαθραίως τοὺς θέοντας καταβαλλόντων. ERNEST.

[h] ΣΚΟΤΙΟΣ] Vid. Schol. Il. δ'. 499. ζ'. 24. π'. 180.

ΥΠΟΣΜΥΧΟΥΣΑ] Vid. Σμύξαι. TOUP.

[i] ἐνδιερεθίζουσα] ἔνδον ἐρεθίζουσα ex Hesychio Hemsterhus. ad Lucian. D. M. VI. 3. p. 352.

[k] Χρημάτων τε ὑποσπ.] Hæc sunt verba Procopii Histor. Arc. c. 19. KUST.

[l] Καὶ τοὺς] Æliani, judice Valckenærio. Deest gl. V.

Καὶ δὴ ἔσθ' ἱκέστευον·
αὐτόξυλόν γ' ἔκπωμα.

Ὑποστέλλεται: Ἀναδύεται, ὑποκρίνεται, φεύγει, δολιεύεται.

Ὑποστειλάμενος: [a]Ὑποκρυψάμενος, φοβηθείς.

Ὑπόστημα: Πλῆθος.

Τῷ δὲ ὑποστήματι τῶν ἀνδρῶν ἀντεῖχον ἐρρωμένως οἱ Ῥωμαῖοι.

Ὑποστησάμενος: Ἀντὶ τοῦ ἐναρξάμενος.

B [b]Ἐκ πρώτης γὰρ δὴ τῆς ἡλικίας εὐσταθῆ τε καὶ ἡσύχιον βίον ὑποστησάμενος, εἴτε κατὰ δέος εἴτε καθ' ἡδονὴν τραπεὶς τὸ πρόσωπον ὤφθη πώποτε.

Ὑποστήσας: Ἀντὶ τοῦ [c]ὑποβαλόμενος. Ὑπερίδης.

Ὑποστήτω: Ἀντὶ τοῦ ὑποχωρησάτω.

Ὑποστολῆς: Φυγῆς.

Ὑποσυγχύτως: Συγκεχυμένως.

C Ὑποσφρησάμενος: Ὀσφρανθείς.

Ὑποσχέσθαι: Ἐκτεῖναι.

Ὑποσχεῖν: [d]Ὑπολαβεῖν, [f]ἀπαιτηθῆναι, ὑποθεῖναι.

Τῷ δήμῳ λόγον ὑποσχεῖν ὑπὲρ τῶν ἄχρι τοῦδε πεπραγμένων.

Καὶ αὖθις·

Ὑποσχόντα λόγον τῆς ἀρχῆς, καὶ τὰς εὐεργεσίας [g]ὑποδειξάμενον.

Ὑπόσχωμεν: [h]Ὑποβάλωμεν.

D Ὑποτάσσομαι: Δοτικῇ.

Ὑποτελὶς καὶ τέλος κατὰ φιλοσόφους διαφέρει. Τῆς μὲν γὰρ καὶ τοὺς μὴ σοφοὺς στοχάζεσθαι· τοῦ δὲ, μόνον τὸν σοφόν. Τὰ δὲ μεταξὺ ἀρετῆς καὶ κακίας, ἀδιάφορα εἶναι.

Ὑποτελῶ: Δοτικῇ.

Ὑποτεμέσθαι: Ἀφελέσθαι. [i]Ξενοφῶν·

E Ἢν ἐπ' ἐκείνους ἡμεῖς ἐλαύνωμεν, ὑποτεμοῦνται ἡμᾶς πάλιν ἐκεῖνοι· ἡμῖν δὲ οὔπω ἡ ἰσχὺς [k]πάρεστιν.

Ὑποτεμνόμενον: Ἐκκόπτοντα.

Ὑποτεμνόμενος τὸν πλοῦν: Ἀντὶ τοῦ, διὰ τῶν συντομωτάτων πλέων, ἵνα καταλάβῃ τὸν διωκόμενον. [l]Ξενοφῶν φησιν.

Ὑποτεμόμενος: Προλαβών.

[m]Ὁ δὲ ὑποτεμόμενος ἐν ξυναγκείᾳ τινὶ, βάλλει κατὰ νώτου αὐτόν.

F Ὑποτεμοῦμαι καὶ περικόψω τῆς ἀλαζονείας: [n]Ἀριστοφάνης. Οἱ βυρσοδέψαι γὰρ ὑποτέμνουσι τὰ δέρματα, διὰ τὸ φαίνεσθαι παχέα.

Ὑποτετμημένον: Ἀφῃρημένον.

Ὑποτετμημένων αὐτῷ τῶν ἐλπίδων, κατάφοβος ἦν.

Ὑποτείνει:

[o]Τὸ γὰρ ἐσλεύσσειν οἰκεῖα πάθη,
μηδενὸς ἄλλου παραπράξαντος,
μεγάλας ὀδύνας ὑποτείνει.

G Οἷον, μηδενὸς ἄλλου συμπράξαντος καὶ μετασχόντος. Ἡ γὰρ κοινωνία τῶν ἁμαρτημάτων φέρει (τινα) [p]παραμυθίαν. [Καὶ, ὑποτείνει, ἐξαπλοῖ, καὶ ὑποδεικνύει.

Ἐλπίδα πικρὰν ὑποτείνει τοῦ μέλλοντος.

[q]Φιλόστρατος φησίν.]

Ὑποτείνων: Ὑπισχνούμενος.

[r]Οὐ θωπεύων, οὐδ' ὑποτείνων μισθοὺς, οὐδ' ἐξαπατύλλων.

H Ὑποτίτθια: Ὑπομάζια παιδία. Καὶ ὑποτίτθιον, ὁμοίως, τὸ ὑπομάζιον.

Ὑποτοπήσας: Αἰτιατικῇ. Ὑπονοήσας.

[Ὑποτρέχω: Κολακικῶς μετέρχομαι. Αἰτιατικῇ.]

Ὑπότριμμα: Ἔκ τε φοινίκων, καὶ μέλιτος, καὶ ἄλλων τινῶν ἀρτυμάτων. [s]Ἀριστοφάνης·

Βλέπων ὑπότριμμα,

(ἀντὶ τοῦ, δριμὺ)



ΥΠΟΣΤΕΛΛΕΤΑΙ] Vid. Hesych. et Ebr. X. 36. et Grot. ad Habac. II. 4. REINES.

ΥΠΟΣΤΕΙΛΑΜΕΝΟΣ] Dinarch. c. Demosth. p. 93. sub finem. ita contra Philocl. Procopius Pers. p. 70. et p. 254. Dio Chrys. p. 158. TOUP.

[a] Ὑποκρυψάμενος] ἀποκρυψάμενος Photius.

[b] Ἐκ πρώτης γὰρ δὴ τῆς ἡλ.] Hæc sunt verba Joannis Antiocheni de Marco Antonino imperatore, quæ leguntur in Excerptis Historicis a Valesio editis, p. 821. ubi locum integrum vide. Confer etiam Nostrum supra, v. Μάρκος βασιλεύς. KUST.

ΥΠΟΣΤΗΣΑΣ: Ἀντὶ τοῦ ὑπ.] Ex Harpocrat. KUST.

[c] ὑποβαλόμενος] ὑποβαλλόμενος Photius.

ΥΠΟΣΤΗΤΩ] Vid. Hemsterhus. ad Lucian. Tim. c. 40.

ΥΠΟΣΤΟΛΗΣ] Ad Ep. Hebr. X. 39. pertinere suspicatur Ernesti. Sic etiam Reinesius.

ΥΠΟΣΦΡΗΣΑΜΕΝΟΣ] Deest gl. V. ὀσφρανθεὶς om. B.

ΥΠΟΣΧΕΣΘΑΙ] Onosander p. 26. Dio Chrys. p. 258. TOUP.

[d] Ὑπολαβεῖν] Sic etiam Hesychius. At utrobique scribendum est, ὑποβαλεῖν. Vide vocem sequentem Ὑπόσχωμεν. KUST.

[f] ἀπαιτηθῆναι] Quomodo interpretatio hæc voci ὑποσχεῖν conveniat, non video. KUST. Sed ea non longe petenda est, si advertas ad phrasin λόγον ὑποσχεῖν, cujus duo exempla hic subjunxit Suidas, ut, τῷ δήμῳ λόγον ὑποσχεῖν, et ὑποσχόντα λόγον τῆς ἀρχῆς. Ὑπέχειν autem λόγον dicitur, qui rationes reddere tenetur, a quo rationes exiguntur. Viden', non male huic voci convenire τὸ ἀπαιτηθῆναι? hoc enim dicitur de eo a quo quid exigitur. BOS.

[g] ὑποδειξάμενον] ἀποδειξάμενον B.E. ἀναδειξάμενον V.

[h] Ὑποβάλωμεν] ὑποβάλλωμεν V. Photius. Ὑπόσχωμεν: ὑποβάλλωμεν E.

ΥΠΟΤΑΣΣΟΜΑΙ om. V.

ΥΠΟΤΕΛΙΣ καὶ ΤΕΛ.] Hæc sumpta sunt ex Laërtio in vita Herilli: [VII. 165.] ut Pearsonius etiam observaverat. Ceterum, ad supplendum loci hujus sensum post καὶ τέλος addenda est vox διαφέρει, quæ apud Laërtium reperitur: hic vero negligentia librariorum excidisse videtur. KUST. Addidi διαφέρει post φιλοσόφους ex V.

ΥΠΟΤΕΜΕΣΘΑΙ] Ὑποτελέσθαι E.

[i] Ξενοφῶν] Cyrop. I. 4, 19.

[k] πάρεστι] πάρι V.

[l] Ξενοφῶν φησιν] Hellenic. lib. I. p. 444. KUST. I. 6, 15.

ΥΠΟΤΕΜΟΜΕΝΟΣ] Ὑποτεμνόμενος hic et infra V. Sed cum vulg. supra in Ξυναγκεία.

[m] Ὁ δὲ ὑποτεμόμενος ἐν ξυναγκ.] Est fragmentum Arriani, ut discimus ex ipso Suida supra, v. Ξυνάγκεια. KUST.

[n] Ἀριστοφάνης] Equit. 291. ubi sic legitur: Περιελῶ σ' ἀλαζονείας, Ὑποτεμοῦμαι τὰς ὁδούς σου. Vide ibi Scholiastam. KUST.

ΥΠΟΤΕΤΜΗΜΕΝΟΝ] Polyb. 620. TOUP.

[o] Τὸ γὰρ ἐσλ.] Sophocl. Aj. 262.

[p] παραμυθίαν] τὴν παραμ. V. τινα v. Schol.

[q] Φιλόστρατος φησίν] Fallitur Suidas. Hæc enim sunt verba Synesii, Epist. CV. TOUP. Desunt hæc B.V.

ΥΠΟΤΕΙΝΩΝ] Confer v. Ὑπέτεινε. KUST.

[r] Οὐ θωπεύων] Aristoph. Ach. 657.

ΥΠΟΤΙΤΘΙΑ] Ex Hos. XIV. 1. citant Albert. ad Hesych. et Schleusner. Lex. V. T.

ΥΠΟΤΡΕΧΩ] Plato Republ. p. 267. TOUP. Deest gl. V. κολακικῶς μετέρχομαι om. B.

[s] Ἀριστοφάνης] Eccles. 291.

στέργων σκορδάλμη.

Τουτέστιν, ἡδόμενος δριμέσιν.

Ὑπότροπος: Ἐξ ὑποστροφῆς.

Ὑποτροχίζεσθαι: Οὐχ ὡς ἡμεῖς, ὑποπεσεῖν τροχῷ καὶ τρωθῆναι, τροχίζεσθαι καλοῦμεν, οὕτω καὶ οἱ ῥήτορες αὐτῷ ἐχρήσαντο· ἀλλὰ τὸ στρεβλοῦσθαι ἐπὶ τοῦ τροχοῦ τοὺς ἐξεταζομένους, ἵνα κατείπωσιν ἃ συνίσασιν ἄλλοις, ἢ περὶ ὧν αὐτοὶ [t]συνίσασιν ἠδικηκότες, τροχίζεσθαι λέγουσιν.

B Ὑποτυπώσεων: Χαρακτήρων, [u]λόγων.

Ὑποτυφούσης: Ὑποκνιζούσης, ὑποκαιούσης.

Ἀλλὰ κατὰ βραχὺ τῆς διηγήσεως ὑποτυφούσης τοὺς ἀκούοντας.

Καὶ [x]ὑποτυφομένη.

[y]Ἐντεῦθεν ἤρξατο ἡ δυσμένεια Ῥωμαίων τε καὶ Ἀβάρων, ἤδη ἐκ πολλοῦ ὑποτυφομένη.

Ὑπό οἱ: Ὑφ' ἑαυτῷ. [z]Ἀρριανός·

C Τὸ ■ ἔβδομον τέλος ὑπό οἱ ἔχων, καὶ ἄλλους πολλούς.

Ὑπουδαῖοι: Καταχθόνιοι.

Ὕπουλα γόνατα, καὶ ὕπουλον πόδα, καὶ ὕπουλον χεῖρα, καὶ σῶμα, τὸ φλεγμαῖνον διά τινας πληγὰς καὶ ἐγγὺς τοῦ ἀφίστασθαι ὄν. Κρατῖνος.

Ὕπουλα ἕλκη: Τὰ κρυπτά.

Ὕπουλος: Δόλιος, φαινόμενος δῆθεν εἰρηνικός· ὡς [a]ἐπὶ τῶν ἑλκῶν τῶν ἐχόντων οὐλὰς ὑγιεῖς ἐπιπολαίως,

D ἔνδοθεν δὲ σηπεδόνας πυώδεις. Ἐξ οὗ ἐπὶ τῶν προσποιουμένων μὲν εἶναι χρηστῶν ἀνθρώπων, ὄντων δὲ μοχθηρῶν, ἐλέχθη οὗτος ὁ λόγος.

Ὑπούλως:

Ὁ ■ πρός τινας τῶν γνωρίμων ὑπούλως τε καὶ [b]οὐχ ὑγιῶς ἔσχεν.

Ὑπουργῷ: Δοτικῇ.

E

A Ὑπ' οὔρει: Ὑπὸ τῷ ὄρει.

Ὑποφαίνεται, χαμόθεν· Ἐπιφαίνεται δὲ, ὑψόθεν.

Ὑποφέρονται: Ὑποβάλλονται. Καὶ Ὑποφέρων: Ὑποβάλλων.

Ὑποφῆται: Ἱερεῖς, προφῆται, [c]χρησμολόγοι.

Ὑποφθάς: Φθάσας, προλαβών.

Ὑποφόνια: Τὰ ἐπὶ τῷ φόνῳ διδόμενα χρήματα

B τοῖς οἰκείοις τοῦ ἀναιρεθέντος, [ὑπὸ τοῦ τὴν αἰτίαν ἔχοντος, ὅτι ἀνήρηκεν,] [d]ἵνα μὴ ἐπεξίωσιν, [ἐπὶ τῷ μὴ ἐπεξέρχεσθαι, μηδὲ γενέσθαι τὴν τοῦ φόνου δίκην, ὑποφόνια καλεῖται.] Οὕτω Δείναρχος, καὶ Θεόφραστος.

Ὑπόφορος: Ὑπεύθυνος, [e]ὑπόκηνσος, ὑποτελής.

Ὑποφύσεις: Παραφυάδες φαύλων λογισμῶν ἔξωθεν φυόμεναι.

C Ὑπόχαλκον δέ σου τὸ χρυσίον: Ἀντὶ τοῦ, μίξιμον, παρακεκομμένον τὸ νόμισμα, παραχαράξιμον.

Ὑποχαλῶ: Γενικῇ.

Ὑπὸ χεῖρα:

Ὑποχείριον: Τὸ ὑπὸ τὴν χεῖρα.

[f]Οἱ μὲν πυγμαῖς, οἱ δὲ, ῥοπάλοις, οἱ δὲ ὅ τι ποτὲ παρέπιπτεν αὐτοῖς ὑποχείριον, [g]ἀλοῶντες αὐτόν.

D Ὑποχειρίους: Αἰχμαλώτους, δούλους.

Ὑποχειρίους αὐτῷ ποιῆσαι τοὺς παῖδας τῶν εὐγενεστάτων.

Ὑποχόνδρια: Τὰ ἀκροσπάθια, τὰ ὑπὸ τὴν λαγόνα.

[Ὑποχωρῶ: Δοτικῇ. Ὑποτάσσομαι.]

Ὑποχυτῆρες: [h]Τρύβλια, δι' ὧν τὸ ἔλαιον εἰς λύχνους ἐπιχέουσιν.

Ὑπόχυτος οἶνος: Ὁ γλυκύς.

E

ὙΠΟΤΡΟΠΟΣ] Arati Schol. p. 130. TOUP. Ὑπότροπης (sic) V. Mox ἐξ ἀποστροφῆς V. Photius, Lex. Seg. Delevi in fine ἐπαναληθιδὸς cum B.V.E. Phot. Lex. Seg. Hesych. quæ vox forte accessit ex Schol. Il. ζ'. 367.

ὙΠΟΤΡΟΧΙΖΕΣΘΑΙ] Confer Nostrum supra v. Τροχισθεῖσα. KUST.

[t] συνίσασιν] συνίασιν B.V.E. Mox ἠδίκησαν B. pro συνίσασιν ἠδικηκότες.

ὙΠΟΤΥΠΩΣΕΩΝ] Vid. Fabricius ad Sext. Empir. p. 1.

[u] λόγων] λόγοι Photius, Lex. Seg.

[x] ὙΠΟΤΥΦΟΜΕΝΗ] ὑποτυφομένη V. hic et in exemplo. τε post Ῥωμαίων om. V.

[y] Ἐντεῦθεν ἤρξατο ἡ δυσμ.] Hæc sunt verba Menandri in Excerpt. Legat. p. 101. KUST.

[z] Ἀρριανός] Καὶ Ἀρριανὸς V. Mox πολλοὺς om. B. punctis notat E. utpote delendum.

[a] ἐπὶ] ἐκ V.

[b] οὐχ ὑγιῶς] οὐχ om. V. Hunc locum Æliano tribuit Valckenærius. Seq. gl. om. V.

ὙΠΟΦΗΤΑΙ: Ἱερ.] Confer Scholiastam Homeri ad Il. π'. 235. KUST.

ὙΠΟΦΑΙΝΕΤΑΙ] Deest gl. V.

[c] χρησμολόγοι] Statim delevi ὑπουργοὶ, διάκονοι· ἢ οἱ τὰ μέλλον φανερῶς δεικνύοντες. ὙΠΟΦΗΤΕΙΑ ΠΡΟΦΗΤΕΙΑΣ ΔΙΑΦΕΡΕΙ; Ὅτι ἡ μὲν ΠΡΟΦΗΤΕΙΑ πρὸ τοῦ γενέσθαι λέγει τὰ ὕστερον γενησόμενα. ἡ δὲ ὙΠΟΦΗΤΕΙΑ τὰ γινόμενα ἢ τὰ γενόμενα λέγει. καὶ περὶ τούτου αὐτοῦ τὰ παρεστῶτα, ἢ καὶ τὰ ὅσα οὕτω ἀπελευσόμενα, cum B.V.E. Photio, et Lex. Seg. quæ interpolata videntur ex Zonara.

ὙΠΟΦΘΑΣ] Malchus p. 61. TOUP. Gl. sumpta est ex Hom. Il. ψ'. 144. et Schol.

ὙΠΟΦΟΝΙΑ: Τὰ ἐπὶ τῷ φόνῳ διδ.] Ex Harpocratione. Scholiastes Homeri ad Il. σ'. 497. Ποινῆς οὖν λέγει, τῆς καλουμένης παρὰ τοῖς Ἀττικοῖς ὙΠΟΦΟΝΙΑ· ἃ ἐδίδοσαν τοῖς οἰκείοις τῶν ἀνῃρημένων οἱ ἀνελόντες. Confer etiam Nostrum supra v. Ἄποινα. KUST.

[d] ἵνα μὴ ἐπεξίωσιν, ἐπὶ τῷ μὴ ἐπεξέρχεσθαι] Hæc manifesto interpolata sunt. Idem ἐπεξιέναι et ἐπεξέρχεσθαι. Quare alterum alterius glossema est. Quod miror non animadvertisse Kusterum. Ceterum vox ὑποφόνια occurrit

F apud Aristidem, vol. II. p. 436. Ἡδέως ἂν σου πυθοίμην, εἰ τότε αὐτὴν παραλαβὼν Ἀγαμέμνων ἀπέκτεινεν, ἢ καὶ παρὰ σοὶ μένουσαν, τί χρὴ ποιεῖν αὐτὸν νῦν, ἢ πόσα τὰ ὙΠΟΦΟΝΙΑ καταθέντα, εὐμενοῦς τυχεῖν. *Age vero, dic nobis, quæso, si illam, sive adhuc in contubernio tuo commorantem, sive mox ereptam, occidisset Agamemnon; quanam hodie ratione, quantave mulcta cædem expiare, teque placare posset.* TOUP. Uncis inclusa om. Photius et Harpocrat. ms. Pal. Sed omnia agnoscit Harpocrat. ed.

ὙΠΟΦΟΡΟΣ] Josuæ XVI. 10. καὶ ἐγένοντο ὑπόφοροι δοῦ-

G λοι. Pro ὑπότελος forte scribendum ὑποτελής. ERNEST. Ita Sopingius ad Hesych. Arrian. Peripl. Maris Eryth. p. 10. citat Burneius.

[e] ὑπόκηνσος] ὑπὸ κῆνσον Photius, ὑπόκηνσον Lex. Seg. ms. Uterque mox ὑπὸ τέλος.

ὙΠΟΧΑΛΚΟΝ] Plutarch. de Adul. p. 65. Est autem hoc fragmentum ex LXX opinor. For. ex Isaiah. I. 22. ubi aliter legitur. Vid. v. Καπηλικῶς. TOUP.

[f] Οἱ μὲν πυγμ.] Vide supra v. Ἀλοῶ, v. Μετέωρος, et v.

H Τριακοντούτης, ubi idem fragmentum legitur. KUST.

[g] ἀλοῶντες αὐτὸν] ἀλοῶντες αὐ V. ἀλοῶντες αὐτὰ M.

ὙΠΟΧΩΡΩ] Deest gl. V. ὑποτάσσομαι om. B.

ὙΠΟΧΥΤΗΡΕΣ] Οἱ ὁ Jerem. LII. 16. τοὺς ὑποχυτῆρας καὶ τοὺς λαγγίας. ERNEST.

[h] Τρύβλια] ὡς ἔοικε προσπαρεξυτέρως εἶδος ἀγγείου ἐλαιοδόχου τὸ τρύβλιον E. in marg. τρυβλίδια Lex. Seg.

A [i]Ἦν δὲ [k]Πολέμων ὁ φιλόσοφος οὐ γλυκὺς, οὐδ' ἱπόχυτος, ἀλλὰ Πράμνιος.

Ὑποψαμμότερος:

> [l]Προήρεσε γὰρ τὸν τόπον ὑποψαμμότερόν πως ὄντα, ἵνα ἐν τῇ συνόδῳ σφῶν κονιορτὸς πάμπολυς ἀρθῇ.

Ὑπὸ ψήφου μιᾶς: [m]Ἀπὸ γνώμης, ἀπὸ κρίσεως μιᾶς.

Ὑποψία: Τὸ ὑπὸ τὴν ὄψιν, τὸ [n]ἐνεστηκός. [o]Πισίδης·

B

> Τὴν τῶν φθασάντων ἀσφαλῶς ὑποψίαν.

Ἢ τὸ ἐξ ἀκοῆς καὶ παραδόσεως γραφόμενον. Καὶ [p]ὑπόψια.

Ὑπωμοσία: Τὸ ὑπερτίθεσθαι δίκην, προφάσει χρώμενον [q]ἀποδημίᾳ, ἢ νόσῳ, ἤ τινι [r]τῶν παραπλησίων μεθ' ὅρκου, οὕτως ἐλέγετο. Καὶ τὸ ποιεῖν [s]τοῦτο, ὑπόμνυσθαι.

C Ὑπώπια: Τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς [t]πελιδνώματα· ἢ τὰ ἐξ αὐτῶν ἐξιόντα πῦα.

Ὑπώπια: Οἱ τύλοι, οἱ γινόμενοι ἐν ταῖς χερσὶν ἀπὸ τῆς ἐργασίας. Λέγεται δὲ ὑπώπια, καὶ τὰ ἀφ' οἱασδηποτοῦν πληγῆς τραύματα.

Ὑπώπια: [u]Ἀπὸ μέρους τὴν ὄψιν.

Ὑπωπιάζω: Ὑπωπιάζω, τὸ ὑποτηρῶ. Ἐκ τοῦ ὑπώπια, ὃ σημαίνει τοὺς ὀφθαλμούς. Φησὶν [x]ὁ Ἀπόστολος,

D

> Ἀλλ' ὑπωπιάζω μου τὸ σῶμα, καὶ δουλαγωγῶ.

[y]Τουτέστι, πρὸς ἄσκησιν αὐτὸ μετ' ἐπιστήμης καὶ φρονήσεως γυμνάζω, καὶ πρὸς τὴν τῶν κρειττόνων [z]συνέργειαν, οὐ πρὸς ἀσέλγειαν [a]προνοοῦμαι. Ταύτῃ τοι καὶ παραινεῖ φάσκων,

A

> Ἐνδύσασθε τὸν Κύριον [b]Ἰησοῦν, καὶ τῆς σαρκὸς πρόνοιαν μὴ ποιεῖσθε εἰς [c]ἐπιθυμίας.

Οὐ τὴν σύμμετρον καὶ ἀναγκαίαν ἐπιμέλειαν πρὸς σύστασιν ἀπαγορεύσας, ἀλλὰ τὴν ἀκολασίας μητέρα γαστριμαργίαν· ἐπήγαγε γὰρ, εἰς ἐπιθυμίας· δηλαδὴ, βλαβερὰς καὶ ἀνοήτους. Οὐ γὰρ τοσαύτην αὐτῷ προσφέρειν δεῖ θεραπείαν, ὡς κατασκιρτᾶν τῆς ψυχῆς, ἀλλ' ἵνα συνεργῇ καὶ καθυπουργῇ τοῖς ἀρί-
B στοις ἐκείνης ἐπιτηδεύμασι. Τοῦτο καὶ ὁ Πλάτων φησίν·

> Ἐπιμελεῖσθαι δεῖ σώματος καὶ ψυχῆς, εἵνεκα ἁρμονίας, δι' οὗ βιοῦν τε ἐστὶ, καὶ ὀρθῶς βιοῦν.

Ὑποπιέζω δὲ, διὰ τοῦ ο' μικροῦ, τὸ μετρίως πιέζω.

Ὑπωπιασμέναι: [d]Ἀριστοφάνης·

> Καὶ ταῦτα δαιμονίως ὑπωπιασμέναι
> [ἀπαξάπασαι,] καὶ κυάθοις προσκείμεναι.

C

Ἀντὶ τοῦ, σφόδρα πληγεῖσαι περὶ τὰ ὑπώπια. [e]Ὑπώπια δέ [f]εἰσι, τὰ ὀγκώματα, καὶ κρούματα, ἅπερ [g]κονδύλους φασί. Τοῖς κυάθοις δὲ [h]προσφλῶσι τὰ ὑπώπια. [i]Ἢ ἐν ὀξυβάφοις χαλκοῖς τὰ ὑπώπια ἀνατρίβοντες, ἢ τοιούτοις τισὶν, ἀφανῆ ποιοῦσιν. [k]Ἀπολλοφάνης·

> Κύαθον λάβοιμι τοῖς ὑπωπίοις.

D Ὑπώρεια: Ἡ ὑπὸ τὸ ὄρος πεδιὰς, ἢ οἱ πόδες τοῦ ὄρους, μεταφορικῶς. [l]Ἐς τρία γὰρ [m]διῄρητο τὸ ὄρος· εἰς ἀκρώρειαν, εἰς ὑπώρειαν, καὶ εἰς τέρμα. Καὶ ἀκρώρεια μέν ἐστιν, ἡ κορυφή· Ὑπώρεια δὲ, τὰ πλευρὰ τοῦ ὄρους· Τέρμα δὲ, τὰ τελευταῖα, καὶ οἱ πόδες.

---

E [i]Ἦν δὲ Πολέμων ὁ φιλοσ. οὐ γλυκ.] Hæc apud Laërtium in Polemone, IV. 20. non de Polemone, sed Sophocle Tragico dicuntur: ut Pearsonius ad oram libri sui recte notaverat. Ceterum, de sensu hujus loci consulendi sunt Laërtii interpretes. KUST.

[k] Πολέμων] ὁ Πολέμων V.E. Mox pro γλυκὺς collatio Diog. Laërtii cum cod. ms. penes me præbet γλύξις.

[l] Ὑπανήρεσε] Προήρεσε γὰρ V. ποιήρεσε E. Locum Æliano tribuit Valckenærius.

ΥΠΟ Ψ. Μ.] Aristoph. Lys. 270. HEMST. TOUP.

F [m] Ἀπὸ] ὑπὸ E.

[n] ἐνεστηκὸς] ἀνεστηκὸς E.

[o] Πισίδης] Bell. Abar. 43.

[p] ΥΠΟΨΙΑ] ὑπόψιαι E.

ΥΠΩΜΟΣΙΑ: Τὸ ὑπερτιθ.] Ex Harpocratione. Confer Nos etiam supra ad v. Ἀνθυπωμοσία. KUST.

[q] ἀποδημίας ἢ] ἀποδημία V. ἀποδημία ἢ Photius ex em. ἀποδημίαν pr.

[r] τῶν πλησίων] Scribe τῶν παραπλησίων, ut habet Harpocratio. KUST. et Phot. τῶν παραπλήσιον V.

G [s] τοῦτο] καὶ τοῦτο B.E. Tum ὑπόμνυσθαι B.

[t] πελιδνώματα] πελιώματα Photius, Hesych. Vid. Koen. et Bast. ad Gregor. de Dial. p. 288.

ΥΠΩΠΙΑ: Οἱ τύλ.] Ex Schol. Aristoph. Acharn. 550.

[u] Ἀπὸ μέρους] Schol. Hom. Il. μ'. 463. Ὑπώπια: τὴν πρόσοψιν. Ἀπὸ μέρους τὸ ὅλον.

ΥΠΩΠΙΑΖΩ] Si verba priora recte se habent, Suidas in mente habuit locum scriptoris qui ὑπωπιάζειν dixit pro *oculis aliquid observare*, ὑποτηρεῖν, addit enim, ὑπώπια σημαίνει
H τοὺς ὀφθαλμούς. Certe apud Homer. Il. μ'. 463. ὑπώπια dicuntur de *ore, facie* hominis, non tamen de *oculis* speciatim. Et Eustathius ibi: ὑπώπια λέγει τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς ἁπλῶς μέρη, τὴν πρόσοψιν· οἱ δ' ὕστερον φασὶ τὰς περὶ τοὺς ὀφθαλμοὺς πληγάς. Ergo equidem illa cum Suicero in Thes. non ausim corrupta declarare, quamvis habeo quo locum ex mente quidem Suiceri emendare possim, ut si ita legas: ὑπωπιάζω. τὸ ὑποτιτρῶ. ἀπὸ τοῦ ὑπώπια, ὃ σημαίνει τὰ ὑπὸ τοὺς ὀφθαλμοὺς τραύματα. Plura de h. v. vid. in Bosii Animadv. ad 1 Cor. IX. 27. quo pertinet omnis hic locus, et quæ dicta sunt ad Hesych. gl. sacr. ὑπωπιάζομεν. Unde hauserit Suidas explicationes loci Paulini, incertum est, quamvis similia habent Chrysostomus et Theophylactus. ERNEST.

[x] ὁ Ἀπόστολος] 1 Cor. IX. 27. KUST. φησὶν addit V.

[y] Τουτέστι, πρὸς ἄσκησιν αὐτὸ μ.] Unde hæc Suidas? Certe, non ex Chrysostomo, nec Theodoreto, nec Theophylacto. KUST.

[z] συνέργειαν] συνεργίαν B.V. Seq. locus est Rom. XIII. 14.

[a] ὑπονοοῦμαι]. προνοοῦμαι B.V.E.

[b] Ἰησοῦν] ιῆν V.

[c] ἐπιθυμίας. οὐ τὴν] ἐπιθυμίαν, οὐ τὴν ἀκολασίαν λέγων V. qui om. σύμμετρον—μετρίως πιέζω.

ΥΠΩΠΙΑΣΜΕΝΑΙ] Addidi cum E. Mox ἀπαξάπασαι om. V.E.

[d] Ἀριστοφάνης] Pac. 540.

[e] ΥΠΩΠΙΑ δέ εἰσι τὰ ὀγκ.] Scholiastes Aristophanis sic habet: Ὑπώπια εἰσὶν ἐκκαύματα ὄψεων, καὶ κρούσματα, ἅπερ κορδύλας φασίν. KUST.

[f] εἰσι] ἐστι V.

[g] κονδύλους] κορδύλας Schol. Aristoph. qui et κρούσματα.

[h] προσφλῶσι] προσθλῶσι B.V. τοῖς κυάθοις—ὑπώπια om. Schol. γεμίζουσι κύαθον θερμοῦ καὶ προσαλλῶσι τοῖς οἰδήμασι supra p. 2222 D.

[i] Ἢ ἐν] οἷον E.

[k] Ἀπολλοφάνης] Ἀπολλόδωρος V. Mox κυάθου M.

ΥΠΩΡΕΙΑ: Ἡ ὑπὸ τὸ ὄρος πεδ.] Vide supra v. Ἀκρώρεια, ubi eadem leguntur. KUST.

[l] Ἐς τρία—usque ad finem articuli om. V.

[m] διῄρητο] διῄρηται A.

Ὑπωρόφιοι: Οἱ ὑπὸ τὴν αὐτὴν οἰκίαν περιειλημμένοι, συγγενεῖς. A

Ὑπώροφον: [n] Ὑπόστεγον.

Ὕπτια: [o] Ὑψηλά.

Ὑπτιάζει: [p] Ὑποστρέφει.

Ὕπτιος: Ὁ ἐπὶ [q] νώτου κείμενος. Καὶ ὕπτια πεδία, τὰ ὁμαλά.

Προθυμίᾳ τῇ πάσῃ ἀναπετάσαντες τὰς πύλας, ἐδέξαντο [r] ὑπτίαις χερσὶ τοὺς πολεμίους. B

Ἀντὶ τοῦ, ἡπλωμέναις. [s] Ὕπτιος λέγεται καὶ ὁ ἄπρακτος. Καὶ ἐν Ἐπιγράμμασιν·

[t] Ὦι πολλὸ [u] ὕπτιον ὕπτιον ἐγύμνασε.

Περὶ μύωπος ὁ λόγος.

Ὑποικουροῦν ἀληθῶς τι μῖσος: [x] Ὑποικουροῦν, ἀντὶ τοῦ [y] τρεφόμενον, καὶ ἐνδομυχοῦν.

[z] Ὅμως, εἰ καὶ μηδὲν ὑποικουροῦν ἦν, καὶ ὑπελάνθανον, ἐξ ὧν προεῖπεν ὁ Τύλλος, ἡσυχῇ πως ὑπεταράσσοντο. C

Ὑποίσω: Ὑπενέγκω. Καὶ Ὑποίσων: Ὑπομενῶν.

Ὑποιστόν: Φορητόν.

Ὕρρα παῖς: Ὁ Πιττακός. Καὶ Ὑρράδιος, [a] ὄνομα. Καὶ Ὑρραδιανὸς, ὄνομα κύριον.

Ὑρράξ: Ἐπίρρημα, ἀντὶ τοῦ μίγδην, καὶ ἀναμίξ.

Ὑρρίς: Ἡ σπυρίς. Καὶ [b] ὑρρισσὸς, ἀγγεῖον πλεκτὸν, ᾧ τὰ σῦκα ἐμβάλλεται. D

Ὑρκάνιος: Ὄνομα.

Ὑρκανός: Ὄνομα κύριον.

[c] Τοῦτον ἠρώτησεν [d] Ἀρίων, πῶς ὁ πατὴρ αὐτοῦ συναγάγοι τὴν οὐσίαν, [e] ὡς πονῶν, ἔφη, καὶ ταῖς ἐπιθυμίαις ἀντέχων ἐδήλου.

Ὑρίη: Ὄνομα πόλεως.



Ὑρτάκης: Ὄνομα κύριον, καὶ Ὑρτακίδης, Ὄνομα.

Ὕρτιον:

Ὕρχας: [Κεράμια ἀγγεῖα, ὑποδεκτικὰ ταρίχων, δύο ὠτία ἔχοντα.]

Ὗς: Χοῖρος, ἢ σύαγρος.

[f] Ὗς ἐπὶ θηλείας, σῦς δὲ ἐπὶ ἄρρενος. [g] Κέχρηνται δὲ [h] ἀδιαφόρως.

[i] Ὅπως δὲ δέξητ' ἡμὶν ἀγαθὰ σύας.

[Ὗς: Ἐπ' εὐθείας ὀξύνεται. Τὰς ὗς δὲ, καὶ τοὺς ὗς, πληθυντικῶς, περισπῶσι.]

Ὑσσάκων: Τῶν γυναικείων αἰδοίων.

Ὕσας: Βρέξας. Αἰλιανός·

Εἶτα ἀθεωρήτως πολλῷ πάνυ σφόδρα ὗσε, καὶ ἀστραπαὶ γεγόνασιν ἐκπλῆξαι δειναί.

Ὕσγη: [k] Βοτάνη. Καὶ ὑσγινοβαφὴς χιτὼν, βεβαμμένος. Καὶ ὑσγινοβαφῆ, οὐδετέρως.

Ὗς διὰ ῥόδων: Ἐπὶ τῶν σκαιῶν καὶ ἀναγώγων. Κράτης [l] Γείτοσιν.

Ὑσθεῖσαι: Βραχεῖσαι ἀπὸ ὑετοῦ.

Ὕσθης: [m] Ἐβράχης.

Ὑσίαι: Πόλις τῆς Βοιωτίας.

Ὑσμίνης: Μάχης.

Ὑσσός: Ἀκόντιον.

Ἐξακοντίσας ὑσσὸν, διήλασεν αὐτοῦ τόν τε θυρεὸν, καὶ τὸν θώρακα.

[n] Τῶν δὲ ὑσσῶν οἱ μέν εἰσι παχεῖς, οἱ δὲ, λεπτοί.

Ὕσσωπος: Βοτάνη ῥυπτική. Δαβίδ·

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι.

[o] Οὐδεμίαν γὰρ ἄφεσιν ἁμαρτημάτων εἰργάζετο. Αἱ-

---

E Ὑπωροφιοι] Scrib. Ὑπωρόφιοι. Epigram. in Carm. Sepulchr. p. 18. ὑπωροφίαισι γυναιξίν. Agathias, p. 141. TOUP. Ὑπωρόφιοι B.E. Photius.

Ὑπώροφον] Ὑπώροφον B.V.E. ὑπ' ὄροφον Photius e corr.

[n] ὑπόστεγον] ὑπὸ στέγην B.V. Lex. Seg. Photii ms.

[o] Ὑψηλὰ] Delevi ἢ ἡπλωμένα cum B. Photio et Lex. Seg.

Ὑπτιάζει] Schol. Pind. p. 458. Procop. p. 369. TOUP.

F [p] Ὑποστρέφει] ἀποστρέφει E.

[q] νώτου] νώτῳ V.

[r] ὑπτίαις χερσὶ] Similia collegit Boissonad. ad Eunap. p. 245.

[s] Ὕπτιος λέγεται καὶ ὁ ἄπρακτος] Artemidorus Oneirocr. lib. II. c. 73. p. 155. Πέτεσθαι δὲ ὕπτιον——ταῖς λοιπαῖς ἀπραξίαν προαγορεύει. ὑπτίους γὰρ τοὺς ἀπράκτους λέγομεν. Huc Suidas respexit: ut et Pearsonius observaverat. KUST.

[t] Ὦι πολλὸ] Anthol. Pal. V. 203.

G [u] ὕπτιον ὕπτιον] ὕπτιον ὕπτιον V. ὕπτιον ὕπτιον E.

Ὑποικουροῦν] Ita utitur Diodor. Sic. Excerpt. p. 583. Plutarch. II. p. 339. Quintil. de Music. p. 95. Polyb. p. 232. 439. Josephus p. 839. TOUP.

[x] καὶ ὑποικουροῦν] Delevi καὶ cum V.E. Lex. Seg. et Photio.

[y] τρεφόμενον] ὑποτρεφόμενον Photius, et Lex. Seg. στρεφόμενον V.

[z] Ὁμῶς] ὅμως V. qui mox οὐ pro ἦν. Post h. gl. delevi Ὑποινος: Μέθυσος, cum B.V.E.

H [a] ὁ αὐτὸς] ὄνομα A.B.V. Vid. Menag. ad Diog. Laërt. I. 74.

Ὑρράξ] Hanc et seq. gl. om. B.V.E.

[b] Ὑρρισσος] Pierson. ad Mœrin p. 56. Ὑρισχός. TOUP.

[c] Τοῦτον ἠρώτησεν Ὑρκανίων, πῶς ὁ π.] Hæc sumpta sunt ex Josephi Antiq. Jud. lib. XII. c. 4. p. 405. sed ubi de Arione, non vero Hyrcanione verba fiunt. KUST. XII. 4, 8. quem locum corrupit Suidas.

[d] Ὑρκανίων] Ἀρίων A.V.

[e] ὁ δὲ] ὡς A. pr. V. cum Josepho.

Ὕρχας: Κεράμια ἀγγ.] Ex Schol. Aristoph. Vesp. 674. sed ubi pro κεράμια rectius legitur κεράμινα. KUST. Desunt hæc A.B.V.E. Vid. Casaub. Pers. p. 294.

[f] Ἰστέον δὲ ὅτι ὗς λέγεται] ὗς A. et ni fallor V. cum Schol. Aristoph.

[g] οἱ δὲ πολλοὶ κέχρηνται] κέχρηνται δὲ A.V. Schol.

[h] ἀδιαφόρως] δὲ καὶ ἐπὶ ἄρρενος Schol.

[i] Ὅπως δὲ δέξ.] Aristoph. Acharn. 741. Ὅπως δὲ δεξεῖτ' ἦμιν ἐξ ἀγαθᾶς ὗς. KUST.

Ὗς] Hæc A. in marg. om. V. Seqq. Ὕσσακος: Ὁ πάσσαλος. Ὑσηπηρος: Ὁ ῥυπώδης. Ὑσοπη: Ὁ ῥύπος, delevi cum A.B.V.E.

Ὑσσακτων] Scribe ὑσσάκων: ut habet ms. A. Aristoph. Lysistr. 1000. Ἀπήλασε τὰς ἄνδρας ἀπὸ τᾶν ὑσσάκων. Ad hunc locum Suidas respexit. KUST.

Ὕσγη] Vide nos ad Pausan. p. 889. ubi hæc vox restituend. TOUP.

[k] Εἶδος βοτάνης] βο' A. Post χιτὼν delevi ὁ ὑπὸ τῆς ὕσγης cum A.B.V. In fine ὑσγινοβαφὴς οὐδεὶς V.

[l] ἐν Γείτοσιν] ἐν om. A. Photius.

[m] Ἐβράχης] βρεχ' A.V. Statim delevi Καὶ Ὕσθησαν. Ἡρόδοτος· Ὕσθησαν γὰρ τότε Θῆβαι, οὐδαμῶς πρότερον ὑσθεῖσαι. ἐπεὶ ἐν Αἰγύπτῳ δοκεῖ μὴ ὕειν, cum A.V. quæ huc irrepserunt ex p. 764 A.

Ὑσιαι] Vid. not. ad Thucyd. III. 24. Statim delevi Ὕσκα: Ὀψάριον. καὶ ξύλον, ἐν ᾧ ἅπτεται πῦρ, cum A.B.V. E. Vid. Du Cangii Gl. Gr.

[n] Τῶν δὲ ὑσσῶν οἱ] Hoc fragmentum depromptum est ex Polybio, lib. VI. c. 23. p. 653. TOUP.

[o] Οὐδεμίαν ἄφεσιν ἁμαρτημ.] Theodoretus ad Psalm. L. p. 597. Ὅτι τὸ ὕσσωπον οὐδεμίαν ἄφεσιν ἁμαρτημάτων εἰργά-

νιγμα δέ τι σημαίνει. Ὑσσώπῳ τὸ αἷμα τοῦ προβάτου καὶ ταῖς [p]φλιαῖς ἐπιρράναντες, τοῦ ὀλοθρεύοντος τὰς χεῖρας [q]διέφευγον. Τύπος δὲ ἐκεῖνα τῶν σωτηρίων παθημάτων. Αἷμα γὰρ ἐνταῦθα, καὶ [r]ξύλον, σωτηρία.

Ὑσπελέθας: Ὄνομα κύριον.

Ὑσπλάτιδος:

Ὥσπερ ἀπὸ μιᾶς ὑσπλάτιδος.

Ἀντὶ τοῦ, ἀφέσεως, βαλβῖδος, ἀπὸ μιᾶς ἀφετηρίας·
B ἤγουν ἀπὸ ἑνὸς κανόνος καὶ καμπτῆρος. [s]Ἀριστοφάνης·

Αἴπερ ἀπὸ μιᾶς ὑσπλάτιδος
[t]ἀπήλασαν τοὺς ἄνδρας ἀπὸ τῶν ὑσσάκων.

Τουτέστι, τῶν γυναικείων αἰδοίων.

Ὕσπληξ: [u]Φραγέλλιον, ἀφετηρία, βούκεντρον, ἢ μύωψ, ὁ πλήσσων τοὺς βοῦς.

Ὁ δὲ καθάπερ ἀπὸ [x]ὑσπληγγος ἕτοιμος ὤν, ἐξ αὐτῆς ἧκε.

Καὶ αὖθις·

[y]Τίς τὸν ἄχρειον Ἑρμῆν σε παρ' ὑσπλήγγεσσιν ἔθηκε;

Καὶ [z]Ἰώσηπος·

Οἱ δὲ ἱστᾶσιν ὥσπερ ἐφ' ὕσπληγος ἐξορμᾶν ἕτοιμοι.

Ὑστάσπης: Ὄνομα κύριον.

Ὕστατος: [a]Τελευταῖος, ἔσχατος.

Ὑστέλλιον: Ὄνομα ὄρους.

Ὑστεραία: Ἡ μετὰ τὴν αὔριον [b]ἡμέρα.

Τῇ δ' ὑστεραίᾳ ἤγοντο ἄλλος ἄλλῃ.

Καὶ ὑστερήσαντες τοῦ καιροῦ τῆς βοηθείας.

Ὑστερίζειν: Μετὰ μίαν ἡμέραν ἔρχεσθαι.

Τούτοις ἐτέτακτο μιᾷ ἡμέρᾳ ὑστερίζειν βασιλέως.

Καὶ, ὑστερῶ, ὑστερήσω.

Οἱ δὲ βασιλικοὶ τοῦ καιροῦ τῆς βοηθείας ὑστερήσαντες.

Ὕστερος λόγος:

Ἀλλὰ πρὸς μὲν τούτους ὕστερος λόγος.

A Τουτέστιν, ὕστερον αὐτοῖς μαχεσόμεθα. Παρὰ τὸ Ὁμηρικόν·

[c]Ἀλλ' ἤτοι μὲν ταῦτα μεταφρασόμεσθα καὶ αὖθις.

Ὕστινος: Βάμματος εἶδος.

[d]Τὰ κόκκοιο βαφέντα, καὶ ὑστίνοιο θέριστρα.

Ὑστριξ: Ἐκ δέρματος μετ' αὐτῶν τῶν τριχῶν μάστιξ.

Ὑστριχίδι μαστιγῶν.

B [e]Ἀριστοφάνης Βατράχοις. Ἡ ὕστριξ, [f]ὁ ἀκανθόχοιρος, ὁ χερσαῖος ἐχῖνος.

Ὑστριχίς: Ἡ ἐξ ὑείων τριχῶν μάστιξ. [g]Ἀριστοφάνης·

Μῶν ὑστριχὶς εἰσέβαλέ σου
εἰς τὰς πλευρὰς πολλῇ στρατιᾷ, κἀδενδροτόμησε [h]τὰ νῶτα;

Ἔστι δὲ καὶ ὑστριχὶς, θηρίον, τρίχας ἔχον ὑὸς, ἃς ἐν τῷ διώκεσθαι ἐξακοντίζει κατὰ τῶν διωκόντων.

C Ὑς [i]ὑπὸ ῥόπαλον: Παροιμία παρὰ Δεινολόχῳ ἐπὶ τῶν [k]ἑαυτοὺς εἰς ὄλεθρον ἐμβαλλόντων.

Υἱοὶ Θεοῦ: Οἱ Ἀπόστολοι, ὡς ἀδελφοὶ τοῦ Χριστοῦ χρηματίσαντες.

[l]Εἴπατε γὰρ, φησὶ, τοῖς ἀδελφοῖς μου, προάγω ὑμᾶς εἰς τὴν Γαλιλαίαν.

Υἱοὺς δὲ κριῶν, τοὺς ἐξ ἐθνῶν πεπιστευκότας, ἅτε
D δὴ φύντας ἐξ ἀλόγων πατέρων. Δαβίδ·

Ἐνέγκατε τῷ Κυρίῳ υἱοὺς κριῶν.

Υἱοὶ δὲ τῶν ἐκτετιναγμένων, οἱ σφόδρα ταλαιπωρούμενοι. [m]Δαβίδ φησιν·

Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως [n]οἱ υἱοὶ τῶν ἐκτετιναγμένων.

Ὑφα: Τὸ ὕφασμα.

Ὕφαλος φάτις: Ἡ κρυφία.

[o]Διὰ τῶν εἰλώτων τροφὰς ὑφάλους εἰσέφερον· οἳ μέχρι τινὸς
E ἐλάνθανον τοῦτο ποιοῦντες, ὕστερον δὲ ἑάλωσαν.

---

ζετο, ῥᾴδιον ἐκ τῶν Μωσαϊκῶν συγγραμμάτων καταμαθεῖν. τὸν γὰρ ἀνδροφόνον καὶ τὸν ἀλλοτριόγαμον λῃστὴν οὐ περιρραντηρίοις ὁ νόμος ἐκάθαιρεν, ἀλλὰ τιμωρίαις ἐσχάταις ὑπέβαλλεν. ἑτέρων τοίνυν ἐστὶ πραγμάτων τὸ ὕσσωπον αἴνιγμα. ὑσσώπῳ γὰρ ἐν Αἰγύπτῳ τὸ αἷμα τοῦ προβάτου ταῖς φλιαῖς ἐπιρράναντες, τοῦ ὀλοθρεύοντος τὰς χεῖρας διέφυγον. τύπος δὲ ἦν ἐκεῖνα τῶν σωτηρίων
F παθημάτων. αἷμα γὰρ κἀνταῦθα, καὶ ξύλον σωτήριον, καὶ σωτηρία τοῖς μετὰ πίστεως προσιοῦσι χορηγουμένη. Hinc Suidam sua mutuatum esse apparet. KUST.

ib. οὐδεμίαν γὰρ A.V.E.

[p] φλιαῖς] φλοιαῖς E.

[q] διέφευγον] διέφευγον A.V.

[r] ξύλον] ξύλα V. ξύλον E.

ΥΣΠΛΑΤΙΔΟΣ] Dorice, pro ὑσπλήτιδος. KUST.

[s] Ἀριστοφάνης] Lysistr. 999. sed ubi pro ὑσσάκων rectius legitur ὑσσάκων. KUST. Hic A. et reliqui ὑσσάκων. Vid. supra p. 3734 B. ἤγουν A. pro ἢ ὡς.

[t] ἀπήλασαν] ἀπήλαον A.V.E.

ΥΣΠΛΗΓΞ] Ὕσπληξ A.E.

[u] Φραγέλλιον] Frequentius scribitur φραγέλλιον, per duplex λ. Est autem vox Græco-barbara, ex nomine Latino *flagellum* detorta. Vide Dufresnium in Glossario
G Græco v. Φραγέλλιον. De variis porro significationibus vocis ὕσπληγξ videndus est Eustathius ad Dionys. Perieg. 121. KUST. φραγέλλιον A. φραγέλιον B.

[x] ὑσπληγγος] ὕσπληγος A.

[y] Τίς τὸν ἄχρειον Ἑρμ.] Anthol. Pal. VI. 259.

[z] Ἰώσηπος] Lib. III. de Bello Jud. c. 6. p. 836. KUST. III. 5, 4.

ΥΣΤΑΣΠΗΣ] Ὑστάσπης νεώτερος ἦν ἀδελφὸς Ζαριάδρης· ἐκυρίευσε Μηδίας καὶ τῆς ὑποκάτω χώρας. Athen. XIII. p. 575. Hystaspes, vates, Clem. Alex. VI. e Pauli Apostoli quodam scripto ejus meminit. Vaticinia ejus de ruina Rom. imperii Lactant. VII. 15. REINES. Delevi Ὁ πατὴρ τοῦ Δαρείου, cum A.V.

[a] Ὁ τελευταῖος, ὁ] ὁ bis om. A. Photius.

ΥΣΤΕΛΛΙΟΝ] Ὑστέλλειον A.B.E.

[b] ἡμέρα] ἡμέραν V. Post h. gl. delevi ΥΣΤΕΡΑ: Ἡ μήτρα, cum A.B.V.E.

ΥΣΤΕΡΙΖΕΙΝ—ΥΣΤΕΡΩ—ὑστερήσαντες] Libanius II. p. 654. Vid. v. Ἰάλεμος. Πάροδος. TOUP.

ΥΣΤΕΡΟΣ ΛΟΓΟΣ: Ἀλλὰ πρὸς] Hæc descripsit Suidas ex Schol. ad Aristoph. Av. 336. Sed ita ut verba pro more et arbitrio suo immutaverit. Quod diligens lector notabit. TOUP.

[c] Ἀλλ' ἤτοι μ.] Homerus Il. α'. 140. KUST.

ΥΣΤΙΝΟΣ] Corrupte, pro ὑσγινος. KUST.

ib. Casaubon. Athen. I. p. 23, 50. HEMST.

[d] Τὰ κόκκοιο βαφέντα] τὰ κόκκοιο βαφθέντα A. τὰν κόκκου βαφθέντα καὶ ὑσγίνοιο Anthol. Pal. VI. 254. Vide supra v. Τὰν κόκκου.

[e] Ἀριστοφάνης] Ran. 632.

[f] ὁ ἀκανθόχοιρος ὁ] ὁ bis om. A.

[g] Ἀριστοφάνης] Pac. 745.

[h] τὰ νῶτα] τὸ νῶτον A.B.V.E.M.

[i] ΥΠΟ ΡΟΠΑΛΟΝ] ὑπὸ ῥόπαλον δραμεῖται Photius, Hesych.

[k] ἑαυτοὺς] ἑαυτοῖς B. Mox ἐμβαλόντων V.

H ΥΙΟΙ ΘΕΟΥ: Οἱ Ἀπ.——Ἐνέγκ. τῷ Κυρ. υἱοὺς κριῶν] Ex Theodoreto ad Psalm. XXVIII. p. 501. KUST.

[l] Εἴπατε—Γαλιλαίαν om. A.

[m] Δαβὶδ φησιν] Psalm. CXXVI. 4. secundum versionem LXX. interpretum. KUST. Ex Theodoreto in eum locum.

[n] οἱ υἱοὶ τῶν] οἱ om. A. τῶν om. V.

[o] Διὰ τῶν εἰλώτων] Vid. infra in Ὑφέδρος.

Ὕφαλοι: [p] Ὑποθαλάσσιοι κεκρυμμέναι πέτραι. A

[q] Ὕφαλός τις ἦν [r] τοῖς βαρβάροις ὁ θάνατος, ὅς τις ἀμπωτις ἐξαπιναίως καταρροφοῦσά πως τὸ πολέμιον.

Ὑφάντης καὶ ἀντυφάντης.

Ὑφαντοδόνητον:

[s] Ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλαχθήσεται.
[t] Νομάδεσσι γὰρ ἐν Σκύθαις
ἀλᾶται Στράτων,
ὃς ὑφαντοδόνητον [u] ἔσθος οὐ πέπαται·
ἀκλεὴς δ' [x] ἔβα σπολὰς ἄνευ χιτῶνος.
Ξύνες, ὅ τι λέγω.
Εἰνόημ' ὅ τι βούλει· τὸν χιτωνίσκον λαβεῖν.

Τοῦτό φησιν, [y] ἐπειδὴ οἱ Σκύθαι τῷ χειμῶνι, διὰ τὸ ἀφόρητον αὐτοῦ, ἐπὶ ἁμαξῶν τὰ πράγματα αὐτῶν βάλλοντες, ἀπαίρουσιν εἰς ἄλλην χώραν. Ὁ μὴ ἔχων δὲ ἐκεῖσε [z] ἅμαξαν, ἄτιμος παρ' αὐτοῖς κρίνεται.

Ὕφασμα: Σάκκος.

[a] Ἐμβαλὼν δὲ αὐτὸν τὸν ἀπατηλὸν ἐν ὑφάσματι ἐκ τριχῶν εἰργασμένῳ, ἐνῆκεν εἰς [b] τοῦ ποταμοῦ τὰς δίνας. C

Ὑφαιμος: Ὁ ᾑμαγμένος μώλωψ.

Ὑφαίνω: Κατασκευάζω.

Ὑφαιρεῖται: Παρεκβάλλει.

Ὑφεδρία: [c] Ἡ κατωτέρω καθέδρα.

Ὑφελκτέον τῶν [d] δαΐδων: Ἀντὶ τοῦ ὑφαιρετέον. [e] Ἀριστοφάνης·

Ὑφελκτέον τῶν δᾳδων, καὶ ἀπαρυστέον τῶν κρεῶν. D

Τοῦτο ποιοῦσιν, ὅταν παφλάζῃ ὁ λέβης, ἀφαιροῦντες ἐκ τῶν κρεῶν.

Ὑφέντες: Ἐγκαθίσαντες, ὑποβαλόντες.

Οἱ δὲ ἐνέδρας ὑφέντες, [f] κτείνουσι τοῦτον δόλῳ.

Καὶ αὖθις·

Ὁ δὲ [g] Ἄκαστος λόχον ὑφείσας, ἐπεβούλευσε τῷ Πηλεῖ. Καὶ ὃς αἰσθόμενος, ἐς πόλεμον κατέστη. E

Ὑφέξειν: [h] Ὑπενεγκεῖν, ὑπομεῖναι.

[i] Μὴ νῦν ἐλπίσῃς τὸ σὸν κακὸν
[k] ἡμᾶς ὑφέξειν, (καὶ γὰρ ἂν μαινοίμεθ' ἄν,)
ἀλλ' αὐτός, ὅ γε σόν ἐστιν, οἰκείως φέρε.

Ὑφεωρᾶτο:

Ἀλλ' ὅμως ὑφεωρᾶτο, καὶ κατεκλᾶτο τὴν ψυχήν, ἀποβλέπων εἰς τὸ μέγεθος τοῦ πράγματος.

Ὑφεωρᾶτο γοῦν, ἀντὶ τοῦ, δυσκόλως εἶχεν, ἐνενόει, ἐδυσωπεῖτο.

B Ὑφέρποντα: [l] Ἐπερχόμενον, παραγινόμενον.

[m] Ἐπεσκότει γὰρ αὐτῶν ταῖς γνώμαις διὰ τὰς παρανομίας ὁ Θεός, καὶ τὸν ὑφέρποντα λιμὸν αὐτοῖς οὐκ ἔβλεπον.

Ὑφέσθαι: Ὑποχωρῆσαι, εἶξαι.

Ὕφεσις: Ἐλάττωσις.

Ὑφέστιος: Ὁ ἐν τῇ οἰκίᾳ τυγχάνων.

Καὶ μηδὲ μοῖρα τοῦ Φαβίου γένους ἐν τοῖς ὑφεστίοις ἀπελείπετο.

C Ὑφεστώς: [n] Ὁ ἐνυπόστατος.

Ὑφειμένοι: [o] Ὑποχείριοι. Ἡ [p] ὑφειμένη, ἐκλελυμένη.

Ὑφειμένη οὖν καὶ διαλειπούσῃ πολλαχῇ τῇ φωνῇ ἐδεῖτο ξυγγνῶναί οἱ βασιλέα.

Καὶ [q] αὖθις·

[r] Πλεῖν δ' ἐν κακοῖς ὑφειμένη δοκεῖ.

D Ἀντὶ τοῦ πλέειν. Ὑφειμένως: [s] Ἐνδεδομένως, ἢ ἐκλελυμένως.

Ὑφείς: Ἐνδούς, ὑποχαλάσας.

[t] Ὁ δὲ ὑφεὶς τοῦ φρονήματος, ἔπεμψεν ἱκετεύων μὴ πολεμηθῆναι.

Ὑφείς: [u] Ὑποβαλών.

[x] Ὑφεὶς μάγον τοιόνδε μηχανορράφον,
δόλιον, ἀγύρτην.

E Σοφοκλῆς.

Ὑφεῖσθαι: [y] Ἀμελεῖσθαι, ὑποχωρῆσαι.

[p] Αἱ ὑποθ.] αἱ om. A.V. Photius.

[q] Ὕφαλός τις ἦν τοῖς βαρβ.] Hæc sunt verba Theophyl. Simocattæ, lib. II. c. 10. ut Pearsonius etiam observaverat. KUST.

[r] τοῖς βαρβάροις] τῶν βαρβάρων V. Mox ἥ τις B.V.E. pro ὅς τις. Mox delevi ΥΦΑΝΑΙ: Ὕφασμα ποιῆσαι, cum A. F V. ὑφ. π. om. B.

[s] Ἄνθρωπος ἡμῶν οὐκ ἀπαλλ.] Aristoph. Av. 941.

[t] Νομάδεσι] Νομάδεσσι A.

[u] ἔσθος] ἔπος B.E.

[x] ἔβα σπολὰς] ἔβας πολλὰς A.V.E.

[y] ἐπειδὴ οἱ Σκ.] Hæc leguntur etiam supra v. Νομάδες. KUST. ἐπεὶ V. φ ἐπειδὴ A.

[z] ἅμαξαν] ἐκεῖσε ἅμαξαν A.V. ἐκεῖθεν ἅμ. B.E.

[a] Ἐμβαλὼν] Hæc Æliano tribuit Valckenaerius. Mox ὑφασμένῳ E. pro εἰργασμένῳ. G

[b] τὰς δίνας τοῦ ποταμοῦ] τοῦ ποταμοῦ τὰς δίνας A. τῶν ποταμῶν τὰς δίνας V.

[c] Ἡ κατωτ. καθέδρα om. A.

[d] ΔΑΔΩΝ] δαΐδων A.

[e] Ἀριστοφάνης] Equit. 916. Ὑφελκτέον Δὲ τῶν ξύλων, ἀπαρυστέον Τὲ τῶν ἀπειλῶν ταυτηί. KUST.

[f] κτείνουσι] ἀπτείνουσι V.

[g] Ἄκαστος] Ἄκαρτος A. Tum ὑφήσας A.B.E.M. ὑφείσας V. pro ὑφήκας. Mox ἐπεβούλευσε V. In fine addit V. ὁ δὲ λόχον ὑφείσας καθίσας ἐπεβούλευε τῷ Πηλεῖ, ἐξ οὗ καὶ εἶσε ἐπὶ θρόνου. Ceterum hunc locum Æliano tribuit Valckenaerius, frustra: est enim Nicolai Damasceni. Vide supra p. 136 B. 630 B. H

[h] Ὑπενεγκεῖν. ὑπομεῖναι] Potius ὑποῖσειν. ὑπομενεῖν. Nam τὸ ὑφέξειν est futuri temporis. KUST.

[i] Μὴ νῦν ἐλπίσῃς τὸ σ.] Aristoph. Thesmoph. 203. Μὴ τοίνυν A.

[k] ἡμᾶς om. A. Mox ἀλλ' om. V.E.

[l] Ὑπερχόμενον] ἐπερχόμενον A.B.V.

[m] Ἐπεσκότει] Male antea, ἐπεσκόπει. KUST. Hæc sunt verba Josephi de Bell. Jud. lib. V. [8, 2.] p. 344. TOUP. ἐπεσκόπει A. ἀπεσκόπει E.

ΥΦΕΣΘΑΙ: Ὑποχωρῆσαι] Hæc sunt verba Scholiastæ ad Aristoph. Ran. 1251. TOUP.

[n] Ὁ ἐνυπόστατος] ὁ om. A. Photius, Lex. Seg. Statim delevi ΥΦΕΙ: Τὰ ἡμίτομα ἐπὶ κλίνας βεβλημένα μάλα ἁβραῖς, καὶ στρωμναῖς ὕφει τοὶ ὑπερηφάνῳ κεκοσμημέναις ἐπιθέντας, ὑπὸ δασὶν ὑπακμαζούσαις τῷ πυρί, καὶ τὸν ὑμέναιον φθέγξασθαι γυναικῶν, κωμασθῆναι μετὰ χορείας γαμηλίου τε καὶ κερτόμου, cum A.V. Vide supra p. 867 C.

[o] Ὑποχείριοι, ὑποτεταγμένοι] ὑποτεταγμένοι om. A.B.V. Photius.

[p] ΥΦΕΙΜΕΝΟΙ, ἐκλελυμένοι] ὑφειμένη, ἐκλελυμένη A.B.V. E. omissis statim καὶ ἐπὶ θηλυκοῦ. Ὑφειμένη—φωνῇ om. A.

[q] Εὐριπίδης] Imo Σοφοκλῆς. Versus enim, qui sequitur, legitur apud Sophoclem Electr. 335. KUST. Dedi αὖθις cum A.V.

[r] νῦν δ' ἐν κακοῖς μοι πλεῖν] πλεῖν δ' ἐν κακοῖς A.B.V. ἀντὶ τ. πλ. accedunt ex A.B.

[s] Ἐνδεδομένως] ἐνδιδομένως A.

[t] Ὁ δὲ ὑφεὶς] Depromptum est hoc fragmentum ex Dion. in Excerpt. Legat. ab Ursino editis, p. 403. TOUP. LXVIII. 17.

[u] Ὑποβαλὼν] ὑποβάλλων A.V.

[x] Ὑφεὶς μάγον τ.] Sophocl. Œdip. Tyran. 387.

[y] Ἀμελεῖσθαι] ἀμελῆσαι A.

Οὐ μὴν ὑφεῖσθαι τῆς χώρας, ἀλλὰ μεῖναι, καὶ κατασχεῖν.

῾Υφεῖται: Συγχωρεῖται.

῾Υφηγήσονται: [z]῾Υποδείξουσιν.

[a]῾Ο δὲ Τραϊανὸς ἐξελαύνει ὡς ἐπὶ τὴν ᾿Ανθεμουσίαν γῆν· ἐπὶ ταύτην γὰρ καὶ Ἄγβαρος ὑφηγεῖτο ἰέναι.

Ἀντὶ τοῦ, συνεβούλευεν, ὑπετίθετο.

῾Υφῆκεν: ῾Υπέβαλεν, [b]ὑπέθηκεν.

῾Ο δὲ ἐνέδραν αὐτῷ τινα ὑφῆκεν.

῾Υφῆνε: [c]Κατεσκεύασεν. ᾿Εκ τοῦ ὑφαίνω.

῾Υφηνίοχος: Ἀντὶ τοῦ ἡνίοχος.

῾Υφῆραν: Ἔλαβον.

῾Υφήφασμαι: Ἀττικὸς [d]παρακείμενος. ῾Υφαίνω, ὑφανῶ, [e]ὕφαγκα, ὕφαμμαι. Ἔθος δὲ ἔχουσιν οἱ Ἀττικοὶ πολλάκις ἐν τοῖς τοιούτοις ῥήμασι τρέπειν τὸ πρὸ τοῦ $\bar{\mu}$ σύμφωνον εἰς $\bar{\sigma}$, γίνεται ὕφασμαι. ᾿Επεὶ δὲ οὐδέποτε ὁ Ἀττικὸς παρακείμενος ἔχει τὰ αὐτὰ [f]φωνήεντα ἐν τῇ α' καὶ β' συλλαβῇ, ἐτράπη τὸ $\bar{\alpha}$ εἰς $\bar{\eta}$, καὶ γίνεται ὑφήφασμαι.

῾Υφιέμενον: ᾿Ενδιδόμενον. Καὶ ὑφιέναι, ὑπενδοῦναι.

῾Υφίει: Συνεχώρει.

῾Υφιζάνει: [g]῾Υποκαθέζεται, ἐλαττοῦται.

῾Υφιζήσεις: ῾Υποχαλάσεις, [h]ἐνδώσεις.

᾿Εξέκλινε τὰ γεώδη καὶ μαλακὰ καὶ ψαμμώδη διὰ τὰς ἐσομένας ὑφιζήσεις ἐπὶ τοῖς βάρεσι τοῖς ἐπιτιθεμένοις.

῾Υφιστάμενος: Βεβαιῶν, ἐπαγγελλόμενος.

[i]Δηλητηρίοις φαρμάκοις ἀνελεῖν τὸν Πύρρον ὑφιστάμενος.

῾Υφιστάς: ῾Υποστὰς, ὑποτιθείς.

῾Υφίσταται: ῾Υπισχνεῖται, διαβεβαιοῦται. [k]Ἀππιανός·

῾Ο δὲ ὑφίσταται γράμματα διοίσειν διὰ τῶν ἐχθρῶν ἐς τὸ Καπιτώλιον.

Καὶ αὖθις·

Οἱ δὲ κωλύσειν ὑφίσταντο [l]῾Ρωμαϊκὰ δύο σκάφη, ὡς προεκδραμόντα τοῦ παντὸς στόλου.



A ῾Υφόωσιν: ῾Υφαίνουσι.

῾Υφορμοῦν: Ἀπαντῶν, ἐναντιούμενον.

῾Υφορώμενος: ῾Υποστελλόμενος, ἢ ἐννοῶν.

[m]Καὶ οὐδὲν ὑφορώμενος τὸν τῶν νεωτέρων γέλωτα, ταῦτα ἐτέλει σεμνῷ προσώπῳ.

῾Υφορώμενοι:

Οἱ δὲ τὰ χρήματα ὑφορώμενοι, καὶ φιλεῖν αὐτὰ [n]ἀποδιδράσκοντες.

B Ἀντὶ τοῦ, μισοῦντες, παρατηροῦντες· ἢ ὑπονοοῦντες, προσδοκῶντες.

῾Υφωμαδόν: ῾Ομοθυμαδόν. [o]῾Ο δὲ τοῖς ὤμοις φέρων ἐπωμαδὸν καὶ ἐπωμάδιος λέγεται.

῾Υφυδροι: [p]Θουκυδίδης·

᾿Εσίεσαν δὲ κολυμβηταὶ ὕφυδροι, [q]καλωδίῳ ἐν ἀσκοῖς ἐφέλκοντες μήκωνα μεμελιτωμένην, καὶ λίνου σπέρμα κεκομμένον.

C ῾Υπὸ τὸ ὕδωρ ὄντες.

῾Υψαγόρας: [r]῾Υψιλόγος.

᾿Εχρῆτο δὲ κομπολογίαις, καὶ ὑψηγόρας τις ἦν, καὶ τραχύς. ῾Ο δὲ Βῶνος κατ' οὐδὲν τοῖς ῥήμασιν ὑποχαλάσας, ἀνεμίμνησκε τῆς ἐν Σκυθίᾳ μάχης.

῾Υψαυχεῖν: [s]῾Υψηλοφρονεῖν.

῾Υψηγόρε: Μεγαληγόρε.

D ῾Υψηλολογούμενοι:

Ἀπειλούντων τε καὶ [t]ὑψηλολογουμένων.

῾Υψηλοτέρας: Ἀλαζονικωτέρας, [u]ὑπερφερεστέρας.

῾Υψηλοτέρας ἔγραφε Καπανέως ἐπιστολὰς, ἐπαρθεὶς, ἢ χαυνωθεὶς, ἢ καὶ κουφωθεὶς, ὑπὲρ ὧν [x]τὸν θεὸν πολλάκις ὑπομιμνήσκει, καὶ τὸ "Ἰὼ [y]Νέμεσι καὶ βαρίβρομοι βρονταὶ" συνεχῶς βοᾷ.

Καὶ αὖθις·

E [z]῾Υψῆλ' ἐφρόνεις, κἀπ' ἄκρων ὡδοιπόρεις

(τουτέστιν, ἐπ' ἄκρων δακτύλων ἔβαινες γαυριῶν.)

ὅτ' οὐδὲν ὢν τοῦ [a]μηδὲν ἀντέστης ὕπερ,

[z] ὑποδείξουσιν] ὑποδείξουσι V. Mox Αὔγαρος V.E. pr.

[a] ῾Ο δὲ Τραϊανὸς ἐξελ.] Fragmentum hoc legitur etiam supra v. ᾿Ανθεμοῦς. KUST. Ex Dione Cassio. TOUP.

[b] ὑπέθηκεν—ὑφῆκεν om. A.

[c] Κατεσκεύασεν] κατεσκεύαζε A.

῾ΥΦΗΝΙΟΧΟΣ] Il. ζ. 19. Mox delevi ῾ΥΦΗΣ ΠΕΠΛΟΥ: ᾿Εν τῷ ἈΡΡΗΝΟΦΟΡΕΙΝ, cum A.V.

῾ΥΦΗΦΑΣΜΑΙ] Confer Etymologum, v. ῾Υφήφασμαι. KUST.

[d] παρακείμενος] Statim delevi Ἀπὸ τοῦ ὑφάζω, ὑφάσω, ὕφακα, ὕφασμαι, καὶ Ἀττικῶς, ὑφήφασμαι, τροπῇ τοῦ υ εἰς η. ἢ ἀπὸ τοῦ cum A.B.V.E.

[e] ὕφαγκα] ὕφακα V. Mox ἔθος δὲ A.V. pro ἐπεὶ δὲ ἔθος. Tum πολλάκις om. V.

[f] φωνήεντα] σύμφωνα V. Post ὑφήφασμαι delevi Καὶ διὰ τί, μὴ ἔχων ἀντίστοιχον, ἐτράπη εἰς η; ἐπειδὴ καὶ τὸ η εἰς α τρέπεται, ὡς ἐν τῷ ἁλμηρὸς, ἁλμυρὸς, καὶ πηρὸς, πυρὸς, cum A.B. V.E.

[g] ὑποκάθηται] ὑποκαθέζεται A.V.B. Photius, Lex. Seg.

῾ΥΦΙΖΗΣΕΙΣ] Procop. p. 298. TOUP.

[h] ἐνδώσεις] ἐνδόσεις A.

[i] Δηλητηρίοις φαρμάκοις ἀνελ.] Locum hunc multo auctiorem habes infra v. Φαβρίκιος. KUST.

[k] Ἀππιανὸς] T. I. p. 80. ed. Schweighæuser.

[l] ῾Ρωμαϊκὰ] τὰ ῾Ρωμαϊκὰ A.

῾ΥΦΟΩΣΙΝ] Od. η'. 105. Mox ὑφαίνουσιν A.

῾ΥΦΟΡΜΟΥΝ—ἐναντιούμενον] ῾Υφορμῶν—ἐναντιούμενος A. Vulg. habent Photius et Lex. Seg. qui ἀπατῶν pro ἀπαντῶν.

[m] Καὶ οὐδὲν ὑφορώμενος τ.] Fragmentum hoc auctius legitur supra v. Τραγήματα. KUST.

[n] ἀποδιδράσκοντες] ἀποδιδάσκοντες E.

[o] ῾Ο δὲ τοῖς] Seqq. om. Photius.

῾ΥΦΥΔΡΟΣ] ῾Υφυδροι A.V.

F [p] Θουκυδίδης] Lib. IV. c. 26. KUST. Vid. Ἔφυδρος. TOUP.

[q] καλωδίῳ] καλώδια A.B.V.E. Tum μεμελιττωμένην V.

῾ΥΨΑΓΟΡΑΣ] Menander p. 97. 138. Agathias p. 39. Menander in Exc. p. 79. et 80. *Boni* ejus meminit. Quare est deprompt. ex Menandro. Vid. v. Στωμύλος. TOUP.

[r] ῾Υψίλογος] ὑψίλογος A. Photii ed.

[s] ὑψηλοφρονεῖν] Statim delevi ῾Ο ῾ΥΨΑΥΧΗΝ, ἀρσενικῶς. ζήτει δὲ, εἰ καὶ θηλυκῶν, cum A.V. ὑψαύχην Menand. hist.

G p. 101. citat Toupius.

῾ΥΨΗΓΟΡΟΣ καὶ ῾ΥΨΗΓΟΡΟΣ: Μεγαληγόρος] ῾Υψηγόρε: Μεγαληγόρε A.V. Photius, Lex. Seg.

[t] ὑψηλολογουμένων] ὑψηλολογούντων B.E.

῾ΥΨΗΛΟΤΕΡΑΣ] Ex Synesio, opinor. Vid. ᾿Εμοί τ' ἐπιστολαί. Νέμεσις. TOUP.

[u] ὑπερφερεστέρας] Statim delevi ἢ κρείττονος τάξεως οὔσας cum A.B.V.

[x] τὸν θεὸν] Leg. puto τῶν θεῶν. *Ipse deus in memoriam*

Φῆστος: Οὗτος περὶ τοὺς χρόνους Οὐάλεντος εἰς τὴν Ἀσίαν ἐκπέμπεται ἀνθύπατος· τὴν δὲ [o]βασιλικὴν γλῶσσαν ἐπεπίστευτο. Πέμπεται δὲ ὅμως, [p]τὸν ποιητικὸν καὶ μυθώδη Ἔχετον, καὶ εἰ δή τις ἄλλος ἐκ [q]Θετταλίας ἢ Σικελίας τοιοῦτος, [r]χρυσὸν ἀποδείξων

A καὶ πανήγυριν. Ἦν δὲ ἡ μανία οὐ [s]θύραθεν, ἀλλ' ἔνδοθεν ἐλύσσα καὶ ἐμαίνετο, ἀνὴρ φύσει πονηρὸς, καὶ ἐξουσίαν ἔχων, καὶ τὴν ἐν ταῖς κολάσεσιν ἀγριότητα καταλιπὼν εὐδοκιμοῦσαν ἐν τοῖς βασιλείοις, οὐκ ἔστιν ὅ τι παρανομίας [t]ἀπέλιπε καὶ ἀσελγείας. Ἀλλ' ἐπὶ τοσόνδε παραφορᾶς ἐρρύη καὶ φόνων, ὥστε καὶ Μάξιμον ξίφει διέφθειρε, Κοίρανον Αἰγύπτιον ἐπισφάξας αὐτῷ. Καὶ ἔτι θερμὸς ὢν καὶ ζέων τῷ λύθρῳ, πάντας

B συνῄρει καὶ κατέφλεγε.

Φητιαλεῖς:

Φήτρη: [u]Συγγένεια.

Φιαλεῖς: [x]Ἀριστοφάνης·

Ἀλλ' οὐκ ἀποδώσεις, οὐδὲ φιαλεῖς, οὐδ' ἔτι·
ἀλλ' ἐξαπατήσεις, [y]κἀγχανεῖ τούτῳ μέγα.

Φιαλοῦμεν δὲ, τουτέστιν, [z]ἔργῳ ἐπιβαλοῦμεν. Ἐπὶ τοῦτο ὁρμήσομεν. Φιαλεῖν δὲ κυρίως ἐστὶ, τὸ ἄρχε-

C σθαι πράγματος. [a]Ἀριστοφάνης·

Ἄγε δὴ σὺ ταχέως ὕπεχε τὴν φιάλην, ὅπως
ἔργῳ φιαλοῦμεν, εὐξάμενοι τοῖσιν θεοῖς.

Φιάλην ἀμφίθετον: [Ἐν τῷ, Ἀμφίθετον φιάλην.]

Φιάλη:

Φίαλος:

Φιαρόν: Λαμπρόν.

D Φίβαλις: Γένος συκῆς ἡ φίβαλις, ἐπιτήδειον εἰς ξηρασίαν ἰσχάδων. Ἐπεὶ δὲ ἀπὸ τοῦ ἰσχναίνεσθαι ἰσχὰς καλεῖται, καὶ τοὺς ἰσχνοὺς τῶν ἀνθρώπων ἐκάλουν φιβαλεῖς. Ὁ δὲ τόνος, Φιβάλεως, προπαροξυτόνως, ὡς [b]κεράμεως, πελέκεως. Ἀριστοφάνης Ἀχαρνεῦσι·

ΦΗΛΩΜΑΤΑ: Ἐξαπ.] Ex Harpocratione. KUST. Schol. Aristoph. Pac. 1165.

ΦΗΜΗ] De v. Φήμη multa Wyttenbach. ad Juliani Or. 1. p. 57=150 seqq.

[b] Τέκνον ἐλπίδος ἀμβρ.] Sophocl. Œdip. Tyr. 158.

[c] γενόμενοι] γινόμενοι A.B.V.E.

[d] Φήμη τὸν ἐσθλὸν] Legitur iste senarius apud Æschinem, in Orat. contra Timarch. p. 57. ed. Taylor. ubi κἂν μυχῷ γῆς. Quod perinde est. Tangit Hesychius: Μυχοί, αἱ καταδύσεις, οἱ ἐνδότατοι καὶ ἀπόκρυφοι τόποι, ἔσχατα, καὶ τὰ ταμεῖα. Lege, Καὶ ΤΑ ΚΑΤΩ ΟΙΚΗΜΑΤΑ. *Sedes inferorum.* Quod omnino verum. TOUP.

[e] Ἀρκεσίλαος ὁ φιλ.——εἰπὼν τοὔνομα] Hæc sumpta sunt ex Laërtio in Arcesilao: [IV. 36.] ut Pearsonius etiam onuerat. KUST.

[f] ἐν τῷ] τῷ om. A.V.

[g] καί, Οὐ] καὶ om. A.B.M.

[h] καὶ Δαβίδ] Ex Ps. XXXV. 1. cum interpretatione Theodoreti. ERNEST.

[i] ὑπολαμβάνει] ὑπολαμβάνον V.

ΦΗΝΑΣ] Vide supra v. Φαίνων. KUST. Deest gl. A.

G Sumpta est ex Schol. Aristoph. Ach. 541.

ΦΗΝΑΙ: Δεῖξαι] Schol. Hom. Odyss. γ'. 173. KUST.

[k] ὀρνέου] Delevi ἴσον ἀετῷ cum A.B.V.E. Schol. Od. γ'. 372. εἶδος ὀρνέου ἀετῷ ὅμοιον. Delevi post h. gl. ΦΗΝΕΙΟΝ: Ὄρος, cum A.B.V.E.

ΦΗΡΑΣ: Τοὺς Κεντ.] Homer. Il. β'. 743. KUST.

ΦΗΡΗ] Meminit Homerus Il. ε'. 543. KUST.

[l] ΦΗΡΗ καὶ ΦΗΡΑ] καὶ Φηρά om. A.B.V.E. Tum πόλις A. pro ὄνομα πόλεως.

[m] ΦΗΡΙΤΗΣ] Φηρήτης A.B.V.

[n] ΦΗΣΙ] λέγει addunt A.B.

ΦΗΣΤΟΣ: Οὗτος περὶ τοὺς χρ.] Articulum hunc ex Eunapio depromptum esse existimo. KUST. Recte. Sed jampridem hoc observavit Valesius ad Ammian. Marcell. XXIX. 2. p. 612, 613. HEMST. Vid. Eunap. in Maximo, et Zosim. IV. 15. REINES. Eunapii fr.

17. ed. Boissonad. quem v. p. 330. Wyttenbach. p.

E 231.

ib. Vid. Γλωσσοκόμον. HEMST.

[o] βασιλικὴν γλῶσσαν] Legendum suspicor, τὸ δὲ βασιλικὸν γλωσσοκόμον ἐπεπίστευτο, id est, *Regium vero marsupium ejus fidei commissum erat.* Pro *imperatoris fisco præerat.* Phrynichus p. 16. censet dicendum potius γλωττοκομεῖον. PORTUS. γλῶσσαν om. V.

[p] κατὰ τὸν ποιητικὸν] Sensus requirit, ut scribatur, τὸν ποιητικὸν, absque κατά. Vide supra v. Ἔχετος. KUST. κατὰ om. A.

F [q] Θετταλίας ἢ Σικελίας] Σικελίας ἢ Θετταλίας A.

[r] χρυσὸν ἀποδ.] Vid. Hemsterhus. ad Lucian. p. 466. Eunap. in Exc. Hœschel. p. 13. TOUP.

[s] θύραθεν] θύραν V.

[t] ἀπέλιπε καὶ] ἀπέλειπεν A.V.

ΦΗΤΙΑΛΕΙΣ] *Feciales.* Cic. de Legg. II. 9. *Fœderum, pacis, belli, induciarum oratores, feciales, judices duo sunto.* PORTUS.

[u] Συγγένεια] Addit A. καὶ φράτρη.

[x] Ἀριστοφάνης] Vesp. 1339. KUST. Memorat hunc Suidæ locum Eustath. Od. α'. p. 1403, 17. HEMST.

[y] κἀγχανεῖ] κἀγχανῇ A.B.E. Tum τοῦτο B.E.

[z] ἔργῳ] τῷ ἔργῳ A.B. τὸ ἔργον E.

[a] Ἀριστοφάνης] Pac. 430.

ΦΙΑΛΗΝ ἈΜΦΙΘΕΤΟΝ] Homerus Il. ψ'. 270. KUST. Deest A. ἐν τῷ etc. om. V.E.

ΦΙΑΡΟΝ] Nicand. Alexiph. p. 70. TOUP. Portus citat Theocrit. XI. Μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος

H ὠμᾶς.

ΦΙΒΑΛΙΣ: Γένος συκῆς ἡ φίβ.] Ex Schol. Aristoph. Acharn. 802.

[b] κέρεως] Scholiastes Aristophanis, κεράμεως. Et sic ipse Suidas supra v. Κεράμεως: quem vide. KUST. κεράμεως A.

Τί δαί; Φιβάλεως ἰσχάδας; καί, καί.
Ὡς ὀξὺ πρὸς τὰς ἰσχάδας κεκράγατε.

[Φιβλατώριον: Περιβόλαιον Περσικόν.]

Φιγαλεύς: Ὁ ἀπὸ τοῦ δήμου Ἀρκαδίας. Καὶ ὁ δῆμος, Φιγάλεια.

Φίγιον: Ἀκρωτήριον.

Φιδηναῖος: Ἀπὸ τόπου.

Φικιδίζειν: Ἐπὶ τοῦ παιδεραστεῖν.

Φικιῶ:

Φίλα: Ἴσα, ὅμοια, προσφιλῆ.

Φιλάγριος, Λύκιος, [c]ἀπὸ Μάκρης, ὡς εὕρηται παρὰ Εὐγενάτορι. Ὡς δὲ αὐτὸς ἐν τῇ πρὸς Φιλήμονα περὶ ἥπατος [d]ἐσκιρρωμένου ἐπιστολῇ φησιν, ὁ Φιλάγριος εἴη ἂν μᾶλλον Ἠπειρώτης, ἰατρὸς, μαθητὴς [e]Ναυμαχίου, τοῖς χρόνοις μετὰ Γαληνόν· ἰατρεύσας τὰ πλεῖστα ἐν Θεσσαλονίκῃ, συντάξας βιβλία ἰατρικὰ, [f]μονόβιβλα μὲν ο΄, συντάγματα δὲ ἕτερα οὐκ ὀλίγα, Ὑπομνηματικὸν εἰς Ἱπποκράτην.

Φίλαθλος: Φιλόπονος.

Φιλακροάμονος:

Φιλάμμων, [g]πύκτης, Ἀθηναῖος· ὃς πάντα [h]τὸν χρόνον ἐνίκα τοὺς ἀντιπάλους.

Φιλάμμων ἕτερος, ὃν ᾄδουσι Θαμύρου τοῦ Θρᾳκὸς

A πατέρα γενέσθαι.

Φιλαμπελωτάτη: Ἡ εἰρήνη. Εἰρήνης γὰρ οὔσης γεωργοῦμεν· πολέμου δὲ ὄντος, τοὐναντίον. [i]Καὶ φιλία, ἡ οἰκεία χώρα· ὡς πολεμία, ἡ ἀλλοτρία.

Φιλανθρωπηθείς:

[k]Ὁ δὲ Ἀσδρούβας ἐβουλήθη τούτῳ συμμίξας, καὶ φιλανθρωπηθεὶς, ἀπελθεῖν [l]εἰς τοὺς ἔξω τόπους.

Καὶ [m]φιλανθρωπία: ἡ . . .

B Φιλαπεχθήμων: Φιλομίσητος, φίλεχθρος, [n]φιλομίσης.

Φιλαργυρία: Ὑπόληψις τοῦ τὸ ἀργύριον καλὸν εἶναι.

Φιλαττίας: Ὑπερηφανίας.

Φιλαίας: Ὄνομα τόπου.

Φιλαινὶς, ίδος. Ὄνομα κύριον.

Φιλέταιρος: Ὄνομα κύριον. Ἀθηναῖος, κωμικὸς,
C [o]υἱὸς Ἀριστοφάνους τοῦ κωμικοῦ. Δράματα δὲ αὐτοῦ κα΄· ὧν ἐστι καὶ ταῦτα· Ἀχιλλεὺς, [p]Κορινθιαστὴς, [q]Κυνηγίας, Φίλαυλος, Κέφαλος, Τηρεὺς, [r]Οἰνοπίων, Ἄντυλλος, (καὶ [s]αὐτὸ Φιλεταίρου, ὡς δέ τινες, [t]Νικοστράτου,) Ἀταλάντη, [u]Λαμπαδηφόροι.

Φιλαιτίων: Τῶν ἐπιλαμβανομένων.

Φιλέας:

D

ΦΙΒΛΑΤΩΡΙΟΝ] Vide Dufrenium in Glossario Græco. KUST. Habet A. in marg. om. V. Vid. Salmas. ad Trebell. Poll. p. 302.

ΦΙΓΑΛΕΥΣ] Vide Steph. Byzantium v. Φιγαλία. KUST.

ΦΙΓΙΟΝ] Alii Φίκειον appellant. Vide Steph. Byzant. h. v. KUST.

ΦΙΔΗΝΑΙΟΣ] Ab urbe Φιδήνη. Vide Geographos. KUST.

ΦΙΚΙΔΙΖΕΙΝ] Vide infra v. Χαλκιδίζειν. KUST. Hofman. Var. Lectt. VI. 4. Φοινικίζειν. vid. infra Χαλκιδίζειν. Hesych. in Σκύλαξ· σχῆμα ἀφροδισιακὸν, ὡς νῦν φοινικίζουσιν. REINES.

[c] ἀπὸ Μάκρης om. B.E.

[d] ἐσκιρρωμένου] ἐσκιρωμένου A. ἐπεσκιρρωμένου V.

[e] Ναυμαχίου] Ναυμάχου V.

[f] μονόβιβλα] μονάβιβλα V. Mox ὑπομνηματικὰ V. Post hunc art. delevi ΦΙΛΑΔΕΛΦΕΥΣ, Φιλαδελφεύς. υἱὸς Ἀνδροκλείδους, cum A. Φιλαδελφεὺς υἱὸς Ἀνδροκλείδης V. Vid. p. 331 C.

[g] πύκτης] Demosth. p. 331, 1.

[h] τὸν χρόνον om. V.

ΦΙΛΑΜΜΩΝ ἕτ.] Ejus meminit Pausanias lib. IV. p. 279. et lib. X. p. 620. KUST. Vid. Τέρπανδρος, Θάμυρις. HEMST.

ΦΙΛΑΜΠΕΛΩΤΑΤΗ: Ἡ εἰρήνη] Sic locum hunc ex mss. Paris. emendavi. Ante enim male legebatur, Φιλαμπελωτά. τῇ εἰρήνῃ. Ceterum, nota hæc referenda est ad locum illum Aristophanis in Pace, 306. Τὴν θεῶν πασῶν μεγίστην καὶ φιλαμπελωτάτην. De Pace ibi Comicus loquitur. KUST. Viderat Portus.

[i] Καὶ ΦΙΛΙΑ] Repetuntur hæc infra post Φιλητής.

[k] Ὁ δὲ Ἀσδρ.] Valesius fragmentum hoc Polybii esse vult. KUST. XXXIX. 3, 2.

[l] εἰς τοὺς om. V.

[m] ΦΙΛΑΝΘΡΩΠΙΝΙΑ] Est vox suspecta. Forte scribendum est φιλανθρωπία. KUST. Φιλανθρωπία ἡ . . . . A. B.V.E.M.

ΦΙΛΑΠΕΧΘΗΜΩΝ] Julian. p. 362. Hinc φιλαπεχθημοσύνη. Aristid. II. p. 297. Æschin. Ep. 12. TOUP. Isocrat. p. 172 C.

[n] φιλόμισος] φιλομίσης A.V. Photius.

ΦΙΛΑΡΓΥΡΙΑ] Ex Diogen. Laërt. VII. 111.

ΦΙΛΑΤΤΙΑ: Ὑπερηφανία] Φιλαυτίας: ὑπερηφανίας A.V.E. edd. vett. cum Photio et Lex. Seg.

ΦΙΛΑΙΑΣ: Ὄνομα τόπου] In prioribus editt. [et B.E.] sequentia adduntur: Ἐν δὲ παλαιῷ ἀντιγράφῳ μετὰ [κατὰ M.] τοῦτο τὸ Φιλαίας κεῖται, Φιλέας, ὄνομα κύριον, ὁ μετὰ τρεῖς [πέντε ἥμισυ B.E.M.] στίχους, ἤτοι ὀρθίους κείμενος. δῆλον δὲ ὅτι καὶ οὗτος ὁ Φιλαίτας [Φιλαίας B.E.M.] ἤγουν ὁ τόπος, τῷ ε ψιλῷ κοινότερον παραλήγεται, καὶ ἀναλογώτερον, καλούμενος καὶ Φιλέας. Sed hæc ex textu ejicienda putavi; tum quoniam optimus
E et antiquissimus ms. A. ea non agnoscit; tum quia manifesto apparet, ea a librario quodam initio ad marginem adscripta, et postea textui inserta esse. KUST.

ΦΙΛΑΙΝΙΣ] Leucadia, scortum, Athen. V. p. 220. REINES. ιδος ὄνομα κύριον om. A.

[o] υἱὸς Ἀρ. τοῦ κ. om. A. qui mox om. δὲ et infra ὧν ἐστι καὶ usque ad finem articuli.

[p] Κορινθιατὴς] Imo Κορινθιαστής. Sic enim fabula hæc vocatur ab Athenæo lib. XIII. p. 559. KUST. Κορινθιαστὴς V.

F [q] Κυνηγίας] Apud Athenæum lib. VII. et XIII. Κυνηγὶς scribitur. KUST.

[r] Οἰνοπίων. Ἄντυλλος, καὶ Αὐτοφιλ. ὡς δέ τινες, Νικοστράτη] Hæc Meursius in Bibliotheca Attica et transposita existimat, et depravata; quæ proinde sic restituit: Ἄντυλλος. Οἰνοπίων. καὶ αὐτὸς Φιλεταίρου. ὡς δέ τινες, Νικοστράτου. i. e. *Antyllus. Œnopion: quæ fabula et ipsa Philetæri est; vel, ut alii volunt, Nicostrati.* Erat enim, inquit, de auctore ejus fabulæ controversia; et non-
G nulli Philetæro, alii Nicostrato adscribebant. Et hoc ipsum admonere Suidas voluit. Certe Οἰνοπίων Philetæro attribuitur ab Athenæo lib. VI. et VII. Nicostrato vero a Suida in v. Ἀμφίας. Hæc Meursius, cujus sententiæ calculum meum addo. KUST. Οἰνοπίων V.

[s] αὐτοφιλεταίρου] αὐτοφιλεταίρου B. Vid. supra p. 2599 A. Obiter moneo in eo loco reponendum Πάνδαρος pro Πάνδαρος δ᾽.

[t] Νικοστράτη] Νικοστράτου V.

[u] Λαμπαδοφόροι] Λαμπαδοφόροι V. λαμπαδηφόροι E.

H ΦΙΛΑΙΑΣ] Ipse Suidas scripserat Φιλέας, ut vel ex serie literarum patet. Quæ vero sequuntur, parenthesi inclusa, ab alio addita sunt. KUST. Delenda ista parenthesis, et locus ita scribendus: Φιλέας. Εἰ καὶ Φιλέας Ἀνδοκίδην ἱεροσυλίας ἐγράψατο. Quemadmodum recte legitur apud Synesium in Encom. Calvit. p. 83. ex quo desumpsit Suidas. Et sic quoque recte exhibet edit.

[illegible] καὶ Φιλέας Ἀνδοκίδην ἱεροσυλίας ἐγράψατο· [x]ὥσπερ οὐκ αὐτὸς ὤν, ὁ τῆς θεοῦ τὸ [y]γοργόνειον ἐκ τῆς ἀκροπόλεως ὑφελόμενος.

Φιλέας: Ὄνομα κύριον.

Φιλεργός: Φιλόπονος.

[z]Οἱ [a]μὲν ὑπὸ ῥαθυμίας καὶ τῆς πρὸς τὸ φιλεργεῖν μαλακίας ἀνόητοι καὶ ἀμαθεῖς ἐπαύσαντο αὐτῷ.

Φιλέρημος: [[b]Φιλήσυχος, ἐν ἐρημίᾳ διάγων.]

Φιλεριστῆσαι: Φιλονεικῆσαι. Μένανδρος·

Τὸ γὰρ [c]φίλερι τῆς [d]φιλοπρωτείας μεταξὺ αὐτῶν συμπεσὸν, διέλυσε τὰς δυνάμεις.

Φίλερος [e]καὶ Φιλέταιρος: Ὀνόματα κύρια.

Φιλέψιος: Ἦν δὲ φιλοπαίγμων. [f]Δημοσθένης κατὰ Τιμοκράτους. [g]Φιλεψίου μνημονεύουσιν οἱ τῆς ἀρχαίας κωμῳδίας ποιηταὶ, [h]ἐπὶ τῷ μεταξὺ τῶν δημηγοριῶν μύθους λέγειν. Κεκωμῴδηται δὲ καὶ εἰς πανουργίαν.

[Φιλεῖν ἐγείρει ἀτιμενῶν μακρὰς μάχας:]

Φιλεῖ γάρ πως: Τέρπεται γάρ πως· ἢ, [i]ἔθος γάρ πως.

[k]Φιλεῖ γὰρ τὰ πολλὰ ἑτέρως [l]τρέπεσθαι.

Τουτέστι, [m]συμβαίνει, ἔθος ἔχει ἄλλως ἀποβαίνειν, ἢ ὡς προσδοκᾷ τις. Εὐμετάβολοι γάρ εἰσιν οἱ ἐξ ἐπιθυμίας ἀλόγου ἐπί τι μάθημα [n]ἐρχόμενοι. [o]Ἕως οὗ [p]ἐπιθυμεῖ πράξειν τὸν μισθόν.

Φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ [q]πᾶς ὁρᾶν:

Φιλλεῖδαι: Γένος ἐστὶν Ἀθήνησιν. Ἐκ δὲ τούτων ἡ ἱέρεια τῆς Δήμητρος καὶ Κόρης, ἡ [r]μύουσα τοὺς μύστας ἐν Ἐλευσῖνι.

Φίληβος:

Φιληδίας: Φιληδονίας, ἀνοίας. [s]Ἀριστοφάνης Πλούτῳ·

Ὑμεῖς [illegible] γρυλλίζοντες ὑπὸ φιληδίας,
ἕπεσθε μητρὶ χοῖροι.

Φιλήδονος: [[t]Ὁ χαίρων ταῖς ἡδοναῖς.]

Φιληδῶν: Φιλῶν, ἀγαπῶν.

[u]Ἀλλὰ Κόρινθος [x]ἔδεκτο φιλόξενος, ᾗ σὺ φιληδῶν
οὕτως [y]ἀρέσκῃ, κεῖθι καὶ μένειν ἔγνως.

Φίλη κεφαλή: [z]Προσφιλέστατε.

Φιληκοΐα: Καὶ Φιλήκοος: Φιλομαθής.

Φιληλιαστής: Ὁ φιλόδικος, [a]παρὰ Ἀριστοφάνει·

Φιληλιαστής [b]ἐστιν, ὡς οὐδεὶς ἀνήρ.

Ἀντὶ τοῦ, φιλόδικος. Ἡλιαία γὰρ Ἀθήνησι δικαστήριον μέγιστον.

Φιλήμων, Συρακούσιος, υἱὸς Δάμωνος, [c]καὶ αὐτὸς κωμικὸς τῆς νέας κωμῳδίας. Ἤκμαζεν ἐπὶ τῆς Ἀλε-

---

Mediolanensis. Confer etiam Nostrum supra, v. Ὅμοιον. Ceterum hunc hominem, non ΦΙΛΕΑΝ, sed ΦΙΛΕΡΓΟΝ, vocat Isocrates Orat. contra Callimachum, [p. 382 A.] de quo nuperrime vir doctissimus ad Æschinem, p. 633. TOUP. Vid. infra v. Φιλεργός. Vid. in Ὅμοιον εἰ καὶ Φιλέας etc. HEMST. Φιλέας A.V.E.

[x] ὥσπερ etc.] Pro ὥσπερεὶ οὐκ αὐτοῦ ὄντος τοῦ etc. ὑφελομένου. HEMST.

[y] γοργόνειον] γοργ^ν A. γοργόνειον E. γοργόνιν B. Mox ἀφελόμενος E.

[z] Οἱ μὲν ὑπὸ ῥαθυμίας] Hæc sunt verba Josephi Antiq. Jud. lib. XII. [4, 6.] p. 603. Verbum φιλεργεῖν usurpat Dionysius Halicarn. in Excerptis Ursini p. 310. Usurpat et Plutarchus de Educat. p. 13. Nec non Themistius Orat. 33. p. 364. edit. Hard. cujus verba, quæ elegantissima sunt, hic subjiciam. Ἀριστόξενος ὁ μουσικὸς θηλυνομένην ἤδη τὴν μουσικὴν ἐπειρᾶτο ἀναρρωννύναι, αὐτός τε ἀγαπῶν τὰ ἀνδρικώτερα τῶν κρουμάτων, καὶ τοῖς μαθηταῖς ἐπικελεύων τοῦ μαλθακοῦ ἀφεμένους ΦΙΛΕΡΓΕΙΝ τὸ ἀρρενωπὸν ἐν τοῖς μέλεσι. TOUP.

[a] μὲν ὑπὸ] μὲν δὲ ἀπὸ V.

[b] Φιλήσυχος] Desunt hæc A.B.V.

[c] φίλερι] φίλερον V.

[d] φιλοπρωτίας] φιλοπρωτείας A.B.V. Mox συμπεσεῖν V. ξυμπεσὸν A.

[e] καὶ ΦΙΛΕΤΑΙΡΟΣ etc. om. A.

[f] Δημοσθένης κατὰ Τιμοκράτους] Philepsium τὸν Λαμπρέα laudat Demosthenes, Orat. contra Timocrat. p. 413. Quin et Philepsius homo μυθολόγος, de quo Aristophanes in Pluto, 170. et Schol. ad locum. Est et Φιλέψιος, φιλοπαίγμων. Hinc viri nomen scilicet. Atque hæc vox restituenda Hesychio: Φιλέθιος, φιλοπαίγμων, φιλοπάλαιστρος. Scribendum, ΦΙΛΕΨΙΟΣ, φιλοπαίγμων. Suidas: Ἔψια: Τὰ ἀπὸ λόγων παίγνια. Καὶ ΦΙΛΕΨΙΟΣ, ὁ φιλοπαίγμων. Auctor περὶ πνευμάτων a Valckenaerio editus: Σημείωσαι καὶ τὸ Ἐψία, ὅ ἐστιν ἡ διὰ λόγων παιδιά. Ἐξ οὗ καὶ ΦΙΛΕΨΙΟΣ, ὁ φιλοπαίγμων. TOUP.

[g] Φιλεψίου μνημονεύουσιν οἱ τῆς ἀρχ.] Notam hanc Suidas procul dubio excerpsit ex vetere aliquo Scholiasta ad Aristoph. Plut. 177. Φιλέψιος δ' οὐχ ἕνεκά σου μύθους λέγει. KUST.

[h] ἐπὶ τῷ] ἐπὶ τὸ B.V. Mox E post κεκωμῴδηται ex A. et Photio.

ΦΙΛΕΙΝ ἘΓ.] Est versus ad somniorum interpretationem pertinens, qui legitur etiam apud Astrampsychum. KUST. Om. A. habet V. in marg.

[i] εἴωθε] ἔθος A.B.V. Photius.

[k] Φιλεῖ γὰρ τὰ π.] Aristoph. Nub. 810. Φιλεῖ γάρ πως τὰ τοιαῦθ' ἑτέρως τρέπεσθαι. Vide ibi veterem interpretem, apud quem eadem leguntur, quæ Suidas hic habet. KUST.

[l] τρέπεσθαι] τέρπεσθαι A.

[m] συμβαίνει] συμβὰν V. qui mox ἔχειν.

[n] ἐρχόμενοι] ἐρχόμε^ν A.

[o] Ἕως οὗ ἐπιθυμεῖ πράξειν τὸν μισθὸν] Hæc non video, quid ad locum hunc faciant, nec agnoscit ea interpres Aristophanis. KUST.

[p] ἐπιθυμεῖ] ἐπιθυμῇ A.

ΦΙΛΕΙ ΓΑΡ ΠΡΟΣ] Soph. El. 972.

[q] ΠΑΣ] παῖς V.

[r] μυοῦσα] μύουσα A.

[s] Ἀριστοφάνης Πλούτῳ] Ver. 307.

[t] Ὁ χαίρων etc. om. A.B.V.

[u] Ἀλλὰ Κόρινθος ἔδεκτος] Locus est corruptus, ex quo sensum qualemcunque elicui. KUST. Scribendum, Ἀλλὰ Κόρινθος ἘΔΕΚΤΟ. Sensum loci optime expressit Kusterus. *Sed Corinthus hospitum amans te suscepit; qua urbe adeo delectaris, ut illic etiam manere decreveris.* Est autem, quod monendum, pars Epigrammatis, quod legitur apud Laërtium in Xenoph. Carmen ipsum subjiciam: Εἰ καί σε, Ξενοφῶν, Κραναοῦ Κέκροπός τε πολῖται Φεύγειν κατέγνων τοῦ φίλου χάριν Κύρου, Ἀλλὰ Κόρινθος ἔδεκτο φιλόξενος, ᾗ σὺ φιληδῶν, Οὕτως ἀρέσκῃ, κεῖθι καὶ μένειν ἔγνως. Postrema pars Epigrammatis ita legitur apud Bibliothec. Coislin. v. Ἡι. p. 234. ᾗ σὺ φιληδὼν, Οὕτως γὰρ ἀρέσκει, καὶ μένειν ἔγνως. Verbum autem φιληδεῖν usurpat Aristophanes in Pac. 1130. Οὐ γὰρ ΦΙΛΗΔΩ μάχαις, Ἀλλὰ πρὸς πῦρ διέλκων Μετ' ἀνδρῶν ἑταίρων φίλων. TOUP.

[x] ἔδεκτος] ἔδεκτο V.

[y] ἀρέσκει] ἀρέσκῃ A.B.V. omisso statim ὡς.

[z] Προσφιλέστατε] προσφιλεστάτη V.

ΦΙΛΗΚΟΟΣ] Plutarch. II. p. 394. Φιλοθεάμων τις καὶ φιληκόος. Leg. καὶ φιλήκοος. TOUP.

[a] παρὰ Ἀριστοφάνει] Vesp. 88.

[b] ἐστιν om. V.

[c] Καὶ αὐτὸς Κωμικὸς] Quæ hic Suidas de Philemone refert, excerpta sunt ex Lexico quodam, in quo articulus proxime præcedens de Comico quodam conceptus erat:

[Φιλητᾶς, ὁ Ἐφέσιος. Ζήτει ἐν τῷ Βάκις.]

Φιληταί: Οὕτω λέγονται καὶ οἱ κλέπται. Καὶ οἱ φιλοῦντες.

[b]Οἱ [illegible] φιληταὶ
οἵ ποτε [c]τριλλίστους [d]ἀντίον ἐρχόμενοι,
νῦν μέγα πεφρίκασι.

Φιλητέων: Λῃστῶν. Ἤτοι κατὰ ἀντίφρασιν, [e]ἢ κατὰ [f]ἀφαίρεσιν τοῦ υ' [g]πάνυ φιλητέων, κλεπτῶν.

Φιλητής: [h]Ἐραστής. Φιλήτης δὲ, ὁ κλέπτης.

Φιλία: Ἡ οἰκεία χώρα, ὡς πολεμία, ἡ ἀλλοτρία.

Ὁ δὲ ὕπατος, ἅτε ἐν τῇ φιλίᾳ ὤν, πολὺ διέφερε.

Φιλία: [i]Δαμάσκιός φησί·

[k]Περὶ γὰρ οὐδεμίαν τῶν [l]πολιτικῶν ἀρετῶν οὕτως ἐσπουδάκασιν, [m]ὡς περὶ τὴν μητέρα αὐτῶν, κατὰ τὸν Πυθαγόραν εἰπεῖν, αὐτὴν τὴν φιλίαν.

Φιλιάζω: Φίλος γίνομαι.

Ὦ [n]Ἰωσαφάτ, εἰ ἁμαρτωλῷ σὺ βοηθεῖς, ἢ μισουμένῳ ὑπὸ Κυρίου φιλιάζεις, διὰ τοῦτο ἐγένετο ἐπὶ σὲ ὀργὴ Κυρίου, εἰ μὴ λόγοι ἀγαθοὶ εὑρέθησαν ἐν σοί.

Φιλικήσιμος: Ἄρχων ἐπὶ Αὐρηλιανοῦ βασιλέως.

Φιλῖνος:

Φίλιος: Ὁ τὰ περὶ [o]τὰς φιλίας ἐπισκοπῶν. Μένανδρος Ἀνδρογύνῳ·

Μαρτύρομαι τὸν Φίλιον, ὦ Κράτων, Δία.

Φερεκράτης [p]Κραπατάλοις·

Τοῖς δὲ κριταῖς
τοῖς νυνὶ κρίνουσι λέγω
μὴ ἐπιορκεῖν, μηδ' ἀδίκως
κρίνειν· ἢ, νὴ τὸν Φίλιον,
μῦθον εἰς ὑμᾶς ἕτερον
Φιλοκράτης λέξει, πολὺ τούτου [q]κακηγοριστότερον.

Φιλαίωνος: Ὄνομα κύριον.

Φιλιππήσιοι:

Φιλιππίδης, Ἀθηναῖος, κωμικὸς καὶ αὐτὸς τῆς νέας κωμῳδίας, υἱὸς Φιλοκλέους· ἦν δὲ ἐπὶ τῆς [r]ρια' Ὀλυμπιάδος. Ἐδίδαξε καὶ αὐτὸς δράματα με'.

Φιλιππίδης, Ἀθηναῖος, ἡμεροδρόμος· ὃς χίλια καὶ πεντακόσια στάδια ἤνυσε διὰ μιᾶς νυκτὸς καὶ ἡμέρας, πρὸς Λακεδαιμονίους ἀφικόμενος. Ὁ δὲ νόμος οὐκ εἴα αὐτοὺς στρατεύειν πρὸ πανσελήνου.

Φιλιππίδης: Τῶν πολιτευομένων παρ' Ἀθηναίοις εἷς ἦν. Ἐδόκει δὲ ἰσχνὸς εἶναι [s]τὸ σῶμα. [t]Διὸ καὶ Ἄλεξις [u]πεφιλιππῶσθαι ἔφη, ἀντὶ τοῦ, [x]λελεπτύνθαι.

Φιλιππικὸς, ὁ καὶ [y]Βαρδάνης, Ἰουστινιανὸν βασιλέα ἀνελὼν, ἀσέμνως καὶ ῥᾳθύμως τὰ βασίλεια διέπων ἐφαίνετο· τούς τε ἐν τῇ οἰκουμενικῇ συνόδῳ πατέρας [z]ἀναθέματι καθυπέβαλε, τὰ παρ' αὐτῶν ἐνθέως δογματισθέντα δύο τοῦ Σωτῆρος θελήματα καὶ ἐνεργείας μὴ ἀποδεχόμενος· συλλήπτορας εὑρηκὼς, Ἰωάννην τὸν τηνικαῦτα τῆς πόλεως ἀρχιερέα, καὶ Γερμανὸν τὸν Κυζίκου μητροπολίτην, καὶ ἑτέρους ἱερεῖς, καὶ συγκλητικοὺς πλείστους.

Φιλιππικὸς, στρατηγὸς τῶν ἑῴων στρατιωτῶν.

ΦΙΛΗΤΑΣ, ὁ Ἐφέσιος] Ejus mentionem facit Scholiastes Aristoph. Av. 963. et ipse Suidas supra, v. Βάκις. KUST. Deest v. V.

ΦΙΛΗΤΑΙ] Rectius φιλῆται, cum circumflexo in penultima. Si enim scribatur φιληταὶ, cum acuto in ultima, significabit *amatores*. Vide paulo post v. Φιλητής. KUST.

[b] οἱ [illegible] φιληταὶ] Anthol. Pal. V. 271.

[c] θριλλήστους] Est vox corrupta. KUST. τριλλίστους B.E. τριλαίστους A. τριλέστους V.

[d] ἐναντίον] ἀντίον V.

ΦΙΛΗΤΕΩΝ: Λῃστῶν] Seneca Epist. LI. in fine: *Voluptates præcipue exturba, et invisissimas habe, latronum more, quos* philetas *Ægyptii vocant. In hoc nos amplectuntur, ut strangulent.* KUST. Φιλῃταίων V.

[e] ἢ κατ' ἀφαίρ.] Confer Etymologum. KUST. Supra ἤτοι κατὰ ἀντίφρασιν ἢ om. E.

[f] ἀφαίρεσιν] ὑφαίρεσιν B.V.

[g] πάνυ φιλητέων]

[h] Ἐραστὴς] ὁ ἐραστὴς A. Mox φιλήστης V.

[i] Δαμάσκιος] Δαμασκηνὸς V.

[k] Περὶ γὰρ οὐδεμίαν τῶν πολιτ.] Fragmentum hoc paulo auctius legitur supra v. Πρόμενος. KUST.

[l] πολιτικῶν] πολλῶν A.V.

[m] ὡς περὶ] ὥστε V. ὥσπερ E.

[n] Ἰωσαφάτ] 2 Paralip. XIX. 2. KUST.

ΦΙΛΙΚΗΣΙΜΟΣ] Φιλικίσκος E. Mox τοῦ ante βασιλέως om. A.V.

ΦΙΛΗΝΟΣ] Fors. Φιλῖνος medicus, Athen. XV. p. 682. REINES. Φιλῖνος A. V.

[o] τὰς] ἡ A.

[p] Κραπατάλοις] Κραπατάλλοις A.

[q] κακηγορικώτερον] κακηγοριστότερον A. Photius. κακηγορητέον V. κακηγορίστερος ex Pherecrate citat Pollux II. 127. Supra νὴ om. A.

ΦΙΛΙΠΠΙΔΗΣ] De hujus fabulis vide Meursium in Bibliotheca Attica. KUST. Ælianum V.H. X. 6. citat Reinesius.

[r] ρια'] Hos numeros contra Meinekium præf. Menand. p. XLIV. defendit Clintonus Fast. Hell. Introd. p. XLV.

ΦΙΛΙΠΠΙΔΗΣ, Ἀθην.] Vide supra v. Ἱππίας. KUST. Deest art. A. Et fortasse male repetitus est ex p. 1807 A.

[s] τὸ σῶμα] κατὰ τὸ σῶμα V.

[t] Διὸ καὶ Ἄλεξις πεφιλιππῶσθαι ἔφη ἀντὶ τοῦ λελ.] Athenæus lib. XII. p. 552. Ὅτι [illegible] καὶ πεφιλιππῶσθαι ἔλεγον τὸ λελεπτύνθαι, Ἄλεξις ἐν Μανδραγοριζομένῃ φησί. Hinc Suidas sua mutuatus est. Ad eundem locum Athenæi respexit Ælianus Var. Histor. lib. X. c. 6. ubi inquit: Τὸ πάνυ κατισχνῶσθαι τὸ σῶμα, πεφιλιππῶσθαι, φασὶν, ἔλεγον. μάρτυς Ἄλεξις. Ceterum, analogiæ ratio potius requirit, ut dicatur πεφιλιππιδῶσθαι. Et sic scribendum censent, Casaubonus ad Athenæum, et Meurs. Lect. Att. lib. II. c. 5. Eustathius vero ad Odyss. κ'. p. 1646, 17. τὸ πεφιλιππῶσθαι per syncopen pro πεφιλιππιδῶσθαι dictum esse putat. Verba ejus hæc sunt: Ἄλεξις τὸ Φιλιππίδην συγκόψας, ἤγουν συγκοπὴν ποιήσας τοῦ τοιούτου ὀνόματος, πεφιλιππῶσθαι εἶπε τὸ λελεπτύνθαι· οὐ κατά τινα Φίλιππον δηλαδὴ, ἀλλὰ κατὰ τὸν συγκοπέντα Φιλιππίδην. Hujus sententiam probat Perizonius ad Ælian. lib. X. c. 6. quamvis nobis, quod pace viri illius dictum velimus, lectio Meursii et Casauboni magis placeat. Eam enim non solum analogia requirere videtur, sed etiam metrum; quippe quod τὸ πεφιλιππῶσθαι, vel πεφιλίππωσαι in initio versus iambici neutiquam admittit; etiamsi concederetur, syllabam primam in φίλος, et derivatis, interdum longam esse: ut vult vir doctissimus. Sed hæc obiter. KUST.

[u] ΠΕΦΙΛΙΠΠΩΣΘΑΙ] πεφιλιππιδῶσθαι Stephanus ind. T. L. G. et sic tandem in Athenæo editum, et Photio, ubi ms. pr. πεφιππῶσθαι, corr. πεφιλιππῶσθαι.

[x] λελεπτύνθαι] ἐλλεπτύνθαι A. ἐλεπτύνθαι V. Photius.

[y] Βαρδάνης] Βαρδάνης A.V.E. In principio Φιλιππικὸς om. V. Vid. Cedrenus p. 448. ed. Par.

[z] ἀναθέματι] ἀναθέμασι V.

ΦΙΛΙΠΠΙΚΟΣ] Vid. Cedrenus p. 395.

Οὗτος ἔσχεν Ἡράκλειον τὸν Ἡρακλείου τοῦ βασιλέως πατέρα ὑποστράτηγον. [a]Δυστυχήσαντος δὲ ἐν πολέμῳ τοῦ Φιλιππικοῦ, καὶ ἀπομάχου γενομένου, ὁ Ἡράκλειος ἐγχειρίζεται τὸ ὁπλιτικόν. Ἦν δὲ ὁ Φιλιππικὸς γαμβρὸς Μαυρικίου ἐπὶ θυγατρί.

Φιλιππίων: Ὄνομα κύριον.

Φίλιππος, Ἀμφιπολίτης, ἱστορικός. [b]Ῥοδιακά, βιβλία ιθ΄· ἔστι δὲ τῶν πάνυ αἰσχρῶν· [c]Κωιακά, βιβλία β΄, [d]Θασιακά, βιβλία β΄· καὶ ἄλλα.

B

Φίλιππος, σοφιστής, ὁ γράψας περὶ πνευμάτων, ἐκ τῶν Ἡρωδιανοῦ, κατὰ στοιχεῖον· καὶ περὶ [e]συναλοιφῆς.

Φίλιππος, κωμικός: Τῶν δραμάτων αὐτοῦ ἐστι, [f]Κωδωνιασταί· [g]ὡς Ἀθήναιος ἐν Δειπνοσοφισταῖς.

Φίλιππος ὁ βασιλεύς, νικήσας Ἀθηναίους τὴν ἐν [h]Χαιρωνείᾳ μάχην, οὐ τοσοῦτον ἤνυσε διὰ τῶν ὅπλων, ὅσον διὰ τῆς [i]ἐπιεικείας καὶ φιλανθρωπίας τῶν τρόπων. Τῷ μὲν γὰρ πολέμῳ καὶ τοῖς ὅπλοις αὐτῶν μόνων [j]περιεγένετο καὶ κύριος κατέστη τῶν ἀντιταξαμένων, τῇ δ' εὐγνωμοσύνῃ καὶ μετριότητι πάντας Ἀθηναίους ἅμα καὶ τὴν πόλιν αὐτῶν ἔσχεν ὑποχείριον, [k]οὐκ ἐπιμετρῶν τῷ θυμῷ τοῖς πραττομένοις, ἀλλὰ μέχρι τούτου πολεμῶν καὶ [l]φιλονεικῶν, ἕως τοῦ λαβεῖν ἀφορμὰς πρὸς ἀπόδειξιν τῆς αὐτοῦ πρᾳότητος καὶ καλοκαγαθίας. Τοιγαροῦν χωρὶς λύτρων ἀποστείλας τοὺς αἰχμαλώτους, [m]καὶ κηδεύσας τῶν Ἀθηναίων τοὺς τετελευτηκότας, ἔτι δὲ καὶ συνθεὶς Ἀντιπάτρῳ τὰ τούτων ὀστᾶ, καὶ τῶν ἀπαλλαττομένων τοὺς πλείστους ἀμφιέσας, διὰ τὴν ἀγχίνοιαν μεγίστην πρᾶξιν ἀπειργάσατο. Τὸ γὰρ Ἀθηναίων φρόνημα καταπληξάμενος τῇ μεγαλοψυχίᾳ, πρὸς πᾶν ἑτοίμους αὐτοὺς ἔσχε συναγωνιστὰς ἀντὶ πολεμίων.

C

Φίλιππος ὁ Μακεδὼν [n]πολλοὺς τοῦ ζῆν ἐστέρησε, καὶ τοὺς υἱέας ὕστερον [o]συμπεριέλαβεν, ἐπιφθεγξάμενος τὸν στίχον τοῦτον·

Νήπιος, ὃς πατέρα κτείνας, υἱοὺς [p]καταλείπει.

Φιλίππου ἀλεκτρυών: Ἐπὶ τῶν ἐν μικροῖς κατορθώμασιν ἀλαζονευομένων.

Φιλίσκος, κωμικός. Τῶν δραμάτων αὐτοῦ ἐστιν, [q]Ἄδωνις, Διὸς γοναί, Θεμιστοκλῆς, Ὄλυμπος, Πανὸς γοναί, Ἑρμοῦ καὶ Ἀφροδίτης γοναί, Ἀρτέμιδος καὶ Ἀπόλλωνος.

Φιλίσκος, Κερκυραῖος, Φιλώτου υἱός, τραγικός, καὶ ἱερεὺς τοῦ Διονύσου [r]ἐπὶ τοῦ Φιλαδέλφου Πτολεμαίου γεγονώς. Καὶ ἀπ' αὐτοῦ τὸ [s]Φιλίσκιον μέτρον προσηγορεύθη, ἐπείπερ αὐτῷ ἐνεδαψιλεύετο. Ἔστι δὲ τῆς δευτέρας τάξεως τῶν τραγικῶν, οἵ τινές εἰσιν ζ΄, καὶ ἐκλήθησαν Πλειάς. Αἱ δὲ τραγῳδίαι [t]αὐτοῦ εἰσι μβ΄.

D

Φιλίσκος Αἰγινήτης, ὁ διδάξας γράμματα Ἀλέξανδρον τὸν Μακεδόνα. Αὐτὸς δὲ ἀκουστὴς ἦν τοῦ Κυνὸς Διογένους, κατὰ δὲ Ἕρμιππον, Στίλπωνος. Ἔγραψε διαλόγους, ὧν ἐστι Κόδρος.

[a] Δυστυχήσαντος δὲ ἐν] δυστυχήσαντα δὲ ἐν τῷ V.

ΦΙΛΙΠΠΟΣ ἀμφιπ.] Citatur Philippus Amphip. etiam a Theodor. Prisciano II. a. Logico, c. 2. REINES.

[b] Ῥοδιακὰ] Vid. Suid. supra v. Ἀπεσιμώσατο, ubi hunc Philippi librum respexit, opinor. TOUP.

[c] Κωιακὰ] Ms. A. melius, Κωακά. KUST. et V. Κωακὰ item Eudocia.

[d] Θυσιακὰ] Vossius, Wolfius, et Portus vertunt, *de Sacrificiis*. At optimus ms. A. habet, Θασιακά: quæ procul dubio vera est lectio. KUST. Θυσιακά V. Eudoc.

[e] συναλοιφῆς] συναλιφῆς A. περὶ συναλιφῆς om. E. Sequitur in A. Φίλιππος σοφιστὴς ὁ γράψας περὶ πνευμάτων, ἕτερος.

ΦΙΛΙΠΠΟΣ] Ephippus. TOUP.

[f] Κωδωνιασταὶ] Casaub. Κορωνισταὶ vel Κορωνιασταί: quæ conj. verisimillima. Alioqui legendum foret Κωδωνισταὶ a κωδωνίζειν. HEMST.

[g] ὡς Ἀθήναιος ἐν Δειπνοσοφ.] Atqui apud Athenæum nusquam hodie Codoniastæ Philippi laudantur. Quare, vel dicendum est, Suidam aliud egisse, cum hæc scriberet: vel, nomen istud olim quidem in Athenæi codicibus repertum fuisse; nunc vero excidisse, vel in aliud plane nomen mutatum esse. Vide etiam Casaub. ad Athen. lib. VIII. c. 15. qui nodum hunc aliter solvere conatur. KUST.

ΦΙΛΙΠΠΟΣ, Ὁ ΒΑΣ.] Totum hunc articulum deprompsit Suidas ex Polyb. lib. V. c. 10. KUST.

ib. De ejus gestis vide supra in Κάρανος. Res gestas Philippi describit Max. Tyr. Diss. XXXV. ἐπιάρκει, ἐψεύδετο, ἐπήρουτο addens. REINES.

[h] Χαιρωνείᾳ] Χαιρωνήσῳ V.

[i] ἐπιεικείας] εἰκείας V. οἰκείας φιλανθρωπίας E.

[j] περιεγένετο] ἐγένετο B.E.M.

[k] οὐκ ἐπιμετρῶν τὸν θυμὸν] Polybius οὐκ ἐπιμετρῶν τῷ θυμῷ τοῖς πραττ. KUST. καὶ οὐκ V. τῷ θυμῷ A.

[l] νικῶν] φιλονεικῶν A.

[m] καὶ κηδεύσας—ὀστᾶ] Ita A.B.V.E. pro vulg. καὶ τῷ Ἀντιπάτρῳ τῶν Ἀθηναίων τοὺς τετελευτηκότας θάψαι κελεύσας, ἔτι δὲ καὶ συνθεῖναι τὰ τούτων ὀστᾶ.

ΦΙΛΙΠΠΟΣ ὁ Μακεδ. πολλοὺς τοῦ ζ.] Polybius in Excerptis a Valesio editis, p. 118. Ἅμα δὲ τούτοις συμπεριέλαβε καὶ τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ τὸ βασιλικὸν πρόσταγμα τοῦ ζῆν ἐστερήθησαν, ἐπιφθεγξάμενος, ὥς φασι, τὸν στίχον τοῦτον· Νήπιος, ὃς πατέρα κτείνας υἱοὺς καταλείπει. Hinc Suidæ locus depromptus est. Vide etiam supra v. Νήπιος. KUST. Stasini est ap. Clem. Alex. Strom. VI. p. 451. De lege tali apud Maced. vid. Curt. VI. 11. et VIII. 6. REINES. Hunc art. habet A. in marg.

[n] πολλοὺς τοῦ ζῆν] τοῦ ζῆν πολλοὺς V. Mox ἐστέρησε A.B. V. pro ἀπεστέρησε.

[o] συνέλαβεν] συμπεριέλαβεν A.B. συμπεριέβαλεν V.

[p] ἀπολείπει] καταλείπει A.B.V.

ΦΙΛΙΣΚΟΣ] Plures hujus nominis collegit Göllerus De situ et orig. Syracus. p. 113. seqq.

[q] Ἄδωνις, Διὸς] Ἄδωνες V. omisso Διός.

ΦΙΛΙΣΚΟΣ] Hic Φίλικος appellatur ab Hephæstione in Enchirid. p. 30. ubi ait: Φίλικος δὲ ὁ Κερκυραῖος, εἷς ὢν τῆς Πλειάδος, ἑξαμέτρῳ συνέθηκεν ὅλον ποίημα. Et p. seq. Τοῦτο δὲ καὶ ἀλαζονεύεται εὑρηκέναι Φίλικος, λέγων· Καινογραφῆς συνθέσεως τῆς Φιλίκου, γραμματικοί, δῶρα φέρω πρὸς ὑμᾶς. En, ipse poëta se Philicum hic vocat, secunda brevi: quod merito movit magnum Vossium, ut in libello de Poët. Gr. p. 64. verum tragici hujus nomen Φίλικος fuisse contra Suidam pronuntiaret. Eum adi. KUST.

[r] ἐπὶ] ὑπὸ A.B.V.E.

[s] Φιλίσκιον μέτρον] Vossius loco laudato monet, metrum istud rectius appellari Φιλίκιον, ab auctore ejus Φίλικος. KUST. Τὸ Φιλίσκιον A. Τὸ Φιλίσκειον V. Φιλίσκειον B.

[t] αὐτοῦ om. V.

ΦΙΛΙΣΚΟΣ Αἰγινήτης] Hujus meminit Laërtius in vita Diog. Cynici, num. 73. Εἴγε αὐτοῦ αἱ τραγῳδίαι, καὶ μὴ Φιλίσκου τοῦ Αἰγινήτου, ἐκείνου γνωρίμου. Julianus Orat. VI. p. 186. edit. Lips. Αἱ γὰρ θρυλλούμεναι Διογένους τραγῳδίαι Φιλίσκου τινὸς Αἰγινήτου λέγονται εἶναι. Vide eundem Orat. VII. p. 210. ejusdem edit. KUST.

εὐωχουμένοις, ἀλλ' ὑπὸ τοῖς ἀγκῶσι κοιλανθεὶς λίθος, ἢ ξύλον.

[a] Οἱ δὲ πατέρες φησὶ τῆς τοῦ σώματος φιλίας.
[b] Ἐς τὸ ἀρχαῖον καθισταμένους [u] πάντα. Ὅθεν παλαῖστραι [x] ἀνήβησαν, καὶ τὰ φιλίτια ἐπανῆλθε.

Φίλιοι: Προσφιλέστατοι.

Φιλογόνιος: Ὄνομα κύριον.

Φιλογύννις, φιλογύννιδος.

Φιλοδεσποτεύομαι: Οὕτως Ἀναξίλας.

Φιλοδωρία: Ἡ μετὰ προθυμίας δωρεά.

Ὁ δὲ ἀπολαυσάτω τῆς τῶν ἐχθρῶν φιλοδωρίας.

Φιλόζωος:

Φιλοθεάμονες: Φιλοθεωρηταί.

Φιλοθηρεῖ: Φιλεῖ ἀγρεύειν.

[Φιλόθηρος:

Αὐτοφυέστατον καὶ μὴ ἐπίπλαστον ἔχουσα κάλλος, καὶ οἷον γένοιτο φιλοθήρου κόρης.]

Φιλοκάλως: Καθαρῶς.

Φιλόκενον στόμα: [y] Ματαιολόγον.

Φιλοκλῆς, Πολυπείθους, Ἀθηναῖος, τραγικὸς, τοῖς χρόνοις μετὰ Εὐριπίδην. Ἐπεκαλεῖτο δὲ Χολὴ, διὰ τὸ πικρόν. Ἔγραψε τραγῳδίας ρʹ, ὧν ἐστι [z] καὶ ταῦτα· Ἠριγόνη, Ναύπλιος, [a] Οἰδίπους, Οἰνεὺς, Πρίαμος, Πηνελόπη, Φιλοκτήτης. Αἰσχύλου δὲ τοῦ τραγικοῦ ἦν ἀδελφιδοῦς, καὶ ἔσχεν υἱὸν Μόρσιμον, τὸν τραγικόν· οὗ τινος γίνεται Ἀστυδάμας ὁ τραγικός. Τούτου δ' ἕτερος Φιλοκλῆς, [b] τραγικός.

Φιλοκλῆς, κωμῳδίας ποιητὴς, αἰσχροπρόσωπος. Ἦν δὲ προκέφαλος, ὡς ἔποψ ἤγουν, ὀξυκέφαλος· [c] Αἰσχύλου δὲ ἀδελφῆς υἱός. Οἱ δὲ [d] Ἁλμίωνα αὐτόν φασιν ἐπιθετικῶς, διὰ τὸ πικρὸν εἶναι. Ἅλμη γὰρ, ἡ πικρία. Εἴρηται οὖν ἐπὶ τῶν ὀξυκεφάλων.

Φιλοκομπῶν: [e] Μεγαλορρημονῶν, ὁ ἑαυτὸν ὑψῶν.

Φιλοκράτης ὁ Στρούθιος· ὥσπερ [f] Μήλιος. Ἦν δὲ ὀρνιθοθήρας.

[g] Ἢν ἀποκτείνῃ τις ὑμῶν Φιλοκράτη τὸν Στρούθιον,
λήψεται τάλαντον· ἢν δὲ ζῶντα [h] αὐτὸν ἀγάγῃ, τέσσαρα·
ὅτι συνείρων τοὺς [i] σπίνους, πωλεῖ [k] καθ' ἑπτὰ τοῦ ὀβολοῦ.
Εἶτα φυσῶν τὰς κίχλας, δείκνυσι [l] πᾶσι, καὶ λυμαίνεται.
Τοῖς τε [m] κοψίχοισιν ἐς τὰς ῥῖνας ἐγχεῖ τὰ πτερά.
Τὰς περιστεράς θ' ὁμοίως ξυλλαβὼν εἵρξας [n] ἔχει,
κἀπαναγκάζει παλεύειν δεδεμένας ἐν δικτύῳ.

Φιλοκτέανος: Φιλοχρήματος, φιλοκτήμων.

Φιλοκτήτης:

Φιλόλαος: Ὄνομα κύριον.

[o] Οὕτω καὶ Φιλόλαον ἀνεῖλε Κρότων ποτὲ πάτρη,
ὅς μιν ἔδοξε θέλειν δῶμα τύραννον ἔχειν.

[a] Οἱ δὲ πατέρες] Hæc delevit Kusterus: neque ego intelligo. Restitui tamen, si forte quis aliquando integrum locum scriptoris, unde excerpta sunt, reperiat.

[t] Ἐς τὸ ἀρχαῖον καθιστ.] Sensus loci hujus est mutilus, qui suppleri potest ex ipso Suida supra v. Ἔφοροι, et v. Πίττα. KUST.

[u] πάντας] πάντα A.B.V.E.

[x] ἐνήβησαν] Scribe ἀνήβησαν, ut recte supra v. Πίττα. TOUP. HEMST. Sic A.B.V.E.

ΦΙΛΙΟΙ: Καὶ ΦΙΛΟΙ] Delevi καὶ φίλοι cum A.B.V. et Photio.

ΦΙΛΟΓΥΝΙΣ] Polyb. p. 826. Φιλογύνῳ ὄντα τὸν Πόπλιον. TOUP. Φιλογύννις, φιλογύννιδος A.B.V.

ΦΙΛΟΘΗΡΟΣ] Vid. Αὐτοφυέστατον. TOUP. Deest hic locus A.V. et irrepsisse videtur ex p. 667 D. Æliano tribuit Valckenærius.

ΦΙΛΟΚΑΛΩΣ] Vid. Τολύπευμα. TOUP.

[y] Ματαιολόγον] ματαιολόγων V.

ΦΙΛΟΚΛΗΣ, Πολυπ.] Hunc interpres Aristoph. Av. 281. comicum facit. Sed nomina fabularum, quæ hic subjunguntur, tragœdiæ potius, quam comœdiæ conveniunt: ut adeoque apud Scholiastam Aristophanis Τραγῳδίας ποιητὴς pro Κωμῳδίας ποιητὴς rescribendum putem. Pro hac opinione facit ipse Scholiastes, quippe qui ait, Philoclem scripsisse Tetralogiam Pandionida. Atqui notissimum est, tragicos, non vero comicos, tetralogias olim scripsisse, iisque in scena certare solitos fuisse. Meursius in Bibliotheca Attica contra quidem sentit, et Philoclem hunc comicum fuisse asserit; sed qui non perpendisse videtur ea, quæ contra hanc sententiam a nobis dicta sunt. KUST. Vid. Casaubon. de Satyr. poës. I. 5. p. 147. ed. Ramb. Clinton. Fast. Hell. Introd. p. xxxii.

[z] καὶ ταῦτα] καὶ om. V.

[a] Οἰδίπους] Aristid. II. 422=p. 256. Σοφοκλῆς Φιλοκλέους ἡττᾶτο ἐν Ἀθηναίοις τὸν Οἰδίπουν, ὦ Ζεῦ καὶ θεοὶ, πρὸς ὃν οὐδ' Αἰσχύλος εἶχε λέξαι τι. REINES. TOUP.

[b] στρατηγὸς] τραγικὸς A.B.V.

ΦΙΛΟΚΛΗΣ, κωμῳδ.] Cave, Philoclem hunc a præcedente diversum esse existimes. Est enim idem. Sola differentia hæc est, quod articulum præcedentem Suidas excerpserit ex lexico aliquo, quod vitas et scripta poëtarum veterum continebat: hunc vero ex Schol. Aristoph. Av. 282. Nec obstat, quod priorem Philoclem Suidas tragicum faciat; posteriorem vero, comicum. Nam sequitur Noster hoc loco Enarratorem Comici; apud quem pro Κωμῳδίας ποιητὴς, rescribendum esse, Τραγῳδίας ποιητὴς, in nota præcedente ostendimus. Confer etiam Suidam supra, v. Προκέφαλος. KUST. Athen. II. p. 66. citat Reinesius. De Philocle vide Schol. Aristoph. Thesm. 168. ed. Bekker.

[c] Αἰσχύλου δὲ] δὲ om. A.E.

[d] Ἁλμίωνα] Ἁλμίωνος Schol.

[e] μεγαλορρημονῶν] μεγαλορημονῶν A. μεγαλορήμων Photius.

[f] μήλιος] Μήλιος dic. supr. ἐπὶ τῶν εὐτελῶν, a parvis: στρούθιος igitur ἀπὸ τῶν στρουθῶν, ab aviculis, s. passeribus Philocrates nominabatur. Cf. Varr. Lectt. p. 473. REINES.

[g] Ἢν ἀποκτ.] Aristoph. Av. 1077.

[h] αὐτὸν] Vox hæc apud Aristophanem deest, eamque metrum respuit. KUST.

[i] σπίνους] Aristophanes, σπίννους, per duplex ν. KUST.

[k] καθ' ἑπτὰ] κζʹ A.

[l] πᾶσι] Vox ista in versu redundat, nec agnoscit eam Aristoph. KUST. πάσας V.

[m] Κοψίχοισιν] Aristophanes, κοψίχοισι, per ι in syllaba secunda. KUST. Sic A.B.V.

[n] ἔχει] ἔχειν V.

ΦΙΛΟΚΤΗΤΗΣ] Alumnus Melibœæ, oppidi Macedoniæ, al. Thessaliæ. Mel. II. 3. vid. Hygin. fab. 36. Victor. Var. Lect. II. 15. REINES. Deest A.

ΦΙΛΟΛΑΟΣ] De hoc vide Laërt. lib. VIII. et Meursium in notis ad Nicomach. Gerasenum, p. 164, 165. KUST. Philolaus Tarentinus, adolescens Pythagoræ senis discipulus, Jamblich. Vit. Pyth. c. 23. 104. ibid. c. 28. de ejus in sepulchro jam mortui cantu, p. 126. et 130. Plut. de Placit. Philos. III. 11. Philolaus Corinthius, e gente Bacchiadarum, legislator Thebanorum, Aristot. Pol. II. Theodor. θερ. Ἑλλην. παθ. IX. Meurs. Arch. I. 5. Vid. Laërt. de Philolao Crotoniata, Pythagorico, æquali Platonis. REINES. Vid. Schol. Platon. p. 7.

[o] Οὕτω καὶ Φιλ.] Est pars Epigrammatis, quod Noster integrum adducit supra v. Τιμωνα. KUST. Anthol. Pal. VII. 126.

Δαμάσκιός φησι περὶ Ἰσιδώρου.

**Φιλόπονος**: Φιλεργὸς, περὶ τὸ πονεῖν πρόθυμος.

**Φιλοπονῶ**: Αἰτιατικῇ.

**Φιλοπόνων**: Τῶν εἰθισμένων πονεῖν.

**Φιλοπότης**: Ὁ φιλῶν τὸν οἶνον.

**Φιλοποίμην**, Ἀχαιῶν ἱππάρχης· [a]ὃς ἦν ἐξ ἀνδρῶν τῶν ἐπιφανεστάτων ἐν Ἀρκαδίᾳ· ὃς πρῶτα μὲν ἔφυ καλῶς, τραφεὶς καὶ παιδευθεὶς ὑπὸ Κλεάνδρου τοῦ Μαντινέα, [aa]πατρικὸν μὲν αὐτοῖς ξένον ὑπάρχοντα· παραγενόμενος δὲ ἐς ἡλικίαν, ἐγένετο ζηλωτὴς Ἐκδήμου καὶ Δημοφάνους, οἳ ἦσαν ἐκ Μεγάλης πόλεως, φεύγοντες δὲ τοὺς τυράννους, καὶ συμβιώσαντες [b]Ἀρκεσίλᾳ τῷ φιλοσόφῳ· οἳ συνεπελάβοντο τῆς καταλύσεως Νεοκλέους τοῦ Σικυωνίων τυράννου. Ἦν δὲ καὶ περὶ τὸν βίον ἐπιμελὴς, καὶ λιτὸς κατὰ τὴν περικοπὴν, παρειληφὼς παρὰ τῶν προειρημένων ἀνδρῶν τὰς τοιαύτας δόξας, ὡς οὐχ οἷόν τε τῶν κοινῶν προστατεῖν καλῶς τὸν ὀλιγωροῦντα τῶν κατὰ τὸν ἴδιον βίον· οὔτε μὴν [c]ἀποσχέσθαι τῆς πατρίδος, ὅστις πολυτελέστερον ζῇ τῆς κατὰ τὴν ἰδίαν ὕπαρξιν χορηγίας. Παραλαβὼν δὲ τοὺς ἱππεῖς παντὶ τρόπῳ [d]κατεφθαρμένους, καὶ τὰς ψυχὰς τῶν ἀνδρῶν ἡττημένας, οὐ μόνον αὐτοὺς ἑαυτῶν βελτίους, ἀλλὰ καὶ τῶν ὑπεναντίων κρείττους ἐν ὀλίγῳ χρόνῳ κατεσκεύασε, πάντας εἰς ἀληθινὴν ἄσκησιν καὶ ζῆλον ἐπιτευκτικὸν ἐμβιβάσας. Τῶν μὲν γὰρ ἄλλων οἱ πλεῖστοι τῶν καθισταμένων ἐπὶ τὴν ἀρχὴν ταύτην, οἱ μὲν διὰ τὴν [e]οἰκείαν ἀδυναμίαν ἐν τοῖς ἱππικοῖς, οὐδὲ τοῖς πλησίον τολμῶσιν [f]οὐδένων καθήκειν προστατεῖν· [g]οἱ δὲ τῆς στρατηγίας ὀρεγόμενοι, διὰ ταύτης τῆς ἀρχῆς ἐξεριθεύονται τοὺς νέους, καὶ παρασκευάζουσιν εὔνους συναγωνιστὰς εἰς τὸ μέλλον, οὐκ ἐπιτιμῶντες τῷ δεομένῳ, δι' οὗ τρόπου σώζεται τὰ κοινὰ, συμπεριστέλλοντες τὰς ἁμαρτίας, καὶ μικρᾷ χάριτι μεγάλα βλάπτοντες τοὺς πιστεύοντας. Εἰ δέ ποτε καὶ γένοιντο τῶν ἀρχόντων τινὲς τῇ κατὰ σῶμα χρείᾳ δυνατοὶ, [gg]πρός τε τὸ τῶν κοινῶν ἀπέχεσθαι πρόθυμοι, πλείω κακὰ τῶν ὀλιγωρούντων διὰ τὴν κακοζηλίαν ἀπεργάζονται τοὺς πεζοὺς, ἔτι δὲ μᾶλλον τοὺς ἱππεῖς.

[h]Φιλοποίμενος Ἀρκάδες [i]ἔχουσι μάλιστα μνήμην, γνώμης τε ἕνεκα, καὶ ἔργων, ὧν ἐτόλμησε. Πατὴρ μὲν οὖν ἦν [k]αὐτῷ [l]Κραῦγις, οὐδενὸς Ἀρκάδων τῶν ἐν [m]Μεγάλῃ πόλει τὰ ἐς γένους δόξαν λειπόμενος· οὗ τελευτήσαντος, διδασκάλοις τε ἄλλοις ὡμίλησε, καὶ [n]Μεγαλοφάνει τε [o]καὶ Ἐκδήλῳ, τοῖς Ἀρκεσιλάου τοῦ [p]Πιταναίου μαθηταῖς. Μέγεθος μὲν δὴ καὶ σώματος ῥώμην ἀπέδει Πελοποννησίων οὐδενὸς, [q]τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακός. Καὶ [r]ἐπὶ μὲν τοὺς στεφανίτας ἀγῶνας ὑπερεφρόνησεν ἀσκῆσαι, γῆν δὲ ἣν ἐκέκτητο ἐργαζόμενος, οὐδὲ τὰ θηρία ἠμέλει τὰ ἄγρια [s]ἐξαιρεῖν. Ἐπελέγετο δὲ καὶ βιβλία σοφῶν [t]τε τῶν εὐδοκίμων παρ' Ἕλλησι, καὶ ὅσα ἐς πολέμων μνήμην, καὶ εἴ τι ᾔδει ἔχειν διδασκαλίαν στρατηγημάτων· [u]καταστήσασθαι δὲ τὸν βίον πάντα θέλων γνώμης τῆς Ἐπαμινώνδα καὶ ἔργων εἶναι τῶν ἐκείνου μίμησιν, [x]οὐ πάντα ἦν ἐξισωθῆναι δυνατός. Ἐπαμινώνδα γὰρ τά τε ἄλλα ἡ [y]ψυχὴ καὶ μάλιστα πρᾶος ἦν τὰ ἐς ὀργὴν, [z]τῷ δὲ Ἀρκάδι μετῆν γε θυμοῦ. Καταλαβόντος δὲ Κλεομένους [a]Μεγάλην πόλιν, Φιλοποίμην οὔτε τῆς ξυμφορᾶς ἐξεπλάγη τὸ ἀπροσδόκητον, [b]καὶ τῶν ἐν ἡλικίᾳ τὰ δύο μάλιστα μέρη, καὶ γυναῖκας καὶ παῖδας ἀπέσωσεν ἐς Μεσσήνην. Ἐπικηρυκευομένου δὲ Κλεομένους, ὡς μεταγινώσκοντος ἐπὶ τῷ τολμήματι, καὶ θέλοντος κατάγεσθαι Μεγαλοπολίτας εἰς τὴν ἑαυτῶν, Φιλοποίμην ἔπεισε μεθ' ὅπλων καὶ οὐ μετὰ σπονδῶν τὴν κάθοδον ποιήσασθαι· [c]γενομένης δὲ πρὸς Κλεομένην μάχης, ὁ Φιλοποίμην ἐν τοῖς ἱππεῦσι ταττόμενος, ὁρῶν τὸ πεζὸν λειπόμενον, ὁπλίτης ἑκὼν ἐγένετο, καὶ αὐτὸν λόγου ἀξίως κινδυνεύοντα τῶν τις Λακεδαιμονίων δι' ἀμφοτέρων [d]ἔπειρε τῶν μηρῶν. Ὁ δὲ, καίτοι οὕτω πεπεδημένος, τά τε γόνατα ἐνέκλινε, καὶ εἰς τὸ πρόσω χωρεῖν ἐβιάζετο,

a praecedentibus divulsa, proprium articulum constituunt: sed male omnino. Connectenda enim hæc cum superioribus esse non solum patet ex sensu; sed etiam ex Photio, loco ante laudato, itemque ex ipso Suida supra v. Ἔρως. KUST. ἡ ἀγχίνοια rell. om. V.

ΦΙΛΟΠΟΝΟΣ] Deest gl. V.

ΦΙΛΟΠΟΙΜΗΝ Ἀχαιῶν Ἱππ.——τοὺς πεζοὺς, ἔτι δὲ μᾶλλον τοὺς ἱππεῖς] Hæc omnia esse Polybii patet ex Collectaneis Constantini Porphyrog. a Valesio editis, p. 41, 42. ubi ea scriptori illi tribuuntur. KUST.

[a] ὃς] Οὗτος ὁ Φιλοποίμην V.

[aa] πατρικὸν αὐτῷ] πατρικὸν μὲν A.V. Tum αὐτοῖς A.B. cum Excerpt. αὐτοῦ V.

[b] Ἀρκεσιλάῳ] Ἀρκεσίλᾳ V.

[c] ἀποσχέσθαι] ἀπεχέσθαι V.

[d] διεφθαρμένους] κατεφθαρμένους A.B.V.E. Exc.

[e] οἰκείαν] οἰκίαν A. ἰδίαν Excerpt.

[f] οὐδένων καθήκειν προστατεῖν] Valesius recte emendat, οὐδὲν ὧν καθήκει προστάττειν. KUST. καθήκει E.

[g] Οἱ δὲ τῆς στρατηγ.——συναγωνιστὰς εἰς τὸ μέλλον] Hæc leguntur etiam supra, v. Ἐξεριθεύονται. KUST.

[gg] πρός τε] τε om. M. qui mox κακούς.

[h] Φιλοποίμενος] Seqq. Pausaniæ verba sunt VIII. 49. aliquantum mutata.

[i] ἔχουσι μάλιστα] μάλιστα ἔχουσι A.

[k] αὐτῷ om. A.

[l] Κραῦγις] Plutarchus, in Philopœmene, patrem ejus Κραῦσιν vocat. KUST.

[m] Μεγάλῃ πόλει τὰ] μεγαλοπόλει τὰς V.

[n] Μεγαλοφάνει καὶ Ἐκδήλῳ] Supra iidem præceptores Philopœmenis, auctore Polybio, vocantur Δημοφάνης et Ἔκδημος: quod potius sequendum puto: præsertim cum et a Plutarcho in Philopœmene p. 356. eos sic appellari videam. KUST.

[o] καὶ] τε καὶ A.

[p] Πιταναίου] Πιτανέου A. Tum μαθητοῦ A.B.V.E.

[q] τὸ δὲ εἶδος ἦν τοῦ προσώπου κακὸς] Lepida hanc in rem historia refertur a Joanne Tzetze, Chil. VI. c. 89. KUST.

[r] τοὺς μὲν] ἐπὶ μὲν τοὺς A.B.V.E.

[s] ἐξαίρειν] Scr. ἐξαιρεῖν. Vid. Valcken. ad Eurip. Hipp. 18.

[t] τε τῶν] τῶν om. V.

[u] καταστήσασθαι] καταστήσας δὲ V. Mox Ἐπαμινώνδου E.

[x] οὐ μὴν πάντα] οὐ πάντα A. οὐ μὴ π. V. οὐ τὰ πάντα Pausan.

[y] ψυχὴ κάλλιστα ἔχουσα] κάλλιστα ἔχουσα om. A. pr. V. Tum V. καὶ μάλιστα πρᾶος ἦν.

[z] τῷ δὲ Ἀρκάδι μετῆν] τῶν δὲ Ἀρκάδων μετῆν γε A.V. θυμοῦ om. B.E.

[a] Μεγάλην πόλιν] μεγαλόπολιν V.

[b] καὶ τῶν] καὶ om. A.

[c] Γενομένης δὲ] γενομένης μὲν V.

[d] ἔπειρε] ἔπηρε V. qui mox οὕτως πεπεδημένως.

ὥστε καὶ [e]ὑπὸ τῶν ποδῶν τοῦ κινήματος τὸ δόρυ A ἔκλασε. Μετὰ δὲ τὴν νίκην ἐς τὸ στρατόπεδον ἀχθέντος, ἐνταῦθα ἐξ ἀμφοτέρων αὐτῶν τῶν μηρῶν οἱ ἰατροὶ, τῇ μὲν, τὸν σαυρωτῆρα ἐξεῖλκον· τῇ δὲ, τὴν αἰχμήν. Ἀντίγονος δὲ, ὡς εἶδεν αὐτοῦ τὰ τολμήματα, [f]ἔσπευδεν ἀγαγεῖν αὐτὸν εἰς Μακεδονίαν. Φιλοποίμενι δὲ τούτου μὲν οὐδὲν ἐμέλησε· περαιωθεὶς δὲ ἐς Κρήτην μισθοφόρος ἡγεμὼν, αὖθις ἐπανῆκεν εἰς [g]Μεγάλην πόλιν, καὶ ᾑρέθη ἄρχειν τῶν Ἀχαιῶν. B

**Φίλος**: Ἀντὶ τοῦ ὄφελος. [h]Σοφοκλῆς Ἠλέκτρᾳ·

> Οἴμοι τάλαινα, τῆς ἐμῆς πάλαι τροφῆς
> ἀνωφελήτου, τὴν ἐγὼ θάμ' ἀμφὶ σοὶ
> πόνῳ γλυκεῖ [i]παρέσχον. Οὔτε γάρ ποτε
> μητρὸς σύ γ' ἦσθα μᾶλλον, ἢ κἀμοῦ φίλος.

Φίλος ἀντὶ τοῦ, χρήσιμος.

> [k]Τίς γὰρ ἐσθλὸς οὐχ αὑτῷ φίλος;

C Ὁ γὰρ ἀγαθὸς αὐτῷ τε καὶ τοῖς φίλοις χρήσιμος.

**Φίλος**: Ἕτερος αὐτός. [l]Τῶν δ' ἀγαθῶν τε καὶ αἱρετῶν τὰ μὲν δι' αὑτά ἐστιν αἱρετὰ, ὡς ἡ εὐδαιμονία, καὶ ὅσα τίμια· τὰ δὲ δι' ἕτερον, οἷον, τέμνεσθαι, γυμνάζεσθαι, χρηματίζεσθαι. Δι' αὑτὰ δὲ αἱρετὰ, καὶ δι' ἕτερα· οἷον, αἱ ἀρεταί· καὶ γὰρ δι' αὑτὰς καὶ διὰ τὴν εὐδαιμονίαν αἱρούμεθα. Καὶ τὴν μὲν ὑγίειαν D δι' αὑτὴν αἱρούμεθα· [m]τὸ δὲ γυμνάζεσθαι, διὰ τὴν ὑγίειαν· αἱρετώτερον ἄρα ἡ ὑγιεία τοῦ γυμνάζεσθαι. Καὶ εἰ τὸν μὲν φίλον αἱρούμεθα ὡς αὑτοὺς, εἴγε ὁ φίλος ἕτερος αὐτὸς, τὰ δὲ χρήματα δι' [n]ἑαυτοὺς, αἱρετώτερος ἄρα ὁ φίλος τῶν χρημάτων. Αἱρετὸς γὰρ ἕκαστος αὐτὸς ἑαυτῷ, ὥστε καὶ φίλος. Ἀλλὰ καὶ ὕπνου ἐγρήγορσις αἱρετωτέρα, εἰ ὁ ὕπνος ἐπὶ τὴν ἐγρήγορσιν ἔχει τὴν ἀναφοράν· ἵνα γὰρ δυνώμεθα ἐγρηγορέναι, ὕπνου καὶ ἀναπαύσεως δεόμεθα. Οὕτως ἂν E δεικνύοιτο καὶ [o]φιλοσοφία ῥητορικῆς αἱρετωτέρα.

**Φιλοσκώμμονος**: Τὸ σκώπτειν φιλοῦντος.

A **Φιλοσοφεῖν**: Σπουδάζειν.

Ὅτι εἰ [p]λέγοι τις, μὴ χρὴ φιλοσοφεῖν· ἐπεὶ φιλοσοφεῖν λέγεται καὶ τὸ ζητεῖν αὐτὸ τοῦτο, εἰ χρὴ φιλοσοφεῖν ἢ μὴ, ἀλλὰ καὶ τὸ τὴν φιλόσοφον θεωρίαν [q]μετιέναι· ἑκάτερον αὐτῶν δείξαντες οἰκεῖον πανταχόθεν τῷ ἀνθρώπῳ, πανταχόθεν ἀναιρήσομεν τὸ τιθέμενον.

**Φιλοσοφεῖν**: Ἀντὶ τοῦ πονεῖσθαι.

B

> Φιλοσοφεῖ δὲ [r]τοῦθ', ὅπως
> καταπράξηται τὸν γάμον.

Ἔφη Μένανδρος. Οὕτω καὶ Ἰσοκράτης.

**Φιλοσοφία** ἐστὶν ἠθῶν κατόρθωσις μετὰ δόξης τῆς περὶ τοῦ ὄντος γνώσεως ἀληθοῦς. [s]Ταύτης δὲ ἀπεσφάλησαν Ἰουδαῖοι καὶ Ἕλληνες. Διαιρεῖται δὲ ἡ φιλοσοφία εἰς ἠθικὴν, θεολογικὴν, φυσικήν. Καὶ ἡ ἀληθεστάτη γνῶσις τῆς ψυχῆς πρὸς πᾶσαν [t]φιλοσοφίαν συμβάλλεται. Καὶ πρὸς μὲν τὴν ἠθικὴν, ὅτι ἀδύνατον ἡμᾶς τὰ ἑαυτῶν κατακοσμῆσαι ἤθη, τὰς δυνάμεις τῆς ψυχῆς μὴ ἐπεσκεμμένους· πρὸς δὲ θεολογίαν, ὅτι ζητοῦμεν περὶ τοῦ νοῦ τοῦ χωριστοῦ τοῦ ἐν ἡμῖν, ὅτι καὶ αὐτὸς ἀθάνατος· ἐπειδὴ καὶ [u]ὁ νοῦς [x]τῶν νοητῶν ἐστι. Νοῦς τῶν πρός τι ἐστί. Τῶν δὲ πρός τι ὁ τὸ ἓν εἰδὼς, καὶ τὸ ἕτερον εἴσεται. Δῆλον δὲ, ὅτι ἡ θεωρία τοῦ ἡμετέρου νοῦ καὶ εἰς θεολογίαν μεγάλα συμβάλλεται, [y]συμβάλλεται δὲ ἡμῖν καὶ πρὸς τὴν φυσικὴν, εἴγε φυσικοῦ μέν ἐστιν ἔργον τὸ περὶ τῶν σωμάτων διαλεχθῆναι, καὶ τῶν εἰδῶν αὐτῶν, καὶ δυνάμεων· τῶν δὲ ἐν σώμασιν εἰδῶν τὸ κάλλιστον, ἡ ψυχή.

**Φιλοσοφίας** ὄφελος, τὸ μηδὲν ἡγεῖσθαι δεινὸν ἀναχωρῆσαι [z]τοῦ θυλακίου τῶν κρεϋλλίων, καὶ πρὸς γυναῖκα καὶ παῖδας ἄτεγκτον ἔσεσθαι.

**Φιλόσοφος**: Ὃς [a]τοὺς τοῦ Πλάτωνος Νόμους διεῖλεν εἰς βιβλία ιβ', τὸ γὰρ ιγ' αὐτὸς προσθεῖναι λέγεται. Καὶ ἦν Σωκράτους καὶ [b]αὐτοῦ Πλάτωνος ἀκουστὴς, σχολάσας τοῖς μετεώροις. Ὧν δὲ κατὰ

[e] ὑπὸ] ἐπὶ V. Mox κατὰ M. pro μετά.
[f] ἔσπευδεν] ἔσπευσεν A.E.
[g] Μεγάλην πόλιν] μεγαλόπολιν A.V.
[h] Σοφοκλῆς Ἠλέκτρᾳ] Ver. 1146.
[i] παρέσχον] παράσχον B.
[k] Τίς γὰρ] Soph. Œd. Col. 309.
[l] Τῶν δ' ἀγαθῶν τε καὶ αἱρετῶν τὰ μ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sumpta sunt ex Alex. Aphrodis. in lib. III. Topic. p. 120. KUST.
[m] τὸ δὲ] τὸ γὰρ A.
[n] ἑαυτοὺς] αὐτοὺς A.B.E.
[o] φιλοσοφία ῥητορικῆς] φιλοσοφικῆς A.
ΦΙΛΟΣΚΩΜΜΟΝΟΣ] Φιλοσκόμβωνος A. ubi om. τὸ σκώπτειν φιλ.
[p] λέγοι] λέγοι A.B.V.
[q] εἰ χρὴ μετιέναι] εἰ χρὴ om. A.B.V.
ΦΙΛΟΣΟΦΕΙΝ: Ἀντὶ τ.] Ex Harpocratione. KUST.
[r] τοῦτο ὅπως καταπράξηται] τοῦθ' ὅπως καταπράξεται Bentl. ad Menand. Θρασυλ. p. 33.
[s] Ταύτῃ] ταύτης A.B.V.E.
[t] φιλοσοφίαν] τὴν φιλ. V.
[u] ὁ νοῦς τῶν νοητ.] Confer Joann. Philop. in l. 1. Arist. de An. A. 3. a. KUST.
[x] τῶν νοητῶν] τῶν om. B.E.
[y] συμβάλλεται δὲ ex A.B.V.E.M.
ΦΙΛΟΣΟΦΙΑΣ ὄφελ.] Hæc ex Synesio excerpsit Suidas, sed ita, ut et verborum constructionem nonnihil immutaverit, et ipsam sententiam adulteraverit. Apud ipsum enim Synesium Epist. CXXXI. in fine, sic legitur: Δεῆσαν ἢ ἀποθνήσκειν, ἐνταῦθα τὸ φιλοσοφίας ὄφελος, τὸ μηδὲν ἡγεῖσθαι δεινὸν, ἀποχωρῆσαι τοῦ θυλακίου τῶν κρεϋλλίων. εἰ δὲ πρὸς τὴν γυναῖκα καὶ τὸ παιδίον ἄτεγκτος ἔσομαι, τοῦτο δὲ οὐ F σφόδρα διεγγυῶμαι. KUST.
[z] τοῦ θυλακίου] τῶν θυλακίων A. pr.
ΦΙΛΟΣΟΦΟΣ: Ὃς τοὺς τοῦ Πλ.] Quis sit philosophus iste anonymus, de quo Suidas hic agit, diu investigavi. Tandem inveni, eum esse Philippum Opuntium, discipulum Platonis; idque indicio Laërtii in vita Platonis, num. 37. Ibi enim legas, Philippum Opuntium a nonnullis auctorem perhiberi Epinomidis, qui est liber XIII. Legum Platonis: quod ipsum quoque de philosopho anonymo Suidas hic refert. Præterea Noster G philosophi anonymi scripta recensens, eum inter alia de Locris Opuntiis scripsisse testatur: quod quam bene in Philippum Opuntium conveniat, nemo non videt. KUST. Leg. Φίλιππος ὁ Ὀπούντιος. Ita Gesner. in Bibl. Epit. et probat Vossius De Scient. math. c. 26. et 62. REINES. Ergo Kusterus non fuit primus qui hanc lectionem erueret. Quæ vero lectio, si vera est, uti esse videtur, a Suida e fonte turbido, vel ex Eudocia, quæ φιλόσοφος quoque exhibet, hausta est. Fortasse in H Scholiasta, s. scriptore, unde hæc gl. est ducta, legebatur, Φίλιππος φιλόσοφος. MULLER. Φιλόσοφος pro nomine proprio philosophi cepit Menagius ad Laërt. III. 57. IX. 67. Conf. Solanum ad Lucian. Vit. Auct. c. 27.
[a] τοὺς τοῦ] τοὺς om. V. τοῦ om. A.
[b] αὐτοῦ τοῦ] τοῦ om. A.E.

Φίλιππον τὸν [c]Μακεδόνα, συνεγράψατο τάδε· Περὶ τῆς ἀποστάσεως ἡλίου καὶ σελήνης, Περὶ Θεῶν, β', Περὶ χρόνου, ἕν, Περὶ μύθων, ἕν, Περὶ ἐλευθερίας, α', [d]Περὶ ὀργῆς, α', Περὶ ἀνταποδόσεως, α', Περὶ Λοκρῶν τῶν Ὀπουντίων, Περὶ ἡδονῆς, α', Περὶ ἔρωτος, ἕν, Περὶ φίλων καὶ φιλίας, α', Περὶ τοῦ γράφειν, Περὶ [e]τοῦ Πλάτωνος, Περὶ [f]ἐκλείψεως σελήνης, Περὶ μεγέθους ἡλίου καὶ σελήνης καὶ γῆς, α', Περὶ ἀστραπῶν, Περὶ πλανητῶν, Ἀριθμητικὰ, Περὶ πολυγώνων ἀριθμῶν, Ὀπτικῶν, β', Ἐνοπτικῶν β', Κυκλιακὰ, Μεσότητας· καὶ ἄλλα.

Φιλόσοφος:

Ὅτι μείζονα τὸν βίον εὐεργετεῖ φιλόσοφος ἀνὴρ, ἤπερ ἄριστος βασιλεύς.

Φιλοσοφῶ: Αἰτιατικῇ.

Φιλόστρατος, Φιλοστράτου, τοῦ καὶ Βήρου, Λημνίου, σοφιστοῦ, καὶ αὐτὸς δεύτερος σοφιστὴς, σοφιστεύσας ἐν Ἀθήναις· εἶτα ἐν Ῥώμῃ, ἐπὶ Σεβήρου τοῦ βασιλέως, καὶ ἕως Φιλίππου. Ἔγραψε Μελέτας, Ἐπιστολὰς ἐρωτικὰς, Εἰκόνας ἤτοι ἐκφράσεις, [g]ἐν βιβλίοις δ', Διαλέξεις, Αἶγας ἢ περὶ αὐλοῦ, Ἀπολλωνίου [h]βίον τοῦ Τυανέως, ἐν βιβλίοις η', [i]Ἀγορὰν, [k]Ἡρωϊκὸν, Βίους Σοφιστῶν, [l]ἐν βιβλίοις δ', Ἐπιγράμματα, καὶ ἄλλα τινά. Πλὴν πρῶτος [m]ὀφείλει κεῖσθαι.

Φιλόστρατος ὁ πρῶτος, Λήμνιος, υἱὸς [n]Βήρου, [o]πατὴρ δὲ τοῦ δευτέρου Φιλοστράτου, [p]σοφιστὴς καὶ αὐτὸς, σοφιστεύσας ἐν Ἀθήναις, γεγονὼς ἐπὶ Νέρωνος. Ἔγραψε λόγους πανηγυρικοὺς πλείστους, καὶ λόγους Ἐλευσινιακοὺς δ', Μελέτας, Ζητούμενα παρὰ τοῖς ῥήτορσι, Ῥητορικὰς ἀφορμὰς, Περὶ τοῦ ὀνόματος· ἔστι δὲ πρὸς τὸν σοφιστὴν Ἀντίπατρον· Περὶ Τραγῳδίας βιβλία γ', Γυμναστικόν· ἔστι δὲ περὶ τῶν ἐν Ὀλυμπίᾳ ἐπιτελουμένων· Λιθογνωμικὸν, Πρωτέα, Κύνα ἢ Σοφιστὴν, [q]Νέρωνα, Θεατὴν, Τραγῳδίας [r]μγ', καὶ Κωμῳδίας ιδ', καὶ ἕτερα πλεῖστα καὶ λόγου ἄξια.

Φιλόστρατος, Νερβιανοῦ, [s]ἀδελφόπαιδος Φιλοστράτου τοῦ δευτέρου, Λήμνιος, καὶ αὐτὸς σοφιστὴς, καὶ παιδεύσας ἐν Ἀθήναις, τελευτήσας δὲ, καὶ ταφεὶς ἐν Λήμνῳ, ἀκουστὴς [t]τε καὶ γαμβρὸς γεγονὼς τοῦ δευτέρου Φιλοστράτου. Ἔγραψεν [u]Εἰκόνας, Παναθηναϊκὸν, Τρωϊκὸν, Παράφρασιν τῆς Ὁμήρου Ἀσπίδος, Μελέτας ε', τινὲς δὲ καὶ τοὺς τῶν Σοφιστῶν βίους ἐπ' αὐτὸν ἀναφέρουσιν.

Φιλοτέχνημα: Κατασκευὴ, καύχησις.

Φιλότης:

Φιλοτησία: Φιλία, δεξίωσις. Αἰλιανός·

Δοκεῖ τῷ δήμῳ διαμετρεῖν φιλοτησίαν τήνδε.

Φιλοτησία: Ἡ [x]φιάλη ἡ διδομένη ἐν τοῖς συμποσίοις. Ἐν γὰρ τῷ πότῳ φιλοφρονούμενοι ἀλλήλους, ἐπεδίδοσαν οἴνου κύλικα, ἣν φιλοτησίαν ἐκάλουν· ὡς Ὑπερίδης φησὶ, καὶ Ἄλεξις. Καὶ [y]Ὅμηρος·

Δειδέχατ' ἀλλήλους.

Καὶ αὖθις·

Ἐγχείτω τις τούτῳ φιλοτησίαν.

Καὶ φιλοτησίας, τὰς δεξιώσεις διὰ τῆς φιλίας. [z]Καὶ

[c] Μακεδόνα] λακεδαιμ V.

[d] Περὶ ὀργῆς—ἡδονῆς α' om. V. h. l. sed add. post πλανητῶν, sed sine περὶ ἀστραπ. α'.

[e] τοῦ Πλάτωνος] τοῦ om. A.

[f] ἐκλείψεως καὶ] ἐκλείψεως σελήνης A.B.V.E.

ΦΙΛΟΣΤΡΑΤΟΣ] De Philostratis videnda omnino est Dissertatiuncula Joannis Meursii, Epistolis Philostrati Lugd. Batav. an. 1616. ab ipso editis subjuncta; cujus summam et argumentum ipsis Meursii verbis, quæ p. 22. leguntur, lectori hic exhibebimus. "Ut rem recte "teneamus, (inquit vir doctus,) Philostrati Lemnii tres "fuerunt. Unus sub Nerone, quique vitam ad Trajanum etiam produxisse videtur. Alter, hujus ex "filia nepos; qui sub Antonino Philosopho natus, ad "Philippum usque vixit. Tertius, ejus ex Nerviano "fratre majore, ut arbitror, nepos, et gener. Prioris "scripta, Iconum libri II. qui falso a Suida secundo "tribuuntur. Alterius, Vita Apollonii, Heroica, Epi"stolæ, et Iconum liber unicus; quem male tertio tri"buit Suidas. Tertii, Vitæ Sophistarum; quas male "secundo adscribit Suidas." Hæc Meursius: præter quem consule etiam Vossium et Jonsium. KUST. Adde Valesii Emend. III. 13.

[g] ἐν βιβλίοις δ'] Hodie non quatuor, sed duo tantum Iconum libri exstant. Unde Meursius censet apud Suidam hic rescribendum esse, ἐν βιβλίοις β', cui non refragor. Ceterum opus hoc Iconum ad Philostratum primum referendum esse, Meursius in dicta Dissertatione ostendit. KUST.

[h] βίον τοῦ Τυανέως] Vid. Isidor. Ep. I. 300. REINES.

[i] Ἀγορὰν Ἡρωϊκὸν ante Διαλέξεις ponit A.

[k] Ἡρωϊκὸν] Imo Ἡρωϊκά. Opus hoc hodie adhuc exstat. KUST.

[l] ἐν βιβλίοις δ'] Hodie duo tantum de Vitis Sophistarum libri exstant, nec plures de eo argumento se scripsisse ipse Philostratus initio operis illius testatur, his verbis: Τοὺς ἐν δόξῃ τοῦ φιλοσοφῆσαι σοφιστεύσαντας, καὶ τοὺς οὕτω κυρίως προσρηθέντας σοφιστὰς ἐς δύο βιβλίους ἀνέγραψά σοι. Ex his clare patet scribendum hic esse apud Suidam, ἐν βιβλίοις β': ut et Meursius et Jonsius jam ante monuerunt. Ceterum opus istud de Vitis Sophistarum Philostrato tertio potius tribuendum esse, idem Meursius loco laudato contendit. KUST.

[m] ὀφείλει] ὀφείλεις A.

ΦΙΛΟΣΤΡΑΤΟΣ ὁ πρ.] Vid. Φρόντων Ἐμ. HEMST.

[n] Βήρου] Φιλοστράτου βήρου V.

[o] πατὴρ δὲ τοῦ δευτέρου Φιλ.] Imo potius avus maternus, ut Meursius censet. Eum vide, p. 15. KUST.

[p] σοφιστὴς καὶ αὐτὸς] καὶ σοφιστὴς καὶ αὐτὸς ἔγραψε V.

[q] Νέρωνα. Θεατὴν] Meursius absque interpunctione legendum censet, Νέρωνα θεατήν: ut sit unum opus, non duo. Existimat enim Philostratum illud opus scripsisse in Neronem, urbis incendium habitu scenico spectantem. KUST.

[r] μγ'] μς' V. Mox καὶ om. A.E.

ΦΙΛΟΣΤΡΑΤΟΣ ΝΕΡΒΙΑΝΟΥ] De eo Synesius initio Dionis. REINES.

[s] ἀδελφόπαιδος] Meursius recte emendat, ἀδελφόπαις. KUST.

[t] τε καὶ] δὲ καὶ A.

[u] Εἰκόνας] Hoc opus Philostrato secundo potius tribuendum esse censet Meursius loco laudato. KUST.

ΦΙΛΟΤΕΧΝΗΜΑ] Vid. Bast. ad Aristænet. p. 209.

ΦΙΛΟΤΗΣΙΑ: Ἡ φ.] Aristoph. Acharn. 982. Πῖνε, κατάκεισο, λαβὲ τήνδε φιλοτησίαν. Scholiastes: Φιλοτησίαν ἔλεγον τὴν φιάλην, τὴν διδομένην ἐν τοῖς συμποσίοις. KUST.

[x] φιάλη] φιλία V. mox συμποσίοις A.B.V. pro πότοις. Qui τῷ πότῳ pro τοῖς συμποσίοις.

[y] Ὅμηρος] Il. δ'. 4.

[z] Καὶ ΦΙΛΟΤΗΣΙΑΝ ΠΡΟΠ.] Confer omnino Nostrum supra v. Προπίνειν. KUST. Demosth. De Fals. Leg. p. 380, 27. ubi v. Taylorum. Adde El. Cretens. in Gregor. Naz. p. 447 A.B.

**Φιλοτησίαν** [a]**προπίνειν** ἐστὶν, ἡνίκα τις ἐν ἀρίστῳ ἀπὸ τῆς δοθείσης αὐτῷ φιάλης πιὼν μέρος, τὸ λοιπὸν παράσχῃ φίλῳ, καὶ τὴν φιάλην χαρισάμενος.

Χρέος: Παρὰ τὸ χρειῶδες λέγεται. Χρέος καὶ



A ἡ χρεὼν [i]παρὰ Ἀριστοφάνει·

Τί δ', ὦ τάλας, τοῦδ' [k]ἔχει τοῦ πλέκους χρέος;

Λέγει δὲ, σπυρίδος.

Χρέος: Τὸ δάνειον. Καὶ χρεῖος.

Χρεολυτῶ:

Χρεών: Εἱμαρμένον, τέλος ζωῆς. Αἰλιανός·

Ἐπεὶ δὲ ἐς γῆρας ἀφίκετο, τὸ κοινὸν τῇ πεπρωμένῃ χρεὼν ἐξέτισε, καὶ τῆς προσηκούσης κηδείας ἔτυχε.

B Τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἀπὸ τοῦ χρῶ, χρέω, γινόμενον οὐδέτερον, χρέον. Παρατροπὴ δὲ παρηκολούθησε τοῦ τόνου, καὶ κατὰ Ἀττικὴν ἔκτασιν ἐτράπη τὸ ό εἰς ώ, καὶ ἔστιν [l]ἄκλιτον. Τὰ δὲ εἰς ον ἐπιρρήματα διὰ τοῦ ό μικροῦ [m]γράφεται· πλὴν τοῦ χρεὼν, καὶ ἐμποδών.

Χρεῶν ἀποκοπαί: Ὅταν τὰ ὑπὸ τῶν πενήτων [n]ἀφαιρεθέντα ἄφεσιν λάβωσι.

C Χρεώστης: Ὁ δανειστής.

Χρεωφειλέτης: Ὁ χρεωστῶν.

Χρεία: Ὑπόθεσις, [o]πρόνοια.

[p]Ὁ ■ ὑπελάμβανεν ἐγιασθεὶς ἐκ τοῦ τραύματος ἀληθινὴν παρέχεσθαι χρείαν τοῖς κοινοῖς πράγμασι.

Καὶ παροιμία·

[q]Χρεία διδάσκει, κἂν ἄμουσος ᾖ, σοφὸν [r]Καρχηδόνιον.

D

ΧΩΡΙΤΗΣ] Plutarch. Sylla p. 456. τοὺς δὲ χωρίτας ἀγροίκους. Damasc. apud Phot. p. 1054. ἐγὼ χωρίτης εἰμι καὶ ἄγροικος. TOUP.

[b] Ὁ τόπος] ὁ om. A.

ΧΩΣΤΡΙΣ] Vide supra v. Χελώνη. KUST.

ΧΡΑΙΣΜΩΣΙΝ] Homer. Il. α'. 566. KUST.

[c] Ὠφελήσωσι] ὠφελήσουσι A. Mox βοηθήσωσι om. A.B. E.

ΧΡΕΜΕΤΙΖΕΙΝ—ἀποτελεῖν] Χρεμετίζει—ἀποτελεῖ A. Mox πτάρνυσθαι—χρέμπτεσθαι E.

[d] ΠΤΑΡΝΥΤΑΙ, καὶ χρ.] Hæc male subjiciuntur voci Χρεμετίζειν. Pertinent enim ad v. Χρέμπτεσθαι, vel χρέμψασθαι. KUST.

[e] Τὴν ἀρχὴν ὅπόθεν] Hæc sunt verba Juliani Orat. VII. p. 205. ubi male legitur, σπαρέντα ἢ χρεμψάμενον. Sed veram lectionem conservavit Suidas: quod et recte observavit Wyttenbachius. (Ep. Crit. p. 17.) Quin et vicissim Suidas ex Juliano corrigendus est: τὸν ΠΡΩΤΟΝ πτάρεντα ἢ χρεμψάμενον. *Qui primus sternutarit aut screarit.* Quod et sensus loci requirit. TOUP. Addidi πρῶτον cum A.B.E. Tum πταρέντα A. Statim delevi ΧΡΕΜΗΣ, χρέμητος. εἶδος ἰχθύος, cum A.B.E. Vid. Hesych. in Χρέμυς.

[f] Ὑπὸ χρεῶν ἐνοχλεῖται] Alias vocis χρεωκοπεῖται significationes vide in Lexicis vulgatis. KUST. Ordo literarum poscit Χρεοκοπεῖται.

[g] τῆς παρὰ] Ex Diodor. Exc. Legat. T. II. p. 623. ubi legitur χρεωκοπίας. Sextus Emp. p. 357. Phalaris p. 65. TOUP.

[h] χρεωκοπίας] χρεοκοπίας A.

ΧΡΕΟΣ—λέγεται habet Lex. Seg. Non mutarim cum Nækio Chœril. p. 217.

[i] παρὰ Ἀριστοφάνει] Acharn. 453. Τί δ', ὦ τάλας γε, τοῦδ' ἔχει πλέκους χρέος. KUST.

[k] ἔχει] ἔχῃ A. ἔχω B.

ΧΡΕΟΛΥΤΩ] Χρεωλυτεῖν Plutarch. Alcib. p. 194. TOUP. Χρεωλυτῶ B.

ΧΡΕΩΝ] Eustath. Il. α'. p. 166=125, 41. Σημείωσαι δὲ ὅτι καθ' Ἡρόδοτον καὶ τὸν Ξέρξην ὄνειρον ἔπεισε στρατεύσασθαι, ἵνα τὸ χρεὼν φησι γένηται. ἔνθα καὶ ὅρα τὸ ὄνειρον οὐδετέρως λεχθὲν, καὶ τὸ χρεὼν ἤτοι πεπρωμένον, ὅπερ τὸν παρ' Ὁμήρῳ Δία ἀλληγορεῖ, τὸν εἰς εἱμαρμένην λαμβανόμενον. Ἄλλος δὲ ῥήτωρ εἰπὼν ὡς ἀπῆλθεν ὁ δεῖνα εἰς τὸ χρεὼν, τὸν φυσικὸν οὕτω θάνατον ἔφρασεν. Nescio an rhetor iste sit Æschines Socr. qui in Axiocho c. 3. εἰς τὸ χρεὼν ἀπιέναι. Hunc Suidæ articulum copiose illustrat Leopardus Em. VI. 10. Adde Wyttenbach. Plutarch. II. p. 103 B. 113 C.

[l] ἄκλιτον] Eurip. Herc. Fur. 21. TOUP. Hippol. 1256.

[m] γράφεται] γράφονται A.

E ΧΡΕΩΝ ἈΠΟΚΟΠΑΙ] Vid. Astium ad Platon. Legg. III. 6. p. 160. Alia exempla dabit Wyttenbachii index ad Plutarchum v. Ἀποκοπή.

[n] ἀφαιρεθέντα] Corrupte pro ὀφληθέντα. KUST. ὀφειλόμενα Hesych.

[o] πρόνοια] Scribe, meo periculo, πενία, i. e. *paupertas*, vel *egestas*. Hesychius: Χρείην, τὴν ἔνδειαν. Et, Χρεῖαι, ἔνδειαι. Atqui, ἔνδεια et πενία idem significant. Pauper enim omnibus rebus indiget. KUST. Legebam aliquando χρεία, ἈΠΟΡΙΑ. Sed Kusterus, ΠΕΝΙΑ. Quod

F verum videtur. Euripides in Elect. 375. Ἀλλ' ἔχει νόσον ΠΕΝΙΑ· διδάσκει δ' ἄνδρα χ' ἡ ΧΡΕΙΑ κακόν. *Vitiosa est paupertas, et necessitas virum improbum facit.* Ita scribendus et vertendus iste locus, quem non intellexit Barnesius. Græci μουσικὸν, σοφὸν, κακὸν διδάσκειν, de quo Bentleius in Epistola ad Millium [p. 21.] Atque ad hunc Euripidis locum respexit, ut solet, Menander. Deinde lego, ΠΟΙΗΣΑΜΕΝΟΝ ΤΗΝ ἘΠΙΝΟΙΑΝ. *Dicitur hoc proverbium de Carthaginiensi, quem usus et necessitas scilicet ingeniosum fecerat.* Hæc est mens Suidæ.

G Ita locutus est Polybius lib. I. p. 28. Οὐδ' ἘΠΙΝΟΙΑΝ οὐδέποτε ΠΟΙΗΣΑΜΕΝΟΙ τῆς θαλάσσης. Eleganter Heliodorus Æthiop. lib. VII. p. 352. Ἀλλὰ τί δραστήριον ἘΠΙΝΕΝΟΗΚΕΝΑΙ μοι δοκῶ. Εὕρετις ἄρα ἐστὶ λογισμῶν ἡ ἀνάγκη. Est autem deprompta, ut videtur, ista παροιμία ex Menandri Καρχηδονίῳ. Ceterum παροιμία ista Menandri, quam laudat Suidas, est elegantissima parodia versiculi Euripidis in Telepho, cujus meminit Stobæus Florileg. p. 131. edit. Grot. Οὐ γάρ τ' Ὀδυσσεύς ἐστιν αἱμύλος μόνος.

H ΧΡΕΙΑ ΔΙΔΑΣΚΕΙ, κἂν βραδύς τις ᾖ, ΣΟΦΟΝ. TOUP. Vid. Meinekii fr. Menand. p. 93.

[p] Ὁ δὲ ὑπελάμβ.] Sunt verba Polybii lib. III. c. 70. KUST.

[q] Χρεία διδάσκ.] Vide Gatakerum in Miscell. Posthum. c. 10. p. 528. KUST. Arsen. in Apophth. sub Archyta, Χρειὼ πάντ' ἐδίδαξε. Euripid. in Fr. Sthenob. VIII.

Τουτέστιν, ἐνδεχομένην ἐκ τοῦ καιροῦ ποιησάμενοι τὴν ἐπίνοιαν.

Χρείειν: Τύπτειν.

Χρείῃ: Δέοι.

Χρείω: Ἡ χρεία.

Χρείω: Τὸ χρησμῳδοτῶ. Ἐπὶ ἐνεστῶτος [s]μόνου καὶ παρατατικοῦ· ἐπὶ δὲ τῶν λοιπῶν, διὰ τοῦ η'.

Χρείω: Τὸ μαντεύομαι, διὰ διφθόγγου· ὁ δὲ μέλλων, διὰ τοῦ η', χρήσω. Χρίω δὲ, τὸ ἀλείφω, διὰ τοῦ ι'.

Χρή: Ὀξυτόνως. [t]Ἤγουν δεῖ. Χρῇ δὲ, περισπωμένως, τὸ ὑποτακτικόν. Σημαίνει δὲ, τὸ δέῃ. Εὔπολις Αἰξίν·

> Ἐγὼ τελῶ τὸν μισθὸν, ἤν τιν' ἂν [u]χρῇ.

[[x]Καὶ χρῇ, ἐπὶ β' προσώπου τοῦ παθητικοῦ ἐνεστῶτος τοῦ χρῶμαι. Ὅπερ γίνεται ἀπὸ τοῦ χράῃ, χρᾷ, καὶ τροπῇ τοῦ α' εἰς η', χρῇ.] Χρῆν δὲ [y]σὺν τῷ ν', καὶ περισπωμένως, τὸ παρεληλυθὸς, τὸ ἔδει. Λέγουσι δέ ποτε καὶ [z]χρῆσθαι, ἀντὶ τοῦ δεῖ. Φερεκράτης Λήροις·

> Τί δ' ἄρα μοι κάτειπε, τί σε χρῆσθαι καλεῖν.

Ἀριστοφάνης Λημνίαις·

> [a]Ἡ καρδία τε τίς; ἀλλὰ πῶς χρῆσθαι ποιεῖν;

Χρῇς δὲ, τὸ χρῄζεις, καὶ δέῃ. Κρατῖνος Νόμοις·

> [b]Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ
> τῶν ἡμετέρων, πάρα δ' [c]ἄλλ' ὅ τι χρῇς.

Χρείη δὲ, τὸ [d]δέοι. Πλάτων [e]Εὐθύφρονι·

> [f]Πευσόμενοι τοῦ ἐξηγητοῦ [g]τί χρείη ποιεῖν.

Χρηΐζω: Γενικῇ. [h]Θέλω.

Χρῆμα: Πρᾶγμα, ἢ κτῆμα, πλοῦτος, οὐσία, λῆμμα.

> [i]Τὸ δὲ δωμάτιον ζοφῶδες ἦν, καὶ ἀδιατύπωτον, καὶ ὥρᾳ θέρους ἐς τὰ μάλιστα [k]ἀνάρμοστον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἱρκτήν.

Καὶ αὖθις·

> [l]Ὁ δὲ κατέσεισεν ἅπαντα, καὶ κατεβρόντησεν ἐς τοσοῦτον, ὥστε ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν.

[m]Ἰουλιανός·

> Πρὸς τὴν Ἑρκυνίαν ὕλην ἐθεώρησα, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον. Ἰδοὺ γοῦν σοι θαρρῶν ἐγὼ ἐγγυῶμαι, [n]μή ποτε ὦφθαι τοιοῦτον, μηδὲ ὅσα γε ἡμεῖς ἴσμεν ἐν τῇ Ῥωμαίων. Ἀλλ' εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις, εἴτε τὰ ἐν Θερμοπύλαις, εἴ τε τὸν μέγαν καὶ διωλύγιον Ταῦρον, ἐλάχιστον ἔστω χαλεπότητος ἕνεκα πρὸς [o]τὸ Ἑρκύνιον τοὔνομα.

Καὶ [p]Εὐνάπιός φησιν·

> Ὁ δὲ τὰς δυνάμεις ὕβρισε, [q]τὸ χρῆμα τῆς διαβάσεως ἐπιστέρχων ἤδη, καὶ συμβιαζόμενος, καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων.

Χρῶμα: Πρᾶγμα.

> Μέγα [r]τὸ χρῆμα καὶ θαυμάσιον, ἀνὴρ καὶ ψυχὴ δεόντως ἁρμοσθεῖσα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν, πρὸς ὅ τι ἂν ὁρμήσῃ τῶν ἐξ ἀρχῆς ἔργων.

Καὶ αὖθις·

> Εἰκάζετο ἐν βαθεῖ ἀγέλῃ μεγίστῃ τὸ χρῆμα.

---

Μουσικὴν ἔρως διδάσκει, κἂν τις ἄμουσος ᾖ τὸ πρίν. Et in fr. Teleph. XIX. χρεία διδάσκει, κἂν βραδύς τις ᾖ, σοφόν. Aristoph. Vesp. ῥᾳδίως ἐγὼ διδάξω, κἂν ἄμουσος ᾖ τὸ πρίν. REINES.

[r] Καρχηδόνιοι] Leg. Καρχηδόνιοι, et junge cum sqq. τουτέστιν etc. Exciderunt hic quædam, quæ essent de Carthaginiensibus. Sic H. Steph. præf. lib. de Parodiis. REINES.

ΧΡΕΙΕΙΝ] Leg. Χρίειν. VALCK. Similiter Ruhnkenius ad Timæum p. 104.

ΧΡΕΙΗΙ: Δέῃ] Χρείη: δέοι A. cum Schol. Platon. p. 223. Vide Dawes. Misc. Crit. p. 332.

[s] μόνου] καὶ μόνου A.

[t] Ἤγουν om. A. qui δὲ om. post σημαίνει.

[u] χρῇ] Metri gratia scribendum est χρέῃ. KUST. μοι χρῇ Valckenær.

[x] Καὶ ΧΡΗΙ—χρῇ om. A.B.

[y] μετὰ τοῦ] σὺν τῷ A.

[z] ΧΡΗΣΘΑΙ] Hermannus ad Soph. Œd. Col. p. 113. hic et in exemplis reponit χρῆσται.

[a] Ἡ καρδία τε τίς;] Desunt hæc verba A. cum lacuna tamen.

[b] Νῦν γὰρ δή σ.] Lego et distinguo, Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων, πάρα δ' ἄλλων, Ὧν χρῇς. KUST.

[c] ἀλλ' ὅ τι χρῇς] ἄλλοτε χρῇς E. ἀλλά τι χρῆσθαι A.B.

[d] δέοι] δέῃ A.

[e] Εὐθύφρονι] P. 4.

[f] Πευσόμενοι τοῦ ἐξηγ.] Apud ipsum Platonem in Euthyphrone sic legitur, Πευσόμενον τοῦ ἐξηγητοῦ, ὅ τι χρὴ ποιεῖν. KUST.

[g] τί χρείη] L. ὅ τι χ. Vid. de χρείη, vel potius χρεῖ' ᾖ ad Hesych. et Dawes. (p. 332.) notata. VALCK.

[h] Θέλω addunt A.B.

[i] Τὸ δὲ δωμάτιον] Hæc sunt verba Menandri in Excerptis Hœschelii p. 145. [170 Par.] ubi legitur: τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ ἰκάπνευτον. Vox postrema corrupta est. Sed conjecturis nihil opus. Nam Menander proculdubio ex Suida corrigendus est. Δωμάτιον ζοφῶδες καὶ ΑΔΙΑΤΥΠΩΤΟΝ. *Domus tenebricosa et incommoda.* *A dark dismal hole.* Quod unice et elegantissime dictum. Vox occurrit apud Ocell. Lucan. de Univers. c. 2. Καὶ ὁ ἀὴρ ΑΔΙΑΤΥΠΩΤΟΣ πρὸς ψόφον καὶ πρὸς λέξιν καὶ μέλος. Theophyl. Simocatta in Hist. lib. VI. 1. p. 144. Ἀλλότριόν τε καὶ ΑΔΙΑΤΥΠΩΤΟΝ. Hesych. Ἀμόρφωτον· ΑΔΙΑΤΥΠΩΤΟΝ. Occurrit etiam eadem vox apud Philonem vol. II. p. 269. edit. Mangey. Atque hæc scripseram. Sed cum noster Suidas, ut est homo suavissimus et fidei parum Græcæ, nos non raro ludificetur, vide an Menander Menandro leviori manu restitui possit. Itaque lego, Τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ ΑΔΙΑΠΝΕΥΣΤΟΝ. Nimirum quicquid tectorum amplum et εὐρύχωρον est, Græcis διαπνεῖσθαι dicitur. Jamblichus de Vita Pythagoræ cap. 16. p. 56. edit. Kuster. Κατέδειξεν τοῖς ἑταίροις ἐχεμυθίαν τε καὶ παντελῆ σιωπὴν πρὸς τὸ γλώσσης κρατεῖν συνασκοῦσαν ἐπὶ ἔτη πολλὰ, σύντονόν τε καὶ ΑΔΙΑΠΝΕΥΣΤΟΝ περὶ τὰ δυσληπτότατα τῶν θεωρημάτων ἐξέτασίν τε καὶ ἀνάληψιν. Hesychius; Ῥιπιστά, ΔΙΑΠΝΕΟΜΕΝΑ. Quod respexit ad Jerem. XXII. 14. Ὠκοδόμησας σεαυτῷ οἶκον σύμμετρον, ὑπερῷα ῬΙΠΙΣΤΑ. Theophylact. Epist. p. 69. Καὶ τὰ ἐν Σούσοις καὶ Ἐκβατάνοις βασίλεια καλύβας ἀτεχνῶς πρὸς τὰ ἐμὰ πελέθρα καὶ ΤΟΥΣ ῬΙΠΙΣΤΟΥΣ ΟΙΚΟΥΣ, οἷς ἐνθερίζων ἀναψύχω τὸν τῶν ἐκφαινομένων μοι σαρκῶν κάματον. *Domum perflatilem* vocat Apuleius. Hinc recte Menander. Δωμάτιον ζοφῶδες καὶ ΑΔΙΑΠΝΕΥΣΤΟΝ. *Domus tenebricosa et imperflatilis.* Quod æstate præsertim perquam incommodum. Et hoc verum. TOUP.

[k] ἀνάρμοστον] ἀναρμόδιον B.

[l] Ὁ δὲ κατέσεισεν ἅπ.] Hæc sunt verba scriptoris incerti de Eutropio eunucho, ut patet ex ipso Suida supra v. Εὐτρόπιος. KUST. Eunapii Fr. 32.

[m] Ἰουλιανός] Non in iis, quæ hodie exstant operibus. KUST.

[n] μή σε] μή ποτε A.B. μήτε E. Post ὅσα omnes om. ποτέ.

[o] τὸν Ἑρκύνιον] τὸ Ἑρκύνιον A.B.E.

[p] Εὐνάπιος] Fr. 67.

[q] καὶ τὸ] καὶ om. A.B. Mox βιαζόμενος B.E. qui infra om. ψυχῆς cum M.

[r] τι χρῆμα] τὸ χρῆμα A. Mox δὲ οὕτως E. pro δεόντως.

[illegible]

Χρηστόν: Χρήσιμον.

[r] Ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.

Χρηστός: Ὁ ἀγαθός.

Καὶ χρηστὸς ἐξ ἀγάπης, ἀλλ' οὐκ ἐξ ἀνάγκης.

Χριστὸς δὲ, ὁ ἐν ἐλαίῳ κεχρισμένος. Καὶ Χριστὸς, ὁ Κύριος καὶ Θεὸς ἡμῶν.

Χρηστουργία: Ἀγαθοεργία.

[s] Ἡ δὲ φεύγει, ἐπιθυμοῦσα ἀμείψασθαι. ὥστε ἐπὶ χρηστουργίᾳ τὸν ἄνθρωπον.

Χρηστῶς: Ἀντὶ τοῦ φυλακτικῶς. [t] Ἀριστοφάνης·

Ἡ δ' Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο,
εἰ μή τι καινὸν ἄλλο περιειργάζετο.

Ἀντὶ τοῦ, [u] ἐφυλάττετο τὸν ἀρχαῖον νόμον, καὶ μὴ ἐπολυπραγμόνει, καὶ τὰς καινὰς [x] ἔφερε πολιτείας.

Χριμπτεται: Προσκνᾶται, πελάζει, ἐγγίζει.

[y] Εἰ δή τις [z] φθιμένοις χρίμπτεται εὐφροσύνα.

Χρίομαι: Αἰτιατικῇ. Ἀλείφομαι. Χρείω δὲ, τὸ μαντεύομαι, διὰ διφθόγγου, ἐπὶ ἐνεστῶτος μόνου· ἐπὶ δὲ μέλλοντος, διὰ τοῦ η.

Χρίσασθαι: Ἀλείψασθαι.

Καὶ [a] ἀπολουσάμενον χρίσασθαι κελεύει ἐλαίῳ.

Χρίσις: Τὸ χρίσμα τοῦ τῆς βασιλείας ἐλαίου, ὅπερ οἱ προφῆται διὰ κέρατος ἐπιφερόμενοι, ἔχριον τοῖς βασιλεῦσι. [b] Καὶ ὁ Δαβὶδ τῆς μὲν χρίσεως ἠξιώθη διὰ Σαμουήλ· τὰς δὲ τοῦ λαοῦ ἀναγορεύσεις ἡ ἱστορία χρίσεις ἀδιαφόρως ὠνόμασεν. Καὶ αὖθις·

[c] Νέκταρι δ' εἰναλίαι Νηρηΐδες ἐχρίσαντο,
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι.

Ἀντὶ τοῦ, ἔχρισαν.

Χρίσμα: Τὸ τῆς βασιλείας.

Ὅτι ὁ Δαβὶδ [d] εἰς βασιλείαν τρίτον ἐχρίσθη.

Καὶ σημαίνει καὶ [e] τὸν ἐν ἐλαίῳ κεχρισμένον, καὶ τὸν προφήτην. Χριστήρια δὲ, μεθ' ὧν οἱ ἱερεῖς ἔχριοντο τοπαλαιόν.



A Χριστιανοί: [f] Ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων, Πέτρου τοῦ ἀποστόλου χειροτονήσαντος Εὐόδιον ἐν Ἀντιοχείᾳ, μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζαραῖοι καὶ Γαλιλαῖοι, Χριστιανοί.

Χριστίνα: Ὄνομα κύριον. Καὶ Χριστίων, Χριστίωνος.

Χριστόδωρος, Πανίσκου, ἀπὸ [g] Κοπτοῦ πόλεως τῆς Αἰγύπτου, ἐποποιός. Ἤκμαζεν ἐπὶ τῶν Ἀνα-
B στασίου τοῦ βασιλέως χρόνων. Ἔγραψεν Ἰσαυρικὰ, ἐν βιβλίοις ς'· ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν, τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην· Πάτρια Κωνσταντινουπόλεως, ἐπικῶς, βιβλία ιβ', Πάτρια Θεσσαλονίκης [h] ἐπικῶς, βιβλία κε', Πάτρια Νάκλης· ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα [i] Ἄφακα· Πάτρια Μιλήτου, τῆς Ἰωνίας, Πάτρια Τράλλεων, Πάτρια Ἀφροδισιάδος, [k] Ἔκφρασιν τῶν
C [l] ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων· καὶ ἄλλα πολλά.

Χριστόδωρος, Θηβαῖος, Ἰλλούστριος. Ἔγραψεν Ἰξευτικὰ, δι' ἐπῶν· καὶ θαύματα τῶν ἁγίων [m] Ἀναργύρων, Κοσμᾶ καὶ Δαμιανοῦ.

Χριστός: Ὁ Κύριος [n] ἡμῶν καὶ Θεός.

Χρόα: Ἡ χροιά. Βαρυτόνως, ὡς ψόα.

Χροῒ δῆλα: Ὅτι [o] Φερεκύδην τὸν σοφὸν φασὶ
D φθειριάσαντα τελευτῆσαι· ὅτε καὶ Πυθαγόρου παραγενομένου, καὶ πυνθανομένου, πῶς διακέοιτο, διαβαλόντα [p] τῆς θύρας τὸν δάκτυλον, εἰπεῖν· Χροῒ δῆλα. Καὶ τοὐντεῦθεν παρὰ τοῖς [q] φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. Οἱ δ' ἐπὶ τῶν βελτίστων χρώμενοι, διαμαρτάνουσι.

Χρόμαδος: [[r] Ὅμηρος·

Δεινὸς δὲ χρόμαδος.

E Τὸν ἐν ταῖς γένυσι ὑπὸ τῶν πληγέντων γενόμενον ψόφον, χρόμαδον ὠνόμασεν.]

Χρόμιος: Ὄνομα κύριον.

Χρόμωνος:

---

[r] Ἐμπολήσαντές τι] Aristoph. Pac. 562. TOUP.

[s] Ἡ δὲ φεύγει] Æliano tribuit Vulckenærius.

[t] Ἀριστοφάνης] Eccl. 218.

[u] ἐφυλάττετο] εἰ ἐφ. B. ἐφύλαττε A.

[x] ἔφερε] Lego ἐφεῦρε. KUST. εἰσέφερε Brunck.

[y] Εἰ δή τις φθιμ.] Anthol. Pal. VII. 23.

[z] φθιμένοις—εὐφροσύνα] φθιμένοις—εὐφροσύνας B.E. posterius M.

[a] ἀπολουσάμενον] ἀπολυσάμενον E.

[b] Καὶ ὁ Δαβὶδ] Theodoret. Quæst. in 2 Regg. Ἐρωτ. 15. Τῆς μὲν βασιλικῆς χρίσεως διὰ τοῦ Σαμουὴλ ἠξιώθη· τὰς δὲ τοῦ λαοῦ χειροτονίας χρίσεις ἡ ἱστορία καλεῖ.

[c] Νέκταρι δ'] Anthol. Pal. VII. 1.

[d] τὸ τρίτον εἰς βασιλείαν] εἰς βασιλείαν τρίτον A.B. ὁ δαβὶδ εἰς βασιλείαν τοῦτον ἐχρ. E. Lemma Theodoreti Quæst. 15. in 2 Regg. Τίνος χάριν ὁ Δαβὶδ τρίτον ἐχρίσθη;

[e] τὸν ἐλαίῳ κεχρισμένον] Quod dicit Suidas voce significari etiam τὸν κεχρισμένον, id sine dubio pertinet ad illa loca ubi משיח unctus vertitur τὸ χρίσμα, ut Dan. IX. 26. Amos IV. 13. ubi alii χριστός. ERNEST. καὶ τὸν ἐν ἐλαίῳ A.

[f] Ἐπὶ Κλαυδίου βασιλέως Ῥωμ.] Hæc leguntur etiam supra v. Γαλιλαῖοι, et v. Ναζαραῖος. KUST. Vid. Euseb. Chron. n. MMLIX. Mox Ναζιραῖοι A. Ναζωραῖοι M.

ΧΡΙΣΤΟΔΩΡΟΣ] Vide Jacobsii Catalogum Poetarum Epigrammat. Animadv. Anthol. Vet. III. par. 3. (T. XIII.) p. 871.

[g] Κοπτοῦ] Coptites, Leo Allat. de Homeri patria p. 75. REINES.

[h] ἐπικῶς addidi cum A.B.E.

[i] Ἄφακα] Sic recte ms. A. [et E.] At priores editt.
F male, Ἄλφακα. De Aphacis autem vide quæ notavit Bochartus lib. II. de Colon. Phœnic. c. 14. KUST. Adde Vales. ad Euseb. de Vit. Constant. III. 55.

[k] Ἔκφρασιν τῶν ἐν τ.] Hæc Ecphrasis hodie adhuc exstat, et librum quintum Anthologiæ Epigrammatum constituit. Confer Nos supra ad v. Ζεύξιππος. KUST.

[l] ἐν τῷ Ζευξίππῳ] Potius, ἐν τῷ Γυμνασίῳ τοῦ Ζευξίππου. KUST. Statuas et imagines Zeuxippi (balnearum Constantinop. de quibus vid. Panciroll. Not. imp. Or.
G p. 259.) carmine celebravit. REINES.

[m] Ἀναργύρων] Portus vertit, *Anargyrorum*. Sed mendum in hac voce latens non animadvertit. Scribendum enim est, Μαρτύρων. KUST. Rectissime vulgo Ἀναργύρων. Vid. Fabric. Bibl. Gr. V. 32. T. IX. p. 68.

[n] καὶ θεὸς ἡμῶν] ἡμῶν καὶ θεὸς A. Delevi statim ΧΡΙΣΤΟΣ, καὶ ὁ κεχρισμένος ἐν ἐλαίῳ. ΧΡΗΣΤΟΣ δὲ, ὁ ἀγαθὸς, διὰ τοῦ η. ζήτει ὄπισω ΧΡΗΣΤΟΣ, cum A.E.

ΧΡΟΑ] Vid. infra v. Χροιά.

[o] Φερεκύδην τὸν σοφὸν φασὶ φθειρ.] Hæc sunt verba Laër-
H tii in Pherecyde: [I. 118.] sed apud quem pro χροῒ legitur χρωτί. Confer etiam Nostrum supra v. Ἐπηλυγάζονται. KUST. χροῒ Laërtii ms.

[p] τὸν δάκτυλον διὰ τῆς θύρας] τῆς θύρας τὸν δάκτυλον A.B.

[q] φιλοσόφοις] φιλολόγοις A. et sic ms. Laërtii.

[r] Ὅμηρος] Il. ψ'. 688. KUST. Seqq. om. A.B.E.

Χρόνος: Οἱ φιλόσοφοι [s]αὐτὸν ἀσώματον εἶναί φασι, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. Τούτου δὲ τὸν μὲν παρῳχηκότα, καὶ τὸν μέλλοντα, ἀπείρους· τὸν δὲ ἐνεστῶτα, πεπερασμένον. Ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον. Οὗ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον. Τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά· εἰς ἄλληλα γὰρ μεταβάλλει· φθαρτὸς ἄρα καὶ ὁ κόσμος. Καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος· ἐξαυχμοῦται γοῦν, καὶ ἐξυδατοῦται.

Χρόνος γὰρ εὐμαρὴς θεός: Τουτέστιν, ὁ χρόνος εὐμαρῶς παρέρχεται. Ἢ οὕτως· Εὐχερής ἐστιν ὁ χρόνος, ὥστε μετελθεῖν τοὺς ἀδίκους.

Χρόνου πόδα: Ἀπὸ [t]Εὐριπίδου. [u]Ἀριστοφάνης·

Αἰθέρα Διὸς δωμάτιον, ἢ χρόνου πόδα.

Ἀντὶ Εὐριπίδου, τοῦ ταῦτα λέγοντος. Καὶ αὖθις·

[x]Χρόνου γὰρ ἄν σοι καιρὸν [y]ἐξείργοι λόγος.

Σοφοκλῆς. Ἀφαιρεῖται γὰρ τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν [z]λόγων ἀδολεσχία.

Χροός: Σώματος. Καὶ [a]Ὅμηρος·

Ἀλλ' εἴσω χροὸς εἴσατο.

[[b]Ἀντὶ τοῦ, σώματος.] Διῄρηται ὁ [c]χρόος, ἀντὶ τοῦ ὁ [d]χρώς. Διὸ καὶ βαρύνεται. Τὸ δὲ εἴσατο, [ἤγουν] ἐφάνη.

[e]Λοῦσαι δ' [f]Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκους.

Χρόσο καὶ καταχρόσο:

Τὸ καλὸν τοῦ πράγματος κατέχρωσε.

Χρῶμα: [g]Τοῦτο σημαίνει τὸ ἐν τοῖς σώμασιν, ὡς τὸ [h]λευκὸν, καὶ τὸ μέλαν, καὶ τὰ τούτων μεταξύ· σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι· λέγεται γάρ τι [i]καὶ κατὰ μουσικὴν χρῶμα. [k]Τρία γὰρ [l]μέρη τῆς [m]μελῳδίας οἱ ἁρμονικοὶ εἶναί [n]φασιν, ἃς ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος, καὶ τὴν [o]διατονικοῦ χρώματος. Καὶ εἰσὶ διαφοραὶ, ἄλλαι μὲν τοῦ ἐν τοῖς σώμασι χρώματος· ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως· ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι· τὸ γὰρ ἡμιτονιαῖον, καὶ διεσιαῖον, καὶ τὸ μαλακὸν, [p]ὁμώνυμα.

[q]Διόδωρος·

Ὁ δὲ βάρβαρος μαστιζόμενος, ὄμμα ἔχων ἄτρεπτον καὶ χρῶμα, καθάπερ θηρίον ἐκαρτέρει.

Χρῶμα: Ὅτι ὁπηνίκα τὸ [r]κρυσταλλοειδὲς τοῦ ὀφθαλμοῦ ἀπό τινος πάθους χρωματισθῇ, δοκοῦμεν τῷ αὐτῷ χρώματι καὶ τὸν ἀέρα καὶ τἄλλα ὁρατὰ κεχρῶσθαι.

Χρῶμα δὲ φησὶν ὁρατὸν, τὸ ἐπὶ τοῦ καθ' αὑτὸ [s]ὑπάρχον ὁρατοῦ. [t]Καθ' αὑτὸ δὲ ὁρατὸν φησὶ, τὴν ἐπιφάνειαν. Καθ' αὑτὸ δὲ ὁρατὸν ἡ ἐπιφάνεια, οὐχ οὕτως, ὡς τῷ ὁρισμῷ καθ' αὑτό. Διττὸν γὰρ τὸ καθ' αὑτό. Ἢ ὅπερ ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου παραλαμβάνεται· ὡς τὸ ζῶον, καὶ τὸ λογικὸν, ἐν τῷ [u]τοῦ ἀνθρώπου ὁρισμῷ· (ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ) ἢ οὗ ἐν τῷ [x]ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται· [y]ὡς ἐν τῷ ὁρισμῷ [z]τοῦ ἀρτίου ἢ τοῦ περιττοῦ, ὁ ἀριθμός· καὶ ἐν τῷ [a]ὁρισμῷ τῆς σιμότητος, ἡ ῥίς. Ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ ὁρισμῷ. Οὐχ οὕτως οὖν φησὶ καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν, ἀλλ' ὡς ἔχουσαν ἐν ἑαυτῇ τὸ αἴτιον τοῦ [b]ὁρατὴν εἶναι. Τοῦτο δέ ἐστι τὸ χρῶμα. Τὸ γὰρ ἐν τῇ ἐπιφανείᾳ χρῶμα, τοῦτό ἐστι τὸ ὁρατὸν, καὶ τούτου αἱ ὄψεις ἀντιλαμβάνονται, [c]οὐ τοῦ ἐν βάθει χρώματος. Τοὺς γὰρ διαφανεῖς τῶν λίθων [d]εἰ καὶ δοκοῦμεν ὁρᾶν δι' ὅλου τοῦ βάθους κεχρωσμένους, τὰς ὄψεις ἀπατώμεθα. Τῷ μὲν γὰρ διαφανεῖς εἶναι τοὺς λίθους, διαβαίνουσι διὰ τοῦ βάθους αἱ ὄψεις, ἢ τῶν χρωμάτων αἱ ἐνέργειαι. Διὰ τοῦ χρώματος [e]δὲ τοῦ ἐν τῇ ἐπιφανείᾳ τῶν λίθων ἀντιλαμβανόμεθα· καὶ διὰ

ΧΡΟΝΟΣ: Οἱ φιλόσοφοι αὐτὸν ἀσώμ.] Totum hunc articulum descripsit Suidas ex Laërtio in Zen. Citt. num. 141. ut Pearsonius etiam observaverat. KUST.

[s] αὐτὸν ἀσώματον] ἀσώματον αὐτὸν A.

ΧΡΟΝΟΣ ΓΑΡ ΕΥΜΑΡ.] Ex Schol. Sophocl. Electr. 179.

[t] Εὐριπίδου] τοῦ Εὐριπίδου A.

[u] Ἀριστοφάνης] Ran. 100.

[x] Χρόνου γὰρ ἄν σοι κ.] Est versus Sophoclis in Electr. 1292. ut Portus monuit. Ibi autem pro ἐξαίροι legitur ἐξείργοι. Sed Suidæ lectio magis placet; dummodo mutato accentu scribas ἐξαιροῖ, ab ἐξαιρέω. Sic Latini dicunt, *tempus alicui eximere*. KUST.

[y] ἐξαίροι] ἐξείργει A. ἐξαίρῃ B.

[z] λόγων] ἀλόγων B.E.

[a] Ὅμηρος] Il. ν'. 191. KUST. Verba sunt Schol. Ven. in eum locum.

[b] Ἀντὶ τοῦ σώματος om. A. εἴσατο—σώματος om. E.

[c] ΧΡΟΟΣ] ὁ χρόος A.E.

[d] χρώς] χρὼς A.B.E. Mox ἤγουν om. A.

[e] Λοῦσαι δ' Ἰνωπ.] Anthol. Pal. VI. 273.

[f] Ἰνωπῷ] Οἰνωπῷ A.

[g] Τοῦτο σημαίνει] Sumptus locus ex Alexand. Aphrod. in Topic. p. 60.

[h] λευκὸν χρῶμα] χρῶμα om. A.

[i] καὶ κατὰ] καὶ om. A.

[k] Τρία γὰρ μέλη τῆς μελῳδίας ἁρμονικὸν εἶναι φ.] Locus hic salebrosus est, et procul dubio corruptus, in quo vertendo non tam verba, quam sensum secuti sumus. KUST. Vide nos supra ad v. Χιάζων, ubi hunc locum restituimus. TOUP.

[l] μέλη] Dedi μέρη ex Alexand.

[m] μελῳδιάς ἁρμονικὸν] μελῳδίας (οἱ E.) ἁρμονικοὶ A.B.E. οἱ ἁρμονικοὶ Alex.

[n] φασιν] Addit Alexand. ἁρμονίαν, χρῶμα, διάτονον· ἃς τοῦ χρώματος διαφοράς φασιν, ἃς ἰδίως etc. Reddo Suidæ quæ ad sensum necessaria sunt.

[o] διατονικοῦ] διὰ τοῦ τονικοῦ B.E. καὶ τὴν τοῦ ἡμιολίου, καὶ τὴν τοῦ τονιαίου χρώματος. ἐπεὶ οὖν εἰσιν ἄλλαι μὲν διαφοραὶ Alex. καὶ διεσιαῖον om. M.

[p] ὁμώνυμα] ὁμώνυμον τὸ λευκὸν Alex.

[q] Διόδωρος] Fr. 38.

ΧΡΩΜΑ] Totus hic locus sumptus est ex Joanne Philop. in lib. II. Aristot. de Anima, K. 2. b. KUST.

[r] κρυσταλλοειδὲς τοῦ] κρυσταλλοειδὲς τὸ A.

[s] ὑπάρχοντος] ὑπαρχ' A. ὑπάρχον Philop.

[t] Καθ' αὑτὸ δὲ] Πῶς δὲ καθ' αὑτὸ ὁρατὸν ἡ ἐπιφάνεια αὐτὸς ἐξηγήσατο. οὐ γὰρ οὕτω φησὶ καθ' αὑτὸ εἴρηται, ὡς τῷ λόγῳ καθ' αὑτὸ, τοῦτό ἐστι τῷ ὁρισμῷ. ἐν γὰρ τῇ ἀποδεικτικῇ φησὶ καθ' αὑτὸ εἶναι ἢ ὅπερ Philoponus.

[u] τοῦ ἀνθρώπου ὁρισμῷ] τῷ ὅρῳ τοῦ ἀνθρώπου Philop.

[x] ὁρισμῷ] ὅρῳ Philop. qui mox καὶ τοῦ.

[y] ὡς ἐν] ὡς ὁ ἐν E. qui om. ὁ ante ἀριθμός.

[z] τοῦ ἀρτίου] τῆς σιμότητος ἡ ῥίς· καὶ ἐν τῷ ὁρισμῷ τοῦ ἀρτίου καὶ πε. ὁ ἀρ. Philoponus.

[a] ὁρισμῷ] ἀριθμῷ Philop. qui plura.

[b] ὁρατὴν] ὁρατὸν A.B.E.

[c] οὐ τοῦ] οὐ om. A.B.E.M. οὐ γὰρ ἀντιλαμβάνονται τοῦ τε ἐν τῷ βάθει χρώματι Philop.

[d] εἰ καὶ] οὐ Philop.

[e] δὲ τοῦ] δὲ μόνου τοῦ Philop.

τοῦτο δοκοῦμεν καὶ [f]τὸ ἐν βάθει χρῶμα ἑωρακέναι. A

Καὶ [g]Πισίδης·

> Οὐκ ἔστι ταῦτα πρὸς χάριν κεχρωσμένα·
> ἁπλοῖ δὲ πάντες τῆς ἀληθείας λόγοι.

Ζήτει περὶ χρώματος ἐν τῷ Φαιόν.

Χρῶμαι: Δοτικῇ.

Χρωμένῳ: [h]Χρησμὸν αἰτοῦντι, χρησμὸν ἐπερωτῶντι, ἢ μαντευομένῳ. B

Χρῶμις: Ὄνομα κύριον.

Χρωννύω:

Χρωννύσα:

Χρῶνται:

Χρώς: Σῶμα, ἰδέα.

Χρῶσαν: Τὴν χρησμῳδοῦσαν.

> Χρῶσαν Λακεδαιμονίοις.

[i]Θουκυδίδης. C

Χρωσθῆναι: [k]Χρωματισθῆναι.

Χρωστήρ: Ὁ χρωματίζων. [l]Ἐν Ἐπιγράμμασι·

> Καὶ μολίβῳ χρωστῆρι κανὼν τύπον ὀρθὸν ἐπάζων.

Χρωτί: Σώματι.

Χρωτίζεται: Πλησιάζει. [m]Ἀριστοφάνης Νεφέλαις·

> Τῆς ἀνδρείας
> ἕνεκα ταύτης.
> Εὐτυχία γένοιτ' ἀν-
> θρώπῳ ἔτι προήκων D
> εἰς βαθὺ τῆς ἡλικίας,
> νεωτέροις τὴν φύσιν αὑτοῦ
> πράγμασι χρωτίζεται,

(Ἤγουν, πλησιάζει,)

> καὶ σοφίαν ἐπασκεῖ.

[n]Λέγεται δὲ ἐπὶ τῶν μουσικῶν [o]Χρωματικόν, καὶ E
διατονικόν, μουσικῆς εἴδη.



Χροιά: Χροία δὲ, παροξυτόνως οἱ Ἀττικοί. A

> [p]Ὡς ἥδομαι πρῶτά σου τὴν χροίαν ἰδών.

[q]Ἡ δὲ κοινὴ, ὀξυτόνως. Χροιά δὲ, βαρυτόνως, ὡς ψόα.

Χρυσᾶ: [r]Τὰ ἁπλᾶ, καὶ διπλᾶ, καὶ πολλαπλᾶ, [s]καὶ πάντα τὰ τοιαῦτα, περισπῶσιν οἱ Ἀττικοί, ἀργυρᾶ, χρυσᾶ, καὶ [t]κεραμεᾶ ἀπὸ τοῦ κεραμεοῦν, καὶ φοινικᾶ ἀπὸ τοῦ φοινικοῦν.

Χρυσάμπυκας: Χρυσοχαλίνους. B

Χρυσάνθιος: Οὗτος ἐκ Σάρδεων ἦν, φιλόσοφος· ὃν διὰ γραμμάτων μεταπέμπεται Ἰουλιανός. Ὁ δὲ κατὰ χώραν ἔμενε, τοῦτο ἐπελθὸν αὐτῷ πράττειν ἐκ τοῦ θείου. Ὅς γε οὐ [u]πρὸς τὴν περιτρέχουσαν καὶ καινὴν δόξαν ἀνέφερε τὸν ἑαυτοῦ βίον, ἀλλὰ πάντα εἰς τὸ θεῖον ὑπερτιθεὶς, ἐκεῖθεν ἅπαντα ἔπραττε.

Χρυσαόριος: Ὄνομα κύριον. C

Χρυσάορον: Χρυσοφάσγανον, ἢ χρυσοκίθαρον.

Χρυσαυγοῦντα: Ἀστράπτοντα, στίλβοντα.

Χρύσεος: Ὁ χρυσοῦς.

Χρύσειος χείρ: Καὶ χρύσειον ἔργον.

Χρυσῆ εἰκών: Ὤμνυον οἱ Ἀθήνησιν ἄρχοντες, [x]ἂν μὴ παρέλθωσιν ἐφ' οἷς [y]ἄρχουσιν, χρυσῆν εἰκόνα αὐτῶν ἀναθήσειν ἐν ἄστει, ἐν Πυθοῖ, ἐν Ὀλυμπίᾳ.

Χρυσηΐς: Ὄνομα κύριον. D

Χρυσηλάκατος: Ἡ καλλίτοξος, ἡ χρυσότοξος.

Χρυσήνιος: Κυρίως. [z]Ἡ ἀπὸ μέρους, καλή. Δίφρος εὐάρμοστος.

Χρυσῆν σειρήν: Οὕτως ὑπὸ Ὁμήρου τὸν ἥλιον λεγόμενον ἐν Θεαιτήτῳ [a]Πλάτων φησί.

Χρυσίδιον: Τὸ μικρὸν χρυσίον, ὑποκοριστικῶς.

Χρυσίζω: Τὸ χρυσὸν λαμβάνω.

Χρυσίππειοι μαθηταί: Οἱ τοῦ Χρυσίππου. E

Χρύσιππος, Ἀπολλωνίδου, [b]Σολεὺς, ἢ Ταρσεὺς,

---

[f] τὸ ἐν] ἐν τῷ Philop.

[g] Πισίδης] Heracl. Exped. Acr. III. 37.

[h] Χρησμὸν αἰτοῦντι addunt A.B.E.

[i] Θουκυδίδης] Vid. Duker. ad V. 16.

[k] Χρωματισθῆναι] Phot. p. 704. TOUP. Χρωσθῆναι caput gl. addidi ex A.B.E. F

[l] Ἐν Ἐπιγράμμασι] Anthol. Pal. VI. 68.

[m] Ἀριστοφάνης Νεφ.] Ver. 516. τῆς ἀνδρείας—ἡλικίας addunt A.B.

[n] Λέγεται δὲ ἐπὶ τῶν μουσικῶν] Confundit hic grammaticus χρωματίζεται cum χρωτίζεται. Illud enim de musicis dicitur; non vero hoc. KUST.

[o] ΧΡΩΜΑΤΙΚΟΝ] Præcedentibus conjunxi cum A.

[p] Ὡς ἥδομαι πρ.] Aristoph. Nub. 1173. Facile autem quivis videat, metri gratia legendum esse, Ὡς ἥδομαί σου πρῶτα, &c. ut legitur apud ipsum Aristophanem. KUST. σου om. A. G

[q] οἱ—κοινὴ] ἡ—κοινὴ A.

[r] Τὰ ἁπλᾶ] Leguntur hæc supra p. 466 D.

[s] καὶ ὅσα] πάντα τὰ A.

[t] κεραμεᾶ φοινικᾶ] καὶ κεραμεᾶ A. qui mox inserit φοινικᾶ ἀπὸ τοῦ ante φοινικοῦν.

ΧΡΥΣΑΜΠΥΚΑΣ] Est vox Homerica. KUST.

ΧΡΥΣΑΝΘΙΟΣ] Hujus vitam habes apud Eunapium. KUST. H

[u] πρὸς τὴν περιτρέχουσαν καὶ καινὴν δ.] Lege πρὸς τὴν παρατρέχουσαν καὶ κενὴν δόξαν. KUST. Christianam, ni fallor, religionem intelligit. HEMST. κενὴν A.E.

ΧΡΥΣΑΟΡΙΟΣ] Χρυσαόριος E.M. Deest gl. A.B.

ΧΡΥΣΑΟΡΟΝ] Il. ε'. 256.

[x] ἂν μὴ παρέλθωσιν] Scribendum puto, ἂν μὲν παρέλθωσιν. KUST. Forte, ἂν μὴ ἄρχωσ' ἐφ' οἷς ἂν παρέλθωσιν. HEMST. Hunc locum non intellexit Kusterus. Παρελθεῖν εἰς τὴν ἀρχὴν est *ad magistratum accedere*, sive, *inire magistratum*. Παρελθεῖν ἐφ' οἷς ἂν ἄρχωσι est, *capessere quæ ad officium suum pertinerent, defungi officio suo*. *To discharge their trust.* Quare locus ita vertendus est: *Archontes Athenis jurabant se*, si officio suo defuissent, *statuam suam auream dedicaturos esse*. Quod usquequaque verum est. Et notanda locutio, quæ elliptica est, et Hellenismi exquisitioris. Ceterum hujus moris meminit Plato in Phædro, et Plutarchus in Solone, ut alios taceam, de quibus consulendus Corsinus Fast. Attic. I. p. 23. TOUP.

[y] ἂν ἄρχωσιν] ἄρχωσιν A.E.

ΧΡΥΣΗΛΑΚΑΤΟΣ] Homerus, Il. υ'. 70. KUST.

ΧΡΥΣΗΝΙΟΣ: Κυρίως] Est locus mutilus, qui facile sic suppleri potest: Χρυσήνιος. κυρίως, ὁ χρυσᾶς ἡνίας ἔχων. ἢ ἀπὸ μέρους, &c. Ceterum voce χρυσήνιος usus est Homerus Il. ζ'. 205. et alibi. KUST. Hinc emend. Theophylact. Ep. p. 105. ed. Meurs. χρυσήλιος leg. χρυσήνιος. Est locus elegantissimus. Pausan. p. 755. Ἀφροδίτα χρυσήνιος Soph. Œd. Col. 693. TOUP.

[z] Ἡ ἀπὸ] ἢ ἀπὸ B.E. ἢ ἀπὸ μέρους καλλίδιφρος, εὐάρμοστος Lex. Seg.

[a] Πλάτων] Theæt. p. 153 C. Conf. Damascius ap. Phot. p. 1057.

ΧΡΥΣΙΠΠΟΣ] De hoc plura Laërtius, qui eum Ἀπολλωνίου filium fuisse dicit. KUST.

[b] Σολεὺς ἢ Ταρσεὺς] Max. Tyr. Serm. XXIX. Κίλιξ. Cic. Orat. I. 12. Solensis Cilix. Ipse Solensis fuit, pater Tarsensis, Strab. XIV. p. 671. REINES.

φιλόσοφος, μαθητὴς Κλεάνθους, καθηγησάμενος [c]τῆς Στωϊκῆς σχολῆς μετὰ Κλεάνθην, καὶ τελευτήσας [d]ό καὶ γ' ἐτῶν, ὑπὸ τοῦ πιεῖν ἄκρατον, καὶ ἰλιγγιάσαι· κατὰ δὲ ἄλλους, ὑπὸ γέλωτος ἀπείρου· ἐπὶ ἑκατοστῆς τεσσαρακοστῆς τρίτης Ὀλυμπιάδος. [e]Συντέταχε δὲ βιβλία [f]πλείω ἢ ψ' φιλόσοφά τε, καὶ ἱστορικὰ, καὶ γραμματικά.

Ὅτι [g]Χρύσιππος ὁ φιλόσοφος τοιούτους τινὰς ἠρώτα λόγους· Ὁ λέγων τοῖς ἀμυήτοις τὰ μυστήρια, ἀσεβεῖ· [h]ὁ δέ γε ἱεροφάντης τοῖς ἀμυήτοις λέγει· ὁ ἱεροφάντης ἄρα ἀσεβεῖ. [i]Καὶ αὖθις· [k]Ὅ ἐστιν ἐν τῇ πόλει, τοῦτο καὶ ἐν τῇ οἰκίᾳ· οὐκ ἔστι δὲ φρέαρ ἐν τῇ πόλει· οὐδ' ἄρα ἐν τῇ οἰκίᾳ. Ἔστι τις κεφαλὴ· ἐκείνην δὲ οὐκ ἔχεις· ἔστι δέ γε τις κεφαλὴ, [l]ἣν οὐκ ἔχεις· οὐκ ἄρα ἔχεις κεφαλήν. Εἴ τις ἐστὶν ἐν Μεγάροις, οὐκ ἔστιν ἐν Ἀθήναις· ἄνθρωπος δέ ἐστιν ἐν Μεγάροις· οὐκ ἄρα ἐστὶν ἄνθρωπος ἐν Ἀθήναις. Εἴ τι λαλεῖς, τοῦτό σου διὰ στόματος διέρχεται· ἅμαξαν δὲ λαλεῖς· ἅμαξα ἄρα διὰ στόματός σου διέρχεται. Εἴ τι οὐκ ἀπέβαλες, τοῦτο ἔχεις· κέρατα δὲ οὐκ ἀπέβαλες· κέρατα ἄρα ἔχεις.

Χρυσίς: Ἡ χρυσῆ φιάλη.

[m]Οἵ μ' ὡς ἐλείψαμεν εἶμ' ἀεὶ τῶν χρυσίδων.

[n]Ἀντὶ τοῦ ἧττον.

Χρυσίτης: Εἶδος λίθου· [o]χρυσῖτις δὲ γῆ. Πλὴν τοῦ ἀετίτης, λυχνίτης, καὶ ἀχάτης, τὰ δὲ λοιπὰ διὰ τοῦ ί.

Χρυσόγεων: Τὸ ἔχον γῆν χρυσῆν. Χρυσόγειον δέ.

Χρυσόγονος: Ὄνομα κύριον.

Ἐπιστολὴ Ἀναστασίας τῆς μάρτυρος πρὸς Χρυσόγονον.

[p]Τῷ ἁγίῳ ὁμολογητῇ Χριστοῦ Χρυσογόνῳ Ἀναστασία χαίρειν. Εἰ καὶ μάλιστα ὁ ἐμὸς πατὴρ τὰ εἴδωλα προσεκύνει, ἀλλ' οὖν ἡ μήτηρ μου [q]Φλαυΐα, διὰ παντὸς ἐν Χριστιανοῖς οὖσα, ἐξότου [r]μὲν ἐγέννησε, Χριστιανήν με ἐποίησε. Μετὰ δὲ τὸν θάνατον αὐτῆς ἐζεύχθην ἀνδρὶ μιαρωτάτῳ, οὗ τινος, χάριτι Θεοῦ, τὴν συνάφειαν διέφυγον, δεομένη τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ νυκτός τε καὶ ἡμέρας ῥυσθῆναι ἀπὸ τοῦ A μιαροῦ [s]εἰδωλολάτρου ἐκείνου, ὅς τις τὴν ἐμὴν περιουσίαν ἐξῆς διαφαίνεται μετὰ μιαρῶν καὶ εἰδωλολατρῶν ἐξαντλήσας, ἐμὲ δὲ, ὡσανεὶ φαρμακὸν καὶ ἱερόσυλον, βαρυτάτῃ [t]φυλακῇ παραδέδωκεν, ὥστε με τὴν πρόσκαιρον ἀπολέσαι ζωήν· καὶ οὐδέν μοι παρὲξ τῆς ψυχῆς περιλέλειπται. Πλὴν εὔχομαι μετὰ τῆς τοῦ Θεοῦ ἐλπίδος ἀποθανεῖν. Ὅμως, εἰ καὶ καυχῶμαι ἐν τῇ ὁμολογίᾳ τοῦ Χριστοῦ μου, πάνυ λυποῦμαι, ὅτι τὴν B ἐμὴν περιουσίαν, ἣν ηὐχόμην περὶ τοὺς δούλους τοῦ Θεοῦ δαπανῆσαι, ὁ μιαρὸς ἐκεῖνος ἄνθρωπος δαιμονολάτραις ἐπιχορηγεῖ· καὶ ἅπερ ἐγὼ ἐπιδοῦναι τοῖς τοῦ Θεοῦ δούλοις ηὐχόμην, ταῦτα αἰσχροῖς καὶ ἀνοσίοις ἀνθρώποις ἐπιδίδωσι. Καὶ διὰ τοῦτο παρακαλῶ σε, δοῦλε Χριστοῦ τοῦ Θεοῦ, ἵνα σπουδαίως ὑπὲρ ἐμοῦ τὸν Θεὸν δυσωπήσῃς, ὥστε, εἰ μὲν προγινώσκει ὁ Θεὸς, πιστεῦσαι τὸν ἐμὸν ἄνδρα Πόπλιον εἰς τὸν Χριστόν· C εἰ δὲ μή γε, συγχωρῆσαι αὐτὸν [u]οἰκείαις ἐναπολέσθαι ἀπάταις, ἐμὲ δὲ ῥύσασθαι ἀπ' αὐτοῦ. Κάλλιον γάρ μοι τὸ ἀποθανεῖν, ἢ τὸν υἱὸν τοῦ Θεοῦ ἀπαρνήσασθαι, καὶ τοῖς πιστεύουσιν εἰς αὐτὸν ἐμποδίσαι, [x]αὐτὸς ὁ παντοδυνάστης Χριστὸς μαρτυρεῖ. [y]Ὅταν δὲ ἀπαλλαγήσωμαι τῆς πλάνης ταύτης, τοῖς ἁγίοις προσκαρτερήσω, καὶ τὰς ὑπὲρ αὐτῶν φροντίδας, καθάπερ ἠρξάμην, μέχρι παντὸς ἀναδέξομαι. Ἔρρωσο, δοῦλε D τοῦ Θεοῦ, καὶ μέμνησό μου.

[z]Ὁ δὲ Χρυσόγονος δεξάμενος, ἔγραψεν οὕτως.

Χρυσόγονος Ἀναστασίᾳ χαίρειν. Χειμαζομένῃ σοι ταῖς θυέλλαις τοῦ βίου ὁ ἐπὶ τῶν κυμάτων βαδίσας Χριστὸς βοηθήσοι, ἵνα τὴν τοῦ Διαβόλου δύναμιν τῷ λόγῳ αὐτοῦ καταργήσῃς. Μεγαλοφρόνως τοίνυν, E καὶ ὡσανεὶ ἐν μέσῃ τῇ θαλάσσῃ κειμένη, πίστευσον τῷ Χριστῷ ἐπισκέψασθαί σε· καὶ πρὸς ἑαυτὴν ἐπιστρέψασα, ἀναβόησον μετὰ τοῦ Προφήτου, εἰπόντος· Ἵνα τί περίλυπος εἶ, ἡ ψυχή μου, καὶ τὰ ἑξῆς. Διπλῆ γὰρ ἡ δύναμις τῆς τοῦ Θεοῦ χάριτος ἀποδείκνυται. Καὶ γὰρ τὰ πρόσκαιρά σοι περιττεύσει, καὶ προστεθήσεταί σοι τὰ ἐπουράνια. Ὁ δὲ Θεὸς τοὺς μὴ παρακαλοῦντας αὐτὸν ὑπὲρ ἀγαθῶν ἀποστρέφεται. F Οὐδὲ γάρ ἐστιν εὐτελὲς τὸ χάρισμα αὐτοῦ. Βλέπε, μὴ ταραχθῇς ἐν τούτῳ, ὅτι εὐσεβῶς διαγωνιζομένῃ σοι

[c] τῆς Στωϊκῆς σχολῆς] Cic. Acad. II. 23. *Cum habeam Chrysippum, qui fulcire putatur porticum Stoicorum.* Cf. Lactant. VII. 23. et Origen. c. Cels. IV. p. 196. REINES.

[d] ό καὶ γ'] 79 Valerio Maximo apud Clinton. Fast. Hell. an. 207. Sed vide Clintonum ad an. 280.

[e] συντέταχε] συντέταχε δὲ A.

[f] πλείω] πλεῖον B.E. πλείων M.

[g] Χρύσιππος ὁ φιλόσοφος τοιούτ. τιν. ἠρ.] Hæc, et quæ sequuntur usque ad finem articuli, sunt verba Laërtii in Chrysippo, num. 186. KUST.

[h] ὁ δέ γε] ἄρα ὁ A.

[i] Καὶ αὖθις om. A. ἄλλο Laërt.

[k] Ὅ ἐστιν] ὃ οὐκ ἔστιν et mox οὐδὲ τοῦτο Laërt.

[l] ἣν οὐκ ἔχεις om. Laërt.

[m] Οἵ μ', ὡς ἐλ.] Est versus Aristoph. Pac. 424. KUST.

[n] Ἀντὶ τοῦ ἧττον] De hoc loco consulendus Scholiastes ad Aristoph. Pac. 424. Notanda autem ἀμφιβολία comici, ἐλείψαμεν τῶν χρυσίδων. Nam *Chrysis* nomen meretricis. Terentius in Andria: *Dic, sodes, Quis heri Chrysidem habuit?* Est et χρυσὶς *patera, sive phiala aurea.* Athenæus lib. XI. p. 502. Ἀθηναῖοι δὲ τὰς μὲν ἀργυρᾶς φιάλας ἀργυρίδας λέγουσι, ΧΡΥΣΙΔΑΣ δὲ τὰς χρυσᾶς. G Hermippus comicus apud Athenæum: Χρυσίδ' οἴνου πανσέληνον ἐκπιὼν ὑφείλετο. Ubi inepte interpres: *Plenilunio vini Chrysidem ebibit, et surripuit.* Χρυσὶς πανσέληνος est *plenum poculum.* Virgil. *Pleno se proluit auro.* TOUP.

ΧΡΥΣΙΤΙΣ] Vid. p. 1565 C.

ΧΡΥΣΟΓΕΩΝ] Χρυσόγαιον E. Χρυσόγαιον M.

[p] Τῷ ἁγίῳ ὁμολογητῇ] Niceph. Callistus fin. l. XIV. ista habet. REINES. Nicephoro e Suida addidit interpres Latinus, notante Tillemontio H. E. T. V. p. 717.

[q] Φλαυΐα] φάνεια A.

H [r] μὲν] με B.E.

[s] εἰδωλολατρῶν] ἀνδρῶν addit A. Mox ἐξήντλησεν A.B.

[t] φυλακῇ] κεφαλῇ B.E.

[u] οἰκείαις] ταῖς οἰκείαις A.

[x] αὐτὸς] αὐτὸς δὲ A.B.E.

[y] Ὅταν δὲ] δὲ om. A.B.E.

[z] Ὁ ΔΕ] τοῦ ἁγίου Χρυσογόνου πρὸς αὐτὴν E.

πρὸς τὸν Χριστὸν συμβαίνει τἀναντία. Οὐδὲ γὰρ ἀπατᾷ σὲ ὁ Χριστὸς, ἀλλὰ δοκιμάζει σέ. Οὔτε ἀσφαλής ἐστιν [a]ἡ παρὰ τῶν ἀνθρώπων βοήθεια, ὡς σὺ νομίζεις, τῆς γραφῆς λεγούσης· Ἐπικατάρατος [b]ὁ ἄνθρωπος, ὁ ἐλπίζων ἐπ' ἄνθρωπον· καὶ εὐλογημένος ἄνθρωπος, ὁ ἐλπίζων ἐπὶ τὸν Θεόν. Βλέπε γενναίως, καὶ ἀγρύπνως καὶ τρανῶς διάφυγε πᾶσαν ἁμαρτίαν. Ταύτην παρὰ τοῦ Θεοῦ ζήτησον παραμυθίαν, οὗ τινος τὰς ἐντολὰς φύλαττε. Ἤδη γὰρ ὁ τῆς σωτηρίας
B καιρὸς ἐλεύσεται ἐπὶ σέ. Καὶ καθάπερ [c]μετὰ σκοτεινὴν νύκτα τὸ διαυγὲς φῶς τοῦ Θεοῦ ἐπιλάμψει σοὶ, [d]καὶ καθάπερ μετὰ χειμῶνα ἱλαρός σοι καὶ εὔδιος ἐπιγελάσει καιρὸς, καὶ, ὡς πᾶσι τοῖς διὰ τὸν Θεὸν θλιβομένοις, [e]παρασχήσει σοι τὴν πρόσκαιρον ὑπομονὴν, δι' ἣν τὸν αἰώνιον ἀπολήψῃ μισθόν. Ἔρρωσο ἐν Κυρίῳ, καὶ εὔχου ὑπὲρ ἐμοῦ.

[f]Καὶ αὖθις γράφει ἡ αὐτὴ πρὸς τὸν αὐτόν.

Χρυσογόνῳ τῷ ὁμολογητῇ τοῦ Χριστοῦ Ἀναστασία χαίρειν. Ὅτι τὸ τέλος πάρεστι τῷ σώματί μου, εὔχου ὑπὲρ ἐμοῦ, ἵνα ἐκεῖνός μου ἀποδέξηται τὴν ψυχὴν, δι' ὃν ταύτας τὰς θλίψεις ὑπομένω.

[g]Πρὸς ταῦτα Χρυσόγονος ἀντέγραψεν οὕτως.

Τῇ τοῦ Θεοῦ δούλῃ Ἀναστασίᾳ Χρυσόγονος. Δη-
D λόν ἐστιν, ὅτι τὸ φῶς ἀποκρύπτει τὸ σκότος· οὕτω καὶ μετ' ἀσθένειαν ἡ σωτηρία ἐπέρχεται, καὶ ἡ ζωὴ μετὰ θάνατον τοῖς ἀξίοις ἐπιδίδοται. Τὸ [h]αὐτὸ γὰρ ἔχει τέλος [i]ἥ τε εὐτυχία ἥ τε δυστυχία τῶν ἀνθρωπίνων πραγμάτων, ἵνα μηδὲ οἱ ταπεινοὶ στυγνάζωσι, μηδὲ οἱ μεγαλοφρονοῦντες [k]καυχῶνται. Μία γὰρ θάλασσά ἐστιν, ἐν ᾗ τὰ πλοῖα τοῦ ἡμετέρου σώματος [l]διατρέχει, καὶ ὑφ' ἑνὸς κυβερνήτου εὐθύνεται. Ὧν τινων
E τοίνυν αἱ [m]νῆες ἰσχύονται ταῖς τροπίσιν ὀχυρωμέναι,
A ἀβλαβεῖς τὸ πέλαγος διατρέχουσιν· αἱ δὲ ἀσθενεῖς καὶ δίχα κυμάτων ἐπ' αὐτῆς τῆς γαλήνης κινδυνεύουσιν. Ἐγγὺς γὰρ ἀπωλείας εἰσὶν αἱ μὴ πρὸς τὸν λιμένα τῆς σωτηρίας σπουδάζουσαι ἐλθεῖν. Σὺ δὲ ἀκατάγνωστος τυγχάνουσα τοῦ Χριστοῦ δούλη, τὸν σταυρὸν ἐν πάσῃ σου τῇ ψυχῇ [n]διατήρησον, καὶ σεαυτὴν πρὸς σωτηρίαν παρασκεύασον, ὥστε μετὰ τῶν μαρτύρων τοῦ Χριστοῦ ἀριθμηθῆναί σε. Ἔρρωσο.

B Χρυσοδαίδαλτον: Τίμιον.

Χρυσοθοντεῖον: Ἔνθα χωνεύουσι καὶ ἕψουσι τὸν χρυσόν.

Χρυσομαλλώ: Ὄνομα ὀρχηστρίδος, εἶτα ἑταίρας. Ἤκμαζεν ἐπὶ Ἰουστινιανοῦ καὶ Θεοδώρας.

Χρυσομανῶ: Δοτική.

Χρυσόπολις: Ἐμπόριον τῆς Χαλκηδονίας, ἔνθα οἱ Ἕλληνες, οἱ σὺν Κύρῳ μισθοφορήσαντες, ἔμειναν
C ἡμέρας ζ' λαφυροπωλοῦντες, [o]ὥς φησι Ξενοφῶν.

Χρυσόρραπις: Χρυσῆν ῥάβδον ἔχων.

Χρυσορρόας: Ὄνομα ποταμοῦ.

Χρυσόροφος:

Χρυσὸς [p]Κολοφώνιος: Οἱ Κολοφώνιοι τὸν κάλλιστον χρυσὸν εἰργάσαντο· καὶ γὰρ πολύ φασι παραλλάττειν τοῦ ἄλλου τὸν Κολοφώνιον χρυσόν. Καὶ
D τάχα ἴσως οἱ ἐκπεσόντες [q]τῆς οἰκείας Λυδῶν τὰ [r]περὶ Θρᾴκην καὶ Στρυμόνα χρύσεια κατέσχον μέταλλα σύν τισιν Ἰώνων, καὶ ἐσπούδασαν περὶ τὸν χρυσόν.

[Χρυσὸν κρατῶν, ἄπρακτος, ὂν θέλεις, ἔσῃ:]

Χρυσοτόρευτα: Χρυσόγλυφα.

Χρυσοῦν δέρας: Ζήτει ἐν τῷ Δέρας.

Χρυσοχάλινον: Τὸ λαμπρὸν, τὸ τερπνόν.

[s]Οὐκέτι χρυσοχάλινον ἐρῷ φάος ἠελίοιο.

E Χρυσοχοεῖον: Δείναρχός φησι·

[t]Πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας, παρὰ τούτῳ δηλονότι χρυ-

[a] ἡ παρὰ] ἡ om. A.
[b] ὁ ἄνθρωπος] ὁ om. A.E. qui addunt ὁ ante ἄνθρωπος paullo infra.
[c] ὑπὸ] μετὰ A.B.
[d] καὶ μετὰ] καὶ καθάπερ μετὰ A.B.E.
[e] παρασχήσει] παράσχῃ A.B. παράσχοι E. παρασχήσει M.
[f] ΚΑΙ ΑΥΘΙΣ] αὖθις τῆς ἁγίας πρὸς αὐτὸν E.
[g] ΠΡΟΣ ΤΑΥΤΑ] Αὖθις τοῦ αὐτοῦ πρὸς τὴν αὐτὴν E.
[h] αὐτὸ γὰρ] γὰρ αὐτὸ A.
[i] ἡ εὐτυχία] ἥ τε εὐτυχία ἤτε δυστυχία A.B.E.
[k] καυχῶνται] καυχήσωνται A.B.
[l] διατρέχει] διατρέχουσι A. qui om. καὶ ὑφ' ἑνὸς—διατρέχουσιν.
[m] νῆες] ναῦς E.M. Tum ἰσχύροντες B.E. ἰσχύοντες M.
[n] διατήρησον] διακράτησον A. qui in fine om. ἔρρωσο.

ΧΡΥΣΟΔΑΙΔΑΛΟΝ] Χρυσοδαίδαλτον A. Et sic Aristoph. Eccl. 965.

ΧΡΥΣΟΜΑΛΛΩ: Ὄνομα ὀρχ.] Procopius Hist. Arc. c. 17. Χρυσομαλλὼ δὲ αὕτη, πάλαι μὲν ὀρχηστρὶς ἐγεγόνει, καὶ αὖθις ἑταίρα. Huc Suidas respexit. KUST. Χρυσομαλλὼ A.

ΧΡΥΣΟΠΟΛΙΣ] Vide Socrat. Hist. Eccles. lib. VII. c. 25. KUST.

[o] ὥς φησι Ξενοφῶν] Lib. VI. Ἀναβ. in fine: ubi legitur, τὰ λάφυρα πωλοῦντες. KUST. Ibi mss. λαφυροπωλοῦντες.

ΧΡΥΣΟΡΡΑΠΙΣ] Est vox Homerica Odyss. κ'. 277. et alibi. KUST.

ΧΡΥΣΟΡΡΟΑΣ] Vide Pausan. lib. II. c. 31. KUST. Deest art. A.B.E.

[p] ΚΟΛΟΦΩΝΙΟΣ] ὁ Κολοφώνιος E. cum Zenobio VI. 47.

[q] τῆς οἰκίας] Lego τῆς οἰκείας, subintelligendo γῆς. KUST. οἰκίας A.B. Mox τὰ om. A.

[r] περὶ] παρὰ B.E.

ΧΡΥΣΟΝ ΚΡΑΤ.] Est versus oneirocriticus, qui legitur etiam apud Astrampsychum. Ceterum, Portus pro ἄπρακτος hic legendum censet ἔμπρακτος, i. e. *efficax*, vel *efficiendi facultatem habens*: quod aurum ob excellentiam suam, qua reliqua metalla longe superat, felicem potius quam infelicem rerum successum significare vi-
F deatur. Sed vir bonus judicio suo hic prorsus abutitur. Quis enim nescit oneirocritica omnia esse tantum somnia mera hominum otiosorum, nec ulla certa ratione niti; quæ proinde ad rationis normam exigere velle, quid aliud sit, quam cum ratione insanire? KUST. Deest vs. A.

ΧΡΥΣΟΤΟΡΕΥΤΑ] Pertinere ad Exod. XXV. 18. monent viri docti ad Hesych.

ΧΡΥΣΟΧΑΛΙΝΟΝ] Herodot. p. 516. Aristoph. Pac.
G 154. Plutarch. Crass. p. 292. Simocatta p. 145. TOUP.

[s] Οὐκέτι χρυσοχ.] Anthol. Pal. VII. 219. ubi δρόμον pro φάος.

ΧΡΥΣΟΧΟΕΙΟΝ: Δείναρχ.] Ex Harpocratione. KUST.

[t] Πάλιν παρ' Αἰσχίνην ἀποφοιτήσας] De hoc loco non ita pridem Valckenaerius ad Mœrin [p. 400.] Sed vis verbi ἀποφοιτᾷν virum doctissimum fefellit. Ἀποφοιτᾷν est *abire, scholam derelinquere*. Eustath. ad Homer. Iliad. ε'. p. 1227. Ἀποφοιτᾷν παρὰ Λυσίαν, τὸ παύσασθαι φοιτῶντα, ὃ
H ἐστι μανθάνοντα. Ita legendum, non Λυσίᾳ. Ἀποφοιτᾷν παρά τινα, est, *alio relicto ad alium transire*. Quod fecit Æschinis discipulus. Sed hæc viris eruditis parum perspecta sunt. Quare recte Dinarchus, Παρ' Αἰσχίνην ἀποφοιτήσας. *Priore magistro derelicto, ad Æschinem se contulit*. Quod omnino verum, et Græcissimum est. Deinde scribe σὺ τὸ ὑπεσχήμενον ΑΥΤΩΙ. Nimirum ad

συχεῖν ἐμάνθανεν, ἀλλ' εἰ τὸ προκείμενον [u]αὐτῷ πράττειν ἢ πάσχειν.

Κέχρηται δὲ τῇ παροιμίᾳ καὶ [x]Πλάτων·

[y]Τί δαί, ἦδ' ὃς ὁ Θρασύμαχος, χρυσοχοεῖ.

Ἄρξασθαι δέ φασι τὴν παροιμίαν ἐντεῦθεν. Ἔπεσέ τις [z]φήμη ποτὲ εἰς τὸ πλῆθος τῶν [a]Ἀθηναίων, ὡς ἐν Ὑμηττῷ ψῆγμα χρυσοῦ πολὺ φανείη, καὶ φυλάττοιτο ὑπὸ τῶν μαχίμων μυρμήκων. Οἱ [illegible] ἀναλαβόντες τὰ [b]ὅπλα, ἐξέθεον ἐπ' αὐτούς· ἄπρακτοι δὲ ὑποστρέψαντες, καὶ μάτην κεκακοπαθηκότες, ἔσκωπτον ἀλλήλους, λέγοντες,

Σὺ [illegible] ᾤου χρυσοχοήσειν.

Ὅπερ δηλοῖ, σὺ δὲ ᾤου ψῆγμα πολὺ συλλέξας, καὶ χρυσοχοήσας, πλουτήσειν. Ἐχλευάζοντο δὲ ὑπὸ τῶν κωμικῶν. Εὔβουλος γοῦν φησιν·

Ἡμεῖς ποτ' ἄνδρας Κεκροπίδας ἐπείσαμεν
λαβόντας εἰς Ὑμηττὸν ἐξελθεῖν ὅπλα.

Χρυσοχοεῖον:

Χρυσῷ καταπάττων ἡμᾶς οὐ γινώσκεις: Ἐπὶ τῶν εἰκῇ διαλοιδορουμένων. Ἐπιφέρει γάρ·

Νῦν δὲ κόσμος τοῦτ' ἐστί [c]μοι.

Τουτέστι τὸ τοιαῦτ' ἀκούειν.

Χοινίκαιον: Ὄρος.

Χοίνικες: Οὐ μόνον τὸ μέτρον, ἀλλὰ καὶ τὰς πέδας σημαίνει τὸ ὄνομα. Αἱ χοίνικες, πέδαι τινές εἰσι. Χοῖνιξ δὲ, πᾶν περιφερές. Διὸ καὶ τὸ μέτρον χοῖνιξ καλεῖται. Ἀριστοφάνης Πλούτῳ·

Αἱ κνῆμαι [illegible] σου βοῶσιν,

ἰοὺ ἰοὺ, τὰς χοίνικας καὶ τὰς πέδας ποθοῦσαι.

Χοίνικες: Οἷς τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι.

Σπανιώτερον δὲ τὸ γένος τῶν [d]θεωρητικωτάτων ψυχῶν, ἢ [e]τὸ τοῦ χοίνικος, ᾧ τὰς περιόδους μετροῦσιν Αἰγύπτιοι· [f]οἷος ἦν [g]Ἀμοῦς καὶ Ἀντώνιος.

Χοιράδες: Πέτραι λεῖαι ἐν θαλάσσῃ· ἢ ἐξοχαί· ἢ [h]ὄχθοι πετρῶν.

Χοιρίλη: Ἡ Ἑκάβη.

Χοιρίλλος, Ἀθηναῖος, τραγικὸς, ξδ' Ὀλυμπιάδι [i]καθεὶς εἰς ἀγῶνας· καὶ ἐδίδαξε μὲν δράματα [k]πεντήκοντα καὶ ρ', ἐνίκησε δὲ ιγ'. Οὗτος κατά τινας τοῖς προσωπείοις καὶ [l]τῇ σκηνῇ τῶν στολῶν ἐπεχείρησε.

Χοιρίλος, Σάμιος, [m]τινὲς δὲ Ἰασέα, ἄλλοι δὲ [n]Ἁλικαρνασσέα ἱστοροῦσι. Γενέσθαι [illegible] κατὰ Πανύασιν τοῖς χρόνοις· [o]ἐπὶ δὲ τῶν Περσικῶν, Ὀλυμπιάδι οε', νεανίσκον [p]ἤδη εἶναι. Δοῦλόν τε Σαμίου τινὸς αὐτὸν γενέσθαι, ἐπειδὴ πάνυ τὴν ὥραν· φυγεῖν τε ἐκ Σάμου, καὶ Ἡροδότῳ τῷ ἱστορικῷ [q]παρεδρεύσαντα, λόγων ἐρασθῆναι· οὗ τινος αὐτὸν καὶ παιδικὰ γεγονέναι φασίν. Ἐπιθέσθαι δὲ [r]ποιητικῇ, καὶ τελευτῆσαι ἐν Μακεδονίᾳ παρὰ Ἀρχελάῳ, [s]τῷ τότε αὐτῆς βασιλεῖ. Ἔγραψε δὲ ταῦτα· [t]Τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξου· ἐφ' οὗ ποιήματος κατὰ στίχον στατῆρα [u]χρυσοῦν ἔλαβε, καὶ σὺν τοῖς Ὁμήρου [x]ἀναγινώσκεσθαι ἐψηφίσθη· Λαμιακά, καὶ ἄλλα τινὰ ποιήματα αὐτοῦ φέρεται.

Χοιρῖναι: Κόγχαι [y]θαλάσσιαι, αἷς καὶ ἐν τοῖς

---

Æschinem se contulit ad literas discendas, sed frustra et consilio irrito. Quod non raro evenire solet. TOUP.

[u] αὐτῶν] Harpocratio melius, αὐτό. KUST. αὐτῷ A. B.E. Harpocr. ms. Pal.

[x] Πλάτων] Lib. V. de Republ. p. 456. [450 B.] ubi sic legitur: Τί δὲ, ἦδ' ὃς ὁ Θρασύμαχος· χρυσοχοήσοντας οἴει τούσδε νῦν ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους; Hinc Suidas emendandus et supplendus est. KUST. χρυσοχοήσ—ἀκουσομένους addit Harpocratio.

[y] Τί δαὶ] τί δὲ Harpocr. ms. Pal.

[z] ποτε φήμη] φήμη ποτε A. Harpocr.

[a] Ἀθηναίων] τῶν Ἀθ. E. Harpocr.

[b] ὅπλα] τὰ ὅπλα A. Harpocr.

ΧΡΥΣΩΙ ΚΑΤΑΠ.] Aristoph. Nub. 909. Χρυσῷ πάττων μ' οὐ γινώσκεις. Οὐ δῆτα πρὸ τοῦ γ', ἀλλὰ μολύβδῳ. Νῦν δέ γε κόσμος τοῦτ' ἐστιν ἐμοί. KUST.

[c] μοι. Τουτέστι addunt A.B.E. (ἐμοὶ E.)

ΧΟΙΝΙΚΑΙΟΝ] An potius Φοινίκαιον. Vide Stephanum Byzant. v. Φοινίκαιον. KUST. probante Albertio in Obs. Misc. IX. p. 155.

ΧΟΙΝΙΚΕΣ: Οὐ μόνον τὸ μ.] Schol. Aristoph. Plut. 275.

ib. ΧΟΙΝΙΚΕΣ] Hesych. Χοίνικες αἱ βαθεῖαι πέδαι. Lege αἱ παχεῖαι πέδαι. Achill. Tat. p. 319. σχοίνοις παχείαις δεδεμένος. ubi v. Salmas. TOUP.

[d] θεωρητικωτάτων] τῶν θεωρητικωτάτων A.B.E.

[e] τὸ τοῦ χοίνικος] Ego multum vereor ne scripturæ vitium Suidam deceperit, legendumque sit ἢ τὸ τοῦ φοίνικος nimirum γένος: quo quidem pacto plane loci hujus obscuritatem dispelli fatendum est. Res certa est ex Synesii Dion. p. 49. A. unde hæc verba sunt depromta. HEMST. qui, ni fallor, hunc locum Albertio monstravit. Adde Wesseling. Diss. Herodot. p. 37.

[f] οἷος] οἷος A.B.E.

[g] Ἀμοῦς καὶ Ἀντώνιος] An Ἀμοῦς ὁ Αἰγύπτιος? Ita Synesius in fine p. 48. Sed Amus et Antonius aliunde etiam noti. Vid. Socrat. Hist. Eccl. IV. 23. ALBERT.

ΧΟΙΡΑΔΕΣ—θαλάσσῃ] Gl. Herodot. II. 29.

[h] ὄχθη] ὄχθαι A.B. Zonaras. ὄχθαι Cyrill. in not. ad Hesych. Conf. Blomfield. Gl. Æschyl. Pers. 427.

ΧΟΙΡΙΛΗ] Supra v. Χειρίλη.

ΧΟΙΡΙΛΛΟΣ] Alii Χοιρίλος, per unum λ. KUST. Sic A.C. De hoc Chœrilo agit Nækius, libro statim memorando, c. 1.

[i] καθεὶς εἰς ἀγῶνας] Sic locum hunc ex msto A. emendavi. Ante enim male legebatur, καὶ εἰς ἀγῶνας. Significat autem καθεῖναι εἰς ἀγῶνας, in certamen descendere; vel proprie, se demittere in certamen: ut subintelligatur ἑαυτόν. KUST.

[k] πεντήκοντα καὶ ρ'] Omnes mss. ἑξήκοντα καὶ ρ'. Ceterum, ex fabulis Chœrili hujus citatur tantum *Alope* a Pausania in Atticis. KUST. πεντήκοντα E. ξ' B.

[l] τῇ σκηνῇ] Lego τῇ σκευῇ. KUST.

ΧΟΙΡΙΛΟΣ Σάμιος] Chœrili Samii reliquias collegit et docte illustravit Nækius, Lips. 1817. 8°.

[m] Τινὲς [illegible] Ἰασέα] Inter hos est Stephanus Byzantius, v. Ἰασσός: quem vide. KUST.

[n] Ἁλικαρνασσέα] Ἁλικαρνασέα E.C.

[o] ἐπὶ δὲ τῶν Περσικῶν] Vid. Clintoni Fast. Hell. ad an. 479.

[p] ἤδη om. C. qui mox om. πάνυ.

[q] παρεδρεύσαντα] παρεδρεύσαντι E.M.

[r] ποιητικῇ] ποιητικὴν C.

[s] τῷ τοτε] τῷ om. E. mox αὐτοῦ C.

[t] Τὴν Ἀθηναίων νίκην κατὰ Ξέρξ.] Eadem totidem verbis legas apud Hesychium Milesium. Ex opere autem hoc Chœrili versus aliquot citat Josephus lib. I. contra Appionem: ut monuit etiam Vossius in opere de Hist. Gr. apud quem plura de hoc Chœrilo legere licet. KUST.

[u] χρυσοῦν] χρυσοῦ C.

[x] ἀναγινώσκεσθαι] καταγινώσκεσθαι B. Mox τινα om. C.

ΧΟΙΡΙΝΑΙ: Κόγχαι θαλ.] Aristoph. Vesp. 332. Τὰς χοιρίνας ἀριθμοῦσι. Scholiastes ad eum locum: Χοιρίναις ἐχρῶντο πρὸ τῶν ψήφων οἱ δικασταί. ἦσαν δὲ κόγχαι τινὲς, ὥς φησιν

δικαστηρίοις ἐχρῶντο Ἀθήνῃσι. Καὶ ἡ θρὶξ τοῦ χοί- A
ρου.

[z]Οὕτω κιττῶμαι διὰ τῶν σανίδων μετὰ χοιρίνης περιελθεῖν.

Χοιρίων μυστηρικῶν: Ἐν τοῖς μυστηρίοις τῆς Δήμητρος χοῖρος ἐθύετο. Ἀνάκειται γὰρ τὸ ζῶον τῇ θεῷ.

Χοιρογρύλλιος: Ὕστριξ, ἀκανθόχοιρος. Τουτέστιν, ἐχῖνος χερσαῖος.

Χοιρόθλιψ:

[a]Ὦ αὐτὸς τυφεδανὲ καὶ χοιρόθλιψ.

Χοιροκομεῖον: [b]Πλεκτὸν ἀγγεῖον, ἐν ᾧ τοὺς νέους ἔτρεφον χοίρους περιδήσαντες. Ἢ, [c]ὁ πάτταλος, ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους ἔτρεφον. [d]Ἀριστοφάνης·

Ἀπὸ τῆς Σπάρτης οἵδε πρέσβεις [e]ἕλκοντες ὑπήνας
χωροῦσιν, ὥσπερ χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντες.

[f]Ἐπεὶ ἦλθον ἐγκεκολπωμένα τὰ ἱμάτια ἔχοντες. C

Χοῖρος: Τὸ ζῶον. Παρὰ Κορινθίοις δὲ, [g]τὸ γυναικεῖον αἰδοῖον. Ἔνθεν καὶ παροιμία·

[gg]Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν.

Ἀντὶ τοῦ, ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ. Πολλαὶ γὰρ ἐκεῖ ἑταῖραι.

Χυδαῖος: Εὐτελής, παμπληθής.

Χύδην: Κεχυμένως.

Χυλῷ: Τῷ ῥοφήματι. [h]Ἀριστοφάνης·

Μίξω [i]δ' ὑμᾶς φιλίας χυλῷ.

Καὶ χυλὸς [k]πτισάνης, [l]ὁ ἀπὸ τῆς ζείας.

Χῦμα:

Χυμός: Ζήτει ἐν τῷ Ὕδωρ, καὶ ἐν τῷ Φαιὸν, καὶ ἐν τῷ Γλῶττα.

B Χυτή: Ἡ ἐπιχεομένη τοῖς νεκροῖς γῆ.

Χύτλα: Ὑδρέλαιον. Καὶ [m]χυτλάζειν, τὸ μιγνύναι, καὶ διαχεῖν. Χύτλα [n]δὲ λέγεται κυρίως, τὸ ὑγροῦ ἔτι ἀπὸ ὕδατος ὄντος τοῦ σώματος ἀλείψασθαι.

[o]Φράσον δέ μοι, εἰς ὅ τι τεῦχος
χεύωμαι ποτὶ χύτλα, καὶ Ῥόδοθεν.

[p]Ὑγρὸν χύτλασαι σεαυτὸν ἐν τοῖς στρώμασι
γυμναστικῶς.

C Ἀριστοφάνης. Χύτλον γὰρ, τὸ μεθ' ὕδατος ἔλαιον.

Χυτλώσαιντο: Ἀλείψαιντο.

Χυτόν: [q]Χῶμα. Καὶ ὁ ξεστὸς λίθος. [r]Ἡρόδοτος.

Χύτραν ποικίλλειν: Ἐπὶ τῶν ἀδυνάτων [s]καὶ ἀνηνύτων.

---

Ἐπαφρόδιτος ἐν ταῖς λέξεσιν. Idem in Equit. 1329. Οὐ χοιρινῶν ὄζων. Scholiastes: Ὅτι χοιρίναις ἐχρῶντο πρότερον πρὸ τῶν ψήφων. εἰσὶ δέ τινες κόγχαι θαλάσσιαι. KUST. D

[y] θαλάσσιαι] θαλάσσιοι A.

[z] Οὕτω κιττ.] Aristoph. Vesp. 348. sed ubi pro κιττῶμαι legitur κιττῶ: uti etiam hic metri gratia scribendum est. KUST.

ΧΟΙΡΙΩΝ ΜΥΣΤΗΡΙΑΚΩΝ] Aristoph. Acharn. 747. Χήσειτε φωνὰν χοιρίων μυστηρικῶν. Vide ibi Scholiastam, qui eadem habet, quæ hic Suidas. KUST. χοιρείων A. μυστηριακῶν C. E

ΧΟΙΡΟΓΡΥΛΛΙΟΣ] Vid. Schleusner. Lex. V. T. in v.

[a] Ὦ αὐτὸς στυφεδ.] Scribendum est τυφεδανὲ, ut legitur apud Aristoph. Vesp. 1355. unde locus hic sumptus est. Confer etiam Nostrum supra v. Στυφεδανός, et v. Τυφεδανός: ubi idem locus legitur. KUST. τυφεδανὲ A.

ΧΟΙΡΟΚΟΜΕΙΟΝ: Πλ.] Aristoph. Vesp. 840. Χοιροκομεῖον Ἑστίας. Scholiastes: Χοιροκομεῖον. ἀγγεῖόν τι κανωτὸν, ὅπου οἱ χοῖροι τρέφονται. ἐν τῇ Λυσιστράτῃ δὲ κλοιὸν μᾶλλον, ἢ πάσσαλον ἐμφαίνει, ὡς καὶ τούτου ὁμοίως λεγομένου, ὅπου ὁ χοῖρος δέεται. Et paulo post: Ἔστι δὲ τὸ καλούμενον ζωγρεῖον κανωτὸν, ὅπου οἱ χοῖροι τρέφονται. KUST. F

[b] Πλεκτὸν—περιδήσαντες Scholiastæ Aristophanis sunt ad Lys. 1058. ex ms. supplendi. Vid. ed. Dindorf. T. XI. p. 513.

[c] ὁ πάτταλος] Scribendum puto, τάλαρος, i. e. qualus. Quomodo enim in paxillo porcellos nutrias? Vel dicendum est, πάτταλος hic accipi pro vase aliquo ex viminibus texto: cujus significationis tamen exemplum requiro. KUST. Quæ ad hunc locum adnotavit vir doctissimus longe ineptissima sunt, et a mente scriptoris alienissima. Ἐν πασσάλῳ δεσμεύεσθαι est palo alligari. Προσπατταλεύειν vocant Græci. Quod aut vidit, aut vidisse se putabat, Lambertus Bosius. Schol. ad Aristoph. Ran. 631. Ἐν κλίμακι δήσας: Τὸ ἐν πρὸς τὸ δήσας. ἘΝΔΗΣΑΣ κλίμακι. Ἀντὶ τοῦ, ΕΙΣ ΚΛΙΜΑΚΑ ΔΗΣΑΣ. Quod in primis notandum. Confer etiam Aristoph. Thesmoph. 937. Recte autem Suidas, Χοιροκομεῖον, ὁ πάτταλος. Schol. ad Aristoph. Vesp. 840. Χοιροκομεῖον. Ἐν τῇ Λυσιστράτῃ δὲ κλοιὸν μᾶλλον ἢ ΠΑΣΣΑΛΟΝ ἐμφαίνει. Respexit autem uterque, tum Suidas tum Scholiastes, ad Aristoph. Lysist. 1075. ubi dicit comicus legatos Spartanorum Athenas advenisse, χοιροκομεῖον περὶ τοῖς μηροῖσιν ἔχοντας. Ubi recte Scholiastes: Λέγει ΠΑΤΤΑΛΟΝ, ἐν ᾧ δεσμεύοντες τοὺς χοίρους τρέφουσι. Ἐπεὶ οὖν ἘΝΤΕΤΑΜΕΝΟΙ ἧκον, εἴκασεν αὐτοὺς ΠΑΤΤΑΛΟΙΣ. Ubi signanda vox ἐντεταμένοι. Adde quod χοῖρος et πάτταλος verba prætextata sunt. Hinc joci fundus. TOUP. G H

[d] Ἀριστοφάνης] In Lysistr. 1075.

[e] ἕλκοντες ὑπήνας χωροῦσιν] χωροῦσιν ἕλκοντες ὑπήνας A.C.E.

[f] Ἐπεὶ ἦλθον—ἑταῖραι] Pro his habet C. Χοιροπωλήσειν: Ἀντὶ τοῦ ἔοικας μισθαρνήσειν ἐν Κορίνθῳ, πολλαὶ γὰρ ἐκεῖ ἑταῖραι. Χοῖρος γὰρ τὸ γυναικεῖον αἰδοῖον. ἔνθα καὶ παροιμία, Ἀκροκορινθία ἔοικας χοιροπωλήσειν.

[g] τὸ γυναικεῖον αἰδοῖον] Aristoph. Acharn. 781. Νῦν γε χοῖρος φαίνεται. Scholiastes: Νῦν σαφῶς σημαίνει, ὅτι χοῖρος τὸ γυναικεῖον αἰδοῖον λέγεται. KUST.

[gg] Grotius præf. ad Paul. Ep. I. ad Corinth. v. Ἀκροκορινθία. HEMST.

ΧΥΔΑΙΟΣ] Exod. I. 7. χυδαῖοι ἐγένοντο καὶ κατίσχυσαν. ERNEST.

[h] Ἀριστοφάνης] In Pac. 997.

[i] δ' ὑμᾶς] δ' om. A.E.M.

[k] ΠΤΙΣΣΑΝΗΣ] πτισάνης A.C.E. Vid. supra v. Πτισάνη.

[l] ὁ ἀπὸ] ἡ ἀπὸ A. ἢ ἀπὸ C. Delevi statim ΧΥΛΑΡΙΟΝ, τὸ θλαρίδιες, ὁ λεπτυνόμενος σῖτος, cum A.B.C.E.

ΧΥΜΟΣ] Deest art. C.

ΧΥΤΗ] Il. ζ. 464.

ΧΥΤΛΑ] Vid. Schol. Apollon. Rhod. I. 1075. Od. ζ. 80. Χύτλον τὸ ὑδρέλαιον Schol. Aristoph.

[m] ΧΥΤΛΑΖΕΙΝ, τὸ μιγνύναι καὶ διαχ.] Ex Schol. Aristoph. Vesp. 1208.

[n] δὲ λέγεται] δὲ om. A.C.

[o] Φράσον δέ μοι] Hæc tanquam ex epigrammate citat H. Steph. Thesaur. L. G. T. IV. p. 505. D. qui χεύωμαι pro χεύομαι.

[p] ὄπιθεν ὑγρὸν χύτλ.] Aristoph. Vesp. l. c. Τὰ γόνατ' ἔκτεινε καὶ γυμναστικῶς Ὑγρὸν χύτλασον σεαυτὸν ἐν τοῖς στρώμασι. Hinc patet, τὸ ὄπιθεν hic apud Suidam supervacaneum esse. KUST.

ib. ὄπιθεν] καὶ ὄπιθεν A.C. καὶ ὄπισθεν B.E. Non dubitavi hæc superioribus adnectere.

ΧΥΤΛΩΣΑΙΝΤΟ] Od. ζ. 80.

[q] Χῶμα] Sic recte optimus ms. A. At priores edit. [et B.E.] male, χρῶμα. KUST.

[r] Ἡρόδοτος] Gl. ad VII. 37.

[s] καὶ ἀνηνύτων om. C.

A Χύτραν τρέφειν: Ἐπὶ τῶν τεγῶν ἐτίθεσαν, ὅπως μὴ προσέρχωνται αἱ γλαῦκες.

Χύτραζον: Ὕγραινον.

Χύτραις ἱδρυτέον: [t]Ἀριστοφάνης·

> Τί δ' ἄλλο γ', ἢ ταύτην χύτραις ἱδρυτέον;

Τουτέστι, τὴν εἰρήνην. Ὁπότε γὰρ μέλλοιεν βωμοὺς [u]καθιδρύειν ἢ ἀγάλματα θεοῦ, ἕψοντες ὄσπρια, ἀπήρχοντο τούτων τοῖς ἀφιδρυμένοις, χαριστήρια ἀπονέμοντες τῆς πρώτης διαίτης. Ἀριστοφάνης [x]Δαναΐσι·

B

> Μαρτύρομαι δὲ [y]Ζηνὸς Ἑρκείου χύτρας,
> μεθ' ὧν ὁ βωμὸς οὗτος [z]ἱδρύσθη ποτέ.

[a]Ἔστι δ' ὅτε καὶ πολυτελεστέρῳ ἱερείῳ ἀφιδρύοντο. Ἑρμᾶς δὲ ἱδρύοντες πρὸ τῶν θυρῶν καὶ ἄλλα τινὰ ἱδρύματα, ὑπὲρ τοῦ μὴ βραδύνειν τὴν ἀνάστασιν, [b]χύτραις [c]ἀθάρας [d]ἱδρύεσθαι. Μεμφόμενοι δὲ ὡς [e]πολυτίμητον οὖσαν, ἄλλαις ἱερωσύναις αὐτὴν ἱδρύσαντο.

C

> [f]Ὡς οἱ μὲν νέφος ἐχθρὸν ἀπωσάμενοι πολέμοιο,
> εἰρήνην εἵλαντο, καὶ ἱδρύσανθ' ἱερείῳ.

Ὡς τοῦ Ἑρμοῦ [g]χύτραισιν ἱδρυμένου.

Χύτραις λημᾶν, καὶ [h]κολοκύνταις: Ἐπὶ τῶν ἀμβλυωττόντων.

Χυτρέα: Τὸν κεραμέα, καὶ δημιουργὸν τῶν τοιούτων σκευῶν. Καὶ [i]Πλάτων ἐν Πολιτείᾳ· Χυτρεύς: Κεραμεύς. Ἀφ' ἑνὸς εἴδους τῶν κεραμευομένων, τῆς χύτρας.

D

Χυτρεοῦν: Ὀστράκινον, [k]εὐτελῆ, χύτρας ἄξιον. [l]Ἀριστοφάνης·

